IŌANNOU GRAMMATIKOU TOU PHILOPONOU EIS TA PROTERA...

Ioannes : Philoponus, Vittore Trincavelli, Leo Magentinus

ὅτι δὲ καὶ καταφατικήν. τὴν δὲ ἐλάττονα ἐστὶν ὅτι καὶ μερικὴν ἀνομοιοσχήμονα δὲ ἀεὶ πρὸς τὴν ἑτέραν κατὰ τὸ ποιόν. τὰ δὲ συμπεράσματα, ἀποφατικὰ πάντα καθόλου τε καὶ μερικά. καὶ τὸ τὸν μέσον ὅρον ἀμφοτέρων κατηγορεῖσθαι τῶν ἄκρων. ὥσπερ δὲ ἐν τούτῳ τῷ σχήματι ὁ μέσος κατηγορεῖται ἀμφοτέρων τῶν ἄκρων. οὕτω καὶ ἐν τῷ τρίτῳ σχήματι τοῖς ἄκροις ὁ μέσος ὑπόκειται. καὶ ὁ μὲν πρῶτος τρόπος ἐν τούτῳ τῷ σχήματι ὁ ἐν τῷ πρώτῳ πρῶτος. ὁ δεύτερος δὲ δεύτερος ἐν τῷ πρώτῳ. καὶ οἱ ἕτεροι δύο παραπλησίως, ὁ τρίτος τε καὶ ὁ τέταρτος. λείπονται οὖν περὶ τῶν ἄλλων δύο εἰπεῖν, τοῦ πέμπτου τε καὶ τοῦ ἕκτου. ὧν εἷς μέν ἐστιν ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς. καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς. πάντα δὲ τὰ συμπεράσματα ἐν τούτῳ τῷ σχήματι μερικὰ καὶ ἡ ἐλάττων ἀεὶ καταφατικὴ καθόλου τε καὶ μερική. ἡ δὲ μείζων καὶ καταφατικὴ καὶ ἀποφατική. καὶ καθόλου καὶ μερική. μόνον δὲ τὸ τῆς ἐλάττονος, ὥρισται ἐν τούτῳ σχήματι. ἐκ δύο δὲ μερικῶν, ἢ ἐκ δύο ἀποφατικῶν. ἐν οὐδενὶ τῶν σχημάτων συλλογισμόν ἐστιν εὑρεῖν. ταῦτα μὲν περὶ τῶν τριῶν σχημάτων ἐν τῷ παρόντι διώρισται. τῶν ἄλλως ἑπομένων ὕστερον λεχθήσονται.

Registrum.

a b c d e f g h i K l m n o aa bb cc dd ee ff

Quaterniones omnes, præter a & ff terniones.

Venetiis in ædibus Bartholomæi Zanetti Casterzagensis, ære vero, & diligentia Ioannis Francisci Trincaueli. Anno a partu virginis. M D X X X V I. Mense Aprili.

ἐστίν. οἷον, τοῦτο τὸ προσιὸν, οὐχὶ ἄνθρωπός ἐστι καὶ ἵππος. ἀλλὰ μὴν ἄνθρωπός ἐστιν, οὐκ ἄρα ἵππος.
καὶ ἐνταῦθα γὰρ ὁμοίως μετὰ συμπλοκῆς τῆς ἀποφάσεως γίνεται. οὔτε δυνάμεθα εἰπεῖν τὸ προσιὸν
ἢ ἵππος ἐστὶ, καὶ ὃν ἡμεῖς πέμπτον ἐκαλέσαμεν. οἱ δὲ παλαιοὶ τρίτον αὐτὸν καλοῦσιν. ὁ δὲ ἕκτος τρό-
πος ἐξ ὅλων ὑποθέσεων καλούμενος ὃν ἀλέξανδρος εἰσήγαγεν, οἷός ἐστιν εἰ ἀγαθὸς ὁ θεὸς ἀεὶ ἀγαθο-
ποιεῖ. εἰ ἀεὶ ἀγαθοποιεῖ ὁ κόσμος ἀΐδιος. εἰ ἀΐδιος ὁ κόσμος, πεπερασμέναι αἱ ψυχαί εἰσιν. εἰ πεπερασμέ-
ναι αἱ ψυχαὶ, ἀναγκαῖον διάφορα σώματα, ἀμείβεσθαι τὰς ψυχάς. οὗτος οὖν καλεῖται ἐξ ὅλων
ὑποθέσεων. διότι τέσσαρές εἰσιν ὑποθέσεις ἀναπόδεικτοι. οὗτοι οὖν ὅλοι οἱ ὑποθετικοὶ συλλογισμοὶ,
καλοῦνται ἀναπόδεικτοι. διότι οὐ πάντως ὁμολογούμεναι εἰσὶν αἱ προτάσεις. ταῦτα καὶ περὶ τῶν
ὑποθετικῶν.

α΄ Πρῶτος τρόπος ἐστὶν ὁ κατὰ συνέχειαν ὅταν τῇ θέσει τοῦ ἡγουμένου εἰσάγεται τὸ ἑπόμενον.

β΄ Δεύτερος τρόπος ἐστὶν ὅταν τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρεῖται τὸ ἡγούμενον. ὅστις ἐστὶ καὶ αὐτὸς κατὰ ἀκολουθίαν ἤγουν κατὰ συνέχειαν.

γ΄ Τρίτος τρόπος ἐστὶν ὁ κατὰ διάζευξιν, ὅταν ἐπὶ τῶν ἀμέσων ἀντικειμένων λαμβάνηται, ἢ ἐπὶ τῶν μέσων τῶν ὡρισμένον ἐχόντων τὸ μέσον, ὁ τῇ θέσει τοῦ ἑνὸς ἀναιρῶν τὸ λοιπὸν ἢ τὰ λοιπά.

δ΄ Ο κατὰ διάζευξιν ὁ τῇ ἀναιρέσει τῶν λοιπῶν ἢ τοῦ ἑνὸς εἰσάγων τὸ λοιπόν. ὃς καὶ αὐτὸς ἐπὶ τῶν ἀμέσων ἀντικειμένων λαμβάνεται ἢ ἐπὶ τῶν ὡρισμένον ἐχόντων τὸ μέσον.

ε΄ Πέμπτος τρόπος ἐστὶν ὁ μετὰ συμπλοκῆς τῆς ἀποφάσεως. ὃς ἢ ἐπὶ τῶν ἀντικειμένων λαμβάνεται τῶν ἐχόντων τὸ μέσον ἀόριστον. ἢ ὅλως οὐκ ἐπὶ τῶν ἀντικειμένων ὃς καὶ τῇ θέσει τοῦ ἑνὸς ἀναιρεῖ τὰ λοιπά.

ς΄ Ἕκτος τρόπος ἐστὶν ὁ ἐξ ὅλων ὑποθέσεων ὃν ἐφεῦρεν ἀλέξανδρος ὁ ἀφροδισιεύς.

Τοὺς κατηγορικοὺς συλλογισμοὺς εἰς τρία τινὰ σχήματα οἱ παλαιοὶ ἀνάγουσιν. ὧν τὸ μὲν πρῶτον, τέσ-
σαρας ἔχειν τρόπους φασί. τὸ δὲ δεύτερον ὁμοίως τέσσαρας. τὸ δὲ τρίτον ἕξ. τούτους τοίνυν τοὺς τρόπους
καὶ συλλογιστικὰς συζυγίας ὠνομάκασιν. ὅτι συλλογιστικαὶ μὲν τοσαῦται τὸν ἀριθμὸν τυγχάνουσι καθ'
ἕκαστον τουτωνὶ τῶν σχημάτων. ἀσυλλόγιστοι δὲ πλέους. περὶ ὧν ὡς ἐν κεφαλαίῳ λελέξεται. πρῶτος
μὲν τρόπος καὶ συλλογιστικὴ συζυγία πρώτου σχήματος, ὅταν ὁ μείζων ὅρος κατὰ παντὸς τοῦ μέσου κα-
τηγορῆται. ὁ δὲ μέσος ὡσαύτως κατὰ παντὸς τοῦ ἐσχάτου. δύο γὰρ ἔσονται προτάσεις καταφατικαὶ
καθόλου ἀφ' ὧν καὶ τὸ συμπέρασμα ἔσται καθόλου καταφατικόν. οἷον, οὐσία κατὰ παντὸς ζώου. καὶ
ζῶον κατὰ παντὸς ἀνθρώπου. καὶ οὐσία ἄρα κατὰ παντὸς ἀνθρώπου. Δεύτερος δὲ ὁ τρόπος τοῦ πρώ-
του σχήματος. ὅταν ὁ μείζων ὅρος καθόλου κατηγορούμενος τοῦ μέσου ὑπάρχῃ. ὁ δὲ μέσος τοῦ ἐσχάτου.
δύο γάρ εἰσι καὶ ἐν τούτῳ αἱ προτάσεις καθόλου. ὧν ἡ μὲν μία καὶ μείζων ἀποφατική. ἡ δὲ ἑτέρα καὶ
ἐλάττων καταφατική. τὸ δὲ συμπέρασμα καθόλου ἀποφατικόν. πᾶς μὲν γὰρ συλλογισμὸς μίαν ἔχει
ἀποφατικὴν καὶ μερικὴν πρότασιν, καὶ τὸ συμπέρασμα ἕξει ἢ ἀποφατικὸν ἢ μερικὸν ὁμοίως. εἰ δὲ αἱ
δύο καταφατικαί εἰσιν ἢ καθόλου, οὐδέποτε ἔσται τὸ συμπέρασμα ἢ ἀποφατικὸν ἢ μερικόν. τῇ γὰρ χεί-
ρονι τῶν προτάσεων τὸ συμπέρασμα ἕπεται. δύο δὲ ἀποφατικαὶ ἐὰν ὦσιν αἱ προτάσεις ἢ δύο μερικαὶ,
οὐκ ἔστι συλλογισμός. οὕτω μὲν οὖν περὶ τῶν ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμῶν. εἰσὶ δὲ καὶ
ἄλλοι τρόποι δύο μερικοί. ὧν ὁ μὲν εἰς τὴν μείζονα καθόλου ἔχει. καθάπερ καὶ ἐπὶ τοῦ πρώτου τρό-
που ἐλέγετο. τὴν δὲ ἐλάττονα, καταφατικὴν μὲν καὶ αὐτὴν ὥσπερ καὶ ἐπ' ἐκείνου οὐ μὴν δὲ καθόλου
ἀλλὰ μερικήν. ταύτῃ γὰρ διαφέρει τοῦ πρώτου τρόπου ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος. ὁ δὲ τέταρ-
τος τρόπος ἤδη καὶ ἔσχατος, ἀποφατικὴν μὲν ἔχει τὴν μείζονα. ὥσπερ ἦν καὶ ἐπὶ τοῦ δευτέρου. καὶ τὴν
ἐλάττονα ὁμοίως καταφατικὴν ὡς ἐπ' ἐκείνου. ἀλλ' ἐκεῖ μὲν καθόλου ἦν ἡ καταφατική. ἐνταῦθα δὲ
ἐπὶ μέρος. πλείω δὲ τούτων τῶν τρόπων ἐν τῷδε τῷ σχήματι οὐκ ἔστιν εὑρεῖν. ἰδιώματα δὲ τούτου τὸ τὴν
μείζονα ἀεὶ καθόλου εἶναι. τὴν δὲ ἐλάττονα καταφατικήν. καὶ τὴν μὲν μείζονα, καθόλου οὖσαν ἐνδέ-
χεσθαι καὶ καταφατικὴν εἶναι, καὶ ἀποφατικήν. τὴν δὲ ἐλάττονα καταφατικὴν ἀεὶ, ἀλλ' ὅτε μὲν με-
ρικὴν, ὅτε δὲ καθόλου. ἔτι δὲ πρὸς τούτοις, καὶ τὸ πάντα τὰ προβλήματα ἐν τούτῳ συνάγεσθαι τῷ σχή-
ματι. λέγω δὲ τὸ καθόλου καὶ τὸ μερικὸν, καὶ τὸ καταφατικόν τε καὶ ἀποφατικόν. καὶ ταῦτα μὲν ἐπὶ τοῦ
πρώτου σχήματος ἱκανὰ ἔστωσαν. περὶ δὲ τοῦ δευτέρου τάδε εἰρήσθω. ἔχοντος καὶ αὐτοῦ τρόπους τῷ πρώ-
τῳ παραπλησίως τέσσαρας ὧν. ὁ μὲν πρῶτός ἐστιν ὅταν ὁ μέσος κατ' οὐδενὸς τοῦ μείζονος καὶ κατὰ
παντὸς τοῦ ἐλάττονος κατηγορῆται. ὅταν δὲ τὸ ἀνάπαλιν ἔχωσιν αἱ προτάσεις, δεύτερος ἐστὶ τρόπος. ἕτερον
δὲ εὑρεθῆναι τρόπον καθόλου ἐν τούτῳ τῷ σχήματι ἀμήχανον. εἰσὶ δὲ καὶ ἕτεροι δύο τρόποι μερικοὶ ἐκ τῆς μεί-
ζονος καθόλου ἀποφατικῆς καὶ τῆς ἐλάττονος μερικῆς ἀποφατικῆς. ὅσοι δὲ παρὰ τούτοις εὕρηνται τρόποι
ἀσυλλόγιστοι πάντες. ἰδίωμα δὲ τοῦ σχήματος τούτου, τὸ εἶναι ἀεὶ τὴν μείζονα καθόλου. ὅτι μὲν ἀποφατικήν,

ἄνθρωπος κατά τινος λευκοῦ. τὸ δὲ ζῶον ἦν κατὰ παντὸς ἀνθρώπου, τὸ ζῶον ἄρα κατά τινος λευκοῦ. οὐκοῦν καὶ τὸ λευκὸν κατά τινος ζώου ὅπερ ἔδει δεῖξαι. ἰδοὺ ἐνταῦθα διὰ δύο ἀντιστροφῶν ἐδείχθη τὸ συμπέρασμα. μιᾶς τῆς προτάσεως καὶ μιᾶς τοῦ συμπεράσματος. ὅτι μὲν γὰρ τὴν ἐλάττονα πρότασιν ἀντιστρέφομεν, μιᾶς ἀντιστροφῆς δεόμεθα. ὅταν δὲ τὴν μείζονα ὡς ἐνταῦθα, δύο. Ἕκτος τρόπος ἐστὶν, ὁ ἀπὸ μερικῆς ἀποφατικῆς τῆς μείζονος, καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ λευκὸν κατ᾽ οὐ παντὸς ἀνθρώπου. τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. τὸ λευκὸν ἄρα κατ᾽ οὐ παντὸς ζώου. ἐνταῦθα διὰ τῆς ἀντιστροφῆς, ἀδύνατόν ἐστι κατασκευάσαι τὸ συμπέρασμα. ἡ γὰρ μερικὴ ἀπόφασις αὐτόθεν οὐδὲν ὅλως ἀντιστρέφει ὡς ἐδείξαμεν. εἰ δὲ τὴν καθόλου κατάφασιν ἀντιστρέψομεν, πρὸς τὴν μερικὴν ἀντιστρέψομεν. καὶ γίνονται δύο μερικαὶ, ὅπερ ἀδύνατον γενέσθαι ἐκ δύο μερικῶν συλλογισμόν. ἀλλὰ δηλονότι τῇ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα. ἔστι δὲ χείρων, ἡ μείζων πρότασις. μερικὴ ἀποφατικὴ οὖσα. οὐκοῦν καὶ τὸ συμπέρασμα ταύτῃ ἑπόμενον γίνεται, καὶ αὐτὸ μερικὸν ἀποφατικόν. ἐν τούτοις σὺν θεῷ καὶ ἐξ τρόποι τοῦ τρίτου σχήματος. καὶ ἐν τούτῳ δὲ δεῖ δηλονότι φυλαχθῆναι τὸ ἴδιον τοῦ σχήματος. ὅπερ ἐστὶν, ἵνα μόνον ἡ ἐλάττων πρότασις γίνηται καταφατική. ἐπεὶ εἰ μὴ οὕτω γένηται, οὐ συλλογισμὸς ἀλλὰ παραλογισμὸς γίνεται. οἷον τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. ὁ ἵππος κατ᾽ οὐδενὸς ἀνθρώπου. καὶ συνάγεται τὸ ζῶον κατ᾽ οὐδενὸς ἵππου. ὅπερ ἐστὶν ἀτοπώτατον. ὁ δὲ παραλογισμὸς ἐγένετο διότι ἐν τῷ τρίτῳ σχήματι πλέξας τὸν συλλογισμὸν, ἀποφατικὴν ἐποίησας τὴν ἐλάττονα. καὶ παρέβης τὸ ἴδιον τοῦ σχήματος. θέλει γὰρ εἶναι καταφατικόν. ἐν τούτοις σὺν θεῷ, τὰ τρία σχήματα πληροῦνται τῶν κατηγορικῶν συλλογισμῶν.

Περὶ τῶν ὑποθετικῶν καλουμένων συλλογισμῶν.

Οἱ ὑποθετικοὶ καλούμενοι συλλογισμοὶ, σύγκεινται ἐκ τῶν τεσσάρων τούτων. ἐκ τοῦ ἡγουμένου, ἐκ τοῦ ἑπομένου. ἀπὸ μεταλήψεως καὶ συμπεράσματος. οἷον, εἰ ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστι. ἀλλὰ μὴν ἄνθρωπός ἐστι καὶ ζῶον ἄρα ἐστί. καλεῖται τοίνυν τὸ, εἰ ἄνθρωπος ἡγούμενον. τὸ δὲ ζῶόν ἐστιν, ἑπόμενον. ὅλον δὲ τοῦτο, τὸ εἰ ἄνθρωπός ἐστι ζῶόν ἐστι, καλεῖται συνημμένον. τὸ ἀλλὰ μὴν ἄνθρωπος, μετάληψις. ἤγουν πρόσληψις. τὸ ζῶον ἄρα συμπέρασμα. πολλάκις δὲ τὸ ἑπόμενον ἢ ἐξισάζει τῷ ἡγουμένῳ, ἢ καθολικώτερον αὐτοῦ ἐστιν. οὐδέποτε δὲ μερικώτερον. τούτων τοίνυν τῶν ὑποθετικῶν, οἱ μὲν καὶ ἀναπόδεικτοι καλοῦνται, οἱ μὲν εἰσὶ κατὰ συνέχειαν ἤγουν κατὰ ἀκολουθίαν. οἱ δὲ κατὰ διάζευξιν. καὶ τῶν κατὰ συνέχειαν ἐστὶν ὁ πρῶτος τρόπος οὗτος. ἡνίκα τῇ θέσει τοῦ ἡγουμένου εἰσάγεται τὸ ἑπόμενον. οἷον, εἰ ἄνθρωπός ἐστι καὶ ζῶόν ἐστιν. ἰδοὺ τῇ θέσει τοῦ ἀνθρώπου τουτέστι τῇ ὁμολογίᾳ, εἰσάγεται τὸ ζῶον ὅπερ ἦν ἑπόμενον. Δεύτερος τρόπος ἐστὶν ἡνίκα τῇ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρεῖται τὸ ἡγούμενον. οἷον, εἰ ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστι. ἀλλὰ μὴν ζῶον οὐκ ἔστιν, οὐδὲ ἄνθρωπος ἄρα ἐστίν. ἰδοὺ τῇ ἀναιρέσει τοῦ ἑπομένου τουτέστι τοῦ ζώου, ἀνῄρηται καὶ τὸ ἡγούμενον τουτέστιν ὁ ἄνθρωπος. αὕτη δὲ καλεῖται συναντιθέσει ἀντιστροφή. οὕτω μὲν οὖν ἡ κατὰ ἀκολουθίαν, ἤγουν κατὰ συνέχειαν. τρίτος κατὰ διάζευξιν, ἢ ἐπὶ τῶν ἀντικειμένων ἢ ἀμέσων ἢ ἐμμέσων. ἢ ὡρισμένον ἐχόντων τὸ μέσον ἢ ἀόριστον. ὡρισμένον δὲ ἔχουσι τὸ μέσον. καὶ μεῖζον καὶ τὸ ἔλαττον. μέσον γὰρ αὐτῶν ἐστὶ τὸ ἴσον. ὅπερ οὔτε μεῖζόν ἐστιν, οὔτε ἔλαττον. ἀόριστον δὲ ἔχουσι τὸ μέσον, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν. πολλὰ γάρ ἐστι τὰ μεταξὺ αὐτῶν. οἷον φαιόν. ἐρυθρόν. ἁλουργοῦν καὶ ὡς εἰπεῖν ἄλλα πολλά. ὅταν οὖν ὁ ὑποθετικὸς συλλογισμός. ὁ κατὰ διάζευξιν ἐπὶ τῶν ἀμέσων ἀντικειμένων λαμβάνηται, ἢ ἐπὶ τῶν ἐμμέσων μὲν, ὡρισμένον δὲ ἐχόντων τὸ μέσον, τότε ἢ τῇ θέσει τοῦ ἑνὸς ἀναιρεῖται τὸ λοιπὸν, ἢ τὰ λοιπὰ, ἢ τῇ ἀναιρέσει τοῦ ἑνὸς ἢ τῶν λοιπῶν εἰσάγεται τὸ λειπόμενον. οἷον, ὡς ἐπὶ τῶν ἀμέσων ἀντικειμένων ὁ ἀριθμὸς ὁ δέκα ἢ ἄρτιος ἢ περιττός. ἀλλὰ μὴν ἄρτιος, οὐκ ἄρα περιττός. ἰδοὺ τῇ θέσει τοῦ ἑνὸς τουτέστι τοῦ ἀρτίου ἀνῄρηται τὸ λοιπὸν τουτέστιν ὁ περιττός. ἐπὶ δὲ τῶν ὡρισμένον ἐχόντων τὸ μέσον. οἷον, τόδε τῷδε, ἢ ἴσον ἐστὶν ἢ μεῖζον, ἢ ἔλαττον. ἀλλὰ μὴν ἴσον ἐστὶν, οὐκ ἄρα μεῖζον οὐδὲ ἔλαττον. ἰδοὺ τῇ θέσει τοῦ ἑνὸς ἀνῃρέθησαν τὰ λοιπὰ τουτέστι τὸ μεῖζον καὶ τὸ ἔλαττον. πῶς δὲ τῇ ἀναιρέσει τῶν λοιπῶν εἰσάγεται τὸ ἕν, οὕτως. τόδε τῷδε, ἢ ἴσον ἐστὶν ἢ μεῖζον ἢ ἔλαττον. ἀλλὰ μὴν οὔτε μεῖζόν ἐστιν, οὔτε ἔλαττον, ἴσον ἄρα ἐστί. σκόπει οὖν πῶς τῇ ἀναιρέσει τῶν λοιπῶν ἤγουν τῶν δύο τοῦ μείζονος καὶ τοῦ ἐλάττονος εἰσάγεται τὸ ἕν. τουτέστι τὸ ὑπολειπόμενον τὸ ἴσον. εἰσὶν οὖν οὗτοι, τρίτος καὶ τέταρτος τρόπος. ὅταν δὲ ὁ κατὰ διάζευξιν ὑποθετικὸς ἐπὶ τῶν ἀντικειμένων λαμβάνηται τῶν ἐχόντων τὸ μέσον ἀόριστον. ἢ ὅλως οὐκ ἐπὶ τῶν ἀντικειμένων. ἐπὶ τούτων μετὰ συμπλοκῆς τῆς ἀποφάσεως ποιούμεθα τὸν συλλογισμόν. οἷον, ὁ ἵππος οὐχὶ λευκός ἐστι καὶ μέλας. ἀλλὰ μὴν λευκός, οὐ μέλας ἄρα. τῇ γὰρ θέσει τοῦ ἑνὸς ἀναιρεῖται τὸ ἕτερον. οὐ δυνάμεθα δὲ εἰπεῖν ὁ ἵππος ἢ λευκός ἐστιν ἢ μέλας. πολλὰ γάρ ἐστι τὰ μεταξύ. ἀλλ᾽ ὡς εἴπομεν μετὰ συμπλοκῆς τῆς ἀποφάσεως. τουτέστιν οὐχὶ λευκὸς καὶ μέλας. λοιπὸν τῇ θέσει τοῦ ἑνὸς, ἀναιρεῖται τὸ λοιπόν. ὡσαύτως καὶ ἐπὶ τῶν ἀντικειμένων ὁ αὐτὸς γὰρ τρόπος

μεν ἐποιήσαμεν πρῶτον. Δεύτερος τρόπος ἐστὶν, ὁ ἀπὸ καθόλου καταφατικῆς τῆς μείζονος, καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος, καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου. πῶς οὖν ὀφείλομεν συναγαγεῖν τὸ συμπέρασμα. πάλιν διὰ τῆς ἀντιστροφῆς δεικνύομεν τοῦτο. εἰ γὰρ τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου, καὶ λίθος κατ᾽ οὐδενὸς ζώου. ὑπόκειται δὲ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου, λίθος ἄρα κατ᾽ οὐδενὸς ἀνθρώπου. ἀλλ᾽ οὐ προέκειτο τοῦτο τὸ συμπέρασμα. ἀπὸ τοῦ ἀνθρώπου γὰρ ἤθελεν ἄρξασθαι συμπεράσματος. ἀντιστρέφω οὖν καὶ τοῦτο τὸ συμπέρασμα. καὶ εὑρίσκω ὃ ζητῶ. τὸ δὲ συναχθὲν ἐστὶ, λίθος κατ᾽ οὐδενὸς ἀνθρώπου. ἀντιστρέφω οὖν καὶ αὐτὸ καὶ εὑρίσκω τὸ συμπέρασμα. καὶ ὁ ἄνθρωπος κατ᾽ οὐδενὸς λίθου ὅπερ προέκειτο δεῖξαι. Τρίτος τρόπος ἐστὶν ὁ ἀπὸ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος, μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου. τὸ ζῶον κατά τινος λευκοῦ. ἀντιστρέψον. εἰ τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου, καὶ ὁ λίθος κατ᾽ οὐδενὸς ζώου ζῶον δὲ κατά τινος λευκοῦ, οὕτω γὰρ ὑπόκειται, λίθος ἄρα κατ᾽ οὐ παντὸς λευκοῦ. καὶ γέγονεν ὁ δ᾽ τρόπος τοῦ α᾽ σχήματος. Τέταρτος τρόπος ἐστὶν ὁ ἀπὸ καθόλου καταφατικῆς τῆς μείζονος καὶ μερικῆς ἀποφατικῆς τῆς ἐλάττονος. μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. τὸ ζῶον κατ᾽ οὐ παντὸς λευκοῦ. καὶ ὁ ἄνθρωπος ἄρα κατ᾽ οὐ παντὸς λευκοῦ. ἐνταῦθα διὰ ἀντιστροφῆς ἀδύνατον δειχθῆναι συμπέρασμα. ἐὰν γὰρ ἀντιστρέψωμεν, τὴν καθόλου καταφατικὴν πρὸς τὴν μερικὴν, ἀντιστρέφει. εἰ γὰρ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου καὶ ὁ ἄνθρωπος κατά τινος ζώου. ἔστι δὲ καὶ ἄλλη μερικὴ ἀπόφασις καὶ εὑρεθήσεται ὡς δύο μερικῶν. ὅπερ οὐδέποτε ποιεῖ συλλογισμόν. τὴν δὲ μερικὴν ἀπόφασιν ἀντιστρέψαι οὐ δυνάμεθα. καὶ γὰρ οὔτε πρὸς ἑαυτὴν ἀντιστρέφει, οὔτε πρὸς ἄλλην τινὰ ὡς ἐδείξαμεν. ὥστε διὰ τῆς ἀντιστροφῆς τὸ συμπέρασμα τῶν προτάσεων τούτων, οὐ δυνάμεθα δεῖξαι. ἡ μία γὰρ ἀντιστρεφομένη, μερικὴ γίνεται. καὶ εὑρίσκεται ἐκ δύο μερικῶν ἡ πλοκή. ἡ δὲ ἄλλη ὅλως οὐκ ἀντιστρέφει. ἕπεται γοῦν τῇ μερικῇ ἀποφατικῇ τὸ συμπέρασμα μερικὸν ἀποφατικὸν ὂν, καὶ αὐτό. Τὸ δὲ γ᾽ σχῆμά ἐστιν, ἐν ᾧ ὁ κοινὸς ὅρος τῶν προτάσεων, ἀμφοτέραις αὐταῖς ὑπόκειται. οἷον τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. τὸ λογικὸν κατὰ παντὸς ἀνθρώπου. τοιοῦτον ἐστὶ τὸ γ᾽ σχῆμα. ὁ γὰρ ἄνθρωπος ἀμφοτέροις ὑπόκειται. καὶ τῷ ζώῳ καὶ τῷ λογικῷ. ἴδιον δὲ τούτου τοῦ σχήματος τὸ τὴν ἐλάττονα πρότασιν καταφατικὴν ἔχειν. καὶ ἀεὶ συνάγειν συμπέρασμα μερικόν. δείκνυται δὲ καὶ ἐν τούτῳ τῷ σχήματι διὰ τῆς ἀντιστροφῆς τὰ συμπεράσματα. γίνονται δὲ συλλογιστικοὶ τρόποι ἐξ ἐνταῦθα. διότι μία ἐστὶ μόνη παραφυλακή. τὸ τὴν ἐλάττονα πρότασιν καταφατικὴν εἶναι. εἰς γὰρ τὰ ἄλλα δύο, τέσσαρες ἦσαν οἱ συλλογιστικοὶ τρόποι. διότι δύο ἦσαν καὶ παραφυλακαὶ ἑκάστου σχήματος. Ἔστιν οὖν ὁ α᾽ τρόπος τοῦ γ᾽ σχήματος, ὁ ἐκ δύο καθόλου καταφατικῶν μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ λογικὸν κατὰ παντὸς ἀνθρώπου. τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. τὸ λογικὸν ἄρα κατά τινος ζώου. τοῦτο γάρ ἐστι τὸ συμπέρασμα. ἀνάγομεν δὲ καὶ τοῦτο διὰ τῆς ἀντιστροφῆς, εἰς τὸ α᾽ σχῆμα. καὶ δεικνύομεν οὕτω τὸ συμπέρασμα. εἰ γὰρ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου, οὐκοῦν καὶ ὁ ἄνθρωπος κατά τινος ζώου. καὶ γὰρ ἡ καθόλου πρὸς τὴν μερικὴν ἀντιστρέφει, ὑπόκειται οὖν τὸ λογικὸν κατὰ παντὸς ἀνθρώπου. ὁ δὲ ἄνθρωπος κατά τινος ζώου. οὕτω γὰρ ἀντιστρέψαμεν, καὶ τὸ λογικὸν ἄρα κατά τινος ζώου. καὶ σκόπει διὰ τῆς ἀντιστροφῆς, πῶς ἀνήξαμεν αὐτὸ εἰς τὸν γ᾽ τρόπον τοῦ α᾽ σχήματος. Δεύτερος τρόπος ἐστὶν, ὁ ἀπὸ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ ζῶον κατ᾽ οὐδενὸς ψιμμυθίου. τὸ λευκὸν κατὰ παντὸς ψιμμυθίου, τὸ ζῶον ἄρα κατ᾽ οὐ παντὸς λευκοῦ. ἀντιστρέφομεν δὲ καὶ τοῦτο οὕτως. εἰ γὰρ τὸ λευκὸν κατὰ παντὸς ψιμμυθίου, καὶ τὸ ψιμμύθιον ἂν κατά τινος λευκοῦ. ἦν δὲ ἐξ ἀρχῆς τὸ ζῶον κατ᾽ οὐδενὸς ψιμμυθίου. τὸ δὲ ψιμμύθιον κατά τινος λευκοῦ, τὸ ζῶον ἄρα κατ᾽ οὐ παντὸς λευκοῦ. καὶ ἀνήξαμεν αὐτὸ εἰς τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος. Τρίτος τρόπος ἐστὶ τοῦ γ᾽ σχήματος, ὁ ἀπὸ καθόλου καταφατικῆς τῆς μείζονος. καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος. μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. τὸ λευκὸν κατά τινος ἀνθρώπου. τὸ ζῶον ἄρα κατά τινος λευκοῦ. ἀντιστρέφομεν δὲ καὶ τοῦτο οὕτως. εἰ γὰρ τὸ λευκὸν κατά τινος ἀνθρώπου, ἀντιστρέφει δὲ ἡ μερικὴ πρὸς ἑαυτὴν, ἔσται καὶ ὁ ἄνθρωπος κατά τινος λευκοῦ. ἦν δὲ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. ὁ ἄνθρωπος κατά τινος λευκοῦ, συνάγεται τὸ ζῶον ἄρα κατά τινος λευκοῦ. Τέταρτος τρόπος ἐστὶν ὁ ἀπὸ τῆς καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος. μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου. τὸ λευκὸν κατά τινος λίθου. τὸ ζῶον ἄρα κατ᾽ οὐ παντὸς λευκοῦ. ἀντιστρέφεται δὲ καὶ τοῦτο. εἰ γὰρ τὸ λευκὸν κατά τινος λίθου, καὶ λίθος κατά τινος λευκοῦ. ἦν δὲ ζῶον κατ᾽ οὐδενὸς λίθου. λίθος κατά τινος λευκοῦ, τὸ ζῶον ἄρα κατ᾽ οὐ παντὸς λευκοῦ. καὶ γέγονεν ὁ δ᾽ τρόπος τοῦ α᾽ σχήματος. Πέμπτος τρόπος ἐστὶν ὁ ἀπὸ μερικῆς καταφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ λευκὸν κατά τινος ἀνθρώπου. τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. καὶ συνάγεται τὸ λευκὸν ἄρα κατά τινος ζώου. ἐνταῦθα οὐ δυνάμεθα τὴν ἐλάττονα πρότασιν ἀντιστρέψαι. τουτέστι τὴν καθόλου κατάφασιν. ἐπεὶ πρὸς τὴν μερικὴν ἀντιστρέφει. καὶ εὑρίσκονται αἱ δύο μερικαὶ, ὅπερ ἀδύνατον. οὐκοῦν τὴν μείζονα ἀντιστρέψωμεν. ἣν δὲ ἡ λέγουσα τὸ λευκὸν κατά τινος ἀνθρώπου. ταύτην οὖν ἀντιστρέφοι τις φαμὲν. ὁ

θον, ὅπερ οὐκ ὤφελε· διὰ τοῦτο δὲ καλοῦνται ταῦται ἀσυλλόγιστα, διότι τῆς αὐτῆς πλοκῆς μενούσης, ἑνὸς δὲ ὅρου ἀμειφθέντος, ποτὲ μὲν, γίνεται ἀληθὲς τὸ συμπέρασμα, ποτὲ δὲ, ψευδὲς, ὅπερ ἐπὶ τῶν συλλογισμῶν οὐδέποτε γίνεται· οἷον εἴπομεν ἀσυλλόγιστον πλοκήν· τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· ὁ ἄνθρωπος κατ᾽ οὐδενὸς ἵππου· καὶ συνάγεται τὸ ζῶον κατ᾽ οὐδενὸς ἵππου· ὅπερ ἀδύνατον· φύλαξον οὖν τὴν πλοκὴν τὴν αὐτήν· μόνον δὲ τὸ ἵππος ἄλλαξον· καὶ θὲς ἄλλον ὃν θέλεις ὅρον· οἷον λίθον καὶ γίνεται ἀληθές· σκόπει οὖν τῆς αὐτῆς πλοκῆς μενούσης, ἑνὸς δὲ ὅρου ἀμειφθέντος, πῶς ποτὲ μὲν ἀληθὲς, ποτὲ δὲ ψευδὲς γίνεται τὸ συμπέρασμα· κἂν γὰρ μυριάκις ἀμείψῃς τὸν ὅρον καὶ φυλάξῃς τὴν αὐτὴν πλοκὴν, ἀεὶ ἀληθὲς γίνεται τὸ συμπέρασμα· οἷον ἡ οὐσία κατὰ παντὸς ζώου· τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· ἡ οὐσία ἄρα κατὰ παντὸς ἀνθρώπου, ὅπερ ἐστὶν ἀληθές· φύλαξον οὖν τὴν αὐτὴν πλοκὴν, καὶ ἄλλαξον τὸν ἄνθρωπον· καὶ ἀντὶ [illegible] θέλεις· οἷον ἵππον, καὶ ἔσται οὕτως· ἡ οὐσία κατὰ παντὸς ζώου· τὸ ζῶον κατὰ παντὸς ἵππου· καὶ ἡ οὐσία ἄρα κατὰ παντὸς ἵππου· ὅπερ ἐστὶν ἀληθές· τοῦτο οὖν μόνον ἐπὶ τῶν συλλογιστικῶν γίνεται· ἐπὶ δὲ τῶν ἀσυλλογίστων οὐδέποτε· καὶ αὕτη ἐστὶν ἡ διαφορὰ τῶν συλλογιστικῶν καὶ τῶν ἀσυλλογίστων· τέσσαρες οὖν εἰσὶ τρόποι τοῦ πρώτου σχήματος· ὁ πρῶτος ὡς ἐρρέθη, ἐκ δύο καθόλου καταφατικῶν προτάσεων, καθόλου καταφατικὸν συνάγων συμπέρασμα.

Δεύτερος τρόπος ἐστὶ τοῦ πρώτου σχήματος, ὁ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς, καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα· οἷον ὁ λίθος κατ᾽ οὐδενὸς ζώου· τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· καὶ τὸ συμπέρασμα, ὁ λίθος ἄρα κατ᾽ οὐδενὸς ἀνθρώπου· ἑφεξῆς καὶ τοῦτο τὸ παράδειγμα. Τρίτος τρόπος ἐστὶν, ὁ ἀπὸ καθόλου καταφατικῆς τῆς μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος, μερικὸν ἀποφατικὸν ἔχων συμπέρασμα· οἷον τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· ὁ ἄνθρωπος κατά τινος λευκοῦ· καὶ τὸ συμπέρασμα, τὸ ζῶον ἄρα κατά τινος λευκοῦ· ἑφεξῆς καὶ τούτου τὸ παράδειγμα. Τέταρτος τρόπος ἐστὶν ὁ ἀπὸ καθόλου ἀποφατικῆς τῆς μείζονος, καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος, μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα· οἷον τὸ ζῶον οὐδενὶ λίθῳ· ὁ λίθος κατά τινος λευκοῦ· τὸ ζῶον ἄρ᾽ οὐ κατὰ παντὸς λευκοῦ· ἔχεις καὶ τοῦτο τὸ παράδειγμα. Ἰστέον δὲ ὅτι, ἀεὶ τῇ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα· εἴπομεν δὲ ποία ἐστὶ χείρων ὅτι ἡ ἀποφατικὴ καὶ ἡ μερική· καὶ εἰ μὲν ἡ μία τῶν προτάσεων ἀποφατική ἐστιν, ἡ δὲ ἑτέρα καταφατικὴ, τὸ συμπέρασμα ἕπεται τῇ χείρονι, τουτέστι τῇ ἀποφατικῇ· καὶ γίνεται ἀποφατικὸν τὸ συμπέρασμα· ὥσπερ ἐν τῷ δευτέρῳ τρόπῳ· εἰ δέ γε μερικὴ εὑρεθῇ ἡ μία καὶ ἡ ἄλλη καθόλου, τῇ μερικῇ ἕπεται τὸ συμπέρασμα ὥσπερ ἐν τῷ τρίτῳ τρόπῳ· εἰ δὲ ἡ μία καθόλου ἀποφατικὴ, ἡ δὲ ἑτέρα μερικὴ καταφατικὴ, μερικὸν ἀποφατικὸν γίνεται τὸ συμπέρασμα· ὥσπερ ἐν τῷ τετάρτῳ τρόπῳ· ἀμφοτέρας δὲ ἀδύνατον εἶναι τὰς προτάσεις ἢ μερικὰς ἢ ἀποφατικάς· ἐπεὶ οὐ γίνεται συλλογισμὸς ὡς εἴπομεν· ἔστιν οὖν ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος· ὁ ἀπὸ καθόλου ἀποφατικῆς τῆς μείζονος, καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα· διότι ταῖς δύο προτάσεσι χείροσιν οὔσαις ἕπεται τὸ συμπέρασμα· διπλοῦν καὶ αὐτὸ χεῖρον γινόμενον· οἷον τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου· ὁ λίθος κατά τινος λευκοῦ· καὶ τὸ ζῶον ἄρα κατ᾽ οὐ παντὸς λευκοῦ· δῆλον οὖν ὅτι ὁ παρὰ τοὺς τέσσαρας τρόπους τούτους γινόμενος συλλογισμὸς ἐν πρώτῳ σχήματι, ἀσυλλόγιστός ἐστιν· εἴπομεν δὲ καὶ τὴν διαφορὰν τῶν συλλογιστικῶν καὶ τῶν ἀσυλλογίστων. Τὸ δὲ δεύτερον σχῆμά ἐστιν ἐν ᾧ ὁ κοινὸς ὅρος τῶν δύο προτάσεων κατηγορεῖται· καὶ ἐκ τούτου τοῦ κοινοῦ ἀρχόμεθα τῶν δύο προτάσεων· οἷον τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου· ὁ ἄνθρωπος ἄρα οὐδενὶ λίθῳ· ἰδοὺ ἐκ τοῦ αὐτοῦ ὅρου ἠρξάμην τῶν δύο προτάσεων· πολλάκις δὲ καὶ εἰς αὐτὸν καταντῶμεν· οἷον ὁ ἄνθρωπος ζῶον· ὁ λίθος οὐ ζῶον· ὁ ἄνθρωπος ἄρα οὐ λίθος· ἰδοὺ εἰς τὸν αὐτὸν κατέληξαν αἱ δύο προτάσεις· ἴδιον δὲ τούτου τοῦ σχήματος, τὸ ἔχειν τὴν μείζονα πρότασιν πάντως καθόλου· τὴν δὲ ἐλάττονα πάντως ἀνομοιοσχήμονα κατὰ τὸ ποιόν· εἰ δὲ καὶ ἀντιστρέφει ἐπὶ τῆς ἐνδεχομένης ὕλης ἢ οὐ πᾶς, ἀλλ᾽ ἐνταῦθα διὰ τὸ συμβαίνειν γίνεσθαι τὴν μείζονα πρότασιν μερικὴν ἀποφατικήν· διὰ τοῦτον τὸν τέταρτον τόπον οὐ δεικνύομεν διὰ τῆς ἀντιστροφῆς· γίνονται δὲ καὶ ἐν τούτῳ τῷ σχήματι συλλογιστικοὶ τρόποι τέσσαρες· καὶ πρῶτος μέν ἐστιν, ὁ ἀπὸ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα· οἷον τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου· τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· καὶ συνάγεται ὁ ἄνθρωπος ἄρα κατ᾽ οὐδενὸς λίθου· διότι τῇ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα· ἐνταῦθα οὖν καὶ ἐν τῷ γ᾽ σχήματι, συμβάλλονται ἡμῖν αἱ ἀντιστροφαί· δι᾽ αὐτῶν γὰρ ἀποδείκνυνται τὰ συμπεράσματα· καὶ διὰ τῆς ἀντιστροφῆς τὸ δεύτερον σχῆμα ἀνάγομεν εἰς τὸ πρῶτον· καὶ οὕτω φανερὸν γίνεται τὸ συμπέρασμα· οἷον ὁ πρῶτος τρόπος ἐστὶ τοῦ β᾽ σχήματος· τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου· τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· καὶ ὁ ἄνθρωπος κατ᾽ οὐδενὸς λίθου· γίνεται δὲ διὰ τῆς ἀντιστροφῆς οὕτως· ἐπειδὴ ἡ καθόλου ἀπόφασις πρὸς ἑαυτὴν ἀντιστρέφει· ἔστι δὲ τὸ ζῶον κατ᾽ οὐδενὸς λίθου, ἀκολουθεῖ καὶ ὁ λίθος κατ᾽ οὐδενὸς ζώου· ζῶον δὲ κατὰ παντὸς ἀνθρώπου, ὁ λίθος ἄρα κατ᾽ οὐδενὸς ἀνθρώπου· καὶ γέγονεν ὁ δεύτερος τρόπος τοῦ α᾽ σχήματος· καὶ σκόπει πῶς διὰ τῆς ἀντιστροφῆς, τὸ β᾽ σχῆ-

ἤγουν τὴν τίς. τὸ γὰρ ποιὸν μόνον θέλομεν ἐκεῖ φυλάξαι. οὐκέτι δὲ καὶ τὸ ποσόν. ἐπεὶ ἐὰν πρὸς ἑαυτὴν
ἀντιστρέψωμεν, οὐκέτι συναληθεύσει. οἷον ἐὰν εἴπωμεν πᾶς ἄνθρωπος ζῷον, ἀληθεύει. εἰ δὲ πρὸς ἑαυτὴν ἀντι-
στρέψω καὶ εἴπω καὶ πᾶν ζῷον ἄνθρωπος ἐστὶν, οὐκ ἀληθεύει. ὁ γὰρ ἵππος καὶ ὁ βοῦς ζῷα ὄντα, ἄνθρωπος οὐκ εἰσίν.
ὥστε ἐὰν θέλωμεν φυλάξαι τὰ ἰδιώματα τῆς ἀντιστροφῆς, ἀλλὰ τὴν μερικὴν ἀντιστρέφωμεν τὴν καθό-
λου κατάφασιν. οἷον πᾶς ἄνθρωπος ζῷον. καὶ τὶ ζῷον ἄνθρωπος ἐστίν. ἡ δὲ μερικὴ κατάφασις, πρὸς ἑαυτὴν ἀντι-
στρέφει. τουτέστι πρὸς μερικὴν κατάφασιν. οἷον τὶς μαθητὴς πρεσβύτης. καὶ τὶς πρεσβύτης μαθητής. καὶ
συναληθεύει, μετὰ τῶν ἄλλων ἰδιωμάτων τῆς ἀντιστροφῆς. ἡ δὲ μερικὴ ἀπόφασις, οὔτε πρὸς ἑαυτὴν, οὔτε
πρὸς ἄλλην ἀντιστρέφει. ἐὰν γὰρ εἴπω οὐ πᾶν ζῷον ἄνθρωπος, ἀληθεύει. ἐὰν δὲ εἴπω καὶ οὐ πᾶς ἄνθρωπος ζῷον, ψεύ-
δεται. καὶ ταῦτα ἐπὶ τῶν ἀναγκαίων πραγμάτων, οὐκ ἀντιστρέφει ἡ μερικὴ ἀπόφασις. ἐπὶ δὲ τῶν ἐνδε-
χομένων ἀντιστρέφει. οἷον ἐὰν εἴπω οὐ πᾶς ἄνθρωπος λευκὸς ἀληθεύει. καὶ πάλιν οὐ πᾶς λευκὸς ἄνθρωπος ἐστὶν, ἀληθ-
εύει. ὥστε ἐπὶ τοῦ ἐνδεχομένου, ἀληθεύει ἀντιστρέφουσα. ἐνδεχόμενον δὲ λέγομεν, ὅπερ δυνατὸν εἶναι
καὶ μὴ εἶναι. ἐνδέχεται γὰρ ἄνθρωπον λευκὸν εἶναι καὶ μὴ εἶναι. ἐπὶ δὲ τῆς ἀναγκαίας ὡς ἐρρήθη, οὐκ ἀντι-
στρέφει ἡ μερικὴ ἀπόφασις. ἀναγκαῖον δὲ ἐκεῖνό ἐστιν ὅπερ πάντως ὑπάρχει. ὥσπερ ὁ ἄνθρωπος ζῷον. ἀναγ-
καίως γὰρ ὁ ἄνθρωπος ζῷόν ἐστι. ταῦτα περὶ τῶν ἀντιστροφῶν, καὶ ἅπερ εἰώθαμεν ζητεῖν πρὸ τῶν συλλογισμῶν. ἡ
δὲ ἀντιστροφὴ αὕτη τῶν προτάσεων, συμβάλλεται ἡμῖν εἰς τὸ δεύτερον καὶ τρίτον σχῆμα τῶν συλλογισμῶν.

Νῦν οὖν εἴπωμεν περὶ αὐτῶν τῶν συλλογισμῶν. καὶ πῶς τί ἐστι σχῆμα συλλογισμῶν, ὅπερ καλεῖται συζυγία,
καὶ πόσα σχήματα. τὸ σχῆμα τοίνυν ἐστὶ, κοινωνία δύο προτάσεων κοινωνουσῶν καθ᾽ ἕνα. διὰ τοῦτο γὰρ κα-
λεῖται καὶ συζυγία τὸ σχῆμα. τοῦτον οὖν τὸν κοινὸν ὅρον ὅνπερ καὶ λέγομεν μέσον, ἀνάγκη ἢ ἐν μὲν τῇ προτέ-
ρᾳ τῶν προτάσεων ὑποκεῖσθαι, ἐν δὲ τῇ ἑτέρᾳ κατηγορεῖσθαι. ἢ ἐν ἀμφοτέραις κατηγορεῖσθαι, ἢ ἐν ἀμφοτέ-
ραις ὑποκεῖσθαι. κἀντεῦθεν ἡμῖν ἡ διαφορὰ ἀναφαίνεται τῶν τριῶν σχημάτων. τρία γάρ εἰσι τὰ σχήματα
τῶν συλλογισμῶν. ὅταν οὖν ὁ μέσος ὅρος, τῇ μὲν, ὑπόκειται. ταῖς δὲ, κατηγορεῖται, γίνεται τὸ α σχῆμα. ὅταν
δὲ ἀμφοτέραις κατηγορῆται, ποιεῖ τὸ β. ὅταν δὲ ἀμφοτέραις ταῖς προτάσεσιν ὑπόκειται, ποιεῖ τὸ γ.
διὰ ταύτην οὖν τὴν αἰτίαν τρία εἰσὶ σχήματα τῶν συλλογισμῶν, ὡς εἴπωμεν οὖν ὁ συλλογισμὸς δύο θέλει ἔ-
χειν προτάσεις, δηλονότι ἄνευ τοῦ συμπεράσματος. καθ᾽ ἕνα κοινωνούσας. ἐκ τούτων δύο προτάσεων, ἡ μὲν
καλεῖται μείζων, ἡ δὲ ἐλάττων. καὶ μείζων ἐκείνη πρότασίς ἐστιν ἡ τὸν ὅρον ἐκεῖνον κατηγορούμενον ἔ-
χουσα. ὃν καὶ τὸ συμπέρασμα ἔχει κατηγορούμενον, ἤτοι τὸ πρόβλημα. ἡ δὲ ἄλλη δηλονότι ἐλάττων.
οἷον ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον οὐσία. τὸ συμπέρασμά ἐστιν, ὁ ἄνθρωπος ἄρα οὐσία. ἐν τῷ συμπεράσματι οὖν ἡ οὐσία
κατηγορεῖται. ὁ δὲ ἄνθρωπος ὑπόκειται. ἐκ τῶν δύο οὖν προτάσεων τῶν πρὸ τοῦ συμπεράσματος, ἡ ἔχουσα τὴν
οὐσίαν κατηγορουμένην, καλεῖται μείζων. ὥσπερ νῦν ἡ δευτέρα ἡ λέγουσα τὸ ζῷον οὐσία. ἡ γὰρ οὐσία πά-
λιν τοῦ ζώου κατηγορεῖται. ἡ δὲ ἄλλη ἡ λέγουσα ὁ ἄνθρωπος ζῷον, ἐλάττων, καὶ αὕτη ἐστὶν ἡ μείζων πρότασις
καὶ ἡ ἐλάττων. τὸ δὲ συμπέρασμα ὃ καλοῦμεν, δηλονότι τοῦτό ἐστιν, ὅπερ συνάγεται ἐκ τῶν δύο προτάσεων
οἱονεὶ συμπερατούμενον. τοῦ γὰρ κοινοῦ ὅρου ἀφαιρουμένου τῶν δύο προτάσεων, ἐκ τῶν ὑπολιμπανομένων ἄλλων
δύο ὅρων ἐστὶ τὸ συμπέρασμα. οἷον ὁ ἄνθρωπος ζῷον. τὸ ζῷον οὐσία. ἀφαιροῦμεν τὸν κοινὸν ὅρον τουτέστι τὸ ζῷ-
ον. καὶ ποιοῦμεν τὸ συμπέρασμα ἐκ τῶν ἀπομεινάντων δύο ὅρων ὁ ἄνθρωπος ἄρα οὐσία. ταῦτα εἰπόντες, μετέλ-
θωμεν καὶ ἐπὶ τὰ ἴδια λοιπὸν τῶν σχημάτων τῶν συλλογισμῶν. καὶ πῶς κοινόν ἐστι τοῦτο ἴδιον τῶν τριῶν σχη-
μάτων κατὰ τοὺς συλλογιστικοὺς τρόπους, τὸ μηδέποτε ἐκ δύο προτάσεων ἀποφατικῶν, γίνεσθαι συλλογι-
σμόν. μήτε ἐκ μερικῶν. ἀρξώμεθα οὖν τὰ ἴδια τοῦ α σχήματός εἰσι δύο. ἓν μὲν τὸ ἔχειν τὸν κοινὸν ὅρον τῆς
μιᾶς προτάσεως ὑποκείμενον. τῆς δὲ ἑτέρας κατηγορούμενον. δεύτερον δὲ τὸ πάντως τὴν μείζονα ἔχειν
καθόλου. τὴν δὲ ἐλάττονα πάντως καταφατικήν. ἐὰν γὰρ παραβῇς ἓν ἐκ τούτων ἐν τῷ α σχήματι, συλ-
λογιστικοὶ τρόποι τέσσαρες. καὶ πρῶτος μέν ἐστιν ὁ ἐκ δύο καθόλου καταφατικῶν προτάσεων, καθόλου
καταφατικὸν συνάγων συμπέρασμα. οἷον τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου. ὁ ἄνθρωπος κατὰ παντὸς αἰθίοπος,
καὶ λοιπὸν τὸ συμπέρασμα, τὸ ζῷον ἄρα κατὰ παντὸς αἰθίοπος. καὶ αὐτὸ καθόλου καταφατικόν. καὶ σκό-
πει πῶς ἐφύλαξα τὸ ἴδιον τοῦ πρώτου σχήματος. καὶ γὰρ τὴν μείζονα καθόλου ἐποίησα τὴν λέγουσαν τὸ
ζῷον κατὰ παντὸς ἀνθρώπου. αὕτη γάρ ἐστιν ἡ μείζων. διότι τὸ ζῷον ἔχει κατηγορούμενον, ὅνπερ ἔχει καὶ
τὸ συμπέρασμα κατηγορούμενον. ταύτην γὰρ ἐλέγομεν μείζονα εἶναι. ἀλλὰ μὴν καὶ τὴν ἄλλην ἐποιήσατο
καταφατικὴν, τουτέστι τὴν ἐλάττονα τὴν λέγουσαν ὁ ἄνθρωπος κατὰ παντὸς αἰθίοπος. καὶ οὕτως ὑγιῶς συνή-
γαγον τὸ συμπέρασμα. εἰ δέ γε μὴ φυλάξω τοῦτο τὸ ἰδίωμα, ἀλλὰ παραβῶ ἓν ἐξ αὐτῶν, οὐ γίνεται συλ-
λογισμὸς, ἀλλὰ παραλογισμός. ὥσπερ ὁ παρὰ τῷ ἁγίῳ Γρηγορίῳ κείμενος κατὰ ἀρειανῶν. φησὶ γὰρ ὁ
θεὸς οὐσία. ἡ οὐσία δὲ οὐ πάντως θεός. καὶ δῆλον ὅτι συνάγεται ὁ θεὸς ἄρα οὐ πάντως θεὸς, ὅπερ ἄτο-
πόν ἐστιν. τὸ δὲ αἴτιόν ἐστι τῆς ἀτοπίας, διότι παρέβη τὸ ἴδιον τοῦ πρώτου σχήματος, καὶ ἐποίησε τὴν μεί-
ζονα μερικὴν ὀφείλουσαν εἶναι καθόλου. αὕτη δέ ἐστιν ἡ λέγουσα, ἡ οὐσία δὲ οὐ πάντως θεός. αὕτη γάρ ἐστι
μείζων. τὸ δὲ οὐ πάντως εἴπωμεν, ὅτι μερικόν ἐστι. καὶ ταῦτα μὲν ὅτι ἡ μείζων μερικὴ γίνεται. εἰ δέ γε
πάλιν ἡ ἐλάττων μὴ γίνηται καταφατικὴ, ἀλλὰ ἀποφατικὴ, οὐδ᾽ οὕτως γίνεται συλλογισμός. ἀλλ᾽
ἀσυλλόγιστον. οἷον ἡ οὐσία κατὰ παντὸς ζώου. τὸ ζῷον κατ᾽ οὐδενὸς λίθου. καὶ ἡ οὐσία κατ᾽ οὐδενὸς λίθ-

τὸ δὲ ἕτερον πρόσκειται τῷ ὅρῳ, διὰ τοὺς διφόρους καλουμένους συλλογισμούς. οἵ τινες τὸ αὐτὸ ταῖς προτάσεσιν ἔχουσι συμπέρασμα. οἷον εἰ ἡμέρα ἐστὶν, ἡμέρα ἐστίν. ἀλλὰ μὴν ἡμέρα ἐστὶν, ἡμέρα ἄρα ἐστίν. ἐνταῦθα γὰρ οὐδὲν ἕτερον τῶν κειμένων προτάσεων, συνέβη τὸ συμπέρασμα. δεῖ οὖν ἐπὶ τοῦ συλλογισμοῦ, ἕτερον εἶναι τὸ συμπέρασμα παρὰ τὰς προτάσεις, θέλει πάλιν ὁ συλλογισμὸς, ἐξ ἀνάγκης συνάγειν τὸ συμπέρασμα. διὰ τοὺς παραδειγματικοὺς καλουμένους συλλογισμούς. ἐκεῖνοι γὰρ οὐκ ἐξ ἀνάγκης ἔχουσι συναγόμενον τὸ συμπέρασμα. οἷον μὴ ποιήσωμεν τόνδε μαθητήν. μαθητὴς γὰρ ὢν ἰούδας, προδέδωκε. τὸ συμπέρασμα τοῦτο, οὐκ ἔστιν ἐξ ἀνάγκης. οὐκ ἐπειδὴ γὰρ ἰούδας μαθητὴς ὢν προδέδωκεν, ἤδη καὶ ἄλλος ἐὰν γένηται προδώσει. τὸ δὲ τῷ ταῦτα εἶναι ἔχει πάλιν ὁ ὅρος, ἀντὶ τοῦ διὰ τὸ ταῦτα εἶναι. ἵνα διὰ τὰς προτάσεις συμβῇ τὸ συμπέρασμα. καὶ μὴ διὰ τὴν φύσιν τοῦ πράγματος, ὡς ἂν εἴ τις εἴποι. ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον ἀκίνητον, ἡ ψυχὴ ἄρα ἀθάνατος. οὐ γὰρ διὰ τὰς εἰρημένας προτάσεις τοῦτο ἕπεται τὸ συμπέρασμα. ἀλλ᾽ ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι τῇ φύσει. τὸ γὰρ συμπέρασμα τῶν προτάσεων τούτων ἐστὶν, ἡ ψυχὴ ἄρα ἀκίνητον. οὕτως οὖν ἐστιν ὁ ὅρος τοῦ συλλογισμοῦ. οὕτινος θέλομεν φυλάξαι πάντα τὰ εἰρημένα. λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερον ἐξ ἀνάγκης συμβαίνει τὸ συμπέρασμα. τῷ ταῦτα εἶναι. τουτέστι διὰ τὸ ταῦτα εἶναι. Ἔνατόν ἐστι κεφάλαιον, τὸ ζητῆσαι τί ἐστιν ὃ λέγομεν εἶναι κατὰ παντὸς καὶ κατὰ μηδενός. καὶ ἐν ὅλῳ καὶ οὐκ ἐν ὅλῳ. ἰστέον γοῦν ὅτι κατὰ παντὸς ἐκεῖνό ἐστιν ὅτε οὐκ ἔστι λαβεῖν τί μέρος ἐν τῷ ὑποκειμένῳ καθ᾽ οὗ οὐ κατηγορεῖται ὁ κατηγορούμενος. οἷον ἡ ἁμαρτία κατὰ παντὸς ἀνθρώπου. ἐνταῦθα οὖν ὁ ἄνθρωπος δηλονότι ὑπόκειται. εἴπομεν γὰρ ὅπου προσδιορισμὸς, ἐκεῖνός ἐστιν ὁ ὑποκείμενος, ὥσπερ νῦν ἐπὶ τοῦ ἀνθρώπου ὁ πᾶς προσδιορισμὸς πρόσκειται. οὐκ ἔστιν οὖν λαβεῖν τί μέρος τοῦ ἀνθρώπου, οἷον αἰθίοπα ἢ σκύθην, καθ᾽ οὗ οὐ κατηγορεῖται ὁ κατηγορούμενος τουτέστιν ἡ ἁμαρτία. αὕτη γὰρ κατηγορεῖται τοῦ ἀνθρώπου. τὸ δὲ κατὰ μηδενός ἐστι τὸ ἐναντίον. ὅταν οὐκ ἔστι λαβεῖν τί μέρος ἐν τῷ ὑποκειμένῳ, καθ᾽ οὗ κατηγορεῖται ὁ κατηγορούμενος. οἷον τὸ ἀναμάρτητον, κατ᾽ οὐδενὸς ἀνθρώπου. οὐκ ἔστιν οὖν λαβεῖν τί μέρος τοῦ ἀνθρώπου. αὐτὸς γάρ ἐστιν ὁ ὑποκείμενος, καθ᾽ οὗ κατηγορεῖται τὸ ἀναμάρτητον, ὅπερ ἐστὶ κατηγορούμενον. καὶ τοῦτό ἐστι κατὰ παντὸς καὶ τὸ κατὰ μηδενός. τὸ δὲ ἐν ὅλῳ καὶ οὐκ ἐν ὅλῳ, οὐδὲν διαφέρει τούτων, εἰ μὴ κατὰ τὴν σχέσιν. τὸ γὰρ κατὰ παντὸς καὶ ἐν ὅλῳ ταυτόν ἐστιν. ἀλλ᾽ ἐὰν μὲν ἀπὸ τοῦ κατηγορουμένου ἄρξῃ ἐρχόμενος ἐπὶ τὸ ὑποκείμενον, καλεῖται κατὰ παντός. ὥσπερ νῦν ἡ ἁμαρτία κατὰ παντὸς ἀνθρώπου. ἡ γὰρ ἁμαρτία ἐστὶ κατηγορούμενος καὶ ἐξ αὐτῆς ἠρξάμην. εἰ δὲ ἀπὸ τοῦ ὑποκειμένου ἄρξῃ ἔρχεσθαι ἐπὶ τὸν κατηγορούμενον, καλεῖται ἐν ὅλῳ. ὥσπερ λέγομεν ὁ ἄνθρωπος ἐν ὅλῃ τῇ ἁμαρτίᾳ. ὡσαύτως καὶ τὸ κατὰ μηδενὸς καὶ οὐκ ἐν ὅλῳ τὸ αὐτό ἐστι. Δέκατόν ἐστι κεφάλαιον, ἐν ᾧ ζητοῦμεν περὶ τῶν ἀντιστροφῶν τῶν προτάσεων. ἀντιστροφὴ δέ ἐστιν, ἐπιστροφή τις. ὥσπερ λέγομεν ἀντίθεον τὸν ἰσόθεον. καὶ ἀντίχειρα τὸν ἴσα δυνάμενον τῇ ὅλῃ χειρὶ δάκτυλον. νῦν οὖν περὶ τῆς ἁπλῆς ἀντιστροφῆς ἡμῖν ὁ λόγος. εἰσὶ γὰρ καὶ ἄλλαι ἀντιστροφαὶ, ἥ τε ἐνδεχομένη καὶ ἡ συναντιθεῖσα. ἐφεξῆς δὲ περὶ ταύτης διαληψόμεθα εἰ δέοι. ταύτην οὖν τὴν ἁπλῆν ἀντιστροφὴν ὁριζόμενοι λέγομεν ὅτι ἁπλῆ ἀντιστροφή ἐστι, κοινωνία δύο προτάσεων, κοινωνουσῶν κατὰ ἀμφοτέρους ὅρους. τῆς μὲν τάξεως τῶν ὅρων ἀμειβομένης. τοῦ δὲ ποιοῦ φυλαττομένου τοῦ αὐτοῦ μετὰ τοῦ συναληθεύειν. οἷον λέγομεν ὅτι οὐδεὶς ἄνθρωπος ἀγαθός. καὶ ἀντιστρέφομεν ὅτι καὶ οὐδεὶς ἀγαθὸς ἄνθρωπός ἐστιν. ἰδοὺ αἱ δύο προτάσεις κοινωνοῦσι κατ᾽ ἀμφοτέρους τοὺς ὅρους. καὶ εἰς τὴν πρώτην γὰρ καὶ ἀγαθός ἐστι καὶ ἄνθρωπος, καὶ εἰς τὴν δευτέραν πάλιν τὰ αὐτά. ἡ δὲ τάξις τῶν ὅρων τούτων, ἤμειπται. ἐκεῖ γὰρ ὁ ἄνθρωπος πρῶτός ἐστιν. εἶθ᾽ οὕτως ἀγαθός. ἐνταῦθα δὲ τὸ ἀνάπαλιν τὸ ἀγαθὸς ὑπόκειται ἤγουν πρῶτόν ἐστι. καὶ εἶθ᾽ οὕτως ὁ ἄνθρωπος κατηγορεῖται. τουτέστι δεύτερος ἐστί. καὶ τὸ ποιὸν δὲ τῶν προτάσεων ἐφυλάχθη τὸ αὐτό. καὶ ἡ πρώτη γὰρ πρότασις ἀπόφασίς ἐστι καὶ ἡ δευτέρα. τοῦτο γὰρ καλοῦμεν ποιόν. ἀλλὰ μὴν καὶ συναληθεύουσιν αἱ δύο προτάσεις. ὅπερ θέλει ἔχειν ἡ ἁπλῆ ἀντιστροφή. οὐδεὶς γὰρ ἄνθρωπος ἀγαθὸς, ἀληθές. καὶ πάλιν οὐδεὶς ἀγαθὸς ἄνθρωπός ἐστιν, ἀληθές. ἀκριβῶς δὲ πρόσκειται τὸ μετὰ τοῦ συναληθεύειν, διὰ τὴν ἑτέραν ἀντιστροφὴν ἥτις ἡ αὐτὴ μέν ἐστι τῇ ἁπλῇ ἀντιστροφῇ. οὐ μὴν δὲ συναληθεύει. οἷον πᾶς ἄνθρωπος ζῶόν ἐστι. καὶ πᾶν ζῶον ἄνθρωπός ἐστιν. οὗτος οὖν ὅρος ἐστὶ τῆς ἀντιστροφῆς. Ἰστέον δὲ ὅτι ποιὸν καλοῦμεν ἐπὶ τῶν προτάσεων τὸ καταφατικόν τε ἀποφατικόν. ποσὸν δὲ τὸ καθόλου καὶ μερικόν. αὕτη οὖν ἐστιν ἡ ἁπλῆ ἀντιστροφή. ὅταν οὖν θέλῃ τις ἀντιστρέψαι κατὰ ταύτην τὴν ἁπλῆν ἀντιστροφὴν, θέλει τοὺς αὐτοὺς ὅρους φυλάξαι καὶ τὸ ποιὸν τὸ αὐτό. τὴν δὲ τάξιν μόνον τῶν ὅρων μετὰ τοῦ συναληθεύειν ἀμείβειν. ἐπειδὴ οὖν εἰσιν αἱ προτάσεις τέσσαρες κατ᾽ εἶδος. καθόλου καταφατική. καθόλου ἀποφατική. μερικὴ καταφατική. μερικὴ ἀποφατική. ἡ μὲν καθόλου ἀπόφασις πρὸς ἑαυτὴν ἀντιστρέφει. οἷον οὐδεὶς ἄνθρωπος ἀγαθός. ἀντιστρέφω καὶ οὐδεὶς ἀγαθὸς ἄνθρωπός ἐστι. πάντα γὰρ τὰ ἰδιώματα ἐφύλαξα τῆς ἀντιστροφῆς, καὶ τοὺς αὐτοὺς ὅρους. καὶ τὸ ποιόν. αἱ δύο γὰρ ἀποφάσεις εἰσίν. ὁμοίως δὲ καὶ συναληθεύουσι. μόνον δὲ τὴν τάξιν τῶν ὅρων ἤμειψα. ἐκεῖ γὰρ ὁ ἄνθρωπος ὑπόκειται. ἐνταῦθα δὲ κατηγορεῖται. τὸ δὲ ἀγαθὸς τὸ ἀνάπαλιν. ἡ δὲ καθόλου κατάφασις, οὐκέτι πρὸς ἑαυτὴν ἀντιστρέφει. ἀλλὰ πρὸς τὴν μερικὴν κατάφασιν,

ΑΝΩΝΥΜΟΥ ΣΥΝΟΨΙΣ ΠΕΡΙ ΣΥΛΛΟΓΙΣΜΩΝ.

ΤΗΣ συνόψεως τῶν συλλογισμῶν στοχαζόμενοι καὶ τῆς σαφοῦς αὐτῶν παραδόσεως, συμφέρον ἡγούμεθα τῶν ἐν τῷ περὶ ἑρμηνείας εἰρημένων καὶ πρὸς τὸν παρόντα σκοπὸν συμβαλλομένων, ἡμᾶς αὐτοὺς ἀναμνῆσαι. εἰσὶ δὲ ταῦτα. τί ἐστι πρότασις. καὶ τί κατάφασις καὶ ἀπόφασις. πόσοι προσδιορισμοί. ποῖαι καθόλου προτάσεις καὶ ποῖαι μερικαί. τί ἐστιν ὅρος. ποῖος ὑποκείμενος καὶ ποῖος κατηγορούμενος. ποία ἐστὶ χείρων πρότασις, καὶ ποία κρείττων. τί ἐστι συλλογισμός. τί τὸ κατὰ παντός. καὶ τί τὸ κατὰ μηδενός. τί ἐν ὅλῳ καὶ τί οὐκ ἐν ὅλῳ. καὶ περὶ τῆς ἀντιστροφῆς τῶν προτάσεων. καὶ τί ἐστι σχῆμα. καὶ πόσα σχήματα τῶν συλλογισμῶν. τί ἐστι μείζων πρότασις, καὶ τί ἐστιν ἐλάττων. ἀρκτέον τοίνυν τοῦ πρώτου. πρότασίς ἐστι, λόγος σημαίνων κατάφασιν, ἢ ἀπόφασιν. κατάφασις δέ ἐστι, ἢ τινὶ ὑπάρχει. οἷον γρηγόριος θεολογεῖ. ὑπάρχει γὰρ τὸ θεολογεῖν τῷ γρηγορίῳ. ἀπόφασις δέ ἐστι, τί τινὶ οὐχ ὑπάρχει. οἷον σίμων οὐ πιστεύει. τὸ γὰρ πιστεύειν οὐχ ὑπάρχει τῷ σίμωνι. ὅρος δέ ἐστιν εἰς ὃν διαλύεται ἡ πρότασις. τὸ γὰρ γρηγόριος θεολογεῖ πρότασις οὖσα, διαλύεται εἰς τὸ γρηγόριος. καὶ εἰς τὸ θεολογεῖ ὅρους ὄντας. ὡσαύτως καὶ ἡ ἀπόφασις. τὸ γὰρ σίμων ὅρος ἐστί. καὶ τὸ οὐ πιστεύει ὅρος. ἐξ ὧν σύγκειται τὸ σίμων οὐ πιστεύει. προσδιορισμοὶ δέ εἰσι τέτταρες. πᾶς. οὐ πᾶς. τίς. οὐδείς. τούτων δὲ οἱ μὲν δύο εἰσὶ καταφατικοί. ὁ πᾶς, καὶ ὁ τίς. οἱ δὲ δύο, ἀποφατικοί. ὁ οὐ πᾶς, καὶ ὁ οὐδείς. πάλιν οἱ μὲν δύο καθόλου, ὁ πᾶς καὶ ὁ οὐδείς. οἱ δὲ δύο μερικοί. ὁ τίς καὶ ὁ πᾶς. καθόλου δὲ προτάσεις εἰσίν, αἱ ἔχουσαι τοὺς καθόλου προσδιορισμούς. οἷον πᾶς ἄνθρωπος ψεύστης. οὐδεὶς ἄνθρωπος ἀγαθός. μερικαὶ δὲ ἔχουσαι τοὺς μερικοὺς προσδιορισμούς. οἷον τὶς μαθητὴς προδότης ἐστίν. οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστι. καὶ αὗται μὲν εἰσὶν αἱ καθόλου προτάσεις καὶ μερικαὶ αἱ μετὰ προσδιορισμῶν. εἰ δὲ συμβῇ ἀπροσδιορίστους εἶναι τὰς προτάσεις, τουτέστι μὴ ἔχειν πᾶς ἢ τὶς ἢ οὐδεὶς ἢ οὐ πᾶς. εἰ μὲν ἄρθρον ἔχει, ἰσοδυναμεῖ τῇ καθόλου προτάσει. οἷον ὁ πιστεύων ζήσεται. ἰσοδυναμεῖ γὰρ τῇ λεγούσῃ πᾶς πιστεύων ζήσεται. εἰ δὲ ἄρθρον οὐκ ἔχει, ἰσοδυναμεῖ τῇ μερικῇ. οἷον ἀπόστολος εἰμὶ ἐθνῶν. οὐκ ἔχουσα γὰρ τὸ ἄρθρον, ἰσοδυναμεῖ τῇ λεγούσῃ τὶς ἀπόστολος εἰμὶ ἐθνῶν. ἐπειδὴ δὲ ἡ πρότασις σύγκειται ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, ὁ γὰρ εἷς ὅρος τῆς προτάσεως λέγεται ὑποκείμενος. ὁ δὲ ἕτερος κατηγορούμενος, δυσδιάκριτος δέ ἐστιν ἑκάτερος αὐτῶν, εἴπωμεν ἡμεῖς τὴν διαφορὰν αὐτῶν. ὁ ὅρος ὁ ἔχων τὸν προσδιορισμόν, ἐκεῖνος καλεῖται ὑποκείμενος. ὁ δὲ ἄλλος δηλονότι κατηγορούμενος. οἷον πᾶς ἄνθρωπος ψεύστης. ἰδοὺ ἐνταῦθα ὁ ἄνθρωπος ὑποκείμενος λέγεται. ἐπειδὴ ἔχει τὸν πᾶς προσδιορισμόν. τὸ δὲ ψεύστης κατηγορούμενος. καὶ πάλιν ἡ ἁμαρτία κατὰ παντὸς ἀνθρώπου, πάλιν ἐνταῦθα ὁ ἄνθρωπος ὑπόκειται, ἐπειδὴ ἔχει τὸ παντός. ἡ δὲ ἁμαρτία κατηγορεῖται. εἰ δὲ ἀπροσδιόριστος εἴη ἡ πρότασις, ἐκεῖνος λέγεται ὑποκείμενος, ὁ ἔχων τὸ ἄρθρον. οἷον τὸ ὁ παῦλος κλητός ἐστιν. ὁ γὰρ παῦλος ὁ ἔχων τὸ ἄρθρον, ὑποκείμενος λέγεται. τὸ δὲ κλητὸς κατηγορούμενος. εἰ δὲ, οὔτε ἄρθρον ἔχει, οὔτε προσδιορισμὸν, καθ' ὅπου τὸ ἔστιν ἐκφωνεῖται εἴτε δυνάμει εἴτε ἐνεργείᾳ, ἐκεῖνος κατηγορούμενός ἐστιν. οἷον ἰωάννης θεολόγος. σημαίνεται γὰρ ἔξωθεν τὸ ἐστί. τὸ γοῦν θεολόγος, κατηγορούμενος ὀνομάζεται. αὐτῷ γὰρ πρόσκειται τὸ ἐστί. τὸ δὲ ἰωάννης ὑποκείμενος. εἰ δὲ καὶ ἐνεργείᾳ εὑρεθείη τὸ ἐστίν, ἐκεῖνος πάλιν κατηγορούμενός ἐστιν. οἷον πέτρος πιστός ἐστι. τὸ γὰρ πιστὸς κατηγορεῖται. τὸ δὲ πέτρος ὑπόκειται. ἔστι δὲ καὶ ἄλλως διακρῖναι τὸν ὑποκείμενον ἐκ τοῦ κατηγορουμένου. ὁ γὰρ κατηγορούμενος ἀεὶ, ἢ καθολικώτερός ἐστι τοῦ ὑποκειμένου. ἢ ἐξισάζων. οὐδέποτε δὲ μερικώτερος. ἀλλὰ ταῦτα μὲν περὶ τοῦ ὑποκειμένου καὶ κατηγορουμένου. ἕβδομον δέ ἐστι κεφάλαιον, τὸ λέγον ποία πρότασις καλεῖται χείρων καὶ ποία κρείττων. χείρων μὲν οὖν πρότασίς ἐστιν ἡ μερικὴ καὶ ἀπόφασις. κρείττων δὲ δηλονότι ἥτε κατάφασις καὶ ἡ καθόλου. ταῦτα τὰ ἑπτὰ κεφάλαια περὶ προτάσεων ζητήσαντες, μετέλθωμεν καὶ ἐπὶ τὸν συλλογισμόν. συλλογισμὸς δέ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι ἐξ ἀνάγκης τῶν κειμένων συμβαίνει, τῷ ταῦτα εἶναι, σαφηνίσωμεν δὲ τὸν ὅρον. φησὶν ὅτι συλλογισμός ἐστι, λόγος ἐν ᾧ τεθέντων ἀντὶ τοῦ ὁμολογηθέντων, θέλει γὰρ ὁμολογουμένας λαβεῖν τὰς προτάσεις καὶ οὕτως ἀπαγαγεῖν τὸ συμπέρασμα. τοῦτο δὲ εἴρηται πρὸς ἀντιδιαστολὴν τῶν ὑποθετικῶν συλλογισμῶν. ἐπὶ τούτων γὰρ ὑποτίθεται μόνον τὰς προτάσεις. οὐκ εἰσὶ δὲ πάντως ὁμολογούμεναι. καὶ εἶθ' οὕτως ἐπιφέρουσι τὸ συμπέρασμα. ὥσπερ ὁ πλάτων φησίν. αἱ μαθήσεις ἀναμνήσεις, προϋπῆρχεν ἄρα ἡ ψυχή. μὴ οὔσης γὰρ τῆς προτάσεως ὁμολογουμένης, ἐπήγαγε τὸ συμπέρασμα. σαφέστερον δὲ περὶ τούτων διαλεξόμεθα ὕστερον. ὥστε ὁ συλλογισμὸς θέλει εἶναι. λόγος ὁμολογουμένας ἔχων τὰς προτάσεις. τὸ δὲ τινῶν πρόσκειται τῷ ὅρῳ τοῦ συλλογισμοῦ, διότι θέλει ἔχειν οὐ μίαν. ἀλλὰ δύο προτάσεις. τοῦτο δὲ εἴρηται πρὸς ἀντιδιαστολὴν τῶν παρὰ τοῖς ῥήτορσι μονολημμάτων καλουμένων συλλογισμῶν. οἳ τιθέασι τὴν μίαν πρότασιν εἰπόντες. τὴν δὲ ἑτέραν παρασιωπήσαντες, ἐπιφέρουσι τὸ συμπέρασμα. οἷον ὁ δεῖνα νύκτωρ πλανᾶται. λῃστὴς ἄρα. παραλιμπάνουσι γὰρ τὴν ἄλλην πρότασιν τὴν λέγουσαν. πᾶς δὲ νύκτωρ πλανώμενος λῃστής ἐστι. ὁ δεῖνα ἄρα λῃστής ἐστι.

θόλου συλλογισμοῦ. ἁπλῶς γὰρ ἐν ἅπασι τὸν ἐνιστάμενον καθόλου ἀνάγκη αὐτὸν εἰπεῖν τὴν ἀντίθεσιν· ἤγουν διὰ συλλογισμοῦ συνάξαι τὸ ἀντιθετικῶς ἀντικείμενον τῇ προτιθείσῃ προτάσει. τὸ γὰρ πρὸς τὸ καθόλου τῶν προτεινομένων, ἀντὶ τοῦ πρὸς τὴν καθόλου προτεθεῖσαν πρότασιν, ἐκληπτέον. τὴν δὲ ἀντίφασιν ἀντὶ τῆς ἀντιθέσεως λάβε. γένος γὰρ αὕτη, τῶν τε ἐναντίως καὶ τῶν ἀντιφατικῶς ἀντικειμένων. οἷον ἐάν τις ἀξιοῖ μηδεμίαν ἐπιστήμην εἶναι τῶν ἐναντίων ἐνιστάμενος πρὸς τὸν εἰπόντα πρότασιν ὡς πάντων τῶν ἀντικειμένων ἤγουν τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη, ἀνάγκη ἐν πρώτῳ σχήματι αὐτὸν συλλογίσασθαι. μέσον γὰρ λαμβάνει ὅρον, τὸ καθόλου ἤγουν τὸ καθολικώτερον, τοῦ ἐξ ἀρχῆς προκειμένου ἐλάττονος ὅρου ἐν τῇ προτάσει. ἐλάττων δὲ ὅρος ἔκειτο ἐν αὐτῇ τὰ ἐναντία. ὧν καθολικώτερόν ἐστι, τὰ ἀντικείμενα. εἰ δὲ πρὸς τὸν εἰπόντα πάντων τῶν ἐναντίων μίαν ἐπιστήμην εἶναι ἐν μέρει τις ἐνσταίη λέγων. ὡς οὐ πάντων, ληπτέον μέσον ὅρον ἐν τρίτῳ σχήματι, τὸ μερικώτερον τῶν ἐναντίων. οἷον, τὸ γνωστὸν, καὶ τὸ ἄγνωστον. πρὸς ὃ μέσον καθόλου, ἐστὶ κατηγορούμενος ὁ ἐλάττων ὅρος. ἤγουν τὰ ἐναντία. καθ' οὗ ἐλάττονος ὅρου ἤγουν καθ' ὧν ἐναντίων λέγεται ἡ πρότασις ἤγουν κατηγορεῖται ἐν τῇ προτάσει ὁ κατηγορούμενος. ἤγουν ἡ μία ἐπιστήμη. γίνεται δὲ ὁ συλλογισμὸς οὕτως. τοῦ γνωστοῦ καὶ τοῦ ἀγνώστου μὴ τὴν αὐτὴν ἤγουν μηδεμίαν εἶναι ἐπιστήμην. τὰ δὲ ἐναντία κατηγορεῖσθαι καθόλου πρὸς ταῦτα. ἤγουν πρὸς τὸ γνωστὸν, καὶ τὸ ἄγνωστον. καὶ συναχθήσεται ὡς οὐ πάντων τῶν ἐναντίων μία ἐπιστήμη ἐστίν. Μέσον γὰρ γίνεται τὸ καθόλου πρὸς τὸ ἐξ ἀρχῆς. ἤγουν πρὸς τὸν ἐξ ἀρχῆς ἐλάττονα ὅρον κείμενον, ἐν τῇ προτάσει. ἔστι δὲ τὰ ἐναντία. ὧν καθολικώτερα εἰσὶ τὰ ἀντικείμενα. ἔστι γὰρ ἡ ἀντίθεσις γένος τῶν ἐναντίων καὶ τῶν ἀντιφατικῶς ἀντικειμένων. οἷον εἴ τις ἀξιοῖ μὴ τὴν αὐτὴν τῶν ἐναντίων εἶναι ἐπιστήμην. καὶ ἐνίσταται οὕτως ἔχειν πρὸς τὸν εἰπόντα πάντων τῶν ἐναντίων εἶναι μίαν ἐπιστήμην, ληπτέον μέσον τὰ ἀντικείμενα. ἡ ἔνστασις ἀναιρεῖ τὴν πρότασιν, ἢ ἐναντίως ἢ ἀντιφατικῶς. καὶ ἢ ὑποθετικῷ συλλογισμῷ ἢ κατηγορικῷ, καὶ ἐν ὑποθετικῷ συλλογισμῷ, ἢ διὰ τοῦ ὁμοίου, ἢ διὰ τοῦ ἐναντίου, διὰ μὲν τοῦ ὁμοίου, ὡς ὅταν τινὸς εἰπόντος τὸ σημεῖον μέρος εἶναι τῆς γραμμῆς, φαίημεν οὐδαμῶς. ὡς γὰρ ἔχει τὸ σημεῖον πρὸς τὴν γραμμήν. πέρας γὰρ αὐτῆς ἐστιν, οὕτω καὶ αὕτη ἔχει πρὸς τὴν ἐπιφάνειαν, καὶ ἡ ἐπιφάνεια πρὸς τὸ σῶμα. πέρατα γάρ εἰσιν ἡ μὲν γραμμὴ τῆς ἐπιφανείας. καὶ αὕτη τοῦ σώματος. οὔτε δὲ ἡ ἐπιφάνεια μέρος τοῦ σώματος, οὔτε ἡ γραμμὴ τῆς ἐπιφανείας. οὐκ ἄρα οὐδὲ τὸ σημεῖον μέρος τῆς γραμμῆς.

ἤγουν τὸ β΄. δῆλον ὅτι καὶ τὸ ἕτερον τῶν κατηγορουμένων ἤγουν τὸ α΄ ὑπάρξει παντὶ τῷ ἀντιστρέφοντι· ἤγουν τὸ β΄ πρὸς ὃ ἀντιστρέφει τὸ γ΄. τοιούτῳ παραδείγματι ὁ ἀριστοτέλης ἐχρήσατο. τὴν γὰρ φάτταν καὶ τὴν περιστερὰν καὶ τὴν κορώνην, φασὶν εἶναι ἄχολον. ἀλλ' οὐ τὸν ἄνθρωπον καὶ τὰ λοιπὰ ζῶα. ἀλλ' οὐδὲ περιστερὰ, καὶ ἡ φάττα ἄχολον. πᾶν γὰρ ζῶον ἐκ δ΄ χυμῶν, συνίσταται. ἡ ἐπαγωγὴ δι' ἁπάντων τῶν μερῶν γίνεται. καὶ εἰ μὲν πεπερασμένα εἰσι, πάντα διέξιμεν. εἰ δ' ἄπειρα, τὰ μὲν πλεῖστα διερχόμεθα, ἀξιοῦμεν δὲ τὰ λοιπὰ οὕτως ἔχειν. Τῆς α΄ καὶ ἀμέσου προτάσεως. ἐπειδὴ λαμβάνομεν ἐν ταῖς ἀποδείξεσιν ἔστιν ὅτε προτάσεις ἀμέσους, ἃς μέλλομεν αὐτὰς ἀποδεῖξαι, δι' ἐπαγωγῆς ἀποδείξομεν. φύσει μὲν οὖν πρότερα καὶ γνωριμώτερα ἐπειδὴ ἐν τῷ συλλογισμῷ διὰ μέσου τινὸς καθόλου συνάγομεν συμπέρασμα, διατοῦτο φησὶ τὸν συλλογισμὸν γνωριμώτερον τῇ φύσει. τὰ γὰρ καθόλου τῇ φύσει γνώριμα. ὥσπερ ἡμῖν γνώριμα τὰ μερικά. γνώριμος δὲ ἡμῖν ἡ ἐπαγωγὴ, ὡς καὶ τῶν μερικῶν ἐμπιπτόντων τῇ ἡμετέρᾳ αἰσθήσει δι' ὧν πιστοῦται καὶ δείκνυται αὐτή. Παράδειγμα δέ ἐστιν ὅταν τὸ ἄκρον ἤγουν τὸ α΄ δειχθῇ ὑπάρχον τῷ β΄ διὰ τοῦ δ΄ ὁμοίου ὄντος τῷ τρίτῳ ὅρῳ. ἤγουν τῷ γ΄. δεῖ δὲ καὶ τὸ μέσον ἤγουν τὸ β΄ τὸ ὑπάρχον τῷ τρίτῳ ἤγουν τῷ γ΄. καὶ τὸ πρῶτον ἤγουν τὸ α΄ τὸ ὑπάρχον τῷ δ΄ τῷ ὁμοίῳ τῷ τρίτῳ, γνωριμώτερον εἶναι καὶ ἄμφω τῆς α΄ β΄ προτάσεως. τούτου δὲ πίστις καὶ δεῖξις ἤγουν τῆς α΄ β΄ προτάσεως γίνεται, ἐκ τῶν ὁμοίων ἤγουν τοῦ δ΄. διὰ πλειόνων ὁμοίων. οἷον ἡ α΄ β΄ πρότασις δείκνυται, ἤγουν τὸ κακὸν διδόναι φυλακὴν σώματος, διὰ πλειόνων ὁμοίων ἤγουν τοῦ δ΄ καὶ τοῦ ε΄. ταῦτα γὰρ τὸ δ΄ καὶ τὸ ε΄ εἰσὶν ὅμοια καὶ ἐπίσης γνώριμα τῷ γ΄. οὐ δεῖ διδόναι διονύσῳ φυλακὴν σώματος, ἤγουν φύλακας. ἵνα μὴ βοηθοῖς αὐτοῖς χρησάμενος τυραννήσῃ. ὡς μέρος πρὸς ὅλον. ἤγουν ὡς ἡ ἐπαγωγή. αὕτη γὰρ πιστοῦται τὸ ὅλον ἤγουν τὸ καθόλου ἐκ τῶν μερικῶν, οὔτε ὡς ὅλον πρὸς μέρος. ἤγουν ὡς ὁ συλλογισμός. οὗτος γὰρ ἐκ τῶν καθόλου δείκνυσι τὸ μερικόν. ἀλλ' ὡς μέρος πρὸς μέρος. καὶ γὰρ τὸ μερικὸν δείκνυσι διὰ τοῦ μερικοῦ τὸ παράδειγμα. ἐπὶ μὲν γὰρ τοῦ παραδείγματος ἄμφω τὰ μερικὰ ἤγουν τὸ γ΄ καὶ τὸ δ΄, εἰσὶ γνώριμα. γνωριμώτερον δὲ τούτων ἐστὶ τὸ ἕτερον ἤγουν τὸ δ΄. καὶ ἀμφότερα τὸ γ΄ καὶ τὸ δ΄ εἰσὶν ὑπὸ τὸ αὐτὸ ἤγουν τὸ β΄. ὅμοροι γάρ εἰσι καὶ οἱ ἀθηναῖοι τοῖς θηβαίοις, καὶ οὗτοι τοῖς φωκεῦσι. καὶ πρὸς τὸ ἄκρον οὐ συνάπτει τὸν λογισμόν. ἤγουν ἐπὶ μὲν τῆς ἐπαγωγῆς ὁ συλλογισμὸς ἤγουν τὸ συμπέρασμα, οὐ συνάπτει τὸ α΄ πρὸς τὸ γ΄. ἀλλὰ πρὸς τὸ β΄. τὸ δὲ παράδειγμα τὸ α΄ συνάπτει πρὸς τελειῶν σχημάτων. ἐπὶ γὰρ τῆς ἐπαγωγῆς ἡ ἐλάττων πρότασις ἡ β΄ γ΄. δείκνυται διὰ προσυλλογισμοῦ. ὁ δὲ προσυλλογισμὸς ὑπὸ τὰ γ΄ σχήματα ἀνάγεται. ἡ ἀπαγωγὴ καὶ περὶ τὴν ἐλάττονα πρότασιν συνίσταται. γίνεται δὲ ὅταν αὕτη ἡ ἐλάττων πρότασις ἄδηλος ἢ ὁμοίως τῷ συμπεράσματι. ἢ μᾶλλον αὐτοῦ γνωριμωτέρα. ἀπαγωγὴ δὲ εἴρηται, διὰ τὸ ἀπὸ τῆς ἐλάττονος προτάσεως ἀναγκάζεσθαι ἀνάγεσθαι εἰς ἀπόδειξιν ταύτης. εἰ γοῦν ἡ ἐλάττων πρότασις ὁμοίως ἐστὶ πιστὴ τῷ συμπεράσματι καὶ γνώριμος ἢ μᾶλλον αὐτοῦ γνωριμωτέρα. δείκνυται δὲ καὶ δι' ἑνὸς μέσου ἢ δύο, ἀπαγωγὴ γίνεται. εἰ δὲ πολλὰ τὰ μέσα εἰσὶν ἀσαφὴς καὶ ἄδηλος γίνεται ἡ ἐλάττων πρότασις. καὶ κρύψις μᾶλλον τοῦτό ἐστι. εἰ δὲ ὀλίγα ἔχει τὰ μέσα, τότε ἐγγύτερον γίνεται τῆς ἐπιστήμης ἤγουν τῆς διὰ τοῦ συλλογισμοῦ, γνώσεως ἡμῖν γενομένης. ἡ γὰρ ἄμεσος πρότασις, ἐπιστημονική ἐστι καὶ ἀποδεικτική. ἤγουν ἁρμόζουσα τῇ ἀποδείξει. περὶ δὲ τὴν πρότασιν ἀπαγωγὴ οὐ γίνεται. εἰ δὲ τὴν δικαιοσύνην οὗτος ὅρον ἔλαβεν, ἀλλὰ τὴν ἀρετὴν ληπτέον. αὕτη γὰρ ἀμφιβάλλεται εἰ διδακτόν ἐστιν. ἐγγύτερον γὰρ τοῦ ἐπίστασθαι. ἤγουν σαφέστερον γίνεται τὸ α΄ γ΄ συμπέρασμα καὶ γνώριμον, διὰ τῆς β΄ γ΄ προτάσεως. σαφὴς γὰρ ἡ ἐλάττων πρότασις ἦν καὶ ἐπιστήμην εἶπεν διὰ τὸ σαφὲς καὶ γνώριμον. εἰ δέ τις ἐρεῖ τί δὲ οὐ δεόμεθα καὶ τῆς μείζονος σαφοῦς εἶναι, φαμὲν σαφὴς μὲν καὶ αὕτη καὶ γνώριμος. ἀλλ' ὡς ὁμολογημένην καὶ ἀξίωμα οὖσαν, παρῆκε τοῦτο εἰπεῖν. τὸ οὖν πρότερον οὐκ ἔχοντάς ἐστιν, ὅτι τὸ α΄ γ΄ ἤγουν τὸ συμπέρασμα ὃ οὐκ εἴχομεν γνώριμον πρὸ τοῦ διὰ τῶν προτάσεων κατασκευασθῆναι. γίνεται γνώριμον ὕστερον, διὰ τῆς β΄ γ΄ προτάσεως. ἣν καὶ ἐπιστήμην ἐκάλεσεν ὡς εἴπομεν. Μηνίσκος ἐστὶ τὸ ἀπὸ τῆς πλευρᾶς τοῦ τετραγώνου ἀναγραφόμενον, ἡμικύκλιον. ἐπειράσαντο μὲν πολλοὶ τετραγωνίσαι τὸν κύκλον. οὐκ ἠδυνήθησαν δέ. ὁ δὲ ἱπποκράτης ἔδοξε μὲν τετραγωνίσαι τοῦτον. τῇ δὲ ἀληθείᾳ οὐκ ἐτετραγώνισεν. ὁ ἱπποκράτης ναύκληρος ὢν καὶ λῃστευθεὶς τὴν ναῦν. συλλαβόμενος τοὺς λῃστὰς, ἀπήνεγκεν ἀθήνησι δώσοντας δίκην. κατὰ τύχην δὲ ἐνέτυχε γεωμέτρῃ. καὶ ἔρον ἔσχεν γεωμετρίαν μαθεῖν. καὶ μαθὼν ταύτην καὶ τῶν ἀπόρων ἐφήψατο ζητημάτων. Συμβαίνει τῆς ἐπιστήμης ἤγουν τοῦ συλλογισμοῦ καὶ τοῦ ἐπίστασθαι τοῦ συλλογίζεσθαι. ἐπιστήμην τὴν β΄ γ΄. εἰκότως μετὰ τὴν ἀπαγωγὴν διδάσκει περὶ ἐνστάσεως. κοινωνοῦσι γὰρ ἀμφότεραι ἀλλήλαις καθόσον συνίστανται περὶ ἀμφιβαλλομένην πρότασιν ἐν συλλογισμῷ. διαφέρουσι δὲ ἀλλήλων. ὅτι ἡ μὲν ἀπαγωγή ἐστι προσυλλογισμὸς ἀμφιβολίας ἀναιρετικός. ἡ δὲ ἔνστασις ἐστὶ διὰ συλλογισμοῦ συνάγουσα ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ προκειμένῃ ὑποθέσει, ἢ τὸ ἐναντίον. τὴν δὲ πρότασιν ἢ ὅλως οὐκ ἐνδέχεται ληφθῆναι μερικὴν, ἀλλ' ἐπὶ τῶν καθόλου συλλογισμῶν τοῦτο ληπτέον. ἐπ' αὐτῶν γὰρ καὶ αἱ δύο προτάσεις καθόλου ἢ λαμβάνεται ἡ μερικὴ πρότασις οὐκ ἐν τοῖς κα-

περὶ ἀπαγωγῆς.

Nota de Hippocrate.

τῷ γ΄. εἰ δὲ μή, συνακολουθήσει τὸ β΄ τῷ δ΄, κατηγορηθήσεται καὶ τὸ α΄ καὶ τὸ γ΄ κατὰ τοῦ ε΄. καὶ συναληθεύσει ἡ ἀντίφασις. εἷς μὲν οὗτος συλλογισμὸς συνάγων τὴν ἀντίφασιν ἤγουν τὸ α΄ καὶ τὸ γ΄ συναληθεύσειν ἐπὶ τοῦ αὐτοῦ τοῦ ε΄. ὥστε τὸ β΄ τῷ δ΄ ἀντίκειται. ἕτερος δὲ συλλογισμὸς ὅτι τὸ α ἀντίκειται τῷ γ΄. εἰ δὲ μή, συναληθεύσουσιν ἐπὶ τοῦ ε΄. ἐπεὶ δὲ τὸ β΄ ἀκολουθεῖ τῷ α΄ καὶ τὸ δ΄ τῷ γ΄. τὸ δ΄ καὶ τὸ β΄ συναληθεύουσιν ἐπὶ τοῦ ε΄. ἐπεὶ δὲ τὸ β΄ καὶ τὸ δ΄ ἀντίφασις. ἀδύνατον δὲ τὴν ἀντίφασιν ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν, λοιπὸν ἄρα τὸ α΄ ἀντίκειται τῷ γ΄. εἰ γὰρ μὴ τὸ β΄ ἀκολουθεῖ παντὶ τῷ δ΄, ἀκολουθεῖ τὸ α΄ τῷ δ΄. ἐπεὶ δὲ τὸ γ΄ ἀκολουθεῖ τῷ α, ἀκολουθήσει καὶ τὸ γ΄ τῷ δ΄. τοῦτο δ΄ ἀδύνατον. Ἕτερον θεώρημα τὸ πάλιν εἰ παντὶ μὲν τὸ α΄ ἢ τὸ β΄ ἀντικείμενον τῷ πρότερον. φωτίζεται δὲ διὰ τοῦ αὐτοῦ παραδείγματος καὶ φησιν· ὅτι ἐὰν ὦσι τέσσαρά τινα πρὸς ἄλληλα ἀντιστρέφοντα. οἷον ἀγέννητον τὸ α΄, γεννητὸν τὸ β΄. ἄφθαρτον τὸ γ΄. φθαρτὸν τὸ δ΄. καὶ ἀντιστρέφει τὸ γ΄ πρὸς τὸ α΄ καὶ τὸ δ΄ πρὸς τὸ β΄. ἀντίκειται δὲ τὸ ἕτερον τούτων θατέρῳ ἀντιφατικῶς. ἀνάγκη καὶ τὸ λοιπὸν τῷ λοιπῷ ἀντιφάσκειν. εἰ γὰρ τὸ β΄ τὸ ἄφθαρτον ἀντίκειται τῷ δ΄ ἤγουν τῷ φθαρτῷ. ἀνάγκη καὶ τὸ α΄ ἤγουν τὸ ἀγέννητον, ἀντικεῖσθαι τῷ β΄ ἤγουν τῷ γεννητῷ. εἰ γὰρ ἀντίκειται, συναληθεύει τὸ γεννητὸν καὶ ἀγέννητον ἐπὶ τοῦ αὐτοῦ ἤγουν τοῦ κ΄. εἰ δὲ τὸ ἀγέννητον συναληθεύει τῷ γεννητῷ, συναληθεύσει ἄρα καὶ τὸ ἄφθαρτον τῷ φθαρτῷ. ὅπερ ἄτοπον. οὐκοῦν τὸ ἀγέννητον ἀντίκειται τῷ γεννητῷ. ὅταν δὲ τὸ α ὅλον τῷ β΄ καὶ τῷ γ΄. Ἕτερον θεώρημα εἰ ἓν φησι κατηγορούμενον οἷον τὸ ζῷον κατηγορεῖται κατὰ δύο ὑποκειμένων τοῦ β΄ καὶ τοῦ γ΄ καὶ οὐδετέρου ἄλλου. κατηγορεῖται δὲ τὸ ἕτερον τοῦ ἑτέρου. οἷον τὸ β΄ τοῦ γ΄. ἀνάγκη καὶ τὸ α΄ τὸ ζῷον, ἀντιστρέφει πρὸς τὸ β΄. ὡς ἐξισάζον αὐτῷ. εἰ γὰρ τὸ α΄ κατὰ μόνων τοῦ β΄ καὶ τοῦ γ΄ κατηγορεῖται, κατηγορεῖται δὲ τὸ β΄ καὶ αὐτοῦ τοῦ α΄ ὡς ἀντιστρέφον πρὸς αὐτὸ καὶ τοῦ γ΄. φανερὸν ὅτι τὸ β΄ κατηγορηθήσεται καὶ τοῦ α΄ παντός. πλὴν αὐτοῦ τοῦ α΄. ἤγουν καὶ αὐτοῦ τοῦ α κατηγορηθήσεται. τὸ πλὴν, ἀντὶ τοῦ καί. ἤγουν εἰ γὰρ τὸ β΄ κατηγορεῖται κατὰ πάντων καθ' ὧν τὸ α΄ λέγεται. ἤγουν κατὰ τοῦ γ΄ τοῦ λογικοῦ φημι καὶ ἀλόγου, κατηγορηθήσεται καὶ τοῦ α΄. Πάλιν ὅταν τὸ α καὶ τὸ β΄ ἕτερον θεώρημα. καὶ ἔστω τὸ α΄ ζῷον. τὸ β΄ γελαστικόν. τὸ γ΄ ἄνθρωπος. εἰ γὰρ τὸ α καὶ τὸ β κατηγοροῦνται κατὰ παντὸς τοῦ γ΄. ἀντιστρέφει δὲ τὸ ὑποκείμενον ἤγουν τὸ γ΄ πρὸς τὸ β΄ καὶ κατηγορεῖται τούτου, ἀνάγκη καὶ τὸ λοιπὸν τὸ α΄, κατηγορεῖσθαι κατὰ παντὸς τοῦ λοιποῦ ἤγουν τοῦ β. ἡ δεῖξις διὰ τοῦ α΄ σχήματος. Εἰ δύο εἶεν ἀντιθέσεις. καὶ ἑκατέρας τὸ μὲν ᾖ φευκτόν. τὸ δὲ αἱρετόν. οἷον, ὑγεία, νόσος, πλοῦτος. πενία. ἡ δὲ τῆς μιᾶς τὸ αἱρετὸν μετὰ τοῦ φευκτοῦ τῆς λοιπῆς. οἷον ἡ ὑγεία μετὰ τῆς πενίας, αἱρετώτερον τῶν λοιπῶν. ἤγουν τοῦ πλούτου μετὰ τῆς νόσου, ἀνάγκη καὶ τὸ αἱρετὸν ἤγουν ὑγείαν αἱρετωτέραν εἶναι τοῦ αἱρετοῦ ἤγουν τοῦ πλούτου. ἢ γὰρ μεῖζόν ἐστιν ἢ ἴσον, ἢ ἔλαττον. καὶ οὐκ ἔστι παρὰ ταῦτα. ἀλλ' εἰ μὲν μεῖζον ἔχομεν τὸ ζητούμενον. ὅτι τὸ μετὰ τοῦ φευκτοῦ αἱρετώτερον, τοῦ λοιποῦ αἱρετοῦ αἱρετώτερόν ἐστι, εἰ δὲ ἴσον, ἐπειδὴ τὸ αἱρετὸν ἴσον τῷ αἱρετῷ, καὶ τὸ φευκτὸν ἴσον ἔσται τῷ φευκτῷ. οὐκοῦν καὶ τὸ αἱρετὸν μετὰ τοῦ φευκτοῦ, ἴσον ἔσται τῷ αἱρετῷ μετὰ φευκτοῦ. ἤγουν τὸ ὅλον τῷ ὅλῳ. ὑπέκειτο δὲ μεῖζον ὅπερ ἄτοπον. εἰ δὲ ἔλαττον καὶ τὸ φευκτὸν μεθ' οὗ ἦν μεῖζον. ἤγουν ἡ νόσος ἔλαττόν ἐστι. τῷ γὰρ ἐλάττονι αἱρετῷ, ἔλαττον κακὸν ἀντίκειται. καὶ τῷ μείζονι μεῖζον. εἰ δὲ ὁ πλοῦτος μετὰ τῆς νόσου αἱρετώτερος τῆς ὑγείας μετὰ τῆς πενίας, λοιπὸν καὶ ἡ πενία κακόν ἐστι μεῖζον τῆς νόσου. ἀεὶ γὰρ τὸ μεῖζον ἐκλεγόμεθα αἱρετόν. καὶ τὸ ἔλαττον φευκτόν. ἔσται γοῦν καὶ ἡ ὑγεία ἔλαττον αἱρετόν. ἀλλ' ὑπέκειτο καὶ μεῖζον. ἔσται ἄρα τὸ αὐτὸ καὶ μεῖζον αἱρετὸν καὶ ἔλαττον. ὅπερ ἀδύνατον. ἀληθὲς ἄρα τὸ τὴν ὑγείαν εἶναι μεῖζον αἱρετόν. τῷ μείζονι ἀγαθῷ μεῖζον κακὸν ἀντίκειται. εἰ μὴ περιέχοιτο καὶ τὸ ἔλαττον ὑπὸ τῆς μείζονος. οἷον καὶ ἡ εὐεξία μεῖζον ἀγαθὸν τῆς ὑγείας ἐστίν. ἀλλὰ τὸ κακὸν τὸ ἀντικείμενον τῇ ὑγείᾳ ἡ νόσος μεῖζόν ἐστι τοῦ ἀντικειμένου κακοῦ τῇ εὐεξίᾳ. ἤγουν τῆς καχεξίας ὡς ὑπὸ τῆς νόσου περιεχομένης. ὥσπερ καὶ ἡ ὑγεία ὑπὸ τῆς εὐεξίας. εὐεξία γάρ ἐστιν ἐπίτασις ὑγείας. ἐντεῦθεν ἐπανακύπτει θεώρημα ὅτι ὁ ἔρως τοῦ φιλεῖν ἐστὶ μᾶλλον. παρ' ὃ τοῦ συνεῖναι καὶ τῆς συνουσίας ὅπερ τὸ θεώρημα καὶ πόρισμα λέγεται. τίς γὰρ οὐκ οἶδεν ὅτι τὸ βούλεσθαι χαρίζεσθαι. καὶ τὸ μὴ δύνασθαι χαρίζεσθαι. ὃ σημεῖόν ἐστι φιλίας καὶ προσδηλωτικὸν τῷ ἐρῶντι αἱρετώτερόν ἐστι τοῦ δύνασθαι χαρίζεσθαι. τὸ γὰρ δύνασθαι χαρίζεσθαι, σημεῖόν ἐστι τοῦ ποιεῖν. ἤγουν τῆς συνουσίας. κρεῖσσον ἄρα ἡ φιλία τῆς συνουσίας. καὶ ὡς τέλος οὖσα τοῦ ἔρωτος. φθείρει γὰρ μᾶλλον ἡ συνουσία τὸν ἔρωτα. ὅθεν καὶ κατὰ τὸ ἀποσπερμαίνειν ὁ ἔρως μαραίνεται. εἰ δὲ καὶ διὰ συνουσίας ὁ ἔρως ἔλθῃ, διὰ τὴν φιλίαν ἔρχεται. ἢ ἵνα ποιήσῃ καὶ ἐκπληρώσῃ αὐτήν, ἢ ἵνα πιστώσηται. ὥστε ὁ ἔρως τέλος ἔχει τὴν φιλίαν ἀλλ' οὐ τὴν συνουσίαν. Δείξας ἐν τῷ περὶ εὐπορίας προτάσεων ὡς πᾶς συλλογισμὸς δι' ἑνὸς τῶν τριῶν σχημάτων γίνεται, νῦν δείκνυσιν ὅτι καὶ ἡ ἐπαγωγὴ καὶ τὸ παράδειγμα. καὶ ἁπλῶς πᾶσα πίστις ἤγουν δεῖξις, διὰ τῶν τριῶν σχημάτων δείκνυται. καθ' ὁποιανοῦν μέθοδον ἤγουν τέχνην καὶ ἐπιστήμην. τὸ διὰ τοῦ ἑτέρου ἤγουν τοῦ ἐλάττονος ὅρου τοῦ γ΄ δεικνύειν τὸ ἄκρον τὸ α΄ ὑπάρχει τῷ μέσῳ τῷ β΄. ἐν τῷ λαβεῖν τὸ γ΄ μέσον ὅρον, ἐν τρίτῳ σχήματι. πᾶν γὰρ τὸ γ΄ ἤγουν πάντα τὰ ἐν τῷ γ΄ καταγεγραμμένα, εἰσὶ μακρόβια. καὶ τὸ ἄκρον ἤγουν τὸ γ΄ ἀντιστρέφει πρὸς θάτερον κατηγορούμενον,

ὁρισμὸς τοῦ κακοῦ κατηγορεῖται τῆς ἀνδρείας ἔσται τὸ ὁριστὸν ταυτὸν τῷ ὁρισμῷ. καὶ εἰ ὁ ὁρισμὸς τοῦ ἀγαθοῦ κατηγορεῖται τῆς ἀνδρείας, ἔσται ταυτὸν τῷ ὁρισμῷ ὁ ὁρισμός. τὰ δὲ κατηγορούμενα τοῦ αὐτοῦ ὡσαύτως, καὶ ἀλλήλοις ἔσονται ταυτά. οἷον τὸ α' καὶ τὸ β' ἔσονται ταυτά. καὶ ἡ ἀνδρεία ἔσται ἀγαθὸν καὶ κακόν. εἰ οὖν ταυτὸν ὑπολαμβάνει τις τὸ β' τῷ γ'. ἤγουν τὸν ὁρισμὸν τοῦ κακοῦ καὶ τῆς ἀνδρείας ὑπολήψεται τὸ γ' καὶ τὸ β' εἶναι ταυτά. καὶ τὸ β' καὶ τὸ α' ὡσαύτως ταυτὰ εἶναι. διὰ τὸ ἐπὶ τῆς λέγεσθαι τῆς ἀνδρείας κατηγορεῖσθαι. ὥστε καὶ τὸ γ' καὶ τὸ α' ἔσονται ταυτά. ὥσπερ γὰρ εἰ ἦν ἀληθές. ὥσπερ γὰρ ἀληθῶς κατηγορεῖται τὸ β' καθ' οὗ τὸ γ'. ἤγουν κατὰ παντὸς τοῦ γ' καὶ τὸ α' κατὰ παντὸς τοῦ β', ἀληθὲς ἦν συμπεραίνεσθαι καὶ τὸ α κατὰ τοῦ γ' κατηγορεῖσθαι, οὕτω καὶ ἐπὶ τοῦ ὑπολαμβάνειν ἤγουν καὶ ἐπὶ τῆς δόξης καὶ ὑπολήψεως. ἔχομεν δοξάζειν, ὡς ἀληθῶς τὸ α' κατὰ τοῦ κατηγορεῖται. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ εἶναι ἤγουν ἐπὶ τῶν πραγμάτων. ὡς γὰρ ἔχουσιν οἱ λόγοι καὶ αἱ προτάσεις, οὕτως ἔχουσι καὶ αἱ δόξαι καὶ αἱ ὑπολήψεις. ὡς αἱ δόξαι ἔχουσιν, οὕτως ἔχουσι καὶ τὰ πράγματα. ταυτοῦ γὰρ ὄντος τοῦ γ' καὶ τοῦ β', πάλιν ἔσονται ταυτὰ τὸ β' καὶ τὸ α'. ὥστε καὶ τὸ γ' καὶ τὸ α' ταυτὰ ἔσονται. ὡς γοῦν ἔχουσιν ἐπὶ τῶν πραγμάτων, οὕτως ἔχουσι καὶ ἐπὶ τῆς δόξης. ἆρ' οὖν τοῦτο μὲν ἀναγκαῖον ἤγουν τὸ ὑπολαμβάνειν τὴν ἀνδρείαν καὶ ἀγαθὸν καὶ κακόν, εἴ τις δώσει τὸ α' ὅτι ὁ ὁρισμὸς τῆς ἀνδρείας ὡς ἀγαθοῦ. καὶ ὁ ὁρισμὸς ταυτὸν ὡς κακοῦ, ὡσαύτως κατηγορεῖται κατὰ τῆς ἀνδρείας. ἀλλ' ἐκεῖνο μὲν ἤγουν τὸ ὑπολαμβάνειν ποιεῖ τὸ εἶναι κακὸν καὶ τὸ εἶναι ἀγαθόν. ἤγουν τοὺς ὁρισμοὺς τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ὡσαύτως κατηγορεῖσθαι τῆς ἀνδρείας ψεῦδός ἐστιν. εἰ μή τις δώσει θάτερον ἤγουν τὸν ὁρισμὸν τοῦ κακοῦ κατηγορεῖσθαι τῆς ἀνδρείας, κατὰ συμβεβηκός. διὰ τὸ συμβαίνειν τὸν ἀνδρεῖον καὶ ἀγρυπνεῖν καὶ κακοπαθεῖν καὶ φαυματίζεσθαι. καὶ κατὰ πολλοὺς φόνους ὑπολάβῃ τις τὴν ἀνδρείαν εἶναι κακόν, ἀλλὰ κατὰ συμβεβηκός. ὁ δὲ ὁρισμὸς τοῦ ἀγαθοῦ καθ' αὑτὸ καὶ οὐσιωδῶς κατηγορεῖται τῆς ἀνδρείας. ἡ γὰρ ἀνδρεία καθ' αὑτό ἐστι ποιητικοῦ ἀγαθοῦ τινος ἤγουν εὐκλείας καὶ δόξης

Περὶ ἀντιστροφῆς.

Ὅταν δὲ ἀντιστρέφῃ. Ἐνταῦθα παραδίδωσι θεωρήματα διάφορα πρὸς τὰ ἄλλα λυσιτελοῦντα περὶ ἀντιστροφῆς διδάσκων ἥτις ἐν πρώτῳ σχήματι μόνῳ δείκνυται. διαφέρει δὲ τῆς ἀντιστροφῆς περὶ ἧς ἔφην διδάξαι διότι ἐπ' ἐκείνης ἐλαμβάνομεν, ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι καὶ μίαν πρότασιν, καὶ ἀνῃροῦμεν τὴν ἑτέραν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον ποιοῦμεν ἀλλὰ λαμβάνομεν τὸ συμπέρασμα ἀντιστραμμένως καὶ μίαν πρότασιν τῶν κειμένων, καὶ κατασκευάζομεν τὴν ἑτέραν. τῆς δὲ κύκλῳ δείξεως διαφέρει, ὅτι ἐπὶ ταύτης λαμβάνομεν τὸ συμπέρασμα οὐκ ἀντιστραμμένως. ἀλλὰ τὴν πρότασιν καὶ δείκνυμεν τὴν ἑτέραν. ὅταν δὲ ἀντιστρέφῃ τὰ ἄκρα ἤγουν τὸ συμπέρασμα ἀντιστρέφει. ἀνάγκη καὶ τὸν μέσον ὅρον ἀντιστρέφειν πρὸς ἄμφω. ἤγουν τὸ β' πρὸς τὸ α'. καὶ τὸ γ' πρὸς τὸ β'. καὶ ἐπὶ τοῦ ἀποφατικοῦ συλλογισμοῦ. οὐδ' ἄρα τὸ γ' ἤγουν καὶ τὸ γ' ἔσται οὐδενὶ λίθῳ. καὶ εἰ τὸ γ' ἀντιστρέφει πρὸς τὸ β', ἀντιστραφήσεται καὶ τὸ β' πρὸς τὸ α'. ἔξωθεν ἀληπτέον τὸ β' εἰ τὸ β' ἀντιστρέφει πρὸς τὸ α', οὐδ' ἄρα τὸ γ' ἔσται. καὶ τὸ γ' οὐδενὶ τῷ α'. καὶ εἰ τὸ γ' ἀντιστρέφει πρὸς τὸ β', καὶ τῷ α' ἀντιστρέφει τὸ β'. τὸ δὲ καθ' οὗ γὰρ ἂν παντὸς τὸ β' καὶ τὸ γ', τοῦτο δηλοῖ. ὅτι τὸ β' καὶ τὸ γ' ἐξισάζουσι. καὶ διατοῦτο ἀντιστρέφουσιν. εἰ γὰρ τὸ β' παντὶ τῷ γ', καὶ τὸ γ' παντὶ τῷ β'. καὶ εἰ τὸ γ' πρὸς τὸ β' ἀντιστρέφει καὶ τὸ β' πρὸς τὸ α' ἀντιστρέφει. λείπει δὲ τοῦτο. ᾧ γὰρ τὸ β' ἤγουν παντὶ τῷ β' ὑπάρχει τὸ γ'. ᾧ δὲ τὸ α' ἤγουν οὐδενὶ τῷ α' ὑπάρχει τὸ γ'. τὸ β' γ' οὐ δείκνυται διὰ τὸ γίνεσθαι καὶ τὰς δύο ἀποφατικάς. καὶ διὰ τοῦτο οὐ δείκνυσι τὸ β' γ' ἀντιστρέφειν. ὅτι δὲ τὸ γ' ἀντιστρέφει πρὸς τὸ α', οὐ δύναται δειχθῆναι διὰ τοῦ α' σχήματος. διὰ τὸ γίνεσθαι τὴν ἐλάττονα ἀποφατικήν. καὶ μόνον τοῦτο ἤγουν τὴν μείζονα πρότασιν δείκνυμεν ὅτι τὸ β οὐδενὶ τῷ α', ἀντιστρέψαντες τὸ συμπέρασμα. καὶ λαβόντες τὸ ὑποκείμενον τῷ συμπεράσματι ἤγουν τὸ γ'. ὅθεν καὶ συλλογιζόμενοι ἀρχόμεθα. τὰ δ' ἄλλα οὐχ ὁμοίως. δεικνύοντες γὰρ τὸ γ' οὐδενὶ τῷ α'. τὴν μείζονα μόνην πρότασιν ἀντιστρέφομεν. ὅτι τὸ β' οὐδενὶ τῷ α'. ὡς ἐπὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ. ἤγουν τοῦ πρώτου σχήματος. καὶ γὰρ καὶ ἐπὶ τούτου τὸ συμπέρασμα ἀντιστρέφομεν μόνον. καὶ ἐπὶ τοῦ ἄλλου σχήματος ἡ δεῖξις γίνεται.

Πάλιν εἰ τὸ α' καὶ τὸ β' ἀντιστρέφει, καὶ τὸ γ' καὶ τὸ δ' ὡσαύτως. δύο λαμβάνει ἀντιθέσεις. ἤγουν ἀντιφάσεις. ὡς βούλει γὰρ λέγεται καὶ ἕπεται θάτερον τῆς μιᾶς ἀντιθέσεως θάτερον τῆς λοιπῆς. καὶ τὸ λοιπὸν τῷ λοιπῷ ἕπεται. οἷον ἔστω γεννητὸν ἀγέννητον. φθαρτὸν ἄφθαρτον. εἰ οὖν ἐστι ἄφθαρτον ἀγέννητον καὶ ἔστι ἀγέννητον ἄφθαρτον, δῆλον ὡς ἐστι γεννητὸν φθαρτὸν καὶ ἀντιστρέφει. εἰ γὰρ μὴ τῷ γεννητῷ τὸ φθαρτὸν ἕπεται, ἔσται τι καθ' αὑτὸ γεννητόν. καὶ ἐπεὶ ἐπὶ παντὸς ἡ φάσις ἐστιν ἡ ἀπόφασις, εἰ μὴ τὸ φθαρτὸν ἀκολουθεῖ τῷ γεννητῷ, τὸ ἄφθαρτον ἕψεται. εἰ δὲ τὸ ἄφθαρτον ἀκολουθεῖ τῷ γεννητῷ, καὶ τὸ ἀγέννητον συναληθεύσει αὐτῷ. ὅπερ ἄτοπον. οὐκοῦν ἀληθὲς ὡς τὸ γεννητὸν τῷ φθαρτῷ ἀντιστρέφει. ἐντεῦθεν ἐλέγχονται, οἱ τὸν κόσμον λέγοντες γεννητὸν εἶναι καὶ ἄφθαρτον. εἰ γὰρ ἄφθαρτος καὶ ἀγέννητος, καὶ ἡ ἀντίφασις συναληθεύσει ὅπερ ἄτοπον. καὶ β' συλλογισμοὶ δι' ἀδυνάτου πλέκονται. τοῦτο δὲ ἐκληπτέον πρὸς τὸ ἀναρρηθέν. ὅτι καὶ τὸ λοιπὸν τῷ λοιπῷ. τὸ β' φημὶ ἀντικεῖσεται

αἰσθήσεως ἡμῖν γενόμενον ἴσμεν. κἂν τυγχάνωμεν ἠθισμένοι καὶ γινώσκοντες αὐτό. οἶδα γὰρ τὸν μουσικὸν κορίσκον. εἰ δέ τις ἐγκαλύψει αὐτὸν καὶ ἐρωτήσει με εἰ οἶδα τὸν κεκαλυμμένον, ὁ μουσικὸς κορίσκος ἐστί, πάντως ἐρῶ, οὔ. ὡς μὴ γινώσκων τίς ἐστιν ὁ κεκαλυμμένος. ὥστε τὸ μερικὸν πόρρω τῆς αἰσθήσεως γενόμενον ἀγνοεῖται. ὡς τὸ ἐν τῇ χειρὶ τρίγωνον. εἰ μήπου εἴποι τις γινώσκεσθαι τοῦτο κατὰ τὸ καθόλου καὶ ἐν τῷ ἔχειν τὴν οἰκείαν ἐπιστήμην ἤγουν τὴν καθόλου γνῶσιν. ἀλλ' οὐχ ὡς τὸ ἐνεργεῖν. ἤγουν ἀλλ' οὐ γινώσκεται τὸ μερικὸν τρίγωνον ἐν τῷ ἐνεργεῖν καὶ συλλογίζεσθαι. ἐπεὶ γὰρ ἀγνοῶ εἰ τὸ ἐν τῇ χειρὶ τρίγωνον, τρίγωνόν ἐστι, πῶς ἐστι λαβεῖν αὐτὸ τὸ ἀγνοούμενον καὶ συλλογίσασθαι οὕτως. ὅτι τόδε τὸ ἐν τῇ χειρὶ τρίγωνον, τρίγωνόν ἐστι. πᾶν δὲ τὸ τρίγωνον ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. ὡς γοῦν ἡ ἐπιστήμη διχῶς λέγεται, οὕτω καὶ ἡ ἀπάτη. ἢ γὰρ ἐν τῇ καθόλου γνώσει ἐπίσταμαι, τὸ δὲ μερικὸν ἀγνοῶ. ἢ ἐν τῇ οἰκείᾳ ἤγουν ἐν τῇ αἰσθήσει γινώσκω τι, ὡς τὰ μερικὰ τὸ καθόλου ἀγνοῶν. ἢ ἐν τῷ ἐνεργεῖν ἤγουν ἐν τῷ συλλογίζεσθαι. οὕτως οὐδὲν κωλύει περὶ τὸ αὐτὸ καὶ εἰδέναι καὶ ἠπατῆσθαι. πλὴν οὐκ ἐναντίον ἑαυτῷ ἀλλὰ τῷ πράγματι. τὸ γὰρ κεκρυμμένον τρίγωνον ὅτι ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας, κατὰ μὲν τὸ καθόλου γινώσκω. ὡς δὲ μὴ ὁρώμενόν μοι ἀγνοῶ. ὅτι τὸ ἐναντιοῦσθαι πρὸς τὸ πρᾶγμα συμβαίνει, τῷ εἰδότι ἑκατέραν πρότασιν τὴν μείζονα ἑκατέρου συλλογισμοῦ. καὶ μὴ ἐπεσκεμμένῳ ἤγουν μὴ συλλογιζομένῳ καὶ λαμβάνοντι ἀμφοτέρας τὰς προτάσεις τῶν δύο συλλογισμῶν. ὁ ἰδὼν γὰρ μερικὴν ἡμίονον ἐξωγκωμένην ἔχουσαν τὴν γαστέρα καὶ ὑπολαμβάνων αὐτὴν κύειν, ἠπάτηται. ὡς οὐκ ἔχων τὴν κατὰ τὸ ἐνεργεῖν καὶ συλλογίζεσθαι ἐπιστήμην. εἰ γὰρ συνελογίσατο ὅτι ἥδε ἡ ἡμίονός ἐστι. πᾶσα δὲ ἡμίονος ἄτοκος. ἥδε ἄρα ἡ ἡμίονος ἄτοκός ἐστιν, οὐκ ἂν ἠπατήθη ὑπὸ τῆς αἰσθήσεως. οὐδ' αὖ διὰ τὴν ὑπόληψιν ἤγουν διὰ τὸ ὑπολαβεῖν τήνδε τὴν ἡμίονον κύειν ὡς ἐξωγκωμένην κατὰ τὴν γαστέρα. εἴποι τις τὴν τοιαύτην ἀπάτην καὶ ἄγνοιαν τὴν κατ' αἴσθησιν ἐναντίαν τῇ ἐπιστήμῃ τῇ καθόλου τῇ ὅτι πᾶσα ἡμίονος ἄτοκος. συλλογισμὸς γὰρ ἡ ἐναντία τῇ ἀπάτῃ τῇ καθόλου. ἤγουν ἡ ἀπάτη καὶ ἄγνοια ἡ κατὰ τὴν αἴσθησιν. ἡ ἐναντία τῇ καθόλου γνώσει, συλλογισμός ἐστι. ἤγουν διὰ συλλογισμοῦ γίνεται. εἰ δέ τις ἁπλῶς καὶ χωρὶς συλλογισμοῦ ἀπατηθῇ περὶ τὴν αἴσθησιν, οὐκ ἄν τις ἐρεῖ τὴν τοιαύτην ἀπάτην καὶ ἄγνοιαν, ἐναντίαν τῇ καθόλου ἐπιστήμῃ καὶ γνώσει. Πλάτων βουλόμενος δεῖξαι ὡς αἱ μαθήσεις ἀναμνήσεις εἰσί, παράγει τὸν σωκράτην ἐρωτῶντα τὸν μένωνα. ἄρα ἡ ἀρετὴ διδακτή ἐστι. καὶ τί ἐστιν ἀρετή. οἶδας γάρ σε παρ' ὃ τοῦ γοργίου φησὶν ἀκριβῶς περὶ ταύτης μαθόντα. ὁ δ' ἀπεκρίνατο. ἀρετή ἐστι τῆς μὲν γυναικὸς, τὸ οἰκουρεῖν. τοῦ στρατάρχου, τὸ στρατηγεῖν. ὁ δὲ σωκράτης ἔφη. σὺ δία μένων πολλὰς ὡς ἔοικεν οἶδας ἀρετάς. τί ἐστιν εἰπὲ ἀρετή. ὁ δὲ, ἀνδρεία. σωφροσύνη. σοφία. καὶ φρόνησις. ὁ δὲ σωκράτης οὐκ ἠρώτησα φησί, πόσαι εἰσὶν ἀρεταί. ἀλλὰ τί ἐστιν ἀρετή. οὐκοῦν εἰ ζητήσομεν εὑρήσομεν. ὁ δὲ μένων οὔτε εὑρετόν ἐστιν, οὔτε ζήτησις. ἢ γὰρ οἶδέ τις τι, καὶ περὶ αὐτοῦ οὐ ζητήσει. ἢ οὐκ οἶδεν, ἀδύνατον τινὰ ζητεῖν. ὁ δὲ σωκράτης παράγει τὸν ἀκολουθοῦντα τῷ μένωνι δοῦλον ἐρωτώμενον παρ' αὐτοῦ εὑρεῖν τι θεώρημα. ὃ μὴ πρότερον ᾔδει. λέγω δὴ ὅτι τὸ ἀπὸ τῆς διαμέτρου ἀναγραφόμενον τετράγωνον, διπλάσιόν ἐστι τοῦ τετραγώνου οὗ ἐστιν ἡ διάμετρος. ἀναγράφω δὲ τετράγωνον τὸ α β γ δ. καὶ ἄγω τὴν α δ διαγώνιον διάμετρον. ἀναγράφω ἐκ τῆς β δ πλευρᾶς τετράγωνον τὸ β ζ δ ε. καὶ ἐκ τῆς α β, τετράγωνον ἕτερον τὸ α η θ β. καὶ ἐκ τῆς β θ ἕτερον τὸ β ζ ι θ. δῆλον οὖν ὅτι ἴση ἐστὶν ἑκάστη τῶν πλευρῶν τοῦ α β γ δ. περιτίθησι γνώμονα. ἄγω δὲ καὶ ἐν ἑκατέρῳ τετραγώνῳ διαγωνίους διαμέτρους. λέγω δὴ τὴν α θ. τὴν θ ζ. τὴν ζ δ. καὶ τὴν δ α. δῆλον οὖν ὅτι τὸ γ ε η ι τετράγωνον τετραπλάσιόν ἐστι τοῦ α β γ δ τετραγώνου. τρία γὰρ τετράγωνα αὐτῷ ἴσα περιετέθησαν. τὰ ἄρα τέσσαρα τετράγωνα ἴσα ὄντα τοῦ ἑνὸς αὐτῶν τετραγώνου τετραπλάσιά εἰσι. τοῦτο ὁμολογεῖ ὁ οἰκέτης ἐξ αὐτῆς τῆς ἐνεργείας. καὶ ἐπεὶ ἕκαστον τῶν ἀναγραφέντων δ' τετραγώνων εἰς δύο ἴσα τρίγωνα αἱ διάμετροι τέμνουσιν, ὀκτὼ ἴσα ἀλλήλοις τρίγωνα γίνονται. ὥστε τὸ γ ε η ι τετράγωνον, τετραπλάσιόν ἐστι τοῦ α β γ δ τετραγώνου. τὸ ἄρα α δ ζ θ τετράγωνον ὅπερ ἀνέγραψα ἀπὸ τῆς α δ διαμέτρου, διπλάσιόν ἐστι τοῦ α β γ δ τετραγώνου. οὕτως οὖν ὁ σωκράτης διὰ τῶν ἐρωτήσεων τούτων ἐποίησε τὸν δοῦλον τοῦ μένωνος εὑρεῖν ὅπερ οὐκ ᾔδει θεώρημα. ἀπό τινων προωμολογημένων ἀνάγων αὐτὸν εἰς γνῶσιν τοῦ ζητουμένου. διὰ ζητήσεως ἄρα καὶ εὑρέσεως γνῶσις ἡμῖν ἐπιγίνεται. ὁ δ' ὑπολαμβάνων τὸ, ἀγαθῷ εἶναι. Ἔτι ἀπατηθήσεταί τις καὶ δοξάσει τὸ αὐτὸ καὶ ἀγαθὸν καὶ κακὸν εἶναι, εἴγε ὑπολάβῃ τὸν ὁρισμὸν τῆς ἀνδρείας ὡς κακοῦ. καὶ τὸν ὁρισμὸν ταύτης ὡς ἀγαθοῦ, ὥστε οὕτως κατηγορεῖσθαι κατὰ τῆς ἀνδρείας. ὁ ὁρισμὸς τῆς ἀνδρείας, ὡς ἀγαθοῦ, ἕξις περὶ τὰ φοβερὰ ἀγαθοῦ ποιητική. ὡς δὲ κακοῦ, ἕξις περὶ τὰ φοβερὰ κακοῦ ποιητική. ὁ δ' ὑπολαμβάνων τὸ εἶναι ἀγαθῷ. ἤγουν τὸν ὁρισμὸν τοῦ ἀγαθοῦ κακῷ εἶναι ἤγουν ταὐτῷ τῷ ὁρισμῷ τῆς ἀνδρείας ὡς κακοῦ, συμβήσεται ὑπολαβεῖν τὸ αὐτὸ ἤγουν τὴν ἀνδρείαν, δεκτικὸν εἶναι καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ τὸν ὁρισμόν. καὶ ἐκ τούτων συμβαίνει οὐ μόνον ταὐτοὺς τοὺς ὁρισμοὺς τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ εἶναι. ἀλλὰ καὶ τὴν ἀνδρείαν καὶ ἀγαθὸν εἶναι καὶ κακόν. πάλιν δὲ τὸ ἀγαθῷ εἶναι ἤγουν ἡ ἀνδρεία ἐφ' οὗ γ'. ἐπεὶ οὖν ταὐτὸν ὑπολαμβάνει εἶναι τὸ β' καὶ τὸ γ'. ἔσται καὶ τὸ γ' καὶ τὸ β' εἶναι ταὐτά. ἐπεὶ γὰρ ὁ

ψεῦδος παριστάγομεν δυνάμει. καὶ ὅτι τὸ φυλλορροεῖν οὐδεμιᾷ ἀμπέλῳ, ὁμοία ἐστὶ τῇ ἀπάτῃ καθ' ἣν
φαινόμεθα ἀπατώμενοι περὶ τὰ μερικὰ καὶ αἰσθητά. ὥσπερ γὰρ τὸ αὐτὸ φαινόμεθα καὶ εἰδέναι καὶ
ἀγνοεῖν. καὶ ἐντεῦθεν συμβαίνει περὶ τὸ πρᾶγμα ἀπάτη γίνεσθαι. οἷον τὸ ἐν τῇ χειρὶ ἀναγεγραμμένον
τρίγωνον. εἴτε σκαληνόν ἐστιν, εἴτε ἰσοσκελές. κεκαλυμμένον διὰ τῶν δακτύλων. ὅτι τρίγωνόν ἐστι τὸ
γ'. κατὰ μὲν τὸν καθόλου λόγον ὅτι πᾶν τρίγωνον ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας, οἴδα καὶ αὐ
τὸ τὸ γ' ἤγουν τὸ μερικὸν τρίγωνον ὅτι ἔχει τὰς τρεῖς γωνίας ὡς εἴπομεν. ὡς δὲ μερικὸν καὶ ὑπὸ τὴν αἴσ
θησιν μὴ ἐμπῖπτον ὡς κεκρυμμένον ἀγνοῶ. τὸ γὰρ μὴ γινωσκόμενον παρ' ἐμοῦ εἰ ὅλως τρίγωνόν ἐστι,
πῶς ἐστιν εἰδέναι, ὅτι καὶ τὰς τρεῖς γωνίας, δυσὶν ὀρθαῖς ἴσας ἔχει. ἀλλ' οὐδὲν κωλύει ἀγνοεῖν τὸ γ' ὅτι ἐστὶ
τρίγωνον. τὸ γὰρ εἰδέναι ὅτι πᾶν τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας, δύο γνώσεις παρασή
μει. τὸ μὲν ἤγουν μίαν μὲν, ἐν τῷ ἔχειν τὴν καθόλου γνῶσιν. τὸ δὲ, ἤγουν ἑτέραν δὲ ἐν τῷ ἔχειν καὶ
τὴν καθ' ἕκαστον γνῶσιν. ἤγουν τῶν μερικῶν. ἀνάγκη γὰρ τῷ γινώσκοντι πᾶν τρίγωνον ἔχειν τὰς τρεῖς
γωνίας δυσὶν ὀρθαῖς ἴσας, εἰδέναι ὅτι καὶ τὰ μερικὰ τρίγωνα πάντα τοιαῦτά ἐστιν. ὁ γὰρ ἀγνοῶν τι τῶν
μερικῶν εἰ τοιοῦτόν ἐστιν, οὐδὲ τὸ καθόλου ἀκριβῶς γινώσκει. οὕτω μὲν οὖν. ἤγουν κατὰ τὴν καθόλου
γνῶσιν καὶ τὸν καθόλου λόγον, οἴδαμεν ὅτι τὸ γ ἤγουν τὸ μερικὸν τρίγωνον τὸ ἐν τῇ χειρὶ, ἔχει τὰς τρεῖς
γωνίας δυσὶν ὀρθαῖς ἴσας. ἐν δὲ τῇ καθ' ἕκαστον ἤγουν ἐν τῇ κατ' αἴσθησιν καὶ μερικῇ γνώσει ἀγνοοῦ
μεν ὡς μὴ ὁρώμενον ἡμῖν. ὥστε ὁ γινώσκων τὸ γ' ἤγουν τὸ τρίγωνον τὸ μερικὸν κατὰ τὸν καθόλου λό
γον, ὡς δὲ μερικὸν ἀγνοῶν, ἕξει τὰς ἐναντίας δόξας πρὸς τὸ πρᾶγμα. πρὸς ἑαυτὸν δὲ οὔ. πῶς γὰρ ἐναν
τιωθήσεται πρὸς ἑαυτὸν ὁ κατ' ἄλλο μὲν γινώσκων τὸ γ'. κατ' ἄλλο δὲ ἀγνοῶν. τὸ γ' ἐστὶ τετράγωνον
δ' τετράγωνά ἐστιν. ἅ ἐστι τετραπλάσια τοῦ α' β' γ' δ' τετραγώνου. τὸ δὲ α' ζ' θ' τετράγωνον. τὸ ἀπὸ τῆς δια
μέτρου ἀναγραφόμενον τῆς δ' α'. ὃ καὶ ἀπαρτίζεται διὰ δ' τριγώνων, διπλάσιόν ἐστι τοῦ α' β' γ' δ' τε
τραγώνου. τοῦ ἐκ δύο τριγώνων συνισταμένου. τὰ γὰρ δ' τρίγωνα, διπλάσιόν ἐστι τῶν δύο τριγώνων. καὶ γὰρ
ὁ δοῦλος τοῦ μένωνος οὐδαμοῦ προηπίστατο τὸ καθ' ἕκαστον ἤγουν τὸ μερικὸν τοῦτο θεώρημα τὸ ἀπὸ
τῆς διαμέτρου ἀναγραφόμενον τετράγωνον καὶ τὰ ἑξῆς. κἂν κατὰ τὸν καθόλου λόγον τοῦτο ἐγίνω
σκεν ἡ τούτου ψυχὴ, τὸ ὅτι πᾶν τὸ ἀπὸ τῆς διαμέτρου ἀναγραφόμενον τετράγωνον διπλάσιόν ἐστι τοῦ
τετραγώνου οὗ ἐστιν ἡ διάμετρος. οὐ καὶ λήθην ἔσχηκεν ἐμπεσοῦσα τῷ σώματι. ἅμα δὲ τῇ ἐπαγωγῇ ἤ
γουν τῇ αἰσθήσει. ἤγουν ἅμα τῷ ἰδεῖν τὸ τοιοῦτον τετράγωνον καταγεγραφὲν περὶ τοῦ σώματος, εὐ
θὺς ἔσχηκε καὶ τὴν μερικὴν ἐπιστήμην καὶ γνῶσιν αὐτοῦ ἀναγνωρίσας ὥσπερ αὐτὸ τὸ μερικὸν ἐν τῷ ἐλ
θεῖν ἐς τὴν καθόλου γνῶσιν τοῦ τοιούτου θεωρήματος. ἔνια γὰρ ἤγουν τὰ μερικὰ, εὐθὺς ἴσμεν ἅμα τῷ
ἰδεῖν οἷον τὸ τρίγωνον τὸ ἐν τῇ χειρὶ κεκρυμμένον μὲν ὂν, ἀγνοοῦμεν εἰ τρίγωνον ὅλως ἐστίν. ἅμα δὲ τῷ
ἀναπτυχθῆναι καὶ τεθῆναι, εὐθὺς ἔγνωμεν ὅτι ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. ὁμοίως δὲ
καὶ ἐπὶ τῶν ἄλλων ἤγουν τῆς ἡμιόνου. τὰ γὰρ ἐν μέρει ἤγουν τὴν δὲ τὴν μερικὴν ἡμίονον θεω
ροῦμεν καὶ γινώσκομεν ἄτοκον εἶναι ἐν τῇ καθόλου ἐπιστήμῃ. ἤγουν ἐν τῷ εἰδέναι ὡς πᾶσα ἡμίο
νος ἄτοκος. ἐν δὲ τῇ οἰκείᾳ γνώσει ἤγουν ἐν τῇ κατ' αἴσθησιν καὶ μερικῇ γνώσει, οὐκ ἴσμεν τὴν με
ρικὴν ἡμίονον ἄτοκον. συμβαίνει γὰρ ἀπατηθῆναι ἔγκυον εἶναι, ἐν τῷ ἔχειν τὴν γαστέρα ἐξωγκω
μένην. λαβόντες ὡς παρὰ τὸ ἐξωγκωμένην ἔχειν τὴν γαστέρα ἔγκυόν ἐστι καὶ τίκτει. ὥστε ἐνδέχε
ται ἡμᾶς τὸ καθόλου γινώσκοντας, ὡς πᾶσα ἡμίονος ἄτοκος, ἀπατᾶσθαι περὶ αὐτὰ τὰ μερικὰ διὰ
τὸ ἐξωγκωμένην ἔχειν τὴν γαστέρα. πλὴν οὐκ ἐναντίως. ἤγουν οὐκ ἐναντιούμεθα πρὸς ἑαυτοὺς ἀλ
λὰ πρὸς τὸ πρᾶγμα. ἔχοντες γὰρ τὴν καθόλου γνῶσιν ἀπατώμεθα περὶ τὴν κατὰ μέρος καὶ κατ'
αἴσθησιν γνῶσιν. ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν προειρημένων. ἤγουν τοῦ τετραγώνου, καὶ τοῦ τριγώνου. ἡ γὰρ
ἀπάτη ἡ κατὰ τὸ μέσον. ἤγουν ἡ ὅτι ἥδε ἐξωγκωμένην ἔχον τὴν γαστέρα ἄτοκόν ἐστι, οὐκ ἔστιν ἐναν
τίον τῇ ἐπιστήμῃ καὶ γνώσει τῇ διὰ συλλογισμοῦ ἐπιγενομένῃ ἡμῖν. τῇ ὅτι ἥδε ἡ ἡμίονος ἄτοκός ἐστιν.
ποία γὰρ ἐναντιότης θεωρηθήσεται τῇ ὑπολήψει καὶ γνώσει τῇ οὐδὲν ἐξωγκωμένην ἔχει τὴν γαστέρα
ἄτοκόν ἐστιν, πρὸς τὴν ἀληθῆ δόξαν τὴν ὅτι ἥδε ἡ ἡμίονος ἄτοκός ἐστιν. διότι καὶ πᾶσα ἄτοκός ἐστιν.
οὐδὲ ἡ ὑπόληψις ἡ καθ' ἑκάτερον τῶν μέσων. ὅτι πᾶσα ἡμίονος ἄτοκος. καὶ ὅτι οὐδὲν ἐξωγκωμένην
ἔχον τὴν γαστέρα ἄτοκόν ἐστιν, ἐναντίας ἔχουσι πρὸς ἀλλήλας. ἕτεραι γὰρ ἀλλήλων εἰσί. τί γὰρ κωλύει
τὸν εἰδότα ὅτι τὸ α' ὅλῳ ὑπάρχει τῷ β'. καὶ τοῦτο τὸ β' ὑπάρχει τῷ γ' παντί. Ἰστέον ὅτι αὐτὴ τοῦ δο
κεῖν δι' ἅπερ γ'. οἰηθῆναι αὐτὸν, ὅτι τὸ α' οὐχ ὑπάρχει τῷ γ'. οὐ γὰρ ἐπίσταται τὸ α' τῷ γ'. οὐκ ἀκριβῶς
οἶδεν ὅτι τὸ α' οὐχ ὑπάρχει τῷ ἐξωγκωμένην ἔχοντι τὴν γαστέρα μὴ συνθεωρῶν καὶ συμμιγνύων τὸ
καθ' ἑκάτερον. ἤγουν μὴ συλλαβὼν καὶ τὴν ἐλάττονα πρότασιν. τὴν, ἥδε ἡ ἡμίονος ἐξώγκωται τὴν
γαστέρα. καὶ ἐν τῷ λαβεῖν τὰς δύο ταύτας προτάσεις ἐνεργείᾳ συλλογίσασθαι ὅτι ἥδε ἡ ἡμίονος ἄτο
κος οὐκ ἔστιν. ὥστε δῆλον ὅτι εἰ τὸ μὲν, ἤγουν τὸ καθόλου γινώσκει τις. τὸ δὲ ἤγουν τὸ μερικὸν μὴ οἶδεν,
ἀπατηθήσεται μὲν ἤγουν ἀπάτη γίνεται οὐ πρὸς ἑαυτόν. ἀλλὰ πρὸς τὸ πρᾶγμα ὅπερ ἔχουσιν αἱ κα
θόλου ἐπιστῆμαι καὶ γνώσεις. πρὸς τὰς μερικὰς ἐπιστήμας. γινώσκοντες γὰρ τὸ καθόλου τὸ μερικὸν
ἀγνοοῦμεν. ἰδόντες γὰρ ἐλέφαντα. οὐδὲ οἴδαμεν ὅλως εἰ ἐλέφαντός ἐστιν. οὐδὲν γὰρ τῶν αἰσθητῶν ἔξω τῆς

φυλλορροεῖν παντὶ πηγνυμένῳ ὀπῷ. οὗτος δὲ πάσῃ ἀμπέλῳ. τοῦ δὲ ἑτέρου συλλογισμοῦ, ἐρῶ τὴν μέσην πρότασιν. ὅτι τὸ φυλλορροεῖν, οὐδενὶ πλατυφύλλῳ. Ἐπὶ δὲ τοῦ προτέρου λεχθέντος. μέσον λέγει τὸ α. ὡς κατηγορούμενον καὶ τοῦ β. καὶ τοῦ γ. ἀντὶ γοῦν τούτου οὐκ ἐγχωρεῖ ὑπολαμβάνειν ἤγουν ἐναντίας δόξας ἔχειν καὶ μάχεσθαι πρὸς τὸ πρᾶγμα. ἀλλὰ πρὸς ἑαυτοὺς διαμαχόμεθα, ἂν λάβωμεν καθ' ἕτερον τῶν ὅρων ἀμφοτέρας τὰς προτάσεις. οἷον καὶ ὅτι τὸ α παντὶ τῷ β. καὶ τὸ β παντὶ τῷ δ. καὶ πάλιν ὅτι τὸ α οὐδενὶ τῷ γ. καὶ τὸ γ παντὶ τῷ δ. οὐ μόνον γὰρ διὰ συλλογισμῶν συνάγομεν τὸ α καὶ παντὶ τῷ δ ὑπάρχειν καὶ οὐδενί, ὅπερ ἑκατέρας ἀντίφασις ἐστὶ τὸ πρὸς ἑαυτοὺς διαμάχεσθαι. καὶ ἐνεργεῖ καὶ κατὰ ταυτὸν τὸ αὐτὸ εἰδέναι καὶ ἀγνοεῖν. ἀλλ' ἐπεὶ καὶ τὸ β καὶ τὸ γ παντὶ τῷ δ ὑπάρχουσι, γίνεται τὸ τρίτον σχῆμα. καὶ ἂν μὲν ἀντιστρέφωσιν οἱ ὅροι, συνάγεται τὸ β παντὶ τῷ γ. καὶ ἀντιστραφήσεται. καὶ τὸ γ παντὶ τῷ β ὑπάρχει. ὥστε ἂν τὸ α οὐδενὶ τῷ γ. τὸ δὲ γ παντὶ τῷ β. συνάγεται τὸ α οὐδενὶ τῷ β. ἦν δὲ καὶ παντὶ ὃ ἀδύνατον. ἂν δὲ οὐκ ἀντιστρέφωσιν οἱ ὅροι, συνάγεται τὸ β τινὶ τῷ γ. ὥστε καὶ τὸ γ τινὶ τῷ β. ἀντιστρέφει γὰρ ἡ τις πρὸς ἑαυτήν. καὶ ἐπεὶ τὸ α οὐδενὶ τῷ γ. τοῦτο δὲ τινὶ τῷ β, ἔσται καὶ τὸ α οὐ παντὶ τῷ β. ἦν δὲ καὶ παντί. οὕτως οὖν ποιοῦντες διαμαχόμεθα πρὸς ἑαυτοὺς καὶ πρὸς τὸ πρᾶγμα. Πρότασιν λέγει τὴν ὅτι τὸ α παντὶ τῷ β. ἥτις ἐστὶν ἢ ἁπλῶς καὶ καθόλου ἐναντία τῷ συμπεράσματι τῷ συνάγοντι τὸ οὐδενί. ἢ ἀντί τι ἐναντία. ἤγουν ἀντιφατικῶς ἀντικειμένη τῷ οὐ παντὶ συμπεράσματι. καὶ οὕτως οὖν πρὸς ἑαυτοὺς διαμαχόμεθα. ὥστε ἂν τὸ α ὑπάρχει παντὶ ᾧ τὸ β. ἤγουν παντὶ τῷ β. τὸ δὲ β παντὶ τῷ δ. ἔσται τὸ α παντὶ τῷ δ. τὸ δὲ ἕτερον συλλογισμὸν ὡς φιλοσύντομος παρέλαβε. καὶ ἴσα μὴ δόξῃ πολλάκις λέγειν τὰ αὐτὰ οἷον ὅτι τὸ α οὐδενὶ τῷ γ. τὸ δὲ γ παντὶ τῷ δ. ὥστε καὶ τὸ α οὐδενὶ τῷ δ. καὶ συμβαίνει οὕτω τὸ αὐτὸ εἰδέναι καὶ ἀγνοεῖν. καὶ ἐντεῦθεν μάχεσθαι ἑαυτοῖς. καὶ πάλιν ἂν τὸ α οὐδενὶ ᾧ τὸ γ. ἤγουν οὐδενὶ τῷ γ εἴπου ὑπάρχειν ᾧ τινι τῷ γ. τινὶ ὑπάρχει τῷ β. ὡς ἐν τῷ τρίτῳ σχήματι δέδεικται, οἴεται τὸ α οὐ παντὶ τῷ β ὑπάρχειν. τὸ δὲ α τὸ οἰόμενον παντὶ ὑπάρχειν ᾧ τὸ β ἤγουν παντὶ τῷ β οἴεσθαι πάλιν μὴ ὑπάρχειν. ἐκ τοῦ εἰπεῖν μὴ ὑπάρχειν δέδεικεν ἀδύνατον εἶναι, ἢ τὸ ἁπλῶς ἤγουν τὸ οὐδενί, ἢ τὸ ἀντί τι ἤγουν τὸ οὐ παντί, ἐναντίον εἶναι καὶ ὑπεμφαίνει πρὸς ἑαυτὸν διαμάχεσθαι. οὕτω μὲν οὖν οὐκ ἐνδέχεται ὑπολαβεῖν τὰ ἐναντία τῷ πράγματι. ἀλλ' οὕτω ποιοῦντες καὶ τὰς προτάσεις πάσας δύο τῶν συλλογισμῶν λαμβάνοντες, ἐναντιούμεθα πρὸς ἑαυτούς. καθ' ἕτερον δὲ συλλογισμὸν τὴν μίαν παραλιπεῖν πρότασιν ἤγουν τὴν ἐλάττονα καὶ εἰπεῖν τὸ α παντὶ τῷ β. τὸ β παντὶ τῷ δ. τοῦ δὲ ἑτέρου εἰπεῖν τὴν μείζονα πρότασιν ὅτι τὸ α οὐδενὶ τῷ γ. τὴν δὲ ἐλάττονα παραλιπεῖν οὐδὲν κωλύει πρὸς τὸ πρᾶγμα οὕτως ἐναντιοῦσθαι. τῆς γὰρ ἐλάττονος προτάσεως καταλειφθείσης τοῦ ἑνὸς συλλογισμοῦ, οὐ δυνάμεθα συνορᾶν τὸ ἐκ τούτων συναχθησόμενον. τὸ α τὸ οἰόμενον τινὶ ἀνθρώπῳ ὑπάρχειν. παντὶ τῷ β οἴεσθαι μὴ ὑπάρχειν πάλιν, ἐναντία ἐστίν. τὸ δὲ μὴ οἴεσθαι ἀληθές, ἢ ἀντὶ τοῦ οὐδενί, ἢ ἀντὶ τοῦ οὐ παντὶ τῷ β. πλείοσι πρώτοις ἤγουν ἀμέσως. καθ' αὑτὰ ἤγουν ἀμέσως. καὶ ταῦτα τῷ δ παντί. προσεκτέον ὅπως αἱ προτάσεις ἀληθῶς κατηγοροῦνται. εἴτε καὶ ἐκλαμβάνει αὐτὰς ἀντικειμένως. ὡσαύτως ἤγουν ἀμέσως. στοιχεῖα λέγει τὴν οὐσίαν. τὸ ζῷον. τὸ ἔμψυχον. τὸν ἄνθρωπον. ὡς ὄντα ἀπὸ διαιρέσεως μιᾶς κατηγορίας ἤγουν τῆς οὐσίας. οἷον ἂν τὸ α ὑπάρχει τῷ β παντί, καὶ τοῦτο τὸ α παντὶ τῷ γ. πάλιν ἐκτίθεται ὅπως αἱ προτάσεις ἀληθῶς κατηγοροῦνται. εἴτε καὶ τὰς ἐναντίας δόξας ἐκτίθεται. μὴ ὑπολαμβάνει καὶ μὴ γινώσκειν. Ἐπίσταται γάρ πως ὅτι τὸ α ὑπάρχει τῷ γ ἤγουν παντί. ἐπεὶ ἡ οὐσία παντὶ ἐμψύχῳ πρότασις καθολικωτέρα ἐστὶ τῆς οὐσία παντὶ ζῴῳ προτάσεως. καὶ ἐμπεριέχειν αὐτήν, λοιπόν. ὁ γινώσκων ὅτι ἡ οὐσία παντὶ ἐμψύχῳ, οἶδε καὶ ὅτι ἡ οὐσία παντὶ ζῴῳ δυνάμει. κἂν ἐνεργείᾳ ἀγνοῇ τοῦτο. καὶ δοξάζῃ ψευδῶς ὅτι ἡ οὐσία οὐδενὶ ζῴῳ. ὁ τοιοῦτος μάχεται οὐ πρὸς ἑαυτὸν ἀλλὰ πρὸς τὸ πρᾶγμα καὶ δὸ δυνάμει μὲν τοῦτο γινώσκει. ἐνεργείᾳ δὲ ἀγνοεῖ. ὁ πως ἤγουν δυνάμει ἐπίσταται τοῦτο ὅλως καὶ ἐνεργείᾳ. Οὕτω μὲν οὖν ποιοῦντες καὶ συνάγοντες τὸ αὐτὸ καὶ ἓν ἤγουν τὸ φυλλορροεῖν. κατά τε τοῦ αὐτοῦ καὶ ἑνὸς τῆς ἀμπέλου δηλονότι διὰ συλλογισμῶν. ὅτι καὶ πάσῃ τῇ ἀμπέλῳ ὑπάρχει καὶ οὐδεμιᾷ, οὐχ ὑπολαμβάνομεν τὰ ἐναντία τῷ πράγματι. ἀλλὰ πρὸς ἑαυτοὺς μαχόμεθα. ἂν δὲ ἀφ' ἑκατέρου συλλογισμοῦ λάβῃς τὴν μίαν πρότασιν τὴν μείζονα. τὰς δ' ἐλάττους ἐάσεις. οἷον ὅτι τὸ φυλλορροεῖν παντὶ πηγνυμένῳ ὀπῷ. καὶ οὐδενὶ πλατυφύλλῳ, περὶ τὸ πρᾶγμα ποιήσεις ἐναντίωσιν. ὅπως δὲ γίνεται τοῦτο θεωρήσομεν. ὁ γὰρ δοξάζων ὅτι τὸ φυλλορροεῖν παντὶ πηγνυμένῳ ὀπῷ δυνάμει περιεισάγει, ὅτι καὶ πάσῃ ἀμπέλῳ ὑπάρχει. καὶ ὁ ἀποφηνθεὶς τὸ φυλλορροεῖν οὐδενὶ πλατυφύλλῳ, δυνάμει περιεμφαίνει καὶ τὸ ψεῦδος τοῦτο. ὅτι τὸ φυλλορροεῖν οὐδεμιᾷ ἀμπέλῳ. ὁρᾷς ὅπως ἐναντίας ὑπολήψεις καὶ δόξας περὶ ἓν πρᾶγμα τὴν ἄμπελον ἔχομεν, ὡσαύτως καὶ περὶ τὸ πρᾶγμα ἡ ἐναντίωσις γίνεται, ὅταν τοῦ μὲν ἑνὸς συλλογισμοῦ τὰς δύο προτάσεις λαβών, συνάξεις τὸ φυλλορροεῖν πάσῃ ἀμπέλῳ ὑπάρχειν. τοῦ δὲ ἑτέρου συλλογισμοῦ τὴν μείζονα πρότασιν μόνον λάβῃς. ὅτι τὸ φυλλορροεῖν, οὐδενὶ πλατυφύλλῳ. ἐκ γὰρ ταύτης τῆς ψευδοῦς δόξης ἀνάγεται δυνάμει, τὸ ἐναντίον τῷ πράγματι. ὅτι τὸ φυλλορροεῖν οὐδενί, ἀμπέλῳ. Ἤγουν τοιαῦτα ἀπάτη καθ' ἣν ἀληθῶς δοξάζοντες τὸ φυλλορροεῖν πάσῃ ἀμπέλῳ

ἀνασκευάσαι καὶ λῦσαι αὐτὸν, μὴ λαβὼν καθόλου πρότασιν. χωρὶς γὰρ καθόλου προτάσεως, συλλογισμὸς οὐκ ἔσται. εἰ μὴ προσυλλογίζονται καὶ λαμβάνουσι τὰ συμπεράσματα τῶν προσυλλογισμῶν. ἵνα λαμβάνοντες καὶ τὰς προτάσεις τῶν προσυλλογισμῶν, οὐ δῆλοι ὦσι τὰς προσεχῶς συναγούσας τὸ συμπέρασμα. ὥσπερ μὴ ἐρωτᾷ τὰ προσεχῶς συνακτικὰ τοῦ συμπεράσματος. οἷον ἡ ἡδονὴ ἐφετόν. τὸ ἐφετὸν ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἀγαθόν. ἀλλὰ τὰ πόρρω. οἷον ἡ ἡδονὴ λυσιτελής. καὶ ἁπλῶς καὶ τὰς τῶν προσυλλογισμῶν προτάσεις. φανερὸν καὶ πότε ἔσται. νῦν διδάσκει πῶς δεῖ μὴ γίνεσθαι ἔλεγχον. παραδίδωσι γὰρ μεθόδους δι' ὧν ὁ ἀποκρινόμενος τὰς ἐρωτήσεις καλῶς ἀποδιδοὺς οὐκ ἂν παρὰ τοῦ ἐρωτῶντος ἐλεγχθήσεται, ὡς τἀναντία δοξάζων τοῦ προδιομολογηθέντος παρ' αὐτοῦ, ἔλεγχος γίνεται ὅταν τὶς συνάξῃ τὸ ἀντικείμενον τῇ ἀληθεῖ ὑποθέσει. οἷον εἰ τὸ προκείμενόν ἐστιν ὅτι ἡ ψυχὴ ἀθάνατος. συνάξεις δὲ ὅτι ἡ ψυχὴ θνητή ἐστιν. ἐπάγεις ἔλεγχον ἤγουν παραλογισμόν. ἔστι δὲ ὁ συλλογισμὸς ἐπὶ πλέον τοῦ ἐλέγχου. πᾶς μὲν γὰρ ἔλεγχος συλλογισμός. οὐ πᾶς δὲ συλλογισμὸς ἔλεγχος. Ἐάν των συγχωρουμένων καταφατικῶν παρὰ τοῦ ἐρωτωμένου. ἢ τῆς μιᾶς. τῆς δὲ ἑτέρας ἀποφατικῆς, ἔσται ἔλεγχος. ὥστε εἰ τὸ κείμενον ἤγουν ἐξ ἀρχῆς προτεθεῖσα ἀληθὴς ὑπόθεσις, ἐναντία ἐστὶν ἢ ἀντικειμένη τῷ συναχθέντι συμπεράσματι, γέγονεν ἔλεγχος. εἰ δὲ μηδὲν συγχωρεῖτο καταφατικὸν καθόλου. ἀλλὰ πάντα ἀποφατικὰ δίδωσιν ἢ μερικὰ, ἔλεγχος οὐκ ἂν γίνηται. ἐπεὶ οὐδὲ συλλογισμὸς ἐκ μερικῶν μόνων ἢ ἀποφατικῶν μόνων, γίνεται. ἐν ὅλῳ λέγει τὴν καθόλου πρότασιν. Συμβαίνει δ' ἐνίοτε καθάπερ ἐν τῇ θέσει.

Περὶ τῆς καθ' ὑπόληψιν ἀπάτης.

Δ Ιδέξας ἐν τῷ περὶ ἀναλύσεως ὅπως ἡ ἀπάτη γίνεται ἐκ τῆς θέσεως τῶν ὅρων. ἀπατώμεθα γὰρ λαμβάνοντες ὅρους τὰς ἕξεις ἀντὶ τῶν ἐκτῶν. ἢ λαμβάνοντες τὰς προτάσεις ἀπροσδιορίστους οἰόμεθα συλλογίζεσθαι. οἰόμενοι μηδὲν διαφέρειν πρὸς γένεσιν συλλογισμοῦ, τὸ τὰς προτάσεις λαμβάνειν προσδιωρισμένας εἴτε ἀπροσδιορίστους, νῦν διδάσκει πῶς ἐστι τὰ ἐναντία δοξάζειν περὶ τοῦ αὐτοῦ ψευδῶς. τὸ δὲ ψευδῶς δοξάζειν τὰ ἐναντία περὶ τοῦ αὐτοῦ, ἢ πρὸς τὸ πρᾶγμα γίνεται, ἢ πρὸς ἑαυτούς. καὶ πρὸς τὸ πρᾶγμα γίνεται διττῶς. ἢ ὅταν ἀμφοτέρας τὰς προτάσεις ἀγνοῶμεν. οἷον ὅταν θεασώμεθα ζῶον μὴ κύειν, νομίσωμεν αὐτὸ ἡμίονον εἶναι. ἔτι δὲ ἰδόντες αὐτὸ ὠγκωμένην ἔχειν τὴν γαστέρα, νομίσωμεν ὅτι ἔγκυόν ἐστι. καὶ συλλογισώμεθα οὕτως. ἥδε ἡ ἡμίονος ὤγκωται τὴν γαστέρα. πᾶν ὠγκωμένην ἔχον τὴν γαστέρα, ἔγκυόν ἐστιν. ἥδε ἄρα ἡ ἡμίονος ἔγκυός ἐστιν. ἢ ὅταν τὸ καθόλου γινώσκοντες τὸ μερικὸν ἀγνοῶμεν. γινώσκομεν γὰρ ὡς πᾶσα δυὰς ἀρτία ἐστίν. ἄν τις οὖν ἔροιτο ὡς πᾶσα δυὰς ἀρτία ἐστιν, ἐροῦμεν ναί. τί οὖν ἥδε ἡ δυὰς ἡ ἐν τῇ χειρί μου κεκρυμμένη ἀρτία ἐστίν, ἐροῦμεν οὔ. εἶτα συνάγει ὅτι τὸ αὐτὸ οἴδατε καὶ οὐκ οἴδατε δείξας ἣν ἔχει ἐν τῇ χειρί μου δυάδα. οὐκ ἀπεκρίθημεν δὲ ὅτι ἥδε ἡ δυὰς ἀρτία οὐκ ἔστιν. ἀλλ' ὅτι οὐκ οἴδαμεν εἰ δυὰς ὅλως ἐστίν. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ τριγώνου γενήσεται σόφισμα. ἢ ὅταν τὸ μερικὸν γινώσκοντες, τὸ καθόλου ἀγνοῶμεν. οἷον γινώσκομεν ὅτι ὅδε ὁ ἐλλέβορος καθαίρει. οὐ μὴν καὶ εἰ πᾶς ἐλλέβορος καθαίρει. καὶ οἴδαμεν ὅτι ἥδε ἡ θριδακίνη, ψύχει. εἰ δὲ καὶ πᾶσα ἀγνοοῦμεν. οὕτως οὖν ἐστιν ἐναντία φρονεῖν τῷ πράγματι. ἐναντία δὲ ἑαυτοῖς δοξάζομεν, ὅταν τὸ ἐναντίον διὰ συλλογισμοῦ συνάξωμεν. ὃ καὶ ἐσχάτης ἀποπληξίας ἐστί. δοξάζομεν δὲ τὰ ἐναντία ἑαυτοῖς. εἰ ζητήσομεν τὰ ἐναντία τῷ αὐτῷ συνάξαι. ἢ διὰ τοῦ αὐτοῦ μέσου, ἢ δι' ἄλλου καὶ ἄλλου. ἑκατέρως δὲ ἄτοπον. καὶ διὰ μὲν τοῦ αὐτοῦ μέσου ὅτι καὶ πρόδηλόν ἐστιν ἡ ἐναντίωσις, οὕτως. ἡ ἡδονὴ κατὰ φύσιν. τὸ κατὰ φύσιν ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἀγαθόν. καὶ πάλιν ἡ ἡδονὴ οὐ κατὰ φύσιν. τὸ οὐ κατὰ φύσιν οὐκ ἀγαθόν. ἡ ἡδονὴ ἄρα οὐκ ἀγαθόν. δι' ἄλλου δὲ καὶ ἄλλου μέσου δοξάζομεν τἀναντία, οὕτως. ἡ ἡδονὴ κατὰ φύσιν. τοῦτο δὲ ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἀγαθόν. καὶ πάλιν ἡ ἡδονὴ ἀλυσιτελές. τὸ ἀλυσιτελὲς οὐκ ἀγαθόν. ἡ ἡδονὴ ἄρα οὐκ ἀγαθόν. Συμβαίνει δ' ἐνίοτε. Τοῦτο τὸ θεώρημα, χρήσιμον ἡμῖν εἰς τὴν διαλεκτικὴν. καὶ σοφιστικὴν. καὶ καθ' ὑπόληψιν ἀπάτη καλεῖται. διδασκόμενοι γὰρ δι' αὐτοῦ ἀπατᾶν. ἐκφεύγειν δὲ τὸ μὴ ἀπατᾶσθαι παρ' ἄλλου. ὁ διὰ συλλογισμοῦ συνάγων τὰ ἀντικείμενα. οἷον ὅτι τὸ φυλλορροεῖν ὑπάρχει πάσῃ ἀμπέλῳ. διὰ μέσου τοῦ πηγνυμένου ὀποῦ. καὶ ὅτι οὐδεμιᾷ διὰ μέσου τοῦ πλατυφύλλου, οὗτος μάχεται αὐτὸς ἑαυτῷ. ὡς τὰς ἐναντίας δόξας περὶ τοῦ αὐτοῦ ἔχων. οὐ μέντοι γε δὲ καὶ πρὸς τὸ πρᾶγμα. μάχεται δὲ πρὸς τὸ πρᾶγμα, ὁ ἀφ' ἑκατέρου συλλογισμοῦ μείζονα μίαν λαμβάνων πρότασιν. οἷον ὅτι τὸ φυλλορροεῖν παντὶ πηγνυμένῳ ὀπῷ. καὶ πάλιν τὸ φυλλορροεῖν, οὐδενὶ πλατυφύλλῳ. ἐνταῦθα γὰρ εἶπεν ἀντικείμενα τῷ πράγματι. δύναμαι γὰρ εἰπεῖν ὅτι τὸ φυλλορροεῖν ὑπάρχει πάσῃ ἀμπέλῳ. καὶ οὐδεμιᾷ. ἐμαυτῷ δὲ οὐκ ἀντικειμένας ἐδόξασα. οὐδὲ γὰρ ἐξεφώνησα τὰς προτάσεις πάσας τῶν συλλογισμῶν ἐνεργείᾳ. οἷον ὅτι ὁ πηγνύμενος ὀπὸς ὑπάρχει πάσῃ ἀμπέλῳ. καὶ τὸ πλατύφυλλον πάσῃ ἀμπέλῳ. καὶ πάλιν εἰ εἴπω ὅτι ἡ ἡδονὴ κατὰ φύσιν. καὶ ὅτι ἡ ἡδονὴ ἀτελής, τὰ ἀντικείμενα ἐδόξασα, τῷ πράγματι. ἀλλ' οὐχὶ καὶ ἐμαυτῷ. δύναμαι γὰρ εἰπεῖν ὅτι ἡ ἡδονὴ ἀγαθὸν καὶ οὐκ ἀγαθόν. οὐ γὰρ καὶ ἐνεργείᾳ ἐξεφώνησα τὰς μείζονας προτάσεις ἑκατέρου συλλογισμοῦ. οἷον ὅτι τὸ ἀτελὲς, οὐκ ἀγαθόν. καὶ ὅτι τὸ κατὰ φύσιν ἀγαθόν. ὡσαύτως οὐ μάχομαι πρὸς ἐμαυτόν. ἀλλὰ πρὸς τὸ πρᾶγμα, εἰ τοῦ ἑνὸς μὲν συλλογισμοῦ εἴπω ἀμφοτέρας τὰς προτάσεις. οἷον ὅτι τὸ

ἀσυνάπτος ᾖ. Ἤγουν ὅτι ἡ ἐξ ἀρχῆς ὑπόθεσις ἀσυνάπτος ᾖ καὶ κεχωρισμένη τοῦ συλλογισμοῦ τοῦ συνάγοντος τὸ ἀδύνατον ἀπὸ τῶν μέσων. ἤγουν τῶν αἰτίων. ἢ οὕτω τὸ ἀπὸ τῶν μέσων νοητέον. ἐπει δὴ εἰ συνάπτοιτο ἡ ἐξ ἀρχῆς ὑπόθεσις τῷ ἤδη φαινομένῳ συλλογισμῷ. ἢ κατὰ τὸν ὑποκείμενον ὅρον ἐν τῷ συμπεράσματι συνάπτοιτο, οἷον ὁ κόραξ ἢ ὁ αἰθίοψ παντὶ ζώῳ. ἢ κατὰ τὸν κατηγορούμενον. οἷον ὅτι τὸ χρῶμα παντὶ λευκῷ. δι' ἀδυνάτου γίνεται, ὅταν τὸ ἀδύνατον συναχθῇ πρὸς τὴν ἀντίφασιν. ἤγουν διὰ τὸ ἀντιφατικῶς ληφθὲν τῇ ἀληθεῖ ὑποθέσει. ἡ ὑπόθεσις, οὐ συνεχής ἐστι τῷ συλλογισμῷ. ὡς ἐπὶ τοῦ εἰ ἡ διάμετρος σύμμετρός ἐστι τῇ πλευρᾷ, κίνησις οὐκ ἔστι. ἐδείκνυεν ὁ ζήνων μὴ εἶναι κίνησιν, οὕτως. πᾶν τὸ κινούμενον, μέγεθός τι κινεῖται. καὶ εἰ τοῦτο, ἀνάγκη τὸ ἥμισυ αὐτοῦ κινηθῆναι. καὶ πρὸ αὐτοῦ τὸ ἥμισυ τῆς ἡμίσεως. καὶ τοῦτο ἐπ' ἄπειρον. ὡς εἶναι ἐνέργεια τὸ ἄπειρον. ἀδύνατον δὲ τὸ κινούμενον διϊέναι τὰ ἐνεργείᾳ ἄπειρα ἡμίση. οὐκ ἄρα κίνησίς ἐστι. φασὶν ἐξ ἀρχῆς, νοητέον τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. ἤγουν ὅτι ἡ διάμετρος σύμμετρος τῇ πλευρᾷ. ἣν λέγει μὴ συνάπτεσθαι τῷ συλλογισμῷ τῷ συνάγοντι κίνησιν μὴ εἶναι. τὸ γοῦν ἄτοπον συνήχθη ὅτι κίνησις οὐκ ἔστιν οὐ παρὰ τοῦτο ἤγουν διὰ τὸ ὑποθέσθαι τὴν διάμετρον σύμμετρον τῇ πλευρᾷ. κεχώρισται γὰρ αὕτη τοῦ συλλογισμοῦ τοῦ τὸ ἀδύνατον συνάγοντος ἀλλὰ συνήχθη τὸ ἀδύνατον ὅτι κίνησις οὐκ ἔστιν, ἐκ τοῦ λαβεῖν, ὅτι δύναται τὸ μέγεθος εἰς ἄπειρα ἐνεργείᾳ τέμνεσθαι. καὶ διατρέχειν ἄπειρα ἡμίση ἐνεργείᾳ. φανερὸν οὖν ὅτι τὸ συναχθὲν ἀδύνατον εἰ μὲν συνεχίζεται τοῖς ἐξ ἀρχῆς ὅροις. ἤγουν ἢ τῷ α. εἰ πρὸς τὸ κάτω γίνεται ὁ συλλογισμός. ὅτι τὸ α τῷ δ οὐδενὶ ἢ παντί, ἢ εἰ τὸ β ὁ ἔσχατος ὅρος συνεχίζεται τῷ ζ εἰ πρὸς τὸ ἄνω γίνεται ὁ συλλογισμός. ὡς ἀπὸ τῶν ἀναγεγραμμένων σχημάτων ἐστὶ γνῶναι τὸ λεγόμενον, παρὰ τὴν ὑπόθεσιν συνήχθη τὸ ἀδύνατον. εἰ δὲ οὐ συνεχίζεται τὸ ἀδύνατον ἢ τῷ μείζονι ὅρῳ ἢ τῷ ἐλάττονι, οὐ παρὰ τὴν ὑπόθεσιν συνήχθη τὸ ἀδύνατον. καὶ γίνεται τὸ μὴ παρὰ τοῦτο. ἢ οὐχ οὕτως ἀεί. τοῦτο ἐνστατικῶς ἐστι πρὸς τὸ εἰρηθέν. οὐδὲ γὰρ εἰ τὸ ἀδύνατον συνεχίζεται τοῖς ἄκροις ὡς εἴπομεν ἀεὶ διὰ τὴν ὑπόθεσιν λαμβάνει τὸ ἀδύνατον. εἰ γὰρ ἀφαιρεθῇ ἡ ὑπόθεσις καὶ ἑτέρα τεθῇ, οὐδὲν ἧττον συμβαίνει, καὶ αὖθις τὸ ἀδύνατον συνάγεσθαι. εἰ γὰρ ἀφαιρεθῇ τὸ β. τεθῇ δὲ ἀντὶ τούτου, τὸ κ, πάλιν τὸ αὐτὸ ἀδύνατον συναχθῇ ὃ συνήγετο, καὶ τοῦ β κειμένου. εἰ γὰρ τὸ αἰσθητικὸν συνήχθη οὐδενὶ ἀνθρώπῳ διὰ τοῦ β, τὸ αὐτὸ πάλιν συνάξει διὰ τοῦ κ. οἷον ὅτι τὸ αἰσθητικὸν οὐδενὶ μετακινουμένῳ ἀπὸ τόπου εἰς τόπον δι' ἑαυτοῦ. τὸ μετακινούμενον παντὶ ζώῳ δι' ἑαυτοῦ. τὸ ζῶον παντὶ ἀνθρώπῳ. τὸ αἰσθητικὸν οὐδενὶ ἀνθρώπῳ. ἐνδέχεται γὰρ τὸ αὐτὸ ἀδύνατον συνάγεσθαι, διὰ διαφόρων ψευδῶν ὑποθέσεων. ἢ τὸ μὴ ὄντος τούτου. τοῦτο λύσις τῆς ἐνστάσεως. καὶ φησὶν ὅτι τὸ μὴ ὄντος τούτου, οὐ τοῦτο δηλοῖ, ὅτι ἀφαιρεθείσης τῆς ψευδοῦς ὑποθέσεως ἐξ ἧς τὸ ἀδύνατον, θέσεως αὖθις ἑτέρας ψευδοῦς. πάλιν γὰρ ἑτέρας ψευδοῦς τεθείσης, οὐδὲν ἧττον τὸ αὐτὸ ἀδύνατον συναχθήσεται. ἀλλ' ὅτι τὸ μὴ παρὰ τοῦτο γίνεται, ὅταν ἀφαιρεθείσης τῆς ὑποθέσεως ἐξ ἧς τὸ ἀδύνατον δοκεῖ συναχθῆναι ἀπὸ τῶν καταληφθεισῶν προτάσεων τὸ αὐτὸ ἀδύνατον συνάγεται. τὰ στοιχεῖα τὰ δ' ἐν ἀλλοτρίοις τόποις ὄντα κινοῦνται τὴν κατ' εὐθεῖαν κίνησιν ἄνωθεν. ἢ κάτω ἢ κάτωθεν. τὴν δὲ πλαγίαν κίνησιν μόνα τὰ ζῶα κινοῦνται. τὴν καὶ προαιρετικὴν καλουμένην. τοῦ τριγώνου ἡ ἐκτὸς γωνία, μείζων μέν ἐστιν ἑκάστης γωνίας. ἤγουν τῆς ὑπὸ α καὶ τῆς ὑπὸ β. τῶν δὲ δύο ὁμοῦ ἴση. καὶ τοῦ τριγώνου αἱ ἐντὸς τρεῖς γωνίαι, ἴσαι εἰσὶ δυσὶν ὀρθαῖς γωνίαις. οὐ μὴν πλείοσιν ἤγουν μείζοσιν.

Περὶ ψευδοῦς λόγου.

Ὁ δὲ ψευδὴς συλλογισμὸς, γίνεται παρὰ τὸ α ψεῦδος. ἤγουν παρὰ τὴν μείζονα πρότασιν ψευδῆ οὖσαν. εἰ ἡ ἑτέρα ἐστὶν ἀληθὴς ἢ πολλάκις εἰσὶ ψευδεῖς καὶ αἱ δύο προτάσεις. ἐπεὶ τὸ κατὰ συλλογίζεσθαι καὶ ἐλέγχεσθαι ἐκ ψευδῶν προτάσεων γίνεται. ἢ καὶ τῶν δύο. ἢ καὶ τῆς μιᾶς. ἤγουν τῆς μείζονος εἰ καὶ ἐκ δύο προτάσεων ὁ συλλογισμὸς γέγονεν. εἰ δὲ ἐκ πλειόνων, ἀνάγκη περὶ μίαν τούτων τὸ ψεῦδος συναχθῆναι, δίδωσι τῷ ἐρωτωμένῳ μεθόδους. πῶς ὀφείλει ἀποκρίνεσθαι ἵνα μὴ ἐλεγχθῇ. εἰ γοῦν ὁ ἐρωτῶν, ἐρωτᾷ προτάσεις διαφόρους. οὐκ ἐπάγει δὲ τὰ συμπεράσματα τῶν προσυλλογισμῶν, ἵνα λάθῃ τὸν προσδιαλεγόμενον τὸ σπουδαζόμενον παρ' αὐτοῦ συναχθῆναι. διότι καὶ ὁ ἐρωτῶν, οὐκ ἐφεξῆς ἐρωτᾷ τὰς προτάσεις. ἀλλὰ διεσπαρμένας. οἷον, εἰ πρόκειται δειχθῆναι ὅτι ἡ ἡδονὴ ἀγαθὸν, ἐρωτᾷ. ἡ ἡδονὴ κατὰ φύσιν. ἡ ἡδονὴ ἀνεπιτελής. τὸ δὲ ἡ ἡδονὴ αἱρετόν. τὸ δ' ἀναιρετικόν. τὸ αἱρετὸν ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἀγαθόν. δεῖ γοῦν τὸν ἐρωτώμενον προσέχειν, ἵνα μὴ δὶς συγχωρήσῃ τὸν αὐτὸν ὅρον. εἰ γὰρ οὐ δὶς συγχωρήσει, οὐκ ἂν ὁ ἐρωτῶν ἰσχύσῃ συλλογίσασθαι ἐκ προτάσεων ἀσυναρτήτων. τὸ γὰρ σχῆμα ἤγουν ὁ συλλογισμὸς, κοινωνία ἐστὶ δύο προτάσεων καθ' ἕνα ὅρον. τὸ γὰρ σχῆμα ἤγουν ὁ συλλογισμὸς, κοινωνία ἐστὶ δύο προτάσεων καθ' ἕνα ὅρον. εἰ δὲ ἐκ δύο προτάσεων ὁ ἐρωτῶν μέλλει συλλογίσασθαι, ἐκ τοῦ μέσου ἀρκτέον. οἷον τὸ κατὰ φύσιν ἀγαθόν. ἡ ἡδονὴ κατὰ φύσιν. ἡ ἡδονὴ ἄρα ἀγαθόν. ἐνταῦθα δὲ παραδίδωσι μέθοδον τῷ ἐρωτῶντι πῶς ὀφείλει ἐρωτᾶν, ἵνα λάθῃ τὸν προσδιαλεγόμενον. δεῖ δὲ τὸν ἐρωτώμενον παρατηρεῖν ἐν ποίῳ σχήματι τὸ πρόβλημα μέλλει συναχθῆναι. καὶ εἰ μὲν καθόλου ἐστὶ καταφατικὸν μὴ συγχωρεῖν καθόλου πρότασιν καταφατικήν. εἰ δὲ ἀποφατικὸν καθόλου ἐπεὶ τοῦτο ἐν δευτέρῳ σχήματι συνάγεται, εὐλαβεῖται δοῦναι ἀποφατικὴν καθόλου. εἰ δὲ μερικόν.

καὶ τὰ αὐτὰ κατὰ τὸ αὐτό, οὕτω δείκνυνται καὶ ἐπὶ τοῦ ἀποφατικοῦ μερικοῦ ἀμφότεραι. ἤγουν τὸ ἄλλο ἀπὸ τῶν ἄλλων καὶ τὰ ἄλλα ἀπὸ τοῦ ἄλλου. ἀλλ' ἐπ' ἄλλου ἀποφατικοῦ μερικοῦ, τὰ ἄλλα ἀπὸ τοῦ ἄλλου οὐ γίνονται. ἐπὶ τοῦ δευτέρου καὶ τρίτου σχήματος ἐφ' ἑνὸς ἑκάστου τῶν καθόλου συλλογισμῶν καὶ ἄμφω δείκνυνται. καὶ τὸ ἄλλο ἀπὸ τῶν ἄλλων καὶ τὰ ἄλλα ἀπὸ τοῦ ἄλλου. Σημείωσαι ὅτι ἐν δευτέρῳ σχήματι ἐπὶ τοῦ συλλογισμοῦ τοῦ ἀπὸ τῆς πᾶς καὶ οὐ πᾶς ἔστι τὰ ἄλλα ἀπὸ τοῦ ἄλλου μόνον. ὅταν δὲ ἀποφατικῶς μερικῶς, ὅταν τὰ ἄλλα ἀπὸ τῶν ἄλλων οὐ γίνεται. ἔστι δὲ ἐν μὲν ταῖς ἀποδείξεσι, τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ὡς τὰ κατὰ ἀλήθειαν οὕτως ἔχοντα. ὥστε ἀληθῶς εἶναι ταυτά. τὸ γὰρ λεπτομερὲς καὶ τὸ εὐκίνητον καὶ τὸ κοῦφον, ἀληθῶς ἐστι ταυτά. ὁ γοῦν συνάγων τὸ πῦρ εἶναι κοῦφον ἐκ τοῦ εἶναι λεπτομερές, τὸ λεπτομερὲς εὐκίνητον. τὸ εὐκίνητον κοῦφον τὸ ἐν ἀρχῇ αἰτεῖται. ἐν δὲ ταῖς διαλεκτικαῖς τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ἐμφαίνεται ὡς τὰ κατὰ δόξαν. τινὲς γὰρ ἐδόξασαν τὸν πλοῦτον εἶναι εὐζωίαν. τὴν δὲ εὐζωίαν καὶ τὴν φιλίαν, ἀγαθόν. κατ' ἐκείνους οὖν ταυτόν ἐστι τὸ εὖ ζῆν ἤγουν ὁ πλοῦτος καὶ τὸ ἀγαθόν. Τὸ μὴ παρὰ τοῦτο γίνεται, ὅταν τις τὸ ἀναίτιον θείη ὡς αἴτιον τοῦ ψεύδους. ψευδῆ γὰρ συνάγει συμπεράσματα καὶ τοῦτο. ὅθεν καὶ περὶ τούτου διδάσκει. ἵνα μὴ ἀποδεικνύοντες τοῦτο λαμβάνωμεν. συνίσταται δὲ οὐκ ἐν δεικτικῷ συλλογισμῷ. ἤγουν ἐν τῇ ἐπ' εὐθείας δείξει. ἀλλ' ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. ψευδῆ γὰρ καὶ ἀδύνατα συνάγει καὶ τὸ μὴ παρὰ τοῦτο. ὡς καὶ ὁ δι' ἀδυνάτου συλλογισμός. καὶ ἐν μὲν τῇ ἐπ' εὐθείας δείξει, οὐ συνίσταται. διότι αὕτη ἐκ δύο προτάσεων σύγκειται. ἢ ἀληθῶν, καὶ τὸ συμπέρασμά ἐστιν ἀληθές. ἢ ἡ μία ἐστὶν ἀληθής. ἡ δὲ ἑτέρα ψευδής. καὶ ἀνάγκη συναχθῆναι τὸ ψεῦδος παρὰ τὴν ψευδῆ πρότασιν καὶ οὐ δύνασαι εἰπεῖν, μὴ παρὰ ταύτην συναχθῆναι. ἢ πολλάκις καὶ αἱ δύο εἰσὶ ψευδεῖς. καὶ εἰσὶν ἀμφότεραι αἴτιαι τοῦ ψεύδους. ἀνάγκη ἄρα ἐν τῷ δι' ἀδυνάτου συλλογισμῷ συνίστασθαι τὸ μὴ παρὰ τοῦτο. ὥσπερ γὰρ ἐν τῷ δι' ἀδυνάτου. λαμβάνοντες τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ ἀληθεῖ ὑποθέσει. καὶ μίαν ἀληθῆ πρότασιν. καὶ συνάγοντες ψεῦδος, οὕτω καὶ ἐν τῷ μὴ παρὰ τοῦτο. λαμβάνοντες τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ ἀληθεῖ ὑποθέσει. καὶ δύο προτάσεις καὶ συνάγοντες ψεῦδος. πλὴν οὐ διὰ τὸ ἀντικείμενον τῇ ἀληθεῖ ὑποθέσει συνήχθη τὸ ψεῦδος. ἀλλὰ παρὰ μίαν τῶν κειμένων προτάσεων. ἐν δὲ τῷ δι' ἀδυνάτου, διὰ τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ ἀληθεῖ ὑποθέσει συνήχθη τὸ ψεῦδος. καὶ ὅτι ὁ δι' ἀδυνάτου, ἐκ δύο προτάσεων συνίσταται ἀληθοῦς καὶ ψευδοῦς. τὸ δὲ μὴ παρὰ τοῦτο, ἐκ τριῶν προτάσεων. μιᾶς μὲν, τῆς ἀντικειμένης τῇ ἀληθεῖ ὑποθέσει καὶ ἑτέρων δύο. καὶ ὅτι ἐπὶ τοῦ ἀδυνάτου ψεύδους συναχθέντος. ἀπὸ τῆς ὑποτεθείσης ψευδοῦς ὑποθέσεως ἀναιρεῖται αὕτη. εἰσάγεται δὲ ἡ ἀληθής. ἐπὶ δὲ τοῦ μὴ παρὰ τοῦτο, τοῦτο μόνον δείκνυται ὅτι οὐ παρὰ τὴν ὑποτεθεῖσαν ὑπόθεσιν τὸ ψεῦδος συνήχθη. μὴ παρὰ τοῦτο γοῦν ἐστιν, ὅταν καὶ οὔσης τῆς ὑποτεθείσης ὑποθέσεως καὶ μὴ οὔσης, τὸ αὐτὸ συνάγεται ἄτοπον. οἷον ἡ μὲν ἀληθὴς ὑπόθεσίς ἐστιν, ὅτι ὁ μετὰ δεῖπνον περίπατος, ὑγιεινός. εἰ δέ τις ἐρεῖ μὴ εἶναι ὑγιεινόν, οὐκ ἔσται κίνησις. πᾶν γὰρ τὸ κινούμενον ἢ ἐν ᾧ ἐστι κινεῖται ἢ ἐν ᾧ οὐκ ἔστιν. ἀλλὰ μὴν ἑκατέρως ἀδύνατον. οὔτε γὰρ ἐν ᾧ ἐστι δύναται κινηθῆναι. ἐν ᾧ γὰρ ἐστιν ἵσταται, οὔτε ἐν ᾧ οὐκ ἔστι κινηθήσεται. πῶς γὰρ δύναται κινηθῆναι ἐν ᾧ οὐκ ἔστι τόπῳ. ὥστε κίνησις οὐκ ἔστι. τοῦτο δὲ τὸ ἄτοπον γίνεται κἂν ὁ μετὰ δεῖπνον περίπατος ὑγιεινὸς ὑποτεθῇ εἴτε μή.

Πρῶτον μέν ἐστιν ἐν τῷ εἰς τὸ ἀδύνατον. ἀδυνάτους συλλογισμοὺς καλεῖ πάντας τοὺς ψευδῆ συνάγοντας. φησὶν οὖν ὅτι τὸ μὴ παρὰ τοῦτο ψεῦδος, ἐν τοῖς ψευδέσι συλλογισμοῖς ἐστιν ἀλλ' οὐκ ἐν πᾶσι. ἀλλ' ἐν τοῖς δι' ἀδυνάτου. δι' ἀδυνάτου δέ ἐστιν, ὅταν τὸ ψεῦδος ὃ ἐδείχθη δι' ἀδυνάτου, ἀντίφασίς ἐστιν. ἤγουν ἀντιφατικῶς ἀντίκειται τῇ ἀληθεῖ ὑποθέσει. οὔτε γὰρ μὴ ἀντιφήσας τὴν αἰτίαν λέγει δι' ἣν ἐν τῷ δεικτικῷ ἤγουν τῇ ἐπ' εὐθείας δείξει, οὐ συνάγεται τὸ μὴ παρὰ τοῦτο. καὶ φησὶν ὅτι ἐπεὶ τὸ ἀντιφατικῶς ἀντικείμενον ἢ ἐναντίως τῇ ἀληθεῖ ὑποθέσει μὴ λαβών τις, οὐ δύναται εἰπεῖν ὡς οὐ παρὰ τοῦτο συνήχθη. τοῦτο γὰρ λέγομεν ἐν τῷ δι' ἀδυνάτου, ὅτι οὐ παρὰ τὴν ἐξ ἀρχῆς ληφθεῖσαν ὑπόθεσιν ἀληθῆ, συνῆκται τὸ ψεῦδος ἀλλὰ παρὰ τὸ ἀντικείμενον αὐτοῦ. τοῦτο δὲ οὐ δυνατὸν εἰπεῖν ἐπὶ τῶν δεικτικῶν. ἤγουν τῶν ἐπ' εὐθείας συλλογισμῶν. διὰ γὰρ τῶν κειμένων συνήχθη τὸ ψεῦδος. ἀλλὰ μᾶλλον ἐκεῖ λέγομεν ἐπὶ τοῦ δεικτικοῦ τοῦ ψεῦδος συνάγοντος, ὡς μία πρότασις εἴληπται ψευδής. ὅτι δὲ τὸ μὴ παρὰ τοῦτο οὐ λέγεται ἐπὶ τοῦ δεικτικοῦ. τοῦ τὸ ψεῦδος συνάγοντος, δῆλον. οὔτε γὰρ τὴν ἀληθῆ πρότασιν ἐροῦμεν αἰτίαν τοῦ ψεύδους. οὐ δύναται γὰρ τὸ ἀληθές, αἴτιον εἶναι τοῦ ψεύδους. οὐδὲ μὴν διὰ τὴν ψευδῆ ἐρεῖ τὸ μὴ παρὰ τοῦτο. διὰ γὰρ ταύτην τὸ ψεῦδος συνήχθη. Ἔτι ὅταν ἀναιρεθῇ τι δεικτικῶς. Δεικτικὸν ἐνταῦθα συλλογισμὸν νοητέον, τὸν δι' ἀδυνάτου διὰ τὸν κατηγορικὸν συλλογισμόν. ὡς γὰρ εἴπομεν ὁ δι' ἀδυνάτου, περαίνεται διὰ δύο ὑποθετικῶν καὶ ἑνὸς κατηγορικοῦ. ὅταν ἀναιρεθῇ τι δεικτικῶς. ἤγουν διὰ τοῦ ἀδυνάτου, οὐκ ἐροῦμεν τὸ μὴ παρὰ τοῦτο. διὰ τὸ ἐξ ἀνάγκης συναχθῆναι τὸ ἄτοπον. ἐκ τοῦ λαβεῖν τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ ἐξ ἀρχῆς ληφθείσῃ ἀληθεῖ ὑποθέσει. τὸ δὲ μὴ παρὰ τοῦτο λέγομεν, ὅταν τῆς ἐξ ἀρχῆς ὑποθέσεως ἀναιρεθείσης, οὐδὲν ἧττον συνάγεται ὁ συλλογισμὸς καὶ τὸ ἄτοπον. οὐ κοινὰς προτάσεις ἔχομεν. δύο τοῦ συλλογισμοῦ. καὶ ἑτέραν τῆς ὑποθέσεως. ἐπὶ δὲ τοῦ ἀδυνάτου, ἀναιρεθείσης τῆς ψευδοῦς ὑποθέσεως, οὐδὲν ἀδύνατον συμβαίνει. Ὅτι ἀπὸ τῆς ὑποθέσεως

ὅτι ὁ γ' περιττός, οὐδὲν κωλύει τὴν ἀντίφασιν αὐτῷ συνάξαι. ὅτι ὁ γ' ἄρτιος. ὁ παραλογισμὸς ἐγένετο τῷ διαχθῆναι τὸν γ' ἄρτιον. ἐκ τοῦ λαβεῖν πάντα ἀριθμὸν εἰς ἴσα διαιρούμενον, ἄρτιον εἶναι. ἐκεῖνος δὲ ἐστιν ἄρτιος ἀριθμός, ὁ εἰς ἴσους ἀριθμοὺς διαιρούμενος. ὡς ὁ ἕξ. εἰς τρία καὶ τρία. ὁ δὲ εἰς τρεῖς μονάδας διαιρούμενος, εἰς ἀριθμοὺς οὐ διαιρεῖται. ἡ γὰρ μονάς, ἀριθμὸς οὐκ ἔστιν ἀλλ' ἀρχὴ ἀριθμοῦ.
Καὶ τῷ ὑποκειμένους ὅρους. ἤτοι τοὺς αὐτοὺς εἶναι καὶ τοὺς ὑποκειμένους ὅρους ἐν τῷ συλλογισμῷ, ἀντικειμένας λαμβάνεσθαι. οἷον πᾶν ἀγαθόν, ἡδονή. καὶ οὐδὲν ἀγαθὸν ἡδονή. Ἔλεγχος δέ ἐστι συλλογισμὸς ἀντιφάσεως ἢ ἐκ δύο συλλογισμῶν οὐκ ἔστιν ἄλλον τρόπον ἢ τοῦτον. ἤγουν τῷ ἐκ δύο συλλογισμῶν συμπεραίνεσθαι τὰ ἀντικείμενα, ἢ τῷ κεῖσθαι τὰ ἀντικείμενα ἐν τῇ μείζονι προτάσει. ἰστέον ὅτι ἐνταῦθα ἀντίφασιν τὴν ἀντίθεσιν νοητέον. αὕτη γὰρ γένος ἐστί. καὶ τῶν ἐναντίων καὶ τῶν ἀντιφατικῶς ἀντικειμένων. ἐὰν οὖν λάβῃ τοιαύτας ἤγουν ἀντικειμένας προτάσεις, συνάξει τὴν ἀντίφασιν. ἤγουν τὴν ἀντίθεσιν. οἷον ὅτι ὁ γ' περιττὸς καὶ ἄρτιος. ἐλέγχους λέγει τοὺς παραλογισμοὺς ἤγουν τοὺς συλλογισμοὺς τοὺς συνάγοντας τὴν ἀντίθεσιν. ὥστε δεῖ εἶναι ἐναντία. ἤγουν ἐὰν δεῖ εἶναι τὰ ἐλημμένα ἤγουν τὰς ληφθείσας προτάσεις κατὰ ἀλήθειαν ἐναντίας. ἐξ ὧν συνάγεται συμπέρασμα ἔχον τὰ ἀντικείμενα, ἢ δύο συλλογισμοὺς ὀφείλεις ποιῆσαι ἔχοντας προτάσεις ἀντικειμένας, ἢ εἶναι ἐν ᾗ μείζων πρότασις ἔχει τὰ ἀντικείμενα. Περὶ τοῦ ἐν ἀρχῇ αἰτεῖσθαι.

Ἐν ἀρχῇ αἰτεῖσθαί ἐστιν, ὅταν τι δείκνυται δι' ἑαυτοῦ, πεφυκὸς δι' ἄλλου δείκνυσθαι. οἷον ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι. τὸ προκείμενον γὰρ εἰς ἀπόδειξιν, τοῦτο πάλιν λαμβάνομεν ὡς πρότασιν, ὡς κατασκευὴν αὐτοῦ. ἢ πάλιν λαμβάνομεν πρότασιν, δοκοῦσαν ἑτέραν εἶναι τοῦ προκειμένου. οὖσαν δὲ τὴν αὐτήν. οἷον ἡ ἡδονὴ αἱρετόν. τὸ αἱρετὸν ἀγαθόν. τὸ γὰρ αἱρετὸν καὶ τὸ ἀγαθὸν ταυτόν ἐστι. Γένος τοῦ ἐν ἀρχῇ αἰτεῖσθαί ἐστι, τὸ μὴ ἀποδεικνῦναι. εἰσὶ δὲ πολλοὶ τρόποι τοῦ μὴ ἀποδεικνύναι. οὐκ ἀποδεικνύομεν γάρ, καὶ ὅτε ἀσυλλογίστῳ συζυγίᾳ κεχρήμεθα. καὶ ὅτε ψευδέσι προτάσεσι. καὶ ὅτε ἐξ ἀντικειμένων συλλογιζόμεθα καὶ ὅτε ἀπὸ τῶν ὑστέρων τὰ πρῶτα δεικνύομεν. οἷον, ἡ σελήνη ἀντιφράττεται ὑπὸ τῆς γῆς διότι ἐκλείπει. ἢ ὅτι ἡ σελήνη σφαιροειδής, διότι ποικίλως φωτίζεται. ἢ ὅτι ἡ γυνὴ γάλα ἔχει, διότι τέτοκε. πρὸ γὰρ τριῶν ἡμερῶν τοῦ τεκεῖν, ἄρχονται οἱ μαστοὶ τῆς γυναικὸς ῥαίνειν γάλα, ἢ ὅτι ἀσαφές τι διὰ τοῦ ἀσαφεστέρου δεικνύομεν, ἢ δι' ὁμοίου ἀσαφοῦς. οἷον ἡ ψυχὴ πλῆθος μονάδων ἢ στιγμῶν, ἢ ὅτι ἡ ἀρετὴ γένεσις ὀρθοῦ λόγου. ἀλλ' οὐδὲν τούτων ἐν ἀρχῇ αἰτεῖσθαί ἐστιν. ἐπὶ πλέον γὰρ τὸ μὴ ἀποδεικνύναι τοῦ ἐν ἀρχῇ αἰτεῖσθαί ἐστιν. ὡς γένος ἐπὶ πλέον εἴδους. οὐκ ἔστι δὲ τὸ μὴ ἀποδεικνῦναι κυρίως γένος. διότι τὸ γένος καταφατικῶς ἐκφέρεται ἀλλ' οὐκ ἀποφατικῶς. ἀδύνατον γὰρ τὸ γένος εἶναι ἀπόφασιν. τὰ δὲ εἴδη καταφάσεις. καταχρηστικῶς δὲ εἴρηται γένος. Ἀρετή ἐστι γένεσις καὶ ἐνέργεια τοῦ ὀρθοῦ λόγου. ἤγουν τοῦ κρίνοντος τὰ πράγματα καὶ τὰ γνωστὰ ὡς ἔχουσι φύσεως. καὶ μὴ παρατετραμμένου τῆς ἀληθείας ὑπό τινος πλάνης. ἡ ψυχὴ πλῆθος μονάδων, καθόσον ἐστὶν ἀμερής. ἢ πλῆθος στιγμῶν. ἀμερὴς γὰρ ἡ ψυχή. καὶ διὰ τοῦτο καὶ αἱ δυνάμεις αὐτῆς ἐξ ὧν συνέστηκεν, ἀμερεῖς εἰσιν. ἀμερεῖς δὲ καὶ αἱ στιγμαί. οἱ πυθαγορικοὶ γὰρ συμβολικῶς, τὰς οὐσίας ἔλεγον ἀριθμούς. καὶ διὰ μὲν τῆς μονάδος, ἐδήλουν τὰ εἴδη. ἀμερῆ γὰρ καὶ ταῦτα ὡς ἐκεῖνα. διὰ δὲ τῆς δυάδος, τὴν ὕλην. ὡς γὰρ πᾶς ἀριθμὸς δίχα τὴν διαίρεσιν δέχεται, οὕτω καὶ πᾶν μέγεθος ἔστι διαιρετόν, διὰ τὴν ὕλην. καὶ γὰρ εἰ ὅλως μὴ συλλογίζεται. ἤγουν εἰ ἀσυλλογίστῳ συζυγίᾳ χρῆται. καὶ εἰ δι' ἀγνωστοτέρου τοῦ συμπεράσματος, ἢ διὰ προτάσεων ὁμοίως τῷ συμπεράσματι ἀγνώστων. ἀλλ' ἐπεὶ τὰ μὲν δι' αὐτῶν ἤγουν τὰ ἀξιώματα καὶ τὰς κοινὰς ἐννοίας. ἀξίωμά ἐστι τὸ ἐπὶ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις. καὶ τὸ εἰ ἀπὸ τῶν ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα ἐστί. κοιναὶ δὲ ἔννοιαι καὶ παρὰ πάντων ὁμολογούμεναί εἰσι, τό, ὁ θεὸς ἀγαθός. καὶ τὸ δεῖν τιμᾶν τοὺς γονεῖς. καὶ ὅτι τὸ πῦρ καίει. Ἀρχαί εἰσι τὰ ἀξιώματα καὶ αἱ κοιναὶ ἔννοιαι. Τὰ δ' ὑπὸ τὰς ἀρχὰς δι' ἄλλων ἤτοι διὰ τῶν οἰκείων ἀρχῶν ὅταν τὸ μὴ δι' αὑτοῦ γνωστὸν ἀλλὰ πεφυκὸς δι' ἑτέρων δείκνυσθαι. δείκνυσιν ὁ γεωμέτρης ὅτι αἱ ἐναλλὰξ γωνίαι τῶν β' εὐθειῶν τῆς τε α β' καὶ τῆς γ' δ'. ἤγουν ἡ ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον ἴσαι εἰσὶ καὶ ὅτι αἱ ἐντὸς γωνίαι. καὶ ἐπὶ τὰ αὐτὰ μέρη τῶν ῥηθεισῶν εὐθειῶν, ἴσαι δυσὶν ὀρθαῖς εἰσιν, ἐκ τοῦ δεῖξαι ταύτας τὰς εὐθείας παραλλήλους. εἴ τις δὲ τὸ ἀνάπαλιν δείξει ὅτι αὗται εὐθεῖαι παράλληλοί εἰσι. διὰ τὸ τὰς ἐναλλὰξ γωνίας ἴσας εἶναι ἀλλήλαις ἢ διὰ τὸ τὰς ἐντὸς γωνίας ἴσας εἶναι δυσὶν ὀρθαῖς, ἔδειξε τὰς εὐθείας ταύτας παραλλήλους εἶναι δι' ἑαυτῶν. καὶ αἰτεῖται τὸ ἐν ἀρχῇ. εἰ γὰρ τὸ α δείκνυται διὰ τοῦ β'. τὸ δὲ β' διὰ τοῦ γ'. τὸ δὲ γ' πέφυκε διὰ τοῦ α δείκνυσθαι, τὸ α δείκνυσθαι διὰ τοῦ α καὶ αὐτό, δι' ἑαυτοῦ δείκνυται. ἕκαστον εἶναι λέγων ἐὰν ἔστιν ἤγουν ὅτι ὁ ἄνθρωπος γελαστικόν. διότι ἐστὶ γελαστικόν. παράλληλοι εἰσὶν εὐθεῖαι αἵτινες ἐν τῷ αὐτῷ οὖσαι ἐπιπέδῳ, ἐκβαλλόμεναι ἐπ' ἄπειρον ἐφ' ἑκάτερα μέρη. ἐπὶ μηδέτερον ἐμπίπτουσιν ἀλλήλαις. τὸ ἐν ἀρχῇ αἰτεῖσθαι γίνεται, ὅταν τις αὐτὸ τὸ προκείμενον λάβῃ εἰς ἀπόδειξιν ἑαυτοῦ. τὸ δὲ αὐτὸ δι' ἑαυτοῦ δεικνῦναί ἐστι, τὸ λαβεῖν τὸ αὐτὸ καὶ πρότασιν καὶ συμπέρασμα. ἐπικρύπτοντες δέ τινες τὸ δοκεῖν δεικνύειν τὸ αὐτὸ δι' ἑαυτοῦ, λαμβάνουσιν ὅρους. ἢ ἐξισάζοντας ὡς ὁ ἄνθρωπος καὶ τὸ γελαστικόν. ἢ ἑτέρους μὲν τῷ προφορικῷ λόγῳ ταυτοὺς δὲ τῇ δυνάμει. οἷον ἡδονήν. καὶ χαρὰν ἄφθαρτον καὶ ἀθάνατον. οἷον τὸ ἀγαθὸν πᾶσι χαρά. ἡ χαρὰ πᾶσιν ἡδονή,

καὶ τὸ ζῶον τινὶ λευκῷ. ἅπερ ἀδύνατα γενέσθαι συμπεράσματα. καὶ λαμβάνεις τὸ ἀντιφατικῶς ἀντικείμενον προβλήματι. καὶ ἔξωθεν πρότασιν ἀληθῆ καὶ ποιεῖς τὴν εἰς ἀδύνατον δεῖξιν. εἶτα δὲ ταῦτα τὰ προβλήματα συμπεράσματα, διὰ τὸ δύνασθαι γενέσθαι καὶ συμπεράσματα. τὸ μὲν ἐν γ' σχήματι. τὸ δὲ ἐν β'. Εἰ δ' ὑποτεθῇ τινὶ μὴ ὑπάρχειν. ἤγουν ἐὰν δὲ λάβῃς τὸ ἐναντίον τῷ τινί, τὸ οὐ παντί, ἀδύνατόν τι οὐ συναχθήσεται. οὐδ' ἀναιρεθήσεται τὸ τινὶ ἀπὸ τοῦ συναχθῆναι τὸ οὐ παντί. ὁ γάρ τις καὶ ὁ οὐ πᾶς, συναληθεύουσι. Εἰ δ' ὑποτεθῇ μηδενὶ ὑπάρχειν. ἤγουν ἐὰν δὲ λάβῃς τὸ ἐναντίον τῷ παντὶ τὸ οὐδενί, συλλογισμὸν μὲν ποιήσας καὶ εἰς ἀδύνατον ἀπαγωγήν. οὐ μὴν δὲ δείξας τὸ παντί. εἰ γὰρ ἅπας ὅτι τὸ α' οὐδενὶ τῷ β' τὸ γ' παντὶ τῷ β', συνάγεται μὲν ἄτοπον ὅτι τὸ α' οὐ παντὶ τῷ β'. τοῦτο δὲ συνήχθη ἀπὸ τῆς μείζονος προτάσεως τῆς ὅτι τὸ α' οὐδενὶ τῷ β'. ἀλλ' οὐκ ἤδη ἀναιρουμένης τῆς οὐδενί, εἰσάγεται τὸ παντί. ἐνταῦθα μὲν διὰ τὸ μὴ εἶναι ὕλην ἐνδεχομένην ἀναιρουμένης τῆς οὐδενί, εἰσάγεται τὸ παντί. ἐπὶ δὲ τῆς ἐνδεχομένης ὕλης, τὰ ἐναντία συμψεύδονται. ὁ δὲ κανὼν οὐκ ὀφείλει ἐπὶ τῆσδε μὲν τῆς ὕλης σώζειν. ἐπὶ ἄλλης δὲ μὴ σώζειν. ἀλλ' ἐπὶ πάσης ὕλης ὀφείλει εἶναι ὁ αὐτός. ὥστε τοῦτό ἐστι σκοπὸς τῷ ἀριστοτέλει διδάξαι ἐνταῦθα ὅτι ἐπὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ προβλήματι ὀφείλεις λαμβάνειν καὶ μίαν πρότασιν ἀληθῆ. οὐ μὴν δὲ καὶ τὸ ἐναντίον τῷ προβλήματι. Δείκνυταί πως τὸ καταφατικὸν ἤγουν τὸ παντί. τὸ πῶς εἶπε διότι ἐν β' καὶ γ' σχήματι, τὸ παντὶ οὐ συνάγεται. δείκνυται δὲ ἀπὸ τοῦ συναχθῆναι ἐν συλλογισμῷ τι ἀδύνατον. οὗ ἀναιρουμένου καὶ ψευδοῦς φαινομένου, εἰσάγεται τὸ παντί. καὶ ἔνθα μὲν, ἤγουν ἐν τῇ δεικτικῇ δείξει, οὐκ ἔστι γνώριμον. ὅτι τὸ μέλλον συναχθῆναι συμπέρασμα, ἀληθές ἐστιν ἢ οὐκ ἔστιν ἤγουν ψευδές. οὐδὲ προϋπολαμβάνειν. ἤγουν οὐδὲ πρὸ τοῦ συναχθῆναι τὸ συμπέρασμα ἔστι προγνῶναι ὡς ἀληθὲς ἢ ψευδὲς συμπέρασμα συναχθήσεται. ἔνθα δὲ, ἤγουν ἐν τῇ δι' ἀδυνάτου δείξει, ἀνάγκη προγινώσκειν. ὅτι τὸ μέλλον συναχθῆναι συμπέρασμα, ἐκ τῆς ἀντιφατικῶς ἀντικειμένης προτάσεως τῷ ἀληθεῖ προβλήματι, ψευδές ἐστι καὶ ἀδύνατον. εἴτε καὶ τὸ συμπέρασμα φάσις ἐστὶν ἤγουν καταφατικὸν ἢ ἀποφατικὸν, οὐδὲν διαφέρει. ἤγουν κατ' οὐδὲν διαφέρουσιν ἀλλήλων. ἡ δεικτικὴ δεῖξις καὶ ἡ δι' ἀδυνάτου κατὰ τὸ καταφατικὸν καὶ ἀποφατικὸν συμπέρασμα. ἐν ἀμφοτέραις γὰρ ταῖς δείξεσι καὶ καταφατικὰ καὶ ἀποφατικὰ συνάγονται συμπεράσματα. ὅταν μὲν γὰρ ὁ συλλογισμὸς ἐν τῷ α' σχήματι διὰ τῆς δι' ἀδυνάτου δείξεως γίνηται, τὸ ἀληθὲς ἤγουν ὁ δεικτικὸς συλλογισμὸς ὁ τὸ ἀληθὲς συνάγων, ἐν τῷ μέσῳ ἔσται. ἔστω γὰρ δεδειγμένον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, τὸ α' μηδενὶ ἢ μὴ παντὶ τῷ β'. οὐκοῦν ἡ μὲν ὑπόθεσις ἀφ' ἧς συνήχθη τὸ ἀδύνατον ἦν, ὅτι τὸ α' τινὶ τῷ β'. τὸ δὲ γ' οὐ λαμβάνεται ἐπὶ τοῦ δεικτικοῦ συλλογισμοῦ. οὕτω γὰρ ἐγίνετο ὁ συλλογισμὸς ὁ συνάγων τὸ ἀδύνατον ἐκ τοῦ δεῖξαι δεικτικῶς ὅτι τὸ α' οὐδενὶ τῷ β'. ἐντεῦθεν λαβεῖν τὸ τινὶ εἰ ψεύδεται. Φανερὸν οὖν ὅτι ἕκαστον τῶν προβλημάτων, δείκνυται καὶ δεικτικῶς καὶ δι' ἀδυνάτου, διὰ τῶν αὐτῶν ὅρων. ὁμοίως δὲ καὶ τὸ δεικνύμενον δι' ἀδυνάτου, ἔστι δεῖξαι καὶ δεικτικῶς. καὶ τὸ ἀνάπαλιν ἐν τοῖς εἰλημμένοις ὅροις. ἤγουν διὰ τῶν εἰλημμένων ὅρων. ἡ ἀντικειμένη πρότασις. ἤγουν ἡ ἀντιφατικῶς ἀντικειμένη τοῖς διὰ τῆς ἀντιστροφῆς. ὡς γὰρ ἐπὶ τῆς ἀντιστροφῆς λαμβάνομεν τὸ ἀντικείμενον ἀντιφατικῶς τῷ συμπεράσματι. καὶ μίαν τῶν κειμένων προτάσεων καὶ ἀναιροῦμεν τὴν ἑτέραν, οὕτω καὶ ἐνταῦθα λαμβάνομεν τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι. καὶ ἔξωθεν πρότασιν ἀληθῆ. καὶ συνάγομεν τι ἀδύνατον. οὗ ἀναιρουμένου, εἰσάγεται τὸ ἀληθές. καὶ ἀδύνατον δειχθῆναί τι δεικτικῶς. ὃ οὐχὶ καὶ διὰ τοῦ ἀδυνάτου δειχθήσεται. Ἀντικείμενα λέγει ἐνταῦθα, καὶ τὰ ἀντιφατικῶς ἀντικείμενα, καὶ τὰ ἐναντία. γένος γάρ ἐστι τὸ ἀντικείμενον διαιρούμενον εἰς τὰ πρός τι εἰς τὰ ἐναντία. εἰς τὰ κατὰ στέρησιν καὶ ἕξιν, καὶ εἰς τὴν κατάφασιν καὶ ἀπόφασιν. αὗται δὲ αἱ ἐν τῷ α' σχήματι προτάσεις, οὐκ ἀντίκεινται ἀλλήλαις. τρεῖς εἰσὶν αἱ ἀντιθέσεις τῶν ἀντικειμένων. μία μὲν ἐναντία, ὡς ὁ πᾶς καὶ ὁ οὐδείς. καὶ δύο ἀντιφατικῶς ἀντικείμεναι. ὁ πᾶς καὶ οὐ πᾶς. καὶ ὁ οὐδεὶς καὶ ὁ τίς. τριῶν δὲ οὐσῶν τῶν ἀντιθέσεων, ἓξ γίνονται αἱ τούτων συζυγίαι, καὶ συμπλοκαί. ἢ γὰρ ἡ μείζων πρότασίς ἐστι καθόλου καταφατική. ἡ δὲ ἐλάττων καθόλου ἀποφατική, ἢ ἡ μείζων πᾶς. ἡ δὲ ἐλάττων μερικὴ ἀποφατική. ἢ ἡ μείζων οὐδεὶς ἡ δὲ ἐλάττων τίς. ἰδοὺ δ' συζυγίαι συλλογιστικαί. αἱ δὲ ἕτεραι δύο συζυγίαι. μία μὲν ἡ ἀπὸ τῆς μείζονος τίς, τῆς δὲ ἐλάττονος οὐδείς. ἢ τῆς μείζονος μερικῆς ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς, εἰσὶν ἀσυλλόγιστοι. ὅπερ οὐκ ἄνωθε λανθάνει. τίς γὰρ ὅπως ἀσύνετος, ὡς δοκεῖν τὴν ἡδονὴν, εἶναι καὶ ἀγαθὸν καὶ οὐκ ἀγαθόν. ἢ τὴν ἐπιστήμην σπουδαίαν δοκεῖν καὶ μὴ σπουδαίαν. ἵνα γοῦν λανθάνωμεν, οὐ δεῖ φανερῶς προφέρειν τὰ ἀντικείμενα. ἀλλ' ἐπικρύπτειν. ἢ ἐν τῷ ἐναλλάσσειν τὸ ὄνομα τοῦ ὑποκειμένου. οἷον ἡ ἡδονὴ ἀγαθόν, ἡ χαρὰ ἀγαθὸν οὐκ ἔστι. ἡ δὲ χαρὰ καὶ ἡ ἡδονὴ ταυτά, τὸ ἀγαθὸν ἄρα ἀγαθὸν οὐκ ἔστιν. ἢ ἐν τῷ ἀμείβειν τὸ ὄνομα τοῦ κατηγορουμένου. οἷον, ἡ ἡδονὴ ἀγαθόν. ἡ ἡδονὴ ἀτελὴς κίνησις. καὶ τὸ ἀτελὲς οὐχ αἱρετόν. τὸ οὐχ αἱρετὸν οὐκ ἀγαθόν. τὸ ἀγαθὸν ἄρα ἀγαθὸν οὐκ ἔστι. παραλογισμοὺς ἐκάλεσε τοὺς ἐξ ἀντικειμένων συλλογισμοὺς ὡς ἀεὶ ψεῦδος συνάγοντας. ἐν γὰρ τοῖς τοιούτοις συλλογισμοῖς τοῖς ἐξ ἀντικειμένων, οὐδὲν κωλύει συνάγεσθαι ἀντίφασιν περὶ τοῦ αὐτοῦ προβλήματος. καὶ ὑποθέσεως ἀληθοῦς ὑποτιθεμένης. οἷον

ὅτι

Σχῆμα τρίτον.

Κατ' οὐδένα τῶν συλλογισμῶν, ἤγουν ἐπὶ τοῦ τρίτου σχήματος· καὶ ἐπὶ τῶν καθόλου καὶ ἐπὶ τῶν μερικῶν συλλογισμῶν, οὐδεμία πρότασις ἀναιρεῖται. εἰ λάβῃς τὸ ἐναντίον τῷ συμπεράσματι. ὥσπερ ἐκείνως μὲν· τουτέστιν εἰ λάβῃς τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι, ἀναιροῦνται καὶ αἱ δύο προτάσεις τοῦ γ' σχήματος. οὕτως δὲ ἤγουν εἰ λάβῃς τὸ ἐναντίον τῷ συμπεράσματι, οὐδὲ μία πρότασις ἀναιρεῖται. σημείωσαι ὅτι ἐν τῷ α' σχήματι ἀντιστροφῆς γινομένης. εἰ μὲν λάβῃς τὸ ἐναντίον τοῦ συμπεράσματος, ἡ μὲν μείζων πρότασις ἀναιρεῖται. διὰ τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῇ ἐν γ' σχήματι. ἡ δὲ ἐλάττων ἀναιρεῖται, διὰ τὸ ἐναντίως ἀντικείμενον αὐτῇ. εἰ δὲ τὸ συμπέρασμα ἀντιστραφῇ, ἀντιφατικῶς ἀναιροῦνται καὶ αἱ δύο προτάσεις. διὰ τῶν ἀντιφατικῶς ἀντικειμένων αὐταῖς. ἐπὶ δὲ τοῦ β' σχήματος εἰ μὲν τὸ ἐναντίον λάβῃς τῷ συμπεράσματι. ἡ μὲν μείζων πρότασις ἀναιρεῖται διὰ τοῦ ἀντιφατικῶς ἀντικειμένου αὐτῇ ἐν τρίτῳ σχήματι. ἡ δὲ ἐλάττων διὰ τοῦ ἐναντίως ἀντικειμένου αὐτοῦ. εἰ δὲ τὸ συμπέρασμα ἀντιστραφῇ ἀντιφατικῶς, ἀναιροῦνται καὶ αἱ δύο προτάσεις διὰ τοῦ ἀντιφατικῶς ἀντικειμένου αὐτῇ. ἐπὶ δὲ τοῦ γ' σχήματος ἐπὶ μὲν τῶν καθόλου συλλογισμῶν. εἰ λάβῃς τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι, ἀναιροῦνται καὶ ἀμφότεραι αἱ προτάσεις. διὰ τοῦ ἐναντίως ἀντικειμένου αὐταῖς. εἰ δὲ τὸ ἐναντίον τῷ συμπεράσματι, οὐδὲ μία ἀναιρεῖται. ἐπὶ δὲ τῶν μερικῶν συλλογισμῶν, εἰ λάβῃς τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι, καὶ αἱ δύο ἀναιροῦνται διὰ τοῦ ἀντιφατικῶς ἀντικειμένου αὐταῖς. εἰ δὲ τὸ ἐναντίον λάβῃς τῷ συμπεράσματι, οὐδὲ μία ἀναιρεῖται αὐτῶν.

Περὶ τῆς δι' ἀδυνάτου δείξεως.

Κοινωνεῖ ἡ δι' ἀδυνάτου δεῖξις, τῇ ἀντιστροφῇ. καθὸ καὶ αὐτῇ διὰ τοῦ ἀντιφατικῶς ἀντικειμένου τῷ προβλήματι, καὶ μιᾶς προτάσεως, ἀναιρεῖ τὴν ὑπόθεσιν. διαφέρει δὲ καθὸ ἡ μὲν ἀντιστροφὴ ἢ τὸ ἐναντίον ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι λαμβάνει. καὶ μίαν τῶν ἐν τῷ συλλογισμῷ κειμένων προτάσεων, καὶ ἀναιρεῖ τὴν ἑτέραν. γινομένου γὰρ πρῶτον συλλογισμοῦ καὶ συναχθέντος συμπεράσματος, ὕστερον ἡ ἀντιστροφὴ γίνεται. ἡ δὲ εἰς ἀδύνατον δεῖξις, μὴ γινομένου συλλογισμοῦ ἀλλὰ προτεθέντος προβλήματος. οἷον, πᾶς ἄνθρωπος ζῶον. εἴ τις ἀντιλέγει μὴ πάντα ἄνθρωπον εἶναι ζῶον, λαμβάνει μόνον τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ προβλήματι. ὅτι οὐ πᾶς ἄνθρωπος ζῶον. καὶ προσλαμβάνει καὶ ἔξωθεν μίαν πρότασιν ἀληθῆ. ὅτι τὸ ζῶον παντὶ λογικῷ. καὶ συλλογίζεται ἐν β' σχήματι. τὸ λογικὸν οὐ παντὶ ἀνθρώπῳ. καὶ ἐπεὶ ἀδύνατόν ἐστι τὸ λέγειν μὴ πάντα ἄνθρωπον εἶναι λογικόν, πᾶς γὰρ ἄνθρωπος ἐστὶ λογικός. τὸ δὲ ἀδύνατον συνήχθη ἐκ τοῦ ὑποθέσθαι μὴ πάντα ἄνθρωπον εἶναι ζῶον. ἀληθὲς ἄρα τὸ πάντα ἄνθρωπον ζῶον εἶναι. τὸ δὲ ἐναντίον τῷ προβλήματι οὐ λαμβάνει. οἷον εἰ τὸ πρόβλημά ἐστιν ὅτι πᾶν λευκὸν ζῶον ἐστί. εἴποι δέ τις οὐδὲν λευκὸν ζῶον εἶναι, ληπτέον ὅτι τὸ ζῶον οὐδενὶ λευκῷ. καὶ τὸ λευκὸν παντὶ κύκνῳ. καὶ τὸ ζῶον ἄρα οὐδενὶ κύκνῳ. ἐπεὶ τοίνυν συνήχθη τὸ ἀδύνατον, ἀπὸ τοῦ ὑποθέσθαι τὸ ζῶον οὐδενὶ λευκῷ. ἐπὶ δὲ τῆς ἐνδεχομένης ὕλης, οὐχὶ εἰ ψεύδεται τὸ οὐδενί, ἀληθεύει τὸ ἐναντίον τῷ παντί. τὰ γὰρ ἐναντία ἐπὶ ταύτης τῆς ὕλης ψεύδονται. ἐπεὶ γὰρ σκοπὸν ἔχει ἡ εἰς ἀδύνατον δεῖξις. τὸ μὴ μόνον συνάξαι συμπέρασμα ἀδύνατον ἀλλὰ καὶ ἐξ αὐτοῦ κατασκευάσαι τὸ ἐξ ἀρχῆς προτεθέν, ὅτι ἀληθές ἐστι. διὰ τοῦτο μόνον τὸ ἀντιφατικῶς ἀντικείμενον λαμβάνει. ἀλλ' οὐχὶ καὶ τὸ ἐναντίον. σημείωσαι ὅτι τὸ καθόλου καταφατικόν, οὐ δείκνυται ἐν α' σχήματι διὰ τῆς εἰς ἀδύνατον δείξεως ἀλλ' ἐν δευτέρῳ καὶ ἐν γ'. εἰ γὰρ ἐπὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς λαμβάνομεν τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ παντί. ἔστι δὲ τὸ οὐ παντί. τοῦτο οὖν τὸ οὐ παντὶ εἰ μέλλει ληφθῆναι ἐν α' σχήματι, ἡ μείζων πρότασις ληφθήσεται ἢ ἐλάττων. ἑκατέρως δὲ ληφθεῖσα, ἀσυλλόγιστον τὸ σχῆμα ποιεῖ. ἐν δὲ τῷ β' καὶ γ' σχήματι, συνάγεται τὸ οὐ παντί. εἰ γοῦν τὸ οὐ παντὶ ἀναιρεθῇ ὡς ἀδύνατον, εἰσάγεται τὸ παντί. ἐὰν δὲ μὴ παντὶ ἀλλὰ τινὶ ὑπάρχειν ὑποτεθῇ. εἰ ἀπὸ τοῦ ὑποθέσθαι τὸ α' τινὶ τῷ β', ἀδύνατόν τι συναχθῇ, ἀναιρεθείσης τῆς τὶς ἀφ' ἧς τὸ ἀδύνατον συνήχθη, οὐκ εἰσάγεται τὸ οὐ παντὶ ἀλλὰ τὸ οὐδενί. τοῦ δὲ οὐδενὶ εἰσαχθέντος, ἀναιρεῖται καὶ ἡ τίς. ἐπεὶ δὲ ἡ τὶς καὶ ἡ οὐ πᾶς συναληθεύουσιν, ἀναιρεθήσεται καὶ οὐ πᾶς. ὥστε οὐχ ὑποθετήσεται τὸ α' τινὶ τῷ β'. εἰς κατασκευὴν τοῦ οὐ παντὶ. ἀλλὰ τὸ παντί. Ἔτι οὐ παρὰ τὴν ὑπόθεσιν συμβαίνει, τὸ ἀδύνατον. Οὐκ ἔστι δυνατὸν δεῖξαι τὸ οὐ παντί, εἰ λάβωμεν τὸ ἐναντίον αὐτοῦ. ἤγουν τὸ τινί. διότι ἡ τὶς καὶ ἡ οὐ πᾶς συναληθεύουσιν. ἐπεὶ δὲ καὶ ἡ γ' α' ἀληθής, ἐξ ἀληθῶν προτάσεων ἀληθὲς συναχθήσεται συμπέρασμα. καὶ οὐδὲν ἀδύνατον. εἰ γὰρ τὸ συμπέρασμα ψευδὲς καὶ ἀδύνατον ἦν, ἦν ἂν ἡ ὑπόθεσις ὅτι τὸ α' τινὶ τῷ β' ψευδής. νῦν δὲ συναληθεύει καὶ τὸ α' τινὶ τῷ β' καὶ οὐ παντί. οἱ δ' ὅροι ὁμοίως. τουτέστιν οὐκ ὀφείλεις λαμβάνειν ἢ ἐν τῇ ἀντιστροφῇ ἢ ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ, ὅρους ἐξισάζοντας καὶ ἀντιστρέφοντας. ἀλλὰ μὴ ἀντιστρέφοντας. καὶ ἡ αὐτὴ λῆψις ἀμφοτέρων. ἤγουν καὶ ἐν τῇ ἀντιστροφῇ καὶ ἐν τῇ ἀδυνάτου δείξει, μὴ ἀντιστρέφοντας ὀφείλεις λαμβάνειν ὅρους. ἀντίφασις τοῦ συμπεράσματος. καταχρηστικῶς εἶπε συμπέρασμα. πρόβλημα γὰρ πρόκειται, οἷον τὸ ζῶον οὐδενὶ λίθῳ.

Τετάρτη ἐστὶν ἡ ἀντιστροφή. ἡ γὰρ ἐν ὅροις θεωρεῖται. περὶ ἧς ἐδίδαξεν ἐν ταῖς δέκα κατηγορίαις λέγων. ὁ δεσπότης δούλου δεσπότης ἐστί. καὶ ὁ δοῦλος δεσπότου δοῦλος. καὶ ὁ πατὴρ υἱοῦ πατήρ. καὶ ὁ υἱὸς πατρὸς υἱός. ἡ ἐν προτάσεσι. περὶ ἧς ἐδίδαξεν εἰς τὰ τέλεια σχήματα λέγων. εἰ τὸ ζῶον παντὶ ἀνθρώπῳ. καὶ ὁ ἄνθρωπος τινὶ ζώῳ. καὶ εἰ ὁ λίθος οὐδενὶ ἀνθρώπῳ, καὶ ὁ ἄνθρωπος οὐδενὶ λίθῳ. ἡ ἐν συλλογισμῷ περὶ ἧς ἐνταῦθα διδάσκει. ἐτάχθη δὲ ἡ ἐν συλλογισμῷ ἀντιστροφὴ μετὰ τὴν κύκλου δεῖξιν, ὡς κοινωνίαν ἔχουσαι πρὸς ἀλλήλας. ὡς γὰρ ἐπὶ τῆς κύκλου δείξεως λαμβάνομεν τὸ συμπέρασμα καὶ μίαν τῶν κειμένων προτάσεων, οὕτω καὶ ἐπὶ ταύτης λαμβάνομεν τὸ συμπέρασμα καὶ μίαν τῶν κειμένων προτάσεων, καὶ συλλογιζόμεθα. διαφέρει δὲ τῆς κύκλου δείξεως, διότι ἐπὶ ταύτης, ἀντιστρεφομένας λαμβάνομεν τὴν πρότασιν. ἐπὶ δὲ τῆς ἀντιστροφῆς, οὐκ ἀντιστρέφομεν τὴν πρότασιν. καὶ ὅτι ἐπ᾿ ἐκείνης οὐκ ἀντιστρέφομεν τὸ συμπέρασμα. ἐπὶ δὲ τῆς ἀντιστροφῆς εἰ παντί ἐστι τὸ συμπέρασμα, ἀντιστρέφομεν τοῦτο καὶ μετατίθεμεν, ἢ εἰς τὸ οὐδενὶ, ἢ εἰς τὸ οὐ παντί. καὶ ὅτι ἐπὶ τῆς κύκλῳ δείξεως λαμβάνοντες τὸ συμπέρασμα καὶ μίαν τῶν κειμένων προτάσεων κατασκευάζομεν τὴν ἑτέραν. ἐπὶ δὲ τῆς ἀντιστροφῆς λαμβάνομεν τὸ ἐναντίον. ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι καὶ μίαν τῶν κειμένων προτάσεων, καὶ ἀναιροῦμεν τὴν ἑτέραν. Ἀντιστραφέντος ἤγουν μετατεθέντος ἢ εἰς τὴν ἐναντίαν ἢ εἰς τὴν ἀντιφατικήν. οἷον εἰ τὸ συμπέρασμά ἐστι παντί. ἢ τὴν ἐναντίαν λάβῃς αὐτοῦ τὴν οὐδείς. ἢ τὴν ἀντιφατικὴν τὴν οὐ πᾶς. εἰ γὰρ ἔσται ἤγουν εἰ οὐκ ἀνῄρηται ἡ πρότασις, καὶ τὸ συμπέρασμα ἔσται. ἤγουν καὶ τὸ συμπέρασμα ἔσται μὴ ἀντιστραφὲν καὶ μετατεθὲν εἰς τὸ ἐναντίον ἢ εἰς τὸ ἀντιφατικῶς αὐτῷ ἀντικείμενον. εἰ γὰρ ἀντιστραφῇ τὸ συμπέρασμα. καὶ ληφθῇ καὶ μία τῶν κειμένων προτάσεων, ἐξ ἀνάγκης ἀναιρεθήσεται καὶ ἡ λοιπὴ πρότασις. γίνωσκε δὲ καὶ τοῦτο. ὅτι ἀεὶ ἡ μείζων πρότασις, διὰ τοῦ γ΄ σχήματος ἀναιρεῖται. ἡ δὲ ἐλάττων διὰ τοῦ β΄. οὐχ ὁ αὐτὸς δὲ γίνεται συλλογισμός. ἤγουν οὐ τὸ αὐτὸ συνάγεται συμπέρασμα ἐν ᾧ ἀντιστραφῶσι τὸν συλλογισμὸν ἑκατέρως. ἤγουν ἢ εἰς τὸ ἐναντίον ἢ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον. ἀλλ᾿ εἰ μὲν εἰς τὸ ἐναντίον ἀντιστραφεῖ, γίνεται καὶ ὁ ἐν β΄ σχήματι συλλογισμὸς, καθόλου. εἰ δὲ εἰς τὴν ἀντιφατικῶς ἀντικειμένην, γίνεται ὁ ἐν β΄ σχήματι συλλογισμὸς ὁ ἀναιρῶν τὴν ἐλάττονα πρότασιν μερικός. ὡς δῆλον εἶναι διὰ τῶν ἑπομένων ἤγουν τῶν ἐφεξῆς ῥηθησομένων. ἡ οὐ πᾶς καὶ ἡ οὐ τὶς εἰ καὶ τῷ λόγῳ ἕτεραί εἰσιν, ἀλλὰ τῇ δυνάμει ταυτά εἰσι. καὶ λέγεται μὲν οὐ πᾶς ὅτι μάχεται πρὸς τὴν πᾶς. οὐ τὶς δὲ ὅτι μάχεται πρὸς τὴν τίς. Λέγω δὲ ἀντικεῖσθαι ἤγουν ἀντιφατικῶς ἀντικεῖσθαι. Ἐπὶ δὲ τῶν μερικῶν συλλογισμῶν, ὅταν τὸ συμπέρασμα ἀντιστραφῇ εἰς τὸ ἐναντίον, οὔτε ἡ μείζων πρότασις ἀναιρεῖται, οὔτε ἡ ἐλάττων. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν καθόλου συλλογισμῶν ἀναιρεῖται καὶ ἡ μείζων καὶ ἡ ἐλάττων ἐν τῷ ἀντιστραφῆναι τὸ συμπέρασμα εἰς τὸ ἐναντίον, οὕτω γίνεται καὶ ἐπὶ τῶν μερικῶν συλλογισμῶν. ἐπὶ μὲν γὰρ τῶν καθόλου τὸ ἐναντίον τῷ συμπεράσματι. οἷον εἰ τὸ συμπέρασμά ἐστι παντὶ, τὸ ἐναντίον τούτου ἐστὶ, καθόλου οὐδείς. ἐπὶ δὲ τῶν μερικῶν συλλογισμῶν εἰσάγεται συμπέρασμα ὅτι τὸ α΄ τινὶ τῷ γ΄, τὸ ἐναντίον τούτου ἐστὶ μερικὸν τὸ οὐ τίς. τὸ δὲ ἐλλείποντος τοῦ συμπεράσματος, ἀντὶ τοῦ μερικοῦ ληφθέντος τοῦ συμπεράσματος νοητέον. τὸ γὰρ τινὶ εἰς τὸ ἐναντίον μέλλει μετατεθῆναι, εἰς τὸ οὐ τὶς ἀντιστραφήσεται. εἴπε δὲ τὸ μερικὸν ἐλλεῖπον, διότι ἐλλείπεται τοῦ καθόλου κατὰ τὸ ποσόν. ἡ γὰρ οὐδεὶς τὰ πάντα ἀναιρεῖ. οἷον ὅτι οὐδεὶς ἄνθρωπος λευκὸς, δηλοῖ μηδένα ἄνθρωπον εἶναι λευκόν. τὸ δὲ οὐ τὶς ἄνθρωπος λευκὸς, δηλοῖ τὸ λευκὸν μὴ εἶναι. ἀλλ᾿ οὔπω ἀναιρεῖται τὸ ἐξ ἀρχῆς. ἤγουν ὅτι τὸ β΄ τινὶ τῷ γ΄. διὰ τοῦ συναχθῆναι τὸ οὐ τινί. ἡ γὰρ τὶς καὶ ἡ οὐ τὶς ἐπὶ τῆς ἐνδεχομένης ὕλης, συναληθεύουσι. ἐνδέχεται γὰρ τινὰ εἶναι λευκόν. καὶ μὴ τινὰ εἶναι λευκόν. Καὶ οὐχ ὅλως οὐδενί. καὶ οὐ συνάγεται τὸ οὐδενί. οὐ γὰρ συνάγεται καθόλου συμπέρασμα ἐν τρίτῳ σχήματι. καὶ ὅλως τὴν καθόλου μείζονα πρότασιν, οὐκ ἔστιν ἄλλως ἀνασκευάσαι καὶ ἀναιρῆσαι. εἰ μὴ διὰ τοῦ γ΄ σχήματος. ἀνάγκη γὰρ κατὰ τοῦ ἐλάττονος ὅρου τοῦ γ΄, κατηγορῆσαι ἀμφοτέρους τοὺς ὅρους. καὶ οὕτως ἀναιρεθήσεται ἡ μείζων πρότασις. ὥσπερ ἐν ἀρχῇ ἐλήφθη. ἤγουν ἐν τῷ συλλογισμῷ τοῦ α΄ σχήματος. ὅτι τὸ β΄ παντὶ τῷ γ΄. ἀπόδειξις δὲ ἡ αὐτή. ἤγουν ὅτι τὸ τὶς καὶ τὸ οὐ πᾶς ἐπὶ τῆς ἐνδεχομένης ὕλης συναληθεύουσι. καὶ ὅτι τὸ τρίτον σχῆμά ἐστιν ἀσυλλόγιστον.

Σχῆμα δεύτερον.

Ἐν δὲ τῷ β΄ σχήματι τὴν μὲν μείζονα πρότασιν ἤγουν τὴν πᾶς, οὐκ ἔστιν ἀνελεῖν ἐναντίως. ἤγουν ἐκ τοῦ συνάξαι τὸ οὐδενί. ὅτι ἐστὶν ἐναντία τῇ α΄ β΄ προτάσει. τὸ γὰρ α΄ παντὶ τῷ β΄ ἐστίν. ὥστε ἀδύνατον τὴν μείζονα πρότασιν ἀναιρεθῆναι ἐκ τοῦ συναχθῆναι τὸ ἐναντίον ταύτῃ. ἀναιρεῖται δὲ ἐκ τοῦ συναχθῆναι τὸ ἀντιφατικῶς ταύτῃ ἀντικείμενον. ὁποτέρωσοῦν τῆς ἀντιστροφῆς γινομένης. ἤγουν κἄν τε τὸ ἐναντίον λάβῃς τῷ συμπεράσματι, κἄν τε τὸ ἀντιφατικῶς ἀντικείμενον. διότι ἡ α΄ β΄ ἀναιρεῖται διὰ τοῦ γ΄ σχήματος. ὅτι μερικὰ συνάγει συμπεράσματα. ἡ μὲν α΄ β΄ ὁμοίως δειχθήσεται. ἤγουν ἐκ τοῦ συναχθῆναι τὸ ἀντιφατικῶς αὐτῇ ἀντικείμενον.

ἡ γὰρ αὐτὴ πρότασις τὸ β' μηδενὶ τῷ α'. ἤγουν ἀποφατικὴ καθόλου ἡ πρότασις. ὥσπερ καὶ τὸ α' οὐδενὶ τῷ β' ἐστὶν ἀποφατική. Οὕτω μὲν οὖν ἡ β' γ'. οὐ δείκνυνται διὰ τῆς κύκλῳ δείξεως. ἀλλὰ διὰ τῆς προσλήψεως, τοῦ συλλογισμοῦ. οἷον εἰ οὕτως εἴπῃς ᾧ τὸ α' οὐδενὶ τούτῳ τὸ β' παντί. τὸ δὲ α' οὐδενὶ τῷ γ' ὑπάρχει. καὶ τὸ β' ἄρα ἀνάγκη παντὶ τῷ γ', ὑπάρχειν. ὥστε δέδεικται καὶ ἡ α' β', διὰ τοῦ ἐκ τῆς προσλήψεως συλλογισμοῦ. τριῶν γὰρ ὄντων ὅρων ἐν τῷ τοιούτῳ συλλογισμῷ, ἕκαστος ὅρος συμπέρασμα γέγονε. ἤγουν ἐν τῷ συμπεράσματι ἐλήφθη. καὶ γὰρ καὶ τὸ γ' ἐλήφθη καὶ ἐν τῷ συμπεράσματι τῷ λέγοντι τὸ α' οὐδενὶ τῷ γ', καὶ ἐν τῷ συμπεράσματι τῷ λέγοντι τὸ β' παντὶ τῷ γ' μετὰ πρόσληψιν δὲ λέγεται ὁ τοιοῦτος συλλογισμὸς, διότι προσλαμβάνει τὸ συμπέρασμα. ὅτι τὸ α' οὐδενὶ τῷ γ', εἰς ἀπόδειξιν τῆς β' γ' προτάσεως. ἐπὶ δὲ τοῦ κύκλου συλλογισμοῦ, τρεῖς μὲν ὅροι λαμβάνονται. ἀλλ' οὐχὶ ἕκαστος ὅρος γίνεται μέρος τοῦ συμπεράσματος, ἀλλ' οἱ δύο ἄκροι συνερχόμενοι, ἀπαρτίζουσι τὸ συμπέρασμα. ὁ δὲ μέσος ὅρος μέρος τοῦ συμπεράσματος οὐ γίνεται. τὴν μὲν καθόλου πρότασιν τὴν ὅτι τὸ α' οὐδενὶ τῷ β', οὐκ ἔστι δεῖξαι διὰ τῆς κύκλου δείξεως. διὸ καὶ πρότερον ἐλέχθη. ἤγουν δὲ ἣν εἴπομεν αἰτίαν. ὅτι τὸ καθόλου τὸ οὐδενὶ ἐκ δύο καθόλου συνάγεται. ἐνταῦθα δὲ τὸ συμπέρασμα μερικόν ἐστι στερητικόν. ὅτι τὸ α' οὐ παντὶ τῷ γ'. καὶ ἡ ἐλάττων ὡσαύτως μερική ἐστιν, ἤγουν τὸ γ' τινὶ τῷ β'. ἐκ δύο δὲ μερικῶν, πῶς συναχθήσεται τὸ οὐδενί.

Δεύτερον σχῆμα.

Οὐκ ἔστι δεῖξαι διὰ τούτου τοῦ τρόπου ἤγουν τῆς κύκλῳ δείξεως. Τὸ μὲν καθόλου κατηγορικὸν τὸ παντί. οὐ δείκνυνται, εἰ μὴ καὶ αἱ δύο προτάσεις καθόλου καταφατικαὶ ληφθῶσιν. ἐν δὲ τῷ β' σχήματι ἀδύνατον ληφθῆναι δύο καθόλου καταφατικάς. εἰ γὰρ μέλλομεν κύκλον δεῖξιν ποιῆσαι, δεῖ τὸ συμπέρασμα λαβεῖν καὶ μίαν τῶν κειμένων προτάσεων ἀντιστρόφως. ἐν δὲ τῷ β' σχήματι ἀποφατικὰ συνάγονται τὰ συμπεράσματα. διὰ ταύτην γοῦν τὴν αἰτίαν τὸ παντὶ διὰ τῆς κύκλῳ δείξεως οὐ δείκνυται ἐν β' σχήματι. ἀλλ' ἐπὶ μὲν τοῦ β' τρόπου τοῦ β' σχήματος, δείκνυται ὅτι τὸ α' ὑπάρχειν παντὶ τῷ β', διὰ τῆς προσλήψεως. ᾧ γὰρ τὸ γ' οὐδενὶ, τούτῳ τὸ α' παντί. τὸ δὲ γ' οὐδενὶ τῷ β' ὑπάρχει, καὶ τὸ α' ἄρα παντὶ τῷ β'. τὸ δὲ γ' οὐδενὶ τῷ β' ἔλαβεν, ἀντιστρέψας τὸ οὐδεὶς ἐπὶ τῆς προσλήψεως. ὡσαύτως καὶ ἐπὶ τοῦ α' τρόπου τοῦ β' σχήματος δεικνύεται. ὅτι τὸ α' παντὶ τῷ γ', διὰ τῆς προσλήψεως. προέταξε δὲ τὸν β' τρόπον τοῦ β' σχήματος, τοῦ α' τρόπου τοῦ αὐτοῦ σχήματος, διὰ τὸ ἐπὶ τούτου τοῦ τρόπου ἤγουν τοῦ β' δεικνύεσθαι ὅτι τὸ α' οὐδενὶ τῷ γ' διὰ τῆς κύκλου δείξεως ἐν β' σχήματι. ἐπὶ δὲ τοῦ α' τρόπου δεικνύομεν διὰ τῆς κύκλου δείξεως. ὅτι τὸ α' οὐδενὶ ὑπάρχει τῷ β'. ἀλλὰ διὰ τοῦ α' σχήματος ἀντιστρέψαντες τὸ συμπέρασμα τοῦ α' σχήματος. διὰ μὲν οὖν τοῦ συμπεράσματος καὶ τῆς μιᾶς προτάσεως. ἤγουν εἰ λάβῃς τὸ συμπέρασμα τοῦ δευτέρου σχήματος. ὅτι τὸ β' οὐδενὶ τῷ γ'. καὶ τὴν ἑτέραν πρότασιν ἀντεστραμμένην, οὐ γίνεται συλλογισμός. ἤγουν οὐ δείκνυται ὅτι τὸ α' οὐδενὶ τῷ β'. ἀλλ' ὅτι τὸ β' οὐδενὶ τῷ α'. προσληφθείσης δὲ καὶ ἑτέρας. ἤγουν ἀντιστροφῆς γενομένης τοῦ συμπεράσματος. τουτέστιν εἰ προσλάβῃς καὶ ἑτέραν ἀντιστροφὴν τοῦ συμπεράσματος, ἔσται συλλογισμὸς ὅτι τὸ α' οὐδενὶ τῷ β'. Συμβαίνει γὰρ ἀμφοτέρας.

Μέλλων δεῖξαι ἐπὶ τοῦ συλλογισμοῦ τοῦ ἀπὸ τῆς οὐδεὶς καὶ τίς. ὅτι τὸ α' τινὶ τῷ γ' ὑπάρχει, φησὶν ὅτι ἐν μὲν β' σχήματι, γίνονται αἱ δύο ἀποφατικαί. ἐν δὲ τῷ α' ὅτις παραιτεῖται τοῦτο δεῖξαι λαβὼν τὸ β' οὐ παντὶ τῷ γ', ἀντὶ τῆς τίς. ἰσοδυναμοῦσι γὰρ αὗται ἐπὶ τῆς ἐνδεχομένης ὕλης ὡς ἔμαθες. γίνεται μὲν συλλογισμὸς ἐν πρώτῳ σχήματι ἔχων τὴν μείζονα ἀποφατικήν. ἀλλὰ καὶ πάλιν τὸ οὐ παντὶ συνάγει. καὶ ἐπεὶ οὐκ ἔστι συλλογισμὸς τοῦ τινὶ, δεικνύομεν τοῦτο διὰ τῆς προσλήψεως ὥσπερ καὶ ἐπὶ τῶν καθόλου τὸ παντί.

Σχῆμα τρίτον.

Τούτου δὲ ληφθέντος ἤγουν ἀντιστραφέντος τοῦ συμπεράσματος τοῦ ἐν τῷ α' σχήματι, οὐ γίνεται συλλογισμός. ἤγουν οὐκ ἀποδείκνυται ὅτι τὸ β' ὑπάρχει τινὶ τῷ γ'. ἐκ τοῦ λαβεῖν τὸ συμπέρασμα καὶ τὴν μίαν πρότασιν ἀντεστραμμένην. ἀλλὰ ἡ κύκλῳ δεῖξις αὕτη ἀτελὴς οὖσα, τελειοῦται διὰ τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος τοῦ α' σχήματος. ᾧ τὸ α' οὐ παντὶ, τούτῳ τὸ γ' τινί. τὸ δὲ α' οὐ παντὶ τῷ β'. ἀνάγκη ἄρα τὸ γ' τινὶ τῷ β'. οὐκ ἔδει δὲ δεῖξαι τοῦτο τὸ γ' τινὶ τῷ β'. ἀλλὰ τὸ β' τινὶ τῷ γ'. καὶ ἐπεὶ ἡ τὶς ἀντιστρέφει πρὸς ἑαυτὴν, εἰ τὸ γ' τινὶ τῷ β' καὶ τὸ β' τινὶ τῷ γ' ἀνάγκη εἶναι. Ἰστέον ὅτι ἐπὶ τῆς κύκλου δείξεως τὴν μίαν πρότασιν ὀφείλει λαμβάνειν ἀντεστραμμένην. καὶ τὸ συμπέρασμα. καὶ ἀποδεικνύειν τὴν ἑτέραν. ἰστέον ὅτι ἐπὶ τοῦ γ' σχήματος τὸ παντὶ οὐ δείκνυται διὰ τῆς κύκλῳ δείξεως. διότι τὸ παντὶ δείκνυται ἐκ δύο καθόλου καταφατικῶν. ἡ δὲ κύκλου δεῖξις γίνεται ἀπὸ τοῦ συμπεράσματος καὶ μιᾶς προτάσεως ἀντεστραμμένης. τὸ δὲ συμπέρασμα ἐστὶ μερικόν. καὶ διὰ τοῦτο οὐ δείκνυται.

Περὶ τῆς ἐν συλλογισμῷ ἀντιστροφῆς.

ἀντιστραμμένας ἐδείχθη πρὸς ἀπόδειξιν τοῦ α β συμπεράσματος· καὶ ἡ β α ὁμοίως πρὸς ἀπόδειξιν τοῦ β γ συμπεράσματος, ἀποδείξεως αὗται δέονται αἱ ἀντιστραφεῖσαι προτάσεις. ὅτι μὲν γὰρ τὸ α παντὶ τῷ β· καὶ ὅτι τὸ β παντὶ τῷ γ, ἐδείχθη διὰ συλλογισμοῦ· οὐ μέντοιγε δὲ δῆλον εἰ καὶ τὸ γ τὸ β παντί· ἤγουν τὸ β τῷ α. καὶ διὰ τοῦτο γίνονται καὶ ἕτεροι δύο συλλογισμοὶ πρὸς ἀπόδειξιν τούτων καὶ ἀποτελοῦνται τὰ ὅλα συμπεράσματα ε. ἐν πᾶσι δὲ τούτοις ἡ τοῦ συμπεράσματος ἀντιστροφὴ καταλείφθη ἀναπόδεικτος. ὅτι μὲν τὸ α παντὶ τῷ γ, ἐδείχθη διὰ συλλογισμοῦ· ὅτι δὲ καὶ τὸ γ τῷ α, οὔπω ἐδείχθη, γίνεται οὖν καὶ τούτου συλλογισμὸς καὶ ἀποτελοῦνται τὰ ὅλα συμπεράσματα ἕξ. Ἐὰν δ' ἡ μὲν καθόλου ἡ δ' ἐν μέρει, ποτὲ μὲν ἔσται· ποτὲ δὲ οὐκ ἔσται. τὸ ἔσται ἢ οὐκ ἔσται, εἴρηται διὰ τὸ τινί. ὅταν μὲν γὰρ ἐστὶν ἡ α γ τινί, δείκνυται διὰ τοῦ τρίτου σχήματος. ὅταν δὲ ἡ μὲν α γ παντί· ἡ δὲ β γ τινί, οὐ δείκνυται τὸ τινί. δεόμεθα γὰρ καὶ ἑτέρας ἀντιστροφῆς εἰς δεῖξιν. ἡ μὲν γὰρ κύκλῳ δεῖξις δείκνυται διὰ τοῦ συμπεράσματος καὶ τῆς μιᾶς προτάσεως ἀντιστραμμένης. οὕτω δὲ λαμβάνομεν οὐ συμπέρασμα τὸ β κατὰ τοῦ γ. ὅπερ ἐμέλλομεν δεῖξαι. ἀλλὰ μᾶλλον τὸ γ κατὰ τοῦ β. ὥστε οὐ δεικνύεται πῶς ἐστὶ τὸ β τινὶ τῷ γ, εἰ μή που ἀντιστρέψομεν καὶ εἴπομεν. ὅτι εἰ δὲ τὸ γ τινὶ τῷ β, καὶ τὸ β τινὶ τῷ γ. πρὸς τοῦτο γοῦν εἴρηται τὸ ἔσται ἢ οὐκ ἔσται. τὸ μὲν ἔσται, ὅταν μὲν ἐστὶν ἡ μείζων τινί. ἡ δὲ ἐλάττων παντί. τότε γὰρ δείκνυται ἡ α γ ἐν γ σχήματι. τὸ δὲ οὐκ ἔσται, ὅτε ἡ α γ παντί. ἡ δὲ β γ τινί. τὸ οὐκ ἔσται εἶπε, διὰ τὸ μὴ ἐξ ὀρθοῦ γίνεσθαι τὴν κύκλῳ δεῖξιν ἐνταῦθα. ἀλλὰ δεῖσθαι προσλήψεως ἤτοι ἀντιστροφῆς.

Περὶ κύκλου.

Ἐπειδὴ σκοπός ἐστι τῆς παρούσης πραγματείας τὸ διδάξαι τὰ παρεμποδίζοντα τὸν ἀποδεικτικὸν συλλογισμόν, τοῦτον χάριν ἐδίδαξεν. ὅτι εἰ καὶ ἐκ ψευδῶν προτάσεων συνάγεται ἀληθὲς συμπέρασμα, ἀλλ' οὖν οὐ δεῖ λαμβάνειν τὸν ἀποδεικνύοντα, ψευδεῖς προτάσεις. διότι ὁ ἀποδεικνύων, τὸ διότι ἀποδεικνυσι. τοῦτο δὲ ἐξ ἀληθῶν συνάγεται προτάσεων. αἱ δὲ ψευδεῖς προτάσεις. εἰ καὶ ἀληθές ποτε συνάγουσι συμπέρασμα, ἀλλ' οὐ τοῦ διότι ἐστὶ τοῦτο ἀλλὰ τοῦ ὅτι. διὰ τὸ μὴ εἶναι τὸ μέσον αἴτιον τοῦ συμπεράσματος. ἀλλὰ διὰ τὸ ἐκ τῆς σχέσεως τῶν ἄκρων συναχθῆναι τὸ ἀληθές. ἡ δὲ κύκλῳ δεῖξις παρεμποδίζει πρὸς τὴν ἀπόδειξιν, διὰ τὸ τὸν ἀποδεικτικὸν ἐξ αἰτίων συλλογίζεσθαι. αἴτιαι γὰρ τοῦ συμπεράσματος αἱ προτάσεις. ἡ δὲ κύκλῳ δεῖξις ἐξ αἰτιατῶν. λαμβάνει γὰρ τὸ συμπέρασμα καὶ μίαν τῶν κειμένων προτάσεων, καὶ ἀποδείκνυσι τὴν ἑτέραν. τὸ συναγόμενον συμπέρασμα, αἰτιατόν ἐστι. Τὸ δὲ κύκλῳ δείκνυσθαι ἐστὶ· τὸ ἐξ ἀλλήλων δείκνυσθαι. ἤγουν τὸ δείκνυσθαι τὸ συμπέρασμα ἐκ τῶν προτάσεων. καὶ τὰς προτάσεις ἐκ τοῦ συμπεράσματος. γίνεται δὲ ὅταν τις λάβῃ τὸ συμπέρασμα καὶ τὴν ἑτέραν πρότασιν. ἤγουν καὶ μίαν τῶν προτάσεων ἀντιστραμμένην. καὶ ἀνάπαλιν κατὰ τὴν κατηγορίαν. ὥστε τὸν ὑποκείμενον λαβεῖν ὡς κατηγορούμενον. καὶ τὸν κατηγορούμενον ὡς ὑποκείμενον. καὶ οὕτω δεῖξαι τὴν ἑτέραν πρότασιν τὴν ἐν τῷ πρώτῳ συλλογισμῷ κειμένην. δεῖ δὲ λαμβάνειν ὅρους ἀντιστρέφοντας. ἤγουν ἐξισάζοντας. οἷον, γελαστικὸν ἄνθρωπον. νοῦ καὶ ἐπιστήμης δεκτικόν. ὅταν δὲ ἐξισάζωσιν οἱ ὅροι, τότε ἡ πᾶς οὐ πρὸς τὴν τις ἀντιστρέφει. ἀλλὰ πρὸς ἑαυτήν. οἷον εἰ ὁ ἄνθρωπος παντὶ γελαστικῷ, καὶ τὸ γελαστικὸν παντὶ ἀνθρώπῳ. τοῦτο δὲ οὐκ ἀντιστροφή ἐστιν. ἀλλὰ λῆψις τῆς προτάσεως κατὰ τὸ ἀνάπαλιν. ἡ δὲ ἀντιστροφή, κοινωνία ἐστὶ δύο προτάσεων. κατ' ἀμφοτέρους τοὺς ὅρους, καὶ τὰ ἑξῆς. ἄλλως δὲ οὐκ ἔστιν ἐξ ἀλλήλων δεῖξαι. ἤγουν ἄλλως οὐ γίνεται, ἡ κύκλῳ δεῖξις. εἰ μὴ οὕτως ὡς εἴπομεν. ἤγουν ἐν τῷ λαβεῖν τὸ συμπέρασμα καὶ μίαν τῶν κειμένων προτάσεων, ἀντιστρόφως. καὶ οὕτω δεῖξαι τὴν ἑτέραν. εἴ τι γὰρ ἄλλο μέσον λήψεται, οὐ κύκλῳ δεῖξιν ποιεῖ. ὁ γὰρ μέλλων δεῖξαι ὅτι τὸ α ὑπάρχει παντὶ τῷ β. εἰ λάβῃ μέσον τοῦ α β τὸ δ ἤγουν τὸ ὀρθοπεριπατητικόν, κύκλῳ δεῖξιν οὐκ ἐποίησεν. οὐδὲν γὰρ αὐτῶν τῶν αὐτῶν ἤγουν οὐδὲ μίαν τῶν κειμένων προτάσεων, οὔτε τὸ συμπέρασμα εἰς ἀπόδειξιν τοῦ α β ἔλαβεν. εἰ δὲ λάβῃ τι τούτων ἤγουν μίαν τῶν κειμένων προτάσεων ἀντιστρόφως καὶ τὸ συμπέρασμα, ἀνάγκη δεῖξαι τὸ ἕτερον. ἤγουν τὴν ἑτέραν πρότασιν διὰ τῆς κύκλῳ δείξεως. εἰ δὲ μίαν τῶν κειμένων προτάσεων λάβῃ ἀλλὰ καὶ τὰς δύο, τὸ αὐτὸ συνάξει συμπέρασμα. ὅπερ καὶ ἐξ ἀρχῆς. ἤγουν ὅτι τὸ α παντὶ τῷ γ ὑπάρχει. εἰ δὲ μὴ ἀντιστρέφοντας καὶ ἐξισάζοντας ὅρους λάβῃ. ἀλλὰ ζῷον λογικὸν ἄνθρωπον, γενήσεται συλλογισμὸς καὶ συμπέρασμα, τῆς ἑτέρας ἤγουν τῆς μείζονος προτάσεως. ἐξ ἀναποδείκτου. ἤγουν ἐν τῷ λαβεῖν τὴν ἄλλην πρότασιν ἀναπόδεικτον. οὐ γάρ ἐστι διὰ τούτων τῶν ὅρων τῶν μὴ ἐξισαζόντων δεῖξαι ὅτι τῷ γ ὑπάρχει τὸ μέσον ἢ τῷ μέσῳ τὸ α. Ἐνδέχεται γίνεσθαι τὰς ἀποδείξεις. ἀντὶ τοῦ εἰπεῖν δείξεις, εἶπεν ἀποδείξεις. ἡ γὰρ κύκλῳ δεῖξις ἀπόδειξιν οὐ ποιεῖ. διὰ τὸ ἐξ αἰτιατῶν συλλογίζεσθαι. συμβαίνει δὲ καὶ ἐν τούτοις ἐξισάζειν ἤγουν τοῖς ἐξισάζουσιν, αὐτῷ τῷ δεικνυμένῳ. καὶ τῷ συμπεράσματι χρᾶσθαι πρὸς τὴν ἀπόδειξιν ἤγουν δεῖξιν.

ἡ γὰρ

ἀληθῶν ἐξ ἀνάγκης εἶναι τὸ ἕτερον ἤγουν τὸ συμπέρασμα ἀληθές. τούτου δὲ μὴ ὄντος ἤγουν τοῦ δὲ συμπεράσματος ὄντος ψευδοῦς, οὐδὲ θάτερον ἔσται. ἤγουν οὐδὲ αἱ προτάσεις εἰσὶν ἀληθεῖς. ὄντος δὲ τοῦ συμπεράσματος ἀληθοῦς, οὐκ ἀνάγκη εἶναι θάτερον. ἤγουν οὐκ ἀνάγκη εἶναι τὰς προτάσεις ἀληθεῖς. ἀλλ' ἐνδέχεται ἢ ἀληθεῖς ἢ ψευδεῖς εἶναι. τοῦ δ' αὐτοῦ ὄντος καὶ μὴ ὄντος ἤγουν τῶν προτάσεων οὐσῶν ἀληθῶν ἢ ψευδῶν, ἀδύνατον ἐξ ἀνάγκης εἶναι, τὸ αὐτό. ἤγουν ἀληθὲς συμπέρασμα. ἀλλ' εἰ μὲν αἱ προτάσεις ἀληθεῖς, ἐξ ἀνάγκης ἔσται καὶ τὸ συμπέρασμα ἀληθές. εἰ δ' αἱ προτάσεις εἰσὶ ψευδεῖς, οὐκ ἐξ ἀνάγκης ἐστὶ τὸ συμπέρασμα ἀληθές. διὰ τὸ ἐκ ψευδῶν προτάσεων ἐνδέχεσθαι ἢ ἀληθὲς ἢ ψευδὲς συνάγεσθαι συμπέρασμα. λέγω δὲ οἷον τοῦ α ὄντος λευκοῦ. ἤγουν τῶν προτάσεων οὐσῶν ἀληθῶν, ἐξ ἀνάγκης καὶ τὸ β. ἤγουν τὸ συμπέρασμα ἔσται ἀληθές. τοῦ δὲ α μὴ ὄντος λευκοῦ ἤγουν τῶν προτάσεων οὐσῶν ψευδῶν, ἀδύνατον εἰπεῖν τὸ β. ἤγουν τὸ συμπέρασμα ἐξ ἀνάγκης εἶναι ἀληθές. ἀλλ' ὅτι ἐνδέχεται ἢ ἀληθὲς εἶναι ἢ ψευδές. Ὅταν γὰρ τουδὶ ὄντος λευκοῦ τοῦ α. Εἶπον τὴν αἰτίαν δι' ἣν τοῦ συμπεράσματος ὄντος ἀληθοῦς οὐκ ἐξ ἀνάγκης αἱ προτάσεις ἀληθεῖς ἔσονται. ἀλλ' ἐνδέχεται ταύτας ἀληθεῖς ἢ ψευδεῖς εἶναι. τῶν δὲ προτάσεων οὐσῶν ἀληθῶν, ἐξ ἀνάγκης ἐστὶ καὶ τὸ συμπέρασμα ἀληθές. καὶ τὰ λοιπὰ ἃ ἀνωτέρω ἐπιχειρολογήσαμεν, νῦν δείκνυσι ταῦτα καὶ διὰ τοῦ ἐκ τριῶν συλλογισμοῦ. ἐκ τριῶν δὲ λέγεται συλλογισμός, ὁ ἐκ τριῶν ὑποθέσεων συναγόμενος. τοῦ γὰρ α ὄντος λευκοῦ ἤγουν ἀληθῶν οὐσῶν τῶν προτάσεων, ἀνάγκη τοδὶ τὸ β ἤγουν τὸ συμπέρασμα εἶναι μέγα. τουτέστιν ἀληθές. μεγάλου δὲ ὄντος τοῦ β. ἤγουν τοῦ συμπεράσματος ὄντος ἀληθοῦς, εἴ τις εἴποι τὸ γ μὴ λευκὸν ἀνάγκη εἶναι. ἤγουν τὰς προτάσεις εἶναι ψευδεῖς, ἐξ ἀνάγκης συμβαίνει ἀδύνατόν τι. ἤγουν τὸ εἰ τὸ α λευκόν. τουτέστιν εἰ ἀληθεῖς αἱ προτάσεις εἰσι, τὸ δὲ γ μὴ εἶναι λευκὸν ἤγουν συμβήσεται τὰς προτάσεις εἶναι ψευδεῖς ὅπερ ἄτοπον. συνήχθη δὲ τοῦτο τὸ ἄτοπον, ἐκ τοῦ ὑποθέσθαι ὅτι τοῦ συμπεράσματος ὄντος ἀληθοῦς, ἀνάγκη τὰς προτάσεις εἶναι ψευδεῖς. καὶ ἐπεὶ ἄτοπόν τι συνάγεται ἐκ τῆς τοιαύτης ὑποθέσεως, καλῶς ἄρα ἔφθην διδάξαι ὅτι τοῦ συμπεράσματος ὄντος ἀληθοῦς ἐνδέχεται τὰς προτάσεις ἀληθεῖς εἶναι ἢ ψευδεῖς. καὶ ὅταν δύο ὄντων θατέρου μὲν ὄντος ἤγουν τῶν προτάσεων οὐσῶν ἀληθῶν, ἀνάγκη θάτερον εἶναι. ἤγουν τὸ συμπέρασμα, ἀληθές. τούτου δὲ μὴ ὄντος. ἤγουν τοῦ δὲ συμπεράσματος ψευδοῦς ὄντος, ἀνάγκη τὸ α μὴ εἶναι. ἤγουν τὰς προτάσεις εἶναι ψευδεῖς. ὅτι δὲ τοῦ συμπεράσματος ὄντος ψευδοῦς αἱ προτάσεις ἐξ ἀνάγκης εἰσὶ ψευδεῖς, δείκνυσι διὰ τοῦ ἐκ τριῶν συλλογισμοῦ καὶ φησί. τοῦ β μὴ ὄντος μεγάλου. ἤγουν τοῦ συμπεράσματος οὐκ ὄντος ἀληθοῦς, τὸ α οὐχ οἷόν τε λευκὸν εἶναι. ἤγουν αἱ προτάσεις οὐκ εἰσὶν ἀληθεῖς. τοῦ δὲ α μὴ ὄντος λευκοῦ. ἤγουν τῶν προτάσεων οὐσῶν οὐκ ἀληθῶν. εἴ τις εἴποι ἀνάγκη τὸ β μέγα εἶναι ἤγουν τὸ συμπέρασμα ἀληθὲς εἶναι, συμβαίνει ἀδύνατόν τι. ὅτι τοῦ β μεγάλου μὴ ὄντος. ἤγουν τοῦ συμπεράσματος ὄντος ψευδοῦς, αὐτὸ τὸ β ἤγουν τὸ συμπέρασμα εἶναι μέγα τουτέστιν ἀληθὲς ἐξ ἀνάγκης. καὶ ἐπεὶ ἀδύνατόν τι συνάγεται, ἐκ τοῦ ὑποθέσθαι ὅτι τῶν προτάσεων οὐκ ἀληθῶν οὐσῶν, ἐξ ἀνάγκης εἶναι τὸ συμπέρασμα ἀληθές, καλῶς ἄρα καὶ αὐτὸς ἐδίδαξα. ὅτι τῶν προτάσεων οὐκ οὐσῶν ἀληθῶν, ἐνδέχεται τὸ συμπέρασμα ἀληθὲς ἢ ψευδὲς εἶναι. ἐκ τούτου γὰρ οὐδὲν ἀδύνατον συμβήσεται.

Περὶ τῆς κύκλῳ δείξεως.

Δείξας ὁ ἀριστοτέλης πῶς ἐκ ψευδῶν προτάσεων ἐγχωρεῖ συμπέρασμα ἀληθὲς συνάγεσθαι, νῦν ἑτέρας ὑποθέσεως ἄρχεται. ἡ γὰρ πραγματεία εἰς διάφορα κεφάλαια κατακερματίζεται. διδάσκει οὖν περὶ τῆς κύκλῳ δείξεως. παρεμποδιστικὴ γὰρ αὕτη τῇ ἀποδείξει. ἡ γὰρ ἀπόδειξις, ἄλλα ἔχει τὰ αἴτια. καὶ ἄλλα τὰ αἰτιατά. τὰ μὲν κατηγορούμενα λαμβάνουσα καθολικώτερα. τὰ δ' ὑποκείμενα μερικώτερα. ἡ δὲ κύκλῳ δεῖξις, τὰ αὐτὰ λαμβάνει καὶ αἴτια καὶ αἰτιατά. ἴσως ἔχουσα καὶ τοὺς κατηγορουμένους καὶ ὑποκειμένους καὶ ἀλλήλους ἀντιστρέφοντας. ἔστι δὲ ἡ κύκλῳ δεῖξις, τὸ λαμβάνειν τὸ ἀποδειχθὲν συμπέρασμα, καὶ μίαν τῶν κειμένων προτάσεων ἀντεστραμμένας, καὶ συμπεραίνειν τὴν λοιπήν. νῦν μὲν τὴν μείζονα, διὰ τοῦ συμπεράσματος καὶ τῆς ἐλάττονος. νῦν δὲ τὴν ἐλάττονα διὰ τοῦ συμπεράσματος, καὶ τῆς μείζονος. κύκλῳ δὲ δεῖξις καὶ δι' ἀλλήλων, ταὐτόν ἐστι. κύκλῳ μὲν γὰρ δεῖξις λέγεται ὅτι διὰ τοῦ συμπεράσματος ἐρχόμεθα εἰς τὰς προτάσεις καὶ διὰ τῶν προτάσεων εἰς τὸ συμπέρασμα. δι' ἀλλήλων δὲ ὅτι ἑκατέρα δι' ἑκατέρας δείκνυται. ἐν δὲ τοῖς μὴ ἀντιστρέφουσιν εἶπεν, ἵνα διαστείλῃ τὴν ἀληθῆ κύκλῳ δεῖξιν, ἐκ τῆς ψευδοῦς. ὅταν γὰρ οὐκ ἀντιστρέφωσιν οἱ ὅροι, ψευδὴς ἡ κύκλῳ δεῖξις. οἷον ἐὰν λάβῃς οὐσίαν. ζῷον. καὶ ἄνθρωπον. ταῦτα γὰρ οὐκ ἀντιστρέφουσι πρὸς ἄλληλα. καὶ ταῦτα μὲν ἱκανὰ πρὸς διόρθωσιν τῆς κύκλῳ δείξεως. ἔτι δὲ προσεπεξεργαζόμενος καὶ σαφηνίζων τὸ πρᾶγμα, ἐξ ἡμῶν συνάγει συμπεράσματα, τῇ κύκλῳ δείξει χρώμενος. ἐν μὲν γὰρ τὸ α γ. διὰ μέσου τοῦ β. ἕτερον δὲ τὸ α β διὰ τοῦ συμπεράσματος καὶ τῆς ἐλάττονος προτάσεως ἀντεστραμμένης. καὶ τὸ β γ τρίτον συμπέρασμα. διὰ τοῦ συμπεράσματος καὶ τῆς μείζονος προτάσεως. ἐπεὶ δὲ ἡ β γ.

λίθος οὐδενὶ ἀνθρώπῳ. ὁ ἄνθρωπος παντὶ γραμματικῷ. καὶ ὁ λίθος ἄρα οὐδενὶ γραμματικῷ. ὡσαύτως καὶ τὸ λογικὸν τὸ περιεχόμενον ὑπὸ τοῦ μέσου τοῦ ζώου. ἐν πρώτῳ σχήματι συναχθήσεται οὕτως. ὁ λίθος οὐδενὶ ζώῳ. ἀντιστρέφει γὰρ ἡ οὐδεὶς πρὸς ἑαυτήν. τὸ ζῶον παντὶ λογικῷ. καὶ ὁ λίθος ἄρα οὐδενὶ λογικῷ. Ἐπὶ δὲ τοῦ δευτέρου σχήματος ἔσται μὲν συλλογισμὸς τοῦ ὑπὸ τὸ συμπέρασμα μόνον. ἤγουν τοῦ περιεχομένου ὑπὸ τοῦ συμπεράσματος. ἔσται συλλογισμὸς ἐκ προτάσεως ἀποδεδειγμένης διὰ συλλογισμοῦ. ὁ γὰρ λίθος οὐδενὶ ἀνθρώπῳ ἡ μείζων πρότασις, συμπέρασμα ἦν τοῦ δευτέρου σχήματος. πᾶν δὲ συμπέρασμα ἀποδείκνυται διὰ συλλογισμοῦ. Τοῖς δὲ περιεχομένοις ὑπὸ τοῦ μέσου. ἤγουν τὸ δὲ συμπέρασμα τῶν περιεχομένων ὑπὸ τοῦ μέσου ὅρου τοῦ α. τὸ ὅτι ὁ λίθος οὐδενὶ λογικῷ, συνήχθη ἀπὸ μείζονος προτάσεως τῆς ὅτι ὁ λίθος οὐδενὶ ζώῳ. οὐ προαποδείκνυται διὰ συλλογισμοῦ, ἀλλὰ ἀναπόδεικτος ἐλήφθη. καίτοι γε τὸ β ἤγουν ὁ λίθος, οὐδενὶ ὑπάρχει τῷ ε. ἤγουν τῷ λογικῷ. διότι τὸ λογικὸν ὑπὸ τὸ α ἐστί. καὶ ἐπειδὴ τὸ β ἀποφάσκεται τοῦ α ἤγουν τοῦ ζώου. ἀποφασθήσεται καὶ τοῦ ε. ἤγουν τοῦ λογικοῦ. ἀλλ' ὅτι τὸ β οὐδενὶ ὑπάρχει τῷ γ. ἀπεδείχθη διὰ συλλογισμοῦ τοῦ β σχήματος. καὶ συμπέρασμα τοῦτό ἐστιν ἤγουν τοῦ δευτέρου σχήματος. ὅτι τὸ β οὐδενὶ τῷ γ. Μείζων δὲ πρότασις ἐλήφθη τοῦ συμπεράσματος. τοῦ ὅτι ὁ λίθος οὐδενὶ γραμματικῷ. ὅτι δὲ τὸ β οὐδενὶ ὑπάρχει τῷ α. ὅπερ ἐστὶ μείζων πρότασις. τοῦ ὅτι ὁ λίθος οὐδενὶ τῷ ε ἤγουν τῷ λογικῷ, ἀναπόδεικτός ἐστιν. ὥστε συνήχθη τὸ β μηδενὶ ὑπάρχειν τῷ ε, οὐ διὰ τὸν συλλογισμὸν ἤγουν οὐκ ἀπό τινος προτάσεως ἀποδεδειγμένης διὰ συλλογισμοῦ. ἐπὶ δὲ τῶν μερικῶν συλλογισμῶν τῶν μὲν περιεχομένων ὑπὸ τοῦ συμπεράσματος, οὐδὲν ἀναγκαῖον συμπέρασμα συνάγεται. διότι οὐδὲ συλλογισμὸς ἐγένετο. διὰ τὸ εἶναι τὴν μείζονα πρότασιν μερικήν. τῶν δὲ περιεχομένων ὑπὸ τοῦ μέσου, ἔσται συλλογισμός. πλὴν οὐ διὰ τὸν συλλογισμόν. ἤγουν οὐ διὰ πρότασιν ἀποδεδειγμένην ἔκ τινος συλλογισμοῦ, συνάγεται τὸ συμπέρασμα τῶν περιεχομένων ὑπὸ τοῦ μέσου. ὥστε ἢ οὐδὲ ἐκεῖ ἤγουν ἐπὶ τῶν καθόλου συλλογισμῶν ἔσται, τοῦ ὑπὸ τοῦ μέσου περιεχομένου συναχθὲν συμπέρασμα ἐξ ἀποδεδειγμένης προτάσεως, καὶ λοιπὸν οὐδὲ ἐπὶ τῶν μερικῶν συλλογισμῶν. εἰ δὲ ἐπ' ἐκείνων τῶν καθόλου ἐξ ἀποδεδειγμένης προτάσεως συνεπεράνθη τὸ συμπέρασμα τοῦ περιεχομένου ὑπὸ τοῦ μέσου καὶ ἐπὶ τῶν μερικῶν ἄρα συλλογισμῶν ἐξ ἀποδεδειγμένης προτάσεως συναχθήσεται τὸ συμπέρασμα τοῦ περιεχομένου ὑπὸ τοῦ μέσου. Ἐστι μὲν οὖν οὕτως ἔχειν ὥστ' ἀληθεῖς εἶναι. Ἐπειδὴ τὸ ἐκ ψευδῶν προτάσεων ἀληθὲς συνάγειν συμπέρασμα τοῦ ὅτι γίνεται ὁ συλλογισμὸς ἀλλ' οὐ διότι. ὁ δὲ ἀποδεικτικὸς συλλογισμὸς τοῦ διότι ἐστί, λοιπὸν αἱ ψευδεῖς προτάσεις κἂν ἀληθές συμπέρασμά ποτε συνάγωσι, παρεμποδίζουσι τὸν ἀποδεικτικὸν συλλογισμόν, ὥστε συνάξαι συμπέρασμα τοῦ διότι. καὶ διὰ τοῦτο διδάσκει τὸ ἐκ ψευδῶν προτάσεων συνάγεσθαί ποτε συμπέρασμα ἀληθές, ἵνα ἀποδεικτικῶς συλλογιζόμενος, τηρῇς τὸ μὴ λαμβάνειν προτάσεις ψευδεῖς. γίνωσκε δὲ ὅτι ἐξ ἀληθῶν προτάσεων ἀεὶ ἀληθὲς συνάγεται συμπέρασμα. ἐκ δὲ ψευδῶν, ποτὲ ἀληθές. ποτὲ δὲ ψευδὲς συνάγεται συμπέρασμα. εἰ δὲ τὸ συμπέρασμά ἐστι ψευδές, ἀνάγκη καὶ ψευδεῖς εἶναι τὰς προτάσεις. ἐξ ὧν συνήχθη. ἤγουν τὸ συμπέρασμά ἐστιν ἀληθές. ἔστι μὲν οὖν οὕτως ἔχειν ἤγουν ἀληθεῖς εἶναι τὰς προτάσεις, ἐξ ὧν συνήχθη. ἔστι δέ, ὥστε ἤγουν ἢ πολλάκις εἰσὶ ψευδεῖς, ἢ πολλάκις ἡ μία ἐστὶν ἀληθὴς ἡ δὲ ἑτέρα ψευδής. τὸ δὲ ἐκ ψευδῶν προτάσεων συμπέρασμα συναγόμενον, ἢ ἀληθές ἐστιν ἢ ψευδὲς ἐξ ἀνάγκης. Ὅταν μὲν ὁ μέσος ὅρος οὐκ ἔστιν ὁρισμὸς τοῦ μείζονος ἄκρου, τότε γίνεται συλλογισμὸς τοῦ ὅτι οἷον ὁ ἄνθρωπος ὀρθοπεριπατητικόν, λογικόν. πᾶς ἄρα ἄνθρωπος λογικός. καὶ ὅτι μὲν ὁ ἄνθρωπος λογικὸς συνῆξας. διατί δὲ λογικὸς οὐ συνῆξας. οὐ γὰρ τὸ ὀρθοπεριπατητικὸν αἴτιον ἐστὶ τοῦ εἶναι τὸν ἄνθρωπον λογικόν. εἰ δ' εἴποις οὕτως ὁ ἄνθρωπος λόγῳ χρᾶται. πᾶς ὁ λόγῳ χρώμενος λογικός. πᾶς ἄρα ἄνθρωπος λογικός. τὸ διότι ἤγουν τὴν αἰτίαν ἀπέδωκας, τοῦ εἶναι τὸν ἄνθρωπον λογικόν. ὁ γὰρ μέσος ὅρος, ὁρισμός ἐστι τοῦ λογικοῦ. ὅτι δὲ ἐξ ἀληθῶν προτάσεων ἀληθὲς συμπέρασμα συνάγεται, δῆλόν ἐστιν ἐκ τούτου. καὶ πρὸς ἀπόδειξιν τοῦ ῥηθέντος, λαμβάνει τὸ μὲν α, ἀντὶ δύο προτάσεων. καὶ ὡς ἡγούμενον. τὸ δὲ β ὡς συμπέρασμα καὶ ἑπόμενον. ὥσπερ καὶ ὁ ἄνθρωπός ἐστιν ἡγούμενον. τὸ δὲ ζῶον ἑπόμενον. καὶ ὥσπερ ἀνθρώπου ὄντος, ἐξ ἀνάγκης ἐστὶ καὶ ζῶον. ζώου δὲ μὴ ὄντος, οὐδὲ ἄνθρωπος ἔσται. οὕτω καὶ εἰ μὲν τὸ α ἐστίν. ἤγουν αἱ αἱ προτάσεις εἰσὶν ἀληθεῖς. ἀνάγκη καὶ τὸ β. ἤγουν τὸ συμπέρασμα εἶναι ἀληθές. τοῦ δὲ β μὴ ὄντος, τουτέστι τοῦ συμπεράσματος ὄντος ψευδοῦς, ἀνάγκη καὶ τὸ α ἤγουν τὰς προτάσεις εἶναι ψευδεῖς. εἰ ἄρα αἱ προτάσεις ἀληθεῖς, ἀνάγκη καὶ τὸ συμπέρασμα ἀληθὲς εἶναι. εἰ δέ τις ἐνίσταται λέγων ἐξ ἀληθῶν προτάσεων ψευδὲς συμπέρασμα γίνεσθαι, συμβήσεται τὸ αὐτὸ καὶ ἓν συμπέρασμα, ἅμα καὶ εἶναι καὶ μὴ εἶναι. ἤγουν καὶ ἀληθὲς καὶ ψευδὲς εἶναι. ἀληθὲς μὲν κατὰ τὴν ὑπόθεσιν τὴν ὅτι ἐξ ἀληθῶν ἀληθὲς συμπέρασμα συνάγεται ψευδὲς διὰ τὴν ἔνστασιν τοῦ διισχυριζομένου ἐξ ἀληθῶν ψευδὲς συνάγεσθαι συμπέρασμα. εἰ δὲ καὶ εἶπεν ὅτι τοῦ α ὄντος ἐξ ἀνάγκης συμβαίνει τὸ β, μὴ ὑπολάβῃ τις ὅτι τὸ α ἀντὶ ἑνὸς ὅρου ἢ μιᾶς προτάσεως ἔλαβεν. ἀλλ' ἀντὶ β προτάσεων. εἴ τις λαμβάνει ἀληθεῖς προτάσεις καὶ συλλογίζεται ἀληθὲς συμπέρασμα. τὸ μὲν α παντὶ ᾧ τὸ β ἤγουν παντὶ ἀληθῶς ὑπάρχει τῷ β. τὸ δὲ β ἀληθῶς ὑπάρχει παντὶ ᾧ τὸ γ ἤγουν παντὶ τῷ γ. καὶ τὸ α ἄρα ἀληθῶς ὑπάρξει παντὶ ᾧ τὸ γ ἤγουν

ἤγουν συμπλεκομένου τοῦ μέσου τοῖς δυσὶν ἄκροις· καὶ οὕτω συνάγοντος τὰ δύο ἄκρα. ἐν δὲ τῷ περὶ εὐπορίας προτάσεων ἐδίδαξεν εἰς ποῖα βλεπτέον ἐν τῷ κατασκευάζειν· ἤγουν εἰς τὰ γ΄ ζ΄. ἐν τῷ ἀνασκευάζειν δὲ εἰς τὰ δ΄ ζ΄. ἐν γοῦν τῷ περὶ εὐπορίας προτάσεων παρέδωκε μέθοδον, πῶς δεῖ ζητεῖν τὰς προτάσεις. καὶ εὑρίσκειν περὶ τοῦ προκειμένου προβλήματος· καθολικωτέραν μέθοδον καὶ ἐπιστήμην ἢ τέχνην. ὅταν γὰρ πρόβλημα ἐξ οἱασδήποτε τέχνης ἢ ἐπιστήμης προστεθῇ· ἢ ἰατρικόν· ἢ γεωμετρικόν· ἢ φυσικόν, ἐκεῖ δεῖ ὁ ζητούμενος εὐπορήσας προτάσεων εἰς ἀπόδειξιν τούτου. ἐν δὲ τῷ περὶ ἀναλύσεως συλλογισμῶν, παρέδωκε διὰ ποίας ὁδοῦ καὶ μεθόδου τὰς ἀρχὰς καὶ τὰς προτάσεις τοῦ προτιθέντος εὑρήσομεν· πολλάκις γὰρ τὸ συμπέρασμα μόνον λέγεται. αἱ δὲ προτάσεις καταλιμπάνονται. πολλάκις δὲ ἡ μία καὶ τὸ συμπέρασμα. ἐν δὲ τῇ παρούσῃ πραγματείᾳ διδάσκει πῶς οἱ μὲν καθόλου πάντες συλλογισμοί, πλείονα συνάγουσι συμπεράσματα διὰ τῆς ἀντιστροφῆς. οἷον τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ β΄ καὶ τὸ α΄ ἄρα παντὶ τῷ β΄. ἓν μὲν τοῦτο συμπέρασμα ἐκ τῶν ληφθεισῶν προτάσεων συνήχθη. ἐπεὶ δὲ ἡ πᾶς πρὸς τὴν τὶς ἀντιστρέφει συνάξεις καὶ ἄλλο συμπέρασμα. ὅτι τὸ β΄ τινὶ τῷ α. τὸ δὲ τινὶ τοῦτο συνήχθη οὐκ ἐκ τῶν ληφθεισῶν προτάσεων ἀλλ' ἐκ τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος. ὡσαύτως καὶ ὁ οὐδείς. τῶν δὲ μερικῶν συλλογισμῶν. οἱ μὲν κατηγορικοὶ συλλογισμοί, πλείονα συνάγουσι τὰ συμπεράσματα, διὰ τῆς ἀντιστροφῆς. οἷον, τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ τινὶ τῷ β΄. καὶ τὸ α΄ ἄρα τινὶ τῷ β΄. καὶ τοῦτο μὲν συνήχθη, ἐξ ὧν ἐλάβομεν προτάσεων. τὸ δὲ β΄ τινὶ τῷ α΄, διὰ τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος συνήχθη, ἀλλ' οὐκ ἐκ τῶν ληφθεισῶν προτάσεων. οἱ δὲ ἀποφατικοὶ μερικοὶ οἱ τῷ οὐ παντὶ συνάγοντες, ἓν μόνον συνάγουσι συμπέρασμα. ὅτι τὸ α΄ οὐ παντὶ τῷ β΄. διὰ μέσου τοῦ γ΄. οἷον, τὸ α΄ οὐδενὶ τῷ γ. τὸ γ΄ τινὶ τῷ β΄. καὶ τὸ α΄ ἄρα οὐ παντὶ τῷ β΄. ἡ δὲ στερητικὴ μερικὴ, οὐκ ἀντιστρέφει ὡρισμένως πρός τι. καὶ διὰ τοῦτο ἄλλο συμπέρασμα οὐ συνάγεται ἐπὶ τοῦ μερικοῦ καὶ ἀποφατικοῦ συλλογισμοῦ, διὰ τῆς ἀντιστροφῆς. τὸ δὲ συμπέρασμά τι κατά τινος ἐστὶν, λύσις ἐστὶν ἐνστάσεως. ἀπορεῖ γὰρ τῷ ἀντιστοιχεῖ ὅτι ἕτερον συμπέρασμα οὐ συνάγεται ἐπὶ τοῦ μερικοῦ ἀποφατικοῦ συλλογισμοῦ· διὰ τὸ μὴ δύνασθαι τὴν οὐ πᾶς ἀντιστρέφειν, ἴσως αὐτὸς ἀντίστη αὐτῷ λέγων τὴν οὐ πᾶς ἀντιστρέφειν ἢ πρὸς ἑαυτὴν ἢ πρὸς τὴν τὶς. ἢ πρὸς τὴν πᾶς ἢ πρὸς τὴν οὐδείς. φησὶ γοῦν ὁ σοφὸς ὅτι οὐ καὶ ἀντιστρέφει, ἀλλ' ἀορίστως. τὸ γὰρ α οὐ παντὶ τῷ β΄. ἄδηλον ὃ μέλλει ἀντιστραφῆναι, πῶς ἀντιστραφήσεται. τὸ δὲ συμπέρασμα διὰ τῆς ἀντιστροφῆς γινόμενον, τί κατά τινος ἐστί. ἤγουν ὡρισμένον ὀφείλει εἶναι οὐ μὴν ἀόριστον. ὥστε οἱ μὲν ἄλλοι συλλογισμοὶ ἤγουν οἱ καθόλου καὶ οἱ μερικοὶ καταφατικοὶ, πλείω συμπεράσματα συνάγουσιν. ἓν μὲν ἐκ τῶν ληφθεισῶν προτάσεων. ἕτερον δὲ διὰ τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος. Τοῦτο δὲ ὅτι τὸ β΄ οὐδενὶ τῷ α΄, ἕτερόν ἐστι τοῦ ἔμπροσθεν τοῦ ὅτι τὸ α΄ οὐδενὶ τῷ β΄. καὶ τοῦτο λύσις ἐνστάσεώς ἐστι. πῶς φὴς τὸν συλλογισμὸν πολλὰ συμπεράσματα συνάγειν. εἴγε συλλογισμός ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει, ἐν γὰρ τῷ εἰπεῖν ἕτερον, ἐδήλωσεν ὡς ἓν ἔστι συμπέρασμα συνάγων ὁ συλλογισμός. λύων γοῦν τὴν ἔνστασιν λέγει. οὐκ ἐναντιοῦμαι αὐτὸ ἐγὼ [illegible]. καὶ ἐνταῦθα γὰρ ἕν ἐστι τὸ ἐκ τῶν κειμένων προτάσεων συναγόμενον συμπέρασμα. τὸ ὅτι τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ δὲ ὅτι τὸ β΄ οὐδενὶ τῷ α΄, οὐκ ἐκ τῶν προτάσεων συνήχθη ἀλλὰ διὰ τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος. ὃ δὲ τινὶ μὴ ὑπάρχει. ἤγουν ὃ δὲ τὸ α΄ οὐ παντὶ τῷ β΄, οὐκ ἀνάγκη ἀντιστρέψαι καὶ εἰπεῖν ὅτι τὸ β΄ οὐ παντὶ τῷ α΄. ἐνδέχεται γὰρ τὸ α΄ παντὶ τῷ β΄ ὑπάρχειν. οὐ γὰρ ὁ ἄνθρωπος οὐ παντὶ ζῴῳ, τὸ ζῷον μὲν παντὶ ἀνθρώπῳ ὑπάρχει.

Αὕτη μὲν οὖν κοινὴ αἰτία. ἤγουν κοινωνοῦσιν οἱ καθόλου συλλογισμοὶ καὶ οἱ μερικοὶ καταφατικοὶ, κατὰ τὸ πλείονα συνάγουσι συμπεράσματα. ἐκ γὰρ τῆς περιοχῆς τοῦ ἐλάττονος ὅρου, ἕτερον συνάξεις συμπέρασμα καὶ ἐκ τῆς περιοχῆς τοῦ μέσου ἕτερον. πλὴν πάντα τὰ συμπεράσματα συναχθήσονται. ἐν μὲν τῷ α σχήματι, διὰ τοῦ αὐτοῦ σχήματος τοῦ α΄. δι' οὗ καὶ ὁ α΄ συλλογισμός. λάβε τὸ α΄ οὐσίαν. τὸ γ΄ ἔμψυχον. τὸ ε΄ αἰσθητικόν. τὸ β΄ λογικὸν καὶ τὸ δ΄ ἄνθρωπον. ὁ μὲν α΄ συλλογισμός ἐστιν ὅτι ἡ οὐσία παντὶ ἐμψύχῳ. τὸ ἔμψυχον παντὶ λογικῷ. καὶ ἡ οὐσία παντὶ λογικῷ. οὗτος μὲν ἐστὶν ὁ α΄ συλλογισμός. ἐπεὶ δὲ ὁ ἐλάττων ὅρος τὸ λογικὸν περιέχει τὸν ἄνθρωπον, συνάξεις ἐκ τῆς περιοχῆς ἕτερον συμπέρασμα. ἡ οὐσία παντὶ λογικῷ. τὸ λογικὸν παντὶ ἀνθρώπῳ. ἡ οὐσία ἄρα παντὶ ἀνθρώπῳ. ἀλλὰ καὶ ὁ μέσος ὅρος τὸ ἔμψυχον περιέχει τὸ αἰσθητικόν. καὶ συνάξεις ἄλλο συμπέρασμα. ἡ οὐσία παντὶ ἐμψύχῳ. τὸ ἔμψυχον παντὶ αἰσθητικῷ. ἡ οὐσία ἄρα παντὶ αἰσθητικῷ. ὁμοίως καὶ ἀπὸ τοῦ ἀποφατικοῦ, πλείονα συμπεράσματα συναχθήσονται. καὶ ὁ μὲν α΄ ἐστὶν οὕτως. τὸ αἰσθητικὸν οὐδενὶ ἀναισθήτῳ, τὸ ἀναίσθητον παντὶ λίθῳ. τὸ αἰσθητικὸν ἄρα οὐδενὶ λίθῳ. ἐπεὶ δὲ ὁ λίθος περιέχει τὴν μαγνῆτιν, συνάξεις ἕτερον συμπέρασμα οὕτως. τὸ αἰσθητικὸν οὐδενὶ λίθῳ. ὁ λίθος πάσῃ μαγνήτιδι. καὶ τὸ αἰσθητικὸν ἄρα οὐδεμιᾷ μαγνήτιδι. ἐπεὶ δὲ ὁ μέσος ὅρος τὸ ἀναίσθητον περιέχει τὸ ἄψυχον, συνάξεις ἄλλο συμπέρασμα, τὸ αἰσθητικὸν, οὐδενὶ ἀναισθήτῳ. τὸ ἀναίσθητον παντὶ ἀψύχῳ. καὶ τὸ αἰσθητικὸν οὐδενὶ ἀψύχῳ. ἐν δὲ τῷ β΄ σχήματι καὶ τῷ γ΄, οὐ διὰ τοῦ αὐτοῦ σχήματος. συνάγεται πάντα τὰ συμπεράσματα. ἀλλὰ δι' ἄλλων καὶ ἄλλων. οἷον συνήχθη ἐν δευτέρῳ σχήματι ὁ λίθος οὐδενὶ ἀνθρώπῳ διὰ μέσου τοῦ ζῴου. τὸ δὲ περιεχόμενον ὑπὸ τοῦ ἐλάττονος ὅρου τοῦ ἀνθρώπου. ἤγουν τὸ γραμματικὸν, συναχθήσεται ἐν α΄ σχήματι, οὕτως. ὁ.

ΕΙΣ ΤΑ ΔΕΥΤΕΡΑ ΤΩΝ ΠΡΟΤΕΡΩΝ ΑΝΑ.

Ἐν πόσοις μὲν οὖν σχήμασι καὶ διὰ ποίων καὶ πόσων προτάσεων. Διαφόρους τῆς παρούσης πραγματείας σκοποὺς ἀποδεδώκασι παρὰ τῶν παλαιῶν. Πρόκλος μὲν εἶπεν, ὅτι ἐν τοῖς προλαβοῦσι περὶ τὰ εἴδη τῶν συλλογισμῶν ἐδίδαξε. ἤγουν τὰ συμπεράσματος· ἐν ὧ ἐδίδασκε ποταπὸν συμπέρασμα συνάγεται ἐκ β´ καταφατικῶν ἢ ἐκ μιᾶς ἀποφατικῆς τῆς δὲ ἑτέρας καταφατικῆς. ἐνταῦθα δὲ διδάσκει περὶ τῆς ὕλης τοῦ συλλογισμοῦ ἤγουν τῶν προτάσεων. διαψεύδεται δὲ προφανῶς. ἐν γὰρ τῷ περὶ εὐπορίας προτάσεων μέθοδον παρέδωκεν ἐφευρετικὴν τῶν προτάσεων. ὁ δὲ μαξίμος, σκοπὸν εἶχεν ἐνταῦθα εἶπε διαλαβεῖν περὶ τῶν λυσιτελούντων ἐστὶν διαλεκτικήν. τινὰ δέ ἐστι ταῦτα, τὸ ἐκ ψευδῶν προτάσεων ἀληθὲς συνάγειν συμπέρασμα. τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ἡ ἐπαγωγή. καὶ ἄλλα τινά. διαψεύδεται δὲ καὶ οὗτος. πρῶτον μὲν ὅτι ὁ διαλεκτικὸς οὐ λαμβάνει ψευδεῖς προτάσεις ἀλλὰ πιθανάς. ἕτερον δὲ ὅτι οὐκ εὐθὺς διδάσκει περὶ τῆς διαλεκτικῆς, ἀλλὰ περὶ τῆς ἀποδεικτικῆς. ὁ δὲ ἀλέξανδρος δοκεῖ κρείττονα σκοπὸν ἀποδοῦναι. φησὶν ὅτι διδάσκει ὅσα ἔφθασε παραλεῖψαι παραδοὺς τὴν συλλογιστικὴν μέθοδον. ὅτι δὲ οὐδὲ τοῦτο ἀληθές. πάντα γὰρ τὰ συμπληρωτικὰ τῆς συλλογιστικῆς μεθόδου παρέδωκε καὶ οὐδέν τι παρέλειψεν. ἡμεῖς δὲ λέγομεν ὅτι ἐνταῦθα παραδίδωσι τὰ παρεμποδίζοντα τὸν ἀποδεικτικὸν συλλογισμόν. καὶ μὴ ἐῶντα προβαίνειν αὐτόν. ἔστι δὲ ταῦτα, τὸ ἐκ ψευδῶν προτάσεων συλλογίζεσθαι. ἡ κυκλικὴ δεῖξις. τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ἡ ἐπαγωγή. τὸ τεκμήριον καὶ τὸ σημεῖον. ἐπεὶ καὶ τοὺς ἰατροὺς ὁρῶμεν μὴ μόνον τὰ πρὸς ὑγείαν λυσιτελοῦντα φάρμακα διδάσκοντας, ἀλλὰ καὶ τὰ θανατοφόρα. οὐχ ἵνα τούτοις χρῶνται ἰατρεύοντες, ἀλλ' ἵνα μᾶλλον ἐκφεύγωσι. καὶ ὁ ἀριστοτέλης παρέδωκε ἃ εἴπομεν ἐν τῇ παρούσῃ πραγματείᾳ, ἵνα ἀποδεικνύοντες μὴ τούτοις χρώμεθα ὡς παρεμποδίζουσι τὴν ἀπόδειξιν. Ἐν πόσοις μὲν οὖν σχήμασιν ἤγουν ἐν τρισίν. ἐξ ἀρχῆς δὲ ἀνακεφαλαίωσιν ποιεῖται ὧν ἐδίδαξεν ἐν τῇ συλλογιστικῇ μεθόδῳ. αἱ τρία δὲ σχήματά ἐστι καὶ οὐ πλείονα. διότι καὶ τρία εἴδη εἰσὶ τῶν συλλογισμῶν. ἀποδεικτικόν. διαλεκτικόν. καὶ σοφιστικόν. καὶ τὸ μὲν α´ σχῆμα λυσιτελεῖ σοι πρὸς τὴν ἀπόδειξιν. καθόσον ἐν αὐτῷ μόνῳ συνάγεται τὸ παντί. καὶ ὁ ἀποδεικνύων ὡς ἐπὶ τὸ πλεῖστον κατασκευάζει. σπανιάκις δὲ καὶ ἀνασκευάζει. τὸ δὲ δεύτερον χρησιμεύει πρὸς τὴν διαλεκτικήν. ἀεὶ γὰρ ὁ διαλεκτικὸς ἀνασκευάζει. καὶ ἐν τῷ δευτέρῳ σχήματι πάντα τὰ συμπεράσματα, ἀποφατικά ἐστι. τὸ δὲ τρίτον, εἰς τὴν σοφιστικήν. οἱ γὰρ σοφισταὶ μερικὰ συνάγουσι. μερικὰ δὲ συμπεράσματα συνάγονται καὶ ἐν τῷ γ´. ἢ ὅτι ἐπεὶ ὁ συλλογισμὸς διὰ μέσου ὅρου γίνεται. ὁ δὲ μέσος τριαχῶς λαμβάνεται. ἢ γὰρ τὴν οἰκείαν τάξιν αὐτοῦ συντηρεῖ καὶ τῷ ὄντι μέσος ἐστίν. ὡς τῷ μὲν ἑνὶ τῶν ἄκρων ὑποκείμενος τοῦ δὲ ἑτέρου κατηγορούμενος, καὶ ποιεῖ τὸ α´. ὃ δὲ λέγεται ὡς τιμιώτερον. καθόσον ἐν αὐτῷ ὁ μέσος ἑνὶ τῶν ἄκρων ὑποκείμενος γίνεται. καὶ τὴν οἰκείαν τάξιν φυλάττει. καὶ ὅτι πάντα τὰ προβλήματα, ἐν αὐτῷ συνάγεται. ἢ ὑπεραναβαίνει τῶν ἄκρων. καὶ ποιεῖ τὸ β´. ἢ ὑπόκειται τοῖς ἄκροις, καὶ ποιεῖ τὸ τρίτον. ἔστιν εἰπεῖν καὶ ἑτέραν αἰτίαν. πέντε εἰσὶ τῆς ψυχῆς γνωστικαὶ δυνάμεις. νοῦς. διάνοια. δόξα. φαντασία. καὶ αἴσθησις. καὶ ὁ μὲν νοῦς, οὐ συλλογίζεται· ὡς πάντα γινώσκων κρειττόνως ἢ κατ' ἀπόδειξιν. ἀχρόνως γὰρ καὶ ἀμερῶς καὶ ἁπλαῖς ἐπιβολαῖς τὰ πάντα γινώσκει ὡς ἐν ἑαυτῷ ἔχων τὰ εἴδη πάντων τῶν ὄντων. ἀλλ' οὐδὲ ἡ αἴσθησις συλλογίζεται. ἀντιληπτικὴ οὖσα πάντων τῶν μερικῶν· ἐκ τούτων δὲ συλλογισμὸς οὐ γίνεται. ὡσαύτως δὲ οὐδὲ ἡ φαντασία συλλογίζεται. ἡ γὰρ αἴσθησις παραπέμπει τῇ φαντασίᾳ ταῦτα πάντα. περὶ ὅσα ἔφθασεν ἐνεργῆσαι. τὰ δὲ ὑπὸ τῆς αἰσθήσεως παραπεμπόμενα τῇ φαντασίᾳ, μερικά ἐστι. ἐκ τούτων δὲ συλλογισμὸς οὐ γίνεται. φαντασία δὲ λέγεται, ὡς φαοστασία τις οὖσα. ἐν αὐτῇ γὰρ ἵστανται καὶ ἠρεμοῦσι καὶ συντηροῦνται, ὅσα ἡ αἴσθησις ἐν αὐτῇ παραπέμψει. λοιπὸν ἡ διάνοιά ἐστιν ἡ συλλογιζομένη. καὶ εἰ μὲν ἐκ τοῦ νοῦ λάβῃ τοὺς ὅρους, ποιεῖ τὸν ἀποδεικτικὸν συλλογισμόν. ὅθεν καὶ διάνοια λέγεται ὡς διὰ τοῦ νοῦ συλλογιζομένη. ἤγουν ὡς ἐκ τοῦ νοῦ λαμβάνουσα τοὺς ὅρους. εἰ δὲ διάνοια λάβῃ τοὺς ὅρους ἐκ τῆς δόξης, ποιεῖ τὸν διαλεκτικὸν συλλογισμόν. ὡς ἐξ ἀμφιδόξων καὶ πιθανῶν προτάσεων συνιστάμενον. ὅθεν καὶ δόξα λέγεται. δοκιάζει γὰρ περὶ τὰ πράγματα καὶ ἀμφιβάλλει. οὐ μὴν ἀκριβῆ κατάληψιν ἔχει αὐτῶν. εἰ δὲ ἐκ τῆς φαντασίας, ποιεῖ τὸν σοφιστικόν. ὡς καὶ ἐκ μερικῶν προτάσεων συνιστάμενον. καὶ ὅτι πεπλανημένα καὶ ψευδῆ ἡ φαντασία διδάσκει. φανταζομένη γὰρ τὰ λάχανα ὑπερέχοντα τῆς γῆς οἴεται καὶ μείζονα ταύτης εἶναι. οὕτω τοῦτο συνάγουσα. τὰ λάχανα ὑπερέχουσι τῆς γῆς. τὰ ὑπερέχοντά τινος μείζονα τούτου ἐστί. τὰ λάχανα ἄρα μείζονα τῆς γῆς ἐστι. μὴ διακρίνουσα ὅτι τὸ ὑπερέχον εἰ μὲν κατὰ ὄγκον καὶ τὸ μέγεθος ὑπερέχει, μεῖζόν ἐστι τοῦ ὑπερεχομένου. εἰ δὲ ὡς θετικῶς ὑπερέχει, οὐκ ἀναγκαῖόν ἐστι καὶ μεῖζον εἶναι τοῦ ὑπερεχομένου.

Καὶ διὰ ποίων προτάσεων. ἤγουν ἐκ δύο καταφατικῶν καθόλου ἢ ἐξ ἀποφατικῶν καὶ καταφατικῶν. καὶ πόσων προτάσεων ἤγουν διὰ δύο. καὶ πότε. ὅτε τὸ μέσον τῷ μὲν ἑνὶ ὑπόκειται τοῦ δὲ ἑτέρου κατηγορεῖται. ἢ ὅτε ἀμφότερα τῶν ἄκρων κατηγορεῖται. ἢ ὅτε ἀμφοτέροις ὑπόκειται. καὶ πῶς.

ἀντίφασιν συναληθεύειν. ἀλλ' οὐδὲ τὸ β' συναληθεύσει τῷ δ'. διότι τὸ δ' καὶ τὸ ά συναληθεύουσιν. ὥστε εἰ τὸ β' συναληθεύσει τῷ δ'. τὸ δὲ δ' τῷ ά συναληθεύει, συναληθεύσει ἄρα καὶ τὸ β' τῷ ά. ἀντίφασις δέ ἐστι τὸ ά. ταῦτα δὲ ἀδύνατον συναληθεύειν. Συμβαίνει δ' ἐνίοτε. Δείξας ὅτι αἱ ἀποφάσεις ἀντιστρόφως ἀκολουθοῦσι ταῖς καταφάσεσιν, ἤγουν ἡ μὲν ἁπλῆ ἀπόφασις ἀκολουθεῖ τῇ ἐκ μεταθέσεως καταφάσει. ἡ δὲ ἐκ μεταθέσεως ἀπόφασις τῇ ἁπλῇ καταφάσει, νῦν προστίθησι τὴν ἀπάτην δι' ἧς τινὲς ὡρμήθησαν δεῖξαι ὅτι ἡ ἁπλῆ ἀπόφασις ἀκολουθεῖ τῇ ἐκ μεταθέσεως καταφάσει, οὕτω καὶ ἡ ἁπλῆ κατάφασις τῇ ἐκ μεταθέσεως ἀποφάσει. ἣν καὶ ἐλέγχει ὕστερον. ἐλάμβανον γοῦν τὸ ά, οὐκ ἔστιν ἀγαθόν. τὸ β' ἐστὶν ἀγαθόν. καὶ ἔλεγον τὸ ζ ἀντιφατικῶς ἀντικεῖσθαι καὶ ἀμφοτέραις τὸ ά β' δηλονότι καὶ ἰδίᾳ. τὸ δὲ ζ ἤγουν ἡ ἀπόφασις τούτων ἦν, τὸ οὔτε ἔστιν ἀγαθὸν οὔτε οὐκ ἔστιν ἀγαθόν. καὶ πάλιν ἐλάμβανον τὸ γ' ἔστιν οὐκ ἀγαθόν. καὶ τὸ δ' οὐκ ἔστιν οὐκ ἀγαθόν. ἀπόφασιν δὲ καὶ τῶν β' καὶ ἑκάτερον ἰδίᾳ τὸ θ. ἤγουν τὸ οὔτε ἔστιν οὐκ ἀγαθόν, οὔτε οὐκ ἔστιν οὐκ ἀγαθόν. ὡς δὲ τὸ δεῖξαι ὅτι τὸ β' ἀκολουθεῖ τῷ δ', ἐχρησάμεθα τὸ δεῖξαι ὅτι τὸ θ ἀκολουθεῖ τῷ ζ. καὶ εἰς ἀπόδειξιν τούτου λαμβάνει. ὡς εἰ μὴ ἀπόφασις ἤγουν τὸ θ ἀκολουθεῖ τῷ ζ, ἀκολουθήσει τῷ ζ ἡ κατάφασις ἤγουν τὸ γ'. ἀλλ' ἀποδέδεικται πρότερον ὡς τὸ ά ἀκολουθεῖ τῷ γ'. ὥστε εἰ τὸ ά ἀκολουθεῖ τῷ γ' τὸ δὲ γ' κατὰ σὲ τῷ ζ, ἀκολουθήσει ἄρα καὶ τὸ ά τῷ ζ. ἀδύνατον δὲ ἅμα τὴν ἀντίφασιν ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν. ἀντιφατικῶς γὰρ τὸ ά καὶ τὸ ζ ἀντίκειται. καὶ ἐπεὶ ἀδύνατον συνάγεται ἐκ τοῦ ὑποθέσθαι τὸ γ' τῷ ζ ἀκολουθεῖν, λοιπὸν ἄρα τὸ θ τῷ ζ ἀκολουθεῖ. ἐπεὶ οὖν ἐδείχθη ὡς τὸ θ τῷ ζ ἀκολουθεῖ, λοιπὸν ἀνάγκη τὸ β' ἀκολουθεῖν τῷ δ'. ἐπὶ πάντος γὰρ ἢ τὸ β' ἢ τὸ ζ. δέδεικται δὲ ὅτι τὸ θ ἀκολουθεῖ τῷ ζ. καὶ λοιπὸν ἄρα ἀκολουθήσει τῷ δ' τὸ θ. ἀδύνατον δὲ τὴν ἀντίφασιν ἤγουν τὸ δ' θ, συναληθεύειν ἐπὶ τοῦ αὐτοῦ. καὶ ἐπεὶ τὸ ἀδύνατον συνήχθη ἐκ τοῦ ὑποθέσθαι, ὡς τὸ ζ ἀκολουθεῖ τῷ δ', ἕψεται ἄρα τῷ δ' ἡ κατάφασις ἤγουν τὸ β'. δέδεικται γοῦν ὡς καὶ ἡ ἁπλῆ κατάφασις ἕπεται τῇ ἐκ μεταθέσεως ἀποφάσει, προὔκειτο δὲ ὅτι καὶ ἡ ἁπλῆ ἀπόφασις ἀκολουθεῖ τῇ ἐκ μεταθέσεως καταφάσει. ἕπονται ἄρα αἱ ἁπλαῖ προτάσεις ταῖς ἐκ μεταθέσεως. καὶ οὕτω μὲν ἐκεῖνοι τοῦτο κατασκευάζον. συμβαίνει δὲ δήλους ἀπατᾶσθαι ἐν τῇ τοιαύτῃ τάξει καὶ ἀκολουθήσει τῶν ὅρων. καὶ λέγειν τὰς ἁπλᾶς ἕπεσθαι ταῖς ἐκ μεταθέσεως, διὰ τὸ μὴ καλῶς λαβεῖν τὰ ἀντικείμενα. ἤγουν τὰς ἀντιφατικὰς ἀντικειμένας προτάσεις. οὐ γὰρ καλῶς ἐλάμβανον τὸ ζ, ἀπόφασιν τοῦ ά β'. καὶ πάλιν τὸ θ ἀπόφασιν τοῦ γ' δ'. αἴτιον δὲ τῆς ἀπάτης δὲ τάξιν τῶν προτάσεων εἶπε ὅρων. διὰ τὸ λαβεῖν τὰ στοιχεῖα ἤγουν ά β' καὶ τὰ λοιπά, εἰς τὴν ἀπόδειξιν. ἐπεὶ δὲ τὸ ά καὶ τὸ β' μὴ ἐνδέχεται ἅμα τῷ αὐτῷ. ἀναλαμβάνει πάλιν τὰς ἐξ ἀρχῆς ὑποθέσεις, ὧν ὑπαρχομένων, ἐδείκνυτο ἡ εἰρημένη ὑμῖν τῶν προτάσεων ἀκολούθησις. ἤγουν ὅτι αἱ ἀποφάσεις ἀντιστρόφως ἀκολουθοῦσι ταῖς καταφάσεσιν. εἶτα τὰς ὑποθέσεις ταύτας, ὡς συνάπτει τὴν ψευδῆ ὑπόθεσιν, ἐξ ἧς ἡ ἀπάτη ἐγένετο. τοῦτο γὰρ ἴσμεν συνάγεσθαι. ὅτι ἐπὶ τῷ ζ τὸ γ' ὑπάρχει καὶ τῷ δ' τὸ β', οὐ γὰρ ἴσως ἀνάγκη παντὶ ἢ τὸ ά ἢ τὸ ζ. τὸ ἴσως προστέθηκε δὲ εὐλαβεῖ φιλόσοφον. μονονουχὶ λέγων ὡς ἐγὼ οὕτω νοῶ. οὐκ ἀποφαίνομαι δὲ ὅτι οὕτως ἔχει, ὡς ἐγὼ ἐνόησα. κακῶς γὰρ ἔλαβον τὸ ζ. ἀπόφασιν τοῦ ά β'. καὶ τὸ θ τῶν γ' δ'. τοῦ γὰρ β' ἤγουν τοῦ, ἔστιν ἀγαθόν. οὐκ ἔστιν ἀπόφασις τὸ ζ ἀδύνατον γὰρ εἶναί τι ὃ οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν ἀγαθόν. θάτερον γὰρ τούτων ὑπάρχει παντί. τοῦ γὰρ β' ἀπόφασίς ἐστιν κυρίως τὸ οὐκ ἔστιν ἀγαθόν. ὁμοίως δὲ οὐδὲ τοῦ ά ἤγουν τοῦ οὐκ ἔστιν ἀγαθόν, ἀπόφασις τὸ ζ. συμπαρείληπται γὰρ ἐν τῷ ζ τὸ ά. τὸ γὰρ οὐκ ἔστιν ἀγαθόν, ταυτόν ἐστι οὔτε οὐκ ἔστιν ἀγαθόν. ὁμοίως δὲ οὐδὲ τὸ θ ἠλέγχθη ἐστὶν ἀπόφασις ἢ τοῦ γ' ἢ τοῦ δ'. ἡ γὰρ ἀπάτη ἐγένετο ἀπὸ τοῦ λαβεῖν τὸ θ, ἀπόφασιν τοῦ γ' δ'. καὶ τὸ ζ ἀπόφασιν τοῦ ά β'. αἱ γὰρ ἁπλῶς μόναι περὶ ἑκάστου ἀποφάσεις β' εἰσι τὸ θ καὶ τὸ ζ ὡς ἐδείξαμεν μὴ ἀποφάσεις οὔσας.

προτάσεις εἰσί. καὶ οὐδὲν καινὸν εἰ συναληθεύουσιν αἱ καταφάσεις ταῖς καταφάσεσι. Καὶ ἐπὶ πολλῶν δὲ ὧν τοῖς μὲν ὑπάρχει. Ἐπὶ τὸ ἐξ ἀρχῆς αὖθις ἐπανέδραμε. λέγω δὴ ὅτι τῆς ἁπλῆς καταφάσεως, οὐκ ἔστιν ἀπόφασις, ἡ ἐκ μεταθέσεως κατάφασις. ἀλλὰ ἡ ἁπλῆ ἀπόφασις. τὸ λευκὸν τισὶ μὲν ὑπάρχει. τισὶ δὲ οὐχ ὑπάρχει. ἐπὶ πολλῶν οὖν τῶν προτάσεων τῶν λαμβανομένων ἐξ ἐνδεχομένης ὕλης ἐφ' ὧν ὁ κατηγορούμενος, τισὶ μὲν ὑπάρχει ὑπομένειν. τισὶ δὲ οὔ. τῆς καταφάσεως ψευδοῦς οὔσης τῆς ἐκ μεταθέσεως, ἀνάγκη τὴν ἁπλῆν ἀπόφασιν ἀληθεύειν. τὸ δὲ λέγειν ὅτι οὐκ ἔστι πάντα λευκά. ἢ ὅτι οὐκ ἔστιν ἕκαστον λευκὸν, ταυτόν ἐστιν. Ὁμοίως δὲ καὶ τὸ ἔστι πᾶν ζῶον. Γυμνάσας τὸν λόγον ἐπὶ τῶν ἀπροσδιορίστων προτάσεων, γυμνάζει τοῦτον καὶ ἐπὶ τῶν προσδιορισμένων. καὶ δείκνυσι τῆς ἁπλῆς καταφάσεως ἀπόφασιν, τὴν ἁπλῆν ἀπόφασιν, οὐχ ὁ αὐτὸς τρόπος τοῦ δείκνυσθαι ἑκάτερον. ἤγουν οὐχ ἐν τῷ αὐτῷ τρόπῳ τοῦ συλλογισμοῦ. ἡ ἁπλῆ ἀπόφασις ἀποδειχθείη καὶ ἐν ἀναλυθήσεται καὶ ἡ ἐκ μεταθέσεως κατάφασις. ἀλλ' ἡ μὲν ἁπλῆ ἀπόφασις, δι' ἀποφατικοῦ συλλογισμοῦ δειχθήσεται. καὶ ἀναλυθῇ πάλιν εἰς ἀποφατικὸν συλλογισμόν. ἡ δὲ ἐκ μεταθέσεως κατάφασις, διὰ καταφατικοῦ συλλογισμοῦ δειχθείη. καὶ πάλιν ἀναλυθῇ εἰς καταφατικόν. τὸ οὐκ ἔστι πᾶν ζῶον λευκὸν, ἀντὶ τοῦ πᾶν ζῶον λευκόν ἐστι ληπτέον. τὸ δὲ ὅτι ἐὰν ᾖ ζῶον λευκὸν οὐκ ἔστι λευκὸν, ἀπόφασίς ἐστιν ἁπλῆ ἰσοδυναμοῦσα τῷ οὐδὲν ζῶον λευκόν ἐστι. τὸ δὲ ἢ ἐνδέχεται μὴ εἶναι λευκὸν, κατάφασις ἐκ μεταθέσεως, ἰσοδυναμοῦσα τῷ ἐνδέχεται μηδὲν εἶναι λευκόν. ὥστε τὴν μὲν κατάφασιν, δεικτέον διὰ καταφατικοῦ συλλογισμοῦ. τὴν δὲ ἀπόφασιν, δι' ἀποφατικοῦ. καὶ τὸ ἅπαν ἀληθὲς μὴ λευκὸν εἶναι, κατάφασίς ἐστιν ἐκ μεταθέσεως, δηλοῖ γὰρ τοῦτο ἐστὶν εἶναι μὴ λευκόν. ὥστε τὸ ἀληθὲς ἅπαν ἔστι λευκὸν, ὅτι ἐστὶν ἁπλῆ κατάφασις. καὶ τὸ ἀληθὲς ἅπαν μὴ λευκὸν εἶναι, ὅτι ἐστὶ κατάφασις ἐκ μεταθέσεως, διὰ τοῦ αὐτοῦ τρόπου τοῦ συλλογισμοῦ. ἢ τοῦ α τρόπου τοῦ πρώτου σχήματος, δειχθήσεται. τὸ δὲ ἀληθὲς καὶ τὸ ἐνδέχεται τάττεται ὁμοίως τῷ ἐστιν. ὥσπερ γὰρ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένων. ἐφ' ὧν κεῖται τὸ ἔστιν. τὸ ἔστι προσλαμβάνον τὴν οὐ ἄρνησιν ἐποίει ἀπόφασιν, οὕτω καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων, ὁ τρόπος προσλαμβάνων τὴν οὐ ἄρνησιν, ποιεῖ τὴν ἀπόφασιν. τὸ δὲ ἀληθὲς. καὶ τὸ ἐνδέχεται καὶ τὸ ἐπίσταται, τρόποι εἰσίν. Εἰ δὴ ἐστιν ἀληθὲς ἅπαν ὃ ἐὰν ᾖ ἄνθρωπος. τὸ ὃ ἐὰν ᾖ ἄνθρωπος μουσικός ἐστιν, ἀντὶ τοῦ πᾶς ἄνθρωπος, μουσικὸς ληπτέον. καὶ ἔστιν ἁπλοῦν καταφατικὸν, πρόβλημα. τὸ δὲ ὃ ἐὰν ᾖ ἄνθρωπος οὐ μουσικός ἐστιν, ἀντὶ τοῦ πᾶς ἄνθρωπος οὐ μουσικός ἐστι ληπτέον. ὅτι ἐστὶν ἐκ μεταθέσεως καθόλου κατάφασις. δείκνυνται δὲ καὶ ἄμφω, διὰ τοῦ πρώτου σχήματος τοῦ α τρόπου διὰ μέσου τοῦ ζώου. τὸ δὲ μὴ εἶναι μουσικὸν ὃ ἐὰν ᾖ ἄνθρωπος. ἀντὶ τοῦ οὐδεὶς ἄνθρωπος μουσικός ἐστι ληπτέον. ὅτι ἐστὶ καθόλου ἀποφατικὸν πρόβλημα. καὶ δείκνυται δι' ἀνάγκης καὶ ἀποφατικοῦ συλλογισμοῦ ἐν τοῖς τρισὶ τρόποις. ἐν μὲν ἐν τῷ β' τρόπῳ τοῦ πρώτου σχήματος. καὶ διὰ τοῦ α' καὶ β' τρόπου τοῦ β' σχήματος. καὶ τὸ μὲν πᾶς ἄνθρωπος μουσικὸς δείκνυται, εἰ λάβῃς πᾶν ζῶον μουσικόν. τὴν δὲ ἐλάττονα πρότασιν παραλείψει. τὸ δὲ οὐδεὶς ἄνθρωπος μουσικός ἐστι, δείξας εἰ ἅπαν οὐδὲν ζῶον μουσικόν ἐστι. Ἁπλῶς δὲ ὅταν οὕτως ἔχῃ. Ἀναλαμβάνει πάλιν τὴν ἀκολουθίαν τῶν ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως προτάσεων. καὶ ἐπεὶ ἀνωτέρω ἐπὶ ὕλης τινὸς ἤγουν τοῦ ξύλου τὸν λόγον ἐγύμναζε λέγων. ὡς ἔστι ξύλον λευκὸν οὐκ ἔστι ξύλον λευκὸν, ἐνταῦθα καθολικωτέραν ποιεῖται τὴν δεῖξιν. λαβὼν στοιχεῖα τὸ α' καὶ τὸ β' καὶ τὸ γ' καὶ τὸ δ'. διδοὺς ἀδείαν τῷ βουλομένῳ λαμβάνειν. οἵους ἂν βούληται ὅρους. καὶ δείκνυσιν ὡς ταῖς καταφάσεσι αἱ ἀποφάσεις ἕπονται καὶ οὐκ ἀντιστρέφουσι. καὶ ὅτι τὰς καταφάσεις ἀδύνατον συναληθεύειν. τὰς δὲ ἀποφάσεις ἐνδέχεται. λαμβάνει γοῦν τρεῖς ὑποθέσεις. μίαν μὲν ὅτι ἐὰν τὸ α' καὶ τὸ β' ἀντιφατικῶς ἀντίκειται. ἔστω δὲ τὸ α' οὐκ ἴσον. τὸ δὲ β' ἴσον, οὐκ ἐνδέχεται ἅμα συναληθεύειν. ἀλλ' ἐπὶ παντὸς εἰ τὸ ἕτερον ἀληθεύει, τὸ ἕτερον ψεύδεται. καὶ πάλιν εἰ τὸ γ' δ' ἀντιφατικῶς ἀντίκειται. ἔστω δὲ τὸ δ' οὐκ ἄνισον. ἤγουν οὐκ ἔστιν ἄνισον. τὸ δὲ γ' ἔστιν ἄνισον. ἀνάγκη καὶ ἐπὶ παντὸς θατέρου τούτων ἀληθεύειν θάτερον δὲ ψεύδεσθαι. ἑτέρα δὲ ὅτι τὸ α' ἕπεται τῷ γ' καὶ οὐκ ἀντιστρέφει. καὶ ὅτι τὸ δ' ἀκολουθήσει τῷ β' καὶ οὐκ ἀντιστρέφει. ἑτέρα δὲ ὑπόθεσις ὅτι τὸ μὲν α' δ' ἤγουν αἱ ἀποφάσεις συναληθεύουσιν ἐπὶ τοῦ αὐτοῦ. τὸ δὲ β' γ' ἤγουν αἱ καταφάσεις, οὐ συναληθεύουσι. καὶ πρῶτον μὲν δείκνυσιν ὅτι τὸ δ' ἕπεται τῷ β'. εἰ γὰρ τὸ γ' δ' ἀντιφατικῶς ἀντίκειται. εἰ τὸ δ' οὐκ ἀκολουθεῖ τῷ β', ἀνάγκη ἀκολουθήσει τὸ γ'. ὑπετέθη δὲ ὅτι τὸ α' ἀκολουθεῖ τῷ γ' ὥστε εἰ τὸ α' ἀκολουθεῖ τῷ γ'. τὸ δὲ γ' τῷ β'. τὸ α' ἄρα ἀκολουθήσει τῷ β'. ἀδύνατον δὲ τὸ α' ἀκολουθεῖν τῷ β' διὰ τὸ ἀντιφατικῶς ἀντικεῖσθαι αὐτῷ. καὶ ἐπεὶ ἀδύνατον συμβαίνει ἐκ τοῦ ὑποθέσθαι τὸ γ' ἀκολουθεῖν τῷ β', λοιπὸν ἄρα τὸ δ' ἀκολουθήσει τῷ β'. τὸ δὲ γ' οὐκ ἐνδέχεται ἀκολουθεῖν τῷ β' διὰ τὸ συνεπιφέρειν τὸ α'. ἤγουν διότι ὑπετέθη τὸ α' ἀκολουθεῖν τῷ γ'. Πάλιν ἐπεὶ τὸ γ' οὐκ ἀντιστρέφει ὥστε ἀκολουθεῖν τῷ α'. Ἐνταῦθα μέλλει δεῖξαι ὅτι τὸ α' καὶ τὸ δ' συναληθεύουσι. δείκνυσι δὲ οὕτως. εἰ τὸ γ' δ' ἀντιφατικῶς ἀντίκειται καὶ ἐπὶ παντὸς θατέρου αὐτῶν ἀληθεύει, εἰ τὸ γ' οὐκ ἀκολουθεῖ τῷ α'. τὸ δ' ἄρα ἀκολουθήσει τῷ α' καὶ συναληθεύσει. δέδεικται ὅτι τὸ α' καὶ τὸ δ' αἱ ἀποφάσεις, συναληθεύουσι. τὸ δέ γε β' καὶ τὸ γ' αἱ καταφάσεις, οὐκ ἐνδέχεται συναληθεῦσαί ποτε. διότι τὸ α' ἀκολουθεῖ τῷ γ' εἰ γὰρ δώσομεν τὸ γ' συναληθεύειν τῷ β'. τὸ δὲ α' συναληθεύει τῷ γ', συμβαίνει τι ἀδύνατον ἤγουν τὸ α' καὶ τὸ β' τὴν

τῶν ἀληθεύει. Ἔστι τὸ ἔστιν οὐ λευκὸν ξύλον. Πάλιν ἐπὶ σαφέστερον μετῆλθεν. ἀνθ᾽ οὗ γὰρ ὑποκειμένου πονὸς λέγων. οἷον. ὅτι ἔστιν ἀγαθὸν καὶ οὐκ ἔστιν ἀγαθόν. καὶ ἔστι λευκὸν καὶ οὐκ ἔστι λευκόν, νῦν μετὰ ὑποκειμένου ταῦτα ἐκφέρει. ἔστι ξύλον λευκόν. καὶ ἔστι ξύλον οὐ λευκόν. ἐνδείκνυσι τὴν ἁπλῆν ἀπόφασιν ἑτέραν τῆς ἐκ μεταθέσεως καταφάσεως. ὁ μὲν γὰρ λέγων ἔστι ξύλον λευκόν, λέγει εἶναί τι ξύλον καθ᾽ οὗ κατηγορεῖται τὸ οὐ λευκόν. ὁ δὲ λέγων οὐκ ἔστι ξύλον λευκόν, οὐ μόνον τὸ λευκὸν ἀποφάσκει καὶ ἀναιρεῖ, ἀλλὰ καὶ τὸ ξύλον. ἀληθὲς γάρ ἐστιν εἰπεῖν ὡς ἡ ψυχὴ καὶ ὁ τραγέλαφος, οὐκ ἔστι ξύλον λευκόν. οὐ μόνον δὲ ἐπὶ τούτων ἀληθεύει, ἀλλὰ καὶ ἐπὶ τοῦ ἐβενίου ἡ αὐτὴ ἁπλῆ ἀπόφασις. οὐκ ἄρα ἡ ἁπλῆ ἀπόφασις καὶ ἡ ἐκ μεταθέσεως κατάφασις ταυτά εἰσι. οὐδὲ τῆς ἁπλῆς καταφάσεως ἀπόφασίς ἐστιν ἡ ἐκ μεταθέσεως κατάφασις. τὸ δὲ μὴ ὂν λευκὸν ξύλον. ἤγουν τὸ οὐκ ἔστι λευκὸν ξύλον, οὐκ ἐξ ἀνάγκης εἰσάγει τὸ ξύλον. δῆλον ὡς κατάφασις ἂν πως εἴη. προσέθηκε τὸ πως, δεικνύων ὅτι τὸ ἔστιν οὐκ ἀγαθόν, κατάφασίς ἐστιν οὐχ ἁπλῆ ἀλλ᾽ ἐκ μεταθέσεως. Ἔχει δὲ τάξιν τήνδε πρὸς ἀλλήλας. ἐπεὶ ἐμνήσθη περὶ ταυτοῦ καὶ ἑτέρου, λέγων τὴν ἁπλῆν κατάφασιν καὶ τὴν ἐκ μεταθέσεως κατάφασιν. οἷον, τὸ δύναται βαδίζειν καὶ τὸ δύναται μὴ βαδίζειν. καὶ τὸ ἐπιδέχεται τὸ ἀγαθόν. καὶ τὸ ἐπιδέχεται τὸ οὐκ ἀγαθόν, ταυτὰ εἶναι, ὡς ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ἀληθεύοντα. ὁ γὰρ ἐπιδεχόμενος τὸ ἀγαθόν, ἐπιδέχεται καὶ τὸ μὴ ἀγαθόν. καὶ ὁ δύναμιν ἔχων τοῦ βαδίζειν, δύναται καὶ μὴ βαδίζειν. τὴν δὲ ἁπλῆν ἀπόφασιν καὶ τὴν ἐκ μεταθέσεως λέγει εἶναι ἑτέραν, τούτων χάριν καὶ περὶ τῆς τάξεως καὶ ἀκολουθίας τῶν ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως διδάσκει. Καὶ ᾧ τὸ γ´ ἀνάγκη τὸ β´ ὑπάρχειν. ἤγουν ἡ ἁπλῆ ἀπόφασις τὸ οὐκ ἔστι ξύλον λευκὸν ἀκολουθεῖ τῷ γ´. ἤγουν τῷ ἔστι ξύλον οὐ λευκόν. ὡς γὰρ τὸ γ´ τοῦτο ἐπὶ τοῦ ἐβενίου ἀληθεύει, οὕτω, καὶ τὸ β´ λεγόμενον ἐπὶ τοῦ ἐβενίου ἀληθεύσει. ἀδύνατον γὰρ ἅμα εἶναι λευκὸν καὶ εἶναι μὴ λευκόν. ἤγουν ἐπὶ παντὸς ἢ ἡ κατάφασις ἀληθεύει ἢ ἡ ἀπόφασις, ὃ ἀδύνατόν ἐστι τὸ εἶναι λευκόν. ἤγουν τὸ ἔστι ξύλον λευκὸν συναληθεύειν τῷ εἶναι μὴ λευκόν. ἤγουν τὸ ἔστι ξύλον οὐ λευκόν, ἀνάγκη τὴν ἀπόφασιν τὴν ἁπλῆν ἤγουν τὸ β´, ἕπεσθαι καὶ συναληθεύειν τῷ γ´. τὸ δὲ γ´ οὐκ ἀεὶ ἕπεται τῷ β´. προσέθηκε τὸ οὐκ ἀεί, διότι τὸ β´ ἐπὶ τοῦ ἐβενίου λεγόμενον καὶ ἀληθεῦον, ἕξει καὶ τὴν γ´ ἑπομένην αὐτῷ, ἐπὶ τοῦ ἐβενίου μόνου. ἐπεί τοι γε τὸ β´, καὶ ἐπὶ ἄλλων πολλῶν ἀληθεύει. δυνατὸν γὰρ καὶ τὸν ἄγγελον καὶ τὴν ψυχὴν καὶ τὸ λευκὸν καὶ τὸν τραγέλαφον, εἰπεῖν ὅτι οὐκ εἰσὶ ξύλα λευκά. καὶ ἀληθεύσει. τὸ δὲ ἔστι ξύλον οὐ λευκόν, ἐπ᾽ αὐτῶν λεγόμενον οὐκ ἀληθεύει. ἀνάπαλιν τοίνυν. τὸ δὲ ἀνάπαλιν εἴρηκε, διότι ὥσπερ ἡ ἀπόφασις ἡ ἁπλῆ ἀκολουθεῖ τῇ ἐκ μεταθέσεως καταφάσει, οὐ μὴν αὕτη ἐκείνῃ, οὕτω τὸ ἀνάπαλιν ἐπὶ τῆς ἑτέρας συστοιχίας ἡ ἐκ μεταθέσεως ἀπόφασις ἕπεται τῇ ἁπλῇ καταφάσει. οὐ μὴν αὕτη ἕπεται ἐκείνῃ. τὸ μὲν γὰρ δ´ ἀληθεύει καὶ ἐπὶ τῶν ὄντων καὶ ἐπὶ τῶν μὴ ὄντων. τὸ δὲ α´ ἀληθεύει ἐπὶ ἑνὸς μόνου τοῦ λευκοῦ ξύλου. Δῆλον ὅτι καὶ τὸ α´ γ´. Πληρώσας περὶ τῆς ἀκολουθίας, φησίν. ὅτι ἡ μὲν α´ καὶ ἡ γ´. ἤγουν αἱ καταφάσεις, οὐδέποτε συναληθεύουσι. τὸ δὲ β´ καὶ δ´ ἤγουν αἱ ἀποφάσεις, ἐνδέχεται τινὶ αὐτῷ ὑπάρξαι ἤγουν συναληθεύουσι καὶ ἐπὶ τῶν ὄντων καὶ ἐπὶ τῶν μὴ ὄντων. ὁμοίως δὲ ἔχουσι καὶ αἱ στερήσεις. ἤγουν αἱ στερητικαὶ προτάσεις πρὸς τὰς κατηγορικὰς ἤγουν πρὸς τὰς ἁπλᾶς. ἐν ταύτῃ τῇ θέσει ἤγουν τῇ καταγραφῇ ταύτῃ. καταγράψον εἰς τὸ α´ τὸ ἴσον ἐστιν. εἰς τὸ β´ τὸ οὐκ ἴσον, ἤγουν τὸ οὐκ ἔστιν ἴσον, εἰς τὸ γ´ τὴν στερητικὴν κατάφασιν. ἤγουν τὸ ἔστιν ἄνισον. εἰς τὸ δ´ τὸ οὐκ ἄνισον. ἤγουν τὸ οὐκ ἔστιν ἄνισον. εἰς τὸ ε´ τὸ οὐκ ἔστιν οὐκ ἴσον. εἰς τὸ ζ´ τὸ ἔστιν οὐκ ἴσον. ὡς γοῦν τὸ ε´ ἤγουν ἡ ἐκ μεταθέσεως ἀπόφασις ἐπὶ πλέον οὖσα τοῦ α´ ἀκολουθεῖ αὐτῷ, οὕτω καὶ τὸ δ´ ἡ στερητικὴ ἀπόφασις ἐπὶ πλέον οὖσα τοῦ α´ ἀκολουθήσει αὐτῷ. ἤγουν τῷ α´. ἀληθεύει γὰρ τὸ δ´. καὶ ἐπὶ τῶν ὄντων καὶ ἐπὶ τῶν μὴ ὄντων ἤγουν ἀγγέλου. ψυχῆς. τραγελάφου. καὶ πάλιν ὡς τὸ β´ ἡ ἁπλῆ ἀπόφασις ἐπὶ πλέον οὖσα τοῦ ζ´. ἀκολουθεῖ αὐτῷ τῷ ζ´, οὕτως ἀκολουθήσει καὶ τῷ γ´ ἤγουν τῇ στερητικῇ καταφάσει ἐπὶ πλέον οὖσα καὶ αὐτοῦ τοῦ γ´. ἀπορήσειε δέ τις πῶς ἀνωτέρω ἔλεγεν ὁ Ἀριστοτέλης τὰς καταφάσεις συναληθεύειν. οἷον, τὸ δύναται βαδίζειν ὁ αὐτός. καὶ τὸ δύναται μὴ βαδίζειν. καὶ ἐπιδέχεται τὸ ἀγαθὸν καὶ ἐπιδέχεται τὸ μὴ ἀγαθόν, ἐνταῦθα δὲ λέγει τὰς καταφάσεις μηδέποτε συναληθεύειν. καὶ πάλιν ἀνωτέρω ἔλεγεν μὴ ταυτὸν εἶναι τὸ οὐκ ἐπιδέχεται τὸ ἀγαθὸν καὶ τὸ ἐπιδέχεται τὸ οὐκ ἀγαθόν, ἐνταῦθα δὲ λέγει ταῖς καταφάσεσιν ἕπεσθαι τὰς ἀποφάσεις. καὶ πρῶτον μὲν λέγομεν, ὅτι οὐ ταυτόν ἐστι τὸ λέγειν μὴ εἶναι ταυτὸν τόδε τῷδε, καὶ τὸ λέγειν ὅτι ἕπεται τόδε τῷδε. ἐπεὶ τῷ μὲν ἀνθρώπῳ, ἕπεται τὸ ζῷον. οὐ ταυτὸν δέ ἐστιν ὁ ἄνθρωπος καὶ τὸ ζῷον καὶ ἐνταῦθα λέγει ταῖς καταφάσεσιν ἕπεσθαι τὰς ἀποφάσεις. οἷον τῇ ἁπλῇ καταφάσει ἕπεσθαι τὴν ἐκ μεταθέσεως ἀπόφασιν. καὶ τὴν ἁπλῆν ἀπόφασιν ἕπεσθαι τῇ ἐκ μεταθέσεως καταφάσει. ἄνω δὲ ἔλεγεν, οὐ περὶ ἑπομένων προτάσεων. ἀλλὰ περὶ ταυτῶν καὶ ἑτέρων. τὴν γὰρ ἁπλῆν ἀπόφασιν ἑτέραν εἶναι ἔλεγεν. τῆς ἐκ μεταθέσεως καταφάσεως. ἕτερον δέ ἐστι τὸ λέγειν περὶ ταυτοῦ, καὶ ἕτερον τὸ λέγειν περὶ ἑπομένων. ἄλλως τε καὶ ἡ ἀκολούθησις τῶν προτάσεων ἡ ἐνταῦθα παραδεδομένη, καὶ ἐν τῷ περὶ ἑρμηνείας, ἐπὶ μόνων τῶν ἐκ τρίτου προσκατηγορουμένων ἐλέγετο. οὐκ ἐπὶ πασῶν τῶν προτάσεων. οὐδ᾽ ἐπὶ τῶν μετὰ τρόπου. τὸ γὰρ δύναται βαδίζειν καὶ τὸ δύναται μὴ βαδίζειν. καὶ τὸ ἐπιδέχεται τὸ ἀγαθόν. καὶ τὸ ἐπιδέχεται τὸ μὴ ἀγαθόν, μετὰ τρόπου

εἴρηκε, διὰ τὸν πέμπτον τρόπον τοῦ τρίτου σχήματος. τὴν ἐκ τῆς μείζονος οὐ πᾶς. τῆς δὲ ἐλάττονος πᾶς.
φανερὸν δὲ ὅτι πρὸς τὸ ἀναλύειν εἰς ἄλληλα. Τοῦτό φησιν ὅτι ἐπ' ἀμφοτέρων τῶν σχημάτων τοῦ τε α
καὶ τοῦ γ΄. εἴτε τὸ α μέλλεις ἀναλύσαι εἰς τὸ γ΄, τὴν ἐλάττονα πρότασιν ὀφείλεις ἀντιστρέφειν καὶ ποιή
σας τὸ α σχῆμα. τῶν δὲ ἐν τῷ μέσῳ σχημάτων ἅτερος μὲν ἀναλύεται εἰς τὸ γ΄. ἤγουν ὁ ἀπὸ τῆς καθόλου
καὶ τῆς ἀντιστρεφομένων καὶ τῶν β΄ προτάσεων. ἅτερος δὲ οὐκ ἀναλύεται ὁ ἀπὸ τῆς μείζονος πᾶς καὶ
τῆς ἐλάττονος οὐ πᾶς. οὗτοι μόνοι ἤγουν ὁ δ΄ τρόπος τοῦ δευτέρου σχήματος. καὶ ὁ ε΄ τοῦ γ΄, περαίνονται
καὶ τελειοῦνται διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰς τὸ α ἀναγόμενοι σχῆμα. Διαφέρει δέ τι ἐν τῷ κα
τασκευάζειν ἢ ἀνασκευάζειν. διδάσκει ἡμᾶς ἐνταῦθα, ἑτέραν εἶναι τὴν ἐκ μεταθέσεως κατάφασιν τῆς
ἁπλῆς ἀποφάσεως. ἵνα μὴ ἀπατώμεθα ἀναλύοντες. πολλάκις γὰρ τινὸς κατασκευάζοντος. ὡς τόδε οὐ
λευκόν ἐστιν, ἀπατηθησόμεθα οἰόμενοι εἶναι ἀποφατικὸν τὸ τοιοῦτον πρόβλημα. εἶτα πειρώμενοι ἀνα
λύειν τὸν τοιοῦτον συλλογισμόν, ζητοῦμεν τὴν ἀποφατικὴν πρότασιν δι' ἧς συνήχθη τὸ τοιοῦτον πρό
βλημα. διαφέρει γοῦν καὶ συμβάλλεταί σοι εἰς κατασκευὴν καὶ ἀνασκευὴν, τὸ ὑπολαμβάνειν καὶ γι
νώσκειν. εἴτε ταυτά εἰσιν, εἴτε ἕτερα, τὸ μὴ εἶναι τοδί. ἤγουν ἡ ἁπλῆ ἀπόφασις, καὶ τὸ εἶναι μὴ τοῦτο. ἤ
γουν ἡ ἐκ μεταθέσεως κατάφασις. οἷον τὸ μὴ εἶναι λευκόν, οὐ ταυτὸν σημαίνει τῷ εἶναι μὴ λευκόν. ὅτι
δὲ οὐκ ἔστι ταυτὸν τὸ τόδε οὐ λευκόν ἐστι τῷ τόδε λευκὸν οὐκ ἔστι, δείκνυσιν ἐξ ἀναλογίας τῶν κατὰ τρό
πον προτάσεων. ἀναλογία δέ ἐστιν ὁμοιότης δύο λόγων. λόγος δέ ἐστιν, ὅτι ὁ λβ΄ διπλάσιος τοῦ ις΄. καὶ
ἕτερος λόγος ὅτι ὁ ὀκτὼ διπλάσιος τοῦ δ΄. εἰ γοῦν μίξαις τοὺς δύο λόγους τούτους ἅπαξ ὡς ὁ λβ΄ τοῦ ις΄
διπλάσιος, οὕτω καὶ ὁ η΄ τοῦ δ΄, ἐποίησας ἀναλογίαν. λόγος δὲ καὶ ἀπόδειξις τούτου τοῦ μὲν εἶναι δια
λονότι τὴν ἐκ μεταθέσεως κατάφασιν ἀπόφασιν τῆς ἁπλῆς καταφάσεως, οὕτως. εἰ γοῦν τὸ δύνα
ται βαδίζειν καὶ τὸ οὐ δύναται βαδίζειν. καὶ τὸ ἐπίσταται τὸ ἀγαθὸν καὶ τὸ ἐπίσταται τὸ οὐκ ἀγα
θὸν, ἀναλογίαν καὶ ὁμοιότητα ἔχουσι πρὸς τὸ ἔστι λευκὸν καὶ ἔστιν οὐ λευκόν. ἐπεὶ τὸ ἐπίσταται τὸ οὐκ
ἀγαθὸν, οὐκ ἔστιν ἀπόφασις τοῦ ἐπίσταται τὸ ἀγαθόν. οὐδὲ τὸ δύναται οὐ βαδίζειν, τοῦ δύναται βα
δίζειν. οὕτως οὐδὲ τὸ ἔστιν οὐ λευκόν, ἀπόφασίς ἐστι τοῦ ἔστι λευκόν. τὸ γὰρ ἐπίσταται τὸ ἀγαθὸν. ἢ ἐστὶν ἐπι
στάμενος τὸ ἀγαθὸν, οὐδὲν διαφέρει. ἵνα γοῦν μή τις εἴπῃ ποίαν ἀναλογίαν καὶ ὁμοιότητα ἔχει τὸ ἐπί
σταται τὸ ἀγαθὸν καὶ τὸ ἐπίσταται τὸ οὐκ ἀγαθὸν, πρὸς τὸ ἔστι λευκὸν καὶ ἔστιν οὐ λευκόν. εἴγε ἐν τού
τοις μὲν τὸ ἔστι πρόσκειται. ἐν ἐκείνοις δὲ οὐ πρόσκειται, φησίν. ὅτι πᾶν ῥῆμα δύναται εἰς μετοχὴν καὶ
τὸ ἔστιν ἀναλυθῆναι. τὸ γοῦν ἐπίσταται τὸ ἀγαθὸν ταυτόν ἐστι τῷ λέγειν, ἔστιν ἐπιστάμενος τὸ ἀγαθὸν ὥσ
τε καὶ τὰ ἀντικείμενα ἤγουν αἱ τούτων ἀποφάσεις. τὸ γὰρ οὐ δύναται βαδίζειν, ταυτόν ἐστι τῷ οὐκ
ἔστι δυνάμενος βαδίζειν. Ἐνταῦθα δείκνυσι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ὅτι τὸ ἔστι δυνάμενος μὴ
βαδίζειν. καὶ τὸ οὐκ ἔστι δυνάμενος βαδίζειν, οὐκ εἰσὶ ταυτά. δείκνυσι δὲ τοῦτο οὕτως. εἰ τὸ ἔστι δυνάμε
νος μὴ βαδίζειν καὶ τὸ οὐκ ἔστι δυνάμενος βαδίζειν ταυτά εἰσι, συναληθεύουσιν ἄρα ἄμφω, τῷ ἔστι δυ
νάμενος βαδίζειν. οὐκ ἄρα τὸ ἔστι δυνάμενος, μὴ βαδίζειν. καὶ τὸ οὐκ ἔστι δυνάμενος βαδίζειν ταυτά.
Ταυτά γε ἤγουν τὸ οὐκ ἔστι δυνάμενος βαδίζειν. καὶ τὸ ἔστι δυνάμενος μὴ βαδίζειν, ἅμα ὑπάρξουσι.
ἤγουν συναληθεύουσι τῷ αὐτῷ. ἤγουν τῇ ἁπλῇ καταφάσει. συναληθεύει δὲ ἡ ἁπλῆ κατάφασις. καὶ
ἡ ἐκ μεταθέσεως κατάφασις. δύναται γὰρ ὁ αὐτὸς, καὶ βαδίσαι καὶ μὴ βαδίσαι. καὶ ὁ ἐπιστήμων τοῦ
ἀγαθοῦ, καὶ τοῦ μὴ ἀγαθοῦ ἐστιν ἐπιστήμων. τῶν γὰρ ἀντικειμένων μία ἐστὶν ἐπιστήμη. καὶ ἐπεὶ τὸ ἐπίστα
ται τὸ ἀγαθὸν καὶ τὸ ἐπίσταται τὸ οὐκ ἀγαθὸν συναληθεύουσι. καὶ τὸ ἔστι δυνάμενος βαδίζειν. καὶ τὸ
ἔστι δυνάμενος μὴ βαδίζειν. καὶ τὸ ἔστι τόδε λευκόν. καὶ τὸ ἔστι τόδε οὐ λευκόν. ἡ φάσις δὲ ἤγουν ἡ κατά
φασις καὶ ἡ ἀπόφασις αἱ ἀντιφατικῶς ἀντικείμεναι, οὐχ ὑπάρχουσι καὶ συναληθεύουσιν ἐπὶ τοῦ αὐτοῦ.
λοιπὸν τὸ ἔστι δυνάμενος μὴ βαδίζειν, οὐκ ἀπόφασίς ἐστι τοῦ ἔστι δυνάμενος βαδίζειν. συναληθεύει γὰρ
τούτῳ. οὐδὲ τὸ ἔστι τόδε οὐ λευκόν, ἀπόφασίς ἐστι τοῦ ἔστι τόδε λευκόν. συναληθεύουσι γάρ. Τῶν γὰρ
ἀνάλογον. ἤγουν ἐπὶ τῶν ἐχόντων ἀναλογίαν. ἐχὶ θάτερα ἢ ἕτερα, καὶ θάτερα ἕτερα. ἐπεὶ γοῦν καὶ
τὸ ἔστι μὴ ἀγαθὸν καὶ μὴ ἔστιν ἀγαθόν. καὶ τὸ μὴ ἐπίσταται τὸ ἀγαθὸν ὅπερ ἁπλῆ ἀπόφασις. καὶ τὸ ἐπί
σταται τὸ μὴ ἀγαθὸν ἀνάλογον ἔχουσι πρὸς τὸ οὐκ ἔστι λευκὸν καὶ μὴ ἔστι λευκόν. εἰσὶ δὲ ταῦτα ἕτερα.
ἤγουν τὸ ἐπίσταται τὸ μὴ ἀγαθὸν καὶ τὸ οὐκ ἐπίσταται τὸ ἀγαθὸν, λοιπὸν ἕτερά εἰσι, καὶ τὸ ἔστι μὴ λευ
κὸν καὶ τὸ οὐκ ἔστι λευκόν. Οὐδὲ τὸ εἶναι μὴ ἴσον καὶ τὸ μὴ εἶναι ἴσον εἰσὶ ταυτά. Ἐπισαφέστερον με
τάγει τοῦ λόγου παράδειγμα. ὁ γὰρ λέγων οὐκ ἴσον εἰσάγει τὸ ἄνισον. ὁ δὲ οὐκ ἔστιν ἴσον, ἀπόφασιν
μόνον τὸ ἴσον. τῷ μὲν γὰρ, ἤγουν τῷ ὄντι μὴ ἴσῳ ὑπόκειταί τι ἤγουν εἰσάγεταί τι ἕτερον. ἤγουν τὸ ἄνι
σον. τὸ δὲ, ἤγουν τὸ οὐκ ἔστιν ἴσον, οὐδὲν εἰσάγει διὸ τὸ ἔστιν ἴσον καὶ τὸ οὐκ ἔστιν ἴσον ἤγουν τὸ ἄνισον, ἐπὶ
πᾶν. ἤγουν οὐκ ἐπὶ παντὸς λέγεται. ἀλλ' ἐπὶ μόνου τοῦ ποσοῦ. μόνον γὰρ τὸ ποσόν ἐστι, δεκτικὸν τοῦ ἴσου
καὶ ἀνίσου. ἡ δὲ οὐσία καὶ τὸ ποιὸν, οὐδαμοῦ. τὸ δὲ ἐστὶν ἴσον καὶ τὸ οὐκ ἔστιν ἴσον πᾶν. ἤγουν ἐπὶ παν
τὸς τὸ ἐν αὐτῶν ἀληθεύει. τὸ δὲ ἕτερον ψεύδεται. καὶ διαιροῦσι τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν, ἐπὶ πάν
των. ὁ γὰρ λέγων ὅτι ἡ οὐσία ἐστὶν ἴσον, ψεύδεται. ὁ δὲ οὐκ ἔστιν ἴσον, ἀληθεύει. καὶ ὁ λέγων τὸ λευκὸν
ἐστὶν ἴσον, ψεύδεται. ὁ δὲ λέγων οὐκ ἔστιν ἴσον, ἀληθεύει. ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ ποσοῦ, τὸ ἕτερον ἀλ

ὁριστῷ. οἷον ὁ εἰπὼν τὸ ποτὸν τὸ ὕδωρ ὑγρὸν ποτόν. εἴ τις πειρᾶται δεῖξαι τὸ ὑγρὸν ποτὸν μὴ εἶναι ὁρισμὸν τοῦ ὕδατος, οὐχ ὅλον τὸ ὑγρὸν ποτὸν λαμβάνει ὡς ὅρον. ἀλλὰ μόνον τὸ ποτόν. ὡς μὴ ἐφαρμόζον παντὶ ὕδατι. τὸ γὰρ ὑγρὸν, παντὶ ὕδατι ἐφαρμόζει. ἐπεὶ καὶ τὰ μέρη τοῦ ὁρισμοῦ, παντὶ τῷ ὁριστῷ ὀφείλουσιν ἐφαρμόζειν. τὸν τοιοῦτον γοῦν συλλογισμὸν ἀναλύων καὶ σὺ, τὸ ποτὸν λάμβανε ὡς ὅρον. καὶ δείξας τοῦτο μὴ παντὶ ὑπάρχειν τῷ ὕδατι. καὶ ἐν α΄ σχήματι διὰ μέσης τῆς θαλάσσης. καὶ ἐν β΄ καὶ ἐν γ΄. ἀλλὰ σαφηνιστέον καὶ τὸ κείμενον. καὶ ἀπὸ τῶν λόγων ἤγουν τῶν συλλογισμῶν ἀναλύειν τοὺς συλλογισμοὺς τοὺς πρὸς ὁρισμὸν μαχομένους καὶ δεικνύοντας μὴ εἶναι τόνδε ὁρισμὸν τοῦδε. ὅσοι τῶν συλλογισμῶν τυγχάνουσι διαλεγόμενοι. ἤγουν δεικνύοντες τὸν ὁρισμὸν κακῶς ἔχοντα κατά τι ἐν αὐτῷ μόριον τῶν ἐν αὐτῷ κειμένων, ὀφείλεις καὶ σὺ θεῖναι ὅρον τὸ μόριον ἐκεῖνο πρὸς ὃ διαλέγεται ὁ ἀποδεικνύων μὴ ἔχειν καλῶς καὶ οὐ τὸν ἅπαντα ὁρισμόν. εἰ γὰρ ἕν τι μόριον τῶν ἐν τῷ ὁρισμῷ οὐκ ἐφαρμόζει τῷ ὁριστῷ, οὐδὲ ὅλος ὁ ὁρισμὸς ἐφαρμόσει. τῷ γὰρ οὕτω ποιοῦντι καὶ λαμβάνοντι ἓν μόριον τοῦ ὁρισμοῦ ὡς ὅρον, οὐδαμῶς συμβήσεται ταραχθῆναι διὰ τὸ μῆκος. οἷον εἰ τὸ ὕδωρ ἔδειξεν ὅτι ποτὸν ἤγουν εἰ δείξαι τις ὅτι τὸ ποτὸν οὐχ ὑπάρχει τῷ ὕδατι, τὸ ποτὸν καὶ τὸ ὕδωρ ὅροις θετέον. Ἔτι δὲ τοὺς ἐξ ὑποθέσεως συλλογισμοὺς ὑποθετικοὺς ἐνταῦθα λέγει συλλογισμοὺς μόνους τοὺς ἐξ ὁμολογίας. οἷον εἰ μέλλει τις δεῖξαι ὑποθετικῶς ὅτι τῶν ἐναντίων μία δύναμις οὐκ ἔστι. ἀξιοῖ γε ὁμολογῆσαι καὶ οὕτως, ὅτι τῶν ἐναντίων μία ἐπιστήμη οὐκ ἔστι. καὶ μετὰ τὸ συγκατατεθῆναι τὸν προσδιαλεγόμενον, τοῦτο συλλογίζεται ὑποθετικῶς. εἰ τῶν ἐναντίων μία δύναμις οὐκ ἔστι, λοιπὸν οὐδὲ μία ἐπιστήμη ἔσται αὐτῶν. τοῦτο λέγεται συνημμένον. συνῆπται γὰρ ὁ ἡγούμενος τῷ ἑπομένῳ. ἀλλὰ μὴν τῶν ἐναντίων μία δύναμις οὐκ ἔστι. λοιπὸν ἄρα κατὰ τὴν ὁμολογίαν, οὐδὲ μία ἐπιστήμη τῶν ἐναντίων ἐστί. τὸν τοιοῦτον γοῦν συλλογισμὸν τὸν ὑποθετικὸν, μὴ πειρῶ ἀναλύειν. οὐδὲ γὰρ δυνατόν ἐστιν ἀναλῦσαι αὐτὸν ἐκ τῶν κειμένων. ἤγουν ἐξ ὧν ἔλαβεν. οὐ γὰρ συλλογισμὸν ἐποιήσατο διὰ τὸ μὴ λαβεῖν καὶ τοὺς ὅρους συλλογιστικῶς. ἀλλὰ διὰ συνθήκης καὶ ὁμολογίας ὡμολόγηται. καὶ τὸ μὴ εἶναι μίαν ἐπιστήμην τῶν ἐναντίων. τὸ δὲ ἀλλὰ μὴν τῶν ἐναντίων οὐκ ἔστι μία δύναμις, ἐδείχθη ἐν τῷ τρίτῳ σχήματι διὰ μέσου τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους. ὃν καὶ ὀφείλεις ἀναλῦσαι ὡς συλλογισμὸν ὄντα. ἡ δὲ μείζων πρότασις ὅτι τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους μία δύναμις οὐκ ἔστι, δείκνυται ἐν τῷ δευτέρῳ σχήματι. ἐν τῷ λαβεῖν μέσον ὅρον τῶν αὐτῶν ποιητικά. οἷον εἰ τοῦ ὑγιεινοῦ καὶ νοσώδους δοθῇ μίαν εἶναι δύναμιν, ἔσται τὸ αὐτὸ καὶ ὑγιεινὸν καὶ νοσῶδες. καίτοι ὁμολογεῖν ἀναγκαῖον τὸν προσδιαλεγόμενον ὅτι τῶν ἐναντίων οὐκ ἔστι μία ἐπιστήμη, ἀλλ' οὐκ ἐκ τοῦ συλλογισμοῦ ἀνασκευασθήσεται ὁμολογῆσαι τοῦτο. τοῦ δείξαντος ὅτι τῶν ἐναντίων μία δύναμις οὐκ ἔστιν ἀλλ' ἐξ ὑποθέσεως. ἤγουν διότι ἔφθασε τοῦτο ὁμολογῆσαι. τοῦτο μὲν οὖν ὅτι τῶν ἐναντίων οὐκ ἔστι μία ἐπιστήμη, οὐκ ἔστιν ἀναγαγεῖν καὶ ἀναλῦσαι. διότι οὐδὲ ἀπὸ συλλογισμοῦ ἀπεδείχθη, ἀλλ' ἐξ ὁμολογίας. τὸ δὲ ὅτι οὐδὲ μία δύναμίς ἐστι τῶν ἐναντίων. ἐπεὶ συλλογιστικῶς ἐδείχθη τοῦτο. καὶ ἔστιν ἀναλῦσαι εἰς συλλογισμόν. οὕτω γὰρ ἴσως ἦν ὁ συλλογισμός. τὸ ἴσως προσέθηκε, διότι τοῦτο μὲν ἀνελύθη ἐνταῦθα διὰ τοῦ γ΄ σχήματος. ἔστι δὲ καὶ διὰ τοῦ α΄ σχήματος αὐτὸ ἀναλῦσαι. ἐκεῖνο δὲ ἤγουν τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη ὑπόθεσις ἦν καὶ ὁμολογία τοῦ προσδιαλεγομένου. ἀλλ' οὐχὶ συλλογισμός. ἀλλὰ καὶ οἱ διὰ τοῦ ἀδυνάτου περαινόμενοι καὶ πλειούμενοι συλλογισμοί, οὐδ' οὗτοι ἀναλύονται. ἔμαθες γὰρ ὅτι οἱ δι' ἀδυνάτου συλλογισμοὶ, ἐκ δύο ὑποθετικῶν γίνονται. καὶ ἀπὸ ἑνὸς κατηγορικοῦ συλλογισμοῦ. τοὺς μὲν ὑποθετικοὺς συλλογισμοὺς, μηδὲ πειρῶ ἀναλύειν. ἀλλὰ μόνην τὴν εἰς ἀδύνατον ἀπαγωγήν. ἤγουν ἀλλὰ μὴν τὰ περιττὰ οὐκ ἔστιν ἴσα τοῖς ἀρτίοις, ἀνάλυε ὡς καὶ δειχθέντα διὰ συλλογισμοῦ. οἷον τὸν ὑποθετικὸν συλλογισμὸν μὴ ἀνάλυε. τὸν λέγοντα ὅτι εἰ ἡ διάμετρος σύμμετρός ἐστι τῇ πλευρᾷ, ἔσται τὰ περιττὰ ἴσα τοῖς ἀρτίοις. τοῦτό ἐστι τὸ συνημμένον. ἀλλὰ μὴν τὰ περιττὰ ἴσα τοῖς ἀρτίοις ἀδύνατον εἶναι, οὐκ ἄρα ἡ διάμετρος σύμμετρός ἐστι τῇ πλευρᾷ. τοῦτο μὲν συλλογισμὸς οὐκ ἔστιν. ὅτι δὲ τὰ περιττὰ ἀδύνατον εἶναι ἴσα τοῖς ἀρτίοις, δειχθήσεται διὰ συλλογισμοῦ, οὕτως. ὁ ὀκτὼ καὶ ὁ ἐννέα, τοῦ αὐτοῦ καὶ ἑνὸς ἀριθμοῦ ὑποδιπλάσια εὑρίσκονται. οἱ δὲ τοῦ αὐτοῦ καὶ ἑνὸς ἀριθμοῦ ὑποδιπλάσιοι, πάντως ἀλλήλοις ἴσοι. ὁ ὀκτὼ ἄρα καὶ ἐννέα, πάντως ἀλλήλοις ἴσοι. τοῦτον γοῦν πειρῶ ἀναλύειν ὡς συλλογισμὸν ὄντα. Θάτερον δὲ οὐκ ἔστιν ἀναλῦσαι. οἷον ὅτι εἰ ἡ διάμετρος σύμμετρος τῇ πλευρᾷ, ἔσται τὰ περιττὰ ἴσα τοῖς ἀρτίοις. ὅπερ ἐστὶ τὸ συνημμένον, οὐκ ἔστιν ἀναλύειν. οὐδὲ γὰρ διὰ συλλογισμοῦ ἐδείχθη. ἀλλ' ἐξ ὑποθέσεως περαίνεται. ἤγουν ὡς ὁμολογούμενον παρὰ πάντων λαμβάνεται. ὁμολόγηται γὰρ παρὰ πάντων, ὅτι ἀδύνατόν ἐστι τὰ περιττὰ ἴσα τοῖς ἀρτίοις, εἶναι. Ὅσα δὲ ἐν πλείοσι. Διδάσκει διὰ τούτων ὡς οὐ πάντως ἀνάγκη τὴν ἀνάλυσιν τῶν συλλογισμῶν εἰς τοῦτο ποιεῖσθαι τὸ σχῆμα. ἐν ᾧ καὶ ὁ συλλογισάμενος τὸν συλλογισμὸν ἔπλεξεν. ἀλλ' ὅσα τῶν προβλημάτων ἐν πλείοσι σχήμασι περαίνονται, ἀδιάφορον ταῦτα εἰς ὁποιονοῦν ἀναγαγεῖν. τὸ μὲν παντὶ, ἐν πρώτῳ σχήματι συνάγεται μόνῳ, ἀνάγκη ἀναλύειν αὐτὸ εἰς τὸ πρῶτον σχῆμα. τὸ δὲ οὐδενὶ, ἐν α΄ καὶ ἐν β΄ περαίνεται. εἰ οὖν ἐν α΄ συνήχθη, δυνατὸν ἀναλύειν εἰς τὸ β΄. διὰ τὸ ἀντιστρέφειν τὴν ἀποφατικήν. εἰ δὲ ἐν τῷ β΄, ἀναλύεται εἰς τὸ α΄. πάλιν οἱ μὲν ἐν τῷ τρίτῳ σχήματι, οὐκ ἀναλυθήσονται πάντες εἰς τὸ α΄. τὸ πάντοθεν

ὅτι τῷ γ' ᾧ τινι τὸ β' ὑπάρχει τούτῳ τὸ γ' ὑπάρχει παντὶ τῷ α'. καὶ τὸ εἰπεῖν ὅτι τῷ γ' ᾧ τινι τὸ β' παντὶ ὑπάρχει, τούτῳ τῷ γ' παντὶ ὑπάρχει τὸ α'. εἰ γὰρ ἐρεῖς. τὸ β' ὑπάρχει τῷ γ', οὐκ ἤδη καὶ παντὶ τῷ γ' εἴρηκας ἀλλὰ τινί. αἱ γὰρ ἀπροσδιόριστοι προτάσεις, ἰσοδυναμοῦσι ταῖς μερικαῖς. εἰ μὲν οὖν καὶ ἡ α' β' ὑποτεθῇ παντὶ εἶναι, συνάξεις τὸ τινί. οὐ μὴν δὲ τὸ παντί. τὸ γὰρ παντί, ἐκ δύο καθόλου καταφατικῶν συνάγεται. εἰ δ' ὑποτεθῇ ἀπροσδιόριστον, ἀσυλλόγιστον ἔσται τὸ σχῆμα. καὶ συναχθήσεται καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. εἰ δὲ τὸ α' ὑπάρχει τῷ β', ἀπροσδιορίστως. μὴ παντὶ καθ' οὗ τὸ β'. ἤγουν οὐ τὸ α' δὲ ὑπάρχει παντὶ τῷ β'. εἴτε τὸ β' ὑπάρχει παντὶ τῷ γ'. εἴτε καὶ ἀπροσδιορίστως δειχθῇ. ὅτι τὸ β' ὑπάρχει τῷ γ'. ἀνάγκη τὸ α' οὐ μόνον ὑπάρξει τῷ γ' παντί, ἀλλ' οὐδ' ὑπάρχειν. ἤγουν ἀλλὰ συναχθήσεται καὶ τὸ α' οὐδενὶ τῷ γ'. διὰ τὸ ἀσυλλόγιστον εἶναι τὸ σχῆμα. εἰ δὲ τὸ α' ὑπάρχει παντὶ τούτῳ τῷ γ'. καθ' οὗ γ' τὸ β' λέγεται ἀληθῶς. ἤγουν κατὰ παντὸς προϋποκειμένου. καὶ τὴν α' β' καθόλου καταφατικὴν εἶναι συμβήσεται τὸ α' κατὰ παντὸς τούτου τοῦ γ' λέγεσθαι καθ' οὗ τὸ β' κατὰ παντὸς λέγεται. εἰ μέντοι τὸ α' λέγεται κατὰ παντὸς τοῦ γ' καθ' οὗ γ' τὸ β' λέγεται ἀπροσδιορίστως, οὐδὲν κωλύει τὸ μὲν β' ὑπάρχειν τῷ γ' ἀπροσδιορίστως, ὅτι καὶ ἰσοδυναμεῖ τῷ τινί. τὸ δὲ α' οὐ μόνον ἔσται παντὶ τῷ γ' ἢ ὅλως μὴ ὑπάρχειν. ἤγουν ἀλλὰ καὶ οὐδενὶ τῷ γ'. τί γὰρ κωλύει καὶ τὴν α' β' εἶναι ἀπροσδιόριστον. ἐν τοῖς ἐκκειμένοις ὅροις. τὸ λέγεσθαι τὸ α' καθ' οὗ τὸ β' παντός. ἤγουν κατὰ παντὸς τοῦ β', τοῦτό ἐστι τὸ καθ' ὅσων τὸ β' κατηγορεῖται, κατὰ τούτων πάντων καὶ τὸ α' κατηγορεῖσθαι. καὶ εἰ μὲν τὸ β' κατὰ παντὸς τοῦ γ' λέγεται, καὶ τὸ α' κατὰ παντὸς τοῦ γ' κατηγορηθήσεται. εἰ δὲ τὸ β' οὐ κατὰ παντὸς τοῦ γ' λέγεται, οὐδὲ τὸ α' παντὶ τῷ γ' ῥηθήσεται. ἀλλὰ τινί εἴγε καὶ ἡ α' β' παντὶ εἶναι ὑπόκειται. Οὐ δεῖ δ' οἴεσθαι παρὰ τὸ ἐκτίθεσθαι. Ἐπειδὴ διδάσκων περὶ τῆς συλλογιστικῆς μεθόδου. ἐχρᾶτο στοιχείοις καὶ ὅροις εἰς τὴν διδασκαλίαν αὐτοῦ, ἵνα μή τις νομίσῃ ὡς ἡ τῶν στοιχείων καὶ ὅρων ἔκθεσις αἰτία ἐστὶ τοῦ ποτὲ γίνεσθαι τὰς συμπλοκὰς αὐτῶν συλλογιστικὰς ποτὲ δὲ ἀσυλλογίστους, φησὶν ὥσπερ ὁ γεωμέτρης σαφηνείας ἕνεκεν καὶ ὁδηγίας τοῦ μανθάνοντος. δίδωσιν ἐκτιθέμενος ἀξιοῖ ταύτην ἀπλατῆ εἶναι καὶ ταύτην μὴ οὖσαν ἀπλατῆ καὶ ποδιαίαν. λαμβάνει γραμμὴν μὴ οὖσαν τοιαύτην. καὶ κύκλον γράφει καὶ διάμετρον μὴ τοιαῦτα ὄντα καὶ οὐ συνάγεται τὰ ἀποδεικνύμενα διὰ τὰ ἐκτιθέμενα, ἀλλὰ διὰ τὰ παρ' αὐτῶν νοούμενα. οἱ γὰρ ἀρχόμενοι μὴ δυνάμενοι τοῖς νοητοῖς ἐμβάλλειν ὡς ἔχουσι φύσεως, χάριν ὁδηγίας δέονται τῆς αἰσθήσεως, οὕτω καὶ ἡμεῖς χάριν ὁδηγίας καὶ σαφηνείας τῶν μανθανόντων, τὰ στοιχεῖα καὶ τοὺς ὅρους λαμβάνομεν. οὐ διὰ ταῦτα δὲ τὰ ἀποδεικνύμενα δείκνυνται. ἀλλὰ διὰ τὴν συμπλοκὴν τῶν καθόλου καὶ μερικῶν. οὐ γὰρ χρώμεθα τοῖς στοιχείοις ὡς χωρὶς αὐτῶν μὴ δυνάμενοι συλλογίσασθαι. ὥσπερ οὐ δυνατὸν συλλογίσασθαι ἄνευ τῶν ἐξ ὧν ὁ συλλογισμός. ἤγουν τοῦ καταφατικοῦ καὶ ἀποφατικοῦ. καὶ τοῦ καθόλου καὶ τοῦ μερικοῦ. καὶ ἄνευ τοῦ τὴν μείζονα περιέχειν τὸν μέσον. καὶ τοῦτον, τὸν ἐλάττονα. Μὴ λανθανέτω δὲ ἡμᾶς ὅτι ἐν τῷ αὐτῷ συλλογισμῷ. Καὶ τοῦτο θεώρημά τι ἐστὶ συντελοῦν εἰς τὴν ἀνάλυσιν. ἐπεὶ γὰρ ὁ συλλογισμὸς ἐκ δύο προτάσεων σύγκειται. ἑκάστη δὲ αὐτῶν διὰ προσυλλογισμοῦ δείκνυται, ἔμμεσος οὖσα καὶ διὰ τοῦτο δεομένη ἀποδείξεως, φησί. μὴ πειρῶ ἀναλύειν τοὺς προσυλλογισμούς, εἰς τὸ αὐτὸ σχῆμα εἰς ὃ ἀνελύθη καὶ ὁ συλλογισμός. ἀλλ' εἰ μὲν ὁ συλλογισμὸς συνῆγε τὸ παντί. ἐπειδὴ τὸ παντὶ ἐν μόνῳ τῷ πρώτῳ σχήματι συνάγεται, δῆλον ὅτι καὶ οἱ προσυλλογισμοὶ εἰς τὸ α' σχῆμα λυθήσονται. εἰς ὃ καὶ ὁ συλλογισμὸς ἀνελύθη. ἔστω γὰρ ὁ συλλογισμός, συνάγων ὅτι ἡ οὐσία παντὶ ἀνθρώπῳ, διὰ μέσου τοῦ ζῴου. αἱ μὲν προτάσεις αὐτοῦ εἰσίν, ἡ οὐσία παντὶ ζῴῳ. τὸ ζῷον παντὶ ἀνθρώπῳ. ἡ δὲ ἐλάττων πρότασις ἡ ὅτι τὸ ζῷον παντὶ ἀνθρώπῳ, δειχθήσεται διὰ μέσου τοῦ λογικοῦ. ἡ δὲ μείζων ἡ ὅτι ἡ οὐσία παντὶ ζῴῳ, δειχθήσεται διὰ μέσου τοῦ ἐμψύχου. ἡ δὲ ὅτι ἡ οὐσία παντὶ ἐμψύχῳ, δειχθήσεται διὰ μέσου τοῦ σώματος. ἰδοὺ καὶ ὁ συλλογισμός, ἐν πρώτῳ σχήματι ἀνελύθη καὶ οἱ προσυλλογισμοὶ πάντες. Ὅτι δὲ τὸ ἄψυχον οὐδενὶ ἀνθρώπῳ, ἀναλυθήσεται εἰς τὸ β' σχῆμα διὰ μέσου τοῦ αἰσθητικοῦ. τὸ αἰσθητικὸν οὐδενὶ ἀψύχῳ. τὸ αἰσθητικὸν παντὶ ἀνθρώπῳ. καὶ τὸ ἄψυχον οὐδενὶ ἀνθρώπῳ. ἡ δὲ ἐλάττων πρότασις ἡ ὅτι τὸ αἰσθητικὸν παντὶ ἀνθρώπῳ, ἀναλυθήσεται ἐν πρώτῳ σχήματι διὰ μέσου τοῦ ζῴου. ὡσαύτως καὶ ἡ μείζων ἡ ὅτι τὸ αἰσθητικὸν οὐδενὶ ἀψύχῳ, ἀναλυθήσεται διὰ μέσου τοῦ ἀναισθήτου. ὅτι δὲ τὸ ἄψυχον οὐ παντὶ λευκῷ, ἀναλυθήσεται ἐν α' σχήματι, διὰ μέσου τοῦ δίποδος. οἷον τὸ ἄψυχον οὐδενὶ δίποδι. τὸ δίπουν τινὶ λευκῷ. τὸ ἄψυχον ἄρα οὐ παντὶ λευκῷ. ἡ δὲ ἐλάττων πρότασις. ἡ ὅτι τὸ δίπουν τινὶ λευκῷ ἀναλυθήσεται ἐν γ' σχήματι διὰ μέσου τοῦ ἀνθρώπου. ἡ δὲ μείζων πρότασις ἡ ὅτι τὸ ἄψυχον οὐδενὶ δίποδι, ἀναλυθήσεται ἐν γ' σχήματι διὰ μέσου τοῦ αἰσθητικοῦ. Τούς τε πρὸς ὁρισμὸν τῶν λόγων. Ἐπειδὴ οἱ πειρώμενοι ἀνασκευάζειν ὁρισμὸν καὶ δεικνύναι ὅτι τόδε ὁρισμὸς τοῦδε οὐκ ἔστιν, οὐ λαμβάνουσι τὸν ὁρισμὸν ἐν τῷ συλλογισμῷ πολλάκις ὡς ὅρον. διὰ τὸ δυσχερὲς ἔχειν τὸν ὅλον ὁρισμὸν δεῖξαι μὴ ἐφαρμόζοντα τῷ ὁριστῷ. ἀλλὰ ὃ εὑρίσκουσι μόριον τοῦ ὁρισμοῦ, κακῶς ἔχον καὶ μὴ ἐφαρμόζον τῷ ὁριστῷ, λαμβάνουσι τοῦτο ὡς ὅρον. καὶ δεικνύουσι διὰ συλλογισμοῦ, μὴ ὑπάρχον τῷ ὁριστῷ. καὶ σὺ ἀναλύων τὸν τοιοῦτον συλλογισμόν, μὴ πειρῶ λαμβάνειν εἰς τὴν ἀνάλυσιν ὡς ὅρον τὸν ὅλον ὁρισμόν. ἀλλ' ἐκεῖνο λάμβανε τὸ μόριον μόνον ὡς ὅλον ὅρον, τὸ κακῶς ἔχον καὶ δειχθὲν διὰ συλλογισμοῦ μὴ ὑπάρχειν τῷ

ἀκριβέστερον περὶ αὐτῶν. ἢ καὶ παρακινεῖν τοὺς ἀκροατὰς μὴ ἐμμένειν τοῖς διδαχθεῖσιν. ἀλλὰ καὶ αὐτοὺς δεῖν πλέον τι ἐφευρίσκειν. Τὸ δ' ἐπαναδιπλούμενον. Ἐπαναδίπλωσίς ἐστιν ἡ τοῦ αὐτοῦ ὅρου δὶς ἐπὶ τῇ αὐτῇ προτάσει παράληψις. ἕτερον θεώρημα τοῦτο. ἐπεὶ γὰρ εὑρίσκονται συλλογισμοὶ ἔχοντες προτάσεις ἐν αἷς δὶς οἱ ὅροι λαμβάνονται. ὁ δὲ δὶς λαμβανόμενος ὅρος ἐπὶ τῆς προτάσεως εὑρίσκεται καὶ ἐπὶ τοῦ συμπεράσματος, διδάσκει πῶς καὶ τούτους ὀφείλομεν ἀναλύειν. καὶ ἐν ποίῳ ὅρῳ ὁ δὶς λαμβανόμενος ὅρος ὀφείλει κεῖσθαι ἵνα καὶ ἐπὶ τοῦ συμπεράσματος εὑρίσκεται. καὶ φησὶν ὅτι εἰ ὁ τοιοῦτος κεῖται ὅρος ἐν τῷ κατηγορουμένῳ τῆς μείζονος προτάσεως, εὑρίσκεται καὶ ἐν τῷ συμπεράσματι. ἡ γὰρ δικαιοσύνη ὅτι ἀγαθὸν ἐστιν. ἤγουν ὑπὸ γένος ἀνάγεται τὸ ἀγαθόν. εἰ δὲ μέσος ὅρος τεθείη τὸ ὅτι ἀγαθόν, ἤγουν ἐπαναδίπλωσις, οὐκ ἔσται ἀληθὴς ἡ ἐλάττων πρότασις. τὸ γὰρ ἀγαθὸν ὅτι ἀγαθὸν κατηγορεῖν τῆς δικαιοσύνης, ψεῦδός ἐστι καὶ οὐ συνετόν. μωρὸν γάρ ἐστι καὶ γελοῖον, τὸ λέγειν ἡ δικαιοσύνη ἀγαθόν ἐστιν ὅτι ἀγαθόν. ὥσπερ καὶ γελοιώδης ἐστὶν ὁ λέγων ὁ σωκράτης ἄνθρωπός ἐστιν ὅτι ἄνθρωπος. πρὸς δὲ, καὶ ψεύδεται ὁ λέγων ὅτι ἡ δικαιοσύνη ἀγαθόν ἐστιν ὅτι ἀγαθόν. οἷον ὅτι ἡ δικαιοσύνη μόνη ἐστὶν ἀγαθόν. εἰσὶ γὰρ ἀγαθὰ, καὶ ἡ σωφροσύνη. καὶ ἡ φρόνησις καὶ ἡ ἀνδρεία. ὁ τραγέλαφος ὅτι μὴ ὄν. λείπει τὸ δοξαστόν. ὁ γὰρ τραγέλαφος, δοξαστόν ἐστι καθὸ μὴ ὂν οὐχ ὡς ὄν. ἐπὶ μὲν τῶν ὄντων δόξαν ἔχομεν περὶ αὐτῶν ὅτι εἰσίν. ἐπὶ δὲ τοῦ τραγελάφου, δόξαν ἔχομεν καὶ γνῶσιν ὅτι οὐκ ἔστιν. Οὐχ ἡ αὐτὴ δὲ θέσις τῶν ὅρων. Ἕτερον παράδειγμα συμπλοκῶν καὶ αὐτὸ εἰς τὴν ἀνάλυσιν. οὐχ ὁμοίως οἱ ὅροι ὀφείλουσι κεῖσθαι ἐὰν μέλλωμεν συλλογίσασθαί τι ἁπλῶς. ἤγουν καθόλου. καὶ εἰ τόδε τι ἤγουν μερικόν. τὸ γὰρ πῇ καὶ πῶς. τὸ μερικὸν δηλοῖ. λέγω δὲ ὅτι ὅταν μέλλω δεῖξαι τὸ ἀγαθὸν ἐπιστητὸν ὡς ὄν, τοῦτό ἐστι καθόλου πρόβλημα. ληπτέον καὶ τοὺς ὅρους καθόλου. οἷον μέσον ὅρον ληπτέον τὸ ὄν. μείζονα δὲ ὅρον τὸ ἐπιστήμη ὅτι ὄν. ἢ ὅτι ᾗ ὄν. καθὸ ὂν καὶ συλλογίζῃ οὕτως. τὸ ἀγαθὸν ὄν ἐστι. τουτέστιν ὑπὸ ὂν ἀνάγεται. ἤγουν ὑπὸ τὴν ποιότητα. δέκα γὰρ ὄντων τῶν ὄντων. οὐσίας. ποσοῦ. ποιοῦ. καὶ τῶν λοιπῶν, τὸ ἀγαθὸν ὑπὸ τὸ ποιὸν ἀνάγεται. τοῦ ὄντος ἐστὶν ἐπιστήμη καὶ γνῶσις ὅτι ὄν ἐστι. τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστὶν ὅτι ὄν ἐστι. τοῦτο δὲ δῆλον ὅτι ζητῶ οὐ περὶ τῆς οὐσίας τοῦ ἀγαθοῦ. εἴτε ὠφέλιμός ἐστιν, εἴτε αἱρετή. ἀλλὰ ζητῶ περὶ τοῦ ἀγαθοῦ, ὡς ὄντος. ἤγουν ὡς ποιοῦ. εἰ δὲ ἐστι τὸ πρόβλημα ὅτι τὸ ἀγαθὸν ἐπιστητὸν τί ἐστιν ὅτι τι ἀγαθόν, μέσον θετέον τὸ τὶ ὄν. καὶ λέγει. τὸ ἀγαθὸν τὶ ὄν ἐστι. ἤγουν ὠφέλιμον αἱρετόν. τοῦ δὲ τινὸς ὄντος ἐπιστήμη ἐστὶν ὅτι τὶ ὄν. ἤγουν ὠφέλιμον τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη καὶ γνῶσίς ἐστιν ὅτι τι ὄν ἐστιν. ἤγουν ἡ οὐσία τοῦ ἀγαθοῦ τι ὄν ἐστιν ἤγουν ὠφέλιμος καὶ αἱρετή. Εἰ δ' ὅτι ἀγαθόν. Ἤγουν εἰ μέλλω δεῖξαι ὅτι τὸ ἀγαθὸν ἐπιστητόν ἐστιν ὅτι ἀγαθόν. ἤγουν ὡς τὶ ἀγαθόν. λείπει δὲ τὸ ἐπιστητὸν, τὸ τὶ ὂν ληπτέον μέσον. τὸ γὰρ ἐφ' ᾧ γ'. ἤγουν τὸ ἀγαθὸν ὅτι τί ἐστιν ἤγουν ὠφέλιμον. τὸ γοῦν τι ὄν, δηλωτικὸν τῆς ἰδιαζούσης οὐσίας τοῦ ἀγαθοῦ. οὐσία γὰρ τοῦ ἀγαθοῦ, τὸ εἶναί τι ὂν ἤγουν ὠφέλιμον. Δεῖ δὲ μεταλαμβάνειν. Ἕτερον δὲ τοῦτο θεώρημα. ἐπειδὴ πολλάκις καὶ τῆς τῶν ὅρων σαφηνείας φροντίζομεν, μεταληπτέον τὸ ἀσαφὲς εἰς τὸ σαφές. λόγον ἀντὶ λόγου. οἷον, εἰ τὴν ἀρετὴν εἴποι τις αὐτοπραγίαν τῶν τῆς ψυχῆς μορίων, δυνατὸν σαφέστερον αὐτὸν ἐκλαβεῖν. ὅτι ἀρετή ἐστιν ἐνέργεια προσήκουσα ἑκάστῳ τῶν τῆς ψυχῆς μορίων. ἢ ἀντὶ λόγου ληπτέον ὄνομα. οἷον ὁ ἄνθρωπος οὐκ ἔστιν ὅτι ζῷον. τὸ ὅτι ζῷον σημαίνει τὸ γενικὸν ζῷον. καὶ ἐπεὶ ἀσαφές ἐστι, εἰπὲ ὁ ἄνθρωπος οὐκ ἔστι γένος. τὸ ὅτι ζῷον λογικόν ἐστιν. ἢ ἀντὶ τοῦ εἰπεῖν ὁ σωκράτης ἐστὶ ζῷον ὀρθοπεριπατητικόν, εἰπὲ ὄνομα. ὁ σωκράτης ἄνθρωπός ἐστι. καὶ ὄνομα ἀντὶ ὀνόματος. οἷον ἀντὶ τοῦ εἰπεῖν ἡ δικαιοσύνη λυσιτελής, εἰπὲ ὠφέλιμον ἢ συμφέρον ἢ ἀντὶ λόγου ὄνομα. οἷον ἀντὶ τοῦ εἰπεῖν τὸ δοξαστὸν οὐκ ἔστιν ὅτι ὑποληπτόν. ἤγουν ὡς εἰς γένος ἀνάγεται τὸ ὑποληπτὸν, εἰπὲ οὐκ ἔστιν ὑποληπτὸν τὸ δοξαστόν. ἢ τὸ ὄνομα εἰς λόγον. οἷον ἀντὶ τοῦ εἰπεῖν τὸ ἀγαθὸν ἐφετὸν, εἰπὲ ὀρεκτὸν πᾶσι. Καὶ ὄνομα καὶ λόγον. ἤγουν καὶ ὄνομα θεῖναι ἀντὶ λόγου. καὶ λόγον ἀντὶ ὀνόματος. ἀεὶ δὲ λάμβανε ἀντὶ λόγου ὄνομα. εἰ γὰρ λαμβάνεις ὅροις ὀνόματα, ῥᾴων ἡ τῶν ὅρων ἔκθεσις γίνεται. Ἐπεὶ δ' οὐ ταυτόν ἐστι τὸ εἶναι τὴν ἡδονὴν ἀγαθόν. Ἕτερον θεώρημα συμπλοκῶν καὶ αὐτὸ εἰς τὴν ἀνάλυσιν. οὐ δεῖ φησὶν οἴεσθαι μικρὰν εἶναι τὴν διαφορὰν. τοῦ λέγειν ὅτι ἡ ἡδονὴ ἀγαθόν. καὶ τοῦ ὅτι ἡ ἡδονὴ τὸ ἀγαθόν. ὁ γὰρ εἰπὼν χωρὶς ἄρθρου ἀγαθὸν τὴν ἡδονὴν, ἐδήλωσε ταύτην εἶναί τι ἀγαθόν. ἤγουν ὠφέλιμον. ὁ δὲ εἰπὼν τὴν ἡδονὴν τὸ ἀγαθὸν μετὰ τοῦ ἄρθρου. ἐδήλωσεν ὅτι τὸ κυρίως ἐστὶν ἀγαθὸν αὕτη. ὥστε εἰ μέλλεις συλλογίσασθαι καὶ δεῖξαι ὅτι ἡ ἡδονή ἐστι τὸ ἀγαθόν, θετέον τὸ ἀγαθὸν μετὰ τοῦ ἄρθρου ἐν τῷ μείζονι ὅρῳ. καὶ εἰπέ. ἡ ἡδονὴ φυσικὴ ἐνέργεια. πᾶσα δὲ φυσικὴ ἐνέργεια τὸ ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἐστὶ τὸ ἀγαθόν. Εἰ δ' ὅτι ἀγαθόν. Ἤγουν εἰ δὲ μέλλεις δεῖξαι ὅτι ἡ ἡδονὴ ἀγαθὸν, θετέον ἐν τῷ μείζονι ὅρῳ ἀγαθὸν χωρὶς ἄρθρου. οὐκ ἔστι δὲ ταυτὸν οὔτ' εἶναι, οὔτ' εἰπεῖν. ἐπεὶ πολλάκις τινὲς τῶν ἀρχαίων. ἢ καὶ οἱ προσδιαλεγόμενοι, οὐ λέγουσι καὶ τὰς δύο προτάσεις. ἀλλὰ λέγοντες τὴν ἐλάττονα ἐπάγουσι τὸ συμπέρασμα, διδάσκει πῶς καὶ τούτους ἀναλύομεν. καὶ πῶς μὲν ἔχοντες οἱ ὅροι ὀρθῶς ἔχουσι. πῶς δὲ ἔχοντες οὐκ ὀρθῶς ἔχουσιν. οὐκ ἔστι ταυτὸν οὔτ' εἶναι. ἤγουν οὔτε κατὰ τὴν φύσιν τῶν πραγμάτων, οὔτε κατὰ τὸν προφορικὸν λόγον.

α. ἤγουν κατ' εὐθεῖαν δεξιῶς ἔχει τὸ συμπέρασμα κατ' ἀλλήλων δὲ οὐ λέγεται. ἤγουν αἱ δὲ προτάσεις
οὐ κατ' εὐθεῖαν ἀλλὰ κατὰ γενικήν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τοῦ μὴ ὑπάρχοντος ληπτέον.
Γυμνάσας τὸν λόγον ἐπὶ τῶν καταφατικῶν συλλογισμῶν, νῦν γυμνάζει τὸ λεγόμενον, καὶ ἐπὶ τῶν ἀπο-
φατικῶν καί φησιν. οὐκ ἀεὶ τὸ μὴ ὑπάρχειν τόδε τῷδε. ἤγουν ἡ ἀποφατικὴ πρότασις σημαίνει μὴ εἶναι
τόδε τόδε. ἤγουν κατ' εὐθεῖαν προφέρεται. ἀλλ' ἐνίοτε μὴ εἶναι τόδε τοῦδε. ἤγουν κατὰ γενικήν. ὡς
τῶν ὁρισμῶν ἀπόδειξιν οὐκ ἔστιν. ἢ τῆς ἀντιφάσεως οὐδέν ἐστι μεταξύ. καὶ τόδε τῷδε. ἤγουν κατὰ δο-
τικήν. ὡς τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον. τὸ δὲ οὐκ ἔστι κινήσεως κίνησις οὐδὲ γένεσις γενέσεως, ὑπο-
δείγματος χάριν ἔλαβεν. οὐ μὴν ἐξετάζων τὰ πράγματα. διὸ οὐδὲ ἀπειρολογητέον αὐτά. ὁ γέ-
λως ἐστὶ σημεῖον ποιᾶς διαθέσεως τῆς ψυχῆς. ἤγουν ἡδονῆς καὶ διαχύσεως. τὸ δὲ συνέρχεσθαι τὰ χείλη
καὶ ὁ τοιὸς ψόφος, οὐ σημεῖον γέλωτος. ἀλλ' ὕλη. ἐκ τούτων γὰρ συνίσταται. σημεῖον δὲ σημεῖόν ἐστιν
ὁ πυρσός. ἤγουν ὁ φανὸς σημεῖόν ἐστι τοῦ πολέμου. τοῦ δὲ πυρσοῦ σημεῖον ὁ καπνός. ὁμοίως δὲ κἀν
τοῖς ἄλλοις ἐν οἷς ἐγχειρεῖται τὸ πρόβλημα. τουτέστι καὶ ἐν τοῖς ἄλλοις σχήμασιν. ἐν οἷς ἀποφατικὸν
συνάγεται συμπέρασμα ὡς ἐπὶ τοῦ δευτέρου σχήματος. εἶπε δὲ πληθυντικῶς ἐν τοῖς ἄλλοις σχήμα-
σιν, ἀφορῶν πρὸς τοὺς τρόπους τοῦ δευτέρου σχήματος. ἀνθ' ὅτου δὲ τὸν μέσον ὅρον ἐν τῷ δευτέρῳ σχή-
ματι εἶπε γένος. διότι καθολικώτερός ἐστιν ἀμφοτέρων ἄκρων. ἐν τῷ λέγεσθαι πως πρὸς αὐτὸ τὸ
γένος. ἤγουν καὶ ἐν τῷ δευτέρῳ σχήματι ὁ μέσος ὅρος, ἢ κατ' εὐθεῖαν κατηγορεῖται ἀμφοτέρων τῶν
ἄκρων, ἢ κατὰ γενικήν. ἢ τοῦ μὲν κατ' εὐθεῖαν τοῦ δὲ κατὰ γενικήν. τινὲς ὁρίζονται τὸν καιρὸν ὡς
ἔστι δέων χρόνος. ὃ καὶ ἀναιρεῖται ἐν τρίτῳ σχήματι οὕτω. τῷ θεῷ ἐστι καιρός. πάντα γὰρ οὗτος κατὰ
τὸν καιρὸν ποιεῖ. τῷ θεῷ χρόνος δέων οὐκ ἔστι. δέων χρόνος ἐστὶ καθ' ὃν ὠφελεῖται ὁ τούτου μετέχων.
ὁ γὰρ θέλων διαπράξασθαί τι, παρατηρεῖ ἐπιτήδειον καιρὸν εἰς τὸ ποιῆσαι τοῦτο. ἵνα μὴ ἀποτύχῃ.
τῷ δὲ θεῷ οὐδέν ἐστιν ὠφέλιμον. πάντων γάρ ἐστιν ἀνενδεής. τὸ συμπέρασμα. οὐκ ἄρα ὁ καιρὸς
χρόνος δέων ἐστίν. Τὴν δὲ πρότασιν ληπτέον κατὰ τὴν τοῦ ὀνόματος πτῶσιν. ἤγουν κατὰ δοτι-
κήν. ἁπλῶς δὲ καὶ καθόλου ἐπὶ πάντων τοῦτο λέγομεν. ὡς δεῖ τοὺς ὅρους ἐκλαμβάνεσθαι, κατὰ
τὰς κλήσεις τῶν ὀνομάτων. ἤγουν κατ' εὐθεῖαν. λέγει δὲ τὴν εὐθεῖαν κλῆσιν, διότι ἕκαστον τῶν ὄντων
κέκληται κατ' αὐτήν. τὰς δὲ προτάσεις ληπτέον. ἤγουν ἐπειδὰν συμπλέκωμεν τοὺς ὅρους ἀλλήλοις
ἵνα προτάσεις ποιήσωμεν κατά τινα τῶν πτώσεων συμπλεκτέον. ἤγουν κατὰ γενικὴν ἢ δοτικήν. καὶ
οὐχὶ ἀεὶ κατ' εὐθεῖαν. Οἷον ὅτι τούτῳ. Ἤγουν ὅτι τὸ ἴσον ἴσῳ ἐστὶν ἴσον. ἢ τούτου. οἷον ὅτι ἡμί-
σεος τὸ διπλάσιόν ἐστιν. ἢ ὅτι τοῦτο. οἷον ὅτι τὸ τύπτον τυπτόμενον τύπτει. ἢ τὸ, ὁρῶν ὁρώμενον ὁρᾷ.
ἢ ὅπως ἄλλως πίπτει. τοῦτο εἴρηκε, διότι πολλάκις ῥήμασι χρώμεθα ὑποκειμένοις. οἷον τὸ φιλοσοφεῖν
ἀγαθόν ἐστι. τὰ γὰρ ἀπαρέμφατα ὀνόματα, τῶν ῥημάτων λέγεται. διὰ τὸ μετὰ ἄρθρων ἐκφέρε-
σθαι. Τῷ δὲ ὑπάρχειν τόδε τῷδε. Ἤγουν τὸ κατηγορεῖν τόνδε τὸν ὅρον κατὰ τοῦδε καὶ ποιεῖν πρό-
τασιν καὶ τὸ ἀληθεύεσθαι. ἤγουν τὸ ἀληθεῖς γίνεσθαι τὰς κατηγορίας καὶ τὰς προτάσεις, ὁσαχῶς αἱ
κατηγορίαι λέγονται. ἔστι γὰρ οὐσία ποσὸν καὶ τὰ λοιπά, τοσαυταχῶς καὶ αἱ κατηγορίαι, ἐπὶ τῶν
προτάσεων ἐκφέρονται. ἢ γὰρ καὶ οἱ δύο ὅροι ἐκ τῆς αὐτῆς κατηγορίας λαμβάνονται ὅ τε ὑποκεί-
μενος καὶ ὁ κατηγορούμενος. οἷον, ὁ σωκράτης οὐσία ἐστίν. ἢ ὁ ἄνθρωπος ζῷον, ἐστίν. ἀμφότεροι γὰρ οἱ
ὅροι ἐκ τῆς οὐσίας ἐλήφθησαν. τὸ δὲ ἀριθμὸς διωρισμένον ποσόν ἐστιν. ἐκ τοῦ ποσοῦ ἔχει τοὺς δύο ὅ-
ρους. τὸ δὲ λευκὸν χρῶμά ἐστιν ἐκ τοῦ ποιοῦ. τὸ δὲ ὁ πατὴρ αἴτιόν ἐστιν, ἐκ τοῦ πρός τι. ἢ θάτερος μὲν ὅ-
ρος, ἐξ ἄλλης κατηγορίας. θάτερος δὲ ἐξ ἄλλης. οἷον ὁ σωκράτης λευκός ἐστιν ὁ μὲν ὑποκείμενος ἐκ τῆς
οὐσίας ἐστίν. ὁ δὲ κατηγορούμενος ἐκ τοῦ ποιοῦ. ἐπὶ δὲ τοῦ σωκράτης τρίπηχυς ὁ κατηγορούμενος, ἐκ
τοῦ ποσοῦ. τὸ δὲ σωκράτης πατήρ ἐστι, ἐκ τοῦ πρός τι ἔχει τὸν κατηγορούμενον. καὶ αἱ πλοκαὶ τῶν δύο
ὅρων τῶν τῶν προτάσεων τοιούτων, ἢ πῇ λαμβάνονται, ἢ ἁπλῶς. πῇ μέν, ὅταν εἶδος κατηγορῆται τοῦ
ὑποκειμένου. οἷον, ὁ σωκράτης λευκός ἐστιν. ἁπλῶς δὲ ὅταν γένος κατηγορῆται κατὰ τοῦ ὑποκειμένου. οἷον ὁ
σωκράτης κεχρῶσται. ἢ ἡ οὐσία πεποίωται(?). ἢ ὁ σωκράτης πεπόσωται. ἀποφατικῶς δὲ τὸ οὐδεμία οὐσία
ποιότης ἐστίν. ἡ δὲ βούλει πῇ κατηγορίαν νοητέον, τὴν κατὰ συμβεβηκὸς κατηγορίαν ὡς μὴ καθ' αὑ-
τὸ ὑπάρχουσαν. μηδὲ τῆς οὐσίας ἐφαπτομένην. οἷον ὁ σωκράτης λευκός ἐστι. τὸ γὰρ λευκόν, οὐ παρ-
εισάγει τὴν οὐσίαν αὐτοῦ. ὅταν δὲ ὁ κατηγορούμενος παρεισάγῃ τὴν οὐσίαν τοῦ ὑποκειμένου, τότε ἁ-
πλῶς κατηγορία λέγεται. ὡς τὸ ὁ ἄνθρωπος ζῷον. Ἔτι ἁπλᾶς ἢ συμπεπλεγμένας δεῖ εἶναι τὰς κα-
τηγορίας. Ἁπλῆ μὲν κατηγορία ἐστίν, ὅταν εἷς ἐστιν ὁ κατηγορούμενος. ὡς τό, ὁ σωκράτης ἄνθρωπος. ἢ
ὁ κύκνος λευκόν. συμπεπλεγμένη δὲ ὅταν λάβῃς β' κατηγορουμένους οἷον ὁ σωκράτης σῶμα λευ-
κὸν ἔχει. ἢ ὁ σωκράτης πατὴρ ἀγαθός ἐστιν. τὸ σῶμα ποσόν ἐστιν ὡς τριχῇ διαστατόν. ὁμοίως δὲ καὶ αἱ
ἀποφατικαὶ προτάσεις, ἢ ἁπλαῖ ἢ συμπεπλεγμέναι λαμβάνονται. τὸ δὲ ἐπισκεπτέον ταῦτα καὶ
διοριστέον. ἤγουν διδακτέον, ἢ κατ' εὐλάβειαν φιλόσοφον εἶπε, μετριάζων καὶ ταπεινούμενος καὶ
τὸ μηδὲν ἄγαν τηρῶν, μονονουχὶ λέγων. ὡς ἐγὼ μὲν ταῦτα οὕτω διδάσκω. ἕτερος δὲ διδαξάτω

ἴσαι εἰσίν· αἱ δύο ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσί. τοῦ τριγώνου ἄρα αἱ τρεῖς γωνίαι, δυσὶν ὀρθαῖς ἴσαι εἰσί. τὸ δὲ καθ' αὑτὸ τὸ τρίγωνον ἔχει δύο ὀρθὰς, τοῦτο δῆλον. ὅτι εἰ τὸν μέσον ζητοῦντες ὀνόματι ἐκλαμβάνειν, οἴονται ὅτι τὸ τρίγωνον ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας, οὐ διά τινος μέσου ἀλλὰ δι' αὑτό. φανερὸν οὖν ὅτι τὸ μέσον οὐχ οὕτω ληπτέον ὡς τόδε τι. ἤγουν ὡς ὄνομα. ἀλλὰ πολλάκις ληπτέον τὸν μέσον, καὶ διὰ λόγον, ὡς ἐπὶ τοῦ λεχθέντος παραδείγματος. Τὸ δ' ὑπάρχειν τὸ πρῶτον τῷ μέσῳ. Ἕτερον παράγγελμα παραδίδωσιν. ὅτι οὐκ ἀεὶ οἱ ὅροι συμπλεκόμενοι κατ' εὐθεῖαν συμπλέκονται. ἀλλὰ πολλάκις καὶ κατὰ τὰς ἄλλας πτώσεις οἷον, σωκράτης ἀγαθός ἐστιν. ἢ σωκράτους φιλοσοφοῦντος, ἡμᾶς ἀκροᾶσθαι δεῖ. ἢ σωκράτους ἐπιβουλεύουσιν αὐτός. ἢ σωκράτει τὸ πλεῖον ἐνδέχεται. κατὰ δὲ κλητικὴν οὐκ ἐκφέρεται πρότασις. διότι ἡ κλητικὴ, οὐ πρόσφορός ἐστι τῷ ἀποφαντικῷ λόγῳ. ὀνομαστικὴ δὲ λέγεται ἡ εὐθεῖα, διότι κατ' αὐτὴν ὀνομάζομεν καὶ καλοῦμεν ἕκαστον τῶν πραγμάτων. ἀλλ' οὐ κατὰ τὰς ἄλλας πτώσεις. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀποφατικῶν προτάσεων, οὐ κατ' εὐθεῖαν μόνον προσφέρονται, ἀλλὰ καὶ κατὰ τὰς ἄλλας πτώσεις. οἷον, οὐδεὶς ἄνθρωπος ἄψυχός ἐστιν. ἢ τῶν ἐναντίων οὐκ ἔστιν ἐπιστήμη. ἢ τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον. ἢ τὸν ἀγαθὸν ἄνδρα, οὐδὲν βλάψαι δύναται. τὸ δὲ ὑπάρχειν τὸ α. ἤγουν τὸν μείζονα ὅρον τῷ μέσῳ. καὶ τοῦτο μὲν ὑπάρχειν τῷ ἐλάττονι ἄκρῳ, οὐ δεῖ λαμβάνειν τοὺς ὅρους οὕτως. ὡς ἀεὶ κατηγορηθησομένους ἀλλήλων κατ' εὐθεῖαν. πολλάκις γὰρ καὶ κατὰ γενικὴν κατηγοροῦνται καὶ κατὰ τὰς ἄλλας πτώσεις ὡς εἴπομεν, οὔτε ὁμοίως τὸ α κατὰ τοῦ μέσου καὶ τοῦτο τοῦ ἐσχάτου. ἤγουν οὔτε αἱ δύο προτάσεις ἐκφέρονται ὁμοίως. ἤγουν κατὰ γενικὴν ἢ εὐθεῖαν, ἀλλὰ πολλάκις μία πρότασις ἐκφέρεται κατ' εὐθεῖαν. ἡ δὲ ἑτέρα κατὰ γενικήν. καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν ὡσαύτως. ἤγουν καὶ ἐπὶ τῶν ἀποφατικῶν συλλογισμῶν, ὡσαύτως ἡ μία ἐκφέρεται κατ' εὐθεῖαν. ἡ δὲ ἑτέρα κατὰ γενικήν. ἀλλ' ὁσαχῶς τὸ εἶναι λέγεται. ἤγουν ὁσαχῶς ἕκαστον τῶν ὄντων εἴτε οὐσία ἐστίν. ἢ ποσὸν ἢ ποιόν. εἴτ' ἄλλό τι τῶν ὄντων ἐκφέρεται κατὰ τὰς πτώσεις τῶν ὀνομάτων, καὶ ἀληθῶς ἐκφέρεται. ἤγουν καὶ ἀληθεύει. οἷον, σωκράτης οὐσία ἐστίν. καὶ πάλιν ἂν μὲν εἴποις τοῦ ποιοῦ ἐπιστήμη ἐστίν, ἀληθεύεις κατὰ γενικὴν τοῦτο ἐκφέρειν. ἂν δὲ εἴπῃς ὅτι τὸ ποιὸν ἐπιστήμη ἐστὶ κατ' εὐθεῖαν, οὐκ ἀληθεύσεις, τοσαυταχῶς καὶ αἱ προτάσεις ἐκφέρονται. τὸ δὴ α ὑπάρχειν τῷ β. ἤγουν τὸ μίαν εἶναι ἐπιστήμην ἐπὶ τῶν ἐναντίων κατὰ γενικὴν ἂν λάβῃς, ἀληθεύσεις. καὶ οὐκ ἀληθεύσεις ὡς τἀναντία. ἤγουν ἂν κατ' εὐθεῖαν εἴποις ὡς τὰ ἐναντία ἐπιστήμη ἐστίν. οὐ γὰρ φύσις τῶν ἐναντίων ἐστίν, ἡ ἐπιστήμη. ἀλλὰ τὸ φθαρτὰ εἶναι ἀλλήλων. ἢ τὸ κατὰ πολὺ ἀλλήλων διεστάναι. ὡς ἡ ὑγεία καὶ ἡ νόσος. οὐκ ἄρα τὰ ἐναντία κατ' εὐθεῖαν ῥητέον ὅτι τὰ ἐναντία ἐπιστήμη ἐστίν. ἀλλ' ἀληθές ἐστιν εἰπεῖν. ἤγουν ἀληθεύσεις ἐὰν κατὰ γενικὴν εἴποις. ὅτι τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη. Γυμνάσας τὸν λόγον ἐπὶ μιᾶς προτάσεως, γυμνάζει νῦν καὶ ἐπὶ δύο προτάσεων. συμβαίνει δὲ ὅτε μὲν τὸ α λέγεσθαι κατὰ τοῦ μέσου κατ' εὐθεῖαν. τὸ δὲ μέσον μὴ κατ' εὐθεῖαν λέγεσθαι, κατὰ τοῦ γ. ἤγουν τοῦ ἐλάττονος ὅρου. ἀλλὰ κατὰ γενικήν. οἷον, ληπτέον τὸ α ἐπιστήμην. τὸ β σοφίαν. τὸ γ ἀγαθόν. ἀληθεύει γοῦν ὁ λέγων κατ' εὐθεῖαν, ἡ σοφία ἐπιστήμη ἐστίν. ὡσαύτως ἀληθεύει ὁ λέγων τοῦ γ ἤτοι τοῦ ἀγαθοῦ σοφία ἐστί. προσέθηκε δὲ τὸ σοφίαν τὴν ἐπιστήμην, διότι ἀσαφές ἐστι τὸ λέγειν τοῦ ἀγαθοῦ σοφία ἐστί. σαφηνίζων γοῦν τὴν ἐλάττονα πρότασιν, προσέθετο τὴν ἐπιστήμην. δηλῶν ἐντεῦθεν ὅτι ἡ σοφία καὶ ἡ ἐπιστήμη ταυτὸν ἐστιν. ὥστε τὸ λέγειν τοῦ ἀγαθοῦ σοφία ἐστὶν οὐδὲν ἄλλό τι δηλοῖ, ἀλλ' ἢ ὅτι τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστί. τὸ δὲ συμπέρασμα καὶ αὐτὸ κατὰ γενικὴν προφέρεται. ὅτι τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστί. τὸ μὲν δὴ ἀγαθὸν οὐκ ἔστιν ἐπιστήμη. ἤγουν οὐ κατ' εὐθεῖαν ἐστὶν εἰπεῖν τὸ συμπέρασμα. ὅτι τὸ ἀγαθὸν ἐπιστήμη ἐστίν. ἐν δὲ τῷ οὐκ ἔστιν ἔξωθεν ληπτέον τὸ εἰπεῖν. ὅτε δὲ ὁ μὲν μέσος κατὰ τοῦ γ λέγεται κατ' εὐθεῖαν. τὸ δὲ α κατὰ τοῦ μέσου οὐ λέγεται κατ' εὐθεῖαν. ἀλλὰ κατὰ γενικήν. οἷον τὸ ἀγαθὸν ποιόν ἐστι. τοῦ ποιοῦ ἐπιστήμη ἐστί. τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστίν. ἢ ὅτι τὸ ἀγαθὸν ἐναντίον ἐστίν. ἐναντίον γάρ ἐστι τῷ κακῷ. τοῦ δὲ ἐναντίου ἐστὶν ἐπιστήμη. τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστίν. οὐκ ἔστι δὲ τὸ ἀγαθὸν ἐπιστήμη. ἤγουν οὐ κατ' εὐθεῖαν δεῖ τὸ συμπέρασμα ἐκφέρειν. οὐδὲ τὸ ποιὸν οὐδὲ τὸ ἐναντίον. ἤγουν οὐδὲ ἡ μείζων πρότασις κατ' εὐθεῖαν ὀφείλει προσφέρεσθαι. οἷον ὅτι τὸ ποιὸν ἐπιστήμη ἐστίν. ἢ τὸ ἐναντίον ἐπιστήμη ἐστίν. ἀλλὰ κατὰ γενικὴν ταῦτα ῥητέον. ἤγουν ὅτι τοῦ ποιοῦ ἢ τοῦ ἐναντίου ἐπιστήμη ἐστίν. ἀλλὰ τὸ ἀγαθὸν ταῦτα. ἤγουν ἀλλ' ἡ ἐλάττων πρότασις κατ' εὐθεῖαν προφέρεται. οἷον ὅτι τὸ ἀγαθὸν ἐστὶ ταῦτα, ἤγουν ἢ ποιὸν ἢ ἐναντίον. ἔστι δὲ μήτε τὸ α κατὰ τοῦ μέσου λέγεσθαι κατ' εὐθεῖαν, μήτε τὸ μέσον κατὰ τοῦ γ. τὸ α κατὰ τοῦ γ. ἤγουν τοῦ συμπεράσματος. ποτὲ μὲν λεγομένου κατ' εὐθεῖαν. ποτὲ δὲ μὴ κατ' εὐθεῖαν. ἀλλὰ κατὰ γενικήν. Τὸ οὗ ἐστιν ἐπιστήμη, ἰσοδυναμεῖ τῷ ἐπιστητῷ. τοῦ ἀγαθοῦ ἐστιν ἐπιστήμη. οὗ δὲ ἐπιστητοῦ ἐστιν ἐπιστήμη, τούτου γένος ἐστί. τοῦ ἀγαθοῦ ἄρα ἐστὶ γένος. ἐπὶ τούτου καὶ αἱ προτάσεις καὶ τὸ συμπέρασμα, κατὰ γενικὴν ἐξηνέχθησαν. καὶ πάλιν τοῦ ἀγαθοῦ ἐστιν ἐπιστήμη οὗ δέ ἐστιν ἐπιστήμη, γένος τοῦτό ἐστι. τὸ ἀγαθὸν ἄρα γένος τί ἐστιν, ἐπὶ τούτου αἱ προτάσεις μὲν, κατὰ γενικήν. τὸ συμπέρασμα κατ' εὐθεῖαν. κατηγορεῖται δὲ οὐδὲν κατ' οὐδενὸς, ἤγουν οὔτε αἱ προτάσεις κατ' εὐθεῖαν ἐξηνέχθησαν, οὔτε τὸ συμπέρασμα. κατὰ μὲν γὰρ τοῦ ἄκρου, κατηγορεῖται τὸ

ἐξ ἀνάγκης ὑπάρχει, εἰπὼν ὅτι τὸ α οὐδενὶ τῷ β ἐνδέχεται ὑπάρχειν. ταῦτα γάρ ἐστι. καὶ πάλιν ὅτι τὸ β παντὶ τῷ γ ὑπάρχει ἐνδεχομένως. καὶ δόξει συμβαίνειν καὶ συνάγεσθαι συμπέρασμα ψευδές. ὅτι ἡ ὑγεία οὐδενὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν ἐξ ἀνάγκης. ὅπερ ψευδές. ἐνδεχομένως γὰρ ἀποφάσκεται ἡ ὑγεία τοῦ ἀνθρώπου. συνήχθη δὲ ἀναγκαῖον συμπέρασμα, οὐ μόνον διὰ τὸ λαβεῖν τὰς ἕξεις, ἀλλ᾽ ὅτι καὶ τῇ μείζονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα. μεταληφθέντων δὲ τῶν ὅρων ἤγουν τῶν ἕξεων εἰς τὰ ἐκτὸς, οὐκ ἔσται συλλογισμός. ἤγουν οὐ συνάγεται ἀναγκαῖον συμπέρασμα, ἀλλὰ ἐνδεχόμενον. ὑγιαῖνον λέγεται καὶ νοσοῦν τὸ ζῷον ἢ ὁ ἄνθρωπος ὡς δεκτικὰ τούτων ἐστί. τὸ ὑγιαῖνον ἤγουν τὸ δεκτικὸν τῆς ὑγείας, οὐδενὶ νοσοῦντι ὑπάρχει ἀνθρώπῳ ἐνδεχομένως. ὁ δὲ νοσῶν ἄνθρωπος δεκτικὸς ὑγείας ἐστίν. οὐχ ᾗ νοσῶν. ἀλλ᾽ ὡς ἄνθρωπος. δύναμιν γὰρ ἔχει ἐπιτηδείαν καὶ ὑγείαν καὶ νόσον δέξασθαι. οὐ γὰρ ἀληθὲς εἰπεῖν ὡς οὐκ ἐνδέχεται τῷ νοσοῦντι τὸ ὑγιαίνειν ὑπάρξαι. ἤγουν οὐκ ἀληθεύει ὁ λέγων ὅτι τὸ ὑγιαίνειν οὐδενὶ νοσοῦντι ὑπάρχει ἐξ ἀνάγκης. τὸ γὰρ ὑγιαίνειν ἐνδεχομένως, ἀποφάσκεται τοῦ νοσοῦντος. τούτου δὲ μὴ ληφθέντος ἤγουν τῆς δὲ μείζονος προτάσεως μὴ ληφθείσης ἀναγκαίας ἀλλ᾽ ἐνδεχομένης, οὐ γίνεται συλλογισμὸς ἀναγκαῖος. ἤγουν οὐ συνάγεται συμπέρασμα ἀναγκαῖον ἀλλ᾽ ἐνδεχόμενον. οὐκ ἀδύνατον δέ ἐστι τοῦτο ἤγουν τὸ συμπέρασμα συναχθῆναι ἐνδεχόμενον τῆς μείζονος οὔσης ἐνδεχομένης. ἡ γὰρ ὑγεία οὐδενὶ ἀνθρώπῳ ὑπάρχει ἐνδεχομένως. ἐνδέχεται γὰρ καὶ πάντας ἀνθρώπους ὑγιαίνειν καὶ μηδένα. Πάλιν ἐπὶ τοῦ μέσου. ἤγουν τοῦ δευτέρου σχήματος, ὁμοίως ἔσται τὸ ψεῦδος. ἤγουν συνάγεται συμπέρασμα ψευδές. διὰ τὸ τὰς ἕξεις ἀντὶ τῶν ἐκτῶν ληφθῆναι. ἡ γὰρ ἡ ὑγεία οὐδεμιᾷ νόσῳ ἐξ ἀνάγκης, παντὶ δὲ ἀνθρώπῳ ἐνδεχομένως. καὶ αἱ μὲν προτάσεις ἀληθεῖς, τὸ δὲ συμπέρασμα ψευδές. ὅτι ἡ νόσος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. ἡ γὰρ νόσος ἐνδεχομένως ἀποφάσκεται τοῦ ἀνθρώπου. ἐὰν δὲ μεταλάβῃς τὰς ἕξεις εἰς τὰ ἐκτὰ, γίνονται αἱ δύο προτάσεις ἐνδεχόμεναι καὶ τὸ συμπέρασμα ἐνδεχόμενον. ἐν δὲ τῷ τρίτῳ σχήματι συμβαίνει τὸ ψεῦδος, κατὰ τὸ ἐνδεχόμενον ἐὰν λάβῃς τὰς ἕξεις ἀντὶ τῶν ἐκτῶν. τὸ δὲ κατὰ τὸ ἐνδεχόμενον, οὕτω νοητέον. οὐχ ὅτι τὸ συμπέρασμά ἐστι ψευδές. ὅτι ἡ ὑγεία οὐ πάσῃ νόσῳ ἐξ ἀνάγκης. ἀληθὲς γὰρ τοῦτο. ἀλλ᾽ ὅτι τῶν δύο προτάσεων οὐσῶν ἐνδεχομένων, ἔδει καὶ τὸ συμπέρασμα εἶναι ἐνδεχόμενον, οὐκ ἀναγκαῖον. ἀνωμολόγηται δὲ τοῦτο. ἤγουν ὁμολογούμενόν ἐστιν ἐξ ὧν εἴπομεν, ὅτι ἀεὶ κατὰ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου δύο ὅροι ἐνδεχομένως κατηγορηθήσονται. ἀεὶ τὸ κατὰ τὴν ἕξιν ἤγουν τὸ ἐκτὸν ληπτέον ἀντὶ τῆς ἕξεως. καὶ θετέον τοῦτο ὅρον. Οὐ δεῖ δὲ τοὺς ὅρους. Ἕτερον παράγγελμα παραδίδωσι συντελοῦν σοι πρὸς τὴν ἀνάλυσιν. καὶ φησὶν ἀναλύειν τὸν συλλογισμὸν εἰς τὰς προτάσεις. καὶ τὰς προτάσεις εἰς τοὺς ὅρους, μὴ παρῶ ἀεὶ ἐκτίθεσθαι καὶ ἐκλαμβάνειν τοὺς ὅρους δι᾽ ὀνομάτων. εἰσὶ γὰρ ὅροι τινὲς οἷς οὐκ ἔθεντο ὄνομα οἱ παλαιοί. ἢ καὶ μὴ δυνηθέντες ὄνομα θεῖναι αὐτοῖς. ἢ καὶ μὴ σπουδάσαντές τι τοῦτο ποιῆσαι. τοὺς τοιούτους οὖν ὅρους οἷς ὄνομα οὐκ ἔστι, δηλοῦμεν ἡμεῖς διὰ λόγου. ὁ ὅρος ἢ δι᾽ ὀνόματος δηλοῦται. ὡς τὸ ἄνθρωπος ὄνομα γάρ ἐστι τὸ διὰ μιᾶς λέξεως σημαῖναι τὸν ὅρον. οἷον ἐὰν λάβῃς ὅρους ἄνθρωπον ζῷον οὐσίαν. διὰ τριῶν γὰρ ὀνομάτων τούτοις ἐσήμανας. ἐὰν δὲ λάβῃς τὸ α θυμόν. τὸ γ ἄνθρωπον. τὸ β ἤγουν τὸν μέσον ὅρον οὐ δι᾽ ὀνόματος ἀλλὰ διὰ λόγου. οἷον, ὄρεξιν ἀντιλυπήσεως. λόγος γάρ ἐστιν ὅταν οὐ διὰ μιᾶς λέξεως σημάνῃς τὸν ὅρον, ἀλλὰ διὰ πολλῶν. διὸ τοὺς τοιούτους συλλογισμοὺς τοὺς ἔχοντας τοὺς ὅρους οὐ δι᾽ ὀνόματος ἀλλὰ διὰ λόγου, δύσκολόν ἐστιν ἀναγαγεῖν καὶ ἀναλῦσαι τὸν ζητοῦντα ἐκτίθεσθαι τοὺς ὅρους ἀεὶ δι᾽ ὀνομάτων. τῶν προτάσεων αἱ μέν εἰσιν ἄμεσοι. αἱ δὲ ἔμμεσοι. καὶ ἄμεσος μέν ἐστιν, ἡ τὸ σῶμα οὐσία ἐστίν. ἥτις ἐστὶ καὶ ἀναπόδεικτος ἤγουν ἀσυλλόγιστος. μεταξὺ γὰρ τοῦ σώματος καὶ τῆς οὐσίας, οὐ δυνατὸν λαβεῖν μέσον ὅρον δι᾽ οὗ συλλογισμὸν ποιήσας, δείξεις ὅτι τὸ σῶμα οὐσία ἐστίν. ὅθεν καὶ ἄμεσος λέγεται. ἔμμεσος δὲ πρότασις ἐστὶν ἡ λέγουσα ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστιν. ἥτις λέγεται καὶ ἀποδεικτική. ἔστι γὰρ δυνατὸν λαβεῖν μέσον ὅρον τὸν λογικόν. καὶ συλλογίσασθαι ὅτι ὁ ἄνθρωπος, λογικόν. τὸ λογικὸν ζῷον. ὁ ἄνθρωπος ἄρα ζῷον. ὅθεν καὶ συλλογιστικὴ καὶ ἀποδεικτικὴ πρότασις λέγεται. οἱ γοῦν ζητοῦντες ἀεὶ τὸν μέσον ὅρον δι᾽ ὀνόματος ἐκλαμβάνειν, ἀπατῶνται πολλάκις καὶ οἴονται τῶν ἀμέσων προτάσεων συλλογισμὸν καὶ ἀπόδειξιν γίνεσθαι. διὰ τὸ τὸν μέσον ὅρον διὰ λόγου ἐκλαμβάνεσθαι. ὡς ἐπὶ τούτου τοῦ παραδείγματος. οἷον, τὸ ἰσοσκελὲς, τρίγωνόν ἐστι. τοῦ τριγώνου αἱ τρεῖς γωνίαι, δυσὶν ὀρθαῖς ἴσαι εἰσί. τοῦ ἰσοσκελοῦς ἄρα αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί. Ὅτι μὲν τὸ α ὑπάρχει τῷ γ, δείκνυσι διὰ μέσου τοῦ β. ἤγουν τοῦ τριγώνου. ὅτι δὲ τὸ α ἤγουν αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν ὑπάρχει τῷ β ἤγουν τῷ τριγώνῳ, οὐκέτι δι᾽ ἄλλου μέσου δύνανται ταύτην τὴν μείζονα πρότασιν δεῖξαι, οἱ ζητοῦντες ἀεὶ τοὺς ὅρους ὀνόματα ἐκλαμβάνειν. διὰ τὸ μὴ εὑρίσκειν τὸν μέσον ὅρον ὀνόματι δηλούμενον. καὶ λέγουσι ταύτην τὴν πρότασιν εἶναι ἄμεσον καὶ ἀναπόδεικτον καὶ ταύτην οὖσαν ἀποδεικτικήν. ἔστι γὰρ δυνατὸν λαβεῖν μέσον ὅρον, λόγον τὸ ὅτι αἱ δύο ταῖς ἐφεξῆς ἴσαι εἰσί. καὶ συλλογίζονται οὕτως. τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δυσὶ ταῖς ἐφεξῆς

συναναιρεῖ τὸ ὅλον· τὰ συναναιροῦντα τὸ ὅλον, συναναιρεῖ τὴν οὐσίαν· τὰ μέρη ἄρα τῆς οὐσίας ἀναι-
ρεθέντα, συναναιρεῖ τὴν οὐσίαν· τῆς μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀναιρεῖται ἡ οὐσία· ἡ μείζων πρότασις
ἐστὶ τοῦ β σχήματος· τὸ δὲ ἐξ ὧν ἐστὶν ἀναιρουμένων, ἤγουν τῶν δὲ μερῶν τῆς οὐσίας ἀναιρουμένων, φθεί-
ρεται καὶ ἀναιρεῖται καὶ τὸ ἐκ τούτων ἤγουν τὸ ὅλον· ἔστιν ἡ ἐλάττων πρότασις, τοῦ προσυλλογισμοῦ·
καὶ τούτων τεθέντων ἤγουν τῆς μείζονος προτάσεως τοῦ β΄ σχήματος καὶ τῆς ἐλάττονος τοῦ προσυλλο-
γισμοῦ· ἀνάγκη μὲν συνήχθη συμπέρασμα ὅτι τὸ μέρος τῆς οὐσίας, οὐσία ἐστὶν ὅπερ ταυτόν ἐστιν ὅτι τὰ μέ-
ρη τῆς οὐσίας, οὐκ εἰσὶν οὐκ οὐσίαι· οὐ μὴν συλλελόγισται τὸ τοιοῦτον συμπέρασμα, ἀπὸ τῶν ληφθεισῶν προ-
τάσεων· λείπουσι γὰρ προτάσεις αἱ συνάγουσαι τὸ τοιοῦτον συμπέρασμα· ἤγουν ἡ μέση ἡ ἐλάττων πρό-
τασις τοῦ β σχήματος· ἡ τὰ μέρη τῆς οὐσίας οὐσίαι εἰσίν· ὁ γοῦν λαβὼν τὴν μείζονα πρότασιν τοῦ β΄ σχή-
ματος, καὶ τὴν ἐλάττονα τοῦ προσυλλογισμοῦ· καὶ συνάξας ὅτι τὰ μέρη τῆς οὐσίας, οὐσίαι εἰσί, δοκεῖ μὲν
συλλογίσασθαι· οὐ συνελογίσατο δὲ, λαβὼν προτάσεις ἀσυναρτήτους· καὶ μὴ συνεχομένας μετά
τινα μέσου ὅρου· ὃς δὶς λαμβανόμενος, συνέχει τὰς προτάσεις καὶ ποιεῖ τὸν συλλογισμόν· πάλιν ὁ αὐ-
τὸς ὁ ἄνθρωπος ζῶον· τὸ ζῶον οὐσία· ὁ ἄνθρωπος ἄρα οὐσία, δοκεῖ μὲν συλλογίζεσθαι· συλλογισμὸν δὲ
οὐκ ἐποίησεν· οὐ γὰρ ἐλήφθησαν αἱ προτάσεις ὡς ἔπρεπεν· ἤγουν ἢ αἱ β΄ καθόλου ἢ μία· ἀλλὰ καὶ ἀμφό-
τεραι μερικαί· αἱ γὰρ ἀπροσδιόριστοι προτάσεις ἰσοδυναμοῦσι ταῖς μερικαῖς· ἀπὸ δὲ δύο μερικῶν συλ-
λογισμὸς οὐ γίνεται. Ἐν δὲ τοῖς τοιούτοις ἤγουν τοῖς ἀσυλλογίστοις συλλογισμοῖς, ἀπατώμεθα καὶ
οἰόμεθα συλλογισμοὺς εἶναι αὐτούς, διὰ τὸ καὶ τὸ συναγόμενον συμπέρασμα, ἐκ τῶν κειμένων καὶ τῶν
ληφθεισῶν προτάσεων εἶναι, ἀναγκαῖον· τὸ γὰρ ἄνθρωπος οὐσία ἐστίν, ἀναγκαῖον μέν ἐστιν· οὐ μὴν συνή-
χθη ἐκ συλλογιστικῆς συμπλοκῆς τῶν προτάσεων· μερικαὶ γὰρ καὶ ἄμφω· ἀλλὰ διὰ τὸ τὸν ἐλάττονα
ὅρον ἤγουν τὸν ἄνθρωπον χρῆσιν ἔχειν πρὸς τὴν οὐσίαν· καὶ εἶδος εἶναι αὐτοῦ· οὐ γὰρ διότι πᾶς συλλογι-
σμὸς ἀναγκαῖον συμπέρασμα συνάγει, διὰ τοῦτο ἀντίον, καὶ πᾶν ἀναγκαῖον ἐκ συλλογισμοῦ συνά-
γεσθαι· τὸ γὰρ ἀναγκαῖον ἐπὶ πλέον καὶ καθολικώτερόν ἐστι τοῦ συλλογισμοῦ· πᾶς μὲν γὰρ συλλογισμὸς,
ἀναγκαῖον συμπέρασμα συνάγει· οὐ πᾶν δὲ ἀναγκαῖον συμπέρασμα, συλλογισμός ἐστιν ἤγουν ἐκ συμ-
πλοκῆς συλλογιστικῆς συνάγεται· ὡς ἐπὶ τοῦ ῥηθέντος συλλογισμοῦ· ὥστε οὐκ εἴ τις συμβαίνει συναχθῆ-
ναι ἀναγκαῖον συμπέρασμα ληφθεισῶν τινῶν προτάσεων, παραιτέον εὐθὺς ἀνάγειν καὶ ἀναλύειν αὐτὸ
καὶ θεωρεῖν, ἐν ποίῳ σχήματι συλλελόγισται· ἀλλὰ πρῶτον θεωρητέον, εἰ ἀπὸ συλλογισμοῦ συνήχθη·
εἶτα ληπτέον τὰς προτάσεις καὶ διαιρετέον αὐτὰς, εἰς τοὺς γ΄ ὅρους· μέσον δὲ θετέον ὅρον τὸν δὶς ἐν ἀμφο-
τέραις λαμβανόμενον ταῖς προτάσεσιν· ἐὰν γὰρ ὁ μείζων ὅρος κατηγορῆται τοῦ μέσου· καὶ τὸ μέσον
κατηγορεῖται κατὰ τοῦ ἐλάττονος ἵνα καὶ ἀμφότεραι αἱ προτάσεις ὦσι καθόλου καταφατικαί· ἢ
αὖ τὸ μὲν τὸ μέσον κατηγορεῖται καθόλου καταφατικῶς τοῦ ἐλάττονος· ἄλλο δὲ ἤγουν ὁ μείζων
ἀπὸ τοῦ μέσου ἀπαρνεῖται, τὸ πρῶτον ἔσται σχῆμα· ἐὰν δὲ ὁ μέσος ὅρος τοῦ μὲν ἑνὸς ἄκρου κατηγο-
ρεῖται καταφατικῶς· τοῦ δὲ ἑτέρου ἀποφατικῶς, ἔσται τὸ β΄ σχῆμα· ἐὰν δὲ ἄλλα κατηγορῶνται κατ'
ἐκείνου τοῦ μέσου· ἢ τὸ μὲν κατηγορῆται, τὸ δὲ ἀποφάσκηται γίνεται τὸ γ΄ σχῆμα. Ὁμοίως δὲ
καὶ ἐὰν μὴ καθόλου ὦσιν αἱ προτάσεις ἀμφότεραι· ἀλλὰ ἡ μὲν μία καθόλου· ἡ δὲ ἑτέρα μερική.
Γυμνάσας γὰρ τὸν λόγον ἐπὶ τῶν καθόλου συλλογισμῶν· καὶ δείξας πῶς ὁ μέσος λαμβάνεται ἐν ἑ-
κάστῳ σχήματι, δεικνύει ὅτι καὶ ἐπὶ τῶν μερικῶν οὕτως ἔχει· ὁ γὰρ αὐτός ἐστι διορισμός· καὶ παρα-
τήρησις τοῦ μέσου καὶ ἐπὶ τῶν μερικῶν συλλογισμῶν· ἢ γὰρ καὶ ἐπ' αὐτῶν ὁ μέσος· τῷ μὲν ἑνὶ ὑπόκει-
ται· τοῦ δὲ ἑτέρου κατηγορεῖται· ἢ ἀμφοτέρων κατηγορεῖται, ἢ ἀμφοτέροις ὑπόκειται· φανερὸν οὖν
ὡς ἐν ᾧ λόγῳ ἤγουν συλλογισμῷ τὸ αὐτὸ ἤγουν τὸ μέσον οὐ λέγεται πλεονάκις· ἤγουν δὶς οὐ λαμ-
βάνεται, συλλογισμὸς οὐ γίνεται· οὐ γὰρ εἴληπται τὸ μέσον δίς· ὥστε ἐπὶ τοῦ συλλογισμοῦ τοῦ μὴ οὐσί-
ας ἀναιρουμένης, οὐκ ἀναιρεῖται ἡ οὐσία· τῶν δὲ μερῶν τῆς οὐσίας ἀναιρουμένων συναναιρεῖται τὸ
ὅλον, συλλογισμὸς οὐκ ἐγένετο· διότι οὐκ ἐλήφθη ὁ μέσος δίς, ἵνα συνέχωνται αἱ προτάσεις καὶ κοι-
νωνίαν ἔχωσιν· ἀλλὰ ἔμειναν αἱ προτάσεις ἀσύναπτοι, διὰ τὸ ἑκάστην ἔχειν ἴδιον κατηγορούμενον·
καὶ ἐκ τούτου γίνεσθαι δ΄ ὅρους. Ἐπεὶ δὲ ἔχομεν ποῖον ἐν ἑκάστῳ προβλήματι. Εἰπὼν ὡς εἰ δὴ
λάβῃς εὑρεῖν ἐν ποίῳ σχήματι ὁ προτεθεὶς συλλογισμὸς ἢ ὁ εὑρεθεὶς ἔν τινι τῶν παλαιῶν λόγῳ συλλε-
λόγισται, δεῖ σε ἀναλύειν αὐτὸν εἰς τὰς προτάσεις· καὶ ταύτας εἰς ἀνθρώπους τοὺς ὅρους· καὶ εὑρεῖν τὸν μέ-
σον ὅρον καὶ ἀπὸ τῆς θέσεως τούτου χαρακτηρίζειν ἐν ποίῳ σχήματι συλλελόγισται· καὶ εἰ μὲν ὁ μέσος
ὅρος τῷ ἑνὶ ὑπόκειται τῷ δὲ ἑτέρῳ κατηγορεῖται, ἔσται τὸ α σχῆμα· εἰ δὲ ἀμφοτέρων τῶν ἄκρων κα-
τηγορεῖται· τοῦ μὲν καταφατικῶς· τοῦ δὲ ἀποφατικῶς, ποιεῖ τὸ δεύτερον· εἰ δὲ ἀμφοτέροις ὑπόκειται
ποιεῖ τὸ τρίτον· εἰ δὲ πολλάκις ὁ συλλογισμὸς ἐλλιπῆς προτίθεται, ἀπὸ τοῦ συμπεράσματος δεῖ σε καὶ
τὴν λείπουσαν πρότασιν ἐφευρεῖν· νῦν δὲ μεταβαίνει καὶ εἰς ἕτερον παρατήρημα· προβλήματα λέγει,
τὸ παντὶ τὸ οὐδενὶ τὸ τινὶ καὶ τὸ οὐ παντί· καὶ φησίν· ἐπειδὴ ἔχομεν ἐν ποίῳ σχήματι περαίνεται

τὰ δὲ γ' η καὶ δ' ε καὶ τὰ ε, τῷ μὲν ἀριθμῷ ἐστὶ μείζονα μόρια, τῷ δὲ μεγέθει ἐλάττονα. ἔστωσαν δύο μεγέθη ἡ α β, καὶ ἡ γ δ. καὶ ἡ μὲν α β, τεμνέσθω δίχως α β. ἡ δὲ γ δ, τετραχῆ γ δ. τὰ μὲν β' ἐστὶ μείζονα μόρια τῷ μεγέθει, ἐλάττονα δὲ τῷ ἀριθμῷ. τὰ δὲ δ' μόρια εἰς ἃ διήρηται τὸ γ δ μέγεθος, μείζονα μέν ἐστι, τῷ ἀριθμῷ, ἐλάττονα δὲ τῷ μεγέθει. καὶ ὁ συλλογισμὸς τέμνεται μὲν εἰς δύο προτάσεις, εἰς γ' δὲ ὅρους. τὰ δὲ δύο ὡς εἴπομεν, τῷ μεγέθει ἐστὶ μείζονα, τῷ δὲ ἀριθμῷ ἐλάττονα. ὥστε οἱ τρεῖς ὅροι τῷ μὲν μεγέθει ἐστὶν ἐλάττονες, τῷ δὲ ἀριθμῷ μείζους. Μείζω δὲ λέγω τὰ συγκείμενα ἤγουν τὰς δύο προτάσεις. συγκείμενα δὲ ταύτας καλεῖ, διότι συγκεῖται ἑκάστη ἐκ δύο ὅρων ὑποκειμένου καὶ κατηγορουμένου. ἀντὶ δὲ τοῦ εἰπεῖν τρεῖς ὅρους, εἶπεν ἐξ ὧν. ἐκ γὰρ τριῶν ὅρων σύγκεινται αἱ δύο προτάσεις τοῦ συλλογισμοῦ. εἶτα σκοπεῖν ποία τῶν δύο προτάσεων ἐστὶν ἐν ὅλῳ ἤγουν καθόλου καὶ περιέχουσα τὴν ἑτέραν. καὶ ποτέρα ἐστὶν ἐν μέρει ἤγουν ἐλάττων ὑπὸ τῆς μείζονος περιεχομένη. ἡ γὰρ μείζων ἡ λέγουσα ὅτι ἡ οὐσία παντὶ ζώῳ, περιέχει τὴν ἐλάττονα ὅτι τὸ ζῷον παντὶ ἀνθρώπῳ. κἂν εἰ μὲν αἱ δύο προτάσεις κεῖνται ἐν τῷ προτεθέντι συλλογισμῷ, ῥᾷον ἡ ἀνάλυσις γίνεται. εἰ δὲ ἡ μία τῶν προτάσεων κεῖται ἐν τῷ συλλογισμῷ ἡ δὲ ἑτέρα παραλέλειπται, ἀναλύοντες τὸν τοιοῦτον συλλογισμὸν πόθεν ἔχομεν συνιέναι, εἴτε ἡ μείζων πρότασις κατελείφθη, εἴτε ἡ ἐλάττων. καὶ φησὶν ὅτι ἀπὸ τοῦ συμπεράσματος ὀφείλεις γινώσκειν τὴν καταλειφθεῖσαν πρότασιν. καὶ εἰ μὴ ἄμφω αἱ προτάσεις εἰλημμέναι εἰσιν, δεῖ σε τιθέντα καὶ τὴν ἑτέραν τὴν καταλειφθεῖσαν πρότασιν. οὕτως ἀναλύειν τὸν συλλογισμὸν εἰς τὰς β' προτάσεις. ἐνίοτε γὰρ καὶ οἱ γράφοντες λόγους καὶ οἱ ἐρωτῶντες καὶ οἱ προσδιαλεγόμενοι, τὴν καθόλου καὶ τὴν μείζονα προτείναντες πρότασιν, οὐ λαμβάνουσι τὴν ἐν αὐτῇ περιεχομένην ἤγουν τὴν ἐλάττονα. ἢ πολλάκις ταύτας μὲν τὰς ἐλάττους προτάσεις προτείνουσι καὶ λαμβάνουσι. τὰς δὲ μείζους παραλείπουσι, δι' ὧν τῶν μειζόνων προτάσεων, αὗται αἱ ἐλάττους περαίνονται. ἤγουν συνάγουσι τὰ συμπεράσματα. ἡ γὰρ ἐλάττων πρότασις χωρὶς τῆς μείζονος, συνάγειν οὐ δύναται συμπέρασμα. τὰς μείζονας γοῦν ἐῶντες, ἐρωτῶσιν ἀλλὰ μάταια τὰ μὴ συντελοῦντα εἰς τὸ συμπέρασμα. οἷον ἡ ἡδονὴ κατὰ φύσιν. ἐῶντες γοῦν ἅπαν τὸ κατὰ φύσιν ἀγαθὸν ὅπερ ἐστὶν ἡ μείζων πρότασις, λέγουσιν ἡ ἡδονή, ἀνενόχλητος ζωή. εἶτα συμπεραίνουσιν. ἡ ἡδονὴ ἄρα ἀγαθόν. Δεῖ σε γοῦν ἀνασκέπτεσθαί τι περίεργον καὶ περιττὸν, καὶ μὴ συντελοῦν εἰς τὸ συμπέρασμα ἀληπτέα. καὶ ποίαν τῶν ἀναγκαίων προτάσεων παρέλειπε. καὶ τὴν μὲν παραλειφθεῖσαν ἀναγκαίαν πρότασιν, δεῖ σε θεῖναι καὶ προσλαβεῖν. ἤγουν τὸ πᾶν τὸ κατὰ φύσιν ἀγαθόν. τὰς δὲ μάτην ληφθείσας προτάσεις ἤγουν ὅτι ἡ ἡδονὴ λεία ἐνέργεια. καὶ ὅτι ἡ ἡδονὴ ἀνενόχλητος ζωή, ἐξελεῖν ὡς περιττήν. καὶ τοῦτο τὸ ἐξελεῖν τὰ περιττὰ ὀφείλεις ποιεῖν, ἕως ἂν καταντήσῃς εἰς τὰς δύο προτάσεις τὰς κυρίας συναγούσας τὸ συμπέρασμα. ἄνευ γὰρ τούτων. ἤγουν ἄνευ τοῦ εὑρεῖν τὰς ἀναγκαίας δύο προτάσεις τὰς συνεκτικὰς τοῦ συμπεράσματος, οὐκ ἔστιν ἀναγαγεῖν καὶ ἀναλῦσαι τοὺς λόγους ἤγουν τοὺς συλλογισμοὺς τοὺς ἐρωτηθέντας παρὰ τοῦ προσδιαλεγομένου, ἐν ποίῳ σχήματι συνελογίσθησαν. ἀλλὰ ῥητέον καὶ τὴν μέθοδον δι' ἧς εὑρήσεις τὴν καταλειφθεῖσαν πρότασιν, ἐκ τοῦ συμπεράσματος. τὸ συμπέρασμα καὶ ὑποκείμενον ἔχει καὶ κατηγορούμενον. καὶ ὁ μὲν ὑποκείμενος αὐτοῦ, γίνεται ὑποκείμενος καὶ τῆς ἐλάττονος προτάσεως. ὥστε καὶ ὁ κατηγορούμενος, γίνεται κατηγορούμενος, τῆς μείζονος προτάσεως. εἰ γοῦν εἴπῃ τις τὴν μίαν πρότασιν. τὴν δὲ ἑτέραν παραλείψει καὶ οὕτως ἐπάξει τὸ συμπέρασμα, οἷον πᾶν τὸ κατὰ φύσιν ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἀγαθόν, ἐπεὶ δὲ ὁ ὑποκείμενος τοῦ συμπεράσματος. ἤγουν ἡ ἡδονὴ οὐκ ἔκειτο ἐν τῇ ἐρωτήσει προτάσει τῇ ὅτι ὁ δεῖνα καλλωπιστής. δῆλον ὅτι ἡ μείζων πρότασις κατελείφθη, ἢ ὅτι πᾶς καλλωπιστὴς μοιχός. Ἐνίων μὲν οὖν ῥᾴδιον ἰδεῖν τὸ ἐνδεές. Ἐπὶ τινῶν μὲν συλλογισμῶν τῶν ἐλλιπῶς ἐκφερομένων, ῥᾴδιόν ἐστιν ἰδεῖν τίς ἐστιν ἡ λείπουσα πρότασις. καὶ τὰς προτάσεις εἰς τοὺς ὅρους. καὶ εὑρεῖν τὸν μέσον ὅρον καὶ οὕτω συνιέναι ἐν ποίῳ σχήματι συνελογίσατο. τινὲς δὲ τῶν συλλογισμῶν τῶν ἐλλιπῶς ἐκφερομένων, λανθάνουσι καὶ παραφέρουσιν ἡμᾶς. διὰ τὸ μὴ δύνασθαι ἀπὸ τῆς παραδοθείσης μεθόδου ἀναλῦσαι αὐτούς. τοὺς γὰρ ὅρους τοὺς ἐν τῷ συμπεράσματι, ἔστιν ἰδεῖν ἐν ταῖς ληφθείσαις προτάσεσι κειμένοις. καὶ δοκοῦσι μὲν οὗτοι συλλογίζεσθαι, καὶ συλλογισμοὶ εἶναι. καὶ συνάγειν τι ἀναγκαῖον. ἤγουν συμπέρασμα ἐκ τῶν κειμένων προτάσεων. οὐκ εἰσὶ δὲ συλλογισμοί. διὰ τὸ μὴ συναχθῆναι τὸ συμπέρασμα ἐκ τῶν ληφθεισῶν προτάσεων. ἡ γὰρ ἐλάττων πρότασις ἡ κυρίως συνάγουσα τὸ συμπέρασμα. ἡ λέγουσα ὅτι πάντα τὰ μέρη τῆς οὐσίας οὐσίαι εἰσὶ λείπει. ἐν δευτέρῳ δὲ σχήματι, συλλελόγισται ὁ συλλογισμός. οὕτως. τῆς μὴ οὐσίας ἀναιρουμένης, οὐκ ἀναιρεῖται ἡ οὐσία τοῦτο ἡ μείζων πρότασις. μὴ οὐσίαν δὲ λέγει τὸ συμβεβηκός. εἰ γὰρ ἀναιρεθεῖ τὸ λευκὸν ἀπὸ τοῦ σωκράτους, ὁ σωκράτης οὐκ ἀνῄρηται. πάντα δὲ τὰ μέρη τῆς οὐσίας, οὐσίαι εἰσίν. τοῦτο ἡ ἐλάττων πρότασις εἶτα τὸ συμπέρασμα. τὰ μέρη ἄρα τῆς οὐσίας, οὐκ εἰσὶν οὐκ οὐσίαι ὅπερ ταυτόν ἐστι, τῷ ὅτι τὰ μέρη τῆς οὐσίας οὐσίαι εἰσί. καὶ παρὰ μὲν τῷ φιλοπόνῳ ὁ συλλογισμός, ἐν δευτέρῳ σχήματι ἀνελύθη. παρὰ δὲ τῷ ἀλεξάνδρῳ, ἐν α' οὕτως. τὰ μέρη τῆς οὐσίας ἀναιρεθέντα, συναναιρεῖ τὴν οὐσίαν. τὰ δὲ συναναιροῦντα τὴν οὐσίαν οὐσίαι εἰσί. τὰ μέρη ἄρα τῆς οὐσίας οὐσίαι εἰσίν. εἶτα προσυλλογίζετο τὴν ἐλάττονα πρότασιν. λαβὼν μέσον τὸ ὅλον. τὰ μέρη τῆς οὐσίας

ποιοῦνται πᾶσαν. ἤγουν λαμβάνουσιν ἀεὶ τὸ γένος καὶ διαιροῦσιν αὐτό, ἕως ἂν καταντήσωσιν εἰς ἄτομόν τι. ὃ διαιρῆσαι ἀδύνατον. οἷον, τὸ δίπουν. οὐδὲ τὰς ἐνδεχομένας εὐπορίας. ἤγουν οὐδὲ ὑπολαμβάνοντες καὶ νοοῦντες πόθεν ἐνδέχεται λαβεῖν μέσον ὅρον δι' οὗ συνάξουσιν ὅτι ὁ ἄνθρωπος λογικός. ἀντὶ δὲ τὸ βουλευτικόν, ὁ ἄνθρωπος βουλευτικός. τὸ βουλευτικὸν λογικόν. ὁ ἄνθρωπος ἄρα λογικός. οὐδὲ ἀνασκευάσαι δύναται διὰ τῆς μεθόδου τῆς διαιρετικῆς. τὸ γὰρ οὐδενὶ οὐ δύναται δεῖξαι. ἀλλὰ μόνον τὸ παντί. οὔτε ἠδύνατο διὰ τῆς διαιρετικῆς συλλογίσασθαι ὅτι τόδε ἐστὶν ἴδιον τοῦδε, οὔτε περὶ γένους. ὅτι τόδε ἐστὶ γένος τοῦδε. εἰ δέ τις ἐρεῖ ὡς οὐδὲ ὁ ἀριστοτέλης δύναται ἀποδεῖξαι τὰ γένη τὰ γενικώτατα, ἴστω ὅτι κἂν μὴ ἀποδεικτικῶς δύναται δεῖξαι ταῦτα, ἀλλ' ἐν τοῖς τοπικοῖς παραδίδωσι τόπους καὶ ἀφορμάς. δι' ὧν ἔστι πιστώσασθαι ὅτι τόδε ἐστὶ γένος τοῦδε. οὔτε ἐν οἷς ἀγνοεῖται.
Ἤγουν οὔτε ἀμφίβολα δύναται δεῖξαι ἡ διαιρετική. τὸ γὰρ πότερον ὧδε ἔχει ἡ διάμετρος ἤγουν σύμμετρός ἐστι τῇ πλευρᾷ, ἀμφιβάλλεται. οἴεται δὲ δεικνύναι ἐκ διαιρέσεως τὰ φανερά. ὡς ὅτι ὁ ἄνθρωπος λογικός. ἀλλὰ καὶ ταῦτα τὰ φανερὰ αἰτεῖται ἤγουν ἀναποδείκτως λαμβάνει. φανερὸν οὖν ὅτι ὁ τρόπος καὶ ἡ μέθοδος τῆς ζητήσεως τῆς διαιρετικῆς, οὐ χρήσιμός ἐστι πρὸς πᾶσαν σκέψιν παντὸς προβλήματος. οὔτε γὰρ τῶν γενικωτάτων γενῶν ἀπόδειξιν δύναται ποιῆσαι, οὔτε τῶν συμβεβηκότων, οὔτε τῶν ἰδίων, οὔτε τῶν ὁρισμῶν. κἂν ἐκεῖνοι οἴονται ταῦτα ἀποδεικνύναι διὰ τῆς διαιρέσεως. ἀλλ' οὐδὲ ἃ δοκεῖ πρέπειν συλλογίζεσθαι καὶ ἀποδεικνύναι, χρήσιμος ἔσται εἰς ἀπόδειξιν αὐτῶν. ἐκ τίνων μὲν οὖν αἱ ἀποδείξεις γίνονται ἤγουν ἐξ ἀληθῶν. καὶ πῶς ἄγε ἡ μείζων πρότασις περιέχει τὴν ἐλάττονα. καὶ εἰς τίνα τῆς καταγραφῆς βλέποντες συνάξομεν ἕκαστον πρόβλημα.

Περὶ ἀναλύσεως συλλογισμῶν.

Σκοπὸν ἔχων περὶ τῆς συλλογιστικῆς μεθόδου διδάξαι. εἰς γ' τμήματα τὴν περὶ ταύτης πραγματείαν διῄρησε. καὶ ἐν μὲν τῷ α' τμήματι ὃ καὶ τρία σχήματα ἐκάλεσεν, ἐδίδαξε περὶ τῆς γενέσεως τοῦ συλλογισμοῦ. ἤγουν πῶς γίνεται ὁ συλλογισμός. εἴπερ ἐκ δύο προτάσεων καὶ συμπεράσματος τὸν συλλογισμὸν ἀπαρτίζεσθαι. συνυπάγεται δὲ τῷ α' τμήματι καὶ αἱ μίξεις. ἐν δὲ τῷ δευτέρῳ ὃ ἐκάλεσε περὶ εὐπορίας προτάσεων, παρέδωκε μέθοδον ἐφευρετικὴν τῶν προτάσεων. ἐν δὲ τῷ τρίτῳ τμήματι ὃ καὶ περὶ ἀναλύσεως συλλογισμῶν ἐπέγραψε, διδάσκει πῶς εὑρόντες συλλογισμὸν ἔν τισι λόγοις τῶν παλαιῶν. ἢ καὶ τοῦ προσδιαλεγομένου ἡμῖν προτείναντος συλλογισμόν, δυνάμεθα ἀναλύειν αὐτὸν καὶ ἀνάγειν εἰς ἓν τῶν τριῶν σχημάτων. ἤγουν εὑρίσκειν ἐν τίνι τῶν σχημάτων συλλελόγισται. εἴτε ἐν α'. εἴτε β' εἴτε ἐν γ'. ἀνάλυσις δέ ἐστιν, εὕρεσις τοῦ μέσου. ἀναλύομεν γὰρ ὃν εὕρωμεν συλλογισμὸν εἰς τὰς β' προτάσεις. ἐξ ὧν συνήχθη τὸ συμπέρασμα. ταύτας δὲ ἀναλύομεν εἰς τρεῖς ὅρους ἐξ ὧν καὶ σύγκεινται. εἶτα ἀναψηλαφῶμεν τίς τῶν τριῶν ὅρων μέσος λαμβάνεται. καὶ εἰ μὲν οὗτος ὁ εὑρεθεὶς μέσος ὅρος τῷ μὲν μείζονι ὅρῳ ὑπόκειται τοῦ δὲ ἐλάττονος κατηγορεῖται, εὕρωμεν ἐν πρώτῳ σχήματι συναχθῆναι τὸν συλλογισμόν. εἰ δὲ ἀμφοτέρων κατηγορεῖται τῶν ἄκρων, δῆλον ὡς ἐν δευτέρῳ σχήματι συνήχθη. εἰ δὲ ἀμφοτέροις τοῖς ἄκροις ὑπόκειται, διὰ τοῦ τρίτου σχήματος γέγονε ὁ συλλογισμός. ἀρκτέον δὲ τῆς προκειμένου ἐξηγήσεως. Μετὰ ταῦτα δὲ πῶς ἀνάξομεν τοὺς συλλογισμοὺς εἰς τὰ προειρημένα σχήματα, λεκτέον. Ἤγουν μετὰ τὸ διδάξαι περὶ γενέσεως συλλογισμοῦ. καὶ μετὰ τὸ παραδοῦναι μέθοδον ἐφευρετικὴν τῶν προτάσεων, δεῖ εἰπεῖν πῶς ἀνάξομεν καὶ ἀναλύσομεν εἰς τὰ προειρημένα σχήματα, τοὺς συλλογισμοὺς τοὺς εὑρισκομένους ἔν τισι λόγοις τῶν παλαιῶν. ἢ καὶ τοὺς προτεινομένους παρὰ τοῦ προσδιαλεγομένου ἡμῖν. τὸ γὰρ λοιπόν. ἤγουν τὸ ὑπόλοιπον καὶ τὸ καταλειφθὲν ἀπὸ τῆς σκέψεως καὶ τῆς διδασκαλίας τῆς συλλογιστικῆς μεθόδου, τοῦτό ἐστι. τὸ παραδοῦναι μέθοδον δι' ἧς δυνήσῃ ἀναλύειν καὶ εὑρίσκειν ἐν τίνι τῶν σχημάτων συλλελόγισται ὁ προτεθεὶς συλλογισμός. εἰ γὰρ θεωροῦμεν καὶ γινώσκομεν τὴν γένεσιν τῶν συλλογισμῶν. ἤγουν πῶς ὁ συλλογισμὸς γίνεται, ἔχοιμεν δὲ καὶ δύναμιν τοῦ εὑρίσκειν τὰς προτάσεις. ἐξ ὧν ὁ συλλογισμὸς συνάγεται, ἔτι δὲ καὶ εἰ δυνάμεθα ἀναλύειν τοὺς γεγενημένους συλλογισμοὺς παρά τινων τῶν σοφῶν καὶ παλαιῶν εἰς ἓν τῶν προειρημένων σχημάτων, τέλος ἔχει ἡ ἐξ ἀρχῆς πρόθεσις. ἤγουν πεπλήρωται ὁ προτεθεὶς ἡμῖν σκοπός. τίς δ' οὗτός ἐστιν, τὸ περὶ τῆς συλλογιστικῆς μεθόδου διδάξαι. συμβαίνει δὲ καὶ ἐξ ὧν μέλλομεν διδάξαι, βεβαιῶσαι τὰ προειρημένα ἡμῖν. καὶ φανερῶσαι ὅτι οὕτως ἔχουσι καὶ οὐκ ἄλλως. δείκνυται γὰρ ἐν τοῖς τρισὶ σχήμασι καὶ ἐν τῷ περὶ εὐπορίας προτάσεων, ὅτι τρία σχήματά εἰσι καὶ οὐ πλείονα. ἡ γὰρ ἀλήθεια ὁμολογουμένη ἐστίν. ἤγουν σύμφωνος αὐτὴ ἑαυτῇ καὶ οὐ παραλλάττουσα. εἰ γὰρ καὶ ἐν τοῖς τρισὶ τμήμασι δείκνυται ὅτι γ' σχήματά εἰσι, τίς χατερεῖ πλείονα τούτων εὑρίσκεσθαι. Πρῶτον μὲν οὖν δεῖ πειρᾶσθαι. Ἐντεῦθεν ἡ μέθοδος ἡ διδάσκουσα τὴν ἀνάλυσιν. ἐὰν προτεθῇ συλλογισμός, σπούδαζε εὑρεῖν τὰς προτάσεις ἐξ ὧν συνήχθη. ῥᾷον δέ ἐστιν εὑρεῖν τὰ μείζω. ἤγουν τὰς β' προτάσεις, παρὰ τὰ ἐλάττω. ἤγουν τοὺς τρεῖς ὅρους ἐξ ὧν αἱ προτάσεις σύγκεινται. ἐκάλεσε δὲ τὰς δύο προτάσεις μείζους τοὺς δὲ τρεῖς ὅρους ἐλάττους. διότι τὸ πλῆθος καὶ ὁ ἀριθμός, ἐναντίως ἔχει τῇ διαιρέσει τοῦ μεγέθους. πᾶν γὰρ μέγεθος δίχα διαιρούμενον, εἰς δύο μέγιστα μόρια διαιρεῖται. τὰ δὲ δύο τοῦ μεγέθους εἰσὶ μόρια μέγιστα. τοῦ δὲ ἀριθμοῦ ἐλάττονα.

ρετικὴν ἀσθενῆ συλλογισμὸν διότι οὐκ ἀποδείκνυσιν ὃ πρόκειται ἀποδειχθῆναι· ἀλλὰ τοῦτο μὲν λαμ-
βάνει ὡς ὁμολογούμενον· ἀποδείκνυσι δὲ ἕτερον· εἰ γὰρ πρόκειται ἀποδεῖξαι ὅτι ὁ ἄνθρωπος λογικός,
λαμβάνει τὸ γένος ἀναποδείκτως καὶ ὡς ὁμολογούμενον· ὅτι ὁ ἄνθρωπος ζῶον· πᾶν ζῶον ἢ λογικὸν ἢ
ἄλογον· πᾶς ἄρα ἄνθρωπος λογικὸς ἢ ἄλογος· καὶ τοῦτο μὲν συλλογίζεται καὶ συμπεραίνει· τὸ δὲ ὅτι λο-
γικὸς ὁ ἄνθρωπος, λαμβάνει ὡς ὁμολογούμενον, οὕτως· ἀλλὰ μὴν ἄλογος οὐκ ἔστι· λογικὸς ἄρα· καὶ
πάλιν μέλλοντες δεῖξαι τὴν διάμετρον ἀσύμμετρον τῇ πλευρᾷ, συλλογίζονται, οὕτως· ἡ διάμετρος καὶ
ἡ πλευρά, μεγέθη ἐστί· πᾶν δὲ μέγεθος, ἢ σύμμετρόν ἐστι μεγέθει τινὶ ἢ ἀσύμμετρον· ἡ διάμετρος ἄρα τῇ
πλευρᾷ ἢ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος· καὶ τοῦτο μὲν συνελογίσατο· λαμβάνει δὲ ἀσυλλογίστως ὡς ὁμο-
λογούμενον, ὃ πρόκειτο μᾶλλον ἀποδειχθῆναι. Ἔτι ἀσθενῆ συλλογισμὸν καλεῖ τὴν διαιρετικὴν ὡς
μόνον συλλογιζομένην, τὸ παντί· μὴ δυναμένην δὲ καὶ τὸ οὐδενὶ καὶ τὸ οὐ παντὶ καὶ τὸ τινὶ συλλογίζε-
σθαι· καὶ ὅτι μόνα τὰ οὐσιωδῶς ὑπάρχοντα τοῖς πράγμασι δείκνυσιν· ὡς τῷ ἀνθρώπῳ τὸ λογικόν· τὸ
θνητὸν καὶ τὰ τοιαῦτα· τὰ δὲ κατὰ συμβεβηκὸς ὑπάρχοντα τοῖς πράγμασι καὶ τὰ ἴδια· καὶ ὅτι τόδε
τοῦδε γένος ἐστίν, ἀποδεῖξαι οὐ δύναται· ἀλλ᾽ οὐδὲ τοὺς ὁρισμοὺς ἀποδείκνυσιν. Ὁ μὲν γὰρ δεῖ δεῖξαι
ἤγουν ὅτι ὁ ἄνθρωπος λογικός, αἰτεῖται ἤγουν λαμβάνει ὡς ὁμολογούμενον· συλλογίζεται δέ τι τῶν
ἄνωθεν ἤγουν συνάγει συμπέρασμα τὸ καθολικώτερον τοῦ λογικοῦ· ἤγουν τὸ πᾶς ἄνθρωπος ἢ λογικός
ἐστιν ἢ ἄλογος· καὶ πρῶτον μὲν λανθάνει αὐτοὺς τοὺς χρωμένους αὐτῇ τῇ διαιρετικῇ μεθόδῳ, ὅτι τὸ μὲν
προκείμενον εἰς ἀπόδειξιν, λαμβάνουσιν ὡς ὁμολογούμενον· ἄλλο δὲ συμπέρασμα συνάγουσι· καὶ ἔ-
παθον πάντας ὡς δυνάνται διὰ τῆς διαιρετικῆς ἀποδεῖξαι τὴν οὐσίαν· εἶτα ἑρμηνεύων τίνα λέγει
οὐσίαν, λέγει καὶ τὸ τί ἐστιν ἤγουν τὸν ὁρισμόν· ὁ γὰρ ὁρισμός ἐστιν οὐσία ἑκάστου πράγματος· εἰ δὲ βού-
λει νόησον τοῦτο καὶ οὕτως· ἔπαθον πάντας ὡς δύνανται ἀποδεικνύναι τὴν οὐσίαν· ἤγουν τὸ γενικώ-
τατον γένος ὅτι ἡ οὐσία γένος ἐστὶ τοῦ ζώου καὶ τὸ τί ἐστιν· ἤγουν πρὸς δὲ καὶ δεικνύναι τοὺς ὁρισμοὺς ὅτι
τόδε ἐστὶν ὁ ὁρισμὸς τοῦδε· ὥστε οὔτε ξυνίεσαν καὶ ἐνόουν διαιρούμενοι, ἤγουν χρώμενοι τῇ διαιρετικῇ
μεθόδῳ, τί ἐνδέχεται συλλογίσασθαι δι᾽ αὐτῆς· οὐδὲ γὰρ τῶν γενικωτάτων γενῶν ἐστιν ἀπόδειξις· οὐδὲ
τῶν ὁρισμῶν· οὔτε μὴν ἐνόουν ὡς οὐκ ἐνδέχεται ἄλλως γενέσθαι συλλογισμόν, ἀλλ᾽ ἢ οὕτως ὡς ἡμεῖς
περιειλήκαμεν· ἔτι δὲ καὶ ἀτέχνως συλλογίζονται· ἐν γὰρ ταῖς συλλογισμοῖς· ὁ μέσος ὅρος ἐλάττων ὀφεί-
λει εἶναι τοῦ α τῶν ἄκρων· ἤγουν τοῦ μείζονος· οἱ δὲ χρώμενοι τῇ διαιρέσει εἰς ἀπόδειξιν, τὸν μέσον ὅρον
λαμβάνουσι καθολικώτερον τοῦ μείζονος· ὁ μὲν συλλογισμός ἐστιν· ἤγουν συνελογίσατο μὲν καὶ συνε-
πέρανεν· ὅτι πᾶν τὸ δ ἤγουν πᾶς ἄνθρωπος ἢ β ἐστὶν ἢ γ· τουτέστιν ἢ θνητὸς ἢ ἀθάνατος· καὶ τοῦτο μὲν
ἐξ ἀνάγκης συνάγουσι τὸ πάντα ἄνθρωπον εἶναι θνητὸν ζῶον ἢ ἀθάνατον· ὅτι δὲ πᾶς ἄνθρωπος θνητός
ὃ προέκειτο δεῖξαι καὶ συλλογίσασθαι, οὐκ ἀναγκαῖον· ἤγουν οὐκ ἐξ ἀνάγκης τῆς συλλογιστικῆς μεθό-
δου συνάγεται ἀλλ᾽ αἰτεῖται· ἤγουν ὡς ὁμολογούμενον λαμβάνεται· καὶ πάλιν λέγει· πᾶς ἄνθρω-
πος ζῶον θνητόν· πᾶν δὲ ζῶον θνητόν, ἢ ἄπουν ἢ ὑπόπουν· ὥστε συμπεραίνει ἐξ ἀνάγκης διὰ τῆς συλλο-
γιστικῆς μεθόδου, ὅτι πᾶς ἄνθρωπος ζῶον ὑπόπουν ἢ ἄπουν ἐστίν· ὅτι δὲ πᾶς ἄνθρωπος ὑπόπουν ἐστὶν ὃ
ἔδει μᾶλλον δεῖξαι, οὐκ ἀνάγκη ἤγουν οὐ δι᾽ ἀνάγκην τῆς συλλογιστικῆς μεθόδου λαμβάνει· ἀλλὰ λαμ-
βάνει ὡς ὁμολογούμενον· καὶ πάλιν λέγει· πᾶς ἄνθρωπος ζῶον ὑπόπουν· πᾶν δὲ ζῶον ὑπόπουν, ἢ δί-
πουν ἐστὶν ἢ τετράπουν· εἶτα συμπεραίνει πᾶς ἄνθρωπος ἢ δίπους ἐστὶν ἢ τετράπους· ἀλλὰ μὴν τετράπους
οὐκ ἔστιν· δίπους ἄρα· συμβαίνει γοῦν τοῖς διαιρουμένοις τοῦτον τὸν τρόπον· ἤγουν τοῖς συλλογιζομένοις
διὰ τῆς διαιρέσεως, τὸ μὲν καθολικώτερον λαμβάνειν μέσον ὅρον ἤγουν τὸ ζῶον· ἄκρα δὲ λαμβάνει
τὸν ἄνθρωπον· καθ᾽ οὗτινος ἔδει δεῖξαι τὸ λογικὸν ἢ τὸ θνητὸν κατηγορεῖσθαι· μεῖζον δὲ ἄκρον, τὰς διαφοράς·
τὸ θνητὸν καὶ τὸ ἀθάνατον· καὶ οὕτω μὲν ἰδίᾳ συνάγοντες οἱ διαιροῦντες ὅτι ὁ ἄνθρωπος λογικός· καὶ ἰδίᾳ ὅτι
θνητός· καὶ ἰδίᾳ ὅτι δίπους, τελευταῖον μιγνύουσι ταῦτα μετὰ τοῦ γένους· καὶ οἴονται ὅτι τοῦτο τὸ ζῶον
λογικὸν θνητὸν δίπουν, ἔστιν ὁρισμὸς τοῦ ἀνθρώπου· ἢ ὅτι ποτ᾽ ἂν εἴη τὸ ζητούμενον· ἤγουν ὅτι τοῦτο ἐστὶν
ὁρισμὸς τοῦ ἵππου ἢ τοῦ βοός· εἴγε πρόκειται εἰς ἀπόδειξιν, ὅτι τὸ ζῶον ἄλογον χρεμετιστικὸν ὁ ὁρισμὸς
τοῦ ἵππου ἐστίν· μηδὲν λέγοντες σαφὲς καὶ ἀληθές· μήτε μὴν ἀναγκαῖον· οὐ γὰρ τὰ ἰδίως κατηγορού-
μενα κατά τινος, δύνανται καὶ ὁμοῦ κατ᾽ αὐτοῦ κατηγορεῖσθαι· κατὰ γὰρ τοῦ σίμωνος, ἀληθῶς κατηγο-
ρήσεις ἰδίᾳ τὸ σκυτεύς· καὶ ἰδίᾳ τὸ ἀγαθός· ὁμοῦ δὲ λαμβανόμενα, οὐ κατηγοροῦνται ἀληθῶς· ψεύ-
δεται γὰρ ὁ λέγων ὅτι ὁ σίμων σκυτεὺς ἀγαθός ἐστι· καὶ ὅτι τὸ λογικὸν καὶ τὸ θνητὸν καὶ τὸ δίπουν, οὐκ
ἀπεδείξαμεν· ἀλλ᾽ ὡς ὁμολογούμενα ἔλαβεν· ἴσως δέ τις ἐρεῖ πῶς ὁ ἀριστοτέλης φησὶ τοὺς διὰ τῆς διαι-
ρέσεως ἀποδεικνῦντας λαμβάνειν τὸν μέσον ὅρον καθολικώτερον τοῦ μείζονος ἄκρου· καὶ μὴν ὁ μεῖ-
ζων ὅρος ἤγουν τὸ β καὶ τὸ γ τὸ θνητὸν δηλονότι καὶ τὸ ἀθάνατον, ἐξισάζει τῷ μέσῳ· τουτέστι τῷ ζώῳ·
καί φαμεν ὅτι ἀποβλέψας πρὸς τὸ προκείμενον, εἰς ἀπόδειξιν· τὸ ὅτι ὁ ἄνθρωπος λογικὸς· θνητός, εἶπε
λαμβάνειν τὸν μέσον ὅρον καθολικώτερον τοῦ μείζονος· ὁ γὰρ ἐπὶ τοῦ συμπεράσματος κατηγορούμενος,
οὗτός ἐστιν ὁ μείζων ὅρος ἐν τῷ συλλογισμῷ· ὥστε τὸ ζῶον καθολικώτερόν ἐστι, τοῦ λογικοῦ καὶ τοῦ θνη-
τοῦ· ἃ προέκειτο ἀποδειχθῆναι κἂν ὡς ὁμολογούμενα ταῦτα ἔλαβεν. Καὶ γὰρ τὴν ἄλλην ὁδὸν

μένων τὰ κυρίως ἐνδεχόμενα. τὰ μὴ ὑπάρχοντα μὲν, δυνατὸν δὲ γενέσθαι. γίνεται γὰρ καὶ διὰ τούτων τῶν κυρίως ἐνδεχομένων συλλογισμός. καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν ἤγουν τρόπων. τοῦ τε καλῶς καὶ τοῦ δυνατοῦ. καὶ τοῦ ἐπαινετοῦ ὁμοίως ἔχει. ἤγουν εἰς τὰ αὐτὰ ὀφείλει ἀποβλέπειν τῆς καταγραφῆς καὶ ἐπὶ τούτων. ἀλλ' ὅμως λέλαθε. γέγραπται ὅτι τὰ καθόλου διὰ τῆς κατὰ μέρος ἐπιβλέψεως, συλλογίζονται ἐξ ὑποθέσεως. τὸ δὲ ἐξ ὑποθέσεως, οὐ δηλοῖ τὸ ὑποθετικῶς, ἀλλὰ τὸ καθ' ὑπόθεσιν. ἤγουν εἰ καθ' ὑπόθεσιν ἐν τοῖς ἡ καταγέγραπται ἴδιον. ᾗ τινι μόνον τὸ ε ὑπάρχει. ἐν γὰρ τῇ καταγραφῇ, καὶ τὰ ἴδια καταγράφομεν καὶ τοὺς ὁρισμούς. καὶ οἷς ἕπεται ἕκαστον. ἤγουν ὅ τε κατηγορούμενος καὶ ὁ ὑποκείμενος. ἡ μὲν οὖν ὁδὸς καὶ ἡ μέθοδος ἡ εὑρετικὴ ἡ τοῦ μέσου, ἐπὶ πάντων ἐστὶν ἡ αὐτή. καὶ διὰ τῆς ἐμπειρίας περὶ φιλοσοφίαν, ἐδήλωσε τὰ φυσικὰ προβλήματα. τὰ ἠθικά. καὶ τὰ θεολογικά. διὰ δὲ τῆς ἐμπειρίας τέχνην ὁποιανοῦν, ἐδήλωσεν τὰ ῥητορικὰ καὶ τὰ ἰατρικὰ προβλήματα. διὰ δὲ τῆς ἐμπειρίας μάθημα, ἐδήλωσε τὰ μαθηματικὰ προβλήματα. ἤγουν τὰ γεωμετρικά. τὰ ἀριθμητικά. τὰ μουσικά. δεῖ γὰρ περὶ ἑκάτερον πρόβλημα, ἐκ τοῦ καταγράφειν καὶ τὰ ὑπάρχοντα. καὶ οἷς ὑπάρχει ὅ τε κατηγορούμενος καὶ ὁ ὑποκείμενος. καὶ ταῦτα τὰ προβλήματα συλλογίζεσθαι διὰ τριῶν ὅρων. ἀνασκευάζονται μὲν οὖν συλλογίζεσθαι. ἤγουν ἐν τῷ ἀποβλέπειν εἰς τὰ δ' ζ. ἢ εἰς τὰ β' θ'. κατασκευάζονται δὲ οὕτω. ἤγουν ἐν τῷ ἀποβλέπειν εἰς τὰ γ' ζ. καὶ κατὰ ἀλήθειαν μέν. ἤγουν εἰ ἀληθὲς καὶ ἀποδεικτικόν ἐστι τὸ πρόβλημα, λάμβανε καὶ προτάσεις ἀληθεῖς ἀπὸ τῆς καταγραφῆς. εἰ δὲ διαλεκτικός ἐστιν ὁ συλλογισμός, λάμβανε τὰ κατὰ δόξαν. ἤγουν τὰς ἐνδόξους προτάσεις. αἱ δὲ ἀρχαὶ καὶ αἱ προτάσεις τῶν συλλογισμῶν ὃν τρόπον ἔχειν ὀφείλουσιν, εἴπομεν. ἤγουν ἡ μείζων πρότασις ὀφείλει περιέχειν τὴν ἐλάττονα. καὶ πῶς δεῖ θηρεύειν καὶ εὑρίσκειν αὐτὰς τὰς προτάσεις ἀπὸ τῆς καταγραφῆς. ὅπως μὴ ἐπιβλέπωμεν εἰς ἅπαντα τὰ λεγόμενα. ἤγουν τὰ καταγραφόμενα. ἀλλ' εἰς ἐλάττω καὶ ὡρισμένα. οὐδ' εἰς τὴν αὐτὴν μᾶλλον ἀποβλέπειν οὔτε τῷ κατασκευάζειν καὶ ἀνασκευάζειν. ἀλλὰ κατασκευάζειν μὲν τὸ παντὶ, ἀπόβλεπε εἰς τὰ γ' ζ. δεικνύων δὲ τὸ τινὶ, λάμβανε τὰ γ' η. καὶ ἀνασκευάζων μὲν ἀπὸ πάντων. ἤγουν δεικνύων τὸ οὐδενὶ, ταύτιζε τὰ δ' η. τὸ δὲ ἢ τινῶν δηλοῖ, ὅτι δεικνύων τὸ οὐ παντὶ, ταύτιζε τὰ δ' η. Ἐπὶ ἑκάστου δὲ τῶν ὄντων καὶ τῶν προτεθέντων. οἷον εἰ πρόκειται ὅτι ἡ ἐπιστήμη ἀγαθὸν, καταγράφε ἰδίᾳ τὰ ἑπόμενα τῷ ἀγαθῷ. καὶ ἰδίᾳ τὰ ἑπόμενα τῇ ἐπιστήμῃ. καὶ τὰ ἀλλότρια ἀμφοτέρων καὶ τὰ οἷς ἕπονται. καθ' ἑκάστην δὲ ζήτησιν καὶ καθ' ἕκαστον πρόβλημα, αἱ πλείους τῶν προτάσεων εἰσὶν ἴδιαι. ἄλλαις γὰρ προτάσεσι χρώμεθα ἐν τῷ φυσικῷ προβλήματι. καὶ ἄλλαις ἐν τῷ γεωμετρικῷ. εἶπε δὲ τὸ, αἱ πλεῖσται, διότι εἰσὶ προτάσεις τινὲς κοιναὶ ἐφαρμόζουσαι παντὶ προβλήματι. ὡς δὴ καὶ καταγραπτέον εἰσὶν, τὸ ἐπὶ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις καὶ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα εἰσί. καὶ εἰ ἀπὸ τῶν ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα εἰσί. Τὰς μὲν οὖν ἀρχὰς τὰς περὶ ἕκαστον πρόβλημα παραδίδωσιν ἡ ἐμπειρία. ἐμπειρία δὲ ἐστὶν, ἡ διὰ τῆς αἰσθήσεως ἐνέργεια. καὶ ὅταν πολλὰς ἐμπειρίας συνάξωμεν καὶ ἴδωμεν τὸ αὐτὸ ὡσαύτως πλειστάκις γινόμενον, συνάγομεν τὸ καθόλου. ἐκ γὰρ τοῦ τὴν ὅρασιν ἡμῶν ἀεὶ διακρίνεσθαι ἐν τῷ ὁρᾶν τὸ λευκὸν, συγκρίνεσθαι δὲ ὁρῶσαν τὸ μέλαν, ἐπισυνάγομεν καθόλου. ὅτι πᾶν λευκὸν, χρῶμα διακριτικὸν ὄψεως. καὶ πᾶν μέλαν, συγκριτικόν. καὶ ὁ ἀστρονόμος ἀπὸ ἐμπειρίας συνάγει τὰς προτάσεις τὰς οἰκείας. Φαινόμενα λέγει τὰς τῶν ἀστέρων ἐπιτηρήσεις. ἰδὼν γὰρ πολλάκις τὸν ἥλιον ἐκλείψαντα ὅταν κατὰ κάθετον γένηται τῆς σελήνης ἔλαβε ὅτι πᾶσα ἔκλειψις τοῦ ἡλίου γίνεται, ὅταν ἡ σελήνη συνοδεύσῃ τῷ ἡλίῳ. καὶ πάλιν ἰδὼν τὴν σελήνην ἐκλείπουσαν ἐν τῷ ἐμπεσεῖν εἰς τὸν κῶνον, ἐπισυνήγαγε τὸ καθόλου. ὅτι πᾶσα ἔκλειψις σελήνη γίνεται ἐμπεσούσης εἰς τὸν κῶνον. ὥστε ἡ ἀστρολογικὴ ἐμπειρία ἐφεύρισκε τὰς προτάσεις τῆς ἀστρολογικῆς ἐπιστήμης. καὶ ὁ ἰατρὸς ἰδὼν πολλάκις τὴν ὑγρὰν δίαιταν ξύμφορον τοῖς πυρέττουσι, συνήγαγε τὸ καθόλου. ὅτι πᾶσα ὑγρὰ δίαιτα, ξυμφέρει τοῖς πυρέττουσι. τῶν ἀληθῶς ὑπαρχόντων τοῖς πράγμασιν. ἤγουν τῷ κατηγορουμένῳ καὶ ὑποκειμένῳ. ἀπὸ τῆς ἐμπειρίας οὐ μέν ἐστιν ἀπόδειξις, ἐδήλωσεν ὅτι οὐ πάντα εἰσὶ ἀποδεικτικὰ ἢ συλλογιστικά. οὔτε γὰρ τῶν γενικωτάτων γενῶν ἐστιν ἀπόδειξις, οὔτε τῶν μερικῶν. οὔτε τῶν ὁρισμῶν. ἀλλὰ μόνων τῶν μέσων. Ὅτι δὲ ἡ διὰ τῶν γενῶν διαίρεσις μικρόν τι μόριόν ἐστι τῆς εἰρημένης μεθόδου, νῦν ἐξυμνεῖ τὴν παρ' αὐτοῦ παραδοθεῖσαν συλλογιστικὴν μέθοδον. ὡς μὴ παρὰ τῶν παλαιῶν γινωσκομένην. αὐτὸς γὰρ ταύτην ἐφεῦρεν. οἱ δὲ παλαιοὶ, μάλιστα ἀποσκώπτει τὸν Πλάτωνα, μέλλοντες ἀποδεῖξαι, τι ἐχρῶντο τῇ διαιρετικῇ μεθόδῳ καὶ ᾤοντο συλλογίζεσθαι διὰ ταύτης καὶ ἀποδεικνύειν τὸ προκείμενον. οὐδὲν γάρ ἐστι διὰ ταύτης ἀποδεικνύειν εἰ καὶ δώσομεν ταύτην συλλογίζεσθαι, ἀλλ' οὐχ αὐτὴν καθ' αὑτήν. ἀλλὰ βοηθουμένην ὑπὸ τῆς παρ' ἡμῶν παραδιδομένης μεθόδου. ἐν πρώτῳ γὰρ σχήματι συλλογίζοιντο οἱ τῇ διαιρετικῇ χρώμενοι πρὸς ἀπόδειξιν. Λέγει δὲ τὴν διαιρετικὴν μικρόν τι μόριον τῆς εἰρημένης μεθόδου. ἤγουν τῆς ἀποδεικτικῆς. εἰ γὰρ καὶ περὶ ταύτης οὔπω ἐδίδαξεν, ἀλλ' ἐν τοῖς τρισὶ σχήμασιν εἶπε, σκοπὸν ἔχειν περὶ ἀποδείξεως διδάξαι. ἧς χάριν καὶ περὶ συλλογισμοῦ ἠναγκάσθη διδάξαι. κατὰ τοῦτο δὲ μικρόν τι συμβάλλεται εἰς τὴν ἀποδεικτικὴν ἡ διαίρεσις. καθὸ οἱ ὁρισμοὶ συνίστανται ἐκ τῆς διαιρετικῆς μεθόδου. ἡ δὲ ἀπόδειξις μέσῳ ὅρῳ χρᾶται τῷ ὁρισμῷ. λέγει δὲ τὴν διαι-

εἰς ἀδύνατον ἀδύνατον ἀπαγωγῇ ὁ συλλογισμὸς τὸ ψεῦδος συνάγεται. γὰρ ὅτι τὸ β΄ τὸ αἰσθητὸν, τινὶ ὑπάρχει τῷ ἑ τῷ λίθῳ. τοῦτο δὲ ψεῦδος. ἀντιστραφείσης δὲ καὶ μεταληφθείσης ταύτης τῆς προτάσεως τῆς ψευδοῦς. τῆς λεγούσης τὸ β΄ τὸ αἰσθητικὸν τινὶ τῷ ἑ ὑπάρχειν ἤγουν τῷ λίθῳ, εἰς τὸ ὅτι τὸ β΄ οὐδενὶ ὑπάρχει τῷ ἑ, ὅπερ ἐστὶν ἀληθὲς, τῆς ἑτέρας προτάσεως τῆς λεγούσης ὅτι τὸ β΄ τὸ αἰσθητικὸν ὑπάρχει παντὶ τῷ α΄ τῷ ζώῳ. μενούσης τῆς αὐτῆς ὡς ἀληθοῦς, δεικτικὸς ἔσται ὁ συλλογισμὸς διὰ τῶν αὐτῶν ὅρων. κατὰ τοῦτο γὰρ διαφέρει ὁ δεικτικὸς τοῦ ἀδυνάτου συλλογισμοῦ, ὅτι ἐν μὲν τῷ δεικτικῷ, καὶ ἀμφότεραι αἱ προτάσεις εἰσὶν ἀληθεῖς. ἐν δὲ τῷ εἰς ἀδύνατον συλλογισμῷ, ψευδῶς μὲν ἔχει ἡ μία πρότασις. ἡ δὲ ἑτέρα ἀληθῶς. φανερὰ δὲ ἔσται ἡ διαφορὰ τούτων, τῶν συλλογισμῶν, διὰ τῶν ἑπομένων. ἤγουν διὰ τῶν μελλόντων ἐφεξῆς καὶ ἔμπροσθεν ῥηθῆναι. ὅτι καὶ περὶ τοῦ ἀδυνάτου πλειότερον μέλλομεν διδάξαι. νῦν δὲ τοῦτο ἐδείξαμεν ὅτι ὁ δεικτικὸς συλλογισμὸς καὶ ὁ τοῦτον συλλογιζόμενος. ἢ τὸ οὐδενὶ ἢ τὸ παντὶ. ἢ ἄλλό τι, εἰς τὰ αὐτὰ ὀφείλει ἀποβλέπειν τῆς καταγραφῆς. κἂν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς πειρᾶται δεῖξαι τὸ παντὶ ἢ τὸ οὐδενὶ, ἢ ἄλλό τι τῶν προβλημάτων. δείξας τοὺς εἰς ἀδύνατον ἀπάγοντας συλλογισμοὺς, διὰ τῆς παραδοθείσης μεθόδου τὸν μέσον ὅρον καὶ τὰς προτάσεις εὑρίσκειν, δεικνύει νῦν καὶ τοὺς κατὰ μετάληψιν ὑποθετικοὺς συλλογισμούς. ἤγουν τοὺς κατὰ πρόσληψιν καὶ τοὺς κατὰ ποιότητα, διὰ τῆς αὐτῆς μεθόδου γινομένους. καὶ κατὰ πρόσληψιν λέγονται, οἱ τὸ ἀλλὰ μὴν ἔχοντες. οἷον εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστιν. ἀλλὰ μὴν ἄνθρωπός ἐστι, καὶ ζῶον ἄρα ἐστίν. εἰ γοῦν τὸ πρὸς κατάληψιν τὸ ἀλλὰ μὴν ἄνθρωπός ἐστι, δείκνυται ὡς ἔμαθες δι᾽ ἑνὸς τῶν κατηγορικῶν συλλογισμῶν. οἱ δὲ κατηγορικοὶ συλλογισμοὶ, διὰ τῆς μεθόδου ταύτης γίνεται, καὶ οἱ κατὰ πρόσληψιν ἄρα ὑποθετικοὶ συλλογισμοὶ, διὰ τῆς μεθόδου ταύτης γίνονται. οἱ δὲ κατὰ ποιότητα ὑποθετικοὶ συλλογισμοὶ, εἰσὶν οὗτοι οἱ ἀπὸ τοῦ μᾶλλον οἷον καὶ ἀνασκευαστικοί εἰσιν. οἷον, εἰ ἡ ὑγίεια μᾶλλον δοκοῦσα ἀγαθὸν παρ᾽ ὃ ὁ πλοῦτος οὐκ ἔστιν ἀγαθὸν, οὐδὲ ὁ πλοῦτος ἄρα. οἱ ἐκ τοῦ ἧττον σκευαστικοί εἰσιν. εἰ ἡ ὑγίεια ἧττον δοκοῦσα ἀγαθὸν παρ᾽ ὃ ἡ ἀρετὴ ἀγαθόν ἐστι, καὶ ἡ ἀρετὴ ἄρα. οἱ ἐκ τοῦ ὁμοίου. οἷον καὶ κατασκευαστικοὶ καὶ ἀνασκευαστικοί εἰσιν. οἷον εἰ ἡ ἰσχὺς καὶ τὸ κάλλος αὐτῆς ἀρεταὶ σώματός εἰσιν. ἔστι δὲ ἡ ἰσχὺς καὶ τὸ κάλλος ἄρα ἀγαθόν. ἢ τοὐναντίον. ἐπεὶ ἄμφω αὐτῆς ἀρεταὶ τοῦ σώματος, οὐκ ἔστιν ἡ ἰσχὺς ἀγαθὸν οὐδὲ τὸ κάλλος ἄρα. ἐν ταῖς ὑποκειμέναις ἐν τοῖς ἐξ ἀρχῆς. Ὑποκειμένας ἐξ ἀρχῆς λέγει τὸ συνημμένον. συνημμένον δὲ λέγεται, διὰ τὸ συνάπτεσθαι τὸ ἡγούμενον τῷ ἑπομένῳ. οἷον εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστι. τοῦτό ἐστι τὸ συνημμένον. οὐ τούτου γοῦν γίνεται ἡ σκέψις τοῦ κατηγορικοῦ συλλογισμοῦ. ἀλλὰ τοῦ μεταλαμβανομένου. ἤγουν τῆς προσλήψεως. ὁ δὲ τρόπος ὁ αὐτὸς τῆς ἐπισκέψεως. ἡ γὰρ ἡ πρόσληψις διὰ τοῦ κατηγορικοῦ συλλογισμοῦ δείκνυται, τὰ αὐτὰ μέλλεις ἐπισκέπτεσθαι καὶ ταυτίζειν ἀπὸ τῆς καταγραφῆς, ὅσα ἐταύτιζες καὶ ἐπὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ. Δεῖ δὲ διελεῖν ποσαχῶς οἱ ὑποθετικοὶ συλλογισμοί. διαιροῦνται γὰρ οἱ ὑποθετικοὶ συλλογισμοὶ, εἰς τὰ κατὰ πρόσληψιν καὶ εἰς τοὺς δι᾽ ὅλου ὑποθετικούς. οἱ τοίνυν δι᾽ ὅλου ὑποθετικοὶ συλλογισμοὶ οὐδὲ κυρίως λέγονται συλλογισμοί. οὐδὲ διὰ τοῦ κατηγορικοῦ συλλογισμοῦ δείκνυνται. διὰ τὸ ἀκολουθεῖν τὰς προτάσεις τῷ συμπεράσματι καὶ τὸ συμπέρασμα ταῖς προτάσεσι. λέγουσι γάρ. εἰ ὁ θεὸς ἀγαθὸς ἀγαθὰ ποιεῖ. εἰ ἀγαθὰ ποιεῖ, ἀΐδια ποιεῖ. εἰ ὁ θεὸς ἀγαθὸς ἀΐδια ποιεῖ. καὶ διὰ τὸ καὶ τὸ συμπέρασμα καὶ τὰς προτάσεις ὑποθετικῶς λαμβάνεσθαι, διὰ τοῦτο οὐδὲ συλλογισμοὶ λέγονται. οὐδὲ χρήσιμός ἐστι πρὸς αὐτοὺς ἡ παροῦσα μέθοδος τῆς καταγραφῆς. Ἕκαστον μὲν οὖν τῶν προβλημάτων. ἤγουν τὸ παντί. τὸ οὐδενὶ καὶ τὰ λοιπὰ, οὕτω δείκνυνται ἐν τῷ ἀποβλέπειν εἰς ἃ εἴπομεν. δεῖν ἀποβλέπειν ἐν τῇ καταγραφῇ. τινὰ δὲ τούτων τῶν προβλημάτων οἷον, τὰ καθόλου τὸ παντὶ καὶ τὸ οὐδενί· συλλογίσασθαι ἔστιν ἐκ τοῦ ἀποβλέπειν εἰς ἃ ἀποβλέπομεν συλλογιζόμενοι τὰ κατὰ μέρος. ἤγουν τὸ τινί. ἢ τὸ οὐ παντί. ἡ γὰρ διὰ τῶν γ΄ ἡ ἐδείκνυτο τὸ τινί. δι᾽ αὐτῶν τούτων δειχθήσεται καὶ τὸ παντί. εἴγε ἐν τοῖς γ΄ ἡ εὑρεθῇ ἴδιόν τι καταγεγραμμένον. οἷον, τὸ γελαστικόν. ἢ τὸ ὀρθοπεριπατητικόν. μόνον γὰρ εἰ ληφθῇ ταῖς ἡ τὸ ἑ ὑπάρχειν, συνάξεις ὅτι τὸ α΄ παντὶ τῷ ἑ. ἤγουν ὅτι τὸ ζῶον παντὶ ἀνθρώπῳ. λαβὼν τὸ γ΄. ἢ γελαστικόν. πάλιν διὰ τῶν δ΄ ἡ συνῆγες τὸ οὐ παντί, διὰ τῶν αὐτῶν συνάξεις ἴδιόν τι καθ᾽ οὗ κατηγορεῖται μόνον τῷ ἑ. ἤγουν ὁ ἄνθρωπος. λάβε τὸ α΄ λίθον. τὸ δὴ γελαστικὸν καὶ τὸ ἑ ἄνθρωπον. γυμνάσας τὸν λόγον ἐπὶ προβλημάτων ὑπαρχόντων. οἷον, ἐπὶ τοῦ παντὶ ὑπάρχοντος. καὶ τοῦ οὐδενὶ καὶ τῶν λοιπῶν, γυμνάζει τὸν λόγον καὶ ἐπὶ τῶν ἀναγκαίων προβλημάτων. καὶ ἐπὶ τῶν ἐνδεχομένων καὶ φησίν. ὅτι εἰς ἃ ἀποβλέπομεν τῆς καταγραφῆς. καὶ συνήγομεν τὸ παντὶ ὑπάρχοντος ἢ τὸ οὐδενὶ εἰς τὰ αὐτὰ μέλλομεν ἀποβλέπειν, καὶ εἰ τὸ παντὶ ἐξ ἀνάγκης ἢ ἐνδεχομένως. ἢ τὸ οὐδενὶ συλλογίσασθαι μέλλομεν. εἰς γὰρ τὴν αὐτὴν τάξιν τῶν καταγραφέντων μέλλομεν ἀποβλέπειν εἴτε τὸ παντὶ συνάγομεν, εἴτε τὸ οὐδενί. τὸ δὲ φανερὸν ὅτι καὶ οὕτως ἐπιβλεπτέον, οὕτω νοητέον. ὅτι συνάγων τὸ παντὶ, μὴ μόνον ἀποβλέπεις εἰς τὰ γ΄ ζ, ἀλλὰ καὶ εἰς τὰ γ΄ ἡ. καὶ συνάγων τὸ οὐδενὶ μὴ μόνον ἀποβλέπεις εἰς τὰ β΄ θ΄, ἢ εἰς τὰ δ΄ ζ, ἀλλὰ καὶ εἰς τὰ δ΄ ἡ. ἔστι γὰρ συλλογίσασθαι τὸ παντὶ καὶ τὸ οὐδενὶ, δι᾽ ὧν συνάγομεν τὸ τινὶ, ἢ τὸ οὐ παντί. ἐπεὶ δὲ τὸ ἐνδεχόμενον σημαίνει καὶ τὸ ὑπάρχον καὶ τὸ ἀνάγκη καὶ τὸ κυρίως ἐνδεχόμενον, διατοῦτο εἴπε τὸ ληπτέον δὲ καὶ ἐπὶ τῶν ἐνδεχο-

τάξαι ἐκ τούτων τὸ οὐ παντί, οὐδὲν διαφέρει τοῦ λαμβάνειν τὸ β' παντὶ τῷ δ. καὶ κατηγορεῖν μὲν τὸ β' κατὰ παντὸς τοῦ α. τὸ δὲ β', ὡς παντὶ τῷ δ, ἀποφάσκειν τοῦ η. τοῦ μερικωτέρου ὄντος τοῦ ε, ὡς ὑποκειμένου. καὶ ἐντεῦθεν συναχθήσεται τὸ α' οὐ παντὶ τῷ ε. εἰ γὰρ τὸ β' παντὶ τῷ δ ἑρᾶς οὐδενὶ ὑπάρχει τῷ ε. ἀλλ' οὐχὶ τῷ η. συνάξεις συμπέρασμα ὅτι τὸ α' οὐδενὶ τῷ ε. ἀλλ' οὐχὶ τὸ οὐ παντί. πάντα γὰρ εἰλήφθαι τὰ μὴ ἐνδεχόμενα τῷ ε' ὑπάρχειν. φανερὸν μὲν οὖν ὅτι ἐξ ἄλλων μὲν τούτων τῶν ἐπιβλέψεων. ἤγουν ἀπὸ τοῦ λαμβάνειν ἕτερα ἢ ἐναντία, οὐδεὶς γίνεται συλλογισμός. διὰ τὸ ἀσυναρτήτους συμβαίνειν εἶναι τὰς προτάσεις. ἐὰν δὲ τὸ β' καὶ τὸ ζ ἐναντία ληφθῶσι, ταυτὸν δὲ τὸ β' τινὶ τῷ δ, καὶ τὸν συλλογισμὸν ἀνάγκη γίνεσθαι διὰ τούτων. ἤγουν ἀπὸ τοῦ ταυτὸν εἶναι τὸ β' δ. ἀλλ' οὐκ ἐκ τοῦ λαβεῖν τὰ ἐναντία. οἱ δὲ ἐπισκοποῦντες καὶ ἀποβλέποντες εἰς τὰ ἐναντία καὶ τὰ ἕτερα συλλογιζόμενοι τὸ οὐδενὶ ἢ τὸ οὐ παντὶ ἢ ἕτερόν τι τῶν προβλημάτων, οἴονται εὑρεῖν ὁδὸν καὶ μέθοδον ἑφευρετικὴν τῶν προτάσεων, ἑτέραν τῆς ἀναγκαίας. ἤγουν τῆς παρ' ἡμῶν παραδοθείσης. διὰ τὸ ἀγνοεῖν ὅτι ἀπὸ τοῦ ταυτὸν εἶναι τὰ β' καὶ τὰ δ, συλλογίζονται. ἀλλ' οὐχὶ ἀπὸ τοῦ λαβεῖν ἐναντία ἢ ἕτερα. Δείξας ὅτι οἱ δεικτικοὶ τουτέστιν οἱ κατηγορικοὶ συλλογισμοὶ οἱ καὶ ἐπ' εὐθείας λεγόμενοι, γίνονται ἐν τῷ ἐκλέγεσθαι τὸν μέσον ἀφ' ἧς εἴπομεν ἐπισκέψεως τῶν καταγραφέντων, δείκνυσιν ὅτι καὶ οἱ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς συλλογισμοί, διὰ τῆς αὐτῆς ἐπισκέψεως τῶν καταγραφέντων ἑπομένων καὶ τῶν ἀλλοτρίων καὶ τῶν λοιπῶν γίνονται. ἐν γὰρ ἀμφοῖν τοῖς τε δεικτικοῖς συλλογισμοῖς φημι. καὶ τῆς διὰ τοῦ ἀδυνάτου ἀπαγωγῆς, εἰς τὰ αὐτὰ ἐπιβλεπτέον. εἴτε τὸ παντὶ δεῖ κατασκευάσθῆναι, εἴτε τὸ οὐδενί. εἴτ' ἄλλο τι τῶν προβλημάτων. ὃ γὰρ δεικτικῶς δείκνυται, τοῦτο καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δειχθήσεται. διά τε τῶν αὐτῶν ὅρων καὶ τῶν αὐτῶν προτάσεων καὶ τοῦ αὐτοῦ μέσου. καὶ ὃ πάλιν διὰ τοῦ ἀδυνάτου δείκνυται, τοῦτο καὶ δεικτικῶς διὰ τῶν αὐτῶν ὅρων δειχθήσεται. οἷον, εἰ δεικτικῶς ἐδείχθη ὅτι τὸ α' οὐδενὶ τῷ ε. ἤγουν τὸ ζῶον οὐδενὶ λίθῳ. ληφθέντος μέσου ὅρου τοῦ β' ἤγουν τοῦ αἰσθητικοῦ ἐν δευτέρῳ σχήματι, τοῦτο τὸ οὐδενὶ δειχθήσεται ἐν πρώτῳ σχήματι, καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ ψεύδεται τὸ ζῶον οὐδενὶ λίθῳ, κείσθω ὅτι ὑπάρχει τινὶ λίθῳ. καὶ ἐπεὶ τὸ β' ἤγουν τὸ αἰσθητικὸν παντὶ τῷ α' τῷ ζώῳ ὑπάρχει. τὸ δὲ ζῶον τινὶ τὸ ε'. κατὰ τὴν ἀντιπίπτουσαν. ἤγουν τῷ λίθῳ, καὶ τὸ β' τὸ αἰσθητικὸν ὑπάρξει τινὶ τῷ ε' ἤγουν τῷ λίθῳ. ἀλλὰ τὸ β' οὐδενὶ ὑπῆρχε τῷ ε'. ἤγουν τὸ αἰσθητικὸν οὐδενὶ λίθῳ ὑπέκειτο. καὶ ἐπεὶ ἀδύνατόν τι συμβαίνει τό, τὸ β' εἶναι καὶ οὐδενὶ τῷ ε' καὶ τινὶ τῷ ε. τὸ δὲ ἀδύνατον συνήχθη ἐκ τοῦ ὑποθεῖναι τὸ α' ὑπάρχειν τινὶ τῷ ε'. ψευδὲς ἄρα τὸ τινὶ τῷ ε' τὸ α' ὑπάρχειν. ἀληθὲς δὲ τὸ οὐδενί. Πάλιν ἐδείχθη κατηγορικῶς διὰ τοῦ γ' σχήματος, ὅτι τὸ α' τὸ δίπουν ὑπάρχει τινὶ τῷ ε. ἤγουν τινὶ ζώῳ διὰ μέσου τοῦ η. ἤγουν τοῦ ἀνθρώπου, τοῦτο δειχθήσεται. καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ ψεύδεται τὸ τινί, ἔστω τὸ α' τὸ δίπουν, μηδενὶ τῷ ε. ἤγουν ζώῳ. τὸ δὲ ε' τὸ ζῶον παντὶ τῷ η. ἤγουν τῷ ἀνθρώπῳ ἐν πρώτῳ σχήματι. καὶ τὸ α' ἄρα τὸ δίπουν, μηδενὶ τῷ ε'. ἤγουν ζώῳ. τὸ δὲ ε' τὸ ζῶον παντὶ τῷ η. ἤγουν τῷ ἀνθρώπῳ ἐν πρώτῳ σχήματι. καὶ τὸ α' ἄρα τὸ δίπουν, οὐδενὶ τῷ η' ὑπάρξει τῷ ἀνθρώπῳ δηλονότι. ἀλλὰ τὸ δίπουν ὑπῆρχε. ἤγουν τὸ α' παντὶ τῷ η. ἤγουν τῷ ἀνθρώπῳ. καὶ ἐπεὶ ἄτοπόν τι συνάγεται τὸ τὸ α' εἶναι τῷ η. καὶ παντὶ καὶ οὐδενί. ἐκ τοῦ ὑποθεῖναι τὸ α' οὐδενὶ τῷ ε', ἀληθὲς ἄρα τὸ τινί. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων τοῦ τε παντὶ καὶ τοῦ οὐ παντί. εἰ γὰρ τὸ α' δείκνυται παντὶ τῷ ε' διὰ μέσου τοῦ γζ, τὸ αὐτὸ τοῦτο δειχθήσεται ἐν τρίτῳ σχήματι, καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. καὶ εἰ τὸ οὐ παντὶ συνήχθη ἐν τρίτῳ σχήματι, διὰ μέσου τοῦ δη, τὸ αὐτὸ τοῦτο δειχθήσεται ἐν πρώτῳ σχήματι, καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἀεὶ γὰρ ἐν ἅπασι προβλήμασιν, ἔσται ἡ διὰ τοῦ ἀδυνάτου δεῖξις, ἐν τῷ ἀποβλέπειν τὸν συλλογιζόμενον, εἰς τὰ ἑπόμενα. καὶ εἰς τὰ οἷς ἕπεται καὶ τὰ ἕτερα τὰ καταγραφέντα. καὶ ἁπλῶς τὸν βουλόμενον συλλογίσασθαι καθέκαστον πρόβλημα. εἴτε τὸ παντί, εἴτε τὸ τινί, εἴτε τὸ οὐδενὶ δεικτικῶς. εἴτε καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, δεῖ ἀποβλέπειν εἰς τὴν αὐτὴν σκέψιν τῶν καταγραφέντων. καὶ γὰρ ἀμφότεραι αἱ ἀποδείξεις αἵ τε διὰ δεικτικοῦ συλλογισμοῦ καὶ αἱ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς γινόμεναι, ἐκ τῶν αὐτῶν ὅρων ἀποτελοῦνται. οἷον, εἰ δείκνυται διὰ τῆς εἰς ἀδύνατον. ὅτι τὸ α' τὸ ζῶον, οὐδενὶ ὑπάρχει τῷ ε' τῷ λίθῳ, διὰ τὸ συμβαίνειν ἐν τῇ εἰς ἀδύνατον δεῖξει, ὅτι τὸ β' τὸ αἰσθητικόν, ὑπάρχει τινὶ τῷ ε' τῷ λίθῳ. ὅπερ ἀδύνατόν ἐστι. δέδεικται δὲ τοῦτο ἐν πρώτῳ σχήματι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, δείξας τὸ αὐτὸ τοῦτο ὅτι τὸ α' οὐδενὶ τῷ ε. καὶ διὰ τοῦ δευτέρου σχήματος δεικτικῶς εἰ λάβῃς τὸ β' τὸ αἰσθητικὸν μηδενὶ τῷ ε' ἤγουν τῷ λίθῳ. τῷ δὲ α' τῷ ζώῳ, παντί. φανερὸν γὰρ ὅτι καὶ τὸ α' τὸ ζῶον, οὐδενὶ τῷ ε' ὑπάρξει τῷ λίθῳ. καὶ ἀντιστρέφει. εἰ δεικτικῶς συνελογίσθη ἐν δευτέρῳ σχήματι. τὸ α' τὸ ζῶον μηδενὶ ὑπάρχειν τῷ ε' τῷ λίθῳ. τοῦτο δείξας καὶ διὰ τῆς εἰς ἀδύνατον ἐν πρώτῳ σχήματι. Ὁμοίως δὲ γίνεται καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων. ἤγουν τοῦ παντὶ καὶ τοῦ οὐ παντί. ἐν ἅπασι γὰρ τοῖς δι' ἀδυνάτου συλλογισμοῖς, ἀνάγκη λαβεῖν κοινόν τινα ὅρον, τὸ β'. ἕτερον ὄντα τῶν ὅρων τῶν ὑποκειμένων ἐν τῷ προβλήματι. ἤγουν τοῦ α' καὶ τοῦ ε. κοινὸν δὲ ὅρον λέγει τὸ β', οὐχ ὡς μέσον. ἀλλ' ὡς λαμβανόμενον καὶ ἐπὶ τῶν δεικτικῶν συλλογισμῶν, καὶ ἐπὶ τῶν δι' ἀδυνάτου. πρὸς ὅντινα τὸν ὅρον τὸν κοινὸν ἤγουν τὸ β', ἔσται ἐν τῷ

τῷ ἐμψύχῳ ἕπεται ἡ οὐσία, ἀναγκη ἕπεσθαι καὶ τῷ αἰσθητικῷ καὶ τῷ ἀνθρώπῳ, τοῖς ὑπ' ἐκεῖνο ἀναγομένοις· ἤγουν τὸ ἔμψυχον. εἰ δὲ μὴ τοῖς καθολικωτέροις ὁ προσδιαλεγόμενος συγχωρήσει τὴν οὐσίαν ἕπεσθαι, ἀλλά γε συγχωρήσει τὴν οὐσίαν ἕπεσθαι τοῖς ὑπ' ἐκεῖνο ἤγουν τὸ λογικόν· τουτέστι τοῖς μερικωτέροις τοῦ λογικοῦ. δῆλον δὲ ὅτι καὶ ἡ παροῦσα σκέψις καὶ διδασκαλία, διδάσκει διὰ τριῶν ὅρων καὶ δύο προτάσεων γίνεσθαι τὸν συλλογισμόν. καὶ δι' ἑνὸς τῶν τριῶν σχημάτων. καὶ ὅτι οὐκ ἐκλεκτέον ὅσα πᾶσιν ἕπεται. Εἰπὼν δὲ ποῖα τῶν καταγεγραμμένων ἀποβλέποντα λάβῃς τὸν μέσον ὅρον ἐν ἑκάστῳ προβλήματι, νῦν διδάσκει καὶ ποῖα τῶν καταγεγραμμένων ἄχρηστα ἐστὶ πρὸς εὕρεσιν τοῦ μέσου καὶ φησίν· οὐδεὶς ἀποβλέπειν. εἰς τὰ ἑπόμενα τῷ α' καὶ τῷ ε'. διὰ τὸ λαβεῖν ἐξ αὐτῶν μέσον ὅρον. διότι μέσου ὅρου ἐξ αὐτῶν ληφθέντος, ἀσυλλόγιστον γίνεται τὸ σχῆμα. ἐν δευτέρῳ σχήματι ἔχον τὰς δύο καταφατικάς. καὶ ἐξ αὐτῶν οὐ συναχθήσεται τὸ παντί. ἀλλ' οὐδὲ ἀποστερεῖν ἐνδέχεται. ἤγουν ἀλλ' οὐδὲ τὸ οὐδενὶ δείξεις. διὰ τὸ συνάγεσθαι τὸ οὐδενὶ ἐκ μιᾶς προτάσεως καταφατικῆς. τῆς δὲ ἑτέρας ἀποφατικῆς. οὐδ' οἷς ἕπεται τὸ α' καὶ α' μηδὲ, ἐνδέχεται τὸ ε'. ἕπεται τὸ α' τοῖς γ'. καὶ τὸ θ' οὐχ ὑπάρχει τῷ ε' ἀλλότριον γάρ. εἰ γοῦν ἀπὸ τῶν γ' θ' ἐκλέξῃ τὸν μέσον ὅρον ποιήσεις πρῶτον σχῆμα. ἔχον τὴν μείζονα καθόλου καταφατικήν. τὴν δὲ ἐλάττονα ἀποφατικήν. οὐδὲ ἀπὸ τῶν δ' θ' ἐκλέξῃ τὸν μέσον. διὰ τὸ γίνεσθαι σχῆμα πρῶτον ἢ β' ἔχον τὰς δύο ἀποφατικάς. Δῆλον δὲ καὶ ὁποῖα ταυτὰ ληπτέον κατὰ τὴν ἐπίβλεψιν. καὶ ὁποῖα ἕτερα ἢ ἐναντία. τινὰ τῶν ἀντιγράφων οὕτως ἔχουσι γεγραμμένον τὸ κείμενον. καὶ νοητέον τοῦτο οὕτως. πορισμά τι συνάγεται ἐξ ὧν εἴρηται. εἰ γὰρ φησὶ ἐδείξαμεν τίνα τῶν καταγεγραμμένων ταυτίζονται, ἔχομεν λοιπὸν καὶ τίνα εἰσὶν ἕτερα ἢ ἐναντία. εἰ γὰρ τὰ γ' ζ' ταυτίζομεν δι' ὧν συνάγομεν τὸ παντί, ἔσται τὸ δ' ζ' ἐναντίον ἢ ἕτερα. εἰ γὰρ τὸ δ' ἀλλότριον τοῦ γ', λοιπὸν ἄρα καὶ τοῦ ζ'. καὶ εἰ τὸ γ' καὶ τὸ θ' ταυτὸν, ἔσται καὶ τὸ δ' τὸ ἀλλότριον τοῦ γ', ἕτερον τοῦ θ' ἢ ἐναντία. καὶ εἰ τὸ γ' ἢ ταυτὸν, ἔσται τὸ γ' τοῦ θ' ἕτερον καὶ τὸ η' τοῦ δ'. ἀλλ' αὕτη μὲν ἡ γραφὴ, οὐκ ἔχει τὸ ὑγιές. διὰ τὸ μὴ συνάγειν τοῖς ἐφεξῆς ῥηθησομένοις. ἡ δὲ ἑτέρα γραφὴ ἡ ἔχουσα καὶ οὐχ ὁποῖα ἕτερα ἢ ἐναντία. κρείττων ἐστί. νοεῖται δὲ οὕτως. ἐν ᾧ ἐπιβλέπειν εἰς τὰ καταγεγραμμένα. καὶ παραδηλοῦται ἐξ ἑκατέρων τῶν μέσων τὰ ταυτιζόμενα ὀφείλομεν λαμβάνειν μέσον ὅρον. καὶ οὐχ ὁποῖά εἰσι ἕτερα ἢ ἐναντία. ὁ γὰρ μέσος ὅρος, εἷς ὀφείλει εἶναι. δι' οὗ τὰ ἄκρα συνάγομεν ἐν τῷ συμπεράσματι. εἰ δὲ ἐν τῷ μέσῳ ὅρῳ λάβῃς ἕτερα ἢ ἐναντία, ἀσυνάρτητοι γίνονται αἱ προτάσεις, καὶ μηδεμίαν κοινωνίαν πρὸς ἀλλήλας ἔχουσαι. ὡς τὸ ὁ ἄνθρωπος δίπους ἐστί. ἔστι δὲ καὶ ὁ ἵππος τετράπους. ἀπὸ δὲ ἀσυναρτήτων προτάσεων συλλογισμὸς οὐ γίνεται. εἶτα καὶ ἐν ὅσοις συμβαίνει γίνεσθαι συλλογισμόν. ἐνταῦθα μέλλει ἐξυμνῆσαι τὴν παραδέδωκε μέθοδον. τὴν ἐφευρετικὴν τοῦ μέσου καὶ τῶν προτάσεων. μονονουχὶ λέγων τοῦτο ὡς οὐ δυνατὸν ἄλλην τινὰ μέθοδον ἐφευρεῖν. δι' ἧς ἡ τοῦ μέσου καὶ τῶν προτάσεων εὕρεσις γίνεται. εἰ γὰρ τινὲς παρόντα λαμβάνειν τὰ ἐναντία ὡς τὸ λευκὸν καὶ τὸ μέλαν. ἢ τὰ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν ὡς τὰ ἕτερα. τουτέστι τὸ αἰσθητὸν τὸ ἀναίσθητον, πρῶτον μὲν συλλογισμὸν οὐ ποιήσουσι. διὰ τὸ συμβαίνειν τὰς προτάσεις ἀσυναρτήτους γίνεσθαι. εἰ δὲ συλλογίζονται ἀλλ' οὐ διὰ τὸ λαβεῖν ἕτερα ἢ ἐναντία συνελογίσαντο ὡς ἐκεῖνοι ᾤοντο, ἀλλὰ διὰ τὸ ἐμπίπτειν εἰς τοὺς προειρημένους ἅπαντας τρόπους ἐξ ὧν εἴπομεν τὸν μέσον ὅρον καὶ τὰς προτάσεις εὑρίσκεσθαι. οἷον, εἰ τὸ β' καὶ τὸ ζ' λαμβάνουσιν ἐναντία ἢ μὴ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν. ἤγουν ἢ ἕτερα λαμβάνουσι τὸ β' καὶ τὸ ζ', ἔσται μὲν ὁ συλλογισμὸς τούτων ληφθέντων. ἤγουν ἐναντίων ἢ ἑτέρων ληφθέντων. ἀλλ' οὐκ ἐξ αὐτῶν. τουτέστιν ἀλλ' οὐ διὰ τὸ λαβεῖν ἐναντίον ἢ ἕτερα, τὸν συλλογισμὸν ἐποίησαν, ἀλλὰ διὰ τὸν προειρημένον τρόπον. ἤγουν ἀλλὰ διὰ τὴν παραδοθεῖσαν μέθοδον παρ' ἐμοῦ τὴν ἐφευρετικὴν τοῦ μέσου καὶ τῶν προτάσεων. εἰ γὰρ λαμβάνοντες τὰ β' ζ' καὶ συλλογιζόμενοι, τὸ β' ταυτίζουσι τινὶ τῶν θ'. καὶ ἔστω τὸ μέλαν καὶ τοῦ β' καὶ τοῦ θ'. καὶ ὡς μὲν ἑπόμενον τῷ α', κατηγορηθήσεται κατὰ παντὸς τοῦ α' ἤγουν τοῦ αἰθίοπος. ὡς δὲ καὶ τοῦ θ', εὑρισκόμενον, ἀποφάσκεται τοῦ ε'. καὶ ἔσται τὸ μέλαν οὐδενὶ τῷ ε'. ἀντὶ δὲ τοῦ εἰπεῖν ὅτι οὐδενὶ τῷ ε'. εἶπεν οὐδενὶ τὸ ζ'. ἤγουν τὸ λευκόν. ἑπόμενον ἐστὶ τῷ ε' ἤγουν τῷ κύκνῳ. ἀποφάσκεται δὲ τὸ μέλαν τοῦ λευκοῦ, ἀπαγορευθήσεται λοιπὸν τὸ μέλαν καὶ ἀπὸ τοῦ ε' τοῦ περιεχομένου τῷ ζ'. εἰ δέ τις ταυτίσει τὸ β' τῷ δ', πρῶτον μὲν ὡς μὲν ἑπόμενον κατὰ παντὸς κατηγορηθήσεται τὸ β' τοῦ α'. ὡς δὲ ταυτὸν τῷ δ' ἔσται τὸ β' οὐδενὶ τῷ δ'. καὶ ἐμπίπτομεν εἰς ἀντιστροφὴν, ἄλλως τε κατὰ μόνου τοῦ α' κατηγορηθήσεται. κατὰ δὲ τοῦ ε, ποίαν κοινωνίαν ἔχει τὸ β' ἢ τὸ δ' κατηγορηθῆναι. Πάλιν εἰ τὰ β' καὶ τὸ η' μὴ ἐγχωρεῖ τῷ αὐτῷ παρεῖναι. ἤγουν ἢ ληφθῶσιν ὡς ἐναντία· τὸ μὲν β' λευκόν. τὸ δὲ μέλαν, συμπεραίνεις ὅτι τὸ α' ἤγουν ὁ κύκνος. οὐ παντὶ τῷ ε'. ἤγουν οὐ παντὶ χρώματι. τὸ γὰρ β' ταυτιζόμενον τῷ θ' κατὰ τὸ λευκὸν, ὡς μὲν ἑπόμενον τῷ α' κατηγορηθήσεται κατὰ παντὸς τοῦ α'. ὡς δὲ ταυτὸν τῷ θ', ἔσται τὸ β' οὐδενὶ τῷ ε'. ἀλλ' ὅπως τὸ α' οὐδενὶ τῷ ε' συναχθήσεται. ἀλλ' αὐτὸ οὐ παντί. καὶ λοιπὸν τὸ β' ἔσται οὐδενὶ τῷ ... τῷ ὑποκειμένῳ τῷ ε'. καὶ συμπεραίνεις ὅτι ὁ κύκνος, οὐδενὶ μέλανι. τὸ δὲ μέλαν τινὶ ἐστὶ τῷ ε'. ἤγουν χρώματι. μερικώτερον τὸ η' τοῦ ε' ὡς ὑποκείμενον. καὶ συνάξεις τὸ α' οὐ παντὶ τῷ ε'. ὥστε ἀνάγκη τὸ β' ταυτίζεσθαι τινὶ τῶν θ'. τὸ γὰρ μὴ ἐνδέχεσθαι τὸ β' καὶ τὸ η' τῷ αὐτῷ ὑπάρχειν. ἤγουν τὸ λαβεῖν ἐκείνοις τὰ β' η' ἐναντία. καὶ συ-

καὶ δείξας δι' αὐτοῦ ὅτι τὸ ἀγαθὸν, οὐδεμιᾷ ὑπάρχει ἡδονῇ οὕτως. τὸ ἀγαθὸν οὐδενὶ ἀτελεῖ. τὸ ἀτελὲς πάσῃ κινήσει. τὸ ἀγαθὸν ἄρα, οὐδεμιᾷ κινήσει. ἡ δὲ κίνησις πάσῃ ἡδονῇ, καὶ τὸ ἀγαθὸν ἄρα οὐδεμιᾷ ἡδονῇ. ἡ ἀνάπαλιν γινέσθω σοι ἡ ἀπόβλεψις εἰς τὰ κατὰ γραφέντα. ἀποβλεπτέον γὰρ εἰς τὰ θ᾽ ἃ μὴ ἐνδέχεται παρεῖναι αὐτῷ τῷ ὑποκειμένῳ ἤγουν τῇ ἡδονῇ, ὡς ἀλλότρια. ᾧ τινι ὑποκειμένῳ δεῖ μὴ ὑπάρχειν τὸ ἀγαθόν. οὐδεμιᾷ γὰρ ἡδονῇ βουλόμεθα δεῖξαι τὸ ἀγαθὸν ὑπάρχειν. βλεπτέον δὲ καὶ εἰς τὰ β᾽ τὰ ἑπόμενα τῷ κατηγορουμένῳ ἤγουν τῷ ἀγαθῷ. ὃ ἀγαθὸν βουλόμεθα δεῖξαι μηδεμιᾷ ὑπάρχειν ἡδονῇ. καὶ εἰ εὑρήσεις ἐν τοῖς β᾽ θ᾽ ταυτά τινα, οἷον, τὸ συμφέρον καὶ τὸν πόνον. ὁ γὰρ πόνος ἀλλότριός ἐστι τῆς ἡδονῆς. συμφέρει δὲ τοῖς πονοῦσι περὶ τὸ ἀγαθὸν, λάβε μέσον ὅρον ἐν β᾽ σχήματι, τὸ συμφέρον καὶ τὸν πόνον. καὶ εἰπὲ τὸ συμφέρον καὶ ὁ πόνος, παντὶ μὲν ὑπάρχει ἀγαθῷ. οὐδὲ μιᾷ δὲ ἡδονῇ. τὸ ἀγαθὸν ἄρα οὐδὲ μιᾷ ἡδονῇ. τούτων γὰρ ὄντων τῶν ἀδήλων ὁποτέρων. Ἤγουν ἐν ὁποτέροις τούτων. εἴτε ἐν τοῖς δ᾽ ζ᾽ εἴτε ἐν τοῖς β᾽ θ᾽ εὑρήσεις ταυτὸν, τοῦτον λαβὼν μέσον ὅρον, δείξεις τὸ ἕτερον. ἤγουν τὸ ἀγαθὸν, μηδενὶ θατέρῳ ὑπάρχειν. μηδὲ μιᾷ δηλονότι ἡδονῇ. διὰ μὲν τοῦ δ᾽ ζ᾽ ἐν πρώτῳ σχήματι. διὰ δὲ τοῦ β᾽ θ᾽. ἐν δευτέρῳ. ἐὰν δὲ βούλῃ δεῖξαι τὸ τινὶ μὴ ὑπάρχειν. ἤγουν τὸ οὐ παντί. ὅτι τὸ ἀγαθὸν οὐ πάσῃ ἡδονῇ, βλεπτέον εἰς τὰ η᾽ τὰ ὑποκείμενα τῇ ἡδονῇ. εἰς ὃ ἕπεται τὸ ὑποκείμενον ἤγουν ἡ ἡδονή. ᾗ τινι δεῖ δεῖξαι οὐ πάσῃ ὑπάρχειν τὸ ἀγαθόν. βλεπτέον δὲ καὶ εἰς τὰ δ᾽. ἃ μὴ δυνατὸν αὐτῷ ὑπάρχειν τῷ κατηγορουμένῳ ἀγαθῷ ὡς ἀλλότρια αὐτοῦ. ὃ ἀγαθὸν βουλόμεθα δεῖξαι μὴ πάσῃ ὑπάρχειν τῇ ἡδονῇ. καὶ εἴπερ εὑρήσομεν ταυτὰ ἐν τοῖς δ᾽ η᾽. ὡς τὸ ἀλυσιτελὲς καὶ τὴν ἀπόνοιαν. λάβε ταῦτα μέσον ὅρον ἐν τρίτῳ σχήματι καὶ εἰπέ. τὸ ἀγαθὸν οὐδενὶ ἀλυσιτελεῖ παντὶ ὄντι τῇ ἀπονοίᾳ. ἡ ἡδονὴ παντὶ ἀλυσιτελεῖ. τὸ ἀγαθὸν ἄρα, οὐ πάσῃ ἡδονῇ. ἔδειξας γοῦν διὰ τοῦ δ᾽ η᾽, τὸ ἀγαθὸν ἀνάγκῃ τινὶ μὴ ὑπάρχειν. ἤγουν οὐ πάσῃ ὑπάρχει ἡδονῇ. εἰ δὲ τὸ ζ᾽ καὶ τὸ δ᾽ ταυτὸν, ἤγουν ἐν τοῖς δ᾽ ζ᾽ εὑρήσεις ταυτά τινα συνάξεις διὰ προσυλλογισμοῦ. ἤγουν διὰ συλλογισμοῦ. ἐν πρώτῳ σχήματι. ὅτι τὸ α οὐδενὶ ὑπάρχει τῷ ε. τὸ γὰρ διὰ προσυλλογισμοῦ, ἀντὶ τοῦ ἐκ συλλογισμοῦ νοητέον. προσυλλογισμὸς γὰρ κυρίως ἐνταῦθα οὐκ ἔστι. διὰ τὸ δεῖν τοῦ προσυλλογισμοῦ τὸν ἐλάττονα ὅρον ἕτερον εἶναι τοῦ μέσου. ὡς τὸ ἰατρική, ἐστὶ τοῦ μέθοδος ὁδοποιητική. ἐνταῦθα δὲ ἡ κίνησις καὶ τὸ ἀτελές, ταυτά εἰσιν. Ἐπεὶ γὰρ ἀντιστρέφει ὁ στερητικὸς, τοῦτο εἴρηκε διὰ τὸ δ᾽ ἀποφάσκεσθαι τοῦ ἀγαθοῦ. καὶ διὰ τοῦτο τὸ ἀτελὲς οὐδενὶ ὑπάρχειν τῷ ἀγαθῷ. ἡμεῖς δὲ χρήζομεν λαβεῖν ὅτι τὸ ἀγαθὸν οὐδενὶ ἀτελεῖ. καί φησι. κἂν τὸ ἀτελὲς οὐδενὶ ὑπάρχει τῷ ἀγαθῷ. ἀλλ᾽ ἐπειδὴ οὐδεὶς πρὸς ἑαυτὴν ἀντιστρέφει, εἰπὲ τὸ ἀγαθὸν οὐδενὶ ἀτελεῖ. τὸ δὲ ζ᾽ ταυτὸν ἦν τὸ δ᾽. ὥστε τὸ ἀγαθὸν ἔσται οὐδενὶ τῶν ζ᾽. ἤγουν οὐδεμιᾷ κινήσει. τὸ δὲ ζ᾽ ἡ κίνησις παντὶ τῷ ε ἤγουν τῇ ἡδονῇ. καὶ τὸ ἀγαθὸν ἄρα οὐδεμιᾷ ἡδονῇ. εἰ δὲ τῷ η τὸ β᾽ ταυτόν. ἤγουν εἰ εὑρήσεις ἐν τοῖς β᾽ η᾽ ταυτά τινα ὡς τὴν ὑγίειαν καὶ τὸ αἱρετόν. ἔστι δὲ τὸ μὲν η ὑποκείμενον τῇ ἡδονῇ. τὸ δὲ β᾽ ἑπόμενον τῷ ἀγαθῷ, γίνεται ὁ συλλογισμὸς ὅτι τὸ α ὑπάρχει τινὶ τῷ ε ἀντιστραμμένως. ἤγουν διὰ τῆς ἀντιστροφῆς. ἐξ ὀρθοῦ γὰρ δεικνύεται ὅτι τῷ ε ὑπάρχει παντὶ τῷ α. οἷον ὅτι ἡ ἡδονή, παντὶ ἀγαθῷ. ἀλλ᾽ ἐπειδὴ οὐ τοῦτο μέλλομεν δεῖξαι. ἀλλ᾽ ὅτι τὸ ἀγαθὸν ὑπάρχει τῇ ἡδονῇ, ἀντιστρεπτέον τὸ συμπέρασμα καὶ εἰπέ. εἰ ἡδονὴ παντὶ ἀγαθῷ καὶ τὸ ἀγαθὸν τινὶ ἡδονῇ. ἡ γὰρ πᾶς πρὸς τὴν τις ἀντιστρέφει.

Δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἑκάτερον, εἰς τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα βλέπειν. ἐν μὲν τῇ καταγραφῇ, δεῖ καταγράφειν τὰ προσεχῶς ἑπόμενα, ὡς τῷ ἀνθρώπῳ προσεχῶς ἕπεται τὸ ζῶον. τὰ δὲ ἑπόμενα τῷ ζώῳ. ἤγουν τὸ ἔμψυχον. τὸ αἰσθητικὸν καὶ τὸ σῶμα οὐ καταγραπτέον. εἰ γὰρ τὸ ζῶον τῷ ἀνθρώπῳ ἕπεται, ἀνάγκη καὶ ταῦτα ἕπεσθαι. οὕτως γὰρ οὐδὲ πολλὴ ἡ καταγραφή. καὶ εὐμνημόνευτος γίνεται. ἐν δὲ ταῖς κατασκευαῖς τῶν προβλημάτων τουτέστι τοῦ παντὶ καὶ τοῦ οὐδενί. τοῦ τινὶ καὶ τοῦ οὐ παντί, πειρώμενος λαβεῖν ἐκ τῆς καταγραφῆς μέσον ὅρον, δι᾽ οὗ δείξομεν τὸν ἄνθρωπον οὐσίαν, ληπτέον τὰ καθολικώτερα τοῦ ζώου μέσον ὅρον. ἤγουν τὸ ἔμψυχον. ἢ τὸ αἰσθητικόν. εἰ γὰρ διὰ τῶν καθόλου ἤγουν τοῦ ἐμψύχου ἢ τοῦ αἰσθητικοῦ, συνάξεις ὅτι ὁ ἄνθρωπος οὐσία, ἀνάγκη καὶ διὰ τοῦ μερικωτέρου, ἤγουν τοῦ ζώου συναχθῆναι τοῦτο αὐτό. καὶ εἰπὸν τὸ ζ᾽, ἐδήλωσε τὸ ζῶον. εἰπὸν δὲ κζ᾽ ἐδήλωσε τὸ ἔμψυχον τὸ περιέχον αὐτό. εἰ δὲ διὰ τῶν μερικῶν συναχθῇ τι, οὐκ ἤδη ἀναγκαῖόν ἐστι τοῦτο καὶ διὰ τῶν καθολικωτέρων συναχθῆναι. οἷον, δείξομεν ὅτι ὁ ἄνθρωπος λογικός ἐστι, διὰ μέσου ὅρου τοῦ φιλοσοφεῖν. οἷον ὁ ἄνθρωπος φιλοσοφεῖ. τὸ φιλοσοφοῦν λόγῳ χρᾶται. τὸ λόγῳ χρώμενον λογικόν. ὁ ἄνθρωπος ἄρα λογικός. διὰ δὲ τοῦ καθολικωτέρου τοῦ φιλοσοφεῖν, τῆς ἕξεως φημὶ καὶ τῆς διαθέσεως καὶ τῆς ποιότητος. εἰς ταῦτα γὰρ ἡ φιλοσοφία ἀνάγεται. οὐ δείξομεν τοῦτο λέγοντες ὅτι ὁ ἄνθρωπος, μετέχει ἕξεως τινὸς καὶ ποιότητος. ἤγουν ὑγιείας ἢ νόσου, ἢ θερμότητος. τὸ δὲ μετέχον ἕξεως τινὸς λόγῳ χρᾶται. ψευδὴς γὰρ ἡ πρότασις αὕτη. διὰ τὸ ὑγιαίνειν μὲν καὶ νοσεῖν καὶ τὰ ἄλογα ζῶα. μήτι μέντοι γε δὲ λόγῳ χρᾶσθαι. καὶ πάλιν ὑπόκειται τῷ ζώῳ ὁ ἄνθρωπος διὰ τὸ λογικόν. εἰ γὰρ τὸ λογικὸν ζῶον, ἀνάγκη καὶ τὸν ἄνθρωπον λογικὸν εἶναι καὶ τὸν σωκράτην. δεῖ οὖν καὶ ἐπὶ τῶν ὑποκειμένων περιεχομένοις λαβεῖν μέσον ὅρον, ἀναφέρειν ἐπὶ τὰ καθολικώτερα. καθολικώτερα γάρ ἐστι τοῦ ἀνθρώπου τοῦ ὑποκειμένου τὸ ζῶον. τὸ θνητόν. τὸ λογικόν. καὶ ταῦτα τὰ καθολικώτερα λαμβάνειν μέσον ὅρον. τὸ κζ᾽ μᾶλλον. ἤγουν τὸ καθολικώτερον παρὰ τὸ ζ᾽ μ᾽. ἤγουν τὸ μερικώτερον. εἰ μὲν γὰρ τοῖς πρώτοις ἤγουν τοῖς καθολικωτέροις, ἤγουν

οὐκ ἀδύνατόν τι ἕπεται τῷ λέγειν πάντα ἄνθρωπον εἶναι πᾶν ζῶον· καὶ τὴν δικαιοσύνην μόνην λέγειν εἶναι πᾶν ἀγαθόν. ἔστι γὰρ καὶ ἡ φρόνησις καὶ ἡ ἀνδρεία καὶ αἱ λοιπαὶ ἀρεταὶ ἀγαθόν. ἀλλ' ἐπ' ἐκείνου τοῦ ὑποκειμένου ὀφείλει τὸ παντὶ λέγεσθαι, ᾧ τινι ἕπεται, ὁ κατηγορούμενος. οἷον, παντὶ ἀνθρώπῳ τὸ ζῶον· καὶ πάσῃ ἡδονῇ ἢ δικαιοσύνῃ, τὸ ἀγαθόν. Ὅταν δ' ὑπό τινος περιέχηται τὸ ὑποκείμενον. Ὑποκείμενον λέγει ἐνταῦθα, τὸν προκείμενον ὅρον τόν τε κατηγορούμενον καὶ τὸν ὑποκείμενον. ᾧ τινι τῷ προκειμένῳ ὅρῳ, δεῖ λαβεῖν καὶ καταγράψαι τὰ ἑπόμενα. εἰ γὰρ λάβωμεν τῷ ἀνθρώπῳ ἑπόμενον τὸ ζῶον, οὐ δεῖ καταγράφειν καὶ τὰ ἑπόμενα τῷ καθόλου. ἤγουν τῷ ζώῳ τὸ ἔμψυχον δηλονότι καὶ τὸ αἰσθητικόν· ἢ τὰ μὴ ἑπόμενα· ἀλλὰ τὰ ἀλλότρια τοῦ ζώου τὸ ἄψυχον καὶ τὸ ἀναίσθητον. ἐπεὶ γὰρ ἐλάβομεν ὅτι τὸ ζῶον ἀκολουθεῖ τῷ ἀνθρώπῳ, ἤδη ἐλάβομεν ἀκολουθεῖν τῷ ἀνθρώπῳ καὶ ὅσα τῷ ζώῳ ἕπονται. καὶ αὖθις ὅσα οὐχ ὑπάρχουσι τῷ ζώῳ, οὐδὲ τῷ ἀνθρώπῳ ὑπάρχουσιν. ἀλλὰ δεῖ μόνον καταγράφειν, τὰ ἰδίως ὑπάρχοντα μόνου τοῦ ἀνθρώπου ἐνεργείας. εἰσὶ γὰρ τινὰ ὑπάρχοντα τοῖς εἴδεσιν ἴδια ἐνεργείας ἃ τὸ γένος ἐνεργείας οὐκ ἔχει. ἀνάγκη γὰρ τοῖς ἑτέροις εἴδεσιν ἴδια τινὰ ὑπάρχειν ἐνεργείᾳ. ἃ ἐν τῷ γένει οὐκ ἔστιν ἐνεργείᾳ, ἀλλὰ δυνάμει. οἷον ὁ ἄνθρωπος καὶ ὁ ἵππος ἕτερα τῷ εἴδει εἰσί. καὶ τῷ μὲν, ὑπάρχει τὸ λογικὸν καὶ τὸ γελαστικόν· τῷ δὲ τὸ ἄλογον καὶ τὸ χρεμετιστικόν· ἅτινα ἐν τῷ ζώῳ ἐνεργείᾳ οὐκ ἔστιν. Οὐδὲ δὴ τῷ καθόλου ἐκλεκτέον. Ἤγουν οὐ δεῖ λαβεῖν τίσιν ἕπεται τὸ καθόλου ἤγουν τὸ ζῶον, οὐ ληπτέον ἐν τῇ γραφῇ τὰ ὑποκείμενα οἷς ἕπεται τὸ περιεχόμενον, τουτέστιν ὁ ἄνθρωπος. ὁ γὰρ ἄνθρωπος προσεχῶς μὲν ἕπεται τῷ σιμῷ· τῷ σωκράτει τῷ φιλοσόφῳ. οἷς ἀνάγκη καὶ τὸ ζῶον ἀκολουθεῖν ὡς καὶ τὸν ἄνθρωπον περιέχον. τὸ γὰρ ζῶον, προσεχῶς μὲν ἕπεται τῷ ἀνθρώπῳ· τῷ ἵππῳ καὶ τῷ βοΐ. ἀνωτέρω δὲ ὑποκείμενα καὶ προσεχέστερά εἰσιν ἐπὶ τῆς ἐκλογῆς τοῦ ἀνθρώπου, τὸ γραμματικὸν, τὸ φιλόσοφον ὁ σωκράτης. ληπτέον δὲ καὶ τὰ ἑπόμενα τῷ ἀνθρώπῳ ὡς ἐπὶ τὸ πολὺ πεντεδάκτυλον. καὶ τὸ ὀρθοπεριπατητικόν. ὡσαύτως καταγραπτέον καὶ τὰ ὑποκείμενα οἷς ἕπεται ὡς ἐπὶ τὸ πολὺ ὁ ἄνθρωπος. καὶ γὰρ ὡς ἐπὶ τὸ πολὺ ὁ ἄνθρωπος ἀκολουθεῖ τὸ τέχνην τινὰ ἢ ἐπιστήμην μεταχειρίζεσθαι. διὰ τοῦτο δὲ δεῖ καταγράφειν τὰ ὡς ἐπὶ τὸ πολὺ ἑπόμενα. καὶ οἷς ὡς ἐπὶ τὸ πολὺ ἕπεται, διότι ἐὰν καὶ τὸ πρόβλημα τὸ προκείμενον εἰς ἀπόδειξιν ὡς ἐπὶ τὸ πολύ ἐστιν. οἷον εἰ πρόκειται δεῖξαι ὅτι ὁ ἄνθρωπος πεντεδάκτυλος, ἀνάγκη καὶ ἐν τῷ συλλογισμῷ τῷ τοῦτο δεικνύοντι. ἢ τὰς δύο προτάσεις λαβεῖν ὡς ἐπὶ τὸ πολὺ ἢ τὴν μίαν. καὶ γὰρ τὸ συμπέρασμα δεῖ εἶναι ὅμοιον ταῖς προτάσεσιν. εἰ γὰρ τὸ συμπέρασμά ἐστιν ἀνάγκη, ἢ ὡς ἐπὶ τὸ πολὺ, ἀνάγκης ἢ καὶ ἀμφοτέρας τὰς προτάσεις εἶναι ἀναγκαίας. ἢ ὡς ἐπὶ τὸ πολὺ ἢ τὴν μίαν. ὁμοίως δὲ ἐκλεκτέον οἷς αὐτὸ ἕπεται ὅλως διὰ τὴν εἰρημένην αἰτίαν. Ὥσπερ τὴν ἡδονὴν καταγράφοντες προστιθέαμεν αὐτῇ καὶ τὴν πᾶς, οὕτω καταγράφομεν τὰ ἑπόμενα πάσῃ ἡδονῇ. τὴν κίνησιν φημὶ τὴν ἐνέργειαν, καὶ τὰ λοιπά. ἐν γὰρ τοῖς συλλογισμοῖς, χρείαν τῶν καθόλου προτάσεων ἔχομεν, ἀλλ' οὐ τῶν μερικῶν καὶ ἀπροσδιορίστων. αἱ γὰρ ἀπροσδιόριστοι προτάσεις ἰσοδυναμοῦσι ταῖς μερικαῖς, οὕτω καταγράφοντες καὶ τὰ ὑποκείμενα τῷ τε ἀγαθῷ καὶ τῇ ἡδονῇ. μετὰ τοῦ καθόλου προσδιορισμοῦ καταγράφειν ταῦτα ὀφείλομεν. οἷον τὸ ἀγαθὸν, πάσῃ εὐδαιμονίᾳ. πάσῃ εὐεξίᾳ. παντὶ τελείῳ. καὶ πάλιν ἡ ἡδονὴ ἕπεται πάσῃ ὑγείᾳ. πάσῃ εὐδοξίᾳ. πάσῃ εὐτυχίᾳ. καὶ τὰ λοιπά. οὕτω μετὰ τοῦ καθόλου καταγράφειν προσδιορισμοῦ. Ἔτι τὰ πᾶσιν ἑπόμενα οὐκ ἐκλεκτέον. Μέλλοντι συλλογίζεσθαι, οὐ δεῖ ἐκλέγειν ἀπὸ τῶν ἑπομένων τῷ τε ἀγαθῷ καὶ τῇ ἡδονῇ, τὸν μέσον ὅρον. εἰ γὰρ λάβῃς ἐξ αὐτῶν μέσον ὅρον, συλλογισμὸν οὐ ποιήσεις διὰ τὸ γίνεσθαι ἐξ αὐτῶν συλλογισμὸν ἐν δευτέρῳ σχήματι ἀπὸ δύο καταφατικῶν. ταύτην δὲ τὴν αἰτίαν ἐν τοῖς ἑπομένοις ἤγουν τοῖς ἐφεξῆς ῥηθησομένοις ἐρεῖ. εἰ μὲν βουλόμεθα κατασκευάσαι τὶ κατηγορούμενον· κατά τινος ὑποκειμένου ὅλου ἤγουν καθόλου. καὶ μετὰ τοῦ καθόλου προσδιορισμοῦ, οἷον εἰ βουλόμεθα δεῖξαι τὸ παντί. καὶ ὅτι τὸ ἀγαθὸν πάσῃ ἡδονῇ, βλεπτέον εἰς τὸ γ'. τὰ ὑποκείμενα τοῦ κατασκευαζομένου. ἤγουν τοῦ κατηγορουμένου ἀγαθοῦ. καθ' ὧν δὴ ὑποκειμένων αὐτὸ τὸ ἀγαθὸν τυγχάνει κατηγορούμενον. καὶ βλεπτέον καὶ εἰς τὸ ζ'. ὅσα ἕπονται τούτῳ τῷ ὑποκειμένῳ ἤγουν τῇ ἡδονῇ. καθ' ἧς ἡδονῆς δεῖξαι δεῖ τὸ ἀγαθὸν κατηγορούμενον. καὶ ἢν εὑρήσῃς ἐν τούτοις τοῖς γ' καὶ τοῖς ζ' τι ταυτόν. ὡς τὸ κατὰ φύσιν ὀρεκτὸν, λάβε τοῦτον μέσον ὅρον. καὶ ἀνάγκη δεῖξαι διὰ τοῦ μέσου ὅτι τὸ ἕτερον ἤγουν τὸ ἀγαθὸν, ὑπάρχει θατέρῳ τουτέστι πάσῃ ἡδονῇ διὰ τοῦ α' σχήματος. ἐὰν δὲ μὴ βούλει δεῖξαι τὸ παντὶ, ἀλλ' ὅτι τὸ ἀγαθὸν τινὶ ἡδονῇ ὑπάρχει, βλεπτέον εἰς τὰ ὑποκείμενα τὰ γ' ἢ δηλονότι οἷς ἕπεται τῷ ἑτέρῳ. τὸ μὲν γὰρ ἀγαθὸν, ἕπεται τοῖς γ'. ἡ δὲ ἡδονὴ, τοῖς η'. καὶ ὃ ἂν εὑρήσῃς ταυτὸν ἐν τούτοις τοῖς ὑποκειμένοις. ὡς τὸν κατ' ἀρετὴν βίον, λάβε τοῦτον μέσον ὅρον ἐν γ' σχήματι. καὶ δείξεις δι' αὐτοῦ ὅτι τὸ ἀγαθὸν ὑπάρχει τινὶ ἡδονῇ. εἰ δὲ βούλει δεῖξαι τὸ μηδενὶ οἷον ὅτι τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ, βλεπτέον εἰς τὰ ζ'. ἃ ἕπονται τῷ ὑποκειμένῳ. ἤγουν τῇ ἡδονῇ. ᾗ οὐ δεῖ ὑπάρχειν τὸ ἀγαθόν. ἤγουν ἀφ' ἧς τὸ ἀγαθὸν ἀποφάσκεται. βλεπτέον δὲ καὶ εἰς τὰ δ'. ἅ τινα μὴ ἐνδέχεται παρεῖναι αὐτῷ τῷ κατηγορουμένῳ. ἤγουν τῷ ἀγαθῷ. ὡς ἀλλότριον αὐτοῦ. ὅτι τοῦτο τὸ ἀγαθὸν, δεῖ δεῖξαι μὴ ὑπάρχειν. ἤγουν μηδεμιᾷ ἡδονῇ ὑπάρχειν. καὶ εἰ μὲν ἀποβλέψας εἰς τὰ δ' ζ'. καὶ εὑρήσεις ταυτὸν τὸ ἀτελὲς καὶ τὴν κίνησιν. ταυτίζονται γὰρ ταῦτα. διὰ τὸ πᾶσαν κίνησιν εἶναι ἀτελῆ, λάβε τοῦτον μέσον ὅρον ἐν α' σχήματι

κακόν. τὸ ζημιῶδες. τὸ ἀλλότριον. τὸ ἀλυσιτελές. ἐν δὲ τῷ γ΄ καταγράψαι τὰ ὑποκείμενα τῷ ἀγαθῷ. ἤγουν οἷς ἕπεται τοῦτο. εὐδαιμονία. εὐεξία κατὰ φύσιν. οὗ ἕνεκα. τέλειον. κατ' ἀρετὴν βίος. ἐν δὲ τῷ ζ΄ καταγραφέτωσαν τὰ τῇ ἡδονῇ ἑπόμενα. κίνησις. ἐνέργεια κατὰ φύσιν. ἀνεμπόδιστος ζωή. τὸ κατὰ φύσιν ὀρεκτόν. τὸ ἀνενόχλητον. τὸ αἱρετόν. ἐν δὲ τῷ θ΄, τὰ ἀλλότρια τῆς ἡδονῆς. νόσος. φόβος. ἀταξία. παρὰ φύσιν. κίνησις. πόνος. ἐν δὲ τῷ η΄, τὰ ὑποκείμενα τῇ ἡδονῇ. τουτέστιν οἷς ἕπεται ἡ ἡδονή. ὑγεία. εὐδοξία. εὐτυχία. κατ' ἀρετὴν βίος. ἀπονία. ἀφαιρετονία. εὐπορία. ἔστι δὲ ἡδονὴ ἐνέργεια ἁπλῶς. ἐὰν δὲ πρόκειταί σοι δεῖξαι ὅτι τὸ ζῶον παντὶ ἀνθρώπῳ ἐστί, καταγράψαι τὸ ζῶον. καὶ ἰδίᾳ τὸν ἄνθρωπον καταγράψαι καὶ τὰ ἑπόμενα τῷ ζώῳ. ἤγουν τὸ οὐσία. τὸ ἔμψυχον. τὸ αἰσθητικόν. εἶτα τὰ ἀλλότρια αὐτοῦ. τὸ ἄψυχον. τὸ ἀναίσθητον. τὸ ἀκίνητον. καὶ μετὰ ταῦτα, οἷς ἕπεται. ἤγουν τὰ ὑποκείμενα αὐτῷ. ἄνθρωπος. ἵππος. βοῦς. καὶ τὰ λοιπά. καταγράψαι δὲ καὶ τὰ ἑπόμενα τῷ ἀνθρώπῳ. τὸ λογικόν. τὸ θνητόν. τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. τὸ γελαστικόν. τὸ ὀρθοπεριπατητικόν. τὸ μόνον τῶν ζώων χερσὶ χρᾶσθαι. εἶτα τὰ ἀλλότρια αὐτοῦ. τὸ ἄλογον. τὸ ἀθάνατον. τὸ ἀΐδιον. εἶτα καὶ τὰ οἷς ἕπεται. ἤγουν σωκράτης πλάτωνα. καὶ ἀλκιβιάδης. τὸ φιλόσοφον. τὸ γραμματικόν. καταγράφειν ὅσα ἕπεται τῷ πράγματι. ἤγουν τὰ ἑπόμενα καὶ τῷ κατηγορουμένῳ καὶ τῷ ὑποκειμένῳ, ᾧτινι γὰρ πρᾶγμα, ἀμφοῖν συμπερίλαβε τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον. καὶ τὰ ὑποκείμενα καταγράφειν. οἷς τὸ πρᾶγμα ἀκολουθεῖ. ἤγουν καὶ ὁ κατηγορούμενος καὶ ὁ ὑποκείμενος. καταγράψαι καὶ τὰ ἀλλότρια τὰ μὴ ὑπάρχοντα τῷ πράγματι. Οἷς δ' αὐτὸ μὴ ἐνδέχεται, οὐκ ἐκληπτέον. Τοῦτο λέγει ὅτι τὰ μὲν ἀλλότρια καὶ ἀποφασκόμενα τοῦ πράγματος, καταγράφειν. μὴ καταγράψεις δὲ οἷς αὐτὸ μὴ ἐνδέχεται. ἤγουν ὧν τὸ ἀγαθὸν ἀποφάσκεται. διὰ τὸ ἀντιστρέφειν πρὸς ἑαυτὸ τὸ καθόλου στερητικόν. εἰ γὰρ τὸ εὐτελὲς καὶ τὸ φευκτὸν καὶ τὰ λοιπὰ οὐδενὶ ἀγαθῷ ὑπάρχουσιν, ἀνάγκη καὶ τὸ ἀγαθὸν οὐδενὶ τούτων ὑπάρξαι. λαμβάνειν δὲ τὰ ἑπόμενα τῷ ἀνθρώπῳ ἢ τῷ ἀγαθῷ διαιρήσεις ἰδίᾳ ὅσα τῶν ἑπομένων ἐν τῷ τί ἐστι καὶ οὐσιωδῶς κατηγοροῦνται τοῦ αὐτοῦ. ὡς τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν. καὶ τίνα τῶν ἑπομένων ἐστὶν ἴδια τῷ ἀνθρώπῳ. ὡς τὸ γελαστικόν. τὸ πλατυώνυχον. καὶ τίνα τῶν ἑπομένων συμβεβήκασι τῷ ἀνθρώπῳ. ὡς τὸ φιλόσοφον καὶ τὸ γραμματικόν. καὶ ποῖα τούτων τῶν ἑπομένων δοξαστικῶς κατηγοροῦνται ὡς τὸ ἕν. καὶ τὸ ὄν. κατὰ δόξαν κατηγοροῦνται τῶν δὲ καὶ γενικωτάτων γενῶν. καὶ οὐ κατ' ἀλήθειαν. τῇ δὲ ἡδονῇ κατ' ἀλήθειαν ἀκολουθεῖ ἡ κίνησις καὶ τὸ ὀρεκτόν. κατὰ δόξαν δὲ τὸ κατὰ φύσιν. οὐ κατὰ φύσιν γὰρ αὐτὴ γίνεται τοῖς ψωριῶσιν ἡ ἐκ κνησμονῆς ἡδονή, ἀλλ' ἐκ τοῦ δριμεῖαν τινὰ ὕλην τὰς αὐτὴν δεσμευτικὰς διαφορεῖσθαι. οὐδὲ τοῖς κιναίδοις κατὰ φύσιν ἐστὶν ἡ ἐκ τῆς συνουσίας ἡδονή. ὥστε οὐ κατὰ πάσης ἀληθῶς ἡδονῆς κατηγορεῖται τὸ κατὰ φύσιν. ἀλλὰ μόνης τῆς ἐκ τῆς γνώσεως καὶ τοῦ ἐνάρετου βίου. τινὲς δὲ ἐδόξασαν κατὰ φύσιν εἶναι τὴν τῶν κιναίδων ἡδονὴν καὶ τῶν ψωριώντων. ἀντιτείνεται γὰρ μᾶλλον τοῖς ψωριῶσι καὶ τοῖς κιναίδοις δυσχέρειά τις καὶ λύπη καὶ ἡ ἐκ τῶν παθῶν ὄχλησις. ὅπως γὰρ πλείονα τοιαῦτα καταγράψεις θᾶττον ἐντεύξῃ καὶ κατασκευάσεις τὸ συμπέρασμα. εἰ γὰρ μέλλεις ἀποδεικτικὸν ποιῆσαι συλλογισμόν, λάβῃς ἐκ τῆς καταγραφῆς τὰ ἀληθῶς κατηγορούμενα. τὰ οὐσιωδῶς. τοὺς ὁρισμούς. ὅσῳ γὰρ ἀληθεστέρας προτάσεις εὐπορεῖς, μᾶλλον ἀποδείξεις. εἰ δὲ διαλεκτικὸν συλλογισμὸν μέλλεις ποιῆσαι, λάβῃς τὰ κατὰ δόξαν κατηγορούμενα. εἰ δὲ σοφιστικὸν τὰ κατὰ συμβεβηκὸς κατηγορούμενα. δεῖ δὲ ἐκλέγειν μὴ τὰ ἑπόμενα τινί. οἷον, τινὶ ἀνθρώπῳ ἕπεται τὸ μέλαν. ἤγουν τῷ αἰθίοπι. καὶ τινὶ ἀνθρώπῳ τὸ ἑξαδάκτυλον. καὶ τινὶ ἡδονῇ ὑπάρχει τὸ κατὰ φύσιν. ἀλλ' οὐ πάσῃ. ἡ γὰρ τῶν ψωριώντων ἡδονὴ καὶ ἡ τῶν κιναίδων, παρὰ φύσιν ἐστί. ἀλλὰ καταγραπτέον ὅσα ἕπεται ὅλῳ τῷ πράγματι. ἤγουν παντὶ τῷ κατηγορουμένῳ καὶ τῷ ὑποκειμένῳ. πάσῃ γὰρ ἡδονῇ ἕπεται ἡ κίνησις. καὶ παντὶ ἀγαθῷ τὸ ὠφέλιμον. χρείαν γὰρ ἔχομεν ἐν τοῖς συλλογισμοῖς τῶν καθόλου προτάσεων, ἀλλ' οὐ τῶν μερικῶν. διὰ τὸ μὴ ἄνευ τοῦ καθόλου συλλογισμὸν γίνεσθαι, ἀλλ' οὐδὲ ἀδιόριστον δεῖ καταγράφειν τὸν ὑποκείμενον. ἀλλὰ μετὰ τοῦ καθόλου προσδιορισμοῦ. οἷον, πάσῃ ἡδονῇ ἕπεται τὸ αἱρετόν. καὶ παντὶ ἀνθρώπῳ τὸ λογικόν. εἰ γὰρ χωρὶς προσδιορισμοῦ καταγράψεις τὸν ὑποκείμενον. εἶτα θεωρῇς τὰ ἑπόμενα αὐτῷ. οἷον, τῇ ἡδονῇ ἕπεται τὸ ὀρεκτόν, τῷ ἀνθρώπῳ τὸ λογικόν, αἱ ἀπροσδιόριστοι προτάσεις ἰσοδυναμοῦσι ταῖς μερικαῖς. διορισμένου δὲ καταγραφέντος τοῦ ὑποκειμένου. τουτέστι μετὰ τοῦ καθόλου προσδιορισμοῦ, φανερὸν ὅτι καθόλου αἱ προτάσεις λαμβάνονται. καὶ τὰ ἑπόμενα αὐτῷ καθόλου ἕπονται. Ὁμοίως δὲ ἐκλεκτέον καὶ τὰ ὑποκείμενα. οἷς ἕπεται ὁ κατηγορούμενος καὶ ὁ ὑποκείμενος, ὅλοις. ἤγουν μετὰ τοῦ καθόλου προσδιορισμοῦ. οὐδὲ γὰρ ἀδιόριστα ἐκθετέον αὐτά. διὰ τὴν εἰρημένην αἰτίαν. ἤγουν διὰ τὸ ἰσοδυναμεῖν τὰ ἀπροσδιόριστα ταῖς μερικαῖς προτάσεσι. τὸ γὰρ ἀγαθὸν εὐδαιμονία πάσῃ ἕπεται καὶ εὐεξίᾳ. καὶ ἡ ἡδονὴ ὡσαύτως, πάσῃ ὑγείᾳ καὶ εὐδοξίᾳ. αὐτὸ δὲ τὸ ἑπόμενον ἤγουν τὸ ἀγαθὸν ὅτι ἕπεται τῇ ἡδονῇ καὶ τὸ ζῶον τὸ ἑπόμενον τῷ ἀνθρώπῳ. οὐ ληπτέον ὅλον ἕπεσθαι. ἤγουν οὐ μόνον τὸν καθόλου προσδιορισμὸν δεῖ ἐκφέρειν καὶ καταγράφειν. οἷον ὅτι τῷ ἀνθρώπῳ πᾶν ζῶον ἕπεται καὶ τῇ ἡδονῇ πᾶν ἀγαθόν. καὶ τῇ μουσικῇ πᾶσα ἐπιστήμη. ἀλλὰ μίαν ἁπλῶς ἤγουν χωρὶς προσδιορισμοῦ, δεῖ λέγειν ἕπεσθαι τὸ ζῶον τῷ ἀνθρώπῳ. ὥσπερ καὶ ἐν τῷ περὶ ἑρμηνείας προτεινόμεθα. ἤγουν ἐδιδάξαμεν. ἐκεῖ γὰρ εἴπομεν δεῖν τὸν καθόλου προσδιορισμὸν τῷ ὑποκειμένῳ προσκεῖσθαι. ἀλλ' οὐχὶ τῷ κατηγορουμένῳ. οὐ μόνον γὰρ ἄχρηστον ὑπάρχει τό, τῷ κατηγορουμένῳ προσκεῖσθαι τὸ πᾶς ἢ τὸ οὐδείς, ἀλλὰ καὶ ἀδύνατον. οὐ γὰρ

σματα ἐκ δύο καταφατικῶν καθόλου. καὶ ποταπὸν ἐκ τῆς οὐδεὶς καὶ πᾶς, καὶ ποταπὸν ἐκ τοῦ πᾶς καὶ τίς. καὶ τῆς οὐδεὶς καὶ τὶς καὶ πρῶτον μὲν θεωρεῖται συμπεράσματα οἷα συνάγονται ἐκ τοῦ λαμβάνειν προτάσεις αὐτῷ τρόπον. ἐν δὲ ταῖς μίξεσι λαμβάνει προτάσεις ἀναγκαίας καὶ δυνατὰς. καὶ ἐνδεχομένας καὶ ὑπαρχούσας. καὶ πρῶτον μὲν βλέπει οἷα συμπεράσματα συνάγονται ἐκ δύο προτάσεων ἀναγκαίων. καὶ ἐκ δύο ἐνδεχομένων ἢ ὑπαρχουσῶν εἶτα μίγνυσιν ἀναγκαίαν πρότασιν καὶ ἐνδεχομένην. ἢ ὑπάρχουσαν. καὶ θεωρεῖ ποταπὰ συμπεράσματα συνάγονται ἐκ τῆς μίξεως αὐτῶν. καὶ οὕτως ἐν τῷ πρώτῳ τμήματι διδάξας ἐφ᾽ ἱκανὸν περὶ τοῦ συμπεράσματος, σκοπὸν ἔχει ἐν τῷ περὶ εὐπορίας προτάσεων, διδάξαι περὶ τῆς ὕλης τοῦ συλλογισμοῦ, ἤγουν τῶν προτάσεων. καὶ βούλεται παραδοῦναι μέθοδον δι᾽ ἧς δυνησόμεθα εὑρίσκειν τὰς προτάσεις δι᾽ ὧν μέλλομεν συλλογίζεσθαι περὶ παντὸς προτεθέντος ἡμῖν προβλήματος.

Πῶς δ᾽ εὐπορήσομεν αὐτοὶ συλλογισμῶν πρὸς τὸ τιθέμενον. ἤγουν πρὸς τὸ προτεθὲν πρόβλημα. καὶ διὰ ποίας ὁδοῦ καὶ μεθόδου ληψόμεθα, καὶ εὑρήσομεν τὰς ἀρχὰς καὶ τὰς προτάσεις δι᾽ ὧν συλλογιζόμεθα ἕκαστον πρόβλημα, νῦν ἤδη λεκτέον. οὐ γὰρ μόνον δεῖ γινώσκειν τὴν γένεσιν τῶν συλλογισμῶν ὅτι ἐκ β´ καταφατικῶν καθόλου συνάγεται τὸ παντί. καὶ ἐκ τοῦ οὐδεὶς καὶ πᾶς, τὸ οὐδενί. ἀλλὰ δεῖ καὶ ἔχειν δύναμιν τοῦ ποιεῖν. ἤγουν ἔχειν μέθοδον δι᾽ οὗ εὑρήσομεν τὰς προτάσεις. ἐφ᾽ ὧν μέλλομεν συλλογίζεσθαι. ἢ τὸ παντί. ἢ τὸ οὐδενί. ἢ τὸ τινί. ἢ τὸ οὐ παντί. πρὸ δὲ τοῦ παραδοῦναι ταύτην τὴν μέθοδον, ζητεῖ περὶ ποίων τῶν ὄντων οἱ συλλογισμοὶ καὶ αἱ ἀποδείξεις καταγίνονται. καὶ φησί. τὰ μὲν τῶν ὄντων ἐστὶ τοιαῦτα ὡς μὴ δύνασθαι ἀληθῶς κατ᾽ ἄλλων κατηγορεῖσθαι. ἀλλ᾽ ὑποκεῖσθαι μόνον. ἀλλὰ δὲ κατὰ τούτων κατηγορεῖσθαι ὡς ὁ Κλέων καὶ ὁ Καλλίας. καὶ ἕκαστον αἰσθητόν. αἰσθητὰ δὲ λέγει τὰ μερικά. καθόσον οὐ γίνονται διὰ συλλογισμοῦ καὶ ἀποδείξεως. ἀλλὰ διὰ μόνης τῆς αἰσθήσεως. ἤγουν τῆς ὁράσεως. εἶπε δὲ τὸ ἀληθῶς κατηγορεῖσθαι, διότι εἰ μὲν εἴπῃς ὅτι ὁ Κλέων ζῷόν ἐστι καὶ λάβῃς αὐτὸν ὡς ὑποκείμενον, ἀληθῶς τὸ ζῷον κατ᾽ αὐτοῦ κατηγορήσεις. εἰ δὲ τὸν Κλέωνα κατηγορήσεις κατὰ τοῦ ζῴου ἤ, τοῦ ἀνθρώπου, ψευδὴς γίνεται ἡ κατηγορία. εἰ γὰρ εἴπῃς πᾶν ζῷον ἄνθρωπός ἐστιν. ἢ πᾶν ζῷον Κλέων ἐστι, ψευδῶς εἴρηκας. τὰ δὲ τῶν ὄντων κατ᾽ ἄλλων μὲν κατηγοροῦνται ὡς τὰ γένη τὰ δέκα τὰ γενικώτατα. κατὰ δὲ τούτων ἄλλα οὐ κατηγοροῦνται. οἷον ἡ οὐσία κατηγορεῖται κατὰ τοῦ ζῴου. καὶ τὸ ποσὸν κατὰ γραμμῆς καὶ ἐπιφανείας. ἐπάνω δὲ τῆς οὐσίας καὶ τοῦ ποσοῦ, οὐκ ἔστι τι ἕτερον ἵνα κατ᾽ αὐτῶν κατηγορηθῇ. τὰ δὲ ὡς τὰ μέσα, καὶ κατ᾽ ἄλλων κατηγοροῦνται καὶ καθ᾽ αὐτῶν ἕτερα ὡς ὁ ἄνθρωπος κατηγορεῖται κατὰ τοῦ Καλλίου. καὶ κατὰ τοῦ ἀνθρώπου τὸ ζῷον. Ἕκαστον γὰρ τῶν αἰσθητῶν ἤγουν τῶν μερικῶν, κατ᾽ οὐδενὸς οὐ κατηγορεῖται. ἀλλὰ ἀεὶ ὑπόκειται. πλὴν ὡς συμβεβηκός. σημειωτέον ὅτι ἀντὶ τοῦ εἰπεῖν παρὰ φύσιν εἶπεν ὡς συμβεβηκός. ὁ γὰρ κατηγορῶν μερικὸν κατὰ καθόλου, παρὰ φύσιν ποιεῖ κατηγορίαν. ἀλλ᾽ οὐχὶ κατὰ συμβεβηκός. πᾶσα γὰρ κατηγορία ἢ κατὰ φύσιν ἐστὶν ἢ παρὰ φύσιν. ἤγουν κατὰ συμβεβηκὸς καὶ κατὰ φύσιν μέν ἐστιν, ὅταν τὸ καθόλου κατηγορήσῃς κατὰ τοῦ μερικωτέρου. οἷον τὸ ζῷον κατὰ τοῦ ἀνθρώπου. καὶ τὸ χρῶμα κατὰ τοῦ λευκοῦ. ὡσαύτως κατὰ φύσιν κατηγορεῖς καὶ τὰ συμβεβηκότα κατὰ τῶν οὐσιῶν. οἷον εἰ τὸ λευκὸν κατηγορήσει κατὰ τοῦ ἀνθρώπου. τὰ γὰρ συμβεβηκότα ἐν ταῖς οὐσίαις ὑφίστανται. παρὰ φύσιν κατηγορία ἐστίν, ὅταν τὸ μερικὸν κατὰ καθόλου κατηγορήσῃ. οἷον ὅτι ὁ ἄνθρωπος Σωκράτης ἐστίν. ἢ τὸ ζῷον Καλλίας. ἢ ὅταν τὴν οὐσίαν κατηγορήσῃς κατὰ συμβεβηκός. οἷον τουτὶ τὸ φαλακρὸν ἢ τὸ φιλόσοφον, Σωκράτης ἐστί. κατὰ συμβεβηκὸς δὲ λέγεται αὕτη ἡ κατηγορία, διότι κατηγορεῖς τὸ ἕτερον κατὰ τοῦ ἑτέρου, καθόσον συνέβησαν καὶ ἀμφότερον ἐν τῷ Σωκράτει θεωρεῖσθαι.

Ἔτι δὲ καὶ ἄνω πῃ ἵσταται πορευομένοις. Ἤγουν ὅτι δὲ καὶ εἰ λάβῃς τὰς κατηγορίας ἀπὸ τῶν κάτω καὶ ἄνω τὰ ἄνω ἀναδράμῃς, λέγει ὁ Σωκράτης ἄνθρωπος. ὁ ἄνθρωπος ζῷον. τὸ ζῷον ἔμψυχον. τὸ ἔμψυχον οὐσία, οὐκ ἐπ᾽ ἄπειρον προβαίνει ἡ ἄνω τὰ ἄνω πρόοδος. ἀλλ᾽ ἵσταται ἡ κατηγορία ὅταν καταντήσωμεν εἰς τὴν οὐσίαν, ἐροῦμεν καὶ ἀποδείξομεν τοῦτο ἐν τῇ ἀποδεικτικῇ. νῦν δὲ λάβε τοῦτο κείμενον καὶ ὡς ὁμολογούμενον. ὅτι αἱ ἀπὸ τῶν κάτω εἰς τὰ ἄνω κατηγορίαι, ἵστανται, καὶ οὐκ ἐπ᾽ ἄπειρον προβαίνουσι. κατὰ μὲν τῶν γενικωτάτων γενῶν, οὐκ ἔστι κατηγορῆσαι τι ἕτερον ἀληθὲς ἀλλὰ κατὰ δόξαν. ὡς ὁ Πλάτων τιθεὶς ἐπέκεινα τῶν γενικωτάτων γενῶν τὸ ἓν καὶ τὸ ὄν, κατηγορεῖ ταῦτα κατὰ τούτων ὡς γένη. δέδεικται δὲ ἐν ταῖς φωναῖς, ὅτι οὐχ ὡς γένη κατηγοροῦνται. ἀλλ᾽ ὡς ὁμώνυμοι φωναί. λοιπὸν ἄρα οἱ συλλογισμοὶ καὶ αἱ σκέψεις ἤγουν αἱ ἀποδείξεις, οὔτε περὶ τὰ γενικώτατα γένη θεωροῦνται τὰ μόνως κατηγορούμενα, οὔτε περὶ τὰ μερικὰ τὰ μόνως ὑποκείμενα, ἀλλὰ περὶ τὰ μεταξὺ ἃ κατηγοροῦνται καὶ ὑπόκεινται. ἡ γὰρ ἀπόδειξις τὶ κατά τινος ἀποδείκνυσιν. ἢ τὶ ἀπό τινος. ἐπεὶ δὲ κατὰ τῶν γενικωτάτων γενῶν οὔτε τι καταφάσκεται, οὔτε τι ἀποφάσκεται. ὡσαύτως δὲ οὐδὲ τὰ μερικὰ κατηγοροῦνται κατά τινος, διὰ τοῦτο οὐδὲ οἱ λόγοι ἤγουν οἱ συλλογισμοὶ περὶ αὐτὰ καταγίνονται. Ταῦτα εἰπὼν παραδίδωσι τὴν μέθοδον τῆς εὑρέσεως τῶν προτάσεων καὶ φησίν. ἐὰν πρόκειταί σοι κατασκευάσαι ὅτι πᾶσα ἡδονὴ ἀγαθὸν, δεῖ σε πρῶτον ἐκλαβεῖν καὶ καταγράψασθαι τὸ ὑποτιθέμενον αὐτό. ἤγουν τὸ προκείμενόν σοι εἰς κατασκευήν. καὶ καταγράψαι ἰδίως τὸν κατηγορούμενον ἔνθα κεῖται τὸ α ἤγουν τὸ ἀγαθόν. καὶ ἰδίως τὸ ε ἤγουν τὸν ὑποκείμενον δηλονότι τὴν ἡδονήν. εἶτα καταγράψαι τὸν ὁρισμὸν τοῦ ἀγαθοῦ. καὶ τὰ ἴδια αὐτοῦ. ὡσαύτως καὶ τὸν ὁρισμὸν τῆς ἡδονῆς καὶ τὰ ἴδια ταύτης καὶ ἐν μὲν τῷ β´ καταγράψαι τὰ ἑπόμενα τῷ ἀγαθῷ. ἤγουν τὸ ὠφέλιμον τὸ αἱρετόν. καταγράψαι τὰ ἀλλότρια τοῦ ἀγαθοῦ ἐν τῷ δ. ἤγουν τὸ ἀτελὲς τὸ φευκτόν. τὸ βλαβερόν. τὸ ἀσύμφορον τὸ

ε. λάβε δὲ καὶ δύο ὅρους μέσους διακεκριμμένους ἀλλήλων. μέσον μὲν τοῦ ε καὶ β΄ τὸ δ΄. μέσον δὲ τοῦ α΄ καὶ ε τὸ γ΄. οἱ μὲν ὅροι πέντε, πέντε εἰσίν. ὑπερέχουσι μονάδι τῶν προτάσεων, δ΄ οὐσῶν. ὁ δὲ προσλαμβανόμενος ὅρος ἢ ἔξωθεν τοῦ δ΄ προσλαμβάνεται, ἢ ἔξωθεν τοῦ β΄. ἢ μέσον τοῦ α ε. ἢ μέσον τοῦ ε β. ἀμφοτέρως δὲ ἤγουν εἴτε ἔξωθεν λαμβάνεται ὁ προσλαμβανόμενος ὅρος εἴτε μέσον. καὶ οὕτω κἀκείνως συμβαίνει τὰ διαστήματα. ἤγουν τὰς προτάσεις ἐλαττοῦσθαι τῶν ὅρων μονάδι. ἡ πρότασις ἤγουν ἡ ἄνθρωπος ζῷόν ἐστι, λέγεται καὶ διάστημα. ὡς μὲν προτεινομένη καὶ ἐρωτωμένη, λέγεται πρότασις. ὡς δὲ τὸ ζῷον κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται, λέγεται διάστημα. ἅμα γὰρ τῷ ληφθῆναι ὅρον ἀφ' ὁποτέρου προστεθῇ ὁ ὅρος. εἴτε μέσον τοῦ α καὶ β. εἴτε ἔξω τοῦ α. εἴτε ἔξω τοῦ β, καὶ μία προστίθεται πρότασις. οἷον ὁ ἐκ τοῦ α΄ β΄ γ΄ συλλογισμός, περιττοὺς τοὺς ὅρους ἔχει. ἀρτίας δὲ τὰς προτάσεις. προσλαβὼν δὲ ἔξω τοῦ γ΄ τὸ δ΄. τοὺς μὲν ὅρους ἔχεις ἀρτίους, τὰς δὲ προτάσεις περιττάς. τὰ δὲ συμπεράσματα, οὐκέτι τὴν αὐτὴν ἔχει τάξιν πρὸς τοὺς ὅρους καὶ τὰς προτάσεις. ὥστε ἀεὶ ἐλαττοῦσθαι αὐτά τῶν τε ὅρων καὶ τῶν προτάσεων. πολλάκις γὰρ ὑπερβαίνουσι τοὺς ὅρους καὶ τὰς προτάσεις. ἑνὸς γὰρ ὅρου προστιθεμένου εἴτε ἔξω εἴτε μέσον προστίθενται συμπεράσματα ἐλάττω τῶν προϋπαρχόντων ὅρων, μονάδι. οἷον, προϋπαρχόντων ὅροι τὸ α΄ β΄ γ΄ ἐξ ὧν συνήχθη συμπέρασμα. τὸ α γ΄ μόνον. εἰ δὲ γοῦν προσλαβεῖς ἔξω τοῦ γ΄ τὸ δ΄ προστίθενται δύο συμπεράσματα τὸ α δ΄. καὶ τὸ β΄ δ΄, τὰ δὲ δύο ἐλάττονα τῶν προϋποκειμένων τριῶν ὅρων, μονάδι. πρὸς μόνον γὰρ τὸν ἔσχατον ὅρον. ἤγουν τὸ γ΄ οὐ ποιήσας συμπέρασμα. τοῦ γὰρ γ΄ πρὸς τὸ δ΄ συμπέρασμα, οὐ γίνεται διὰ τὸ μὴ κεῖσθαι μέσον αὐτῶν ὅρον. Τὸ τε πρὸς τὸ α ἤγουν τὸ α δ. καὶ πρὸς τὸ β΄ ἤγουν. τὸ β δ. κἂν τὸ δ οὐχὶ ἔξω τοῦ γ΄ προστεθείη ἀλλὰ μέσον τοῦ β γ΄, τὸν αὐτὸν τρόπον δύο συμπεράσματα προστεθήσονται. τό τε α δ΄. καὶ τὸ β΄ γ΄. τὸ γ΄, οὐ γίνεται συμπέρασμα τοῦ δ΄ πρὸς τὸ γ΄. πολὺ ἄρα πλείω τὰ συμπεράσματα. καὶ τῶν ὅρων καὶ τῶν προτάσεων γίνονται, εἰ προστιθεμένου ἑνὸς ὅρου, δύο προστίθενται συμπεράσματα. εἰ γὰρ ἐπὶ τοῦ συλλογισμοῦ τοῦ α΄ β΄ γ΄ δ΄ προσθήσεις ἔξω τοῦ δ΄ τὸ ε. οἱ μὲν ὅροι γίνονται πέντε. αἱ δὲ προτάσεις τέσσαρες. τὰ δὲ συμπεράσματα ἕξ. τὸ α ε. τὸ α γ΄. τὸ α δ΄. τὸ β΄ δ΄. τὸ β΄ ε καὶ τὸ γ΄ ε. καὶ ἰδοὺ ἓξ τὰ συμπεράσματα. Προβλήματα λέγει τὸ παντί. τὸ οὐδενὶ τὸ τινί. καὶ τὸ οὐ παντί. καθὸ προστίθενται εἰς τὸ ἀποδειχθῆναι ἢ τό, πᾶσα ἡδονὴ ἀγαθόν, ἢ τὸ οὐδεμία ἡδονὴ ἀγαθόν. ἢ τὸ τὶς ἡδονὴ ἀγαθόν, ἢ τὸ οὐ πᾶσα ἡδονὴ ἀγαθόν. ταῦτα δὲ καὶ προβλήματα γίνεται καὶ συμπεράσματα. ἐπεὶ δὲ ἔχομεν τὰ προβλήματα περὶ ἃ οἱ συλλογισμοὶ καὶ αἱ σκέψεις καταγίνονται. καὶ ποῖον πρόβλημα ἐν ἑκάστῳ σχήματι συμπέρασμα γίνεται. καὶ ποσαχῶς δείκνυται ἕκαστον. τὸ μὲν παντὶ ἅπαξ δείκνυται ἐν α σχήματι. τὸ δὲ οὐδενί, ἅπαξ μὲν ἐν α΄ σχήματι. δὶς δὲ ἐν τῷ β΄. τὸ δὲ τινί, ἅπαξ μὲν ἐν τῷ α΄ πλεονάκις ἐν τῷ γ΄. τὸ δὲ οὐ παντί, ἅπαξ ἐν τῷ α΄. ἐν δὲ τῷ β΄ δὶς. καὶ ἐν τῷ γ΄ πλεονάκις, φανερὸν καὶ ποῖόν ἐστι χαλεπὸν εἰς κατασκευήν. τὰ μὲν καθόλου ἡ πᾶς καὶ ἡ οὐδείς, δυσχερῆ ἔχουσι πρὸς τὸ κατασκευασθῆναι, εὐεπιχείρητα δὲ εἰσὶ καὶ ῥᾴω πρὸς ἀνασκευήν. τὸ μὲν γὰρ ἐν πλείοσι σχήμασι δεικνύμενον καὶ περαινόμενον διὰ πλειόνων προτάσεων ἤγουν τρόπων, ῥᾷόν ἐστι πρὸς κατασκευήν. τὸ δὲ ἐν ἐλάττοσι σχήμασι δεικνύμενον, καὶ δι' ἐλαττόνων τρόπων ὡς τὸ πᾶς, δυσχερείας ἔχει πρὸς τὸ κατασκευασθῆναι ἀνασκευάζεται δὲ εὐκόλως, τὸ καθόλου καταφατικόν, καὶ ἀπὸ τοῦ δεῖξαι τὸ οὐδενὶ καὶ ἀπὸ τοῦ δεῖξαι τὸ οὐ παντί.

Τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ καθόλου στερητικόν, ῥᾷον ὡς ἀνασκευάζεται. ἀναιρεῖται γὰρ τὸ οὐδενὶ τὸ ἐξ ἀρχῆς κείμενον, κἄν τε τὸ παντὶ δείξῃς κἄν τε τὸ τινί. τοῦτο δὲ τὸ τινί, ἐν δυσὶ σχήμασιν ἦν δεικνύμενον. τὰ δὲ ἐν μέρει ἤγουν τὸ οὐ πᾶς καὶ τὸ τὶς, μοναχῶς ἀνασκευάζονται. ἀναιρεῖται γὰρ τὸ οὐ πᾶσα ἡδονὴ ἀγαθὸν ἀπὸ τοῦ δεῖξαι τὸ οὐ πᾶσα ἡδονὴ ἀγαθόν. τὸ δὲ τὶς ἡδονὴ ἀγαθὸν ἀναιρεῖται ἀπὸ τοῦ δεῖξαι οὐδεμία ἡδονὴ ἀγαθόν. ὥστε τὰ μερικὰ δυσκόλως ἀνασκευάζονται. κατασκευάζονται δὲ ῥᾳδίως, διὰ τὸ ἐν πλείοσι σχήμασι συνάγεσθαι καὶ διὰ πλειόνων προτάσεων ἤγουν τρόπων. κατασκευάζεται δὲ τὰ καθόλου διὰ τῶν μερικῶν, οὐκ ἔστιν. οὐ γὰρ εἰ δείξῃς ὅτι τὶς ἡδονὴ ἀγαθόν, εὐθὺς συναποδείκνυσιν ὅτι καὶ πᾶσα. οὐδὲ ἐὰν δείξῃς ὅτι οὐ πᾶσα ἡδονὴ ἀγαθόν, εὐθὺς ἔδειξας ὅτι οὐδεμία. διὰ δὲ τῶν μερικῶν, πιστοῦνται τὰ καθόλου. καὶ δι' ἐκείνων τῶν καθόλου, ταῦτα τὰ μερικὰ κατασκευάζονται. εἰ γὰρ δείξῃς ὅτι πᾶς ἄνθρωπος ζῷον, συναποδείκνυται ὅτι καὶ τὶς ἄνθρωπος ζῷόν ἐστι. καὶ εἰ δείξῃς ὅτι οὐδεὶς λίθος ἔμψυχος. ἀπέδειξας ὅτι καὶ οὐ πᾶς λίθος ἔμψυχος. τὸ δὲ οὐ πᾶς ἐνταῦθα, οὐδεὶς ληπτέον. ἀδύνατον γάρ ἐστιν ἡ ὕλη.

Ἀρχὴ τοῦ περὶ εὐπορείας προτάσεων.

Πᾶς συλλογισμός, ἐξ ὕλης καὶ εἴδους σύγκειται. καὶ εἶδος μὲν τοῦ συλλογισμοῦ ἐστὶ τὸ συμπέρασμα. ὡς γὰρ ἀπὸ τοῦ εἴδους γνωρίζομεν τῶν πραγμάτων ἕκαστον, οὕτω καὶ ἀπὸ τοῦ συμπεράσματος γνωρίζομεν ἐν ποίῳ σχήματι συνῆκται τὸ συμπέρασμα. καὶ ἐν ποίῳ τρόπῳ τοῦ σχήματος, ὡς ἵνα τὸ παντὶ συμπέρασμα συναχθῇ, ἔγνωσται ἡμῖν ὅτι ἐν πρώτῳ τρόπῳ τοῦ α΄ σχήματος συνήχθη. εἰ δὲ τὸ οὐδενί, ἔγνωσται ἡμῖν ὅτι ἐν τῷ α΄ σχήματι ἢ ἐν τῷ β΄ συνήχθη ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων. καὶ περὶ μὲν τοῦ εἴδους τοῦ συλλογισμοῦ τουτέστι τοῦ συμπεράσματος, ἱκανῶς διέλαβεν ἐν τῷ πρώτῳ τόμῳ τοῦ πρώτου βιβλίου. περὶ γὰρ τὴν συλλογιστικὴν μέθοδον μέλλων διδάξαι, ἐν τρισὶ τόμοις περὶ ταύτης διαλαμβάνει. ἤγουν ἐν τοῖς τρισὶ σχήμασι. ἐν τῷ περὶ εὐπορείας προτάσεων. καὶ ἐν τῷ περὶ ἀναλύσεως συλλογισμῶν. καὶ ἐν μὲν τῷ πρώτῳ τμήματι. ἤγουν ἐν τοῖς τρισὶ σχήμασι, διδάσκει περὶ τοῦ εἴδους τοῦ συλλογισμοῦ. ἤγουν τοῦ συμπεράσματος. ποταπὸν συνάγεται συμπέρα

τὴν ά β' πρότασιν. ἀπὸ δὲ β', ἐδήλωσε τὴν β' ἡ πρότασιν, ἔχομεν τὸ ζητούμενον. ἤγουν τὸ ἐκ δύο προσε-
χῶν προτάσεων γίνεσθαι τὸν συλλογισμόν. ἐχέτω οὖν τὸ ά πρὸς τὸ β' οὕτως. ὥστε περιέχειν τὸ β'. ἐξ
αὐτῶν γὰρ συμπεραίνεις. ἢ τὸ ε ἢ τὸ γ'. ἢ τὸ δ'. ἢ ἄλλο παρὰ ταῦτα ἤγουν τὸ ε. καὶ εἰ μὲν τὸ ε συμπεραίνεις
ἐκ τῶν ά β' ἔχεις τὸ ζητούμενον. ὅτι ἐκ β' προτάσεων γίνεται ὁ συλλογισμός μέλλων δὲ τελείως ὑπ'
ἐξεργάσασθαι τὸ προτεθέν, τοῦτο παρῆκε. προϊὼν δὲ λαμβάνει, καὶ τοῦτο. ἡ δὲ ἐπεξεργασία τοιαύτη,
ὃ μέλλον εἶναι. εἰ δὲ τὸ ε οὐ μέσον συναχθῇ ἐκ τῶν ά β'. ἀλλὰ καὶ τὸ γ' ἢ καὶ τὸ δ' ἢ καὶ τὸ ζ, οὐκ ἐγένε-
το εἷς συλλογισμὸς ἀλλὰ πολλοί. τὸ δὲ γ' δ' εἰ μὲν οὕτως ἔχουσιν ὥστε εἶναι τὸ μὲν ὡς ὅλον. τὸ δὲ ὡς
μέρος, ἐκ τούτων ἢ τὸ ε συναχθῇ συμπέρασμα ἢ τὸ ά ἢ τὸ β'. τὸ δὲ ά καὶ τὸ β' οὔπω συνάγεται. εἴτε ἀπὸ
τοῦ ἐν ὅλῳ ἀρξάμενος συλλογίζεσθαι, ἀναστρέψεις αὐτὸ τὸ ά ἢ τὸ β'. καὶ οὕτω πολλούς, ποιήσας συλ-
λογισμούς. ἅτε καὶ πολλὰ συνάγων συμπεράσματα. κἄν τε λαβὼν ἅμα καὶ συνέχειαν καὶ τὰς προτά-
σεις καὶ τὰ συμπεράσματα τῶν προσυλλογισμῶν, συνάξεις ἓν συμπέρασμα. τὸ ε ὡς εἴωθε πολλάκις
γίνεσθαι, οὐδ' οὕτω συλλογισμὸς εἷς γίνεται κυρίως. ἀλλ' εἷς τῇ θέσει. Εἰ δὲ ἐκ τῶν γ' δ' συνάξεις τὸ
ε. τὸ δὲ ά καὶ τὸ β' οὐ συνάξεις. ἀλλὰ ἄλλο ἤγουν τὸ ζ, πολλοὶ καὶ οὕτως εἰσὶν οἱ συλλογισμοί. διότι καὶ
αἱ προτάσεις ἀσυνάρτητοι πρὸς ἀλλήλας εἰσίν. οὐδὲ γὰρ τὸ ζ εἴληπται ἐν τῷ συλλογισμῷ. οὐδὲ περιέχεται
ὑπὸ τοῦ γ' ἢ τοῦ δ'. ἢ περιέχει αὐτά. εἰ δὲ τὸ γ' πρὸς τὸ δ' οὐδεμίαν σχέσιν ἔχει οὐδὲ περιέχει αὐτό, μάτην
ἐλήφθησαν ὡς μὴ ποιοῦντα συλλογισμόν. ἐκ γὰρ ἀσυναρτήτων προτάσεων καὶ ὅρων, συλλογισμὸς οὐ
γίνεται. εἰ μή που πολλάκις τὸ γ' καὶ τὸ ε ἐλήφθησαν, χάριν ἐπαγωγῆς. ἤ τις ἐκ τῶν μερικῶν πιστοῦται
τὸ καθόλου. ἐν γὰρ τῇ ἐπαγωγῇ, λαμβάνομεν ὅροις ἀσυναρτήτοις. οἷον πιστοῦμεν ὅτι πᾶν ζῷον τὴν κάτω
γένυν κινεῖ. λαβόντες ὅτι καὶ ὁ ἵππος καὶ ὁ ὄνος καὶ ὁ βοῦς καὶ τὰ λοιπὰ ζῷα, τὴν κάτω γένυν κινοῦ-
σι. ἢ πολλάκις διὰ ἀπόκρυψιν, ἀσυναρτήτοις λαμβάνομεν τὰς προτάσεις, διὰ τὸ λαθεῖν τὸν προσδια-
λεγόμενον. μέλλοντες γὰρ δεῖξαι ὡς ἡ ἡδονὴ ἀγαθόν, λαμβάνομεν ἡ ἡδονὴ ἐφετόν. εἶτα οὐ λέγομεν ὅτι
τὸ ἐφετὸν ἀγαθόν. ἵνα μὴ ὁ προσδιαλεγόμενος συναισθόμενος τὸ συναχθησόμενον, οὐ συγχωρήσει τὴν
πρότασιν. ἐρωτῶμεν μὲν πολλὰ ἀσυνάρτητα. ἆρά γε τὸ ἐφετὸν τῶν πολλαχῶς λεγομένων ἐστί. τί δὲ τὸ
ἐφετὸν καὶ τὸ ὀρεκτὸν ταυτά εἰσιν, ἆρά γε ἡ ἔφεσις ὄρεξίς ἐστιν ἀγαθοῦ, εἶτ' οὕτως αὐτὰ συνάγοντες ὕστερον
πάντα τὰ παρ' αὐτοῦ συγκεχωρημένα, ἐπάγομεν ἡ ἡδονὴ ἄρα ἀγαθόν. ἢ λαμβάνομεν τὰ ἀσυνάρτητα
δι' αὐτὸ λαθεῖν μηκύνοντες τὸν λόγον. καὶ τὴν οἰκείαν δύναμιν ἐντεῦθεν αὐτοὶ δεικνύμενοι. μέλλοντες γὰρ δεῖ-
ξαι τὸ δίκαιον ἀγαθόν, τοῦ προσδιαλεγομένου μὴ συγχωροῦντος τοῦτο τὸ ἀγαθὸν εἶναι. ἐρωτῶμεν μὲν ἆρά
γε τὸ δίκαιον ἐπαινετόν ἐστιν, τί δὲ οὐ τοὺς ἀδίκους διαβάλλομεν, ἆρά γε τὸ δίκαιον εὐταξίας αἴτιον.
ἆρά γε καλόν ἐστι. τί δὲ τὸ καλὸν οὐκ ἐπιστρέφει πάντας καὶ καλεῖ πρὸς ἑαυτό, οὐχὶ τὸ ὄνομα ἔχει ἐκ
τοῦ καλεῖν πρὸς ἑαυτὸ πάντας, οὐ πάντες ἐρῶσιν αὐτοῦ. τί δὲ οὗ πάντα ἐφίεται οὐκ ἀγαθόν ἐστιν. εἶτα ἐπά-
γομεν τὸ δίκαιον ἄρα ἀγαθόν ἐστιν. Εἰ δὲ ἐκ τῶν ά β' μὴ τὸ ε συναχθῶσι συμπέρασμα ἀλλ' ἄλ-
λο τι ἤγουν τὸ ζ. ἐκ δὲ τῶν γ' δ'. ἢ τὸ ἕτερον τούτων συνεχῶς ἢ τὸ ά ἢ τὸ β'. ἢ ἄλλο παρὰ ταῦτα ἤ-
γουν τὸ θ', πλείους καὶ οὕτω γίνονται οἱ συλλογισμοί, καὶ οὐχὶ τοῦ προκειμένου. ἤγουν οὐ δεικνύουσι τὸ προκεί-
μενον. τουτέστι τὸ ε. τὸ γὰρ ε ὑπέκειτο δειχθῆναι διὰ τοῦ συλλογισμοῦ. εἰ δὲ μὴ γίνεται ἐκ τῶν γ' δ' τὸ ε συμπέ-
ρασμα τοῦτό ἐστιν ἡ ἐπεξεργασία. ἣν ὄπισθεν εἴπομεν καταληφθῆναι. διὰ λήθην δὲ τῶν ἀντιγραφέων, ἀν-
τὶ τοῦ γράψαι. ἐκ τῶν ά β' γέγραπται ἐκ τῶν γ' δ'. εἰ γὰρ τὸ ά β' ἀσυνάρτητά εἰσι. καὶ οὐ περιέχει τῷ ἑ-
τέρῳ τὸ ἕτερον, μάτην ἐλήφθησαν. ὡς μηδὲ συμπέρασμα συνάγοντα. μήτε μὴν ποιοῦντα συλλογισμὸν
δεικτικὸν τοῦ ἐξ ἀρχῆς ἤγουν συνάγεται τὸ ε. Ο μὲν κυρίως εἷς συλλογισμός. τοὺς μὲν ὅρους ἔχει
περιττοὺς ἤγουν τρεῖς. τὰς προτάσεις ἀρτίας. τὸ δὲ συμπέρασμα ἥμισυ τῶν προτάσεων. ἤγουν ἕν. ἐν ᾧ δὲ
συλλογισμῷ μὴ οὕτως ἔχουσιν οἱ ὅροι καὶ αἱ προτάσεις. καὶ γὰρ τινὰ τῶν ἔνδοθεν συμπερασμάτων. ἤγουν
καὶ γὰρ τὰ συμπεράσματα τῶν προσυλλογισμῶν καὶ τὰς προτάσεις, ἀνάγκη λαμβάνειν ἅμα. καὶ ἐκφέ-
ρειν οὐ τὰς εἰς ἀπάρτισιν συλλογισμοῦ. οὗτος ὁ λόγος ἤγουν ὁ συλλογισμὸς ὁ ἐκ πλειόνων προτάσεων συγ-
κείμενος. ἢ οὐ συνελογίσατο καὶ ἔδειξε τὸ προκείμενον εἰς ἀπόδειξιν. ἀλλὰ ἄλλο τι ἢ πλείω ἠρώτησε τῶν ἀναγ-
καίων προτάσεων. καὶ συμβαλλόμενος πρὸς τὴν θέσιν. ἤγουν πρὸς τὸ προκείμενον εἰς ἀπόδειξιν. ὁ γὰρ προσδια-
λεγόμενός τινι. καὶ μέλλων δεῖξαι τὸν ἄνθρωπον οὐσίαν, εἰ μὲν λάβῃ τὰς ἀναγκαίας προτάσεις καὶ συνεκτικὰς τοῦ
συμπεράσματος. ὅτι ὁ ἄνθρωπος ζῷον. τὸ ζῷον οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία, εὖ ἂν ἔχοι. εἰ δὲ λάβῃ ὅτι ὁ ἄνθρωπος γελα-
στικὸν ζῷον. τὸ ζῷον οὐσία, ἔλαβε προτάσεις πλείονας τῶν ἀναγκαίων καὶ μὴ συμβαλλομένας εἰς τὰ συμ-
περάσματα τινὸς δὲ εἰσὶν αὗται, ὁ ὁ ἄνθρωπος γελαστικόν, καὶ τὸ γελαστικὸν ζῷον. Ἐπεὶ γὰρ πλείους οἱ ὅροι τῶν
προτάσεων. οἱ γὰρ ὅροι τρεῖς ὄντες ὑπερέχουσι τῶν δύο προτάσεων, μονάδι ὥσπερ καὶ τὸ ἐκ δύο προτά-
σεων συμπέρασμα, ἥμισύ ἐστι τῶν προτάσεων ἤγουν ἕν. ὅταν δὲ προστίθενται καὶ γίνεται ὁ συλλογισμός, οὐ μό-
νον ἐκ τῶν δύο προτάσεων, ἀλλὰ καὶ διὰ προσυλλογισμῶν. ἤγουν καὶ διὰ τῶν προτάσεων τῶν ληφθέντων ἐν
τοῖς προσυλλογισμοῖς οἷον, τὸ δίκαιον. καλόν. τὸ καλὸν ἐπαινετόν. τὸ ἐπαινετὸν ἐφετόν. τὸ ἐφετὸν ἀγα-
θόν. τὸ δίκαιον ἄρα ἀγαθόν. ἢ ὅταν λάβῃς μέσα μὴ συνεχῆ. ἤγουν μὴ συνῳδημένα. ἀλλὰ κεκερμε-
μένως διακείμενα ἔνθεν καὶ ἐκεῖθεν τοῦ μέσου. οἷον ἔστωσαν ὅροι τοῦ συλλογισμοῦ, τὸ ά ε β'. μέσον τὸ

ε. λάβε

δύο προτάσεων. εἰ γὰρ βουλόμεθα δεῖξαι ἢ καταφατικόν τι ἢ ἀποφατικόν. οἷον, ὅτι τὸ α ὑπάρχει τῷ β.
ἢ ὅτι οὐχ ὑπάρχει, λαμβάνομεν μέσον ὅρον τὸ γ σχέσιν ἔχον καὶ πρὸς τὸ α καὶ πρὸς τὸ β. καὶ δι᾽ αὐτοῦ συ
νάγομεν ὅτι τὸ α ὑπάρχει τῷ β. ἢ ὅτι οὐχ ὑπάρχει. εἰ δὲ δι᾽ ἄλλων καὶ δι᾽ ἄλλων μέσων τὸ αὐτὸ συνάγο
μεν συμπέρασμα, πολλοὺς ποιοῦμεν συλλογισμούς. διὰ τὸ καὶ μέσους πολλοὺς λαβεῖν. καὶ ἐντεῦθεν καὶ
προτάσεις πολλάς. δείξομεν γὰρ ὅτι ὁ ἄνθρωπος οὐσία. καὶ διὰ μέσου τοῦ ζώου. καὶ διὰ μέσου τοῦ ἐμψύχου.
καὶ διὰ μέσου τοῦ αἰσθητικοῦ. λαβὲ γὰρ τὸ ε ἄνθρωπον. τὸ δ ἔμψυχον. τὸ γ ζῷον. τὸ β αἰσθητικόν. καὶ τὸ α
οὐσίαν. καὶ ἔστω συναχθὲν συμπέρασμα τὸ ε. ἤγουν ὅτι ὁ ἄνθρωπος οὐσία ἐστί. τοῦτο συνάξεις καὶ διὰ τῶν α β.
ἤτοι ὧν α β διὰ μὲν τοῦ α ἐδήλωσε τὴν πρότασιν τὴν ὅτι τὸ ζῷον οὐσία ἐστί· διὰ δὲ τοῦ β ἐδήλωσε τὴν πρότασιν
τὴν ὅτι τὸ ζῷον παντὶ ἀνθρώπῳ ὑπάρχει. ὡσαύτως δειχθήσεται ὁ ἄνθρωπος οὐσία. καὶ διὰ μέσου τοῦ γ. ἢ διὰ μέσου τοῦ
β. ἢ διὰ τῶν α β καὶ α γ καὶ β γ. τοῦτο βούλεται δεῖξαι ὅτι κἂν τὸ αὐτὸ συμπέρασμα συναχθῇ. οἷον ὅ
τι τὸ λευκὸν οὐ παντὶ ἀνθρώπῳ. διὰ τοῦ αὐτοῦ μέσου ἤγουν τοῦ αἰθίοπος μὴ τὴν αὐτὴν σχέσιν ἔχοντος
πρὸς τὰ ἄκρα, καὶ οὕτως οὐ συλλογισμὸς γίνεται εἷς, ἀλλὰ πολλοί. Δείκνυται γὰρ τὸ οὐ παντὶ καὶ ἐν
πρώτῳ καὶ ἐν δευτέρῳ καὶ ἐν τρίτῳ σχήματι. δείκνυται γὰρ ὅτι τὸ β ἤγουν τὸ λευκόν, οὐ παντὶ ὑπάρ
χει τῷ γ. ἤγουν τῷ ἀνθρώπῳ. διὰ τῶν α β. μέσου ληφθέντος τοῦ α ἐν πρώτῳ σχήματι. τὸ αὐτὸ πάλιν συνά
ξεις συμπέρασμα. καὶ διὰ τῶν α γ. ἤγουν ἐν β σχήματι, διὰ μέσου τοῦ α. εἰ γὰρ ἀντιστρέψας τὴν μεί
ζονα πρότασιν τοῦ πρώτου σχήματος. τὴν δὲ ἐλάττονα τηρήσας, ποιήσεις τὸ β σχῆμα. καὶ διὰ τῶν β
γ πάλιν τὸ αὐτὸ συμπέρασμα συναχθήσεται ἐν τρίτῳ σχήματι. εἰ γὰρ ἀντιστρέψας τὴν ἐλάττονα πρό
τασιν τοῦ πρώτου σχήματος καὶ τηρήσας τὴν μείζονα, ποιήσεις τὸ γ σχῆμα. ἤτοι διὰ τῶν α β. διὰ
μὲν τοῦ α ἐδήλωσε τὴν ἐλάττονα πρότασιν τοῦ πρώτου σχήματος. ὅτι ὁ αἰθίοψ τινὶ ἀνθρώπῳ ἐστί. διὰ δὲ τοῦ
β τὴν μείζονα. ὅτι τὸ λευκὸν οὐδενὶ αἰθίοπι ἐστίν. ἤτοι δὲ διὰ τοῦ α γ, ἐδήλωσε τὸ β σχῆμα. μέσος γὰρ
ὅρος ἐν αὐτῷ τὸ α ἐστί. διὰ δὲ τοῦ α γ, ἐδήλωσε τὸ γ σχῆμα. ἐν γὰρ τῷ τρίτῳ σχήματι τὸ γ ἤγουν ὁ ἄν
θρωπος κατηγορεῖται παντὶ αἰθίοπι. ἢ πάλιν ὅταν ἑκάτεραι τῶν α β. διὰ μὲν τοῦ α ἐδήλωσε τὴν μεί
ζονα πρότασιν. οἷον ὅτι τὸ ἀγαθὸν ὑπάρχει παντὶ καλῷ. διὰ δὲ τοῦ β ἐδήλωσε τὴν ἐλάττονα τὴν β γ
ὅτι τὸ καλὸν ὑπάρχει παντὶ δικαίῳ. καὶ δεῖται καὶ ἡ μείζων πρότασις ἡ α β, δειχθῆναι διὰ προ
συλλογισμοῦ. καὶ ἡ ἐλάττων ἡ β γ. καὶ οὕτως πάλιν πολλοὶ οἱ συλλογισμοί. γίνονται γὰρ πολ
λαὶ αἱ προτάσεις καὶ πολλὰ τὰ συμπεράσματα. ἢ τὸ μὲν ἤγουν ἡ μία πρότασις, δείκνυται [illegible]
μική, δι᾽ ἐπαγωγῆς. ἢ ὅτι πᾶσα τέχνη χρήσιμος τῷ βίῳ. διότι καὶ αἱ κατὰ μέρος καὶ αἱ λοιπαί. χρή
σιμοι τῷ βίῳ εἰσίν. οἷον, ἡ χαλκευτική. ἡ οἰκοδομική καὶ αἱ λοιπαί. ἡ δὲ ἑτέρα πρότασις ἡ ἐλάττων, ἡ
ὅτι ἰατρικὴ τέχνη ἐστί, δείκνυται διὰ προσυλλογισμοῦ. μέσου ὅρου ληφθέντος, τῆς μεθόδου ὁδοποιη
τικῆς. ἔστι δὲ ὁ συλλογισμὸς τοιοῦτος. ἰατρικὴ τέχνη ἐστί. πᾶσα δὲ τέχνη χρήσιμος τῷ βίῳ. ἡ ἰατρικὴ ἄ
ρα χρήσιμός ἐστι τῷ βίῳ. εἴτε γοῦν τῷ αὐτῷ συμπεράσματι δι᾽ ἄλλων καὶ δι᾽ ἄλλων μέσων συνάγεται.
εἴτε διὰ τοῦ αὐτοῦ μέσου. δι᾽ ἄλλων δὲ καὶ δι᾽ ἄλλων σχημάτων. εἴτε καὶ ἡ μείζων πρότασις διὰ προσυλ
λογισμοῦ δείκνυται. καὶ ἡ ἐλάττων διὰ προσυλλογισμοῦ. ἢ ἡ μία πρότασις δι᾽ ἐπαγωγῆς. ἡ δὲ ἑτέρα
διὰ προσυλλογισμοῦ, πολλοὶ οἱ προσυλλογισμοὶ γίνονται. εἰ δέ τις εἴποι ὅτι δυνατόν ἐστι λαβεῖν τὰς προ
τάσεις κατὰ συνέχειαν. καὶ ποιῆσαι συλλογισμὸν ἕνα, οὐ καλῶς λέγει. ἕνα μὲν γὰρ ποιεῖ συλλογι
σμὸν σύνθετον ἐκ πολλῶν προτάσεων συγκείμενον. κυρίως δὲ συλλογισμὸν ἕνα οὐ ποιεῖ. πολλοὶ γὰρ οἱ
συλλογισμοί. καὶ πολλὰ τὰ συμπεράσματα. οἷον, τὸ α. τὸ β. τὸ γ. ἓν μὲν γὰρ συμπέρασμα τὸ α β. ὅτι
τὸ καλὸν ἀγαθόν. ἄλλο συμπέρασμα τὸ α γ. ὅτι τὸ δίκαιον ἀγαθόν. καὶ ἄλλο συμπέρασμα, τὸ β γ.
ὅτι τὸ δίκαιον καλόν. εἰ δ᾽ οὖν μὴ πλείους ἀλλ᾽ εἷς. ἤγουν εἰ δὲ ὁ διὰ πλειόνων προτάσεων καὶ ὅρων συλ
λογισμὸς γινόμενος ἐν τῷ ληφθῆναι ἅμα καὶ τὰς προτάσεις καὶ τὰ συμπεράσματα τῶν προσυλλο
γισμῶν κατὰ συνέχειαν εἷς λέγεται, ἀλλ᾽ οὐ κυρίως ἐστὶν εἷς. ἀλλ᾽ εἷς τῇ συνθέσει. ὡς δὲ ὁ συλλογισμὸς
ὁ συνάγων τὸ γ συμπέρασμα διὰ τῶν α β κυρίως εἷς συλλογισμὸς λέγεται, οὐ λέγεται οὕτως κυ
ρίως εἷς καὶ ὁ διὰ πλειόνων προτάσεων συνάγων συμπέρασμα. εἰλήφθω δὲ τὸ γ ἀντὶ συμπεράσμα
τος. τὸ δὲ α καὶ τὸ β ἀντὶ δύο προτάσεων. ἐνδέχεται γὰρ διὰ πλειόνων τὸ αὐτὸ συμπέρασμα γί
νεσθαι. ἤγουν ἐνδέχεται γὰρ λαβεῖν καὶ τὰς πρὸ τῶν συλλογισμῶν προτάσεις. καὶ ταύτας κατὰ συνέ
χειαν εἰπόντας, ἐν αὐτῷ ἐπαγαγεῖν συμπέρασμα. ἀλλὰ κυρίως εἷς συλλογισμὸς οὗτος οὐκ ἔσται ἀλλὰ σύν
θετος. Ἔστω τὸ ε συμπερανθὲν ἐκ τῶν α β γ δ ὅρων. Βούλεται δεῖξαι ὅτι πᾶς συλλογι
σμὸς ἐκ δύο κυρίως προτάσεων συνάγεται. καὶ οὗτός ἐστι κυρίως εἷς. τοῦτο βουλόμενος δεῖξαι φησίν.
εἰ τὸ ε συνεπεράνθη. ἤγουν ὅτι τὸ δίκαιον ἀγαθόν ἐστιν, ἀνάγκη λαβεῖν ἕτερον καθ᾽ ἑτέρου κατηγορού
μενον. καὶ περιέχειν τὸ α τὸ β καὶ τὸ γ τὸ δ καὶ σχέσιν ἔχειν πρὸς ἄλληλα. ὡς τὸ μὲν εἶναι ὅλον. τὸ δὲ
μέρος. εἰ μὴ γὰρ, οἱ ὅροι πρὸς ἀλλήλους ἔχουσι σχέσιν. καὶ ἡ μείζων πρότασις περιέχει τὴν ἐλάττονα, ὡς ἡ
οὐσία παντὶ ζῴῳ. περιέχει τὴν τὸ ζῷον παντὶ ἀνθρώπῳ. εἰ δὲ οἱ ὅροι πρὸς ἀλλήλους ἄσχετοι καὶ αἱ
προτάσεις ἀσυνάρτητοι καὶ ἀκοινώνητοι πρὸς ἀλλήλας. ὡς τό, ὁ ἵππος ζῷόν ἐστιν. ὁ κύων τετράπους,
ὁ ἄνθρωπος δίπους, συλλογισμὸν οὐ ποιήσουσι. καὶ ἡ μὲν συνήχθη ἐκ τῶν α β. ἤτοι α, ἐδήλωσε

τῇ πλευρᾷ. τί δέ ἐστι τὸ ἄτοπον, τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις. καὶ ἐπεὶ ἀδύνατόν τι συνάγεται ἐκ τῆς ὑποθέσεως, λαμβάνομεν ὡς ὁμολογούμενον τὸ τὴν διάμετρον ἀσύμμετρον εἶναι τῇ πλευρᾷ. Ὥστ' αὐτὴ γίνεται συλλογισμὸς τοῦ ψεύδους ἤγουν τοῦ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις. ὁ δὲ συλλογισμός ἐστι δεικτικὸς ἤγουν κατηγορικὸς ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. τὸ δὲ ἐξ ἀρχῆς προκείμενον εἰς ἀπόδειξιν τὸ εἶναι δηλονότι τὴν διάμετρον ἀσύμμετρον, δείκνυται ἐκ τῆς ὑποθέσεως τῆς ὑποτιθείσης τὴν διάμετρον σύμμετρον εἶναι. ἐξ αὐτῆς γὰρ συνήγετο καὶ τὸ ψεῦδος τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις. ἐδείξαμεν δὲ τοὺς δεικτικοὺς συλλογισμοὺς πάντας, δι' ἑνὸς τῶν τριῶν σχημάτων γινομένους, ἀνάγκη λοιπὸν καὶ τοὺς δι' ἀδυνάτου συλλογισμούς, δι' ἑνὸς τῶν τριῶν σχημάτων γίνεσθαι. συλλογίζεται δὲ ἐν πρώτῳ σχήματι οὕτως ἀπὸ τῶν ἐν ὅλῳ. οἱ διὰ τοῦ ἀδυνάτου συλλογισμοί, τελειοῦνται, διὰ τοῦ δεικτικοῦ συλλογισμοῦ. πᾶς δεικτικὸς συλλογισμός, δι' ἑνὸς τῶν τριῶν σχημάτων γίνεται. πάντες ἄρα οἱ διὰ τοῦ ἀδυνάτου συλλογισμοί, δι' ἑνὸς τῶν τριῶν σχημάτων γίνονται. ἐν ἅπασι γὰρ τούτοις ὁ μὲν κατηγορικὸς συλλογισμὸς πρὸς τὸ μεταλαμβανόμενον γίνεται. ἤγουν πρὸς τὴν μετάληψιν. τὸ δὲ ἐξ ἀρχῆς προκείμενον εἰς ἀπόδειξιν, περαίνεται καὶ λαμβάνεται ὡς ὁμολογούμενον. οἷον βουλόμενοι δεῖξαι τὴν ψυχὴν ἀθάνατον, λέγομεν εἰ ἡ ψυχὴ θνητή ἐστι, φθείρεται λοιπὸν ὑπὸ τῆς ἰδίας κακίας. ἀλλὰ μὴν ὑπὸ τῆς ἰδίας κακίας οὐ φθείρεται. ἡ ψυχὴ ἄρα ἀθάνατος. καὶ τὴν μὲν πρόσληψιν δεικνύεις διὰ τοῦ δευτέρου σχήματος, οὕτως. οὐδεμία ψυχὴ φθείρεται ὑπὸ τῆς ἰδίας κακίας. τοῦτο ἡ ἐλάττων πρότασις. πᾶν τὸ φθειρόμενον ὑπὸ τῆς ἰδίας κακίας φθείρεται, οὐδεμία ἄρα ψυχὴ φθείρεται, τὸ δὲ ἐξ ἀρχῆς προκείμενον ὅτι ἡ ψυχὴ ἀθάνατος λαμβάνεις ὡς ὁμολογούμενον ἢ τινος ἄλλης ὑποθέσεως. ὡς ὁ Ἀριστοτέλης μέλλων δεῖξαι τὰ οὐράνια σώματα σφαιροειδῆ, λαμβάνει τὴν σελήνην ὁμοειδῆ οὖσαν αὐτοῖς. καί φησιν ἡ σελήνη ὁμοειδής ἐστι τοῖς οὐρανίοις σώμασιν. ὁ δὲ αὐτὴ ἐνὸς τῶν ὁμοειδῶν, τὸ τοιοῦτο καὶ αὐτὴ τῶν ἄλλων. ἐπεὶ δὲ ἡ σελήνη σφαιροειδὴς φαίνεται ἐκ τοῦ ποικίλα ἔχειν τὰ φωτίσματα, φαίνεται γὰρ κερατοειδής. εἶτα ἀμφίκυρτος. εἶτα μηνοειδής. εἶτα διχότομος. εἶτα ὑποθετικοὶ συλλογισμοὶ δι' ἑνὸς τῶν τριῶν σχημάτων τελειοῦνται, ἀνάγκη ἄρα καὶ πάντα συλλογισμὸν καὶ ὑποθετικόν, διὰ τῶν τριῶν σχημάτων γίνεσθαι. πᾶς δὲ συλλογισμὸς ἐν β' καὶ γ' σχήματι τελειοῦται διὰ τοῦ α' σχήματος. καὶ ἀνάγεται εἰς τοὺς β' καθόλου συλλογισμοὺς τοὺς ἐν τῷ α' σχήματι. ἐν ἅπαντι δὲ συλλογισμῷ, δεῖ κατηγορικόν τινα ὅρον εἶναι. ἐὰν γὰρ ὦσιν οἱ δύο ἀποφατικοί, συλλογισμὸς οὐ γενήσεται. ὡσαύτως καὶ ἐν παντὶ συλλογισμῷ, δεῖ εἶναι καθόλου πρότασιν. ἀπὸ γὰρ δύο μερικῶν συλλογισμὸς οὐ γίνεται. Ἀλλ' οὐδὲ πρὸς τὸ προκείμενον εἰς ἀπόδειξιν ἡ λῆψις τῶν δύο μερικῶν προτάσεων συντελέσει σοι ἢ τὸ ἐξ ἀρχῆς αἰτήσεται.

Τὸ ἐξ ἀρχῆς αἰτεῖν λέγεται ὅταν τὸ προκείμενον εἰς ἀπόδειξιν τοῦτο αὐτὸ πάλιν λάβῃς, εἰς ἀπόδειξιν αὐτοῦ. οἷον, εἰ προτιθεῖ δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατος, αὐτὸ τοῦτο λάβωμεν πάλιν εἰς ἀπόδειξιν αὐτοῦ. τὸ ἡ ψυχὴ ἀθάνατος. διότι ἀθάνατος οὐδέν ἐστι. ἀλλὰ τὸ αὐτοκίνητον ἢ τὸ ἀΐδιον λάβωμεν. καὶ πάλιν εἰ πρόκειται δεῖξαι ὅτι ἡ μουσικὴ ἡδονὴ ἐστί. πᾶσα ἡδονὴ σπουδαία ἐστὶν ἢ ἀγαθή. εἰ μὲν συλλογίσῃ οὕτως οὖν ἔχοι. ἡ μουσικὴ ἡδονή, ἡδονή ἐστι. πᾶσα ἡδονὴ σπουδαία ἐστίν. ἡ μουσικὴ ἄρα ἡδονὴ σπουδαία ἐστίν. εἰ δὲ μὴ λάβῃς τὸ πᾶσα ἀλλ' ἐρεῖς ὅτι ἡ μουσικὴ ἡδονή, ἡδονή ἐστιν. ἡ ἡδονὴ σπουδαία ἐστίν. ἤγουν τὶς ἡδονὴ σπουδαία ἐστίν. αἱ γὰρ ἀπροσδιόριστοι προτάσεις, ἰσοδυναμοῦσι ταῖς μερικαῖς. εἰ μὲν οὖν λάβῃς τινά, ἡδονὴν εἶναι σπουδαίαν μὴ λαβὼν τὴν μουσικὴν ἀλλὰ τὴν ἐκ τῆς γεωμετρίας οὐ δείξεις τὸ προκείμενον. οὐ γὰρ εἰ ἔστιν ἡ γεωμετρικὴ ἡδονὴ σπουδαία, ἀναγκαῖον εἶναι καὶ τὴν μουσικὴν ἡδονὴν σπουδαίαν. εἰ δὲ λάβῃς τινὰ ἡδονὴν εἶναι σπουδαίαν οὖν τὴν μουσικὴν ἡδονήν, τὸ ἐξ ἀρχῆς λαμβάνεις. ἤγουν τὸ ὃ προέκειτο εἰς ἀπόδειξιν, τοῦτο ἔλαβες εἰς ἀπόδειξιν αὐτοῦ τούτου. Μᾶλλον δὲ γίνεται φανερὸν τοῦτο τὸ μὴ εἶναι δυνατὸν συλλογισμὸν γενέσθαι ἄνευ καθόλου προτάσεως, ἐν τοῖς διαγράμμασι. Διαγράμματα δὲ λέγεται τὰ τρίγωνα καὶ τετράγωνα ὡς ἐκ γραμμῶν συγκείμενα. Ζητεῖ ὁ γεωμέτρης εἰ αἱ πρὸς τῇ βάσει γωνίαι τοῦ ἰσοσκελοῦς τριγώνου, ἴσαι ἀλλήλαις εἰσί. καὶ πρὸς ἀπόδειξιν τούτου καταγράφει κύκλον. καὶ ἄγει δύο εὐθείας διὰ τοῦ κέντρου. τὴν β' δ'. καὶ τὴν α' γ'. δίχα τέμνουσας τὸν κύκλον, ἤγουν εἰς δύο ἡμικύκλια. καὶ ὅτι τὸ μὲν καθόλου συμπέρασμα συνάγεται ἐκ δύο καθόλου προτάσεων. τὸ δὲ μερικὸν συμπέρασμα εἴτε καταφατικόν ἐστιν εἴτε ἀποφατικόν, συνάγεται καὶ οὕτω κἀκείνως. οἷον τὸ μὲν τινὶ καὶ τὸ οὐ παντὶ ἐν πρώτῳ σχήματι τῆς μιᾶς οὔσης καθόλου προτάσεως. τῆς δὲ ἑτέρας μερικῆς. ἐν δὲ τῷ τρίτῳ σχήματι συνάγεται ἀπὸ δύο καθόλου τῆς πᾶς καὶ πᾶς. ὡσαύτως καὶ τὸ οὐ παντί. ἐν μὲν τῷ πρώτῳ σχήματι, συνάγεται ἀπὸ τῆς οὐδείς. καὶ τίς. ἐν δὲ τῷ τρίτῳ, ἀπὸ τῆς οὐδεὶς καὶ πᾶς. ἐν ἅπαντι συλλογισμῷ εἰ τὸ συμπέρασμά ἐστι καταφατικόν, ἀναγκαῖον καὶ ἀμφοτέρας τὰς προτάσεις εἶναι καταφατικάς. εἰ δὲ τὸ συμπέρασμά ἐστιν ἀποφατικόν, ἀνάγκη τὴν μίαν εἶναι ἀποφατικήν. Ἄλλας κατηγορίας νόει τὸν δυνατὸν τρόπον. καὶ τὸν ἔνδοξον. καὶ πότε δυνατός. ἤγουν πότε ἐστὶν ἀτελὴς δύναται δὲ τελειωθῆναι. δῆλον δὲ καὶ ὅτι πᾶσα ἀπόδειξις ἔσται διὰ τριῶν ὅρων καὶ οὐ πλειόνων. Βούλεται δεῖξαι ὅτι πᾶς συλλογισμὸς διὰ τριῶν ὅρων γίνεται καὶ

δύο

τοῦ δ' κατηγορηθέν, ποιήσας τὸ β' σχῆμα. εἰ δὲ ἄλλο ἤγουν τὸ δ' κατὰ τοῦ α' κατηγορήσεις, ποιήσας τὸ α'. εἰ δὲ κατὰ τοῦ γ' κατηγορήσεις ἕτερον ἤγουν τὸ δ' ποιήσας τὸ γ'. καὶ εἰ οὕτω λάβῃς τὰς προτάσεις. οὐδὲν κωλύει γενέσθαι συλλογισμόν. πλὴν δὲ διὰ τῶν ληφθεισῶν προτάσεων, πρὸς τὸ β' τὸ α' οὐ συμπεραίνεις. ἤγουν οὐ δείξεις ὅτι τὸ α' ὑπάρχει τῷ β'. διὰ τὸ μὴ τὰς ληφθείσας προτάσεις συνάπτεσθαι. καὶ συνεχίζεσθαι πρὸς τὸ β' καὶ σχέσιν τινὰ ἔχειν πρὸς αὐτό. οὐ μόνον δὲ εἰ λάβῃς δύο προτάσεις μὴ συναπτομένας τῷ β' οὐ συνάξεις ὅτι τὸ α' ὑπάρχει τῷ β', ἀλλ' εἰ καὶ πλείονας προτάσεις λάβῃς οἷον ὅτι τὸ α' κατὰ τοῦ γ'. τὸ γ' κατὰ τοῦ δ'. τὸ δ' κατὰ τοῦ ε'. τὸ ε' κατὰ τοῦ ζ'. μὴ συνάπτονται δὲ αὗται πρὸς τὸ β' μηδὲ σχέσιν τινὰ ἔχουσιν, οὐδ' οὕτως ἔσται συλλογισμός. ἤγουν οὐδ' οὕτως ἀποδείξεις ὅτι τὸ α' ὑπάρχει τῷ β'. πᾶς μὲν συλλογισμός, ἐκ δύο προτάσεων σύγκειται. συμβαίνει δὲ πολλάκις καὶ πλείονας προτάσεις λαμβάνειν. ὅταν αἱ προτάσεις αἱ ληφθεῖσαι δέωνται ἀποδείξεως. καὶ διὰ προσυλλογισμῶν ἀποδεικνύομεν ταύτας καὶ λαμβάνομεν καὶ τῶν προσυλλογισμῶν τὰς προτάσεις. καὶ οὕτω πλείους αἱ προτάσεις γίνονται. Ὅλως γὰρ οὐ γίνεται συλλογισμὸς ἄλλος κατ' ἄλλου. ἤγουν τοῦ α' πρὸς τὸ β'. εἰ μὴ ληφθῇ μέσος ὅρος ἔχων κοινωνίαν καὶ πρὸς τὸ α' καὶ πρὸς τὸ β'. πᾶς συλλογισμὸς ἐκ προτάσεων σύγκειται. ὁ δὲ πρὸς τοῦτο συλλογισμός. ἤγουν ὁ πρὸς τὸ ἔσχατον ἄκρον συλλογισμός. ἤγουν τὸ β' ἐκ τῶν πρὸς τοῦτο τὸ β' προτάσεων ἤγουν ἐκ τῶν συνεπομένων αὐτῷ γίνεται. Ἐνταῦθα ζητεῖται πῶς τοῦτο εἴρηκεν ὁ ἀριστοτέλης ὅτι συλλογισμὸς καὶ ἀπόδειξις γίνεται τοῦ ὑποκειμένου ἤγουν τοῦ β'. καὶ μὴν οὐδέποτε δεικνύομεν τὸ ὑποκείμενον. εἰ γὰρ ὑποκείμενόν ἐστιν ἡ ψυχή, ὁ συλλογισμὸς οὐκ ἀποδεικνύει τὴν ψυχήν. ἀλλά τι πάθος ὑπάρχον αὐτῇ. οἷον τὸ ἀθάνατον. ἢ τὸ ἀΐδιον. ἢ τὸ αὐτοκίνητον. τοῦτο γοῦν γνοὺς ὁ ἀριστοτέλης, αὐτὸς διορθούμενος ἑαυτόν φησιν. ὁ συλλογισμὸς τοῦδε πρὸς τόδε. ἤγουν ὅτι τὸ ἀθάνατον ὑπάρχει τῇ ψυχῇ, γίνεται ἐκ προτάσεων συνεπομένων καὶ κοινωνίαν ἐχουσῶν καὶ πρὸς τὸ ἀθάνατον καὶ πρὸς τὴν ψυχήν. ἀδύνατον δὲ λαβεῖν πρότασιν συναπτομένην τῷ β' εἰ μὴ λάβομεν ὅρον τινὰ ἢ τοῦ β' κατηγορούμενον ἢ ἀπαρνούμενον. ἢ πάλιν εἰ μὴ λάβωμεν κοινὸν ὅρον. κοινωνίαν ἔχοντα καὶ πρὸς τὸ α' καὶ πρὸς τὸ β' ἀλλὰ κατηγορουμένους λάβωμεν τινὰ ἑκατέρου. ἤγουν καὶ τοῦ α' καὶ τοῦ β' ἰδίᾳ. ἤγουν κεχωρισμένους. ἢ ἀπαρνουμένους καὶ ἀποφασκομένους. μηδεμίαν δὲ κοινωνίαν ἔχοντας πρὸς ἀλλήλους. εἰ λάβῃς ὅτι τὸ ἀθάνατον ὑπάρχει τῷ ἀγγέλῳ. τὸ σφαιροειδὲς ὑπάρχει τῷ οὐρανῷ τὸ ἀΐδιον ὑπάρχει τῇ ψυχῇ, ἰδοὺ πολλὰς προτάσεις ἔλαβες μὴ συναπτομένας ἀλλήλαις. ὥστε ληπτέον τι μέσον τοῦ α' καὶ τοῦ β' κοινωνίαν ἔχον καὶ πρὸς ἀμφότερα. ὃν οὕτω συνάψει τὴν κατηγορίαν τοῦ α' πρὸς τὸ β' εἴπερ μέλλεις ποιῆσαι συλλογισμόν, τὸ δὲ τοῦ α' πρὸς τὸ β'. εἰ οὖν ἀνάγκη λαβεῖν μέσον ὅρον κοινωνίαν ἔχοντα καὶ πρὸς τὸ α' καὶ πρὸς τὸ β'. οὗτος ὁ μέσος ὅρος τριχῶς λαμβάνεται. ἢ γὰρ κατηγορήσας τὸ α' κατὰ τοῦ γ'. καὶ τὸ γ' κατὰ τοῦ β'. καὶ γίνεται τὸ πρῶτον σχῆμα. ἢ τὸ γ' κατηγορήσας κατ' ἀμφοτέρων καὶ τοῦ α' καὶ τοῦ β'. καὶ ποιήσας τὸ β' σχῆμα. ἢ ἄμφω καὶ τὸ α' καὶ τὸ β' κατηγορήσας κατὰ τοῦ γ' καὶ ποιήσας τὸ γ' σχῆμα. ταῦτα δέ εἰσι τὰ εἰρημένα σχήματα. ἃ ἐφθάσαμεν διδάξαι. φανερὸν ὅτι πᾶς συλλογισμὸς ἔτι ἐκ δύο προτάσεων συγκεῖται δι' ἑνὸς τῶν γ' σχημάτων γίνεται. Ἡ βάσις τοῦ ἰσοσκελοῦς τριγώνου ἤγουν ἡ ε ζ εὐθεῖα, τμῆμά τι τοῦ κύκλου ἀποτέμνει. γίνεται δὲ τὸ ἰσοσκελὲς τρίγωνον, διὰ τῶν εὐθειῶν τῶν διὰ τοῦ κέντρου ἠγμένων. δέδεικται ὅτι αἱ τοῦ ἡμικυκλίου γωνίαι. ἤγουν ἡ α γ. καὶ ἡ β δ ἴσαι εἰσίν. ἴσαι δέ εἰσι καὶ αἱ τοῦ τμήματος γωνίαι. ἡ γ καὶ ἡ δ. εἰ δὲ ἀπὸ τῶν ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα εἰσίν. ἀφαιρεθεισῶν γοῦν ἐκ τῶν α γ καὶ τῶν β δ γωνιῶν ἴσων οὐσῶν αἱ γ καὶ αἱ δ γωνίαι ἴσαι οὖσαι, τὰ καταλειπόμενα ἴσα ἐποίησαν. τὴν ε καὶ τὴν ζ γωνίαν. αἵ εἰσι τοῦ τριγώνου γωνίαι. ἡ α γ καὶ ἡ β γ γωνίαι εἰσὶν ἡμικυκλίων τῶν τεμνομένων διὰ τῶν δύο εὐθειῶν τῶν διὰ τοῦ κέντρου ἠγμένων. ἤγουν τῆς α καὶ τῆς β. Δείξας ὅτι οἱ δεικτικοὶ πάντες συλλογισμοί. ἤγουν οἱ κατηγορικοὶ δι' ἑνὸς τῶν τριῶν σχημάτων γίνονται, δείκνυσιν ὅτι καὶ οἱ ὑποθετικοὶ πάντες οἱ τὴν πρόσληψιν ἔχοντες. ἤγουν τὸ ἀλλὰ μήν, δι' ἑνὸς τῶν τριῶν σχημάτων δείκνυνται. καὶ πρῶτον μὲν δείκνυσι τὴν εἰς ἀδύνατον ἀπαγωγήν, μέρος οὖσαν τῶν ὑποθετικῶν συλλογισμῶν, διὰ τοῦ κατηγορικοῦ πληρουμένην συλλογισμοῦ. ὃν ἐδείξαμεν δι' ἑνὸς τῶν τριῶν σχημάτων γινόμενον. πάντες γὰρ οἱ περαίνοντες καὶ δεικνύοντες. τι διὰ τοῦ ἀδυνάτου, τὸ μὲν ψεῦδος συλλογίζονται. ἤγουν τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις, διὰ τοῦ κατηγορικοῦ συλλογισμοῦ. ὅπερ τοῦτο τὸ ψεῦδος περιηκολούθησεν ἐκ τοῦ ὑποθέσθαι τὴν διάμετρον σύμμετρον εἶναι τῇ πλευρᾷ. τὸ δὲ ἐξ ἀρχῆς. ἤγουν ὅτι ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ, δείκνυται ἐκ τῆς ὑποθέσεως. ἀφ' ἧς συνήχθη τὸ ἄτοπον. ἀδύνατον γάρ τι συμβαίνει. ἤγουν τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις τῆς ἀντιφάσεως τεθείσης. ἀντίφασιν δὲ νοητέον ἐνταῦθα, τὴν ἀντίθεσιν. οὐ γὰρ τὸ σύμμετρον ἀντιφατικῶς ἀντίκειται τῷ ἀσυμμέτρῳ. ἀλλὰ τὰ κατὰ στέρησιν καὶ ἕξιν. ἀλλ' ἐπαναληπτέον τὸν λόγον διὰ τὸ σαφέστερον. εἰ πρόκειταί τι πρὸς ἀπόδειξιν οἷον ὅτι ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ. καὶ οὐ δυνάμεθα ἀποδεῖξαι τοῦτο διὰ τοῦ κατηγορικοῦ συλλογισμοῦ, λαμβάνομεν τὸ ἀντικείμενον τούτου ἤγουν τὸ σύμμετρον. καὶ δεικνύομεν ἄτοπόν τι συναγόμενον. ἀπὸ τοῦ ὑποθέσθαι τὴν διάμετρον σύμμετρον

πέρασμα καὶ τὸ οὐ παντὶ ἐνδεχομένως· καὶ τὸ οὐ παντὶ ὑπαρχόντως. ὥστε συναχθήσεται καὶ τὸ α τῷ β τινὶ μὴ ὑπάρχειν ἐξ ἀνάγκης. ἤγουν ὅτι οὐ παντὶ ἐξ ἀνάγκης τῷ β· τὸ γὰρ οὐ παντὶ ἀνάγκη, ἐπάγει καὶ τὸ οὐ παντὶ ἐνδεχομένως. καὶ τὸ παντὶ ὑπαρχόντως.

Περὶ τῶν δεικτικῶν συλλογισμῶν.

Διδάξας περὶ τῆς μίξεως τῶν μετὰ τρόπου προτάσεων, ἐπανακεφαλαιοῦται νῦν καὶ φησίν. ὅτι πάντες οἱ συλλογισμοὶ οἱ ἐν τούτοις τοῖς σχήμασιν ἤγουν οἱ ἐν τῷ β καὶ γ. καὶ οἱ ἐν τῷ πρώτῳ μερικοὶ συλλογισμοὶ τελειοῦνται διὰ τῶν ἐν τῷ α σχήματι καθόλου δύο συλλογισμῶν. καὶ τοῦτο μὲν ἔφθασε δεῖξαι. νῦν δὲ μέλλει δεῖξαι ὅτι πᾶς συλλογισμὸς εἴτε κατηγορικός, εἴτε ὑποθετικός ἐστιν, εἰς ἓν τῶν τριῶν σχημάτων ἀνάγεται. εἰ γὰρ πᾶς κατηγορικὸς δειχθῇ ὑπὸ ἓν τῶν τριῶν σχημάτων ἀναγόμενος, δῆλον ὅτι καὶ οἱ ὑποθετικοὶ συλλογισμοὶ ὑπὸ ἓν τῶν τριῶν σχημάτων ἀνάγονται. εἴγε καὶ οὗτοι ὑποθετικοί, δέονται τοῦ κατηγορικοῦ συλλογισμοῦ εἰς τὸ τελειωθῆναι. Δεικτικοὶ λέγονται συλλογισμοί, οἱ κατηγορικοί. οἱ διὰ κατηγορικῶν προτάσεων συνάγοντες ἐξ ὀρθοῦ καὶ ἐπ' εὐθείας, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἢ ὅτι θνητὴ οὐκ ἔστιν. οἱ δὲ δι' ὅλων ὑποθετικοὶ συλλογισμοὶ οἱ καὶ διὰ τριῶν λεγόμενοι, οὐχ ἁπλῶς κατασκευάζουσιν ὅτι ὁ θεὸς ἀΐδια ποιεῖ. ἀλλὰ τῇ ὑποτιθείσῃ ὑποθέσει. ἤγουν τῇ εἰ ὁ θεὸς ἀγαθός ἐστιν, ἀκολουθεῖ καὶ τὸ ὁ θεὸς ἀΐδια ποιεῖ. δι' ὅλων μὲν λέγονται ὑποθετικοί. διότι πᾶσαι αἱ λαμβανόμεναι προτάσεις ὑποθετικῶς λαμβάνονται. διὰ τριῶν δέ, διότι διὰ τριῶν ὑποθέσεων περαίνονται. μία μὲν ὑπόθεσις τὸ εἰ ὁ θεὸς δίκαιος, ἔστι τὰ ἐν ᾅδῃ δικαιωτήρια. ἑτέρα δὲ εἰ τὰ ἐν ᾅδῃ δικαιωτήριά ἐστι, θνηταὶ οὐκ εἰσὶν αἱ τῶν ἀνθρώπων ψυχαί. καὶ αὖθις τρίτη. εἰ ὁ θεὸς δίκαιος, αἱ τῶν ἀνθρώπων ψυχαὶ θνηταὶ οὐκ εἰσί. διὰ τοῦτο λέγει τὸν δι' ἀδυνάτου συλλογισμὸν μέρος εἶναι τῶν ὑποθετικῶν συλλογισμῶν. διότι πᾶς μὲν δι' ἀδυνάτου συλλογισμός, ὑποθετικοῖς χρῆται συλλογισμοῖς δῆλον. δέεται δὲ καὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ, εἰς τὸ τελειωθῆναι. οἷον εἴ τις διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς μέλλοι δεῖξαι τὴν διάμετρον ἀσύμμετρον τῇ πλευρᾷ, ἐρεῖ οὕτως ἡ διάμετρος τῇ πλευρᾷ ἢ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος, ἀλλὰ μὴν ἀσύμμετρός ἐστιν. οὐ σύμμετρος ἄρα. εἰ δέ τις ἐρωτήσει πῶς οὐκ ἔστι σύμμετρος, συλλογίσεται οὕτως. εἰ ἡ διάμετρος σύμμετρος τῇ πλευρᾷ ἐστίν, ὁ αὐτὸς ἀριθμός, ἔσται καὶ ἄρτιος καὶ περιττός. ἀλλὰ μὴν ὁ αὐτὸς ἀριθμὸς καὶ ἄρτιος καὶ περιττὸς οὐκ ἔστιν, οὐκ ἄρα ἡ διάμετρος ἔσται σύμμετρος τῇ πλευρᾷ. τὸ δὲ ἀλλὰ μὴν ἀδύνατον τὸν αὐτὸν ἀριθμὸν καὶ ἄρτιον εἶναι καὶ περιττόν, δείκνυσι διὰ κατηγορικοῦ συλλογισμοῦ οὕτως. ὁ ὀκτὼ καὶ ἐννέα ὑποδιπλάσιοι εὑρίσκονται τοῦ αὐτοῦ καὶ ἑνὸς ἀριθμοῦ τοῦ δεκαέξ. τὰ δὲ τοῦ αὐτοῦ καὶ ἑνὸς ἀριθμοῦ ὑποδιπλάσια εὑρισκόμενα ἀνάγκη καὶ ταυτὰ εἶναι. ὁ ὀκτὼ ἄρα καὶ ὁ ἐννέα ταυτὰ ἀλλήλοις εἰσίν. ἡ μὲν ἀλήθεια ἔχει ὅτι ἡ διάμετρος ἀσύμμετρός ἐστι τῇ πλευρᾷ. διάμετρος δὲ λέγεται ἡ γραμμὴ ἡ δίχα τέμνουσα τὸ τετράγωνον. εἰ δέ τις λέγει τὴν διάμετρον σύμμετρον εἶναι τῇ πλευρᾷ. σύμμετρα δέ εἰσι τὰ τὸν αὐτὸν λόγον ἔχοντα ὃν ἔχει ἐπιμόριος ἀριθμὸς πρὸς ἐπιμόριον ἀριθμόν. ἔστω ἡ μὲν διάμετρος δ. ἡ δὲ πλευρὰ γ. ἐπιμόριος δὲ λέγεται ὁ δ πρὸς τὸν γ. ἔχει γὰρ ὅλον τὸν γ καὶ τὸ τρίτον αὐτοῦ. ὥσπερ καὶ ὁ τρίτος πρὸς τὸν δύο λέγεται ἐπιμόριος. ἔχει γὰρ ὅλον τὸν β καὶ τὸ ἥμισυ αὐτοῦ. καὶ λέγεται οὗτος ἡμιόλιος. ὁ δὲ δ πρὸς τὸν τρία. καὶ ἀπὸ τῆς πλευρᾶς ἐστι τὸ ἐμβαδὸν τοῦ τετραγώνου. οὗ ἐστιν ἡ διάμετρος. θ. τρὶς γὰρ τρεῖς ἐννέα. τὸ δὲ τετράγωνον τὸ ἀπὸ τῆς διαμέτρου ἀναγραφόμενον, ἔστι ις. τετράκις γὰρ τὰ δ ις. καὶ ἐπειδὴ δείκνυσιν ὁ γεωμέτρης. ὅτι τὸ ἀπὸ τῆς διαμέτρου ἀναγραφόμενον τετράγωνον διπλάσιόν ἐστι τοῦ τετραγώνου οὗ ἐστιν ἡ διάμετρος, εὑρίσκεται ὁ ις διπλάσιος τοῦ ἐννέα. ἀλλὰ μὴν ἐστὶ καὶ τοῦ η διπλάσιος. καὶ εἰ τοῦ η καὶ τοῦ θ διπλάσιος εὑρίσκεται ὁ ις. ἔστι γὰρ καὶ ὁ η καὶ ὁ θ ταυτά. ἤγουν ἄρτιοι ἢ περιττοί. τὸ δὲ ἀδύνατον τοῦτο συνήχθη, ἀπὸ τοῦ ὑποθέσθαι τὴν διάμετρον σύμμετρον τῇ πλευρᾷ. καὶ λοιπὸν σύμμετρος οὐκ ἔστιν, ἀσύμμετρος ἄρα. πρῶτον οὖν εἴπωμεν περὶ τῶν δεικτικῶν συλλογισμῶν. ἤγουν τῶν κατηγορικῶν. καὶ εἰ δειχθῶσιν οἱ κατηγορικοὶ συλλογισμοὶ ὑφ' ἓν τῶν τριῶν σχημάτων ἀναγόμενοι, φανερὸν ὅτι καὶ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ καὶ οἱ ὑποθετικοὶ συλλογισμοί, ὑφ' ἓν τῶν τριῶν σχημάτων ἀναχθήσονται. εἰ γοῦν πρόκειται δεῖξαι ὅτι τὸ α ὑπάρχει παντὶ τῷ β ἢ οὐδενί, ἀνάγκη λαβεῖν τι κατά τινος. ἤγουν ἐκ προτάσεων τοῦτο δεῖξαι. καὶ εἰ βούλει, λάβε τὸ α ἀθάνατον. τὸ δὲ β ψυχήν. εἰ γοῦν ἀπαιτούμενος δεῖξαι διατί ὑπάρχει τὸ α τῷ β λάβῃς αὐτὸ τοῦτο, εἰς τὸ δεῖξιν αὐτοῦ καὶ ἐρεῖς. διότι ὑπάρχει τὸ α τῷ β αὐτὸ τὸ ἐξ ἀρχῆς εἰλημμένον καὶ προκείμενον εἰς ζήτησιν, ἔλαβεν ὡς ὁμολογούμενον. εἰς τὸ δεῖξαι ὅτι τὸ α τῷ β ὑπάρχει. οὐ δεῖ δὲ λαμβάνειν τὸ προκείμενον εἰς ζήτησιν. εἰς δεῖξιν αὐτοῦ τοῦ ζητουμένου. ἀλλὰ προτάσεις ἑτέρας. εἰ δὲ μέλλεις δεῖξαι τὸ α ὑπάρχει τῷ β, λάβῃς ὅτι τὸ α ὑπάρχει κατὰ τοῦ γ. τὸ δὲ γ κατὰ μηδενὸς ἑτέρου κατηγορήσῃς ἵνα ποιήσῃς τὸ α σχῆμα. μηδὲ ἄλλο οἷον τὸ δ κατηγορήσῃς κατ' ἐκείνου τοῦ γ ἵνα ποιήσῃς τὸ γ σχῆμα. μηδὲ ἕτερον ἤγουν τὸ ζ κατὰ τοῦ α κατηγορήσῃς ἵνα καὶ οὕτω γένηται πρῶτον σχῆμα, οὐδεὶς συλλογισμὸς γίνεται. τῷ γὰρ ἓν καθ' ἑνὸς ληφθῆναι. ἤγουν ἐν τῷ λαβεῖν μίαν πρότασιν, οὐδὲν δείξεις συμπέρασμα. ὥστε λαβὼν τὸ δ κατὰ τοῦ γ, λάβε καὶ ἄλλην πρότασιν. ἐκ δύο γὰρ προτάσεων ὁ συλλογισμός. εἰ γοῦν τὸ α τὸ κατὰ τοῦ γ κατηγορούμενον ληφθείη καὶ κατ' ἄλλου ἤγουν

τοῦ δ

μένει. ὁ γὰρ ἄνθρωπος οὐδενὶ ἵππῳ ὑπάρχει ἐξ ἀνάγκης. ἀλλ᾽ οὐδὲ τὸ, ἐνδέχεται μὴ ὑπάρχειν συναχθήσεται. ἤγουν τὸ οὐδενὶ ἐνδεχομένως ἀλλὰ τὸ ἀναγκαῖον μηδενί. ἀνάγκη γὰρ μηδένα ἵππον ἄνθρωπον εἶναι. Εἰ ἡ α β ἐστὶν ὑπάρχουσα στερητικὴ καθόλου, ἡ δὲ α γ καταφατικὴ καθόλου ἐνδεχομένη, γίνεται συλλογισμός. διότι ὁ ἀριστοτέλης τὸ οὐδενὶ ἐνδέχεται μεταλαμβάνει εἰς τὸ παντί. τὸ δὲ παντὶ ἐνδέχεσθαι, εἰς τὸ οὐδενὶ ἐνδέχεσθαι οὐ μεταλαμβάνει. διὰ τὸ τὴν πρὸς ἀνάγκην ὕπαρξιν. τὴν δὲ οὐδαμῶς ἀνυπαρξίαν. φορτικὸν δὲ δοκεῖ τὸ ἐν ὑπάρξει ὂν εἰς ἀνυπαρξίαν μεταλαμβάνειν. Εἰ ἡ α β ἐστὶ στερητικὴ καθόλου ἀνάγκης. ἡ δὲ α γ παντὶ ἐνδεχομένη, γίνεται συλλογισμὸς συνάγων συμπέρασμα ὅτι τὸ β οὐδενὶ τῷ γ ἐνδεχομένως. ἅμα δὲ δῆλον, ὅτι οὐδ᾽ ὑπάρχει τὸ β οὐδενὶ τῷ γ. ἤγουν δῆλόν ἐστιν ὅτι τὸ β οὐδενὶ τῷ γ ὑπαρχόντως ἐστίν. τοῦτο γὰρ δηλοῖ τὸ β οὐδενὶ τῷ γ, ἐνδεχομένως. εἰ δέ τις λέγει μὴ συνάγεσθαι τὸ οὐδενὶ ὑπαρχόντως. κείσθω τὸ β τινὶ τῷ γ ὑπάρχειν ὑπαρχόντως. ἐπεὶ γοῦν ἐνδέχεται καὶ ἐγχωρεῖ τὸ α μηδενὶ τῷ β ὑπάρχειν ἐξ ἀνάγκης, τὸ δὲ β ὑπάρχει τινὶ τῷ γ, ὑπαρχόντως κατὰ τὸν ἀντιπίπτοντα, τὸ α τινὶ τῷ γ οὐκ ἐνδέχεται. ἤγουν ἀνάγκη τὸ α οὐ παντὶ τῷ γ ὑπάρχειν ἐξ ἀνάγκης. ἀλλ᾽ ἦν τὸ α καὶ παντὶ τῷ γ ἐνδεχομένως. καὶ ἐπεὶ ἀδύνατόν ἐστι τὸ τὸ α καὶ παντὶ τῷ γ ὑπάρχειν ἐνδεχομένως. καὶ ἀνάγκη μὴ παντί, ψεύδεται ἄρα ὁ λέγων τὸ β τινὶ τῷ γ ὑπάρχειν ὑπαρχόντως. καὶ εἰ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τὸ β οὐδενὶ τῷ γ ὑπάρχειν ὑπαρχόντως. Λαβὼν τὴν α β οὐδενὶ ἐνδεχομένως. τὴν δὲ α γ παντὶ ἐξ ἀνάγκης, εἶπεν ἀσυλλόγιστον εἶναι τὸ σχῆμα. διὰ τὸ τὸ οὐδὲν ἐνδεχομένως μεταλαμβάνεσθαι εἰς τὸ παντί. καὶ συνῆξε συμπέρασμα ὅτι τὸ β ἐξ ἀνάγκης οὐδενὶ τῷ γ. νῦν δὲ λέγει δυνατὸν εἶναι συναχθῆναι καὶ τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης. ἴδιον γὰρ τῶν ἀσυλλογίστων τὸ συνάγειν καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. καὶ φησιν· οὕτως, κειμένων τῶν ὅρων ὡς εἶναι τὴν μὲν α γ παντὶ ἐξ ἀνάγκης. τὴν δὲ α β οὐδενὶ ἐνδεχομένως. ὅτι ἦν καὶ παντί, οὐδὲν κωλύει συναχθῆναι συμπέρασμα, ὅτι τὸ β ἐξ ἀνάγκης ὑπάρχει παντὶ τῷ γ. εἰ δὲ τὸ γ ληφθείη ὑπὸ τὸ β. ἔστω γὰρ τὸ β ἐστὶ ζῶον. τὸ δὲ γ ἐγρηγορός. ἡ ἐγρήγορσις ἐν τοῖς ζώοις θεωρεῖται, ληπτέον δὲ καὶ τὸ α κίνησιν καὶ ἔστι. τὸ α ἡ κίνησις παντὶ ζώῳ ἐνδεχομένως. ἡ κίνησις ἐξ ἀνάγκης ὑπάρχει παντὶ ἐγρηγορότι. καὶ τὸ παντὶ ἐγρηγορός, ζῶον. ἤγουν τὸ ζῶον ἄρα παντὶ ἐγρηγορότι ἐξ ἀνάγκης. φανερὸν οὖν ὅτι οὐδὲ τὸ μὴ ὑπάρχειν. ἤγουν φανερόν ἐστιν ὅτι οὐδενὶ ὑπαρχόντως συναχθήσεται συμπέρασμα. οὕτω γὰρ ἐχουσῶν τῶν προτάσεων, συνήχθη ὅτι τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης. καὶ ἐπεὶ ἀνάγκη συνήχθη συμπέρασμα, ἀναιρεῖται καὶ τὸ ἐνδεχόμενον συναχθῆναι συμπέρασμα ἢ ὑπάρχον. τὸ γὰρ ἀναγκαῖον ἀναιρετικόν ἐστι τούτων. ἀλλὰ δέδεικται ὅτι οὐδὲ τὸ οὐδενὶ ἀναγκαῖον συνήχθη διὰ τὸ τὸ ἀναγκαῖον συνάγεσθαι, ἢ ἐξ ἀμφοτέρων ἀναγκαίων προτάσεων. ἢ τῆς στερητικῆς οὔσης ἀναγκαίας. καὶ οὐ μόνον οὐ συνάγεται τὸ οὐδενὶ ἀνάγκης. ἢ τὸ οὐδενὶ ὑπαρχόντως, ἀλλὰ δὴ οὐδὲ τῶν ἀντικειμένων καταφάσεων. ἤγουν ἀλλ᾽ οὐδὲ συνάγεται συμπέρασμα τὸ τινὶ ὑπαρχόντως. ἢ τὸ τινὶ ἐξ ἀνάγκης. τὸ μὲν γὰρ τινὶ ἐξ ἀνάγκης, ἀντίκειται. ἀντιφατικῶς τῷ οὐδενὶ ἐξ ἀνάγκης. τὸ δὲ τινὶ ὑπαρχόντως ἀντίκειται ἀντιφατικῶς τῷ οὐδενὶ ὑπαρχόντως. τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσιν οὕτως. οὐδὲ δὴ τῶν ἀντικειμένων φάσεων. καὶ ἡ τοιαύτη γραφὴ συμβιβάζεται πρὸς τὰ ἄνωθεν ῥηθέντα. εἶπε γὰρ ἄνωθεν ὅτι τῆς μὲν α β οὔσης οὐδενὶ ἐνδεχομένης. τῆς δὲ α γ παντὶ ἀνάγκη, ἀσυλλόγιστόν ἐστι τὸ σχῆμα. συνάγεται γὰρ καὶ τὸ παντὶ ἀνάγκη, καὶ τὸ οὐδενὶ ἀνάγκη. ἃ ἀναιροῦσιν ἄλληλα. καὶ λοιπὸν οὔτε τὸ παντὶ ἀνάγκη συνάγεται, οὔτε τὸ ἀνάγκη οὐδενί. ἀλλ᾽ οὐδὲ τὰ τούτοις ἀντικείμενα. ἤγουν τὸ ἐνδέχεται παντὶ καὶ τὸ ἐνδέχεται τινί. τὸ γὰρ ἀνάγκη παντὶ ἀντίκειται, τῷ ἐνδέχεται παντί. τὸ δ᾽ ἀνάγκης οὐδενὶ τῷ ἐνδέχεται τινὶ ἀντίκειται. ἐξ ἀνάγκης γὰρ οὕτως ἐχόντων. Ἤγουν οὕτως ἐχουσῶν τῶν προτάσεων. ὡς εἶναι τὰς δύο καταφατικάς. τὴν μὲν ἀναγκαίαν. τὴν δὲ ἐνδεχομένην, συνάγεται συμπέρασμα. ὅτι τὸ β τῷ γ οὐχ ὑπάρξει. ἤγουν τὸ β ἐξ ἀνάγκης οὐδενὶ τῷ γ. καὶ εἰ τὸ ἀνάγκη μηδενὶ συνάγεται, πῶς ἐγχωρεῖ τὸ οὐδενὶ ἐνδέχεται συνάγεσθαι. οὐδέ γε τῶν ἀντικειμένων ἀποφάσεων. ἤγουν ἐπεὶ δέδεικται τὸ β τῷ γ ἐξ ἀνάγκης οὐχ ὑπάρχειν. ἤγουν ἐπεὶ διὰ τῶν ὅρων συνήχθη ὅτι τὸ β ὁ κύκνος ἐξ ἀνάγκης οὐδενὶ τῷ γ τῷ ἀνθρώπῳ ὑπάρχει, ἀνῄρηνται καὶ αἱ ἀντικείμεναι ἀποφάσεις. ἤγουν οὔτε τὸ παντὶ ὑπαρχόντως. οὔτε τὸ παντὶ ἀνάγκη. οὔτε τὸ παντὶ ἐνδεχομένως συνάγεται. Ὅταν δὲ τὸ καταφατικόν. ἤγουν ἡ μείζων πρότασις καταφατικὴ καθόλου ἀναγκαία ᾖ. ἡ δὲ ἐλάττων ἐνδέχεται οὐ παντί, οὐδέποτε γενήσεται συλλογισμός. ὡς μεταλαμβανομένης τῆς οὐ παντὶ εἰς τὸ τινί. Ἐὰν δὲ ἡ μὲν ὑπάρχειν. ἡ δ᾽ ἐνδέχεσθαι σημαίνει τῶν προτάσεων, τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον καὶ οὐχ ὑπάρχον. σημείωσαι ὅτι ἡ μείζων πρότασις ἐὰν ᾖ ἐνδεχομένη. ἡ δὲ ἐλάττων ὑπάρχουσα, ἔσται τὸ κυρίως ἐνδεχόμενον συμπέρασμα. ἐὰν δὲ ἡ μείζων ἐστὶν ὑπάρχουσα. ἡ δὲ ἐλάττων ἐνδεχομένη, ἔσται συμπέρασμα τὸ ἰσοδυναμοῦν τῷ ὑπάρχοντι. καὶ τὸ α τινὶ τὸ β ἐνδεχόμενον ἔσται καὶ οὐχ ὑπάρχον. ἐὰν ἡ α γ παντὶ ἐστὶν ἀνάγκη. ἡ δὲ β γ παντὶ ἐνδεχομένως, συνήγετο συμπέρασμα τὸ τινὶ ἐνδεχομένως. τὸ ἰσοδυναμοῦν τῷ τινὶ ὑπαρχόντως. ὅτε δὲ οὕτως ἔχουσιν αἱ προτάσεις, συνέβαινε τὸ α τῷ γ. καὶ ἐνδέχεσθαί τινι μὴ ὑπάρχειν καὶ μὴ ὑπάρχειν. ἤγουν συνήγετο συμ-

καὶ ἐνταῦθα συμπέρασμα ἐνδεχόμενον, ἰσοδυναμοῦν τῷ ὑπάρχοντι, ἄον, συνήγετο καὶ πρότερον. ὅτε
ἐλαμβάνομεν τὴν αβ παντὶ ὑπάρχοντος, καὶ τὴν βγ παντὶ ἐνδεχομένως. ὁμοίως γὰρ ἕξουσιν οἱ ὅροι
τῇ θέσει. ἤγουν εἰ ἀντιστρέψας τὸ οὐδενὶ ἐνδεχομένως εἰς τὸ παντί, γίνονται οἱ ὅροι ἤγουν αἱ προτάσεις
καταφατικαί. καὶ ἕξουσιν ὁμοιότητα κατὰ τὴν θέσιν ἐν τῷ συλλογισμῷ, τὸ ἀπὸ τῆς πῶς καὶ πῶς. ἔσται
γὰρ καὶ ἐνταῦθα ἡ μείζων καταφατικὴ ὑπάρχουσα. ἡ δὲ ἐλάττων ἐνδεχομένη ὡς κἀκεῖ. Διαστήματα
λέγει τὰς προτάσεις, μιμούμενος τοὺς γεωμέτρας. ὡς γὰρ ἐκεῖνοι τὰ σημεῖα ἤγουν τὰς στιγμὰς καλοῦ-
σιν ὅρους ὡς ἀμερεῖς οὔσας καὶ ἁπλουστάτας, οὕτω καὶ ὁ ἀριστοτέλης τὸν ὑποκείμενον καὶ τὸν κατηγο-
ρούμενον καλεῖ ὅρους ὡς ἁπλουστάτους. καὶ ὥσπερ ἡ στιγμὴ ῥυεῖσα ποιεῖ τὴν γραμμὴν κατὰ μῆκος μό-
νον ἔχουσαν τὴν ἐξάπλωσιν ἣ καὶ καλεῖται διάστημα, οὕτω καὶ οἱ ὅροι ἀποβλέψας πρὸς τὴν σχέσιν τοῦ
κατηγορουμένου πρὸς τὸν ὑποκείμενον καθ' ἣν ἡ κατηγορία γίνεται καὶ ἡ πρότασις, καλεῖ διάστημα.
καὶ ὡς ὁ γεωμέτρης καλεῖ σχῆμα τὸ συγκείμενον ἐκ διαφόρων γραμμῶν, οὕτω καὶ οὗτος καλεῖ σχῆμα
τὸν συλλογισμὸν ὡς ἐκ διαφόρων προτάσεων συγκείμενον. ἐὰν δὲ ληφθῇ τὸ β παντὶ τῷ γ ἐνδέχεσθαι
ὅπερ ἐστὶν ἀληθές. ἀληθὲς γάρ ἐστι τὸ οὐδενὶ ἐνδεχομένως. λαμβανέσθω εἰς τὸ παντὶ ἐνδεχομένως, πάλιν ὁ
αὐτὸς ἔσται συλλογισμός. ἤγουν συναχθήσεται συμπέρασμα τὸ οὐδενὶ ἐνδεχομένως. ἤγουν τὸ ἀμφο-
τέρως γὰρ ταῦτα περιέχεται· τὸ οὐκ ἐνδέχεται οὐδενί. ὃ ἀντιφατικῶς ἀντίκειται τῷ οὐδενὶ ἐνδέχεται. τὸ κινού-
μενον τινὶ μὲν σώματι ἐξ ἀνάγκης ὑπάρχει. ἤγουν τῷ κυκλοφορικῷ σώματι οὐρανοῦ. τινὶ δὲ σώματι
ὑπάρχει ἐνδεχομένως. ἤγουν τοῖς σώμασι πάντων τῶν ζώων. εἰ οὖν τις ἀξιοίη ὅτι ἐπεὶ τὸ δ παντὶ τῷ
γ ὑπάρχει ἀνάγκη καὶ τὸ γ ἤγουν τὸ κινούμενον παντὶ σώματι ἐνδεχομένως ὑπάρχειν. ἔστω γὰρ τὸ δ
σῶμα. τὸ δὲ γ κινούμενον. καὶ λέγει τις ὅτι οὐκ ἀληθεύει ὁ λέγων τὸ γ παντὶ τῷ δ ἐνδεχομένως, ἀληθεύ-
σει ἄρα ἡ ἀπόφασις ἡ οὐκ ἐνδέχεται τὸ γ παντὶ τῷ δ ὑπάρχειν. εἶτα εἰ λάβοι αὐτὴν τὴν οὐκ ἐνδέχε-
ται παντὶ τὸ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν ἤγουν τὸ ἀνάγκη μὴ παντί. ὡς εἶναι τὸ γ ἐξ ἀνάγκης οὐ
παντὶ τῷ δ, ψευδῶς λαμβάνει. προφανῶς γὰρ ψεύδεται ὁ λέγων τὸ κινούμενον, ἀνάγκη μὴ παντὶ ὑ-
πάρχειν σώματι. δῆλον δὲ ὅτι ψεύδεται. διότι τὸ κινούμενον, παντὶ σώματι ὑπάρχει. εἰ δὲ τὸ ἀνάγκη
μὴ παντὶ ἠλήθευεν, οὐκ ἂν τὸ γ παντὶ τῷ δ ὑπῆρχεν. οὐ γὰρ ἐξ ἀνάγκης τὸ κινούμενον ἀπό τινων σω-
μάτων ἀποφάσκεται. πάντα γὰρ τὰ σώματα κινοῦνται. κἂν τὰ μὲν, ἐξ ἀνάγκης, ὡς τὰ οὐράνια. τὰ
δὲ ἐνδεχομένως ὡς τὰ τῶν ζώων. καὶ διότι μὴ πᾶσι σώμασιν ἐξ ἀνάγκης ὑπάρχει τὸ κινούμενον, διὰ
τοῦτο λέγομεν ἀληθὲς εἶναι ἤγουν ἀληθεύειν, καὶ τὸ ἀνάγκη μὴ παντί. διότι γὰρ τὸ κινούμενον τισὶ σώ-
μασιν ἐξ ἀνάγκης ὑπάρχει. διὰ τοῦτο λέγομεν ἐνδέχεσθαι καὶ ἐγχωρεῖν ἀληθεύειν, καὶ τὸ ἀνάγκη μὴ
παντί. φανερὸν οὖν ὅτι ἀπὸ τῆς κυρίας ἐνδεχομένης. καὶ τὸ ἐνδέχεται παντί. καὶ τὸ μὴ ἐνδεχόμενον ἤ-
γουν τῷ ἐνδέχεται μηδενί. ἑκάστῳ τούτων δύο ἀντίκεινται. τὸ τινὶ ἀνάγκη. καὶ τὸ ἀνάγκη μὴ παντί.
καὶ ὁ μέλλων δεῖξαι ὅτι καὶ τὸ ἐνδέχεται παντὶ ἀντιστρέφει πρὸς ἑαυτό. ὡσαύτως δὲ καὶ τὸ ἐνδέχε-
ται μηδενί, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἀμφότερον ὀφείλει λαμβάνειν, καὶ τό, ἀνάγκη τινί. καὶ τὸ
ἀνάγκη μὴ παντί. καὶ διὰ ἀμφοτέρων δεικνύειν ἀδύνατόν τι παρακολουθοῦν. καὶ οὕτως ἐπάγειν τὸ ἐν-
δέχεται μηδενὶ ἀντιστρέφειν πρὸς ἑαυτό. ἢ τὸ ἐνδέχεται παντί. εἰ γοῦν πρὸς ἀπόδειξιν τῆς ἀντιστρέ-
φειν τὸ ἐνδέχεται μηδενὶ λάβοι τὸ ἀνάγκη μὴ παντί, ἐκ τούτου οὐ γίνεται συλλογισμός. ἤγουν οὐδὲν
ἀδύνατον συμβαίνει ἐκ τοῦ ἀνάγκη μὴ παντί. διὰ τὸ μὴ ὡρισμένως ἀντιστρέφειν. τεθέντος γὰρ τοῦ β παν-
τὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν. τὸ ἐνδέχεσθαι, ἀντὶ τοῦ ἐγχωρεῖν νοητέον. ἀπὸ τοῦ οὐδενὶ ἐνδέχεσθαι. καὶ
τοῦ παντὶ ἐνδέχεσθαι ἔδει συναχθῆναι συμπέρασμα. τὸ παντὶ ἐνδέχεται συνήχθη αὖ. κείσθω γοῦν
συναχθὲν συμπέρασμα, ὅτι τὸ β παντὶ τῷ γ ἐνδέχεται. εἰ δέ τις εἴποι ψεύδεσθαι τοῦτο, ἀνάγκης ἐν-
δέχεσθαι καὶ ἐγχωρεῖν ἀληθεύειν ὅτι τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης. καὶ τεθέντος ὅτι τὸ β παντὶ τῷ γ
ἐξ ἀνάγκης, οὐδὲν ψεῦδος, καὶ ἀδύνατον συμβήσεται. εἰ γὰρ τὸ α οὐδενὶ τῷ β ἐνδεχομένως. τὸ δὲ β
παντὶ τῷ γ ἐξ ἀνάγκης. συνάξεις ὅτι τὸ α οὐδενὶ τῷ γ ἐνδεχομένως. ἦν δὲ καὶ παντὶ ἐνδεχομένως τὸ
α τῷ γ. οὐδὲν δὲ κωλύει τό, τὸ α καὶ παντὶ τῷ γ εἶναι ἐνδεχομένως καὶ οὐδενί. ὅλως δὲ εἰ συλλογισμὸν
ἦν δυνατὸν γενέσθαι, τοῦ ἐνδέχεσθαι ἂν εἴη. ἤγουν ἐνδεχόμενον συνήχθη συμπέρασμα. διὰ τὸ καὶ τὰς
δύο προτάσεις εἶναι ἐνδεχομένας. καὶ μηδέτερον εἶναι, ἐν τῷ ὑπάρχειν. ἤγουν ὑπάρχουσαν ἢ ἀναγ-
καίαν. καὶ οὗτος ὁ συλλογισμὸς ἢ καταφατικὸς ἔμελλεν εἶναι. ἤγουν ἢ καταφατικὸν πάντως συνήχθη
συμπέρασμα. εἰ καὶ αἱ δύο προτάσεις ἦσαν καταφατικαὶ ἢ στερητικαί. ἤγουν εἰ στερητικὸν συνήχθη συμ-
πέρασμα. καταφατικοῦ μὲν γὰρ τεθέντος τοῦ συμπεράσματος, ἤγουν εἰ συνήχθη τὸ β παντὶ τῷ γ ἐνδε-
χομένως, δειχθήσεται διὰ τῶν ὅρων. ὅτι οὐκ ἐνδέχεται καὶ οὐκ ἐγχωρεῖ τὸ ὑπάρχει συναχθῆναι. ἤγουν
τὸ παντὶ ἐνδεχομένως. ἀλλ' οὐδὲ στερητικὸν ἐνδεχόμενον συμπέρασμα ἐστὶ δυνατὸν συναχθῆναι. ἀπὸ
γὰρ τῶν ὅρων δειχθήσεται ὅτι οὐ συνάγεται συμπέρασμα ἐνδεχόμενον ἀπὸ τῆς οὐδεὶς καὶ πᾶς, ἀλλ'
ἀναγκαῖον. εἰ γὰρ τὸ λευκὸν παντὶ μὲν αὐτῷ ἐνδέχεται ὑπάρχειν. οὐδενὶ δὲ ἵππῳ ἐνδεχομένως τὸ β τῷ
γ οὔτε ἐνδέχεται καὶ ἐγχωρεῖ ὑπάρχειν. ἤγουν παντὶ ἐνδεχομένως, οὔτε μὴ μὴ ὑπάρχειν. ἤγουν οὔτε οὐδενὶ
ἐνδεχομένως. καὶ ὅτι μὲν τὸ ὑπάρχειν. ἤγουν τὸ παντὶ ἐνδεχομένως οὐκ ἐγχωρεῖ συναχθῆναι, φανε-

δῆλον οὖν ἐντεῦθεν, ἐπὶ τοῦ κυρίως ἐνδεχομένου, αἱ καταφατικαὶ πρὸς τὰς ἀποφατικὰς ἀντιστρέφουσι· καὶ αἱ ἀποφατικαὶ πρὸς τὰς καταφατικάς. ὃ γὰρ παντὶ ἐνδέχεται, τοῦτο καὶ μηδενὶ ἐνδέχεται ὑπάρχειν. καὶ ὃ μηδενὶ ἐνδέχεται ὑπάρχειν, τοῦτο καὶ παντὶ ἐνδέχεται. εἰ οὖν τὸ παντὶ ἐνδέχεται τὸ α τῷ γ ὑπάρχειν ἐπὶ τοῦ κυρίως ἐνδεχομένου· ἀντίκειται τῷ παντὶ ἐνδέχεσθαι συμπεράσματι· τὸ μὲν γὰρ οὐ παντὶ ἀνάγκη, δι' ἑαυτοῦ· τὸ δὲ τινὶ ἀνάγκη, διὰ τὸ ἰσοδυναμεῖν τῷ οὐδενὶ ἐνδέχεσθαι. ἑπόμενον γὰρ ὅτι ὃ παντὶ ἐνδέχεται, τοῦτο καὶ μηδενὶ ἐνδέχεται ὑπάρχειν. νῦν δὲ τὸ μὲν οὐ παντὶ ἀνάγκη, ἀντίκειται τῷ παντὶ ἐνδέχεσθαι· ὅθεν καὶ ὡς ἀντικειμένης τῆς οὐ παντὸς ἀνάγκη ληφθείσης ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. συνήχθη ὅτι τὸ α οὐ παντὶ τῷ β· ἔκειτο δὲ καὶ παντὶ ὑπάρχοντος. ἡ δὲ τινὶ ἀνάγκη οὐκ ἀντίκειται. καὶ δῆλον ἐκ τούτου· εἰ λάβης τὸ α τινὶ τῷ γ ὑπάρχειν ἐξ ἀνάγκης, συνάξεις συμπέρασμα ἐν γ σχήματι· ὅτι τὸ α ὑπάρχοντος τινὶ τῷ β ὑπάρχει. ἔκειτο δὲ καὶ παντὶ ὑπάρχοντος· οὐδὲν δὲ ἐστὶ τὸ α καὶ παντὶ τῷ β ὑπάρχειν καὶ τινί. ἡ γὰρ τινὶ ἐμπεριέχεται ὑπὸ τῆς πᾶς. τῷ παντὶ ἐνδέχεσθαι, ἀντίκειται τὸ οὐκ ἐνδέχεσθαι παντί. τούτῳ δὲ ἰσοδυναμοῦσιν, ἡ οὐ παντὶ ἀνάγκη καὶ ἡ τινὶ ἀνάγκη. Εἰ δὲ καὶ ὁ ἀριστοτέλης τὸ οὐκ ἐνδέχεσθαι παντὶ οὐ μεταλαμβάνει εἰς τὸ οὐ παντὶ ἀνάγκη; ἀλλὰ δῆλός ἐστιν ἐξ ὧν συμπεραίνει τοῦτο βουλόμενος, ἵνα μή τις εἴπῃ, μηδὲν ἀδύνατον συνάγεσθαι, εἰ τὸ α οὐκ ἐνδέχεται παντὶ τῷ γ. τί γὰρ κωλύει τὸ α καὶ παντὶ ὑπάρχειν τῷ β καὶ οὐ παντί. ὅ γε τὸ ὑπάρχον τοιοῦτόν ἐστιν ὡς ποτὲ δύνασθαι καὶ μὴ ὑπάρχειν. δυνατὸν γάρ ἐστι τὸ α καὶ παντὶ ὑπάρχειν τῷ β καὶ οὐ παντί. ὥσπερ καὶ μεταληφθείη ἡ β γ ἐνδεχομένη οὖσα, εἰς τὴν ὑπάρχουσαν. ὃ ψεῦδος μὲν ἐστιν, οὐκ ἀδύνατον δέ. πρὸς τοῦτο οὖν λέγομεν ὅτι ἡ μετάληψις μὲν τῆς ἐνδεχομένης πρὸς τὴν ὑπάρχουσαν γέγονεν, οὐ τοῦ αὐτοῦ χρόνου μένοντος οὐδὲ τῆς ἐνδεχομένης μενούσης ἐνδεχομένης. τοῦτο γὰρ καὶ ψεῦδος καὶ ἀδύνατόν ἐστι. τὸ γὰρ αὐτὴν ἐνδεχομένην οὖσαν καὶ ὑπάρχουσαν εἶναι ἅμα. ἀλλὰ μεταληφθείη ἡ πρότασις ἀπὸ τοῦ μέλλοντος χρόνου, εἰς ἐνεστῶτα. ἐπειδὴ ἡ μὲν ἐνδεχομένη τὸν μέλλοντα χρόνον δηλοῖ, ἡ δὲ ὑπάρχουσα τὸν ἐνεστῶτα. τὸ μεταλαβεῖν γοῦν τὴν ἐνδεχομένην ὡς ὑπάρχουσαν, ψεῦδος ἐστὶ διὰ τὸ καὶ ἀντὶ μέλλοντος χρόνου, ἐνεστῶτα λαβεῖν. οὐ μέντοι γε δὲ ἀδύνατον τὴν ἐνδεχομένην ποτὲ ὑπάρχουσαν γενέσθαι. ἐπὶ δὲ τῆς α β μενούσης αὐτῆς καθόλου καταφατικῆς ὑπαρχούσης καὶ μεταληφθείσης εἰς τὸ οὐ παντὶ ὑπάρχοντος· μένοντος καὶ τοῦ αὐτοῦ χρόνου. ἐκ τοῦ ὑποθέσθαι τὸ α οὐκ ἐνδέχεται παντὶ τῷ γ ὑπάρχοντος, ἀδύνατον συνήχθη τὸ τὸ α καὶ παντὶ ὑπάρχειν τῷ γ καὶ οὐ παντί. Δεῖ δὲ λαμβάνειν τὸ παντὶ ὑπάρχειν. δεῖ λαμβάνειν τὸ πᾶς, μὴ κατὰ χρόνον. ἤγουν ὡρισμένως ἀληθινόν. ποτὲ γὰρ ἰσοδυναμεῖ τῷ τις. οἷον εἰ εἴπῃς ὅτι ὁ ἄνθρωπος παντὶ κινουμένῳ· καὶ ὑποθήσεις ὅτι νῦν πᾶν τὸ κινούμενον ἄνθρωπός ἐστιν, ἀληθεύει οὖν ἡ πᾶς. οὐ τῇ ἑαυτῆς φύσει· ἀλλὰ διὰ τὴν ὑπόθεσιν. ὅτι καὶ ἰσοδυναμεῖ τῷ τις καὶ γίνεται ἀσυλλόγιστον τὸ σχῆμα. ἀλλ' ἁπλῶς ἤτοι ἀορίστως καὶ καθόλου. καὶ τῇ ἑαυτῶν φύσει δεῖ λαμβάνειν αὐτὰς ἀληθευούσας. οἷον τὸ ζῷον παντὶ ἀνθρώπῳ. Πάλιν ἔστω στερητικὴ καθόλου πρότασις ἡ α β· τὸ συναγόμενον συμπέρασμα ἐπὶ τοῦ στερητικοῦ συλλογισμοῦ ὅτι τὸ α οὐδενὶ τῷ γ ἐνδεχόμενον, οὐκ ἔστι τὸ κυρίως ἐνδεχόμενον. διότι τῷ οὐδενὶ ἐνδέχεσθαι, δι' ἑαυτοῦ μὲν ἀντίκειται τὸ τινὶ ἀνάγκη. διὰ δὲ τοῦ παντὶ ἐνδέχεσθαι, ἀντίκειται τὸ οὐ παντὶ ἀνάγκη. ἐπὶ γὰρ τοῦ κυρίως ἐνδεχομένου ὃ ἐνδέχεται οὐδενὶ ὑπάρχειν, τοῦτο καὶ παντὶ ἐνδέχεται. εἰ οὖν καὶ τὸ α οὐδενὶ τῷ γ ὑπάρχει ἐνδεχόμενος. κατὰ τὸ κυρίως ἐνδεχόμενον, ἀντίκειται αὐτῷ καὶ τὸ οὐ παντὶ ἀνάγκη ὥσπερ καὶ τὸ τινὶ ἀνάγκη. νῦν δὲ οὐκ ἀντίκειται. καὶ δῆλον. ἔστι δὲ οὕτως. τὸ οὐκ ἐνδεχόμενον μηδενί, ταυτόν ἐστι τῷ ἀνάγκη τινί. εἰ λάβης τὸ α οὐ παντὶ τῷ γ, ὡς ἀντικείμενον τῷ συμπεράσματι τῷ οὐδενὶ ἐνδέχεσθαι· καὶ ἐρεῖς ὅτι τὸ α οὐ παντὶ τῷ γ ἀνάγκη· τὸ β παντὶ τῷ γ ὑπάρχοντος, συνάξεις τὸ α οὐ παντὶ τῷ β ὑπάρχοντος. ἦν δὲ οὐδενὶ ὑπάρχοντος οὐδενί· οὐδὲ ἀδύνατον τὸ τὸ α τῷ β καὶ οὐδενὶ ὑπάρχειν καὶ οὐ παντί. ἡ γὰρ οὐ πᾶς, ἐμπεριέχεται ὑπὸ τῆς οὐδείς. εἰ δὲ λάβης τὸ α τινὶ τῷ γ ἀνάγκη, συνάξεις ἀδύνατον. ὅτι τὸ α οὐδενὶ ὑπάρχει τῷ β καὶ τινί. τὸ οὐκ ἐνδέχεται μηδενί, ταυτόν ἐστι τῷ τινὶ ἀνάγκη. αὕτη γάρ ἐστιν ἀντίφασις τῆς γενομένης ὑποθέσεως αὕτη γὰρ ἡ πρότασις, οὐδενὶ ἐξ ἀνάγκης, ἀντιφατικῶς ἀντίκειται τῇ τινὶ ἀνάγκη τῇ ὑποτεθείσῃ ὑποθέσει, τῷ τινὶ ἀνάγκη ἀντίκειται ἀντιφατικῶς, τό, οὐκ ἀνάγκη τινί. ὃ ταυτόν ἐστι τὸ οὐδενὶ ἀνάγκη. εἰ δὲ καὶ ὁ ἀριστοτέλης τὸ οὐκ ἐνδέχεται οὐδενὶ οὐ μόνον λαμβάνει εἰς τὸ τινὶ ἀνάγκη, ἀλλὰ δῆλός ἐστιν ἐξ ὧν συμπεραίνει τοῦτο βουλόμενος. οὐ γὰρ ἀνάγκη μηδένα κεκαθῆσθαι ἄνθρωπον. ἀλλ' οὐκ ἀνάγκη τινά. τὸ μηδενὶ ἐξ ἀνάγκης, ἰσοδυναμεῖ μὲν τῷ οὐκ ἀνάγκη τινί. διαφέρει δὲ τοῦ οὐδενὶ ἐνδεχομένου ὡς καθολικώτερον καὶ ἐπὶ πλέον αὐτοῦ ὄν. καὶ δῆλον ἀπὸ τῶν ὅρων. ὁ γὰρ εἰπὼν τὸ περιπατεῖν οὐδενὶ ζῴῳ ἐξ ἀνάγκης ὑπάρχει, ἀληθεύει καὶ ἐπὶ τῶν περιπατούντων ζῴων, καὶ ἐπὶ τῶν ἑρπυστικῶν. οὐδὲ γὰρ ἀνάγκη τούτοις περιπατεῖν. ὁ δὲ εἰπὼν τὸ περιπατεῖν οὐδενὶ ζῴῳ ὑπάρχει ἐνδεχομένως, οὐκέτι ἀληθεύει ἐπὶ πάντων. ἀλλ' ἐπὶ τῶν περιπατούντων. ἐπὶ δὲ τῶν ἑρπυστικῶν, οὐκ ἀληθινά. διότι ἐφ' ὧν τὸ ἐνδέχεσθαι μηδενί, ἐπὶ τούτων καὶ τὸ ἐνδέχεται παντὶ ἀληθές. εἰ γοῦν τὸ ἐνδέχεται παντὶ ἐπὶ τῶν ἑρπετῶν, ψεῦδος, ἀνάγκη ἄρα καὶ τὸ οὐδενὶ ἐνδέχεται ψεύδεσθαι. ἐπὶ πλέον ἄρα τὸ οὐδενὶ ἐξ ἀνάγκης, τὸ οὐδενὶ ἐνδέχεται. Τῆς μείζονος οὔσης καταφατικῆς καθόλου ὑπαρχούσης, τῆς δὲ ἐλάττονος καθόλου στερητικῆς ἐνδεχομένης, οὐκ ἔστι συλλογισμός. εἰ δὲ ἀντιβλέψας καὶ μεταβάλλας τὸ οὐδενὶ ἐνδεχομένως εἰς τὸ παντί, ἔσται συλλογισμὸς καθάπερ ἐν τοῖς πρότερον. συνάξεις γάρ

δυνατὸν καὶ ἀδύνατον. καὶ ὂν καὶ μὴ ὂν ὅπερ ἄτοπον. τὸ γὰρ δυνατὸν ὅτι ἐστὶ κυρίως δυνατὸν καὶ ἰσοδυναμοῦν τῷ ἐνδεχομένῳ, μὴ ὂν μὲν ἔστι γένοιτο δ' ἂν καὶ εἶναι ἤγουν γενήσεται καὶ ὄν. ὥσπερ καὶ τὸ ἀδύνατον. ὅτι ἐστὶ φύσει ἀδύνατον, οὐκ ἄν ποτε γένοιτο ὄν. ὥστε εἰ τὸ συμπέρασμα ἐστὶ δυνατὸν καὶ ἀδύνατον, ἔσται ἄρα καὶ ὂν καὶ μὴ ὄν. ὂν μὲν ὡς δυνατόν, μὴ ὂν δὲ ὡς ἀδύνατον. ἅμα δὲ εἰ τὸ α′ ἤγουν αἱ προτάσεις εἰσὶ δυναταί. τὸ δὲ β′ ἤγουν τὸ συμπέρασμα ἀδύνατον. αἱ μὲν προτάσεις ὡς δυναταί, καὶ γένοιντο ἂν ἤγουν ὡς ἐκβεβηκυῖαι ληφθῶσι. τὸ γὰρ δυνατὸν μὴ ὂν μέν ἐστι δυνάμενον δὲ ἐκβεβηκέναι καὶ γενέσθαι. εἰ δὲ γένωνται καὶ ἀποβῶσιν εἰς ὕπαρξιν, ἕξουσι καὶ τὸ β′ ἤγουν τὸ ὑπάρχουσαι γενέσθαι. τὸ γὰρ μὴ ὂν ὅταν γένηται ἔστιν. ἤγουν ὄν ἐστιν. εἰ γοῦν τῶν προτάσεων δυνατῶν οὐσῶν τὸ β′ συμπέρασμα ἔσται ἀδύνατον. τὸ δὲ ἀδύνατον μὴ ὄν, ἔσονται ἄρα αἱ προτάσεις ὑπάρχουσαι. τὸ δὲ συμπέρασμα μὴ ὂν ὅπερ ἄτοπον. ὅταν δὲ λέγῃ ὅτι τοῦ α′ ὄντος δυνατοῦ τὸ β′ ἔσται δυνατόν, οὐκ ἐπὶ μόνου τοῦ κυρίως δυνατοῦ τοῦτο λέγεται ὅπερ ἰσοδυναμεῖ τῷ ἐνδεχομένῳ. ἀλλὰ καὶ ἐπὶ τοῦ δυνατοῦ τοῦ θεωρουμένου ἐν τῷ ἀληθεύεσθαι. ἤγουν ἐπὶ τοῦ σημαίνοντος τὸ ἀνάγκη καὶ τοῦ σημαίνοντος τὸ ὑπάρχον. ἐν τῷ τοῦ εἰπεῖν ἀναγκαῖον, ἅπερ ἐν τῷ ἀληθεύεσθαι. τὸ γὰρ ἀνάγκη τὸ ἀεὶ καὶ ὡσαύτως ἔχει. καὶ ὁ καταφάσκων ἐπὶ τούτου, ἀεὶ ἀληθεύει. τὸ δὲ δυνατὸν καὶ τὸ ἐνδεχόμενον, σημαίνει καὶ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον. οἷον δυνατὸν τὸν ἥλιον ἐν κριῷ γενέσθαι. ἤγουν ἀναγκαῖον καὶ δυνατὸν τὴν χιόνα λευκὴν εἶναι. ἤγουν ὑπάρχει ὑπαρχόντως. ἴσως δὲ καὶ ἄλλα σημαινόμενα τοῦ δυνατοῦ εὑρεθήσονται. ἐν ἅπασι δὲ τοῖς σημαινομένοις τοῦ δυνατοῦ, ὁμοίως ἕξει τὸ θεώρημα. εἰ γὰρ αἱ προτάσεις εἰσὶ δυναταὶ κατὰ τὸ ἀναγκαῖον, ἔσται καὶ τὸ συμπέρασμα δυνατὸν ὡς τὸ ἀναγκαῖον. καὶ ἐὰν αἱ προτάσεις εἰσὶ δυναταὶ ὡς τὸ ὑπάρχον, ἔσται καὶ τὸ συμπέρασμα δυνατὸν ὡς ὑπάρχον. καὶ εἰ ψευδεῖς μὲν αἱ προτάσεις οὐκ ἀδύνατοι δέ, ἀνάγκη καὶ τὸ ἑπόμενον τὸ β′ ψεῦδος εἶναι. καὶ γὰρ ἡμέρας μὴ οὔσης εἴ τις ἐρεῖ εἰ ἡμέρα ἐστὶν ὁ ἥλιος ὑπὲρ γῆν ἐστι. τὸ μὲν ἡγούμενον τὸ εἰ ἡμέρα ἐστί, ψεῦδος καὶ οὐκ ἀδύνατον. καὶ τὸ ἑπόμενον τὸ, ὁ ἥλιος ὑπὲρ γῆν ἐστι, ψεῦδος καὶ αὐτὸ καὶ οὐκ ἀδύνατον. Ἐπὶ τοῦ ὄντος τοῦ α′ τὸ β′ εἶναι. λαμβάνων ἄνωθεν τὸ α′ ὡς ἡγούμενον τὸ δὲ β′ ὡς ἑπόμενον, νῦν φησιν ὅτι τὸ α′ οὐχ ὡς μίαν πρότασιν ἐλάμβανεν. οὐδὲν γὰρ συμπέρασμα συναχθήσεται ἑνὸς τινὸς ὄντος. ἤγουν ἀπὸ μιᾶς προτάσεως. ἀλλὰ δυοῖν ἐλαχίστοιν. ἀλλὰ τὸ ἐλάχιστον, ἐκ δύο προτάσεων συμπέρασμα συνάγεται. ληπτέον οὖν τὸ α′ ἀντὶ δύο προτάσεων. Διωρισμένων δὲ τούτων, ἤγουν ἐπεὶ διωρισάμεθα καὶ ἐδιδάξαμεν ὅτι ἂν αἱ εἰσὶν αἱ προτάσεις τοιοῦτον συμπέρασμα συνάγεται, ληπτέον ὅτι τὸ α′, παντὶ τῷ β′ ὑπάρχει ὑπαρχόντως. τὸ δὲ β′ ἐνδέχεσθαι παντὶ τῷ γ′ ἤγουν ἐνδεχομένως ὑπαρχέτω. ἔσται καὶ τὸ α′ ἐξ ἀνάγκης παντὶ τῷ γ′ ἐνδεχομένως. εἰ δέ τις λέγει μὴ ἐνδεχομένως συνάγεσθαι τὸ συμπέρασμα οὕτω ληφθεισῶν τῶν προτάσεων, εἰ τὸ α′ παντὶ τῷ γ′ ἐνδέχεται ὑπάρχειν ψευδέσθω, ἀληθευέτω τὸ μὴ ἐνδέχεσθαι. ἤγουν τὸ οὐκ ἐνδέχεται τὸ α′ παντὶ τῷ γ′ ὑπάρχειν. ἐπὶ παντὸς γὰρ ἡ κατάφασις ἢ ἡ ἀπόφασις. καὶ τὸ οὐκ ἐνδέχεται παντὶ ἀντιφατικῶς ἀντίκειται. τῷ παντὶ ἐνδέχεται ἰσοδυναμοῦν τῷ οὐ παντὶ ἀνάγκη καὶ τῷ τινὶ, οὐκ ἀνάγκη. διὰ τὸ σαφέστερον μεταληπτέον τὸ οὐκ ἐνδέχεται παντὶ εἰς τὸ οὐ πᾶς ἀνάγκη. ληπτέον δὲ καὶ τὴν β′γ′ ἐνδεχομένην οὖσαν, ὡς ὑπάρχουσαν. εἴγε τὸ ἐνδεχόμενον, τὸ μὴ ὂν λέγεται δυνάμενον δὲ ὑπάρχον γενέσθαι. ἡ δὲ β′γ′ ἐνδεχομένη οὖσα καὶ ὡς ὑπάρχουσα μεταληφθεῖσα, ψευδὴς μέν ἐστιν οὐκ ἀδύνατος δὲ. μετέλαβε τὴν ἐνδεχομένην πρότασιν εἰς ὑπάρχουσαν οὐ μάτην. ἀλλὰ διὰ τὸ μήπω διδάξαι οἷον συνάγεται συμπέρασμα ἐκ μίξεως ἐνδεχομένης καὶ ἀναγκαίας προτάσεως. εἰ γοῦν τὸ α′ οὐ παντὶ τῷ γ′ ἐξ ἀνάγκης ὅπερ ταυτόν ἐστι τῷ οὐκ ἐνδέχεται παντί. τὸ δὲ β′ παντὶ τῷ γ′ ὑπαρχόντως, γίνεται ὁ πέμπτος τρόπος τοῦ γ′ σχήματος. καὶ συνάγεται συμπέρασμα, ὅτι τὸ α′ οὐ παντὶ τῷ β′ ὑπαρχόντως. ἦν δὲ παντὶ ὑπαρχόντως. τοῦτο δὲ ἀδύνατον τὸ α′ καὶ παντὶ τῷ β′ ὑπαρχόντως καὶ οὐ παντί. τὸ δὲ ἀδύνατον, οὐ συνήχθη ἀπὸ τῆς β′γ′ ἐνδεχομένης προτάσεως εἰς ὑπάρχουσαν μεταληφθείσης. ψευδὴς μὲν γὰρ ἡ τοιαύτη πρότασις οὐκ ἀδύνατος δέ. συνήχθη οὖν τὸ ἀδύνατον, ἀπὸ τοῦ ὑποθέσθαι τὸ ἀντιπίπτον ὅτι τὸ α′ οὐκ ἐνδέχεται παντὶ τῷ γ′ ὑπάρχειν. καὶ ἐπειδὴ ἄτοπον συνάγεται ἐκ ταύτης τῆς ὑποθέσεως, καλῶς ἄρα συνῆκται ὅτι τὸ α′ παντὶ τῷ γ′ ἐνδέχεται ὑπάρχειν. Εἰ δέ τις ἐρεῖ καὶ τί ἄτοπόν ἐστι τὸ τὸ α′ καὶ πάλιν τῷ β′ ὑπάρχειν καὶ οὐ παντί, εἴγε τὸ παντὶ ὑπαρχόντως δύναται μεταβληθῆναι εἰς τὸ οὐ παντὶ ὑπάρχειν. καὶ φαμὲν ὅτι τὴν β′γ′ ἐνδεχομένην οὖσαν, μετελάβομεν εἰς τὴν ὑπάρχουσαν, μεταλλάξαντες καὶ τὸν μέλλοντα χρόνον, εἰς τὸν ἐνεστῶτα. ἐνταῦθα δὲ μεταλλαγὴ τοῦ χρόνου οὐ γέγονε καὶ διὰ τοῦτο ἀδύνατόν ἐστι τὸ τὸ α′ ὑπάρχειν παντὶ τῷ β′ κατὰ τὸν ἐνεστῶτα χρόνον καὶ οὐ παντί. τὸ δὲ εἰ τὸ α′ μὴ ἐνδέχεται τῷ γ′, ταυτόν ἐστιν ὅτι τὸ α′ οὐκ ἐνδέχεται παντὶ τῷ γ′ ὑπάρχειν. μετελάβομεν δὲ διὰ τὸ σαφέστερον εἰς τὸ οὐ παντὶ ἀνάγκη. τὸ δὲ ψεύδους γὰρ ἀποτεθέντος καὶ οὐκ ἀδυνάτου, τοῦτό ἐστιν ὅτι ἡ β′γ′ πρότασις ἐνδεχομένη οὖσα καὶ μεταληφθεῖσα εἰς τὴν ὑπάρχουσαν, ψευδὴς μὲν ἦν, οὐκ ἀδύνατος δέ. τὸ δὲ συμβαῖνον ἤτοι τὸ συμπέρασμα ὅτι τὸ α′ οὐ παντὶ τῷ γ′ ὑπαρχόντως. κειμένου καὶ τοῦ α′ παντὶ τῷ β′ ὑπάρχειν ὑπαρχόντως ἀδύνατον ἦν. συνήχθη δὲ τὸ ἀδύνατον, οὐκ ἐκ τῆς ἐμῆς ὑποθέσεως ψευδοῦς οὔσης οὐκ ἀδυνάτου δέ, ἀλλ' ἐκ τῆς ὑποθέσεως τοῦ ἀντιπίπτοντος. τῆς ὑποθείσης ὅτι τὸ α′ οὐκ ἐνδέχεται παντὶ τῷ γ′ ὑπάρχειν. Σημειωτέον ὅτι ὅτε ἡ α′β′ ἐστὶ καθόλου καταφατικὴ ὑπάρχουσα ἡ δὲ β′γ′ ἐνδεχομένη, συνάγεται συμπέρασμα, τὸ παντὶ ἐνδέχεται. ἀλλ' οὐκ ἔστι τὸ κυρίως ἐνδεχόμενον. καὶ

ματα, λοιπὸν οὐδὲν συμπέρασμα συνάγεται. οὕτως οὐδὲ τῶν προτάσεων ἐχουσῶν, οὔτε τὸ παντὶ ἐνδέχεται συνάγειν συμπέρασμα, οὔτε τὸ οὐδενὶ, οὔτε τὸ τινὶ, οὔτε τὸ οὐ παντί. εἰ γὰρ συνῆγε τὸ παντὶ ἐνδέχεται, συνήγετο ἂν καὶ τὸ οὐδενί. καὶ εἰ τὸ τινὶ συνῆγε, συνήγετο καὶ τὸ οὐ παντί. διότι ὡς δέδεικται αἱ ἐνδεχόμεναι προτάσεις ἀντιστρέφουσι πρὸς ἀλλήλας. οὐ συνάγεται δὲ ἐνδεχόμενον ἀλλ᾽ ἀναγκαῖον συμπέρασμα, διὰ τὸ β' κατὰ πλειόνων κατηγορεῖσθαι παρὰ τὸ α. ἤγουν διὰ τὸ β' καθολικώτερον εἶναι παρὰ τὸ α'. τὸ ἐνδέχεται ἀντὶ τοῦ ἐγχωρεῖ. Δεῖ δὲ τὸ ἐνδεχόμενον λαμβάνειν μὴ τὸ ἐν τῷ ἀναγκαίῳ. ἐπεὶ τὸ ἐνδεχόμενον σημαίνει καὶ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον, δεῖ μὴ λαμβάνειν τὸ ἐνδεχόμενον ἐν ταῖς προτάσεσι τὸ σημαῖνον τὸ ἀναγκαῖον. ἢ τὸ ὑπάρχον, ἀλλὰ τὸ κατὰ τὸν ὡρισμένον διορισμόν. ἤγουν τὸ κυρίως ἐνδεχόμενον. λανθάνει δὲ πολλάκις καὶ λαμβάνομεν τὸ ἀναγκαῖον ἢ τὸ ὑπάρχον, ἀντὶ τοῦ ἐνδεχομένου. οἷον εἴ τις εἴποι τὸ λευκὸν ἐνδέχεται ὑπάρχειν τῷ κύκνῳ. τὸ ἐνδέχεται ἐνταῦθα, ἀντὶ τοῦ ὑπάρχοντος λαμβάνεται. ἢ ἐνδέχεται ὑπάρχειν τῷ ἀνθρώπῳ. καὶ ἐνταῦθα γὰρ τὸ ἐνδέχεται, τὸ ἀναγκαῖον σημαίνει.

Περὶ μίξεως ἐνδεχομένου καὶ ὑπάρχοντος.

Αποδοὺς τὸν ὁρισμὸν τοῦ ἐνδεχομένου. καὶ πῶς αἱ τοῦ ἐνδεχομένου προτάσεις ἀντιστρέφουσι καὶ πόσα σημαίνει τὸ ἐνδεχόμενον. καὶ ὅτι ἐνδεχόμενον συμπέρασμα συνάγεται ἐκ δύο ἐνδεχομένων προτάσεων, ποιεῖται νῦν μῖξιν ἐνδεχομένου καὶ ὑπάρχοντος καί φησιν. ἐὰν ἡ μείζων ἐστὶν ἐνδεχομένη. ἡ δὲ πρὸς τὸ ἔλαττον ὑπάρχουσα, τέλειοι γίνονται συλλογισμοί. τελειοῦται γὰρ καὶ ἀποδείκνυται τὸ συμπέρασμα, ἐκ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός. καὶ τὸ συμπέρασμά ἐστι τὸ κατὰ τὸν εἰρημένον διορισμὸν ἐνδέχεσθαι ἤγουν συνάγεται συμπέρασμα τὸ κυρίως ἐνδεχόμενον. οὐ κατὰ τὸν ὁρισμὸν εἰρήκαμεν. ὅταν δὲ ἡ ἐλάττων πρότασίς ἐστιν ἐνδεχομένη. ἡ δὲ μείζων ὑπάρχουσα. εἰ μὲν καταφατικαί εἰσι καὶ ἀμφότεραι, τὸ συμπέρασμα ἐνδεχόμενον ἐστὶ καὶ τελειοῦται καὶ δείκνυται, οὐχὶ ἀπὸ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός. ἀλλὰ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. καὶ τῆς ἀντιστροφῆς τουτέστι τῆς μεταλήψεως τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον. ἐπὶ δὲ τῶν στερητικῶν συλλογισμῶν. ἐὰν ἡ μείζων ᾖ καθόλου στερητικὴ ὑπάρχουσα ἡ δὲ ἐλάττων ἐνδεχομένη, οὐ συνάγεται συμπέρασμα τοῦ κατὰ τὸν ὁρισμὸν ἐνδεχομένου. ἀλλὰ ἢ τοῦ μηδενὶ ἐξ ἀνάγκης, ἢ τοῦ μὴ παντὶ ἐξ ἀνάγκης. ὃ γὰρ λέγομεν ἐνδέχεσθαι μηδενὶ ἐξ ἀνάγκης ἢ μὴ παντὶ ὑπάρχειν, τοῦτο καὶ μὴ παντὶ ἢ μηδενὶ ὑπάρχοντος φαμὲν ὑπάρχειν. εἰ γὰρ τὸ βαδίζειν ἢ μηδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει ἢ μὴ παντὶ ἐξ ἀνάγκης, δῆλον ὅτι τὸ βαδίζειν ἔσται οὐδενὶ ὑπάρχοντος ἀνθρώπῳ ἢ οὐ παντί. ἐὰν ἡ μείζων πρότασίς ἐστιν ἐνδεχομένη. ἢ καθόλου καταφατικὴ ἢ ἀποφατική. ἡ δὲ ἐλάττων ὑπάρχουσα καταφατική, τοὺς αὐτοὺς ὅρους ληπτέον ἐν ἀμφοτέραις ταῖς συλλογισμοῖς. ἤγουν διαλέγεσθαι περιπατητικὸν καὶ ἄνθρωπον. διότι ὃ ἐνδέχεται παντὶ ὑπάρχειν, τοῦτο ὑπάρχειν καὶ μηδενὶ ἐνδέχεται. ὅτι δὲ ἐναντίας ἔχουσιν αἱ προτάσεις. καὶ ἡ μὲν μείζων ἐστὶν ὑπάρχουσα ἡ δὲ ἐλάττων ἐνδεχομένη, ἀτελεῖς πάντες γίνονται οἱ συλλογισμοί. καὶ τελειοῦνται οὐ διὰ τῶν ἐξ ἀρχῆς ληφθεισῶν προτάσεων, ἀλλὰ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ διὰ τῆς ἀντιστροφῆς. τουτέστι τῆς μεταλήψεως τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον. Μέλλων δεικνύναι τοὺς συλλογισμοὺς τοὺς ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης, χρᾶται τῇ τε εἰς ἀδύνατον ἀπαγωγῇ, καὶ μεταλαμβάνει τὴν ἐνδεχομένην πρότασιν, εἰς τὴν ὑπάρχουσαν καὶ συνάγει ἀδύνατόν τι. ἵνα οὖν μή τις ὑπολάβῃ συνάγεσθαι τὸ ἀδύνατον ἀπὸ τοῦ μεταλαβεῖν τὸ ἐνδεχόμενον εἰς τὸ ὑπάρχον, τοιοῦτόν τι θεώρημα προδιδάσκει. ὅτι ἐὰν αἱ προτάσεις εἰσὶ δυνατοί, καὶ τὸ ἐνδεχόμενον συμπέρασμα δυνατόν ἐστι. καὶ ἐὰν ἀναγκαῖαι ὦσιν αἱ προτάσεις ἢ ἀδύνατοι, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον ἢ ἀδύνατον. καὶ εἰ ψευδεῖς αἱ προτάσεις, οὐκ ἀδύνατοι δὲ καὶ τὸ συμπέρασμα ἔσται ψευδὲς οὐκ ἀδύνατον δέ. τὸ γὰρ εἰπεῖν τὸν σωκράτην βαδίζειν ἐν ᾧ κάθηται, ψεῦδος μέν ἐστιν οὐκ ἀδύνατον δὲ βαδίσαι αὐτόν. φιλοσυντόμως οὖν λαμβάνει τὸ α ὡς ἡγούμενον, καὶ ὡς αἱ δύο προτάσεις. τὸ δὲ β' ἑπόμενον, καὶ συμπέρασμα. ἕπεται γὰρ ταῖς προτάσεσι τὸ συμπέρασμα, κυρίως δυνατόν ἐστι, τὸ κατὰ τὴν γένεσιν δυνατόν ὅπερ μὴ ὄν μέν ἐστι, δύναται δὲ γενέσθαι ὂν καὶ ἐκβῆναι. ὃ καὶ ἰσοδυναμεῖ τῷ κυρίως ἐνδεχομένῳ. ὥσπερ καὶ τὸ ὑπάρχον διακόπτειν. πέφυκε γὰρ διακόπτεσθαι διὰ τὸ ὄν. ὡς ὁ τραγέλαφος καὶ ὁ ἱπποκένταυρος. ἀδύνατον δὲ τῇ γενέσει οὐ τῇ φύσει ἐστὶ τό, μὴ ὂν φύσει ἀόρατον, ἀλλὰ τὸ μὴ δυνατὸν γενέσθαι ὁρατόν, διὰ τὸ ἐν βυθῷ κεῖσθαι. οἷον τὸν ἐν τῷ βυθῷ κείμενον λίθον, ἀδύνατον γενέσθαι ὁρατόν. οὐ διὰ τὸ μὴ φύσει εἶναι ἀόρατον. διὰ δὲ τὸ αὐτῇ προσθοῦν τὴν ὅρασιν τὸ πλῆθος τῶν ὑδάτων. τοῦ γοῦν α' ὄντος ἤγουν δύο προτάσεων ληφθεισῶν, ἀνάγκη καὶ τὸ β' εἶναι. ἤγουν ἐπακολουθῆσαι συμπέρασμα. καὶ εἰ δυνατόν ἐστι τὸ α' ἤγουν καὶ ἐὰν αἱ προτάσεις εἰσὶ δυναταί, ἀνάγκη καὶ τὸ β'. ἤγουν τὸ συμπέρασμα τὸ ἐκ τούτων συναγόμενον. δυνατὸν εἶναι. οὕτω δὲ ἐχόντων τῶν ὅρων, τοῦ τε ἡγουμένου καὶ τοῦ ἑπομένου. ἤγουν τῶν προτάσεων καὶ τοῦ συμπεράσματος, ὅτι ἀεὶ ὅσον αἱ προτάσεις ταύταις ἐπακολουθεῖ καὶ τὸ συμπέρασμα, ἔστω τὸ μὲν α' ἤγουν αἱ προτάσεις, δυναταί. τὸ δὲ β' ἤγουν τὸ ἐκ τούτων συμπέρασμα, ἔστω ἀδύνατον κατὰ τὸν λόγον τοῦ ἀντιπίπτοντος. ἔσται ἄρα τὸ β' τὸ συμπέρασμα, καὶ

καταφατικαί εἰσιν ἀμφότεραι
ἢ τὸ ἐν.

ἐν

ad verba illa Arist.
δεῖ δὲ λαμβάνειν.

νων ἐστὶν οὐ τῶν ἀορίστων. περὶ μὲν οὖν τούτων τῶν σημαινομένων τοῦ ἐνδεχομένου, διαιρησόμεθα καὶ
πλατύτερον ἐπεξελθόμεν ἐν τοῖς ἑπομένοις. ἤγουν τοῖς μέλλουσι ῥηθῆναι. νῦν δὲ ῥητέον πότε καὶ
πῶς γίνεται συλλογισμός. καὶ τίς ἐστιν ὁ συλλογισμός. ἤγουν ποταπὸν συμπέρασμα συναχθήσεται
ὅταν ὦσιν αἱ δύο προτάσεις ἐνδεχόμεναι. ἐπεὶ δὲ τὸ ἐνδέχεσθαι τόδε τῷδε ὑπάρχειν. οἷον τὸ ἐνδέχεσθαι
τὸ λευκὸν ὑπάρχειν τῷ σωκράτει, διχῶς ἔστιν ἐννοεῖν. ἢ ὅτι ἀποβέβηκε καὶ ὑπάρχει τῷ σωκράτει τὸ λευ-
κόν. καὶ λευκός ἐστιν ᾧ τινι τῷ σωκράτει ἐνδέχεται ὑπάρχειν αὐτὸ τὸ λευκὸν γενέσθαι ὡς μήπω ἀποβεβη-
κὸς αὐτῷ, μέλλον δὲ γενέσθαι. ἀλλ᾽ ἵνα σαφέστερος ὁ λόγος γένηται, ἐπαναληπτέον αὖθις τὰ τοῦ κει-
μένου ῥητά. ἐπεὶ δὲ τῷ λέγειν ὅτι ἐνδέχεται τόδε ἤγουν τὸ α ὑπάρχειν τῷδε ἢ τῷ β΄, διχῶς ἐστιν ἐκλα-
βεῖν τὸ ἐνδέχεται. ἢ τὸ ἤδη ὑπάρχον. καὶ ἀποβεβηκὸς ὅτι καὶ ὑπάρχον λέγεται, ἢ τὸ μήπω ὑπάρ-
ξαν. δυνάμενον δὲ αὐτῷ γενέσθαι ὅτι ἐστὶ τὸ κυρίως ἐνδεχόμενον. φανερὸν ὅτι ἐνταῦθα ἡ ἀπόδοσις τοῦ
ἐπεί. ἀλλὰ περὶ μὲν τοῦ ἐνδεχομένου τοῦ σημαίνοντος τὸ ὑπάρχον, εἴρηται. ῥητέον δὲ νῦν καὶ περὶ τοῦ
κυρίως ἐνδεχομένου τοῦ μήπω ὑπάρξαντος. δυναμένου δὲ γενέσθαι καὶ εἰς ἀπόβασιν ἐλθεῖν. Με-
ταληπτέον καὶ τὰ μεταξὺ ῥητὰ τοῦ κειμένου. καὶ γὰρ τὸ λέγειν ἐνδέχεσθαι τὸ α΄ καθ᾽ οὗ τὸ β΄. ἢ τοῦτο ση-
μαίνει. ὅτι κατὰ τοῦ γ΄ καθ᾽ οὗ κατηγορεῖται τὸ β΄, ἐνδέχεται ὑπάρχειν τὸ α΄. ἤγουν ὑπάρχοντος ὑπάρ-
χει τὸ α τῷ γ΄. τὸ γὰρ ἐνδέχεται τὸ ὑπάρχειν σημαίνει ἐνταῦθα. ἢ ὅτι κατὰ τοῦ γ΄ ἐνδέχεσθαι τὸ α΄ καθ᾽ οὗ
τὸ β΄ κατηγορεῖται. ἐνδέχεται δὲ λέγει τὸ α΄ κατὰ τοῦ γ΄, ὡς μήπω ἀποβεβηκὸς μηδὲ ὑπάρξαν αὐ-
τῷ. τὸ δὲ λέγειν τῷ α΄ καθ᾽ οὗ τὸ β΄ οὐδὲν διαφέρει τοῦ λέγειν τὸ α΄ κατὰ παντὸς τοῦ β΄. καὶ κατὰ πάν-
τα γὰρ τὰ μόρια τοῦ β΄ κατηγορεῖσθαι, οὕτω λέγειν τὸ α΄ καθ᾽ οὗ τὸ β΄ σημαίνει, τὸ α΄ κατηγορεῖσθαι τοῦ
γ΄ καθ᾽ οὗ τὸ β΄ μόριον γὰρ τὸ γάμμα τοῦ βῆτα. ἐπεὶ δὲ οἱ ἐκ δύο προτάσεων ἐνδεχόμενοι συλλογισμοὶ
ἁπλούστεροί εἰσι τῶν ἐκ μίξεως ὑπαρχόντων καὶ ἐνδεχομένων ἢ ἀναγκαίων συλλογισμῶν, ῥητέον πρό-
τον περὶ τῶν ἁπλουστέρων. τίς καὶ ποῖος ἔσται συλλογισμός. ἤγουν ποταπὸν συμπέρασμα γίνεται ἐκ
δύο ἐνδεχομένων. ἤγουν ὅτ᾽ ἂν τὸ β΄ ἐνδέχεται. ἤγουν ἐνδεχομένως κατηγορεῖται καθ᾽ οὗ τὸ γ΄. ἤγουν κα-
τὰ παντὸς τοῦ γ΄. καὶ τὸ α΄ ἐνδεχομένως κατηγορεῖται καθ᾽ οὗ τὸ β΄. ἤγουν κατὰ παντὸς τοῦ β΄. ὅταν
δὲ τὸ α΄ ἐνδέχεται ἤγουν ἐνδεχομένως κατηγορεῖται κατὰ τοῦ γ΄. καθ᾽ οὗ τινος τοῦ γ΄ τὸ β΄ ὑπαρχόν-
τως κατηγορεῖται, τότε ἡ μὲν, ἡ ἐλάττων πρότασις ἡ β γ΄ ἐστὶν ὑπάρχουσα. ἡ δὲ μείζων ἡ α β΄, ἐνδεχο-
μένη. διὰ τοῦτο γὰρ καὶ τὸ συμπέρασμα ἤγουν τὸ α΄ κατὰ τοῦ γ΄ ἐνδεχόμενον λέγεται. διὰ τὸ εἶναι τὴν
μείζονα πρότασιν ἐνδεχομένην. καὶ τὸ συμπέρασμα ἀκολουθεῖν ταύτῃ. Ὁμοιοσχήμονας λέγει τὰς
ὁμοειδεῖς προτάσεις τὰς ἐκ δύο ἐνδεχομένων συγκειμένας προτάσεων. ἐπεὶ καὶ ἐν τοῖς ἄλλοις τρό-
ποις τῷ τε ἀναγκαίῳ φημὶ καὶ τῷ ὑπάρχοντι συντετμημένως διδάξαντες πρῶτον περὶ τῶν ἐκ δύο
ἀναγκαίων προτάσεων συλλογισμῶν καὶ τῶν ἐκ δύο ὑπαρχουσῶν, οὕτως ἐχωρήσαμεν καὶ εἰς τὴν δι-
δασκαλίαν τῶν ἐκ μίξεως ἀναγκαίου καὶ ὑπαρχούσης προτάσεως, συλλογισμῶν. τὸ γὰρ καθ᾽ οὗ τὸ
β΄ ἐνδέχεται τὸ α΄ μὴ ἐνδέχεσθαι, ληπτέον ἀντὶ τοῦ τὸ α΄ οὐδενὶ τῷ β΄ ἐνδεχομένως ὑπάρχει. ὃ σημαί-
νει τὸ τὸ α΄ ἀποφάσκεσθαι ἀπὸ πάντων τῶν μορίων τοῦ β΄. ἀντιστραφείσης δὲ τῆς β γ΄ κατὰ τὸ ἐν-
δέχεσθαι. ἀντιστροφὴν νόει τὴν μετάληψιν τῆς ἀποφατικῆς ἐνδεχομένης πρὸς τὴν καταφατικὴν ἐνδε-
χομένην. δέδεικται γὰρ ὅτι αἱ καταφατικαὶ ἐνδεχόμεναι, πρὸς τὰς ἀποφατικὰς ἀντιστρέφουσι. καὶ
τὸ ἀνάπαλιν αἱ καθόλου πρὸς τὰς καθόλου. καὶ αἱ μερικαὶ πρὸς τὰς μερικάς. τῇ δὲ θέσει ὁμοίως ἔ-
χουσιν ἤγουν ἴσα ἡ μείζων πρότασις καθόλου ᾖ εἴτε καταφατική, εἴτε ἀποφατική. ἡ δὲ ἐλάττων με-
ρικὴ ἀποφατική. ὁμοιοσχήμονές εἰσιν αἱ προτάσεις. ὅταν ἡ μὲν α β΄ ἐστὶ τίς. ἡ δὲ β γ΄ οὐδείς. ἢ ἡ α β΄. οὐ
πᾶς ἡ δὲ β γ΄ πᾶς. οὐδὲν γὰρ κωλύει τὸ β΄ ὑπερτείνειν τοῦ α΄. ἤγουν ὅτ᾽ ἡ μείζων πρότασίς ἐστι μερικὴ ἀνάγ-
κη καὶ τὸ β΄ ὑπερτείνειν. καὶ αὐτὸ πλέον εἶναι καὶ καθολικώτερον τοῦ α΄, καὶ μὴ κατηγορεῖσθαι ἐπ᾽ ἴσων.
ἤτοι οὕτως ἐχουσῶν τῶν προτάσεων. οὐδὲ κἂν εὑρεθήσεται τὸ β΄ ἐξισάζον τῷ α΄. ἐπεὶ καὶ αὐτὸ τῶν
ἐξισαζόντων ὅρων, καθόλου ἡ κατηγορία γίνεται. οἷον ὁ ἄνθρωπος καὶ τὸ γελαστικὸν ἐξισάζουσι. καὶ
διὰ τοῦτο κατὰ παντὸς ὁ ἄνθρωπος τοῦ γελαστικοῦ λέγεται. καὶ τὸ ἀνάπαλιν. εἶπας δὲ καὶ τὸ ἐνύπνιον
ὁρᾶν, παντὶ καθεύδοντος ἐνδέχεται ὑπάρχειν. ἐξισάζουσι γὰρ καὶ οὗτοι οἱ ὅροι. ληπτέον δὲ ὅρους. ὅταν
ἡ μείζων ᾖ μερική. τὸ μὲν α΄ ζῷον. τὸ δὲ β΄ λευκόν. τὸ δὲ γ΄ ἄνθρωπος. τὸ γοῦν λευκόν, καθολικώτερόν
ἐστι τοῦ ζῴου. τὸ μὲν γὰρ ζῷον, ἐπὶ μόνων τῶν ἐμψύχων λέγεται. τὸ δὲ λευκὸν καὶ ἐπὶ τῶν ἐμψύχων
καὶ ἀψύχων. Εἰλήφθω δὲ τὸ γ΄ ἐν ᾧ γ΄ τὸ β΄ ὑπερτείνει. καὶ καθολικώτερόν ἐστι τὸ β΄ τοῦ α΄. ὁ γὰρ
ἄνθρωπος δὲ καὶ περιέχεται ὑπὸ τοῦ ζῴου. καθ᾽ οὗ καὶ πάντα τὰ ἔμψυχα, ἀλλὰ τὸ λευκὸν οὐ μόνον
περιέχει τὸν ἄνθρωπον καὶ τὰ ἔμψυχα πάντα, ἀλλὰ καὶ τὰ ἄψυχα. τούτῳ γὰρ τῷ γ΄ οὔτε παντὶ
ὑπάρξει τὸ α΄, οὔτε οὐδενί, οὔτε τινί, οὔτε τὸ οὐ παντί. ἴδιον γὰρ τῶν ἀσυλλογίστων συζυγιῶν,
καὶ τὸ παντὶ συνάγειν καὶ τὸ οὐδενί. ὥστε συνάγων τὸ παντί, ἀναιρεῖ καὶ τὸ οὐδείς καὶ τὸ οὐ
πᾶς. ἐμπεριέχεται γὰρ ἡ οὐ πᾶς ὑπὸ τῆς οὐδείς. ὥστε καὶ ἡ τὶς ὑπὸ τῆς πᾶς. καὶ συνά-
γων τὸ οὐδενὶ ἀναιρεῖ καὶ τὸ πᾶς καὶ τὸ τίς. καὶ ἐπεὶ ἀναιροῦσιν ἄλληλα τὰ συμπεράσμα-

κτυλον τὸν αὐτὸν ποιεῖ. πολλάκις δὲ καὶ ἀποτυγχάνουσα τετραδάκτυλον ἢ ἑξαδάκτυλον τοῦτον ἐρ-
γάζεται. καὶ ὡς ἐπὶ τὸ πολὺ ἐν γήρᾳ ὁ ἄνθρωπος πολιοῦται καὶ αὔξεται ἢ φθίνει ἤγουν μειοῦται.
πολλάκις δὲ καὶ ἐν γήρᾳ ἄνθρωπος οὐ πεπολίωται. οὔτε μὴν αὔξεται. παῖς γὰρ ὢν εἰς ἄνδρας φθάσαι
οὐδέποτε. ἀλλὰ τέθνηκεν. καὶ ὡς ἐπὶ τὸ πολὺ μειοῦται ὁ ἄνθρωπος ἐν γήρᾳ, ἰσχνότερος γινόμενος.
συμβαίνει δὲ καὶ γηράσαντά τινα μὴ μειωθέντα ἀλλὰ μᾶλλον λιπαρώτερον γινόμενον καὶ εὐτραφῆ.
καὶ γὰρ τοῦτο ὡς ἐπὶ τὸ πολὺ σημαινόμενον τοῦ ἐνδεχομένου. οἷον τὸ πολιοῦσθαι ἄνθρωπον ἐν γήρᾳ καὶ
τὸ παῖδα ὄντα αὐξηθῆναι καὶ ἀνδρωθῆναι καὶ τὰ λοιπά, ἢ τὸ ὅλως πεφυκός, ὑπάρχει. ἤγουν ἢ καθ-
όλου περὶ ὃ ἡ φύσις πέφυκε καταγίνεσθαι οὐκ ἔχει τὸ ἀναγκαῖον. ἤγουν τὸ ἀεὶ γίνεσθαι οὕτω συνε-
χὲς καὶ ἀδιάκοπον. ἢ διὰ τὸ μὴ ἀεὶ εἶναι τὸν ἄνθρωπον. φθάσει γὰρ πολλάκις πρὸ τοῦ γηράσαι θανεῖν.
καὶ πρὸ τοῦ αὐξηθῆναι καὶ ἀνδρωθῆναι. ἢ πολλάκις ὄντος τοῦ ἀνθρώπου καὶ ζῶντος, ἐξ ἀνάγκης συμ-
βήσεται αὐτῷ τὸ ἐν γήρᾳ πολιωθῆναι. γνοὺς δὲ οὗτος ὁ σοφὸς ὅτι τὸ ἐξ ἀνάγκης ἐπὶ τοῦ ἀεὶ γινομέ-
νου λαμβάνεται, αὐτὸς ἑαυτὸν ἐπιδιορθούμενος φησίν. ἤ τι λέγει ἐξ ἀνάγκης. ὡς ἐπὶ τὸ πολὺ γὰρ δεῖ
τὸ τὸν ἄνθρωπον πολιοῦσθαι. ἤγουν οὐκ ἀεὶ πολλάκις δὲ οὐ πεπολίωται. ἢ ὁ παῖς οὐκ ἠνδρώθη. ἀορι-
σμένον δὲ λέγει τὸ ὡς ἐπὶ τὸ πολύ, διὰ τὸ τὴν ὕπαρξιν τοῦ πράγματος ἀποβαίνειν σχεδὸν ἀεί. σπανίως
γὰρ ἡ ἀποτυχία γίνεται τοῦ γενέσθαι τὸ πρᾶγμα. κατὰ τὸν ἄλλον δὲ τρόπον λέγεται καὶ ἐνδεχόμενον τὸ
ἀόριστον. τοῦτο δὲ τὸ ἀόριστον διαιρεῖται εἰς τὸ ὡς ἐπὶ ἴσης καὶ εἰς τὸ ὡς ἐπ' ἔλαττον. καὶ ἐπὶ ἴσης μὲν ἐνδεχό-
μενα λέγονται τὰ προαιρετά. ἃ τοῦ γενέσθαι καὶ μὴ γενέσθαι αἰτία, ἡ προαίρεσις. προαιρετὰ δέ φημι,
τὸ λουθῆναι. τὸ εἰς ἀγορὰν ἀπελθεῖν. τὸ εἰς ἑορτὴν παραβαλεῖν. ταῦτα γὰρ πάντα, δύναται καὶ οὕτω γε-
νέσθαι, καὶ μὴ οὕτως, δύναται γὰρ ὁ Σωκράτης καὶ λουθῆναι, καὶ μή. καὶ μὴ βαδίσαι καὶ μή. λέγεται δὲ ὡς ἐπὶ ἴσης
ἐνδεχόμενα ταῦτα τὰ προαιρετά. καὶ γὰρ πρὸ τῆς ἀποβάσεως τοῦ πράγματος, οὐδὲν μᾶλλον πέφυκεν ὁ-
πως ἀληθεύειν μᾶλλον τὴν ἀπόφασιν ἢ τὴν κατάφασιν. οὐ γὰρ δύναται μᾶλλον ὁ Σωκράτης μὴ λουθῆναι ἢ
μὴ ἀπελθεῖν εἰς τὴν ἀγοράν, ἤπερ δὲ δύναται λουθῆναι ἢ ἀπελθεῖν εἰς τὴν ἀγοράν. καὶ διὰ τὸ ἐπὶ ἴσης δύνασθαι
ποιῆσαι καὶ ἄμφω ἢ μὴ ποιῆσαι, διὰ τοῦτο καὶ ἐπὶ ἴσης ἐνδεχόμενον λέγεται καὶ ἀόριστον. διὰ τὸ μὴ δύνασθαι
ἀπονέμειν ὡρισμένως τῇ καταφάσει τὸ ἀληθεύειν ἢ τὸ ψεύδεσθαι ἢ τῇ ἀποφάσει. ἐπὶ ἴσης γὰρ καὶ ἡ κατά-
φασις καὶ ἡ ἀπόφασις ἀληθεύουσι καὶ ψεύδονται πρὸ τῆς τοῦ πράγματος ἀποβάσεως. τὸ δὲ βαδίζον-
τος ἀνθρώπου γενέσθαι σεισμὸν ἢ ὅλως τὸ ἀπὸ τύχης γινόμενον. οἷον, τὸ τὸν ὀρύσσοντα θησαυρὸν εὑρεῖν,
λέγεται δὲ καὶ τοῦτο ὡς ἐπ' ἔλαττον ἀόριστον, διὰ τὸ σπανίως καὶ ὡς ἐπ' ἔλαττον συμβαίνειν τὸ πρᾶγ-
μα γίνεσθαι καὶ παρὰ πᾶσαν ἐλπίδα. οἷον τὸ ἐντυχεῖν θησαυρὸν τὸν σκάπτοντα. τὸ βαδίζοντά τινος
γενέσθαι σεισμὸν καὶ τὰ τοιαῦτα. ἐπὶ πάντων γοῦν τούτων τῶν σημαινομένων τοῦ ἐνδεχομένου, γίνον-
ται αἱ ἀντιστροφαὶ κατὰ τὰς εἰρημένας προτάσεις. ἤγουν αἱ καταφάσεις πρὸς τὰς ἀποφάσεις ἀν-
τιστρέφονται. καὶ αἱ ἀποφάσεις πρὸς τὰς καταφατικάς. ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον αἱ ἀντιστρο-
φαὶ γίνονται. ἀλλὰ τὸ μὲν πεφυκὸς εἶναι ἤγουν τὸ ὡς ἐπὶ τὸ πολὺ περὶ ὃ ἡ φύσις καταγίνεται, ἀντιστρέ-
φει πρὸς τὴν ἀπόφασιν, διὰ τὸ μὴ ἐξ ἀνάγκης καὶ ἀεὶ τὴν φύσιν ἐπιτυγχάνειν τοῦ σκοποῦ. πολλάκις
γὰρ ὡς ἄπειρον καὶ τετραδάκτυλος ὁ ἄνθρωπος γίνεται. καὶ διὰ τοῦτο ἔχει χώραν σπανίως ἀληθεύειν
καὶ τὴν ἀπόφασιν. τὸ δὲ ἀόριστον ἤγουν τὸ ὡς ἐπὶ ἴσης ἐνδεχόμενον, ἔχει τὴν κατάφασιν πρὸς τὴν ἀπό-
φασιν ἀντιστρέφουσαν, διὰ τὸ μηδὲν μᾶλλον ἀληθεύειν τὸ οὕτως ἔχειν ἢ ἕξειν. ἤγουν τὴν κατάφασιν. ἢ
ἐκείνας ἢ παρὰ τὴν ἀπόφασιν. ἐπὶ ἴσης γὰρ ὡς ἐδείξαμεν καὶ ἐν τῇ καταφάσει καὶ ἀποφάσει θεωρεῖ-
ται τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, πρὸ τῆς τοῦ πράγματος ἀποβάσεως. Σημαίνει δὲ ὅτι τὸ μὲν ἔχειν ἀπο-
ληπτέον ἐπὶ ἐνεστῶτος. τὸ δὲ ἕξειν ἐπὶ μέλλοντος. ὡσαύτως καὶ τὸ ὡς ἐπ' ἔλαττον ἔχει τὴν ἀπόφασιν,
ἀντιστρέφουσαν πρὸς τὴν κατάφασιν διὰ τὸ μὴ ἀεὶ εὑρίσκειν θησαυρὸν τὸν ὀρύσσοντα. ἀλλὰ σπανίως
γίνεσθαι καὶ ἐπιτυχίαν θησαυροῦ. ὥσπερ καὶ τοῦ ὡς ἐπὶ τὸ πολὺ ἡ κατάφασις ἀντιστρέφει πρὸς τὴν ἀ-
πόφασιν, διὰ τὸ μὴ ἐξ ἀνάγκης καὶ ἀεὶ τὴν φύσιν καὶ τὴν τέχνην ἐπιτυγχάνειν τοῦ σκοποῦ. Εἰπὼν
τὰ σημαινόμενα τοῦ ἐνδεχομένου, λέγει νῦν καὶ περὶ ποῖον σημαινόμενον ἡ ἐπιστήμη καὶ ἡ ἀπόδειξις
καὶ ὁ ἀποδεικτικὸς συλλογισμὸς καταγίνεται. τῶν μὲν γὰρ ἀορίστων φησίν. ἤγουν τοῦ ὡς ἐπὶ ἴσης καὶ
ὡς ἐπ' ἔλαττον, συλλογισμὸς καὶ ἀπόδειξις οὐ γίνεται. διὰ τὸ συμβαίνειν ἄτακτον εἶναι καὶ ἀόριστον.
τὸν μέσον ὅρον. ἐπὶ μὲν γὰρ τοῦ ὡς ἐπὶ ἴσης ἂν λάβῃς μείζονα ὅρον τὸ λούεσθαι. μέσον δὲ τὸν ἄνθρωπον. ἐ-
λάττονα δὲ τὸν Σωκράτην, ἐπὶ ἴσης ὁ μέσος ὅρος καὶ καταφάσκεται καὶ ἀποφάσκεται τοῦ μέσου. τοῦ δὲ
ὡς ἐπ' ἔλαττον συλλογισμὸς καὶ ἀπόδειξις οὐ γίνεται. διότι αἱ ἀποδείξεις καὶ οἱ συλλογισμοί, οὐ τῶν
σπανίως γινομένων εἰσίν. ἀλλ' ἢ τῶν ὡς ἐπὶ τὸ πολὺ ἢ τῶν ἀεὶ ὄντων. καὶ σχεδὸν οἱ λόγοι καὶ οἱ συλλογι-
σμοὶ καὶ αἱ σκέψεις ἤτοι αἱ συλλογιστικαὶ μέθοδοι, περὶ τὰ οὕτως ἐνδεχόμενα γίνονται. ἤγουν τὰ ὡς
ἐπὶ τὸ πολύ. εἶπε δὲ τὸ σχεδὸν διότι οὐκ ἀεὶ οἱ συλλογισμοὶ τῶν ὡς ἐπὶ τὸ πολὺ ἐνδεχομένων εἰσίν. ἀλλὰ καὶ
τῶν ἀναγκαίων καὶ τῶν ὑπαρχόντων. ἐκείνας δὲ ἤγουν ἐπὶ τῶν ἀορίστων ἐνδεχομένων τοῦτο ὡς ἐπὶ ἴσης λέ-
γω καὶ τοῦ ὡς ἐπ' ἔλαττον, ἐγχωρεῖ μὲν καὶ δύνασθαι συλλογισμὸς γενέσθαι. οὐ μὴν εἰώθαμεν συλλο-
γίζεσθαι ἐπὶ τούτων καὶ συζητήσεις ποιεῖν. διὰ τὴν ἀοριστίαν τοῦ μέσου. αἱ γὰρ ἐπιστῆμαι τῶν ὡρισμέ-

ὑπάρχειν καὶ τὸ οὐκ ἀδύνατον. καὶ τὸ οὐκ ἀναγκαῖον μὴ ὑπάρχειν καθὸ σημαίνουσι τὸ αὐτό. ἐνδέχεται γὰρ τὸν ἄνθρωπον εἶναι λευκὸν καὶ οὐκ ἀδύνατον εἶναι λευκὸν καὶ οὐκ ἀνάγκη μὴ εἶναι λευκόν. ἢ ἀκολουθοῦσιν ἀλλήλαις. ἤγουν συναληθεύουσιν. ἐπὶ γὰρ τῶν ἀντιφατικῶς ἀντικειμένων κατὰ παντὸς ἤγουν ἐπὶ παντὸς πράγματος ἢ ἡ κατάφασις ἀληθεύει ἢ ἡ ἀπόφασις. ἐπεὶ γοῦν τῷ ἐνδέχεται ὑπάρχειν οὐ συναληθεύουσι καὶ ἀκολουθεῖ τὸ ἀδύνατον ἢ τὸ ἀναγκαῖον μὴ ὑπάρχειν, ταῦτα γὰρ ἀκολουθοῦσι τῷ οὐκ ἐνδέχεται ὑπάρχειν, ἀναγκαῖον ἄρα ἀκολουθεῖν τῷ ἐνδέχεται ὑπάρχειν. τό τε οὐκ ἀδύνατον ὑπάρχον καὶ οὐκ ἀναγκαῖον μὴ ὑπάρχειν. καλῶς ἄρα εἴπομεν ὁριζόμενοι τὸ κυρίως ἐνδεχόμενον, μήτε ἀναγκαῖον ὑπάρχον, μήτε ἀδύνατον. συμβαίνει δὲ πάσας τὰς κατὰ τὸ ἐνδέχεται προτάσεις. ὁ μὲν ὁρισμὸς τῆς ἀντιστροφῆς τῶν ἀναγκαίων καὶ ὑπαρχουσῶν προτάσεων, ἡ κοινωνία δύο προτάσεων κατὰ ἀμφοτέρους τοὺς ὅρους. τοῦ μὲν ποιοῦ μένοντος τοῦ αὐτοῦ. τῆς τάξεως καὶ τῶν ὅρων ἐναλλαττομένης μετὰ τῆς συναληθεύειν. ὁ δὲ ὁρισμὸς τῆς ἀντιστροφῆς τῶν ἐνδεχομένων προτάσεών ἐστι, κοινωνία δύο προτάσεων. κατ᾽ ἀμφοτέρους τοὺς ὅρους, τοῦ μὲν ποιοῦ μένοντος τοῦ αὐτοῦ. τῆς τάξεως δὲ τῶν ὅρων μετὰ τοῦ συναληθεύειν φυλαττομένης. οἷον εἰ τὸ λούεσθαι ἐνδέχεσθαι παντὶ ἀνθρώπῳ, ἐνδέχεται καὶ μηδενὶ ὑπάρχειν. ὅρα πῶς ἡ πᾶς ἀντιστρέφει πρὸς τὴν οὐδείς καὶ ὅπως κοινωνοῦσιν αἱ δύο αὗται προτάσεις. καθὸ ἔχουσι τοὺς αὐτοὺς ὅρους. καὶ ὅπως ὁ ὑποκείμενος μένει ὁ αὐτὸς καὶ ὁ κατηγορούμενος, ἐν ἀμφοτέραις ταῖς προτάσεσι. καὶ ὅπως τὸ ποιὸν τῆς καθόλου καταφατικῆς προτάσεως μεταλλάγη εἰς ἀποφατικὴν καθόλου ποιότητα. καὶ ἡ καθόλου ἀποφατική, πρὸς τὴν καταφατικὴν αὖθις ἀντιστρέφει. εἰ γὰρ τὸ λευκὸν ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν, ἐνδέχεται καὶ παντί. καὶ αἱ μερικαὶ αὖθις πρὸς τὰς μερικὰς ἀντιστρέφουσιν. εἰ γὰρ τινὰ ἄνθρωπον ἐνδέχεται εἶναι γραμματικόν, ἐνδέχεται καὶ μὴ πάντα αὐτὸν εἶναι γραμματικόν. καὶ εἰ τὸ γραμματικὸν ἐνδέχεται οὐ παντὶ ὑπάρχειν, ἐνδέχεται καὶ τινί. ἀποφατικὰς προτάσεις ἐμάθομεν ἐν ταῖς μετὰ τρόπου προτάσεσιν εἶναι τὰς ἐχούσας ἐν τῷ τρόπῳ τὴν οὐ ἄρνησιν. οἷον τῆς ἐνδέχεται παντί, ἀπόφασις τὸ οὐκ ἐνδέχεται παντί. καὶ τῆς τινὶ ἐνδέχεται, τὸ οὐκ ἐνδέχεται τινί. τὸ δὲ ἐνδέχεται μὴ παντὶ καὶ ἐνδέχεται μηδενί, καταφατικαὶ προτάσεις εἰσί. πλὴν εἰ καὶ καταφατικὸν ἔχουσι τὸ σχῆμα κατὰ τὴν ἀντίθεσιν, ἀλλ᾽ οὖν δύναμιν ἔχουσιν ἀποφάσεως καὶ αὗται καθὸ ἀναιροῦσιν. ἀντίθεσιν νοητέον ἐνταῦθα τὴν μάχην. οἷον καὶ ἐναντιότητα. μάχεται γὰρ τῷ παντὶ ὑπάρχειν, τὸ μηδενὶ ὑπάρχειν. καὶ τὸ τινὶ τὸ μὴ τινί. πλὴν εἰ καὶ μάχονται, ἀλλ᾽ ἀντιφατικῶς οὐκ ἀντίκεινται. ἀντιστρέφουσιν οὖν ἐπὶ τοῦ ἐνδεχομένου αἱ καταφατικαὶ πρὸς τὰς ἀποφατικάς, καὶ αἱ καθόλου καὶ αἱ μερικαὶ αὖθις αἱ ἀποφατικαί, πρὸς τὰς καταφατικάς. ὡς ἐδείξαμεν. ἀποφατικὰς δὲ νόει μὴ τὰς κυρίως ἀποφατικάς. ἀλλὰ τὰς ἐχούσας σχῆμα μὲν καταφατικόν. δύναμιν ἀποφάσεως. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων προτάσεων τῶν ἐχουσῶν τὸν δυνατοῦ τρόπον προσκείμενον, αἱ ἀντιστροφαὶ γίνονται. ἐπεὶ καὶ τὸ δυνατόν, ἰσοδυναμεῖ τῷ ἐνδεχομένῳ. εἰ γὰρ τὸ λευκὸν δυνατὸν παντὶ ὑπάρχειν, δυνατὸν καὶ μηδενί. καὶ εἰ τὸ λούεσθαι δυνατὸν οὐδενὶ ὑπάρχον, δυνατὸν καὶ παντὶ ὑπάρχειν. καὶ εἰ τὸ λούεσθαι δυνατόν τινι ἀνθρώπῳ ὑπάρχειν, δυνατὸν καὶ μὴ παντὶ ὑπάρχον. εἶτα ἀποδείκνυσι, καὶ πῶς αἱ καταφατικαὶ τοῦ ἐνδεχομένου προτάσεις πρὸς τὰς ἀποφατικὰς ἀντιστρέφουσι. καὶ τὸ ἀνάπαλιν καὶ φησίν. ἐπεὶ διὰ τοῦ ὁρισμοῦ ἐδείχθη τοῦ ἐνδεχομένου τὸ ἐνδεχόμενον μὴ εἶναι ἀναγκαῖον. τὸ δὲ μὴ ἀναγκαῖον δύναται καὶ μὴ ὑπάρχειν, διατοῦτο εἰ τὸ α ἐνδέχεται τῷ β ὑπάρχειν ἐνδέχεται καὶ μὴ ὑπάρχειν. καὶ εἰ ἐνδέχεται τὸ α παντὶ τῷ β ὑπάρχειν, ἐνδέχεται καὶ μὴ παντὶ ἤγουν μηδενί. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐν μέρει καταφάσεων, ἡ καταφατικὴ ἀντιστρέφει πρὸς τὴν ἀποφατικήν. καὶ τὸ ἀνάπαλιν. ἡ γὰρ αὐτὴ ἀπόδειξις. τουτέστιν εἰ τὸ ἐνδεχόμενον μὴ ἀναγκαῖόν ἐστι. τὸ δὲ μὴ ἀναγκαῖον δύναται καὶ μὴ ὑπάρχειν, διατοῦτο τὸ τινὶ ἐνδέχεται ἀντιστρέψαι πρὸς τὸ μὴ τινί. καὶ τὸ μὴ τινὶ πρὸς τὸ τινί. αἱ τοιαῦται δὲ προτάσεις ἤγουν τὸ ἐνδέχεται μὴ παντὶ καὶ ἐνδέχεται μηδενί, καταφατικαί εἰσιν ἀλλ᾽ οὐ στερητικαί. τὸ γὰρ ἐνδέχεται ἐπὶ τῶν ἐνδεχομένων προτάσεων, ὁμοίως τάττεται τῷ εἶναι. ὡς τοῦ ἐπὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου καὶ γ΄ προσκατηγορουμένου προτάσεων. οἷον, αὐτὸς δίκαιός ἐστι, τότε ἐγίνετο ἀπόφασις ὅταν τὸ ἔστι προσέλαβε τὴν οὐ ἄρνησιν. οἷον, αὐτὸς δίκαιος οὐκ ἔστιν. εἰ δὲ τὸ δίκαιος προσλάβῃ τὴν οὐ ἄρνησιν, ποιεῖ κατάφασιν ἐκ μεταθέσεως οὐκ ἀπόφασιν, οὕτω καὶ ἐπὶ τῶν μετὰ τρόπου. εἰ μὴ κεῖται τὸ οὐ ἐπὶ τὸν τρόπον, γίνεται ἀπόφασις. οἷον τὸ λευκόν, οὐκ ἐνδέχεται παντὶ εἶναι. εἰ δὲ ὁ τρόπος οὐκ ἔχει τὴν οὐκ ἄρνησιν, ἔσται κατάφασις ἐκ μεταθέσεως. οἷον ἐνδέχεται τὸ λευκὸν μηδενὶ ἀνθρώπῳ ὑπάρχειν ἢ μὴ παντί. διορισμὸς δὲ τούτων. Ἐπεὶ διωρισάμεθα καὶ ἀποδεδώκαμεν τὸν ὁρισμὸν τοῦ ἐνδεχομένου. ἔτι δὲ ἐδιδάξαμεν καὶ πῶς αἱ ἀντιστροφαὶ γίνονται ἐπὶ τῶν ἐνδεχομένων προτάσεων, θεωρεῖται καὶ πόσα τὸ ἐνδεχόμενον σημαίνει. καὶ περὶ ποίου σημαινομένου τοῦ ἐνδεχομένου ἡ διδασκαλία ἐστὶν αὐτῷ. διαιρεῖται ἤγουν διαιρεῖται τὸ ἐνδεχόμενον εἰς δύο τρόπους. καθ᾽ ἕνα μὲν τρόπον. εἰ τὸ ὡρισμένον ὅπερ ἐστὶ τὸ ὡς ἐπὶ τὸ πολὺ πεφυκὸς γίνεσθαι. ἐν ᾧ καὶ διαλείπει καὶ διακόπτεται τὸ ἀναγκαῖον ἤγουν ἡ τοῦ ἀεὶ εἶναι συνέχεια. ἀναγκαῖον γάρ ἐστι τὸ ἀεὶ ὄν. περὶ τοῦτο γοῦν τὸ ὡς ἐπὶ τὸ πολύ, ἥ τε φύσις καὶ τέχνη καταγίνεται. ὡς ἐπὶ τὸ πολὺ γὰρ καὶ ὁ ἰατρὸς ὑγιάζει. πολλάκις δὲ καὶ ἀποτυγχάνει καὶ θανατοῖ. καὶ ὡς ἐπὶ τὸ πολὺ ἡ φύσις, πεντεδάκτυλον

κὸν συμπέρασμα. ἤγουν ἢ τὸ παντὶ ἐκ τῆς πᾶς καὶ πᾶς, ἢ τὸ τινὶ ἐκ τῆς πᾶς καὶ τίς. ὡς ἐπὶ τοῦ γ' τρόπου τοῦ α' σχήματος. συνάγεται δὲ καὶ τὸ τινὶ ἐκ τῆς πᾶς καὶ πᾶς. ὡς ἐπὶ τοῦ α' τρόπου τοῦ γ' σχήματος. ἀποφατικὸς δὲ λέγεται συλλογισμὸς, ὁ συνάγων ἀποφατικὸν συμπέρασμα. ἤγουν ἢ τὸ οὐδείς. ὡς ἐπὶ τῆς οὐδεὶς καὶ πᾶς ἐπὶ τοῦ β' τρόπου τοῦ α' σχήματος, καὶ ἐπὶ τοῦ α' καὶ β' τρόπου τοῦ β' σχήματος. ἢ τὸ οὐ παντὶ ἀπὸ τῆς οὐδεὶς καὶ τίς ὡς ἐπὶ τοῦ δ' τρόπου τοῦ α' σχήματος. καὶ τοῦ γ' καὶ δ' τρόπου τοῦ β' σχήματος. συνάγεται δὲ καὶ ἐπὶ τοῦ γ' σχήματος. ἐν ἀμφοτέροις δὲ καὶ κατηγορικῶν καὶ στερητικῶν. Νῦν ἀνατρέχει καθόλου εἰς πάντα συλλογισμόν. καὶ φησὶν ὅτι ἐπ' ἀμφοτέρων τῶν συλλογισμῶν καὶ τῶν καταφατικῶν καὶ ἀποφατικῶν. τῶν ἐκ τῆς μίξεως ἀναγκαίας καὶ ὑπαρχούσης προτάσεως γινομένων. ἀναγκαῖον εἶναι τὸ συμπέρασμα, ὅμοιον μιᾷ τῶν προτάσεων.

Περὶ τοῦ ἐνδεχομένου.

Παραδοὺς διαφορὰν τοῦ τε ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος. ἔτι δὲ καὶ ὅσα συμπεράσματα γίνονται ἐκ δύο προτάσεων ἀναγκαίων καὶ ἐκ δύο ὑπαρχουσῶν πλατύτερον διδάξας ὅσα συμπεράσματα γίνονται ἐκ μίξεως ἀναγκαίας καὶ ὑπαρχούσης προτάσεως. καὶ ὅτι τῇ μείζονι τῶν προτάσεων ἀκολουθεῖ τὸ συμπέρασμα. νῦν μέλλει διδάξαι καὶ περὶ τοῦ ἐνδεχομένου. ὅσα συμπεράσματα συνάγονται, ἐκ δύο προτάσεων ἐνδεχομένων. καὶ ὅσα ἐκ μίξεως ἐνδεχομένου καὶ ὑπάρχοντος. καὶ ἐνδεχομένου καὶ ἀναγκαίου. πρὸ δὲ τῆς διδασκαλίας αὐτῶν, παραδίδωσιν ἡμῖν, τὸν ὁρισμὸν τοῦ ἐνδεχομένου. καὶ ποσαχῶς σημαίνει τὸ ἐνδεχόμενον. καὶ πῶς αἱ ἀντιστροφαὶ τῶν ἐνδεχομένων προτάσεων γίνονται τῶν καταφατικῶν καὶ ἀποφατικῶν. προέταξε δὲ τὴν διδασκαλίαν τῶν ἐξ ἀναγκαίου καὶ ὑπάρχοντος συλλογισμῶν, τῆς διδασκαλίας τῶν ἐκ δύο ἐνδεχομένων προτάσεων συλλογισμῶν καὶ τῶν ἐξ ἐνδεχομένων καὶ ἀναγκαίων ἢ ὑπάρχοντος, διὰ τὸ εἶναι ἁπλουστέραν τὴν διδασκαλίαν τοῦ ἀναγκαίου καὶ ὑπάρχοντος, ταύτης. δυσχερὴς γάρ ἐστιν αὕτη καὶ ποικίλη. ἡ τῶν ἐξ ἐνδεχομένων προτάσεων συλλογισμῶν διδασκαλία. καὶ τῶν ἐξ ἐνδεχομένου καὶ ἀναγκαίου ἢ ὑπάρχοντος. πότε γίνεται συλλογισμὸς, ἤγουν οὐχ ὡς ἔτυχε κειμένων τῶν προτάσεων. ἀλλ' ἢ ἐκ β' καταφατικῶν. ἢ ἐξ ἀποφατικῆς καὶ καταφατικῆς προτάσεως. ἐκ δύο δὲ μερικῶν συλλογισμὸς οὐ γίνεται. ἐὰν ἡ μείζων ἐστὶ καταφατική. ἡ δὲ ἐλάττων ἀποφατική. τὸ δὲ πῶς ἢ τοῦ μέσου ὅρου, ὑποκειμένου μὲν τῷ μείζονι ἄκρῳ. κατηγορουμένου δὲ τοῦ ἐλάττονος. ὡς ἐπὶ τοῦ α' σχήματος. κατηγορουμένου δὲ κατὰ ἀμφοτέρων τῶν ἄκρων, ὡς ἐπὶ τοῦ β' σχήματος. ὑποκειμένου δὲ τοῖς δυσὶν ἄκροις, ὡς ἐπὶ τοῦ τρίτου σχήματος. εἶτα λέγει καὶ τὸν ὁρισμὸν τοῦ ἐνδεχομένου. ἐπεὶ δὲ ἔλεγε καὶ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον ἐνδεχόμενον, τούτου χάριν εἶπεν ἐνταῦθα. λέγω δὲ ἐνδέχεσθαι, καὶ τὸ κυρίως ἐνδεχόμενον. ἐνδεχόμενον δὲ κυρίως ἐστὶ, τὸ μὴ ὂν δυνάμενον δὲ γενέσθαι. οἷον τῷ καθημένῳ, οὐχ ὑπάρχει τὸ ἵστασθαι. οὐδὲ τῷ ἠρεμοῦντι, τὸ περιπατεῖν. ἀλλὰ δύναται καὶ οὗτος στῆναι κἀκεῖνος περιπατῆσαι. καὶ ὁ μὴ λουθεὶς δύναται λουθῆναι. ἔστιν οὖν κυρίως ἐνδεχόμενον, οὗ μὴ ὄντος ἀνάγκη τοῦ ἀποβάματος. οἷον τὸ λουθῆναι τὸν σωκράτην αὔριον, μὴ ὂν ἐστιν. οὐκ ἀναγκαία δὲ καὶ ἀπαραίτητος ἡ τούτου ἀπόβασις. ἀλλὰ τῇ προαιρέσει ἀνάκειται τὸ λουθῆναι καὶ μὴ λουθῆναι, εἰ δέ τις ὑποθήσει τὸν σωκράτην μὴ λουθέντα ὅτι ἐλούθη, ψεῦδος μὲν ἐρεῖ. οὐδὲν δὲ τι ἀδύνατον ἀποβήσεται. τὸ γὰρ ἀδύνατόν ἐστι καὶ ψεῦδος. οἷον εἴ τις ἐρεῖ τὸν σωκράτην ἵπτασθαι. τοῦτο γὰρ ἀδύνατον καὶ ψεῦδος. τὸν δὲ μὴ λουθέντα εἰπεῖν λουθῆναι, ψεῦδος μέν ἐστιν, οὐκ ἀδύνατον δέ. τὸ μὴ ὂν ἢ μηδαμῆ μηδαμοῦ ἐστι, καὶ ποιεῖ τὸ ἀδύνατον καθ' ὃ σημαινόμενον, λέγεται ὁ τραγέλαφος μὴ ὂν. καὶ ὁ μυρμηκολέων. ἢ τὸ μὴ ὂν δύναται γενέσθαι καὶ ἀποβῆναι, καὶ ποιεῖ τὸ κυρίως ἐνδεχόμενον. ὁ γὰρ ἠρεμῶν. οὐ περιπατεῖ μὲν. δύναται δὲ περιπατεῖν. ὁριζόμενος δὲ τὸ ἐνδεχόμενον, εἶπε μὴ ἀναγκαῖον εἶναι αὐτό. μήτε μετὰ τὴν τούτου ἀπόβασιν ἀναγκαῖον. ἔφθασε δὲ ἐν τοῖς τρισὶ σχήμασιν εἰπεῖν καὶ τὸ ἀναγκαῖον ἐνδεχόμενον, καὶ διὰ τοῦτο νῦν λέγει ὅτι εἰ καὶ τὸ ἀναγκαῖον ἐνδεχόμενον εἴπομεν ἐν τῇ διδασκαλίᾳ τῶν τριῶν σχημάτων, ἀλλ' οὖν ὁμωνύμως λέγομεν τὸ ἀναγκαῖον ἐνδέχεσθαι. ἤγουν ἐνδεχόμενον. τὸ γὰρ ὄνομα τοῦ ἐνδεχομένου τὸ ἀναγκαῖον δέχεται. οὐ μέντοι γε δὲ καὶ τὸν ὁρισμόν. ὥστε ὁ λέγων καὶ τὸν ἐζωγραφημένον ἄνθρωπον ἄνθρωπον, ὁμωνύμως λέγει τοῦτον ἄνθρωπον. μέλλει δὲ δεῖξαι τὸν ἀποδοθέντα ὁρισμὸν τοῦ ἐνδεχομένου καλῶς ἔχοντα, καὶ φησίν. ὅτι δὲ τὸ κυρίως ἐνδεχόμενον τοῦτό ἐστιν. ἤγουν οὗ τινος ἡ ἀπόβασις ἀναγκαῖον οὐκ ἔστιν. οὔτε μὴν μήπω ἀποβὰν εἰς ἔργον ὑποτεθὲν, ὡς ἤδη γενόμενον ἀδύνατόν τι οὐ ποιήσει ἀποβῆναι. φανερὸν ἐκ τῶν καταφάσεων καὶ ἀποφάσεων τοῦ τε ἀναγκαίου καὶ ἐνδεχομένου καὶ ἀδυνάτου, τῶν ἀντικειμένων ἀντιφατικῶς. εἰ γὰρ λάβῃς ταύτας εὑρήσεις τὸ ἐνδεχόμενον μήτε ἀναγκαῖον ὂν. μήτε ἀδύνατον. τὸ γὰρ οὐκ ἐνδέχεσθαι ὑπάρχον καὶ τὸ ἀδύνατον ὑπάρχον καὶ ἀναγκαῖον μὴ ὑπάρχον, ἢ ταυτὸν σημαίνουσιν. οὐκ ἐνδέχεται γὰρ εἶναι τὸν ἄνθρωπον πτερωτόν. καὶ ἀδύνατον ὑπάρχον. καὶ ἀναγκαῖον μὴ ὑπάρχον πτερωτὸν, ἢ ἀκολουθοῦντα ἀλλήλοις. ἤγουν συναληθεύοντα. τὸ δὲ ἐνδέχεσθαι ὑπάρχον καὶ τὸ οὐκ ἀδύνατον ὑπάρχον. καὶ τὸ οὐκ ἀνάγκη μὴ ὑπάρχον, ἀντίκειται τούτοις ἀντιφατικῶς. ἤγουν τῷ οὐκ ἐνδέχεται ὑπάρχειν καὶ τὸ ἀδύνατον ὑπάρχον. καὶ τὸ ἀναγκαῖον μὴ ὑπάρχον. ταῦτα δὲ ἐστι καὶ ταυτά. ἤγουν τὸ ἐνδέχεται

ποτακτὰ συμπεράσματα γίνεται διὰ τῆς ἀντιστροφῆς τῆς μείζονος οὔσης ἀναγκαίας, ἢ ὑπαρχούσης. μό-
νον δὲ τὸν δ΄ τρόπον τοῦ β΄ σχήματος. τὸν ἀπὸ τῆς πᾶς καὶ οὐ πᾶς μὴ δυνάμενος δεῖξαι διὰ τῆς ἀντιστρο-
φῆς. διὰ τὸ τὴν οὐ πᾶς μὴ ἀντιστρέφειν πρὸς ὡρισμένον τι. μήτ᾽ αὖ δύνασθαι τὴν πᾶς ἀντιστρέψαι ἵνα
μὴ γένωνται καὶ αἱ δύο προτάσεις μερικαί. καὶ ἀσυλλόγιστον ἐντεῦθεν τὸ σχῆμα ἔσται. δείκνυσι τοῦ-
το διὰ τῶν ὅρων ὅτι ὑπάρχον συνάγεται τὸ συμπέρασμα· κἂν ἡ πᾶς ἀναγκαία ληφθῇ, κἂν ἡ οὐ πᾶς.
οὖν καὶ ἐπὶ τοῦ γ΄ σχήματος τὸν ἀπὸ τῆς πᾶς καὶ οὐ πᾶς δίδωσιν ἀναγκαῖον συνάγεσθαι τὸ συμπέ-
ρασμα, κἂν τε ἡ ἐλάττων πρότασις ἀναγκαία ληφθῇ, κἂν τε ἡ μείζων. ἀντιστρέφει γὰρ ἀεὶ τὴν ὑπάρχου-
σαν πρότασιν. καὶ εὑρίσκεται ἐντεῦθεν ἡ μείζων πρότασις ἀναγκαία. τῇ δὲ μείζονι τῶν προτάσεων παρέ-
δωκεν ἀκολουθεῖν τὸ συμπέρασμα. καὶ ζητεῖται διατί οὐκ ἀντιστρέφει καὶ τὴν ἀναγκαίαν ἀλλὰ μόνον
τὴν ὑπάρχουσαν ἐπὶ τοῦ α΄ τρόπου τοῦ τρίτου σχήματος. καὶ ὁ μὲν ἐξηγητὴς λέγει ὅτι ὁ φιλόσοφος τῷ
ἔθει παρηκολούθησεν. οὕτω γάρ φησιν ἐκράτησεν ἔθος παρὰ τοῖς παλαιοῖς γενέσθαι. οὐ δοκεῖ μοι δὲ ἡ λύσις
αὕτη ἔχειν τὸ ἰσχυρόν. ἡμεῖς δὲ λέγομεν, ὅτι εἰκότως ἀντιστρέφει τὴν ὑπάρχουσαν μόνην πρότασιν. πρὸς
τὴν φύσιν ἀναβλέψας τοῦ ἀναγκαίου τε καὶ τοῦ ὑπάρχοντος. τὸ μὲν γὰρ ἀναγκαῖόν ἐστιν ἄτρεπτον καὶ ἀ-
μετάβλητον καὶ ἀεὶ ὑπάρχον. ἀεὶ γὰρ ὁ ἄνθρωπος λογικός. καὶ ἀεὶ ἀναπνεῖ. καὶ τὸ ἀμετάβλητον ἔχει
ἐν τούτοις. τὸ δὲ ὑπάρχον τρεπτὸν καὶ ἀλλοιωτόν. οὐ γὰρ ὁ Σωκράτης κάθηται ἀεὶ ἢ βαδίζει. ἀλλ᾽ ἔστιν
ὅτε καὶ ἠρεμεῖ. ἀλλὰ καὶ αὐτὸς ὁ φιλόσοφος εἴρηκεν. ὃ ὑπάρχει παντί, τοῦτο ὑπάρχει καὶ μηδενί. καὶ
ἀποβλέψας πρὸς τὸ τρεπτὸν τοῦ ὑπάρχοντος τρόπου καὶ πρὸς τὸ μὴ ἀεὶ εἶναι αὐτόν, παρέδωκέ σοι τὴν
ὑπάρχουσαν πρότασιν, ἐπὶ τούτου τοῦ τρόπου, μόνην ἀντιστρέφειν. ἔτι δὲ καὶ διὰ τῶν ὅρων αὐτὸ φα-
νερόν. Δείξας δι᾽ ἀντιστροφῆς τὸν β΄ τρόπον τοῦ γ΄ σχήματος. τὸν ἐκ τῆς μείζονος καθόλου ἀποφατι-
κῆς προτάσεως ὑπαρχούσης. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας. ὅτι τὸ οὐ παντὶ ὑ-
πάρχοντος συνάγει συμπέρασμα, δείκνυσι τῶν αὐτῶν καὶ διὰ τῶν ὅρων. καὶ λέγει ὅτι ἐνδέχεται καὶ
ἐγχωρεῖ τὸ ἀγαθὸν μηδενὶ ἵππῳ ὑπάρχειν ὑπαρχόντως. τὸ δὲ ζῷον ἀναγκαίως ὑπάρχειν παντὶ ἵππῳ.
τὸ δ᾽ ἀλλ᾽ οὐκ ἀνάγκη ζῷόν τι μὴ εἶναι ἀγαθόν, ληπτέον ἀντὶ τοῦ ἀλλ᾽ οὐ πᾶν ζῷον ἐξ ἀνάγκης ἔσται ἀγα-
θόν. ὅπερ ἰσοδυναμεῖ τῷ ἀγαθὸν οὐ παντὶ ζῴῳ ὑπαρχόντως. ὅπερ ἐστὶ τὸ συμπέρασμα. πῶς γὰρ τὸ ἀγα-
θὸν ἔσται οὐ παντὶ ζῴῳ ἐξ ἀνάγκης εἴπερ ἐνδέχεται πᾶν ζῷον εἶναι ἀγαθόν. ἕκαστον γὰρ τῶν ζῴων, φυσι-
κόν τι ἔχει ἀγαθόν εἰ δὲ μή, οὐ τὸ δυνατόν. ἤγουν εἰ δὲ μὴ ἐγχωρεῖ πᾶν ζῷον εἶναι ἀγαθόν. διὰ τὸ τινὰ
αὐτῶν εἶναι ἰοβόλα καὶ βλαπτικά. ὡς ὁ σκορπίος. ἡ ἀσπὶς καὶ ὁ βασιλίσκος, τοὺς μὲν ὅρους τούτους,
αἰτίον ὡς ἀμφιβολίαν τινὰ ἔχοντας. λάβε δὲ τὸ α΄ ἐγρήγορσιν ἢ τὸ καθεύδειν. πάντα γὰρ τὰ ζῷα τού-
των δεκτικά ἐστιν. ἀπόδειξις δὲ ἡ αὐτὴ ἣ καὶ πρότερον. ἤγουν ἀποδείξεις τὰ συμπεράσματα τῶν μερι-
κῶν συλλογισμῶν, ἢ διὰ τῆς ἀντιστροφῆς ἢ διὰ τῶν ὅρων ἢ καὶ δι᾽ ἀμφοτέρων. ὅταν δὲ τὸ καταφατικὸν
ἀναγκαῖον τεθῇ. κἂν τε καθόλου ᾖ. κἂν τε ἐν μέρει. καὶ καθόλου μέν ἐστι τὸ καταφατικὸν ἀναγκαῖον
ὡς ἐπὶ τοῦ τὸ α΄ οὐ παντὶ τῷ γ΄ ὑπαρχόντως. καὶ τὸ β΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης, τὸ δὲ μερικὸν καταφα-
τικόν ἐστιν ἀναγκαῖον. ὡς ἐπὶ τοῦ τὸ α΄ οὐδενὶ τῷ γ΄ ὑπαρχόντως. καὶ τὸ β΄ τινὶ τῷ γ΄ ἐξ ἀνάγκης. τὸ δὲ
στερητικὸν κατὰ μέρος ἤγουν ἡ οὐ πᾶς ἐστιν ἀναγκαία. ὡς ἐπὶ τοῦ τὸ α΄ οὐ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης. καὶ
τὸ β΄ παντὶ τῷ γ΄ ὑπαρχόντως. οὗτοι οἱ ἐκτεθέντες τρεῖς συλλογισμοί, συνάγουσι συμπέρασμα ὑπάρ-
χον. καὶ ἐπὶ τούτων οὖν τῶν τριῶν συλλογισμῶν ἐροῦμεν πάντα τὰ ἄλλα εἶναι καὶ ἐν τούτοις τὰ αὐ-
τά, ἅπερ καὶ ἐπὶ τῶν προτέρων ἤγουν τῶν ἄλλων συλλογισμῶν ἐλέγομεν εἶναι. ὡς γὰρ ἐκείνους τοὺς δη-
λωθέντας συλλογισμοὺς ἢ διὰ τῶν ὅρων ἢ διὰ τῆς ἀντιστροφῆς ἢ καὶ δι᾽ ἀμφοτέρων, οὕτω καὶ ἐπὶ τῶν
τελειῶν τούτων συλλογισμῶν τοὺς β΄ τοὺς ἀπὸ τῆς οὐ πᾶς καὶ πᾶς τὴν σύστασιν ἔχοντας, δείκνυμεν διὰ
ὅρων μόνων. διὰ γὰρ τῆς ἀντιστροφῆς, ἀδύνατον δεῖξαι τούτους. διὰ τὸ τὴν οὐ πᾶς μὴ ἀντιστρέφειν ὡρι-
σμένως, καὶ διὰ τὸ τὴν πᾶς ἀντιστρέφειν πρὸς τὴν τὶς. τὸν δὲ ἀπὸ τῆς οὐδεὶς καὶ τὶς, ἔστι καὶ δι᾽ ὅρων
δεῖξαι καὶ δι᾽ ἀντιστροφῆς. Φανερὸν οὖν ὅτι τοῦ μὲν ὑπάρχειν συλλογισμὸς οὐκ ἔστιν ἐὰν μὴ ἀμφό-
τεραι ὦσιν αἱ προτάσεις, ἐν τῷ ὑπάρχειν. Τοῦτο εἴρηκε διὰ τὸν α΄ τρόπον τοῦ α΄ σχήματος. οὗτος γὰρ
μόνος ὁ τρόπος συνάξει ὑπάρχον συμπέρασμα, ἐὰν καὶ ἀμφοτέρας τὰς προτάσεις ἔχῃ ὑπαρχού-
σας εἰ δὲ τὴν μίαν ἔχει ὑπάρχουσαν θατέραν δὲ ἀνάγκη, ἀνάγκη ἔσται καὶ τὸ συμπέρασμα. ἐν ἀμφο-
τέροις δὲ καὶ κατηγορικῶν καὶ στερητικῶν ὄντων τῶν συλλογισμῶν. ἤγουν ἐν ἀμφοτέροις τοῖς συλλο-
γισμοῖς. τοῖς τε καταφατικοῖς καὶ τοῖς ἀποφατικοῖς. ἐν οἷς μίξις γίνεται προτάσεων ὑπαρχουσῶν καὶ
ἀναγκαίων, ἀνάγκη τὴν μίαν πρότασιν ὁμοίαν εἶναι τῷ συμπεράσματι. ἤγουν εἰ μὲν τὸ συμπέρασμα
ἐστὶν ἀναγκαῖον ἔσται καὶ μία αὐτῶν ἀνάγκη ἡ μείζων. εἰ δὲ ὑπάρχει, ἔσται ἡ μία ὑπάρχουσα ἡ μείζων.
ἐὰν δὲ ἀμφότεραι αἱ προτάσεις ὦσιν ἐνδεχόμεναι. ἡ μία ἐνδεχομένη ἡ δὲ ἑτέρα δυνατή. τοῦτο γὰρ
δηλοῖ τὸ μὴ ληφθείσης ἀναγκαίας ἢ ὑπαρχούσης προτάσεως, ἔσται τὸ συμπέρασμα ἐνδεχόμενον ἢ ἀ-
δύνατον. οὔτε δὲ ἀναγκαῖον οὔτε ὑπάρχον. περὶ μὲν τοῦ ἀναγκαίου συμπεράσματος πῶς τε γίνεται
ἤγουν πῶς συνάγεται καὶ κατὰ τί διαφέρει τὸ ἀναγκαῖον πρὸς τὸ ὑπάρχον, εἴρηται ἱκανῶς. τὸ δὲ
σχεδὸν εἴρηκε, δι᾽ εὐλάβειαν φιλόσοφον. καταφατικὸς λέγεται συλλογισμός, ὁ συνάγων καταφατι-

κόν

νάγκης, ἔστω καὶ ἀπὸ τὸ α παντὶ τῷ γ ἐξ ἀνάγκης κατὰ σέ. τὸ δὲ γ τινὶ τῷ β ἐξ ἀνάγκης. καὶ γίνεται ὁ τρίτος τρόπος τοῦ α σχήματος. συνάγων ὅτι τὸ α τινὶ τῷ β ὑπάρχει ἐξ ἀνάγκης. ἔκειτο δὲ καὶ τὸ α παντὶ τῷ β ὑπαρχόντως. ᾧ τινι τῷ β τὸ α ἐγχωρεῖ καὶ μηδενὶ ὑπάρχειν, συνήχθη οὖν ἀδύνατόν τι. ὅτι τὸ α ὑπάρχει καὶ τινὶ τῷ β ἐξ ἀνάγκης, καὶ μηδενὶ τῷ β ὑπαρχόντως. τὸ δὲ ἀδύνατον τοῦτο συνήχθη ἀπὸ τοῦ ὑποθέσθαι σε τὸ α παντὶ τῷ γ ὑπάρχειν ἐξ ἀνάγκης. καὶ ἐπεὶ ἀδύνατόν τι συνήχθη ἀπὸ τῆς σῆς ὑποθέσεως, ἀληθὲς ἄρα ὅτι τὸ α παντὶ τῷ γ ὑπάρχει ὑπαρχόντως. δύναται καὶ διὰ τοῦ α τρόπου τοῦ α σχήματος δειχθῆναι, οὕτω. τὸ α παντὶ τῷ γ ἐξ ἀνάγκης κατὰ σέ. τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης καὶ τὸ α ἄρα τινὶ τῷ β ἐξ ἀνάγκης. ἀλλ' ἦν καὶ οὐδενὶ ὑπαρχόντως. τὸ γὰρ παντὶ εἰς τὸ οὐδενὶ μετελήφθη, ἵνα καθαρώτερον δειχθῇ τὸ ἀδύνατον. εἰ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης. τὸ δὲ β τινὶ τῷ γ ὑπαρχόντως, συμπέρασμα ἔσται. ὅτι τὸ α τινὶ τῷ γ ἐξ ἀνάγκης. τὸ γὰρ γ μέρος τοῦ β ἐστίν. ἀλλ' οὐχ ὅλον τὸ γ. ἀλλά τι μέρος τοῦ γ. καὶ διὰ τοῦτο καὶ τὸ α οὐ παντὶ τῷ γ, ἐξ ἀνάγκης κατηγορεῖται. ἀλλά τινος. ἤγουν κατὰ μέρος τοῦ γ τοῦ περιεχομένου ὑπὸ τοῦ β. οἷον, εἰ τὸ γ λάβῃς λευκόν, μέρος αὐτοῦ ἔσται ὁ κύκνος. ἡ γοῦν αὐτὴ ἐστὶν ἀπόδειξις. ἤγουν ἀπὸ τοῦ κατὰ μηδενὸς δεῖξαι τὸ συμπέρασμα. οὐδὲν γὰρ ἀδύνατον συμβαίνει ἐὰν ὑπάρχον τὸ συμπέρασμα συναχθῇ τῆς μείζονος τῆς καθόλου οὔσης ὑπαρχούσης τῆς δὲ ἐλάττονος τῆς μερικῆς ἀναγκαίας. Ἔστω γὰρ δὴ πρῶτον στερητικὴ ἀναγκαία. καὶ τὸ α ἐνδεχέσθω. ἤγουν ἐγχωρείτω μηδενὶ τῷ β ὑπάρχειν ἀναγκαῖον. τὸ δὲ α ὑπαρχέτω παντὶ τῷ γ. ὑπαρχόντως συναχθήσεται συμπέρασμα, ὅτι τὸ β οὐδενὶ τῷ γ ἐξ ἀνάγκης. εἰ γοῦν ἀντιστρέψας τὴν α β. καὶ εἴπῃς τὸ β οὐδενὶ τῷ α ἐξ ἀνάγκης. τὸ α παντὶ τῷ γ ὑπαρχόντως, γίνεται ὁ δεύτερος τρόπος τοῦ α σχήματος. καὶ τὸ συμπέρασμα ἀκολουθήσει τῇ μείζονι τῶν προτάσεων. καὶ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον. ὅτι τὸ β οὐδενὶ τῷ γ ἐξ ἀνάγκης. Ἐπεὶ δὲ οὐ τὸ συμπέρασμά ἐστιν ἀναγκαῖον. ἔστι δὲ τοιοῦτον ὃ λέγει. εἰ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης. ἔστι δὲ τὸ α καὶ οὐδενὶ τῷ γ ὑπαρχόντως, συμπέρασμα ἔσται. ὅτι τὸ β οὐδενὶ τῷ γ ὑπαρχόντως. ὁ αὐτὸς δὲ συλλογισμός ἐστι τῷ προρρηθέντι. καὶ βεβαιοῖ καὶ τοῦτον, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἐγὼ μὲν λέγω ὅτι τὸ β, οὐδενὶ τῷ γ ἐξ ἀνάγκης ἐστίν, ἔσται καὶ τὸ γ οὐδενὶ τῷ β, ἐξ ἀνάγκης. πρὸς ἑαυτὴν γὰρ ἡ οὐδεὶς ἀντιστρέφει. ἀντίστρεψον καὶ τὴν πᾶς καὶ εἰπέ. τὸ β τινὶ τῷ α ἐξ ἀνάγκης. καὶ συνάξεις τὸ γ οὐ παντὶ τῷ α ἐξ ἀνάγκης. καὶ αὕτη μὲν ἡ εἰς ἀδύνατον ἀπαγωγή. πρὸς δὲ τὸ γενέσθαι τὸ ἀδύνατον ἐκδηλότερον ἀντίστρεψον καὶ τὴν α γ καὶ εἰπέ. εἰ τὸ α οὐδενὶ τῷ γ ὑπαρχόντως, ἔσται καὶ τὸ γ οὐδενὶ τῷ α ὑπαρχόντως. ὃ καὶ οὐδενὶ ὑπάρχει, τοῦτο καὶ παντὶ ἔσται ὡς ἔμαθες. ἔστιν οὖν τὸ γ παντὶ τῷ α ὑπαρχόντως. ἀλλὰ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, συνήχθη τὸ γ καὶ οὐ παντὶ τῷ α ἐξ ἀνάγκης. καὶ ἐπεὶ ἀδύνατόν τι παρηκολούθησε τὸ εἶναι τὸ γ καὶ παντὶ τῷ α ὑπαρχόντως καὶ οὐ παντὶ ἐξ ἀνάγκης ἐκ τοῦ ὑποθέσθαι σε τὸ β οὐδενὶ τῷ γ ὑπάρχειν ἐξ ἀνάγκης, λοιπὸν ψευδής ἐστιν ἡ σὴ ὑπόθεσις καὶ ἀδύνατος. τῇ γὰρ ἀδυνάτῳ ὑποθέσει, καὶ ἀδύνατόν τι ἐπακολουθεῖ. ἀληθὲς ἄρα ὅτι τὸ β οὐδενὶ τῷ γ ὑπαρχόντως. ἐγὼ μὲν λέγω ὅτι τὸ β ἐστὶν οὐδενὶ τῷ γ ὑπαρχόντως. εἰ δὲ τὸ συμπέρασμά ἐστιν ἀνάγκη κατὰ σέ, καὶ ἔστι τὸ β οὐδενὶ τῷ γ ἐξ ἀνάγκης, συμβαίνει τὸ γ τινὶ τῷ α μὴ ὑπάρχειν ἐξ ἀνάγκης. ἤγουν συναχθήσεται συμπέρασμα ὅτι τὸ α οὐδενὶ τῷ β ἐξ ἀνάγκης. τὸ δέ γε β τινὶ τῷ α ἐξ ἀνάγκης ὑπάρχει. τὸ δὲ αἴτιον, αὐτὶ τοῦ ἐπεί. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐπεὶ τὸ α οὐ παντὶ τῷ β ἐξ ἀνάγκης ὑπῆρχεν, ἀντιστραφήσεται καὶ τὸ β τινὶ τῷ α οὐχ ὑπάρχει. ἀλλ' ὑπάρχει ἐξ ἀνάγκης. οὐδὲν δὲ κωλύει ἀντιστρέψαι καὶ τὴν α γ καὶ εἰπεῖν. εἰ τὸ α οὐδενὶ τῷ γ ὑπαρχόντως, ἔσται καὶ τὸ γ οὐδενὶ τῷ α ὑπαρχόντως. καὶ ληφθήσεται καὶ τὸ α τοιοῦτον. καθ' οὗ τὸ γ κατὰ παντὸς κατηγορηθήσεται. ἔμαθες γὰρ ὅτι εἰ τὸ γ οὐδενὶ τῷ α ὑπάρχει ὑπαρχόντως, ἔσται καὶ παντί. ἔτι καὶ διὰ τῶν ὅρων δειχθήσεται ὅτι τὸ συμπέρασμα οὐ συνάγεται ἁπλῶς. ἤγουν κυρίως ἀναγκαῖον. τὸ γὰρ ἀναγκαῖον διττόν ἐστι. τὸ μὲν τὸ κυρίως ἀναγκαῖον ὅπερ ἀπολύτως καὶ χωρὶς προσδιορισμοῦ λέγεται. οἷον, εἴ τις εἴπῃ τὸν οὐρανὸν ἀναγκαῖον κινεῖσθαι. ἢ τὸν ἥλιον. τὸ δὲ λέγεται ἀναγκαῖον, ἐξ ὑποθέσεως ὅπερ οὐδὲ κυρίως ἀνάγκη λέγεται, ἀλλ' ἰσοδυναμεῖ τῷ ὑπάρχοντι. ὅπερ καὶ μετὰ προσδιορισμοῦ λέγεται. οἷον εἴ τις εἴπῃ τὸν σωκράτην καθήμενον, ἀναγκαῖον καθῆσθαι ἕως ἂν κάθηται. ὥστε τούτων ὄντων τῶν ὅρων ἤγουν ζῶον ἀνθρώπου καὶ λευκοῦ ἕως ἂν τὸ ζῶον τὸ περιέχον τὸν ἄνθρωπον ὑπόκειται τοῦ λευκοῦ ἀποφασκόμενον. καὶ ὁ ἄνθρωπος ἄρα τὸ μέρος τοῦ ζώου οὐδενὶ λευκῷ ὑπάρξει, ἀλλ' οὐ κυρίως ἐξ ἀνάγκης. πῶς γὰρ ἔσται κυρίως ἐξ ἀνάγκης ὁ ἄνθρωπος ἀποφασκόμενος τοῦ λευκοῦ, εἴγε ἐνδέχεται τὸν ἄνθρωπον ποτὲ γενέσθαι λευκόν. οὐ μὴν τοιοῦτον δυνατὸν τὸν ἄνθρωπον γενέσθαι λευκὸν ἕως ἂν τὸ ζῶον ὑπόκειται ἀποφασκόμενον τοῦ λευκοῦ. ὥστε τούτων τῶν ὅρων ληφθέντων, ἀναγκαῖον συνάγεται τὸ συμπέρασμα. ἀλλὰ τὸ ἐξ ὑποθέσεως καὶ ἰσοδυναμοῦν τῷ ὑπάρχοντι. οὐ μέντοιγε τὸ ἁπλῶς καὶ κυρίως ἀναγκαῖον.

Μίξις ἐστὶν ὅπως δύο προτάσεων κατὰ τὴν ὕλην.

ΠΛηρώσας τὴν μίξιν τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος ἐπί τε τοῦ α καὶ β σχήματος, ἔδειξας

καὶ τῆς χιόνος ἀναγκαῖον τὸ συμπέρασμα. εἰ δὲ κατὰ τὸ ἐκτεθέντος ἤγουν τοῦ μέρους ἐστὶ τὸ συμπέρασμα συναγόμενον ἀναγκαίως. ἤγουν ἐξ ἀνάγκης καὶ κατ' ἐκεῖνον τοῦ ὅλου ἤγουν τοῦ λευκοῦ ἔσται τὸ συμπέρασμα ἀνάγκη. πλὴν τινός, ἤγουν μερικὸν συναχθήσεται τὸ συμπέρασμα ἐπὶ τοῦ ὅλου. τὸ γὰρ ἐν παντὶ συνάγεται καὶ ἐπὶ τοῦ δ' τρόπου τοῦ β' σχήματος. καὶ ἐπὶ τοῦ ε' τοῦ γ'. ἐπὶ δὲ τῶν μερῶν τῆς μὲν χιόνος καθόλου στερητικὸν ἀναγκαῖον συνήχθη τὸ συμπέρασμα. τοῦ δὲ αἰθίοπος μερικὸν στερητικόν. τὸ μὲν διὰ δ' τρόπου τοῦ β' σχήματος. τὸ δὲ διὰ τοῦ ε' τρόπου τοῦ γ' σχήματος. τὸ γὰρ ἐκτεθὲν ἤγουν ἡ χιὼν ἢ ὁ αἰθίοψ, ὅτι ἐκεῖ τί ἐστιν ἤγουν μέρος ἐστὶ τὸ μὲν τοῦ λευκοῦ, τὸ δὲ τοῦ ἀνθρώπου. γίνεται δὲ ἑκάτερος συλλογισμὸς ὁ διὰ τῆς ἐκθέσεως, ἐν τῷ οἰκείῳ σχήματι. ὁ μὲν συλλογισμὸς ὁ διὰ τῆς ἐκθέσεως ἐν ᾧ ἐλήφθη ἐλάττων ὅρος ἡ χιών, γέγονε διὰ τοῦ δ' τρόπου τοῦ β' σχήματος. ὁ δὲ συλλογισμὸς ὁ διὰ τῆς ἐκθέσεως ἐν ᾧ κεῖται μέσος ὅρος ὁ αἰθίοψ, διὰ τοῦ ε' τρόπου τοῦ γ' σχήματος. εἰ δέ τις εἴποι πῶς ἐβεβαίωσε τὸ συμπέρασμα τοῦ δ' τρόπου τοῦ β' σχήματος καὶ τοῦ ε' τοῦ γ'. ὁ διὰ τῆς ἐκθέσεως. ἀλλ' οὐχὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἐρεῖς πρὸς αὐτὸν ὅτι ἡ εἰς ἀδύνατον ἀπαγωγὴ γίνεται, ὅταν λάβῃς τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι καὶ μίαν τῶν κειμένων προτάσεων, καὶ συνάξῃς ἄτοπόν τι. εἰ γοῦν ἔμελλεν δεῖξαι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τὸ συμπέρασμα τοῦ δ' τρόπου τοῦ β' σχήματος, ἔλαβεν ἂν τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ οὐ πᾶς ἀνάγκη. ἤγουν τὴν παντὶ ἐνδέχεται. αὕτη γὰρ ἀντίκειται καὶ κατὰ τὸν τρόπον καὶ τὸ ποσὸν καὶ τὸ ποιόν, τῷ οὐ πᾶς ἀνάγκη. καὶ συνελογίσω οὕτω. τὸ α' παντὶ τῷ β' ἀνάγκη. τὸ β' παντὶ τῷ γ' ἐνδεχομένως. καὶ ἐποίεις μίξιν ἀναγκαίας καὶ ἐνδεχομένου. οὔπω δὲ ἔφθασε διδάξαι ποῖον συμπέρασμα συνάγεται ἐκ τῆς μίξεως τοῦ ἀναγκαίου, καὶ τοῦ ἐνδεχομένου εἴτε ἀναγκαῖον εἴτε ἐνδεχόμενον. καὶ τούτου χάριν κεκώλυται τὸ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δεῖξαι τὸ συμπέρασμα. εἰ δὲ πάλιν ἐρεῖ καὶ ἐπὶ τοῦ ὑπάρχοντος συλλογισμοῦ πῶς χρησάμενος τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἔδειξε τὸ συμπέρασμα, ἐρεῖς πρὸς αὐτὸν ὅτι τῷ οὐ παντὶ ὑπαρχόντως, οὐκ ἀντιφατικῶς ἀντίκειται τὸ παντὶ ἐνδέχεται. διὰ τὸ μηδὲ τὸν ἐνδεχόμενον τρόπον ἀντικεῖσθαι τῷ ὑπάρχοντι. τὸ γὰρ ὑπάρχον ἀπόφασίς ἐστι τοῦ ἐνδεχομένου. ἐνδεχόμενον γάρ ἐστι τὸ μὴ ὄν, πεφυκὸς δὲ γενέσθαι. οἷον τὸ λουθῆναι τὸν σωκράτην ἐνδεχόμενόν ἐστι καὶ μὴ ὄν. ὅταν δὲ λουθῇ γίνεται ὑπάρχον. Διδάξας περὶ τῶν τρόπων ὅτι ἕτεροί εἰσιν ἀλλήλων. καὶ ὡς οἱ ἀναγκαῖοι συλλογισμοὶ καὶ οἱ ὑπάρχοντες καὶ οἱ ἐνδεχόμενοι ἕτεροι ἀλλήλων εἰσί. καὶ ἕτερα τὰ τούτων συμπεράσματα, νῦν μιγνύει ὑπάρχοντα τρόπον καὶ ἀναγκαῖον. καὶ θεωρεῖ ποταπὰ συνάγονται συμπεράσματα ἐκ τῆς μίξεως τούτων. ἐπί τε τῶν καθόλου καταφατικῶν καὶ ἀποφατικῶν συλλογισμῶν καὶ ἐπὶ τῶν μερικῶν. παραδιδοὺς κανόνα ὅτι τῇ μείζονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα. εἰ μὲν γὰρ ἡ μείζων ἐστὶν ἀναγκαία, καὶ τὸ συμπέρασμα ἀναγκαῖον ἔσται. εἰ δὲ ὑπάρχουσα, ὑπάρχον. ἐπεὶ δὲ τὸ συμβαίνει δὲ ποτὲ τὸ ποτέ, τοῦτο αὐτὸ δεικνύει ὅτι οὐκ ἐκ τῆς μίξεως τῆς ἀναγκαίας προτάσεως καὶ τῆς ὑπαρχούσης, ἀεὶ συνάγεται συμπέρασμα ἀναγκαῖον ἀλλὰ ποτέ. ἤγουν ὅταν ἡ μείζων ἐστὶν ἀναγκαία.

In mixtionibus conclusio sequitur maiorem, saltem in 1a figura.

Καὶ τούτους μὲν τοὺς δύο συλλογισμοὺς τὸν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας. ἢ ἀποφατικῆς καθόλου ἀναγκαίας. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης, συνισταμένους, βεβαιοῖ καὶ δείκνυσιν ἀπὸ τοῦ κατὰ παντὸς ὅρου καὶ τοῦ κατὰ μηδενός. ἐπεὶ γὰρ ἡ μείζων ἐστὶν ἀναγκαία. τὸ δ' ἀναγκαῖον ἀεὶ ἐστὶ καὶ μὴ δυνάμενον χωρίζεσθαι τοῦ ὑποκειμένου, ὁ λέγων τὸ α' παντὶ τῷ β' ἐξ ἀνάγκης, εὐθὺς ἐν τῇ περιοχῇ τοῦ παντὸς ἐξ ἀνάγκης, συμπεριείληφε καὶ τὸ γ'. ὡσαύτως πάλιν καὶ ὁ εἰπὼν τὸ α' οὐδενὶ τῷ β' ἐξ ἀνάγκης, οὐ μόνον τὸ α' τοῦ β' ἀπηλλοτρίωσεν, ἀλλὰ καὶ τοῦ γ' μέρους ὄντος τοῦ β'. ὅταν δὲ ἡ μείζων ἐστὶν ὑπάρχουσα. ἡ δὲ ἐλάττων ἀναγκαία, ἐπεὶ ἡ φύσις τοῦ ὑπάρχοντος δύναται καὶ μὴ εἶναι, λοιπὸν ὁ λέγων τὸ α' παντὶ τῷ β' ὑπαρχόντως, δύναται τὸ α' χωρίσαι τοῦ β' καὶ εἰπεῖν. τὸ α' οὐδενὶ τῷ β'. καὶ εἰπὼν τὸ α' οὐδενὶ τῷ β', δύναται εἰπεῖν καὶ παντί. καὶ διὰ τὸ πεφυκέναι τὸ α' χωρίζεσθαι τοῦ β', τούτου χάριν οὐκ ἠδυνήθη ἀπὸ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενὸς δεῖξαι τὸ συμπέρασμα. ἀλλ' ἐχρήσατο τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. εἰ δὲ τὸ μὲν α' β'. ἤγουν ἡ α' β' πρότασις οὐκ ἔστιν ἀναγκαία ἀλλ' ὑπάρχουσα, ἡ δὲ β' γ' ἐστὶν ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον ἀλλ' ὑπάρχον. εἰ γὰρ ἔστιν, ἤγουν εἰ δὲ λέγει τις ἀναγκαῖον συναχθῆναι συμπέρασμα τῆς μείζονος οὔσης ὑπαρχούσης, συμβαίνει τὸ α' καὶ τινὶ τῷ β' ὑπάρχειν ἐξ ἀνάγκης. καὶ οὐδενὶ τῷ β' ὑπάρχειν ὑπαρχόντως. ἔκειτο γὰρ τὸ α' παντὶ τῷ β' ὑπαρχόντως. καὶ ἐπεὶ τὸ ὑπάρχον δύναται χωρίζεσθαι τοῦ ὑποκειμένου, δύνασαι καὶ τὸ α' χωρίσαι τοῦ β' καὶ εἰπεῖν. τὸ α' μηδενὶ τῷ β' ὑπάρχει ὑπαρχόντως. τὸ δὲ παντὶ ὑπαρχόντως λαβεῖν ἀντὶ τοῦ οὐδενί, ψεῦδος μέν ἐστιν ἀλλ' οὐκ ἀδύνατον. τί γὰρ ἀδύνατόν ἐστι, τὸ, τὸν σωκράτην καθήμενον καθ' οὗ κατηγορεῖται καὶ τὸ καθῆσθαι ὑπαρχόντως, εἰπεῖν τὸν καθήμενον σωκράτην ὅτι ἵσταται καθ' ὃν καιρὸν κάθηται. ψεύδεται μὲν γὰρ ὁ εἰπὼν ἵστασθαι αὐτόν. πλὴν οὐκ ἀδυνατεῖ ὁ σωκράτης καὶ στῆναι. ὥστε τὸ μὲν ψεῦδος, οὐκ ἔστιν ἀδύνατον γενέσθαι. τὸ δὲ ἀδύνατον. καὶ ψεῦδός ἐστι. τὸ α' παντὶ τῷ β' ὑπαρχόντως, τὸ β' παντὶ τῷ γ' ἐξ ἀνάγκης. καὶ τὸ α' ἄρα παντὶ τῷ γ' ὑπαρχόντως. εἰ δέ τις εἴποι, μὴ τὸ παντὶ ὑπαρχόντως συνάγεσθαι. ἀλλὰ τὸ παντὶ ἐξ ἀ-

τὸν σωκράτην, οὐχ ὑπάρχει τὸ λουθῆναι. δύναται δὲ καὶ λουθῆναι καὶ μὴ λουθῆναι. οἱ συλλογισμοὶ οἱ ἐξ ἀναγκαίων δύο προτάσεων περαινόμενοι καὶ οἱ ἐκ δύο ὑπαρχουσῶν προτάσεων συναγόμενοι, ὁμοίως ἔχουσιν. ὡς γὰρ τιθεμένων τῶν ὅρων ἤγουν τῶν προτάσεων τῶν ὑπαρχουσῶν γίνεται συλλογισμὸς καὶ αὖθις οὐ γίνεται, οὕτω καὶ ἀναγκαίων οὐσῶν τῶν προτάσεων, γίνονται οἱ συλλογισμοὶ καὶ αὖθις οὐ γίνονται. σημαίνει δὲ ὅτι ἐν τῷ ἅπαν ἐξ ἀνάγκης ὑπάρχει, ἐδήλωσε τοὺς καταφατικοὺς συλλογισμούς. ἐν δὲ τῷ μὴ ὑπάρχει, τοὺς ἀποφατικούς. ἐὰν γοῦν ληφθῶσι δύο καθόλου καταφατικαὶ ὑπάρχουσαι, ἢ ἡ μείζων καθόλου ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική, γίνεται συλλογισμὸς ἐπὶ τοῦ α΄ σχήματος. οὐ γίνεται δὲ πάλιν ἐὰν αἱ δύο ληφθῶσιν ἀποφατικαί. ἢ ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατικὴ ἢ αἱ δύο μερικαί, οὕτω καὶ ἐπὶ τῶν συλλογισμῶν τῶν ἐκ δύο προτάσεων ἀναγκαίων γενήσεται συλλογισμὸς ἢ οὐ γενήσεται, ἐὰν ληφθῶσιν αἱ προτάσεις ὡς εἴπομεν. ἐπὶ δὲ τοῦ β΄ σχήματος ὡς ἔμαθες, ἐὰν αἱ δύο προτάσεις ὦσιν ὁμοιοσχήμονες, συλλογισμὸς οὐ γενήσεται. αἱ δὲ ἀνομοιοσχήμονές εἰσιν πᾶς καὶ οὐδείς, ἔσται συλλελογισμένον τοῦτο τὸ σχῆμα. προστέθεικε δὲ τὸ σχεδόν, ἵνα δείξῃ καὶ κατά τι διαφέρουσιν. εἰ γὰρ καὶ κατὰ πάντα τὰ ἄλλα ἐπίσης ἔχουσιν οἱ συλλογισμοὶ τοῦ τε ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος, ἀλλ᾽ οὖν διαφέρουσιν. ὅτι ἐπὶ τῶν ὑπαρχόντων συλλογισμῶν ὑπάρχον συνάγεται τὸ συμπέρασμα. ἐπὶ δὲ τῶν ἀναγκαίων, ἀναγκαῖον. καὶ διαφέρουσιν οἱ συλλογισμοὶ τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος, κατὰ τὸν δ΄ τρόπον τοῦ β΄ σχήματος. καὶ κατὰ τὸν ε΄ τοῦ γ΄, ὡς δείξομεν. πλὴν δηλονότι καὶ διαφέρουσιν ὅτι οἱ ἀναγκαῖοι συλλογισμοὶ καὶ οἱ ὑπάρχοντες, ἐν τῷ προσκεῖσθαι τοῖς ὅροις καὶ ταῖς προτάσεσι τοῦ ἀναγκαίου συλλογισμοῦ, τό τε ἐξ ἀνάγκης ὑπάρχει. Ἐν τούτῳ ἐδήλωσε τὰς καταφατικάς. ἐν δὲ τῷ μὴ ὑπάρχει τὰς ἀποφατικάς, καὶ τὸ καθόλου στερητικὸν ἤγουν οὐδείς, πρὸς ἑαυτὴν ἀντιστρέφει. καὶ ἐπὶ τοῦ ὑπάρχοντος καὶ ἐπὶ τοῦ ἀναγκαίου. καὶ τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ παντὸς ἐπίσης ἐν ἀμφοτέροις θεωρεῖται. ἐν ὅλῳ μὲν γάρ ἐστιν, ὅταν βλέπῃς. χέον ὑποκείμενον πρὸς τὸν κατηγορούμενον. οἷον πᾶς ἄνθρωπος ζῷον. πᾶν ζῷον οὐσία. πᾶς ἄρα ἄνθρωπος οὐσία. κατὰ παντὸς δὲ ὅταν ἀπὸ τῶν μειζόνων ἄρχηται καταβαίνειν εἰς τὴν ἐλάττονα. οἷον ἡ οὐσία παντὶ ζῴῳ. τὸ ζῷον παντὶ ἀνθρώπῳ. ἡ οὐσία ἄρα παντὶ ἀνθρώπῳ. εἰ δέ τις εἴποι πῶς μνημονεύσας τῆς οὐδεὶς οὐκ ἐμνημόνευσε καὶ τοῦ πᾶς. καὶ γὰρ ἡ πᾶς, εἰς τὴν τὶς ἀντιστρέφει. καὶ ἐπὶ τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου, ἐροῦμεν ὅτι ἡ πᾶς καὶ ἐπὶ τῶν τελείων τρόπων τοῦ τε ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου, εἰς τὴν τὶς ἀντιστρέφει. καὶ διὰ τοῦτο ταύτης οὐκ ἐμνημόνευσε. τῆς δὲ οὐδεὶς ἐμνήσθη, διότι αὕτη ἐπὶ μὲν τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου, πρὸς ἑαυτὴν ἀντιστρέφει. ἐπὶ δὲ τοῦ ἐνδεχομένου πρὸς τὴν τὶς ὡς ἐμάθετε. Ἐν μὲν οὖν τοῖς ἄλλοις τρόποις τοῦ τε α΄ καὶ γ΄ σχήματος, ὡς ἐπὶ τοῦ ὑπάρχοντος δείκνυται τὸ συμπέρασμα διὰ τῆς ἀντιστροφῆς οὕτω δείκνυται καὶ ἐπὶ τοῦ ἀναγκαίου. ἐν δὲ τῷ μέσῳ σχήματι ἤγουν τῷ β΄. ὅταν ἡ μὲν μείζων πρότασίς ἐστι καθόλου καταφατικὴ ἡ δὲ ἐλάττων στερητικὴ μερικὴ ὡς ἐπὶ τοῦ δ΄ τρόπου τοῦ δευτέρου σχήματος. καὶ πάλιν ἐν τῷ γ΄ σχήματι ὅταν ἡ μὲν ἐλάττων ἡ καθόλου καταφατικὴ ἡ δὲ μείζων στερητικὴ μερικὴ ὡς ἐπὶ τοῦ ε΄ τρόπου τοῦ γ΄ σχήματος, οὐ γίνεται ἡ ἀπόδειξις τοῦ συμπεράσματος. ὡσαύτως ἐπὶ τοῦ ὑπάρχοντος συλλογισμοῦ καὶ ἐπὶ τοῦ ἀναγκαίου. ἀλλ᾽ ἐπὶ μὲν τοῦ ὑπάρχοντος, δείκνυται διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἐπὶ δὲ τοῦ ἀναγκαίου, διὰ τῆς ἐκθέσεως. διὰ δὲ τῆς ἀντιστροφῆς οὐκ ἔστι ταῦτα δειχθῆναι. εἰ γὰρ ἡ πᾶς ἀντιστραφῇ εἰς τὴν τὶς, γίνονται αἱ δύο μερικαί. ἡ δὲ τὶς οὐ δύναται ἀντιστραφῆναι διὰ τὸ εἶναι ἀόριστος. ἐπὶ δὲ τοῦ ἀναγκαίου συλλογισμοῦ, διὰ τοῦ ἀδυνάτου οὐ δείκνυται. ἀλλὰ διὰ τῆς ἐκθέσεως. ἔκθου γὰρ καὶ λάβε ἐπὶ μὲν τοῦ β΄ σχήματος, μέρος τοῦ λευκοῦ τὴν χιόνα ᾧ τινι ἑκάτερον οὐχ ὑπάρχει. καὶ λάβε τὴν χιόνα ἐλάττονα ὅρον. ἐπὶ τοῦ β΄ τρόπου τοῦ β΄ σχήματος καὶ εἰπέ. τὸ ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. τὸ ζῷον οὐδεμιᾷ χιόνι ἐξ ἀνάγκης. καὶ ὁ ἄνθρωπος ἄρα οὐδεμιᾷ χιόνι ἐξ ἀνάγκης. ἤγουν ἐπὶ τῆς χιόνος ἥτις ἐστὶ μέρος τοῦ λευκοῦ, συνήχθη συμπέρασμα ἀναγκαῖον. διὰ τοῦ β΄ τρόπου τοῦ β΄ σχήματος. ἀνάγκη λοιπὸν συναχθῆναι συμπέρασμα ἀναγκαῖον καὶ ἐπὶ τοῦ ὅλου ἤγουν τοῦ λευκοῦ τοῦ κειμένου ἐλάττονος ὅρου ἐν τῷ δ΄ τρόπῳ τοῦ β΄ σχήματος. ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ ε΄ τρόπου τοῦ γ΄ σχήματος. ἐπὶ τοῦ ἀναγκαίου συλλογισμοῦ, οὐ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δειχθήσεται τὸ συμπέρασμα, ἀλλὰ διὰ τῆς ἐκθέσεως. ἔκθου γὰρ καὶ λάβε μέρος τοῦ ἀνθρώπου τὸν αἰθίοπα. ἀφ᾽ οὗ ἐξ ἀνάγκης ἀποφάσκεται τὸ λευκόν, καὶ θὲς αὐτὸν μέσον ὅρον ἐπὶ τοῦ β΄ τρόπου τοῦ γ΄ σχήματος. καὶ εἰπὲ τὸ λευκὸν οὐδενὶ αἰθίοπι ἐξ ἀνάγκης. τὸ ζῷον παντὶ αἰθίοπι ἐξ ἀνάγκης. καὶ τὸ λευκὸν ἄρα οὐ παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. λοιπὸν ἄρα καὶ ἐπὶ τοῦ ὅλου ἤγουν τοῦ ἀνθρώπου οὗ μέρος ἐστὶν αἰθίοψ τοῦ καὶ μέσου κειμένου ἐν τῷ ε΄ τρόπῳ τοῦ γ΄ σχήματος, συναχθήσεται ὅτι τὸ λευκὸν οὐ παντὶ ζῴῳ ἐξ ἀνάγκης. τὸ γοῦν ἑκάτερον. ἐν καὶ ἐπὶ τοῦ β΄ σχήματος παραδείγματι δεῖ. ὅτι καὶ τὸ ζῷον καὶ ὁ ἄνθρωπος ἀπὸ τῆς χιόνος ἀποφάσκονται, ἀλλ᾽ οὖν κρεῖττόν ἐστιν ἑκάτερον νοεῖν, τό τε λευκὸν τὸ ἀποφασκόμενον ἀπὸ τοῦ αἰθίοπος, καὶ τὸ ζῷον τὸ ἀποφασκόμενον ἀπὸ τῆς χιόνος. τὸ γὰρ ἑκάτερον ἐπὶ δύο λαμβάνεται, ὥσπερ τὸ θάτερον ἀφ᾽ ἑνὸς κατὰ τὸ ποιεῖν τὸν συλλογισμόν. ἤγουν κατὰ τοῦ ἐκτεθέντος μέρους. ἔσται γὰρ καὶ ἐπὶ τούτων τῶν μερῶν ἤγουν τοῦ αἰθίοπος

τὸν ἀπὸ τῆς πᾶς καὶ πᾶς. καὶ τὸν ἀπὸ τῆς οὐδεὶς καὶ πᾶς. ὡς δι' αὐτῶν τελειουμένων πάντων τῶν ἐν τῷ β' καὶ γ' σχήματι συλλογισμῶν. καὶ αὐτῶν τῶν ἐν τῷ α' σχήματι μερικῶν συλλογισμῶν. τὸν ἀπὸ τῆς πᾶς καὶ τὶς φημί. καὶ τὸν ἀπὸ τῆς οὐδεὶς καὶ τὶς. πάντες οὖν οἱ συλλογισμοὶ ὡς εἴπομεν, ἀνάγονται εἰς τοὺς ἐν τῷ α' σχήματι β' καθόλου συλλογισμούς. οἱ μὲν γὰρ ἐν τῷ β' σχήματι πάντες καὶ οἱ καθόλου καὶ οἱ μερικοὶ συλλογισμοί, τελειοῦνται δι' ἐκείνων. ἤγουν διὰ τοῦ α' καὶ β' τρόπου τοῦ α' σχήματος. πλὴν οἱ μὲν καθόλου δύο συλλογισμοὶ οἱ ἐν τῷ β' σχήματι. ὅτι ἀπὸ τῆς οὐδεὶς καὶ πᾶς. καὶ ὁ ἀπὸ τῆς πᾶς καὶ οὐδείς διὰ τῆς ἀντιστροφῆς τῆς στερητικῆς προτάσεως τελειοῦνται, ἥτις ἡ ἀντιστροφὴ, τὸν β' τρόπον ποιεῖ τοῦ α' σχήματος. οἱ δὲ μερικοὶ συλλογισμοὶ τοῦ β' σχήματος. ὅτι ἀπὸ τῆς οὐδεὶς καὶ τὶς. καὶ ἀπὸ τοῦ πᾶς καὶ οὐ πᾶς, τελειοῦνται διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. πλὴν ὁ μὲν ἀπὸ τῆς οὐδεὶς καὶ τὶς, τελειοῦται διὰ τοῦ β' τρόπου τοῦ α' σχήματος. τοῦτον γὰρ ποιεῖ ἡ εἰς ἀδύνατον ἀπαγωγή. ὁ δὲ ἀπὸ τῆς πᾶς καὶ οὐ πᾶς, τελειοῦται διὰ τοῦ α' τρόπου τοῦ α' σχήματος. ἡ γὰρ εἰς ἀδύνατον ἀπαγωγὴ, τὸν α' τρόπον ποιεῖ τοῦ α' σχήματος. οἱ δὲ ἐν τῷ α' σχήματι μερικοὶ συλλογισμοί, αὐτοτελεῖς μὲν καὶ τὸ βέβαιον ἔχουσι. καὶ ἀξιόπιστον, καὶ δι' ἑαυτῶν διὰ τὸ δύνασθαι τὸν ἐπιστήμονα διὰ τοῦ ὁρισμοῦ τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενὸς δεικνύειν, καλῶς συνάγοντας τὸν μὲν τὸ τινί. τὸν δὲ τὸ οὐ παντί. δύνανται καὶ διὰ τῶν καθόλου τρόπων τοῦ β' σχήματος, δειχθῆναι τὸ τέλειον ἔχοντες. διὰ γὰρ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. οἱ ἐν τῷ α' σχήματι μερικοὶ συλλογισμοί, ἀνάγονται εἰς τοὺς β' καθόλου τρόπους τοῦ β' σχήματος, καὶ συλλογίζονται οὕτως. πάντες οἱ μερικοὶ συλλογισμοὶ οἱ ἐν τῷ α' σχήματι, ἀνάγονται εἰς τοὺς ἐν β' σχήματι καθόλου δύο συλλογισμούς. οἱ δὲ ἐν τῷ β' σχήματι πάντες καθόλου καὶ μερικοὶ συλλογισμοί, ἀνάγονται εἰς τοὺς ἐν τῷ α' καθόλου συλλογισμούς. πάντες ἄρα οἱ ἐν τῷ α' σχήματι μερικοὶ συλλογισμοί, ἀνάγονται εἰς τοὺς ἐν τῷ β' σχήματι καθόλου συλλογισμούς. οἱ δὲ ἐν τῷ γ' σχήματι καθόλου συλλογισμοὶ εὐθὺς τελειοῦνται διὰ τῶν δύο καθόλου συλλογισμῶν τῶν ἐν τῷ α' σχήματι. ὁ μὲν γὰρ ἀπὸ τῆς πᾶς καὶ πᾶς πρῶτος τρόπος τοῦ γ' σχήματος, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἀνάγεται εἰς τὸν β' τρόπον τοῦ α' σχήματος. ὁ δὲ ἀπὸ τῆς οὐδεὶς καὶ πᾶς β' τρόπος τοῦ α' σχήματος. τελειοῦται διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, εἰς τὸν α' τρόπον τοῦ πρώτου σχήματος. οἱ δὲ μερικοὶ συλλογισμοὶ οἱ ἐν τῷ γ' σχήματι. ὅτι ἀπὸ τῆς τὶς καὶ πᾶς καὶ ὁ ἀπὸ τῆς πᾶς καὶ τὶς καὶ ὁ ἀπὸ τῆς οὐδεὶς καὶ τὶς, τελειοῦνται διὰ τῆς ἀντιστροφῆς. ποιούσης τοὺς μερικοὺς συλλογισμοὺς τοὺς ἐν τῷ α' σχήματι. οὗτοι δὲ οἱ ἐν τῷ α' σχήματι μερικοὶ συλλογισμοί, ἀνήχθησαν εἰς ἐκείνους. ἤγουν εἰς τοὺς ἐν τῷ α' σχήματι καθόλου συλλογισμούς. ὥστε καὶ οἱ ἐν τῷ τρίτῳ σχήματι μερικοὶ συλλογισμοί, ἀναχθήσονται πάντες εἰς τοὺς ἐν τῷ α' σχήματι καθόλου συλλογισμούς. ἔστι δὲ ὁ συλλογισμὸς τοιοῦτος. οἱ ἐν τῷ γ' σχήματι πάντες μερικοὶ συλλογισμοί, ἀνάγονται εἰς τοὺς ἐν τῷ α' σχήματι μερικοὺς συλλογισμούς. οἱ δὲ ἐν τῷ α' σχήματι μερικοὶ συλλογισμοὶ πάντες, ἀνήχθησαν εἰς τοὺς ἐν τῷ α' σχήματι καθόλου συλλογισμούς. πάντες ἄρα οἱ ἐν τῷ γ' σχήματι μερικοὶ συλλογισμοί, ἀναχθήσονται εἰς τοὺς ἐν τῷ α' σχήματι, καθόλου συλλογισμούς. οἱ μὲν οὖν συλλογισμοὶ οἱ δεικνῦντες καὶ συμπεραίνοντες ἢ τὸ ὑπάρχειν. ἤγουν ἢ καθόλου καταφατικὸν συμπέρασμα ἢ μερικόν. ἢ τὸ μὴ ὑπάρχειν ἤγουν καθόλου ἀποφατικὸν συμπέρασμα ἢ μερικὸν ἀποφατικόν, εἴρηται πῶς ἔχουσιν καὶ καθ' ἑαυτούς, οἱ ἐκ τοῦ αὐτοῦ σχήματος. ἐν μὲν γὰρ τῷ α' σχήματι, καὶ τὸ παντὶ καὶ οὐδενί. καὶ τὸ τινὶ καὶ τὸ οὐ παντὶ συνάγονται συμπεράσματα. ἐν δὲ τῷ β', τὸ οὐδενὶ καὶ τὸ οὐ παντί. ἐν δὲ τῷ γ' σχήματι, τὸ τινὶ καὶ τὸ οὐ παντί. καὶ πῶς οἱ ἐκ τῶν ἑτέρων συλλογισμοὶ ἤγουν οἱ ἐκ τῶν τριῶν σχημάτων πρὸς ἀλλήλους ἔχουσιν. ἤγουν πῶς κοινωνοῦσιν ἀλλήλοις καὶ πῶς διαφέρουσιν. οἱ μὲν ἐν τῷ α' σχήματι συλλογισμοί, διαφέρουσι τῶν ἐν τῷ β' σχήματι συλλογισμῶν. καὶ τῶν ἐν τῷ γ', διότι ἐν τῷ α' σχήματι συνάγεται τὸ παντί ἐν δὲ τῷ β' καὶ τῷ γ', οὐ συνάγεται. κοινωνοῦσι δὲ καθὸ ἐν τῷ α' καὶ ἐν τῷ β' συνάγεται τὸ οὐδενί. κοινωνοῦσι δὲ τὰ τρία σχήματα, καθὸ καὶ ἐν τοῖς τρισὶ συνάγεται τὸ οὐ παντί. διαφέρουσι δὲ οἱ ἐν τῷ τρίτῳ τῶν ἐν τῷ β'. διότι ἐν τούτοις συνάγεται τὸ τινί, ἐν δὲ τῷ β', καταφατικὸν οὐ συνάγεται.

Ἀρχὴ τῶν μίξεων.

Διδάσκων περὶ τοῦ ἁπλῶς συλλογισμοῦ, ἐλάμβανε προτάσεις οὔτε ἀναγκαίας οὔτε ὑπαρχούσας, οὔτε ἐνδεχομένας, καὶ συνελογίζετο. ἐνταῦθα δὲ τῆς παρούσης πραγματείας διδάσκει, ποταπὸν συνάγεται τὸ συμπέρασμα, ἐξ ἀναγκαίων προτάσεων ὅτι ἀναγκαῖον καὶ ἐκ τῶν ὑπαρχουσῶν ποταπὸν ὅτι ὑπάρχον. καὶ ἐκ τῶν ἐνδεχομένων. εἶτα ποιεῖ μίξιν ἀναγκαίων προτάσεων, καὶ ἐνδεχομένων, καὶ ἀναγκαίων καὶ ὑπαρχουσῶν. καὶ θεωρεῖ ποταπὸν συμπέρασμα συνάγεται ἐκ τῆς μίξεως αὐτῶν. ὅθεν καὶ μίξεις ἐκλήθησαν. ἀναγκαῖον ἐστὶν ὃ ὑπάρχει τινὶ ἀεὶ καὶ ὡσαύτως. ὡς τὸ λογικὸν τὸ ζῶον τὸ ἀναπνεῖν ἀεὶ ὑπάρχει, τῷ ἀνθρώπῳ. ὑπάρχον δέ ἐστι τὸ θεωρούμενον μὲν ἔν τινι, οὐκ ἀεὶ δέ. ἀλλὰ δυνάμενον καὶ ἀπογενέσθαι. οἷον, τὸ καθῆσθαι ὑπάρχει τῷ καθημένῳ ἀνθρώπῳ. οὐκ ἀεὶ δὲ κάθηται. ἀλλ' ἔστιν ὅτε καὶ ἵσταται. καὶ τὸ λευκὸν ὑπάρχει τῷ ἀνθρώπῳ. ἀλλ' οὐκ ἀεί. ἢ γὰρ νόσος ἢ γῆρας, ἢ ἡλιοκαΐα ἠμαύρωσε τὴν λευκότητα. ἐνδεχόμενον δέ ἐστι, τὸ μὴ ὄν, δυνάμενον δὲ γενέσθαι ἢ μὴ γενέσθαι. οἷον

ἐπὶ τῆς ἐνδεχομένης ὕλης· ἀπὸ δὲ τῆς πᾶς καὶ τὶς συλλογισμὸς ἐγένετο συνάγων τὸ τινί. εἰ δέ τις ἐνίσταται ἀπὸ τῆς πᾶς καὶ τὶς συνάγεσθαι συμπέρασμα· ὅτι τὸ π' οὐδενὶ τῷ ρ'· ἔστω κατ' ἐκεῖνον συναγόμενον. ἐπεὶ δὲ τὸ π' παντὶ τῷ σ' ὑπάρχει. τὸ δὲ ρ' τινὶ τῷ σ'. ταυτὸν γάρ ἐστι τῷ οὐ παντί, συναχθήσεται συμπέρασμα· ὅτι τὸ π' τινὶ τῷ ρ' ὑπάρχει. ἀλλὰ καὶ κατὰ τὸν ἐνιστάμενόν ἐστι τὸ π' οὐδενὶ τῷ ρ'. καὶ ἐπεὶ ἀδύνατόν ἐστι τὸ τὸ π' εἶναι καὶ τινὶ τῷ ρ' καὶ οὐδενί, ψεύδεται ἄρα τὸ οὐδείς. τινὰ δὲ τῶν ἀντιγράφων, οὕτω ποιοῦσι τὴν εἰς ἀδύνατον ἀπαγωγήν, εἰ τὸ π' οὐδενὶ τῷ ρ' κατὰ τὸν ἐνιστάμενον, τὸ δὲ ρ' τινὶ τῷ σ'. καὶ τὸ π' ἄρα οὐ παντὶ τῷ σ'. ἀλλ' ὑπέκειτο τὸ π' καὶ παντὶ τῷ σ'. τὸ γοῦν ἀδύνατον τοῦτο συνήχθη, ἀπὸ τοῦ τὸν ἐνιστάμενον θεῖναι ὅτι τὸ π' οὐδενὶ τῷ ρ' ὑπάρχει. ψευδὲς ἄρα τὸ οὐδενί.

Επεὶ δὲ τὸ οὐ παντὶ ἀδιόριστόν ἐστιν ὡς καὶ ἐν τοῖς πρότερον δέδεικται· λαμβάνεται γὰρ ἡ οὐ πᾶς καὶ ἀντὶ τῆς οὐδεὶς ἐπὶ τῆς ἀδυνάτου ὕλης. ἀληθεύει γὰρ ὁ λέγων τὸ πτερωτὸν οὐ παντὶ ἀνθρώπῳ ὑπάρχει. ὡς τῆς οὐ πᾶς ἐνταῦθα ἰσοδυναμούσης τῇ οὐδενί, λάβε ὅρους ἐν οἷς ἡ οὐ πᾶς ἰσοδυναμεῖ τῇ οὐδεὶς καὶ συνάξεις τὸ οὐδενί. λάβε τὸ π' ἔμψυχον τὸ ρ' λίθος. καὶ τὸ σ' ζῷον. τὸ ἔμψυχον παντὶ ζῴῳ. ὁ λίθος οὐ παντὶ ζῴῳ. ἤγουν οὐδενί. καὶ τὸ ἔμψυχον ἄρα οὐδενὶ λίθῳ. οἷον τινὶ ἀγρίῳ λέγεται καὶ οὐχὶ παντί, διότι τὸ ἄγριον οὐ μόνον ἐπὶ τῶν ζῴων λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν. βοτάνας γὰρ ἀγρίας φαμέν. ὅταν δὲ ὁ μείζων ᾖ καθόλου στερητικός. ὁ δὲ ἐλάττων μερικὸς στερητικός. οἷον τὸ π' οὐδενὶ τῷ σ'. τὸ ρ' οὐ παντὶ τῷ σ', ἀσυλλόγιστός ἐστιν ὁ συλλογισμός. καὶ τοῦ μὲν μηδενὶ ὑπάρχειν εἰσὶν ὅροι, κόραξ· χιών· λευκόν. οὐκ ἔστι δὲ λαβεῖν ὅρους δι' ὧν συνάξεις τὸ παντί. διότι τὸ ρ' οὐ παντὶ τῷ σ', ταυτόν ἐστι τῷ τινὶ καὶ γίνεται συλλελογισμένος ὁ συλλογισμός. ἀπὸ γὰρ τῆς οὐδεὶς καὶ τῆς τίς, συλλογισμός ἐστι συνάγων τὸ οὐ παντί. εἰ δέ τις ἐνίσταται λέγων συνάγεσθαι τὸ συμπέρασμα τὸ π' παντὶ τῷ ρ'. ἦν δὲ καὶ τὸ ρ' τινὶ τῷ σ', ἔσται καὶ τὸ π' τινὶ τῷ σ'. ἀλλ' ὑπέκειτο καὶ οὐδενί. τὸ ἄτοπον συνήχθη, ἐκ τοῦ ὑποθέσθαι συνάγειν τὸν ἐνιστάμενον τὸ π' παντὶ τῷ ρ'. ἀλλ' ἐπεὶ ἡ οὐ πᾶς ἀδιόριστός ἐστι. καὶ οὐ μόνον ἰσοδυναμεῖ τῇ τὶς ἐπὶ τῆς ἐνδεχομένου ὕλης. ἀλλὰ καὶ τῇ οὐδεὶς ἐπὶ τῆς ἀδυνάτου, δείξας καὶ τὸ παντὶ συναγόμενον εἰ λάβῃς ὅρους ἐν οἷς ἡ οὐ πᾶς, ἰσοδυναμεῖ τῇ οὐδείς. οἷον, ζῷον. ἄνθρωπος. ψιμμύθιον. μέσον τὸ ψιμμύθιον. τὸ δὲ π' ζῷον. τὸ δὲ ρ' ἄνθρωπος. ἐὰν δὲ ἑκάτερον τῶν ἄκρων, κατηγορῆται κατά τινος τοῦ μέσου. ὡς εἶναι τὸ π' τινὶ τῷ σ'. τὸ δὲ ρ' τινὶ τῷ σ' ἢ μὴ ὑπάρχει. ἤγουν οὐ παντί. ὡς εἶναι τὸ π' οὐ παντὶ τῷ σ' καὶ τὸ ρ' οὐ παντὶ τῷ σ'. ἢ ὁ μὲν τινί. ὁ δὲ μὴ παντί. ὡς εἶναι τὸ π' τινὶ τῷ σ', καὶ τὸ ρ' οὐ παντὶ τῷ σ'. ἢ τὸ ἀνάπαλιν, ἢ ἀδιορίστως ὡς τὸ π' ὑπάρχει τῷ σ' καὶ τὸ ρ' ὑπάρχει τῷ σ'. ὅπερ ταυτόν ἐστι τὸ π' τινὶ τῷ σ'. ἢ τὸ π' οὐχ ὑπάρχει τῷ σ'. ὃ ταυτόν ἐστι τὸ οὐ παντί. καὶ τὸ ρ' οὐχ ὑπάρχει τῷ σ'. ὃ ταυτόν ἐστι τῷ οὐ παντί. αἱ γὰρ ἀπροσδιόριστοι προτάσεις, ἰσοδυναμοῦσι τοῖς μερικοῖς προσδιορισμοῖς, συλλογισμὸς οὐ γίνεται. πάντες γὰρ τελειοῦνται προσλαμβανομένων τινῶν. ἤγουν ἢ δι' ἀντιστροφῆς, ἢ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, ἢ καὶ δι' ἀμφοτέρων. καὶ ὅτι καθόλου συμπέρασμα, οὐ συνάγεται ἐπὶ τοῦ γ' σχήματος ἀλλὰ πάντα μερικά.

Επεὶ δὲ ἐμάθη καὶ ἀσυλλογίστων συλλογισμῶν, πειρᾶται νῦν δεῖξαι. ποῖοι ἀσυλλόγιστοι συλλογισμοὶ δύνανται θεραπείαν δέξασθαι καὶ συλλελογισμένοι γενέσθαι καὶ ποῖοι οὐ δύνανται θεραπευθῆναι. καὶ φησὶν ὅτι ὁ συλλογισμὸς ὁ ἀπὸ τῆς οὐδεὶς καὶ οὐδείς, ἀσυλλόγιστος διαμένει ἐν α' καὶ β' καὶ γ' σχήματι. ὡσαύτως καὶ ἐπὶ τοῦ β' σχήματος ὁ ἀπὸ τῆς πᾶς καὶ πᾶς, ἀσυλλόγιστος διαμένει. οἷον γὰρ ἐπιχειρήσας ἀντιστρέψαι πρότασιν. εἴτε τὴν μείζονα εἴτε τὴν ἐλάττονα, ἡ μείζων πρότασις γίνεται μερική. ἀλλὰ καὶ ὁ ἀπὸ δύο μερικῶν. εἴτε καταφατικῶν εἴτε ἀποφατικῶν, συλλογισμὸς καὶ ἐν τοῖς τρισὶ σχήμασι ἀσυλλόγιστος διαμένει. ἀεὶ δὲ ἡ μείζων πρότασις ἢ καθόλου καταφατικὴ ἢ μερικὴ καταφατική. ἡ δὲ ἐλάττων καθόλου ἀποφατική, ἀσυλλόγιστος μὲν ὁ συλλογισμός ἐστι. δύναται δὲ συλλελογισμένος γενέσθαι τῶν δύο προτάσεων ἀντιστραφεισῶν. πλὴν οὐ συνάξεις συμπέρασμα ὅτι τὸ α' οὐ παντὶ τῷ γ', ἀλλ' ὅτι τὸ γ' οὐ παντὶ τῷ α', ὡσαύτως καὶ ἡ α' β' ἐστὶν οὐ παντὶ ἡ δὲ β, γ' οὐδενὶ ἐν α' σχήματι. ἀσυλλόγιστος μὲν ὁ συλλογισμός, συλλελογισμένος δὲ ἔσται, ἐὰν ἀντιστρέψῃς καὶ τὰς δύο προτάσεις. καὶ ἐπὶ τοῦ δευτέρου σχήματος, ἐὰν ἡ μείζων ἐστὶ τίς. ἡ δὲ ἐλάττων οὐδείς, ἀσυλλόγιστόν ἐστι τὸ σχῆμα. εἰ δ' ἀντιστρέψας τὴν οὐδεὶς διὰ τῆς ἀντιστροφῆς, συλλελογισμένος γίνεται. συνάγων τὸ ξ', οὐ παντὶ τῷ ν'. ἐὰν δὲ ἡ μείζων ἐστὶ τὶς ἡ δὲ ἐλάττων οὐδεὶς ἐπὶ τοῦ τρίτου σχήματος, ἀσυλλόγιστός ἐστι καὶ οὕτως. ἀντιστραφείσης δὲ τῆς τίς, συλλογισμὸν ποιήσεις. ὅτι τὸ ρ' οὐ παντὶ τῷ π'. δῆλον οὖν ἐν τοῖς τρισὶ σχήμασιν. ὅτι οἱ ἀσυλλόγιστοι συλλελογισμένοι γίνονται, διὰ τῆς ἀντιστροφῆς καὶ ὅτι τὸ ἀδιόριστον ἀντὶ τοῦ μερικοῦ προσδιορισμοῦ τοῦ τὶς λαμβανόμενον, τὸν αὐτὸν ποιήσει συλλογισμὸν ἐν πᾶσι τοῖς σχήμασιν. ὃν ἐποίει καὶ ὁ μερικὸς προσδιορισμὸς κείμενος. οἷον εἰ εἴπῃς ὅτι τὸ α' παντὶ τῷ β'. τὸ β' ὑπάρχει τῷ γ', συνάξεις ὅτι τὸ α' τινὶ τῷ γ'. ὃ συνήγετο καὶ ὅτε ἔλεγες ὅτι τὸ β' τινὶ τῷ γ'. Η γὰρ δεικτικῶς τελειοῦνται ἤγουν δι' ἀντιστροφῆς, καὶ γίνεται τὸ α' σχῆμα. ἢ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ οὕτως τὸ α' σχῆμα γίνεται. Δείξας ποῖαι τῶν ἀσυλλογίστων συζυγιῶν δύνανται ἰαθῆναι καὶ συλλελογισμέναι γενέσθαι. καὶ ποῖαι οὔ, νῦν ἐξυμνεῖ καὶ τοὺς δύο τρόπους τοὺς καθόλου, τοῦ α' σχήματος. ἤγουν

ἀπαγωγῆς. εἰ γὰρ ἐκ δύο προτάσεων καταφατικῶν καθόλου ἐν τρίτῳ σχήματι οὐ συνάγεται τὸ τινὶ συμπέρασμα, ἀνάγκη συναχθῆναι τὸ οὐδενί. ἀντὶ γὰρ τῶν ἀντιφατικῶς ἀντικειμένων, ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις. καὶ εἰ τὸ ζῶον οὐδὲ μιᾷ οὐσίᾳ κατὰ τὸν ἀντιπίπτοντα, ἡ δὲ οὐσία παντὶ ἀνθρώπῳ, γίνεται ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. συνάγων τὸ ζῶον οὐδενὶ ἀνθρώπῳ ὑπάρχειν. ἀλλὰ τὸ ζῶον παντὶ ἀνθρώπῳ. ἀδύνατον ἄρα τὸ ζῶον καὶ παντὶ ὑπάρχειν ἀνθρώπῳ καὶ οὐδενί. τὸ δ᾽ ἀδύνατον συνήχθη, οὐκ ἀπὸ τῆς κειμένης προτάσεως. ἀλλὰ παρὰ τῆς ὑποτεθείσης παρὰ τοῦ ἀντιπίπτοντος. ἤγουν τῆς ὅτι τὸ ζῶον, οὐδὲ μιᾷ οὐσίᾳ. καὶ ἐπεὶ τὸ ἄτοπον συνήχθη ἀπὸ τοῦ μηδενὶ ἀληθὲς ἄρα τὸ τινί. δειχθήσεται δὲ τὸ συμπέρασμα τοῦτο, ἐκ τοῦ ἐκθέσθαι ἤγουν καὶ ἐκ τῆς ἐκθέσεως. εἰ γὰρ ἡ οὐσία κατὰ παντὸς ἀνθρώπου κατηγορεῖται, λοιπὸν καὶ κατὰ πάντων τῶν μερῶν τοῦ ἀνθρώπου κατηγορηθήσεται. ἔκθου οὖν μέρος τοῦ σ τοῦ ἀνθρώπου, τὸ ν ἤγουν τὸν σωκράτην. ἀλλ᾽ εἰ καὶ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου κατηγορεῖται, λοιπὸν καὶ κατὰ τοῦ σωκράτους κατηγορηθήσεται. εὑρίσκεται γοῦν ὁ σωκράτης μέρος καὶ τοῦ ζῴου καὶ τῆς οὐσίας. καλῶς ἄρα συνήχθη ὅτι τὸ ζῶον τινὶ οὐσίᾳ. ἤγουν τῷ σωκράτει. καὶ εἰ τὸ ρ ἤγουν τὸ ζῶον κατηγορεῖται κατὰ παντὸς τοῦ σ ἤγουν τοῦ λογικοῦ. τὸ δὲ π ἤγουν τὸ ἄλογον κατ᾽ οὐδενὸς τοῦ λογικοῦ. ἔσται συλλογισμὸς καὶ συμπέρασμα ὅτι τὸ π τινὶ τῷ ρ οὐχ ὑπάρξει. ἤγουν τὸ ἄλογον οὐ παντὶ ζῴῳ. ὁ γὰρ αὐτὸς τρόπος ἔσται τῆς ἀποδείξεως. τουτέστι ἀποδειχθήσεται γὰρ καὶ διὰ τῆς ἀντιστροφῆς καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὥσπερ καὶ τὸν πρῶτον τρόπον τοῦ τρίτου σχήματος ἀπεδείξαμεν. Εἰ δὲ τὸ μὲν τῶν ἄκρων καθόλου κατηγορεῖται κατὰ τοῦ μέσου. τὸ δὲ ἕτερον μερικῶς, ἐὰν τὸ καθόλου κατηγορούμενον κατὰ τοῦ μέσου καταφατικῶς κατηγορεῖται. τὸ δὲ κατηγορούμενον μερικῶς κατὰ τοῦ μέσου, καταφατικῶς ὡσαύτως κατηγορεῖται, ἀνάγκη γενέσθαι συλλογισμόν. κἂν ὁποτέρου γοῦν ἡ καθόλου τῶν ὅρων. ἤγουν εἴτε τὸ π κατὰ παντὸς κατηγορεῖται τοῦ σ. τὸ δὲ ρ κατά τινος τοῦ σ, εἴτε τὸ ρ κατὰ παντὸς τοῦ σ. εἰ γὰρ τὸ μὲν ρ. ἤγουν τὸ ἔμψυχον κατὰ παντὸς τοῦ σ. ἤγουν τοῦ ζῴου κατηγορεῖται. τὸ δὲ π ἤγουν τὸ λευκὸν κατά τινος ζῴου κατηγορεῖται, συμπερανοῦμεν ὅτι τὸ λευκὸν τινὶ ἐμψύχῳ. μέλλοντες δὲ τοῦτο δεῖξαι διὰ τῆς ἀντιστροφῆς, ἀδύνατον τὴν ἐλάττονα πρότασιν τὴν πᾶς ἀντιστρέψαι. ἵνα μὴ καὶ ἡ μείζων πρότασις καὶ ἡ ἐλάττων μερικαὶ γένωνται. ἐκ δὲ δύο μερικῶν, συλλογισμὸς οὐκ ἔσται. ἀνάγκη γοῦν ἀντιστρέψαι τὴν μείζονα. εἰ γὰρ τὸ λευκὸν τινὶ ζῴῳ, καὶ τὸ ζῶον τινὶ λευκῷ. καὶ ἐπεὶ τὸ ἔμψυχον παντὶ ζῴῳ. τὸ δὲ ζῶον τινὶ λευκῷ, συμπεραν(ο)ῦμεν ὅτι τὸ ἔμψυχον τινὶ λευκῷ ὑπάρχει. ἀλλ᾽ οὐ πρόσκειται δεῖξαι τοῦτο. ἀλλ᾽ ὅτι τὸ λευκὸν τινὶ ἐμψύχῳ. ὥστε ἐπεὶ ἀντιστρέφει ἡ τὶς πρὸς ἑαυτήν, εἰ τὸ ἔμψυχόν τινι λευκῷ, καὶ τὸ λευκὸν τινὶ ἐμψύχῳ. καὶ δέδεικται διὰ δύο ἀντιστροφῶν. δειχθήσεται γε καὶ διὰ τῆς ἐκθέσεως. εἰ τὸ ἔμψυχον κατὰ παντὸς ζῴου κατηγορεῖται, καὶ κατὰ τοῦ πλάτωνος ἄρα κατηγορηθήσεται. μέρους ὄντος τοῦ ζῴου. ὥστε ὁ πλάτων μέρος ἐστὶ καὶ τοῦ ἐμψύχου. καλῶς ἄρα συμπεραίνεται. ὅτι ὁ ἄνθρωπος τινὶ ἐμψύχῳ. ἤγουν τῷ πλάτωνι. διότι καὶ ὁ ἄνθρωπος κατά τινος ζῴου κατηγορούμενος, κατὰ τοῦ πλάτωνος κατηγορεῖται. μέρος ἄρα καὶ ὁ πλάτων τοῦ ἀνθρώπου. ἀλλὰ καὶ ἐὰν ἡ μείζων ἐστὶ καθόλου καταφατική. ὡς τὸ ζῶον παντὶ ἀνθρώπῳ. ἡ δὲ ἐλάττων μερικὴ καταφατικὴ ὡς τὸ λευκὸν τινὶ ἀνθρώπῳ, ἔσται συμπέρασμα ὅτι τὸ ζῶον τινὶ λευκῷ. ἀποδειχθήσεται δὲ τὸ συμπέρασμα καλῶς συναχθὲν κατὰ τὸν αὐτὸν τρόπον ἤγουν διὰ τῆς ἀντιστροφῆς εἰ ἀντιστρέψαις τὴν ἐλάττονα πρότασιν. καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς. καὶ διὰ τῆς ἐκθέσεως. ἔκθου γὰρ μέρος τοῦ ἀνθρώπου τὸν σκύθην. ὁ γοῦν λέγων τὸ λευκὸν τινὶ ἀνθρώπῳ ὑπάρχει, κατὰ τοῦ σκύθου τὸ λευκὸν κατηγορεῖ. ἀλλὰ καὶ τὸ ζῶον παντὸς ἀνθρώπου κατηγορούμενον, κατηγορηθήσεται καὶ τοῦ σκύθου. μέρος ἄρα τοῦ λευκοῦ καὶ τοῦ ζῴου ὁ σκύθης. καλῶς ἄρα συμπεραίνεται τὸ ζῶον τινὶ λευκῷ ὑπάρχειν ἤγουν τῷ σκύθῃ. ἔστι δὲ καὶ ὁ συλλογισμὸς ὁ ἀπὸ τῆς πᾶς καὶ τὶς, ἁπλούστερός ἐστι τοῦ ἀπὸ τῆς τὶς καὶ πᾶς συλλογισμοῦ. καθόσον οὗτος μὲν διὰ μιᾶς ἀντιστροφῆς δείκνυται. ὁ δ᾽ ἀπὸ τῆς τὶς καὶ πᾶς, διὰ δύο ἀντιστροφῶν. καὶ διὰ τοῦτο ἔδει τὸν ἀπὸ τῆς πᾶς καὶ τὶς, προταγῆναι ὡς ἁπλούστερον. τοῦ ἀπὸ τῆς τὶς καὶ πᾶς. προτάττεται δὲ οὗτος. διότι ἀντὶ τοῦ τρίτου σχήματος, τὸ κῦρος καὶ τὴν σύστασιν τοῦ συλλογισμοῦ, ἡ ἐλάττων πρότασις ἔχει. εἴγε ἐστὶ καταφατική. ἐπεὶ δὲ ἀπὸ τῆς τὶς καὶ πᾶς οὐ μερικὴν ἔχει τὴν ἐλάττονα καταφατικὴν ἀλλὰ καὶ καθόλου, προτάττεται τοῦ συλλογισμοῦ τοῦ ἔχοντος τὴν ἐλάττονα μερικὴν καταφατικήν. τὸ γὰρ καθόλου τιμιώτερον τοῦ μερικοῦ. Ὁ δὲ συλλογισμὸς ὁ τὴν μείζονα ἔχων στερητικὴν μερικήν. ὡς τὸ λευκὸν οὐ παντὶ ἀνθρώπῳ. τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν ὡς τὸ ζῶον παντὶ ἀνθρώπῳ, οὐ δείκνυται διὰ τῆς ἀντιστροφῆς. εἰ γὰρ τὴν ἐλάττονα τὴν πᾶς ἀντιστρέψαις, γίνεται ἡ ἐλάττων μερικὴ τίς. ἔχεις δὲ καὶ τὴν μείζονα μερικὴν καὶ στερητικήν. καὶ συλλογισμὸς οὐκ ἔστιν ἀπὸ δύο μερικῶν. δείκνυται δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ διὰ τῆς ἐκθέσεως. ἐπεὶ γὰρ τὸ λευκὸν οὐκ ἀπὸ παντὸς ἀνθρώπου ἀποφάσκεται ἀλλ᾽ ἀπό τινος. λάβε μέρος τοῦ ἀνθρώπου οὗ ἀποφάσκεται τὸ λευκόν, τὸν αἰθίοπα. κατηγορεῖται δὲ καὶ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. λοιπὸν καὶ τοῦ αἰθίοπος. μέρος ἄρα ὁ αἰθίοψ τοῦ ζῴου καὶ τὸ λευκὸν λοιπὸν οὐ παντὶ ζῴῳ ὑπάρχει, τοῦ αἰθίοπος ἀποφάσκεται. τοῦ δὲ μηδενί, οὐκ ἔστι λαβεῖν ὅρους δι᾽ ὧν συναχθήσεται τὸ οὐδενί. διότι τὸ ρ οὐ παντὶ τῷ σ ὑπάρχον, τινὶ ὑπάρχει. τὸ γὰρ οὐ πᾶς ταυτόν ἐστι τῷ τὶς

ληπτέον δὲ ὅρους ὡς τὸ μ' τὸ ζῷον ἢ τὸ λογικόν· ὡς τὸ ν' τὸν ἄνθρωπον· καὶ ὡς τὸ ξ' τὸ ἔμψυχον. εἰ δὲ τὸ μ' ἐστὶν οὐδενὶ τῷ ν'· οὐ παντὶ δὲ τῷ ξ', συλλογισμὸς οὐκ ἔσται. συνάγεται γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενί. καὶ λαβὼν ὅρους· ζῷον· χιών· μέλαν, συνάξεις τὸ μηδενί· οὐχ εὑρήσεις δὲ ὅρους δι' ὧν συνάξεις τὸ παντί. διότι ὁ λέγων τὸ μ' οὐ παντὶ ὑπάρχει τῷ ξ', συνάγει ὅτι τὸ μ' ὑπάρχει καὶ τινὶ τῷ ξ'. ἔμαθες γὰρ τὸ οὐ πᾶς ἰσοδυναμεῖν τῷ τὶς, ἐπὶ τῆς ἐνδεχομένης ὕλης. εἰ δὲ λέγει τις δυνατὸν εἶναι ἀπὸ τῆς οὐδεὶς καὶ οὐ πᾶς συναχθῆναι συμπέρασμα· ὅτι τὸ ν' παντὶ τῷ ξ', ἔσται· ἐπεὶ καὶ τὸ μ' οὐδενὶ τῷ ν' ἐστί· τὸ δὲ ν' παντὶ τῷ ξ', κατὰ σὲ ἔσται καὶ τὸ μ' οὐδενὶ τῷ ξ'· ἀλλ' ὑπέκειτο τὸ μ' τινὶ τῷ ξ'. ἰσοδυναμεῖ γὰρ καὶ ἡ οὐ πᾶς τῇ τὶς ἐπὶ τῆς ἐνδεχομένης ὕλης. ἀλλ' ἐπεὶ ἀδιόριστός ἐστιν ἡ οὐ πᾶς καὶ ἐπὶ τῆς ἀδυνάτου ὕλης· ἡ οὐ πᾶς, ἀληθεύει διὰ τὴν οὐδείς. ἰσοδυναμεῖ γὰρ ταύτῃ ἐπὶ ταύτης τῆς ὕλης. ὁ γὰρ λέγων τὸ πτερωτὸν οὐ παντὶ ἀνθρώπῳ· οὐκ ἄλλο τι λέγει, ἀλλ' ἢ οὐδενί· καὶ ἐπεὶ ὡς εἴπομεν ἀληθεύει τὸ λέγειν τὸ μ' οὐ παντὶ ὑπάρχει τῷ ξ'· καὶ εἰ μηδενὶ ὑπάρχει· ἤγουν ἀντὶ τῆς οὐδεὶς λαμβανόμενον, ἐὰν λάβῃς ὅρους ἀπὸ τῆς ἀδυνάτου ὕλης· ἐν ᾗ ἡ οὐ πᾶς ἰσοδυναμεῖ τῇ οὐδείς, ἕξεις δὲ καὶ τὴν μείζονα πρότασιν οὐδείς· ἀπὸ τῆς οὐδεὶς καὶ οὐδείς, συλλογισμὸς ὄπισθεν οὐκ ἐγένετο· καὶ λοιπὸν οὐδὲ νῦν γενήσεται· ληπτέον ὅρους δι' ὧν συνάξεις τὸ παντί· ζῷον ἄψυχον λίθος· τὸ γὰρ λέγειν τὸ ζῷον οὐ παντὶ λίθῳ, ταυτόν ἐστι τῷ οὐδενί. εἰ δὲ τὸ μ' κατὰ παντὸς τοῦ ν' κατηγορεῖται· τινὶ δὲ τῷ ξ' ὑπάρχει συλλογισμὸς οὐδ' οὕτως ἔσται. συνάγεται γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενί· καὶ τὸ μ' μηδενὶ συνάξεις λαβὼν ὅρους λευκὸν κύκνον καὶ λίθον. οὐκ ἔστι δὲ λαβεῖν ὅρους δι' ὧν συνάξεις καὶ τὸ παντὶ διὰ τὴν αὐτὴν αἰτίαν ἣν καὶ πρότερον εἴπομεν· ὡς γὰρ ἡ οὐ πᾶς ἰσοδυναμεῖ τῇ τὶς καὶ τῇ οὐδείς, οὕτω καὶ ἡ τὶς ἰσοδυναμεῖ ἐπὶ τῆς ἐνδεχομένης ὕλης τῇ οὐ πᾶς· τὸ γὰρ λέγειν τὸ λευκὸν τινὶ ἀνθρώπῳ, ταυτόν ἐστι τῷ λέγειν οὐ παντὶ ἀνθρώπῳ· ἐπὶ δὲ τῆς ἀναγκαίας ὕλης ἀληθεύει διὰ τὴν πᾶς καὶ ἰσοδυναμεῖ ταύτῃ· ὁ λέγων γὰρ τὸ ἀναπνεῖν ὑπάρχει τινὶ ἀνθρώπῳ, ἀληθεύει διὰ τὸ πάντας αὐτοὺς ἐξ ἀνάγκης ἀναπνεῖν· εἰ γὰρ πάντες ἀναπνέουσιν, ἀνάγκη καὶ τινάς. εἰ δέ τις λέγει δυνατὸν εἶναι ἀπὸ τῆς πᾶς καὶ τὶς συμπεραίνεσθαι ὅτι τὸ ν' παντὶ τῷ ξ', ἔσται· καὶ εἰπὲ τὸ μ' παντὶ τῷ ν'· τὸ ν' παντὶ τῷ ξ' κατὰ σέ· καὶ τὸ μ' ἄρα παντὶ τῷ ξ'· ἀλλ' ὑπέκειτο τὸ μ' καὶ παντὶ τῷ ξ'· ἡ γὰρ τὶς ἰσοδυναμεῖ τῇ οὐ πᾶς ὡς εἴπομεν· οὐκ ἄρα δυνατὸν τὸ παντὶ συναχθῆναι συμπέρασμα· ἐπεὶ ἀδύνατόν τι ἐξ αὐτοῦ ἕπεται. ἀλλ' ἐκ τοῦ ἀδιορίστου δειχθήσεται ἀσυλλόγιστον· ἐπεὶ γὰρ ἡ τὶς ἀδιόριστός ἐστι, καὶ ποτὲ μὲν ἰσοδυναμεῖ τῇ οὐ πᾶς ὡς ἐπὶ τῆς ἐνδεχομένης ὕλης· ποτὲ δὲ τῇ πᾶς ὡς ἐπὶ τῆς ἀναγκαίας ὕλης, ἐὰν λάβῃς ὅρους ἐν οἷς ἡ τὶς ἀντὶ τῆς πᾶς ἔσται, συλλογισμὸς οὐκ ἔσται· δέδεικται γὰρ ὄπισθεν μὴ γενέσθαι συλλογισμὸν ἀπὸ τῆς πᾶς καὶ πᾶς. λάβε τὸ μ' οὐσία· τὸ ν' ζῷον· καὶ τὸ ξ' ἄνθρωπον· ὁ γοῦν λέγων τὴν οὐσίαν τινὶ ἀνθρώπῳ ὑπάρχειν, πάντας ἀνθρώπους λέγει τὴν οὐσίαν εἶναι. ἀλλ' οὐδὲ εἰ τὸ μ' ὑπάρχει τινὶ τῷ ν' καὶ τινὶ τῷ ξ' ἔσται συλλογισμός· ἢ μὴ ὑπάρχει· ἤγουν μὴ τινί· οἷον τὸ μ' οὐ τινὶ τῷ ν'· τὸ μ' οὐ τινὶ τῷ ξ'· ἢ τὸ μὲν μ' ὑπάρχει τινὶ τῷ ν' τῷ δὲ ξ' μή· ἤγουν οὐ παντί· ἢ τοὐναντίον· ἢ μηδετέρῳ παντί· ὅταν τὸ μ' οὐ παντὶ ὑπάρχῃ τῷ ν' καὶ οὐ παντὶ τῷ ξ'· ἢ ἀδιορίστως· ὡς ἄν τις εἴποι· τὸ μ' ὑπάρχειν τῷ ν'· καὶ ὑπάρχειν τῷ ξ'· ἢ τὸ μ' οὐχ ὑπάρχειν τῷ ν' καὶ οὐχ ὑπάρχειν τῷ ξ'· ἀεὶ ἡ ἐν ὑπάρξει τοῖς ὅροις ἐξ ἀνάγκης ὡς ἐπὶ τῆς ἀντιστροφῆς· οἱ γὰρ ὅροι οἱ ληφθέντες ἐν ταῖς κειμέναις προτάσεσιν, ἐκεῖνοι λαμβάνονται καὶ ἐπὶ τῆς ἀντιστροφῆς· μόνης τῆς τάξεως ἐναλλαττομένης· ὁ γὰρ ὑποκείμενος γίνεται κατηγορούμενος· καὶ ὁ κατηγορούμενος γίνεται ὑποκείμενος. ἢ τίθεται τὸ προσλαμβανόμενον ὡς ὑπόθεσις· ὡς ἐπὶ τῆς ἀδυνάτου ἀπαγωγῆς· συναχθέντος γὰρ συμπεράσματος τοῦ οὐ παντί· εἴ τις ἐνίσταται μὴ καλῶς συναχθῆναι, λαμβάνομεν τὸν λόγον τοῦ ἀντικειμένου εἰσάγοντες τὸ παντί.

Ἀρχὴ τοῦ γ' σχήματος.

Εἰ μὲν ὁ μέσος ὅρος κατηγορεῖται κατ' ἀμφοτέρων τῶν ἄκρων, γίνεται τὸ δεύτερον σχῆμα· ἐν ὁμοιοσχημόνως τηρουμένων τῶν προτάσεων. ἐὰν δὲ τῷ αὐτῷ ἤγουν τῷ μέσῳ· τὸ μὲν τῶν ἄκρων παντὶ ὑπάρχει, τῷ δὲ μηδενί, ἢ ἄμφω τὰ ἄκρα πάντα τῷ μέσῳ ὑπάρχουσιν ἢ μηδενί, γίνεται τὸ γ' σχῆμα· ἐνταῦθα δὲ ἔμαθες καὶ τοὺς συλλογιζομένους συλλογισμοὺς καὶ τοὺς ἀσυλλογίστους· οὓς ἐν τοῖς ἔμπροσθεν καθαρῶς διακρινοῦμεν. ἐν αὐτῷ δὲ τῷ γ' σχήματι, μέσον λέγει τὸ σ'· καθ' οὗ τὰ ἄκρα ἄμφω ἤγουν τὸ π' καὶ τὸ ρ' κατηγοροῦνται· ἄκρα δὲ λέγει τὸ π' καὶ τὸ ρ' ἃ καὶ κατηγοροῦνται· μεῖζον δὲ ἄκρον· τὸ πορρωτάτω τοῦ μέσου· ἤγουν τὸ π'· ὁ πορρωτάτω τοῦ μέσου λέγεται εἶναι, ὡς μὴ τηροῦν τὸ ἴδιον τοῦ μέσου· ἴδιον γάρ ἐστι τοῦ μέσου, τὸ ὑποκεῖσθαι ἀμφοτέροις τοῖς ἄκροις· τὸ δὲ π' κατηγορεῖται μόνως· καὶ γὰρ καὶ τοῦ σ' κατηγορεῖται, καὶ τοῦ ρ' ἐν τῷ συμπεράσματι. ἔλαττον δὲ ἄκρον τὸ ἐγγίζον τῷ μέσῳ· ἐγγίζει δὲ τῷ μέσῳ, ὡς τηροῦν τὸ ἴδιον αὐτοῦ· ἤγουν τὸ ὑποκεῖσθαι· εἰ γὰρ καὶ τὸ ρ' κατηγορεῖται κατὰ τοῦ σ', ἀλλ' ἐν τῷ συμπεράσματι ὑπόκειται τῷ π'· τίθεται δὲ τὸ μέσον ἐν τῇ καταγραφῇ ἔξω μὲν τῶν ἄκρων, ὡς μὴ μέσον αὐτῶν κείμενον· ἔσχατον δὲ ὡς ὑποκείμενον ἀμφοτέροις τοῖς ἄκροις. ὅταν τὸ π' καὶ τὸ ρ' παντὶ τῷ σ' ὑπάρχῃ· ληπτέον δὲ τὸ π' ζῷον· τὸ ρ' οὐσία· καὶ τὸ σ' ἄνθρωπος· συναχθήσεται συμπέρασμα ὅτι τὸ ζῷον τινὶ οὐσίᾳ. ὅτι δὲ καλῶς συνήχθη τοῦτο, δειχθήσεται ἡ ἀντιστροφῇ, ἀντιστραφείσης τῆς ἐλάττονος προτάσεως· εἰ γὰρ ἡ οὐσία παντὶ ἀνθρώπῳ, καὶ ὁ ἄνθρωπός τινι οὐσίᾳ· καὶ ἐπεὶ ὁ ἄνθρωπός τινι οὐσίᾳ· τὸ δὲ ζῷον παντὶ ἀνθρώπῳ ὑπάρχει, γίνεται ὁ πρῶτος τρόπος τοῦ α' σχήματος· συνάγων ὅτι τὸ ζῷον τινὶ οὐσίᾳ ὑπάρχει· δειχθήσεται καὶ διὰ τῆς εἰς ἀδύνατον

ἀπαγωγῆς. εἰ γὰρ ἐκ δύο προτάσεων καταφατικῶν καθόλου ἐν τρίτῳ σχήματι οὐ συνάγεται τὸ τινὶ συμπέρασμα, ἀνάγκη συναχθῆναι τὸ οὐδενί. ἀεὶ γὰρ τῶν ἀντιφατικῶς ἀντικειμένων, ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις. καὶ εἰ τὸ ζῶον οὐδὲ μιᾷ οὐσίᾳ κατὰ τὸν ἀντιπίπτοντα, ἡ δὲ οὐσία παντὶ ἀνθρώπῳ, γίνεται ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. συνάγων τὸ ζῶον οὐδενὶ ἀνθρώπῳ ὑπάρχειν. ἦν δὲ τὸ ζῶον παντὶ ἀνθρώπῳ. ἀδύνατον ἄρα τὸ ζῶον καὶ παντὶ ὑπάρχειν ἀνθρώπῳ καὶ οὐδενί. τὸ δ' ἀδύνατον συνήχθη, οὐκ ἀπὸ τῆς κειμένης προτάσεως. ἀλλὰ παρὰ τῆς ὑποτεθείσης παρὰ τοῦ ἀντιπίπτοντος. ἤγουν τῆς ὅτι τὸ ζῶον, οὐδὲ μιᾷ οὐσίᾳ. καὶ ἐπεὶ τὸ ἄτοπον συνήχθη ἀπὸ τοῦ μηδενὶ ἀληθὲς ἄρα τὸ τινί. δειχθήσεται δὲ τὸ συμπέρασμα τοῦτο, ἐκ τοῦ ἐκτεθῆναι ἤγουν καὶ ἐκ τῆς ἐκθέσεως. εἰ γὰρ ἡ οὐσία κατὰ παντὸς ἀνθρώπου κατηγορεῖται, λοιπὸν καὶ κατὰ πάντων τῶν μερῶν τοῦ ἀνθρώπου κατηγορηθήσεται. ἔκθου οὖν μέρος τοῦ σ τοῦ ἀνθρώπου, τὸ ν ἤγουν τὸν σωκράτην. ἀλλ' εἰ καὶ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου κατηγορεῖται, λοιπὸν καὶ κατὰ τοῦ σωκράτους κατηγορηθήσεται. εὑρίσκεται γοῦν ὁ σωκράτης μέρος καὶ τοῦ ζώου καὶ τῆς οὐσίας. καλῶς ἄρα συνήχθη ὅτι τὸ ζῶον τινὶ οὐσίᾳ. ἤγουν τῷ σωκράτει. καὶ εἰ τὸ ρ ἤγουν τὸ ζῶον κατηγορεῖται κατὰ παντὸς τοῦ σ ἤγουν τοῦ λογικοῦ. τὸ δὲ π ἤγουν τὸ ἄλογον κατ' οὐδενὸς τοῦ λογικοῦ. ἔσται συλλογισμὸς καὶ συμπέρασμα ὅτι τὸ π τινὶ τῷ ρ οὐχ ὑπάρξει. ἤγουν τὸ ἄλογον οὐ παντὶ ζώῳ. ὁ γὰρ αὐτὸς τρόπος ἔσται τῆς ἀποδείξεως. τουτέστι ἀποδειχθήσεται γὰρ καὶ διὰ τῆς ἀντιστροφῆς καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὥσπερ καὶ τὸν πρῶτον τρόπον τοῦ τρίτου σχήματος ἀπεδείξαμεν. Εἰ δὲ τὸ μὲν τῶν ἄκρων καθόλου κατηγορεῖται κατὰ τοῦ μέσου. τὸ δὲ ἕτερον μερικῶς, ἐὰν τὸ καθόλου κατηγορούμενον κατὰ τοῦ μέσου καταφατικῶς κατηγορῆται. τὸ δὲ κατηγορούμενον μερικῶς κατὰ τοῦ μέσου, καταφατικῶς ὡσαύτως κατηγορεῖται, ἀνάγκη γενέσθαι συλλογισμόν. κἂν ὁποτέρου γοῦν ἡ καθόλου τῶν ὅρων. ἤγουν εἴτε τὸ π κατὰ παντὸς κατηγορεῖται τοῦ σ. τὸ δὲ ρ κατά τινος τοῦ σ, εἴτε τὸ ρ κατὰ παντὸς τοῦ σ. εἰ γὰρ τὸ μὲν ρ. ἤγουν τὸ ἔμψυχον κατὰ παντὸς τοῦ σ. ἤγουν τοῦ ζώου κατηγορεῖται. τὸ δὲ π ἤγουν τὸ λευκὸν κατά τινος ζώου κατηγορεῖται, συμπεραντέον ὅτι τὸ λευκὸν τινὶ ἐμψύχῳ. μέλλει δὲ τοῦτο δεῖξαι διὰ τῆς ἀντιστροφῆς, ἀδύνατον τὴν ἐλάττονα πρότασιν τὴν πᾶς ἀντιστρέψαι. ἵνα μὴ καὶ ἡ μείζων πρότασις καὶ ἡ ἐλάττων μερικαὶ γένωνται. ἐκ δὲ δύο μερικῶν, συλλογισμὸς οὐκ ἔσται. ἀνάγκη γοῦν ἀντιστρέψαι τὴν μείζονα. εἰ γὰρ τὸ λευκὸν τινὶ ζώῳ, καὶ τὸ ζῶον τινὶ λευκῷ. καὶ ἐπεὶ τὸ ἔμψυχον παντὶ ζώῳ. τὸ δὲ ζῶον τινὶ λευκῷ, συμπεραντέον ὅτι τὸ ἔμψυχον τινὶ λευκῷ ὑπάρχει. ἀλλ' οὐ πρόκειται δεῖξαι τοῦτο. ἀλλ' ὅτι τὸ λευκὸν τινὶ ἐμψύχῳ. ὥστε ἐπεὶ ἀντιστρέφει ἡ τὶς πρὸς ἑαυτήν, εἰ τὸ ἔμψυχόν τινι λευκῷ, καὶ τὸ λευκὸν τινὶ ἐμψύχῳ. καὶ δείκνυται διὰ δύο ἀντιστροφῶν. δειχθήσεται γε καὶ διὰ τῆς ἐκθέσεως. εἰ τὸ ἔμψυχον κατὰ παντὸς ζώου κατηγορεῖται, καὶ κατὰ τοῦ πλάτωνος ἄρα κατηγορηθήσεται. μέρους ὄντος τοῦ ζώου. ὥστε ὁ πλάτων μέρος ἐστὶ καὶ τοῦ ἐμψύχου. καλῶς ἄρα συμπεραίνεται. ὅτι ὁ ἄνθρωπος τινὶ ἐμψύχῳ. ἤγουν τῷ πλάτωνι. διότι καὶ ὁ ἄνθρωπος κατά τινος ζώου κατηγορούμενος, κατὰ τοῦ πλάτωνος κατηγορεῖται. μέρος ἄρα καὶ ὁ πλάτων τοῦ ἀνθρώπου. ἀλλὰ καὶ ἐὰν ἡ μείζων ἐστὶ καθόλου καταφατική. ὡς τὸ ζῶον παντὶ ἀνθρώπῳ. ἡ δὲ ἐλάττων μερικὴ καταφατική ὡς τὸ λευκὸν τινὶ ἀνθρώπῳ, ἔσται συμπέρασμα ὅτι τὸ ζῶον τινὶ λευκῷ. ἀποδειχθήσεται δὲ τὸ συμπέρασμα καλῶς συναχθὲν κατὰ τὸν αὐτὸν τρόπον ἤγουν διὰ τῆς ἀντιστροφῆς εἰ ἀντιστρέψαις τὴν ἐλάττονα πρότασιν. καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς. καὶ διὰ τῆς ἐκθέσεως. ἔκθου γὰρ μέρος τοῦ ἀνθρώπου τὸν σκύθην ὃ γοῦν λέγων τὸ λευκὸν τινὶ ἀνθρώπῳ ὑπάρχει, κατὰ τοῦ σκύθου τὸ λευκὸν κατηγορεῖ. ἀλλὰ καὶ τὸ ζῶον παντὸς ἀνθρώπου κατηγορούμενον, κατηγορηθήσεται καὶ τοῦ σκύθου. μέρος ἄρα τοῦ λευκοῦ καὶ τοῦ ζώου ὁ σκύθης. καλῶς ἄρα συμπεραίνεται τὸ ζῶον τινὶ λευκῷ ὑπάρχειν ἤγουν τῷ σκύθῃ. ἔστι δὲ καὶ ὁ συλλογισμὸς ὁ ἀπὸ τῆς πᾶς καὶ τὶς, ἁπλούστερός ἐστι τῆς ἀπὸ τῆς τὶς καὶ πᾶς συλλογισμοῦ. καθόσον οὗτος μὲν διὰ μιᾶς ἀντιστροφῆς δείκνυται. ὁ δ' ἀπὸ τῆς τὶς καὶ πᾶς, διὰ δύο ἀντιστροφῶν. καὶ διὰ τοῦτο ἔδει τὸν ἀπὸ τῆς πᾶς καὶ τὶς, προταχθῆναι ὡς ἁπλούστερον. τοῦ ἀπὸ τῆς τὶς καὶ πᾶς. προτάττει δὲ οὕτως. διότι ἐπειδὴ τοῦ τρίτου σχήματος, τὸ κῦρος καὶ τὴν σύστασιν τοῦ συλλογισμοῦ, ἡ ἐλάττων πρότασις ἔχει. ἥγε ἐστὶ καταφατική. ἐπεὶ δὲ ὁ ἀπὸ τῆς τὶς καὶ πᾶς οὐ μερικὴν ἔχει τὴν ἐλάττονα καταφατικὴν ἀλλὰ καὶ καθόλου, προτάττει τοῦ συλλογισμοῦ τοῦ ἔχοντος τὴν ἐλάττονα μερικὴν καταφατικήν. τὸ γὰρ καθόλου τιμιώτερον τοῦ μερικοῦ. Ὁ δὲ συλλογισμὸς ὁ τὴν μείζονα ἔχων στερητικὴν μερικήν. ὡς τὸ λευκὸν οὐ παντὶ ἀνθρώπῳ. τὴν δὲ ἐλάττονα καθόλου καταφατικήν ὡς τὸ ζῶον παντὶ ἀνθρώπῳ, οὐ δείκνυται διὰ τῆς ἀντιστροφῆς. εἰ γὰρ τὴν ἐλάττονα τὴν πᾶς ἀντιστρέψαις, γίνεται ἡ ἐλάττων μερικὴ τίς. ἔχεις δὲ καὶ τὴν μείζονα μερικὴν καὶ στερητικήν. καὶ συλλογισμὸς οὐκ ἔστιν ἀπὸ δύο μερικῶν. δείκνυται δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ διὰ τῆς ἐκθέσεως. ἐπεὶ γὰρ τὸ λευκὸν οὐκ ἀπὸ παντὸς ἀνθρώπου ἀποφάσκεται ἀλλ' ἀπό τινος. λάβε μέρος τοῦ ἀνθρώπου οὗ ἀποφάσκεται τὸ λευκόν, τὸν αἰθίοπα. κατηγορεῖται δὲ καὶ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. λοιπὸν καὶ τοῦ αἰθίοπος. μέρος ἄρα ὁ αἰθίοψ τοῦ ζώου καὶ τὸ λευκὸν λοιπὸν οὐ παντὶ ζώῳ ὑπάρχει, τοῦ αἰθίοπος ἀποφάσκεται. τοῦ δὲ μηδενί, οὐκ ἔστι λαβεῖν ὅρους δι' ὧν συναχθήσεται τὸ οὐδενί. διότι τὸ ρ οὐ παντὶ τῷ σ ὑπάρχειν, τινὶ ὑπάρχει. τὸ γὰρ οὐ πᾶς ταὐτόν ἐστι τῷ τὶς

ληπτέον δὲ ὅρους τὸ μ τὸ ζῷον ἢ τὸ λογικόν· ὡς τὸ ν τὸν ἄνθρωπον· καὶ ὡς τὸ ξ τὸ ἔμψυχον. εἰ δὲ τὸ μ ἐστὶν οὐδενὶ τῷ ν· οὐ παντὶ δὲ τῷ ξ, συλλογισμὸς οὐκ ἔσται· συνάγεται γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενί· καὶ λαβὼν ὅρους· ζῷον· χιών· μέλαν, συνάξεις τὸ μηδενί· οὐχ εὑρήσεις δὲ ὅρους δι' ὧν συνάξεις τὸ παντί. διότι ὁ λέγων τὸ μ οὐ παντὶ ὑπάρχει τῷ ξ, συνάγει ὅτι τὸ μ ὑπάρχει καὶ τινὶ τῷ ξ· ἔμαθες γὰρ τὸ οὐ πᾶς ἰσοδυναμεῖν τῷ τινί, ἐπὶ τῆς ἐνδεχομένης ὕλης. εἰ δὲ λέγει τις δυνατὸν εἶναι ἀπὸ τῆς οὐδεὶς καὶ οὐ πᾶς συναχθῆναι συμπέρασμα· ὅτι τὸ ν παντὶ τῷ ξ, ἔστω· ἐπεὶ καὶ τὸ μ οὐδενὶ τῷ ν ἐστί· τὸ δὲ ν παντὶ τῷ ξ, κατὰ σὲ ἔσται καὶ τὸ μ οὐδενὶ τῷ ξ· ἀλλ' ὑπέκειτο τὸ μ τινὶ τῷ ξ· ἰσοδυναμεῖ γὰρ καὶ ἡ οὐ πᾶς τῇ τὶς ἐπὶ τῆς ἐνδεχομένης ὕλης· ἀλλ' ἐπεὶ ἀδιόριστός ἐστιν ἡ οὐ πᾶς καὶ ἐπὶ τῆς ἀδυνάτου ὕλης· ἡ οὐ πᾶς, ἀληθεύει διὰ τὴν οὐδείς· ἰσοδυναμεῖ γὰρ ταύτῃ ἐπὶ ταύτης τῆς ὕλης. ὁ γὰρ λέγων τὸ πτερωτὸν οὐ παντὶ ἀνθρώπῳ· οὐκ ἄλλο τι λέγει, ἀλλ' ἢ οὐδενί· καὶ ἐπεὶ ὡς εἴπομεν ἀληθεύει τὸ λέγειν· τὸ μ οὐ παντὶ ὑπάρχει τῷ ξ· καὶ ἂν μηδενὶ ὑπάρχει· ἤγουν ἀντὶ τῆς οὐδεὶς λαμβανόμενον, ἐὰν λάβῃς ὅρους ἀπὸ τῆς ἀδυνάτου ὕλης· ἐν ᾗ ἡ οὐ πᾶς ἰσοδυναμεῖ τῇ οὐδείς, ἔχεις δὲ καὶ τὴν μείζονα πρότασιν οὐδείς. ἀπὸ τῆς οὐδεὶς καὶ οὐδείς, συλλογισμὸς ὅπου οὐκ ἐγένετο· καὶ λοιπὸν οὐδὲ νῦν γενήσεται· ληπτέον ὅρους δι' ὧν συνάξεις τὸ παντί· ζῷον ἄψυχον λίθος· τὸ γὰρ λέγειν τὸ ζῷον οὐ παντὶ λίθῳ, ταυτόν ἐστι τῷ οὐδενί. εἰ δὲ τὸ μ κατὰ παντὸς τοῦ ν κατηγορεῖται· τινὶ δὲ τῷ ξ ὑπάρχει συλλογισμὸς οὐδ' οὕτως ἔσται· συνάγεται γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενί· καὶ τὸ μὲν μηδενὶ συνάξεις λαβὼν ὅρους λευκὸν κύκνος καὶ λίθος· οὐκ ἔστι δὲ λαβεῖν ὅρους δι' ὧν συνάξεις καὶ τὸ παντὶ διὰ τὴν αὐτὴν αἰτίαν ἣν καὶ πρότερον εἴπομεν· ὡς γὰρ ἡ οὐ πᾶς ἰσοδυναμεῖ τῇ τὶς καὶ τῇ οὐδείς, οὕτω καὶ ἡ τὶς ἰσοδυναμεῖ ἐπὶ τῆς ἐνδεχομένης ὕλης τῇ οὐ πᾶς. τὸ γὰρ λέγειν τὸ λευκὸν τινὶ κύκνῳ, ταυτόν ἐστι τῷ λέγειν οὐ παντὶ κύκνῳ· ἐπὶ δὲ τῆς ἀναγκαίας ὕλης ἀληθεύει διὰ τὴν πᾶς καὶ ἰσοδυναμεῖ ταύτῃ· ὁ λέγων γὰρ τὸ ἀναπνεῖν ὑπάρχει τινὶ κύκνῳ, ἀληθεύει διὰ τὸ πάντας κύκνους ἐξ ἀνάγκης ἀναπνεῖν· εἰ γὰρ πάντες ἀναπνέουσιν, ἀνάγκη καὶ τινάς· εἰ δὲ τις λέγει δυνατὸν εἶναι ἀπὸ τῆς πᾶς καὶ τὶς συμπεράνασθαι ὅτι τὸ ν παντὶ τῷ ξ, ἔστω· καὶ ἐπεὶ τὸ μ παντὶ τῷ ν· τὸ ν παντὶ τῷ ξ κατὰ σέ· καὶ τὸ μ ἄρα παντὶ τῷ ξ· ἀλλ' ὑπέκειτο τὸ μ καὶ παντὶ τῷ ξ· ἡ γὰρ τὶς ἰσοδυναμεῖ τῇ οὐ πᾶς ὡς εἴπομεν. οὐκ ἄρα δυνατὸν τὸ παντὶ συναχθῆναι συμπέρασμα· ἀλλ' ἀδύνατον τί ἐστ' αὐτοῦ ἔπεται· ἀλλ' ἐκ τῆς ἀδιορίστου δειχθήσεται ἀσυλλόγιστον· ἐπεὶ γὰρ ἡ τὶς ἀδιόριστός ἐστι, καὶ ποτὲ μὲν ἰσοδυναμεῖ τῇ οὐ πᾶς ἐπὶ τῆς ἐνδεχομένης ὕλης· ποτὲ δὲ τῇ πᾶς ὡς ἐπὶ τῆς ἀναγκαίας ὕλης, ἐὰν λάβῃς ὅρους ἐν οἷς ἡ τὶς ἀντὶ τῆς πᾶς ἔσται, συλλογισμὸς οὐκ ἔσται· δέδεικται γὰρ πρότερον μὴ γίνεσθαι συλλογισμὸν ἀπὸ τῆς πᾶς καὶ πᾶς· λάβε τὸ μ οὐσία· τὸ ν ζῷον· καὶ τὸ ξ κύκνον· ὁ γοῦν λέγων τὴν οὐσίαν τινὶ κύκνῳ ὑπάρχει, πάντας κύκνους λέγει τὴν οὐσίαν εἶναι. ἀλλ' οὐδ' εἰ τὸ μ ὑπάρχει τινὶ τῷ ν καὶ τινὶ τῷ ξ ἔσται συλλογισμός· ἢ μὴ ὑπάρχει· ἤγουν μὴ τινί. εἰ τὸ μ οὐ τινὶ τῷ ν· τὸ μ οὐ τινὶ τῷ ξ· ἢ τὸ μὲν μ ὑπάρχει τινὶ τῷ ν, τῷ δὲ ξ μή· ἤγουν οὐ παντί· ἢ τοὐναντίον· ἢ μηδετέρῳ παντί· ὅταν τὸ μ οὐ παντὶ ὑπάρχει τῷ ν, καὶ οὐ παντὶ τῷ ξ· ἢ ἀδιορίστως· ὡς ἄν τις εἴποι· τὸ μ ὑπάρχειν τῷ ν· καὶ ὑπάρχειν τῷ ξ· ἢ τὸ μ οὐχ ὑπάρχειν τῷ ν καὶ οὐχ ὑπάρχειν τῷ ξ· ἀεὶ ἐν ὑπάρξει τοῖς ὅροις ἐξ ἀνάγκης ὡς ἐπὶ τῆς ἀντιστροφῆς· οἱ γὰρ ὅροι οἱ ληφθέντες ἐν ταῖς κειμέναις προτάσεσιν, ἐκεῖσε λαμβάνονται καὶ ἐπὶ τῆς ἀντιστροφῆς· μόνης τῆς τάξεως ἐναλλαττομένης. ὁ γὰρ ὑποκείμενος γίνεται κατηγορούμενος· καὶ ὁ κατηγορούμενος γίνεται ὑποκείμενος. ἢ τίθεται τὸ προσλαμβανόμενον ὡς ὑπόθεσις. ὡς ἐπὶ τοῦ ἀδυνάτου ἀπαγωγῆς· συναχθέντος γὰρ συμπεράσματος τοῦ οὐ παντὶ, μὴ προστίθεται μὴ καλῶς συναχθῆναι, λαμβάνομεν τὸν λόγον τοῦ ἀντικειμένου ἐν τῷ γένει τῆς τὸ παντί.

Ἀρχὴ τοῦ γʹ σχήματος.

Εἰ μὲν ὁ μέσος ὅρος κατηγορεῖται κατ' ἀμφοτέρων τῶν ἄκρων, γίνεται τὸ δεύτερον σχῆμα· καὶ ὁμοιοσχήμονες τῆς μέσης τῶν προτάσεων· ἐὰν δὲ τῷ αὐτῷ ἤγουν τῷ μέσῳ· τὸ μὲν τῶν ἄκρων παντὶ ὑπάρχει, τὸ δὲ μηδενί, ἢ ἄμφω τὰ ἄκρα παντὶ τῷ μέσῳ ὑπάρχουσιν ἢ μηδενί, γίνεται τὸ γʹ σχῆμα· ἐν τούτῳ δὲ ἔμξει καὶ τῶν συλλογισμῶν συλλογισμοὺς καὶ τῶν ἀσυλλογίστοις. ὡς ἐν τοῖς ἔμπροσθεν καθαρῶς διακεῖσθαι· ἐν αὐτῷ δὲ τῷ γʹ σχήματι, μέσον λέγει τὸ σ· καθ' οὗ τὰ ἄκρα ἄμφω ἤγουν τὸ π καὶ τὸ ρ κατηγοροῦνται· ἄκρα δὲ λάβε τὸ π καὶ τὸ ρ ἃ καὶ κατηγοροῦνται· μεῖζον δὲ ἄκρον· τὸ πορρώτερον τοῦ μέσου· ἤγουν τὸ π· ὁ πορρώτερον τοῦ μέσου λέγεται εἶναι, ὡς μὴ τηρῶν τὸ ἴδιον τοῦ μέσου· ἴδιον γάρ ἐστι τοῦ μέσου, τὸ ὑποκεῖσθαι ἀμφοτέροις τοῖς ἄκροις· τὸ δὲ π κατηγορεῖται μόνως· καὶ γὰρ καὶ τοῦ σ κατηγορεῖται, καὶ τοῦ ρ ἐν τῷ συμπεράσματι. ἔλαττον δὲ ἄκρον τὸ ἐγγίζον τῷ μέσῳ· ἐγγίζει δὲ τῷ μέσῳ, ὡς τηρῶν τὸ ἴδιον αὐτοῦ· ἤγουν τὸ ὑποκεῖσθαι· εἰ γὰρ καὶ τὸ ρ κατηγορεῖται καὶ τοῦ σ, ἀλλ' ἐν τῷ συμπεράσματι ὑπόκειται τῷ π. τίθεται δὲ τὸ μέσον ἐν τῇ καταγραφῇ ἔξω μὲν τῶν ἄκρων, ὡς μὴ μέσον αὐτῶν καὶ ἔσχατον δὲ ὡς ὑποκείμενον ἀμφοτέροις τοῖς ἄκροις. ὅταν τὸ π καὶ τὸ ρ παντὶ τῷ σ ὑπάρχει· ληπτέον δὲ τὸ π ζῷον· τὸ ρ οὐσία· καὶ τὸ σ ἄνθρωπος· συναχθήσεται συμπέρασμα ὅτι τὸ ζῷον τινὶ οὐσίᾳ. ὅτι δὲ καλῶς συνήχθη τὸ τὶς δειχθήσεται ἢ ἀντιστροφῇ, ἀντιστραφείσης τῆς ἐλάττονος προτάσεως· εἰ γὰρ ἡ οὐσία παντὶ ἀνθρώπῳ, καὶ ὁ ἄνθρωπός τινι οὐσίᾳ· καὶ ἐπεὶ ὁ ἄνθρωπός τινι οὐσίᾳ· τὸ δὲ ζῷον παντὶ ἀνθρώπῳ ὑπάρχει, γίνεται ὁ πρῶτος τρόπος τοῦ αʹ σχήματος· συνάγων ὅτι τὸ ζῷον τινὶ οὐσίᾳ ὑπάρχει· δειχθήσεται καὶ διὰ τῆς εἰς ἀδύνατον

ἀντιστροφῶν. μέλλων δὲ ἀντιστροφὴν ποιῆσαι, τὸ μὲν πᾶς ἀντιστρέψαι οὐ δύναται. διὰ τὸ τὸ πᾶς ἀντιστρέφειν πρὸς τὴν μερικὴν καταφατικήν. οὐδέποτε δὲ γίνεται συλλογισμὸς τῆς μείζονος οὔσης μερικῆς. τῆς δὲ ἐλάττονος καθόλου. ἀνάγκη ἄρα ἀντιστρέψαι τὴν ἐλάττονα καὶ εἰπεῖν. εἰ τὸ ζῶον οὐδενὶ λίθῳ, καὶ ὁ λίθος οὐδενὶ ζώῳ. τὸ ζῶον παντὶ κυνί, καὶ ὁ λίθος ἄρα οὐδενὶ κυνί. ἀλλ' ἐπεὶ οὐ προέκειτο δεῖξαι τὸν λίθον οὐδενὶ κυνὶ εἶναι, ἀντιστρέψον τὸ συμπέρασμα καὶ εἰπέ. εἰ ὁ λίθος οὐδενὶ κυνὶ συνήχθη δι' ἀντιστροφῆς, καὶ ὁ κύων ἄρα ἔσται οὐδενὶ λίθῳ. ἡ γὰρ οὐδεὶς ἀντιστρέφει πρὸς ἑαυτήν. ὥστε ἔσται διὰ τῆς ἀντιστροφῆς ὁ αὐτὸς συλλογισμὸς γενόμενος. ἤγουν ὁ β' τρόπος τοῦ α' σχήματος. δείκνυται καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, οὕτως. εἰ ψεῦδος ἐστὶν ὁ συμπέρασμα ὅτι ὁ κύων οὐδενὶ λίθῳ, ἀληθεύσει ὁ λέγων ὅτι ὁ ἄνθρωπός τινι λίθῳ. ἐπὶ παντὸς γὰρ τῶν ἀντικειμένων ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύει. ἔχει τὸ δὲ καὶ τὸ ζῶον παντὶ κυνί. καὶ γίνεται ὁ τρίτος τρόπος τοῦ α' σχήματος, συνάγων συμπέρασμα ὅτι τὸ ζῶόν τινι λίθῳ ἐστίν. ἀλλ' ἦν καὶ οὐδενὶ λίθῳ. πόθεν οὖν τὸ ἀδύνατον τοῦτο συνάχθη τὸ τὸ ζῶον καὶ τινὶ λίθῳ εἶναι καὶ οὐδενί. ἢ πάντως ἀπὸ μιᾶς τῶν δύο τούτων προτάσεων. ἀλλ' ἡ μὲν μία ἡ τὸ ζῶον παντὶ κυνὶ εἶναι λέγουσα, ἔστιν ἀληθής. λείπεται ἄρα τὴν ὑπόθεσιν εἶναι ψευδῆ, τὸ, ὁ κύων τινὶ λίθῳ. ἐκ ταύτης γὰρ συνήχθη καὶ τὸ ἀδύνατον. καὶ ἐπεὶ ἐκ τῆς ὑποθέσεως ἀδύνατόν τι συνήχθη, ἀληθεύει ἄρα τὸ οὐδενί. ἔστι δὲ δεικνύναι αὐτά. ἤγουν τὸν α' καὶ β' τρόπον τοῦ δευτέρου σχήματος, καὶ εἰς τὸ ἀδύνατον ἀπάγοντας. ἤγουν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἀγαθὸν οὕτω ληφθῶσιν οἱ ὅροι ὥστε τὸν μὲν μέσον κατὰ παντὸς κατηγορεῖσθαι τοῦ ἑνὸς ἄκρου. τοῦ δὲ ἑτέρου ἄκρου κατὰ μηδενός. τουτέστιν ἀληφθῶσι δύο προτάσεις καθόλου σχήματος μόνον ἐν δευτέρῳ σχήματι, οὐ γίνεται συλλογισμὸς τέλειος. ἐπιτελεῖται δὲ ἤγουν τελειοῦται τὸ ἀναγκαῖον τουτέστι τὸ συμπέρασμα. οὐ μόνον ἐκ τῶν ἐξ ἀρχῆς ληφθεισῶν προτάσεων, ἀλλὰ καὶ ἐξ ἄλλων. ἤγουν ἐκ τῆς ἀντιστροφῆς καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἐκ τούτου τοῦ ῥητοῦ ἑρμηνεύσεις καὶ τὸ ἐξ ἀρχῆς τῶν τριῶν σχημάτων ῥηθέν. τὸ, ἁπλῶς δὲ λέγω συλλογισμόν, τὸν προσδεόμενον ἑνὸς ἢ πλειόνων. οὐ μόνον γὰρ νοεῖται ὡς ἡρμηνεύεται, ἔμπροσθεν. τὸ μὲν ἑνὸς ἀντὶ μιᾶς ἀντιστροφῆς νοηθέν. τὸ δὲ πλειόνων ἀντὶ δύο ἀντιστροφῶν, ἀλλὰ νοεῖται καὶ οὕτως. τὸν προσδεόμενον ἑνὸς ἤγουν μιᾶς ἀντιστροφῆς καὶ πλειόνων. ἤγουν δύο ἀντιστροφῶν. καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰς πλείστην τοῦ συλλογισμοῦ. εἰκότως τὴν οὐσίαν κατηγόρησε τοῦ ἀριθμοῦ ὁ Ἀριστοτέλης, πυθαγορικῇ δόξῃ ἑπόμενος. εἰ γὰρ καὶ ὁ ἀριθμὸς οὐσία οὐκ ἔστιν ἀλλὰ ποσόν, ἀλλ' ἅγε πυθαγόρειοι οὐσίας ἔλεγον εἶναι τοὺς ἀριθμούς. καὶ τὴν μὲν μονάδα, ἣν ἔλεγον ἔχειν τοῦ εἴδους οὐσίας οὔσης. ὡς γὰρ ἡ μονὰς ἀμερής ἐστι καὶ ἀδιαίρετος, οὕτω καὶ τὸ εἶδος αὐτὸ καθ' ἑαυτό, ἀμερές ἐστι καὶ ἀδιαίρετον τῇ ἑαυτοῦ φύσει. εἰ δὲ καὶ διαιρεῖσθαι δοκεῖ καὶ μεμερισμένον, ἀλλὰ διὰ τὴν ὕλην ἔχει τὸ μεριστὸν καὶ τὸ διαιρετόν. τῆς γὰρ ὕλης ἐστὶ τὸ διαιρεῖσθαι καὶ τὸ μερίζεσθαι οὐχὶ τοῦ εἴδους. εἶδος δὲ ἐστίν, ὁ ὁρισμὸς ἑκάστου. τοῦ μὲν πυρὸς ὁρισμός, τὸ, οὐσία θερμὴ καὶ ξηρά. τοῦ δὲ ὕδατος οὐσία ὑγρὰ καὶ ψυχρά. τοῦ ἀέρος οὐσία θερμὴ καὶ ὑγρά. τῆς γῆς οὐσία ψυχρὰ καὶ ξηρά. τοῦ ἀνθρώπου τὸ ζῶον λογικὸν θνητόν. τὴν δὲ δυάδα ἥν ἔλεγον ἔχειν τῆς ὕλης. ὡς γὰρ ἡ δυὰς α' τῶν ἀριθμῶν, διαιρεῖται εἰς β' μονάδας καὶ μερίζεται ἀλλὰ καὶ πᾶσα διαίρεσις κατὰ διχοτομίαν γενομένη εἰς ἄπειρον προβαίνει, οὕτω καὶ ἡ ὕλη οὐσία οὖσα τὸ διαιρετὸν ἔχει καὶ μεριστὸν καὶ ἐπ' ἄπειρα τέμνεσθαι. τὴν δὲ τριάδα ἔλεγον ἔχειν ἐκείνου τοῦ σώματος οὐσίας ὄντος. διαιρεῖται γὰρ καὶ τοῦτο εἰς γ'. πλάτος. μῆκος. καὶ βάθος. φανερὸν οὖν ὅτι ἐν τῷ β' σχήματι ἐὰν μέλλῃ γενέσθαι συλλογισμὸς καθόλου ὄντων τῶν ὅρων ἤγουν τοῦ μέσου καθόλου κατηγορουμένου κατὰ τῶν δύο ἄκρων, ἀνάγκη καὶ τοὺς ὅρους ἔχειν ὡς εἴπομεν. ὡς τὸν μέσον τοῦ μὲν ἑνὸς ἄκρου κατὰ παντὸς κατηγορεῖσθαι. τοῦ δὲ ἑτέρου κατὰ μηδενός. ἄλλως δὲ ἐχόντων τῶν ὅρων, ἤγουν ἐὰν ὁ μέσος κατὰ τῶν δύο ἄκρων κατηγορῆται κατὰ παντὸς ἢ κατὰ μηδενός, οὐ γίνεται τὸ ἀναγκαῖον. ἤγουν συμπέρασμα, οὐ συνάγεται οὐδὲ συλλογισμὸς γίνεται. ὅταν δὲ ὁ μέσος ὅρος ἤγουν τὸ μ' κατὰ παντὸς κατηγορῆται τοῦ ν' ἢ κατὰ μηδενός. ὁ δὲ μέσος κατηγορῆται κατὰ τοῦ ἐλάττονος ἄκρου τοῦ ξ' μερικῶς καὶ ἀντικειμένως τῇ καθόλου προτάσει ἤγουν εἰ μὲν ἡ καθόλου πρότασις ἐστὶ στερητική, ληπτέον τὴν ἐλάττονα πρότασιν, μερικὴν καταφατικήν. εἰ δὲ κατηγορικὴ ἐστὶν ἡ καθόλου πρότασις, ληπτέον τὴν ἐλάττονα πρότασιν μερικὴν στερητικήν. οὕτω γὰρ ἐχόντων τῶν ὅρων. ἀνάγκη γίνεσθαι συλλογισμὸν συνάγοντα τὸ συμπέρασμα, τὸ κατὰ μέρος στερητικόν. ἤγουν τὸ οὐ παντί. εἰ δὲ τὸ μ' ἤγουν τὸ λογικὸν παντὶ ὑπάρχει τῷ ν' ἤγουν τῷ ἀνθρώπῳ. οὐ παντὶ δὲ ὑπάρχει τῷ ξ' ἤγουν τῷ ἐμψύχῳ, συναχθήσεται συμπέρασμα. ὅτι ὁ ἄνθρωπος. οὐ παντὶ ὑπάρχει τῷ ξ' τῷ ἐμψύχῳ. εἰ γὰρ ψεῦδός ἐστι τὸ οὐ παντί, ἀληθεύσει τὸ παντί. ἔχομεν δὲ καὶ τὸ μ' κατὰ παντὸς τοῦ ν' καὶ συμπερανθήσεται ὅτι τὸ μ' παντὶ ὑπάρχει τῷ ξ'. ὑπέκειτο δὲ τὸ μ' οὐ παντὶ ὑπάρχειν τῷ ξ'. καὶ ἐπεὶ ἀδύνατόν τι συνάγεται ἀπὸ τοῦ λέγειν σε τὸν ἄνθρωπον παντὶ ἐμψύχῳ. ἀληθὲς ἄρα τὸ οὐ παντί. καὶ διὰ μὲν τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οὕτω δείκνυται. διὰ δὲ τῆς ἀντιστροφῆς, οὐ δυνατὸν δειχθῆναι. εἰ γὰρ ἀντιστραφήσεται ἡ πᾶς εἰς τὴν τίς, γίνονται καὶ αἱ δύο προτάσεις μερικαί. ἤγουν τὶς καὶ οὐ πᾶς. ἀπὸ δὲ δύο μερικῶν, συλλογισμὸς οὐ γίνεται. ἀλλ' οὐδὲ τὴν οὐ πᾶς δυνατὸν ἀντιστραφῆναι. ἔμαθες γὰρ αἱ τῶν μὴ ὡρισμένας ἀντιστρέφειν. ἀλλ' ἐπὶ μὲν τῆς ἀδυνάτου ὕλης, εἰς τὴν οὐδεὶς ἀντιστρέφειν. ἐπὶ δὲ τῆς ἀναγκαίας, εἰς τὴν πᾶς. ἐπὶ δὲ τῆς ἐνδεχομένης πρὸς ἑαυτὴν καὶ πρὸς τὴν τίς. τὸ δὲ εἰ τὸ μ' τῷ μὲν ν' παντὶ ὑπάρχει. τῷ δὲ ξ' μὴ παντί, δοκεῖ μὲν περισσὸν εἰρῆσθαι διὰ τὸ ἄνωθεν εἰρῆσθαι. εἰ δέ τις πρὸς ἀκρίβειαν ἀπίδοι, οὐ περιττὸν εὑρήσει τοῦτο κείμενον. διότι τὸ παντὶ καὶ τὸ οὐ τινὶ εἰ καὶ ταὐτὸν σημαίνουσιν, ἀλλὰ τῇ προφορᾷ ἕτερά εἰσι καὶ διὰ τοῦτο θεὶς ἄνωθεν τὸν συλλογισμὸν τὸν ἐκ τοῦ οὐ παντὶ καὶ τοῦ οὐ τινὶ παρακατιὼν τίθησι καὶ συλλογισμόν, ἐκ τοῦ οὐ παντὶ καὶ τοῦ παντί. ἀπόδειξις δὲ αὐτῶν ἐστὶν ἡ αὐτὴ ἤγουν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.

ἐλάττων πρότασις οὐ παντὶ ἰσοδυναμοῦσα τῇ οὐδενὶ, νῦν διδάσκει ὅτι καὶ ἂν ἡ μείζων πρότασις ληφθῇ καθόλου στερητική. ἡ δὲ ἐλάττων πρότασις οὐ παντὶ ἰσοδυναμοῦσα τῇ οὐδενὶ, συλλογισμὸς οὐκ ἔσται. διαστήματα λέγει τὰς προτάσεις, μιμούμενος τοὺς γεωμέτρας. ὥσπερ γὰρ οἱ γεωμέτραι τὰ μὲν σημεῖα ὡς ἁπλᾶ καὶ ἀμερῆ καλοῦσιν ὅρους. τὰς δὲ γραμμὰς τὰς κατὰ μῆκος διάστασιν ἐχούσας, καὶ ὑπὸ δύο σημείων περατουμένας, καλοῦσι διαστήματα. τὸ δὲ τρίγωνον καὶ τὸ τετράγωνον καὶ τὰ λοιπὰ σχήματα τὰ ἐκ τῶν γραμμῶν συγκείμενα καλοῦσι σχήματα, οὕτω καὶ οὗτος. τὰ μὲν ὑποκείμενα καὶ κατηγορούμενα ὡς ἀνάλυτα, καλεῖ ὅρους. τὰς δὲ προτάσεις τὰς ἐκ τούτων συγκειμένας καὶ περιοριζομένας ὑπ᾽ αὐτῶν καλεῖ διαστήματα. τοὺς δὲ συλλογισμοὺς τοὺς ἐκ τῶν προτάσεων συγκειμένους, καλεῖ σχήματα. ὡς ἐὰν ἡ συλλογισμὸς ἐν τούτῳ τῷ σχήματι κατὰ μέρος θέλωσιν ἔχειν οἱ ὅροι οὕτως ἤγουν αἱ προτάσεις. ἡ μὲν μείζων ὀφείλει εἶναι καθόλου καταφατικὴ ἢ ἀποφατική. ἡ δὲ ἐλάττων μερικὴ καταφατική. εἰ δὲ ἀποφατικὴ ληφθείη μερική, ἐν τούτῳ τῷ αʹ σχήματι συλλογισμὸς οὐκ ἔσται. ἐν δὲ τῷ βʹ σχήματι γίνεται συλλογισμός. καὶ τῆς ἐλάττονος οὔσης μερικῆς ἀποφατικῆς. διὰ γὰρ τοῦτο εἶπεν ἐν τούτῳ τῷ σχήματι. εἰσὶ δὲ οἱ ἐν τῷ αʹ σχήματι τέλειοι. πάντες γὰρ αὐτόθεν πληροῦνται καὶ τὸ ἀξιόπιστον ἔχουσι, διὰ τῶν ἐξ ἀρχῆς ληφθεισῶν προτάσεων. καὶ οὐ δέονται ἑτέρων προτάσεων ἔξωθεν, πρὸς βεβαίωσιν τοῦ συμπεράσματος. λαμβάνων γὰρ τὸν ὁρισμὸν τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός, ἀπέδειξας τὸ συμπέρασμα. σημείωσαι δὲ ὅτι τοὺς μερικοὺς συλλογισμοὺς οὓς λέγει ἐνταῦθα τελείους ἐν τῷ τέλει τῶν τριῶν σχημάτων, μέλλει δεῖξαι ἀτελεῖς. προβλήματα λέγει, τὸ παντὶ καὶ μηδενί. καὶ τὸ τινὶ καὶ τὸ οὐ παντί. καὶ γὰρ ὁ μὲν αʹ τρόπος, συνάγει τὸ παντί. ὁ βʹ τὸ μηδενί. ὁ γʹ τὸ τινί. καὶ ὁ δʹ τὸ οὐ παντί.

ΣΧΗΜΑ. Βʹ.

Εἰ μὲν ὁ μέσος ὅρος περιέχεται ὑπὸ τοῦ μείζονος ὅρου καὶ περιέχει τὸν ἐλάττονα ὅτι καὶ κυρίως μέσος λέγεται καὶ αἴτιος τῶν δύο ἄκρων. συνδρομῆς τε καὶ συνελεύσεως ἤγουν τοῦ συμπεράσματος, γίνεται τὸ αʹ σχῆμα. ὅταν δὲ τὸ αὐτὸ ἤγουν τὸ μέσον κατηγορῆται κατὰ παντὸς τοῦ ἑνὸς ἄκρου. κατὰ δὲ μηδενὸς τοῦ ἑτέρου ἐνταῦθα ἐδήλωσε τοὺς συλλελογισμένους συλλογισμούς. τοὺς ἐν βʹ σχήματι. συλλογισμὸς γὰρ γίνεται ἐν δευτέρῳ σχήματι, ὅταν αἱ βʹ προτάσεις ληφθῶσιν ἀνομοιοσχήμονες ἤγουν ἡ μία παντί. ἡ δὲ ἑτέρα μηδενί εἴτε ἐν τῇ ἐλάττονι προτάσει κεῖται τὸ οὐδενὶ εἴτε ἐν τῇ μείζονι. ἢ ὅταν τὸ μέσον κατηγορῆται ἑκατέρου τῶν ἄκρων. ἤγουν κατὰ τῶν δύο ἄκρων κατὰ παντὸς ἢ κατὰ μηδενός. Ἐνταῦθα ἐδήλωσε τοὺς ἀσυλλογίστους συλλογισμούς. ἐὰν γὰρ δύο προτάσεις ληφθῶσιν ὁμοιοσχήμονες ἤγουν πᾶς πᾶς. ἢ οὐδεὶς οὐδείς, συλλογισμὸς οὐ γίνεται. μέσον δὲ λέγει τὸ κατηγορούμενον κατὰ ἀμφοτέρων τῶν ἄκρων. ἄκρα δὲ λέγει τὰ ὑποκείμενα καθ᾽ ὧν κατηγορεῖται τοῦτο τὸ μέσον. ἤγουν τὸ ν καὶ τὸ ξ. μεῖζον δὲ ἄκρον τὸ πρὸς τῷ μέσῳ κείμενον, ἤγουν τὸ ἐγγίζον τῷ μέσῳ. τουτέστι τὸ ἔχον τὸ ἴδιον τοῦ μέσου. ἴδιον δέ ἐστιν ἐν βʹ σχήματι, τὸ κατηγορεῖσθαι δίς. ἐπεὶ καὶ τὸ ν δὲ εἰσάγεται ἐν τῷ τοῦ συμπεράσματος κατηγορούμενον κατὰ τοῦ ξ, ἐγγίζον λέγεται τῷ μέσῳ. ἔλαττον δὲ ἄκρον τὸ πορρωτέρω τοῦ μέσου κείμενον ἤγουν τὸ ἀεὶ ὑποκείμενον. τίθεται δὲ τὸ μέσον, ἔξω μὲν τῶν ἄκρων. ἤγουν ὑπεραίρει καὶ ὑπερκείμενον τῶν ἄκρων. ἐν δὲ κατὰ τὴν θέσιν καὶ τὴν καταγραφήν. Ἰστέον ὅτι τέλειος ἐν τούτῳ τῷ σχήματι συλλογισμὸς οὐκ ἔστι. δύνανται δὲ τελειωθῆναι διὰ τῆς ἀντιστροφῆς. καὶ καθόλου τῶν ὅρων ὄντων. ἤγουν κἂν καθόλου καὶ αἱ δύο προτάσεις ληφθῶσιν. ὅτι καὶ καθόλου συνάγεται τὸ συμπέρασμα. κἂν μὴ καθόλου καὶ αἱ δύο προτάσεις ληφθῶσιν. ἀλλ᾽ ἡ μία καθόλου. ἡ δὲ ἑτέρα μερική. ὅτι καὶ μερικὸν συνάγεται τὸ συμπέρασμα ὡς ἐπὶ τῶν μερικῶν συλλογισμῶν. κἂν καὶ πρὸς ὁποτέρῳ οὖν τεθῇ τὸ στερητικὸν ἤγουν εἴτε ἡ μείζων ἐστὶν οὐδενί. ἡ δὲ ἐλάττων παντί. εἴτε τοὐναντίον. καὶ ὁ μὲν ἐκτίθεται τὸ ἀπὸ τοῦ οὐδεὶς καὶ πᾶς συλλογισμόν. ὃν καλεῖ πρῶτον τρόπον, διὰ τὸ καὶ διὰ μιᾶς ἀντιστροφῆς πληροῦσθαι, καί φησιν. εἰ τὸ μ ἤγουν τὸ ζῷον κατηγορεῖται κατ᾽ οὐδενὸς τοῦ ν ἤγουν τοῦ λίθου. κατὰ παντὸς δὲ τοῦ ξ ἤγουν τοῦ κύκνου, συναχθήσεται συμπέρασμα ὅτι ὁ λίθος οὐδενὶ κύκνῳ. εἰ δὲ τις εἴποι καὶ πόθεν τοιοῦτον συνήχθη συμπέρασμα, χρήσασθαι τῇ ἀντιστροφῇ οὕτως. εἰ τὸ ζῷον οὐδενὶ λίθῳ. καὶ ὁ λίθος ἄρα οὐδενὶ ζῴῳ. ἀντιστρέφει γὰρ ἡ οὐδεὶς πρὸς ἑαυτήν. τὸ ζῷον παντὶ κύκνῳ, καὶ ὁ λίθος ἄρα οὐδενὶ κύκνῳ. πάλιν διὰ τῆς ἀντιστροφῆς, ὁ βʹ τρόπος τοῦ αʹ σχήματος γέγονε. δειχθήσεται δὲ καλῶς συναχθῆναι τὸ συμπέρασμα, καὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ ψεύδεται ὁ συνάγων ἀπὸ τοῦ οὐδεὶς πᾶς συμπέρασμα ὅτι ὁ λίθος οὐδενὶ κύκνῳ. ἐπεὶ δὲ τῶν ἀντιφατικῶς ἀντικειμένων ψευδομένης τῆς ἀποφάσεως ἀληθεύει ἡ κατάφασις, ἀληθεύσει ἄρα κατὰ τῶν ἀντικειμένων ὅτι ὁ λίθος τινὶ κύκνῳ ἐστίν. ἐλήφθη δὲ καὶ πρότασις ἀληθής, ὅτι τὸ ζῷον οὐδενὶ λίθῳ, καὶ γίνεται ὁ δʹ τρόπος τοῦ αʹ σχήματος συνάγων ὅτι τὸ ζῷον οὐ παντὶ κύκνῳ. ἀλλ᾽ ὑπέκειτο καὶ παντὶ κύκνῳ. πόθεν οὖν συνήχθη τὸ ἀδύνατον τοῦτο συμπέρασμα τὸ συνάγον τὸ ζῷον καὶ παντὶ κύκνῳ καὶ οὐ παντί. ἢ πάντως, ἀπὸ μιᾶς τῶν δύο προτάσεων. ἀλλ᾽ ἡ μὲν μία πρότασις ἡ τὸ ζῷον οὐδενὶ λίθῳ, ἀληθής ἐστιν. ἐξ ἀληθοῦς δὲ ὑποθέσεως, ἀδύνατόν τι οὐ συνάγεται. λείπεται ἄρα συναχθῆναι τὸ ἀδύνατον, ἀπὸ τοῦ λόγου τοῦ τεθειμένου τοῦ καὶ ὑποθεμένου τὸν λίθον τινὶ κύκνῳ εἶναι. καὶ ἐπεὶ ἀδύνατόν τι συνάγεται ἐκ τούτου. ψεύδεται ἄρα ὁ λέγων τὸν λίθον τινὶ κύκνῳ εἶναι. ἀληθεύει δὲ ὁ λέγων οὐδενὶ κύκνῳ εἶναι τὸν λίθον. ὥστε ἀδύνατος ἀπαγωγὴ γίνεται, ὅταν λάβῃς τὸ ἀντικείμενον τοῦ συναχθέντος συμπεράσματος, καὶ μίαν τῶν κειμένων προτάσεων καὶ συνάξῃς τὸ ἀντικείμενον τῇ ἑτέρᾳ ἀληθεῖ προτάσει. τοῦτο γὰρ διδάσκεται πρότερον τὸ ὅτι ἀπὸ τῆς οὐδεὶς καὶ πᾶς ἐν πρώτῳ σχήματι συνάγεται τὸ οὐδενί. πάλιν δὲ τὸ μ ἤγουν τὸ ζῷον κατὰ παντὸς τοῦ ν ἤγουν τοῦ κύκνου κατηγορεῖται. κατ᾽ οὐδενὸς δὲ τοῦ ξ ἤγουν τοῦ λίθου, συνάγεται συμπέρασμα ὅτι ὁ κύκνος οὐδενὶ λίθῳ. οὗτος ὁ συλλογισμός ἐστι δεύτερος τρόπος τοῦ βʹ σχήματος. διὰ τὸ πληροῦσθαι ἐκ δύο

σχήματος. σημείωσαι ὅτι ὁ συλλογισμὸς ὁ μερικὸς ὁ ἐκ τοῦ πᾶς καὶ τίς. ἢ ὁ ἐκ τοῦ οὐδεὶς καὶ τίς, τέλειος γίνεται. καὶ καθ' ὃν τρόπον εἴπομεν. ἤγουν καθὸ τὸ εἶδος τοῦ α' σχήματος τέλειον φυλάττει. ὃ δὲ καὶ ποιῶν ἁπλῶς τούτοις μέλλεις ἀπαντᾶν. διὰ τὸ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τελειοῦσθαι, ἀλλ' ἔτι καὶ τελείους αὐτοὺς ὀνομάζουσιν ἐκ τοῦ ὁρισμοῦ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός. εἰ γὰρ τὸ α' κατὰ παντὸς τοῦ β' ἐστί. τὸ δὲ β', οὐχὶ ὅλον περιέχει τὸ γ'. ἀλλὰ τὸ μέρος αὐτοῦ, διὰ τοῦτο καὶ τὸ α' τινὶ τῷ γ' συνάγεται. ὡς κατηγορούμενον κατὰ τοῦ μέρους τοῦ γ'. καθ' οὗ καὶ τὸ β' κατηγορεῖται. ὥστε λοιπὸν ἔχει καὶ οὗτος ὁ συλλογισμὸς, τὸ τέλειον. καὶ τὸ ἐν αὐτῷ συναγόμενον συμπέρασμα, ἀποδείξεως οὐ δεῖται. ὡσαύτως καὶ εἰ τὸ α' κατ' οὐδενὸς τοῦ β'. τὸ δὲ β' οὐχ ὅλον περιέχει τῷ γ'. ἀλλά τι μέρος, δηλονότι καὶ τὸ α' ἀπὸ τοῦ γ' μερικῶς ἀποφάσκεται ἤγουν οὐ παντί. ὥστε καὶ οὗτος ὁ συλλογισμὸς, τὸ συμπέρασμα βέβαιον ἔχει καὶ μὴ δεόμενον ἀποδείξεως. ὁ δὲ ἀριστοτέλης ἐν τῷ τέλει τῶν τριῶν σχημάτων, ἀνάγει καὶ αὐτοὺς, εἰς τὸν β' τρόπον τοῦ πρώτου σχήματος. καὶ δείκνυσι καὶ τὰ συμπεράσματα αὐτῶν ἔχοντα τὸ ἀξιόπιστον καὶ τὸ βέβαιον, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὅπερ μαθήσῃ ἐν τῷ τέλει τῶν τριῶν σχημάτων. ὁριστέον τί ἐστι τὸ κατὰ μηδενός. τὸ λογικὸν οὐδενὶ ἀλόγῳ. τὸ ἄλογόν τινι ζώῳ. καὶ τὸ λογικὸν ἄρα οὐ παντὶ ζώῳ. ἐνταῦθα τὸ ζῷον οὐχ ὅλον περιέχεται ἀπὸ τοῦ ἀλόγου. ὁ ἄνθρωπος γὰρ ζῷον μέν ἐστιν. ἄλογον δὲ οὔ. καὶ ἐπεὶ τὸ ἄλογον οὐχ ὅλον τὸ ζῷον περιέχει, διὰ τοῦτο καὶ τὸ λογικὸν οὐ παντὶ ζώῳ συνήχθη. καὶ ἐνταῦθα τῷ χείρονι τῶν προτάσεων ἠκολούθησε τὸ συμπέρασμα. ἡ γὰρ τίς ὡς μὲν καταφατικὸν, χείρων οὐκ ἔστιν. ὡς δὲ μερική, ἐστὶ χείρων τῆς καθόλου. ἡ δὲ οὐδεὶς ὡς μὲν καθόλου, οὐκ ἔστι χείρων. ὡς δὲ ἀνυπαρξίαν δηλοῦσα, ἔστι χείρων. καὶ διὰ τοῦτο συνήχθη τὸ συμπέρασμα οὐ παντί. ὅπερ τὸ μὲν μερικὸν ἔχει ἀπὸ τῆς ἐλάττονος προτάσεως. τὸ δὲ ἀνυπαρξίαν δηλοῦν ἔχει ἀπὸ τῆς μείζονος. ὥστε ἔσται συλλογισμὸς τέλειος. τὸ τέλειος νόει ὡς ἀνωτέρω εἴπομεν. ὁμοίως δὲ συλλογισμὸς γίνεται καὶ εἰ τὸ β' γ' λάβῃς ἀδιόριστον. ἤγουν μὴ ἔχον προσκείμενον τὸ τίς. μόνον δὲ ληπτέον τοῦτο κατηγορικόν. κατηγορικὸν δὲ λαμβάνεται τὸ ἀδιόριστον, εἰ οὕτως εἴπῃς. τὸ β' ὑπάρχει τῷ γ'. ὅπερ ταὐτόν ἐστιν ὅτι τὸ β' τινὶ τῷ γ' ὑπάρχει. αἱ γὰρ ἀπροσδιόριστοι προτάσεις, ἰσοδυναμοῦσι ταῖς μερικαῖς προτάσεσιν. εἰ δὲ εἴπῃς ὅτι τὸ β' οὐχ ὑπάρχει τῷ γ', τότε λέγεις ὅτι τὸ β' οὐ παντὶ ὑπάρχει τῷ γ'. ὥστε ὁ αὐτὸς συλλογισμὸς γενήσεται κἂν λάβῃς τὸ ἐν μέρει ἤγουν τὸ τίς καὶ εἴπῃς τὸ β' τινὶ τῷ γ'. κἂν τὸ β' γ' εἴπῃς ἀδιόριστον καὶ χωρὶς τοῦ τίς. οἷον ὅτι τὸ β' ὑπάρχει τῷ γ'. ἐὰν δὲ πρὸς τὸ ἔλαττον ἄκρον τὸ καθόλου τεθῇ. ἔλαττον ἄκρον, τὸ γ' ἐστί. καὶ ἐπεὶ ὑποκείμενον γίνεται τῆς ἐλάττονος προτάσεως. ἔλαττον ἄκρον νόει, τὴν ἐλάττονα πρότασιν. ὥσπερ τὸ α' μεῖζον ἄκρον ὂν, κατηγορεῖται τῆς μείζονος προτάσεως. καὶ ἀνάπαλιν αὖθις πρὸς τὸ μεῖζον ἄκρον, τὴν μείζονα πρότασιν νόει. εἰ γοῦν ἡ ἐλάττων πρότασίς ἐστι καθόλου καταφατική. ἢ στερητική. τῆς μείζονος προτάσεως οὔσης καταφατικῆς μερικῆς ἢ ἀποφατικῆς. ἢ ἀδιορίστου, ἀσυλλόγιστος ἐστι συλλογισμός. οἷον εἰ τὸ μὲν α' ὑπάρχει τινὶ τῷ β' ἢ μὴ ὑπάρχει ἤγουν οὐ παντὶ τῷ β'. τὸ δὲ β' ὑπάρχει παντὶ τῷ γ' ἢ μὴ ὑπάρχει ἤγουν οὐδενὶ τῷ γ', ἀσυλλόγιστος πάλιν. εἰ δὲ τὸ μὲν β' οὐδενὶ ὑπάρχει τῷ γ'. τὸ δὲ α' τινὶ τῷ β' ὑπάρχει. ἢ μὴ ὑπάρχει, ἤγουν μὴ τινὶ τῷ β' ἢ οὐ παντὶ, οὐκ ἔστι συλλογισμός. περὶ δὲ τοῦ μὴ τινὶ καὶ μὴ παντὶ, εἴπομεν ἐν τῇ ἀρχῇ τῶν τριῶν σχημάτων. Οὐδ' ὅταν τὸ μὲν πρὸς τῷ μείζονι ἄκρῳ καθόλου γένηται ἢ κατηγορικὸν ἢ στερητικόν. ἤγουν οὐδ' ὅταν ἡ μείζων πρότασις καθόλου καταφατικὴ ἢ στερητικὴ ᾖ. τὸ δὲ πρὸς τὸ ἔλαττον ἄκρον. ἤγουν ἡ δὲ ἐλάττων πρότασις στερητικὴ μερική, οὐκ ἔσται συλλογισμός. ἀδιορίστου καὶ ἐν μέρει ληφθέντος τοῦ β' γ'. εἴτε ἀδιόριστος ληφθείη ἡ ἐλάττων πρότασις, ἐν τῷ εἰπεῖν ὅτι τὸ β' οὐχ ὑπάρχει τῷ γ'. εἴτε ἐν μέρει. ἤγουν ὅτι τὸ β' οὐ παντὶ τῷ γ' ὑπάρχει. οὕτω γὰρ ληφθεισῶν τῶν προτάσεων τὸ τρίτον ᾧ τινι τὸ μέσον. ἤγουν τὸ β' τινὶ μὴ ὑπάρχει. ἤγουν οὐ παντὶ, τούτῳ τῷ γ' τὸ πρῶτον ἤγουν τὸ α', ἀκολουθήσει καὶ παντὶ καὶ οὐδενί. ἤγουν συνάξεις καὶ τὸ παντὶ καὶ οὐδενί. Εἰπὼν συλλογισμὸν μὴ γίνεσθαι εἰ τὸ β' γ' ἐστὶν οὐ παντί. ἡ δὲ α' β' παντὶ ἢ οὐδενὶ, ἐπεὶ εὑρίσκεται τὸ οὐ πᾶς δι' ἑαυτοῦ ἀληθεύουσαν ἐπὶ τῆς ἐνδεχομένης ὕλης ὅτι καὶ τῇ τίς ἰσοδυναμεῖ. τὸ γὰρ λέγειν τὸ λευκὸν οὐ παντὶ λίθῳ, ταὐτόν ἐστι τῷ λέγειν ὅτι τὸ λευκὸν τινὶ λίθῳ ἐστίν. ἐπὶ δὲ τῆς ἀδυνάτου ὕλης, εὑρίσκεται τὸ οὐ πᾶς ἰσοδυναμοῦσαν τῇ οὐδείς. καὶ διὰ τῆς οὐδεὶς ἀληθεύουσαν. τὸ γὰρ λέγειν ὅτι πτερωτὸν οὐ παντὶ λίθῳ, ταὐτόν ἐστι τῷ λέγειν τὸ πτερωτὸν οὐδενὶ λίθῳ. εἰ τὴν β' γ' πρότασιν. ἤγουν τὴν ἐλάττονα λάβῃς οὐ παντί. καὶ ὅρους ἀπὸ τῆς ἐνδεχομένης ὕλης. ἐν αἷς ἡ οὐ πᾶς, ἡ αὐτή, ἔσται τῇ τίς, συλλογισμὸς ἔσται. εἰ δὲ λάβῃς τὴν β' γ' οὐ παντί. καὶ ὅρους ἀπὸ τῆς ἀδυνάτου ὕλης. ἐν αἷς ἡ οὐ πᾶς ἰσοδυναμεῖ τῇ οὐδείς, συλλογισμὸς γενήσεται, διὰ τοῦτό φησιν. ἐπεὶ τὸ λέγειν τὸ β' μὴ τινὶ ἤγουν οὐ παντὶ ὑπάρχειν τῷ γ', ἀδιόριστόν ἐστι. καὶ γὰρ ἡ οὐ πᾶς ἀληθεύεται. καὶ εἰ μηδενὶ ὑπάρχει ἤγουν διὰ τῆς οὐδεὶς ὡς ἐπὶ τῆς ἀδυνάτου ὕλης ἀληθεύεται ἡ οὐ πᾶς. καὶ εἰ μὴ παντὶ καὶ ὅτι τινὶ οὐχ ὑπάρχει ἤγουν ἀληθεύεται ἡ οὐ πᾶς δι' ἑαυτῆς ἐπὶ τῆς ἐνδεχομένης ὕλης. ὅτι καὶ ἰσοδυναμεῖ τῇ τίς, εἰ μὲν λάβῃς ὅρους ἐπὶ τοῦ β' καὶ γ' ἐπὶ τῆς ἀδυνάτου ὕλης ὥστε τὸ οὐ παντὶ ὑπάρχειν ἰσοδυναμοῦν τῷ οὐδενὶ ὑπάρχειν, συλλογισμὸς οὐ γίνεται. εἴρηται γὰρ καὶ τοῦτο πρότερον ἐν οἷς ἐδιδάσκομεν περὶ τῶν καθόλου συλλογισμῶν ὅτι ἂν ἔχωσιν οἱ ὅροι οὕτως ἤγουν αἱ προτάσεις ὡς μὲν μείζων ἡ α' β' εἰ ἢ παντὶ ἢ οὐδενί. ἡ δὲ β' γ' οὐδενὶ, συλλογισμὸς οὐκ ἔσται. εἰ γὰρ ἐπ' ἐκείνων τῶν καθόλου συλλογισμῶν συλλογισμὸς ἐγίνετο ἀπὸ τῆς πᾶς καὶ οὐδείς, ἢ ἀπὸ τῆς οὐδεὶς καὶ οὐδείς, δῆλον ἂν καὶ ἐπὶ τούτων τῶν μερικῶν συλλογισμῶν, συλλογισμὸς ὅτε ἡ μείζων πρότασις ἐλήφθη καθόλου καταφατικὴ ἢ ἀποφατική, ἡ δὲ ἐλάττων πρότασις μερικὴ ἀποφατικὴ ἰσοδυναμοῦσα τῇ οὐδείς. Ὁμοίως δὲ δειχθήσεται, καὶ εἰ καθόλου τεθῇ στερητικόν. Δείξας ὅτι συλλογισμὸς οὐ γίνεται. εἰ ἡ μείζων πρότασις ληφθῇ παντί. ἡ δὲ

τρόπος, διὰ τὸ τὸ παντὶ ὡς ἀναγκαίαν ὕπαρξιν τιμιώτερον εἶναι τοῦ οὐδενὸς ἀνυπαρξίαν ἀναγκαίαν οὔσης. ἢ ὅτι τὸ μὲν παντὶ οἰκεῖόν ἐστι τῇ ἀποδείξει. ἀεὶ γὰρ ὁ ἀποδεικτικὸς σπεύδει ἀποδεικνύναι τὸ παντί. κἂν καὶ ἐναντίως πολλάκις καὶ τὸ οὐδενὶ δείκνυσι. τῇ δὲ διαλεκτικῇ οἰκεῖον τὸ οὐδενί. ὁ γὰρ διαλεκτικὸς ἀεὶ σπεύδει ἀνασκευάζειν καὶ ἀναιρεῖν τὰ παρὰ τοῦ προσδιαλεγομένου λεγόμενα. τιμιωτέρα δὲ ἡ ἀπόδειξις τῆς διαλεκτικῆς. καὶ ὁ συλλογισμὸς ἄρα ὁ τὸ παντὶ συνάγων, τιμιώτερός ἐστι καὶ πρότερος τοῦ συνάγοντος τὸ οὐδενί. εἰ δέ τις ἐρεῖ ὅτι ὁ συλλογισμὸς ἐκ β΄ προτάσεων σύγκειται. αἱ δὲ δύο προτάσεις δ΄ ὅρους ἔχουσι, πῶς οἱ τρεῖς ὅροι οἱ ἐν τῷ συλλογισμῷ λαμβανόμενοι, δύο προτάσεις ποιοῦσι. καὶ λέγομεν ὅτι ὁ μέσος ὅρος, δὶς λαμβάνεται. γινόμενος μὲν ὑποκείμενος τῆς μείζονος προτάσεως. κατηγορούμενος δὲ τῆς ἐλάττονος. Εἰ δὲ τὸ α΄ β΄ λάβοις παντί, τὸ δὲ β΄ γ΄ οὐδενί, συλλογισμὸς οὐ γίνεται τῶν ἄκρων. Ἤγουν συμπέρασμα οὐ συνάγεται. ἀναγκαῖον ἐν τῷ ταῦτα εἶναι ἤγουν ἀπὸ τῶν ληφθεισῶν προτάσεων· οὐδὲ ὁ μέσος ὅρος, αἴτιος γίνεται τῆς συμπλοκῆς τῶν ἄκρων τουτέστι συμπέρασμα. ὥσπερ ἐπὶ τῶν κυρίως συλλογισμῶν. ἀλλὰ διὰ τὴν φύσιν τῶν ἄκρων ποτὲ μὲν συνάγομεν τὸ παντί. ποτὲ δὲ τὸ οὐδενί. εἰ μὲν γὰρ ὁ ἐλάττων ὅρος ληφθῇ τοῦ μείζονος ὅρου, συναχθήσεται τὸ παντί. εἰ δὲ ἀλλοφυής, τὸ οὐδενὶ συναχθήσεται. ἐπὶ μὲν γὰρ τῶν κυρίως συλλογισμῶν, ὡρισμένον συνάγεται συμπέρασμα. ἢ τὸ παντὶ μόνον, ἢ τὸ οὐδενί, ἢ τὸ τινί, ἢ τὸ οὐ παντὶ μόνα. ἐπὶ δὲ τῶν ἀσυλλογίστων, καὶ τὸ παντὶ συνάγεται καὶ τὸ οὐδενί. ὥστε συμβαίνει ἀναιρεῖν ἄλληλα καὶ τὰ περιεχόμενα ὑπ' αὐτῶν. ἡ γὰρ πᾶς περιέχει τὸ τὶς καὶ ἡ οὐδεὶς τὸ οὐ πᾶς. καὶ ἐκ μὲν τοῦ παντὶ συναχθέντος, ἀναιρεῖται ἡ οὐδεὶς καὶ ἡ οὐ πᾶς. τοῦ δὲ οὐδεὶς συναχθέντος, ἀναιρεῖται καὶ ἡ πᾶς καὶ ἡ τὶς. ὥστε οὐκ ἀναγκαῖον καὶ συμπέρασμα μερικὸν συνάγεσθαι, οὔτε καθόλου. ἐπεὶ δὲ οὐδὲν ἀνάγκη συμπέρασμα συνάγεσθαι διὰ τούτων. ἤγουν ἢ διὰ τῶν ληφθέντων ὅρων ἢ τῶν ληφθεισῶν προτάσεων, συλλογισμὸς οὐκ ἔστι. ὅροι τοῦ παντὸς ὑπάρχειν. ἤγουν δι' ὧν συνάγεται τὸ παντί. ζῶον. ἄνθρωπος. ἵππος. τοῦ δὲ μηδενί, ζῶον ἄνθρωπος λίθος. οὐδ' ὅταν ἡ α΄ β΄ πρότασις ᾖ οὐδενί. ὡσαύτως καὶ ἡ β΄ γ΄ ἐστὶν οὐδενί, ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχοντος δι' ὧν τὸ παντὶ συνάγεται. ἐπιστήμη γραμμή. ἰατρική. ὅροι τοῦ μὴ ὑπάρχειν δι' ὧν συνάγεται τὸ οὐδενί. ἐπιστήμη. γραμμή. καὶ μονάς. καθόλου μὲν οὖν ὄντων τῶν ὅρων. ἤγουν ὅτι τὸ α΄ καθόλου κατηγορεῖται τοῦ β΄. καὶ τὸ β΄ καθόλου τοῦ γ΄. καὶ ληφθῶσιν αἱ δύο προτάσεις καθόλου, δῆλον πότε ἐν τούτῳ τῷ σχήματι τῷ α΄ ἔσται συλλογισμὸς καὶ πότε οὐκ ἔσται. καὶ αἱ δύο προτάσεις ληφθῶσι καθόλου καταφατικαί, γίνεται συλλογισμός. καὶ αἱ ἡ μείζων πρότασις ἡ α΄ β΄ ληφθῇ καθόλου ἀποφατική. ἡ δὲ ἐλάττων καταφατικὴ καθόλου, καὶ οὕτως ἔσται συλλογισμός. ἐὰν δὲ καὶ ἡ α΄ β΄ καὶ ἡ β΄ γ΄ ληφθῶσιν ἀποφατικαί. ἢ ἡ α΄ β΄ καταφατική. ἡ δὲ β΄ γ΄ ἀποφατική, συλλογισμὸς οὐκ ἔσται. ὥστε ὄντος συλλογισμοῦ. ἤγουν εἰ μέλλει εἶναι συλλογισμός, ἀνάγκη καὶ τοὺς ὅρους οὕτως ἔχειν. ἵνα ἢ τὸ α΄ κατὰ παντὸς τοῦ β΄ κατηγορῆται. καὶ τὸ β΄ κατὰ παντὸς τοῦ γ΄. ἢ τὸ α΄ κατ' οὐδενὸς τοῦ β΄. τὸ δὲ β΄ κατὰ παντὸς τοῦ γ΄. οὕτως εἰ ἐὰν ληφθῶσιν οἱ ὅροι ἔσται συλλογισμός. Δείξας τοίνυν πότε γίνεται συλλογισμὸς ἐκ τῶν β΄ καταφατικῶν τῶν καθόλου. καὶ πότε ἀφ' ἑνὸς καταφατικοῦ καθόλου, νῦν διδάσκει καὶ πότε γίνεται συλλογισμός. Ὅταν ἡ μία πρότασις καθόλου ληφθῇ ἡ δὲ ἑτέρα μερική, καὶ πότε οὐ γίνεται. Καί φησιν εἰ ὁ μὲν τῶν ὅρων ὁ μείζων καθόλου κατηγορῆται κατὰ τοῦ μέσου. εἴτε καταφατικῶς, εἴτε ἀποφατικῶς. ὁ δὲ μέσος κατηγορεῖται κατὰ τοῦ ἑτέρου ἐν μέρει. ἤγουν μερικῶς καταφατικῶς, τότε ἔσται συλλογισμός. ὅταν τὸ καθόλου ἤγουν ὁ καθόλου προσδιορισμὸς καταφατικὸς ἢ δὲ ἐν μέρει τεθῇ ἐν τῇ ἐλάττονι προτάσει, ἔσται συλλογισμός. καὶ πάλιν εἰ ἡ μείζων πρότασις καθόλου ἀποφατικὴ ἡ δὲ ἐλάττων μερικὴ καταφατική. ἢ καθόλου καταφατική, ἔσται συλλογισμὸς τέλειος. τέλειον δὲ λέγω τοῦτον, οὐ διὰ τὸ συμπέρασμα τὸ συναγόμενον μὴ δεῖσθαι ἀποδείξεως καὶ βεβαιώσεως. εἰ γὰρ προεῖπον ἐρεῖ, ἁπλῶς λέγει καὶ τὸν μερικὸν συλλογισμὸν τὸν ἐν πρώτῳ σχήματι. ὡς τελείους μένους καὶ αὐτούς, διὰ τὸ ὡς ἀδύνατον ἀπαγωγῆς. ἀλλὰ τέλειον λέγει τοῦτον διὰ τὸ φυλάττειν τὸ εἶδος τέλειον τοῦ α΄ σχήματος. καὶ γὰρ ἐν τοῖς μερικοῖς συλλογισμοῖς, ὁ μέσος ὅρος κατὰ τὴν παράθεσιν, μέσος τῶν ἄκρων τάττεται. Ὅταν δὲ πρὸς τὸ ἔλαττον ἄκρον τεθῇ τὸ καθόλου, ἤγουν ἢ καταφατικῶς ἢ ἀποφατικῶς. ἡ δὲ μείζων πρότασις ᾖ μερικὴ καταφατική. ἢ καὶ ἄλλως πῶς ἔχωσιν οἱ ὅροι. ἤγουν ἡ α΄ β΄ ἐστὶν οὐ πᾶς. ἡ δὲ β΄ γ΄ πᾶς. ἢ οὐδείς. ἢ ἡ α΄ β΄ ἐστὶ τὶς καὶ ἡ β΄ γ΄ ἐστὶ τίς. ἢ καὶ αἱ δύο οὐ πᾶς, συλλογισμὸς οὐ γίνεται. καὶ μεῖζον μὲν ἄκρον ἐστὶ τὸ α΄. τὸ περιέχον τὸ μέρος ἤγουν τὸ β΄ ἔλαττον δὲ ἄκρον τὸ γ΄ τὸ περιεχόμενον ὑπὸ τοῦ μέσου. Καὶ τρίτον μὲν τρόπος ἐστὶ τοῦ α΄ σχήματος, ὅταν τὸ α΄ κατὰ παντὸς τοῦ β΄ κατηγορεῖται. καὶ τὸ β΄ κατά τινος τοῦ γ΄. καὶ συνάγεται συμπέρασμα τὸ α΄ τινὶ τῷ γ΄. οἷον τὸ ζῶον παντὶ ἀνθρώπῳ. ὁ ἄνθρωπος τινὶ ἐμψύχῳ. τὸ ζῶον ἄρα τινὶ ἐμψύχῳ. συνήχθη δὲ τὸ τινί, διότι καὶ τὰ φυτὰ ἔμψυχά εἰσι. καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος. ἐπεὶ γοῦν τὸ ζῶον κατηγορεῖται κατὰ παντὸς αὐτοῦ. ὁ δὲ ἄνθρωπος οὐχ ὅλον περιέχει τὸ ἔμψυχον ἀλλά τι μέρος αὐτοῦ. ἤγουν σωκράτης πλάτων τὰ κατὰ μέρος, διὰ τοῦτο καὶ τὸ ζῶον τινὶ ἐμψύχῳ κατηγορεῖται. ἤγουν σωκράτει καὶ πλάτωνι. τρίτος δὲ ἐτάχθη ὁ τρόπος οὗτος, διὰ τὸ συνάγειν συμπέρασμα τὸ τὶς. ὅπερ τοῦ οὐδεὶς τοῦ συναγομένου ἐν τῷ β΄ τρόπῳ, ἀτιμότερον. καθὸ ἐκεῖνο μὲν, καθόλου. τοῦτο δὲ μερικόν. Ἴσον ἔτι τὸ συμπέρασμα τῷ χείρονι τῶν προτάσεων ἕπεται. ὡς ἴσασιν ἐπὶ τοῦ δευτέρου τρόπου τὸ συμπέρασμα συνήχθη οὐδενί. καὶ ἐπὶ τοῦ γ΄ τὸ τινὶ ὡς χεῖρον τῆς πᾶς. Εἰ δὲ τὸ α΄ ἐστὶ μηδενὶ τῷ β΄. καὶ τὸ β΄ τινὶ τῷ γ΄, ἀνάγκη τὸ α΄ τινὶ τῷ γ΄ μὴ ὑπάρχειν. ἤγουν οὐ παντὶ τῷ γ΄. οὗτός ἐστιν ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος. διότι συνάγει τὸ οὐ παντί. ὅπερ διὰ τὴν ἀνυπαρξίαν, χεῖρόν ἐστι τοῦ τὶς τοῦ συναγομένου ἐπὶ τοῦ τρίτου

ἡ οὐ πᾶς, ἀντιστρέφει καὶ πρὸς ἑαυτὴν καὶ πρὸς τὴν τὶς ἐπὶ τῆς κυρίας ἐνδεχομένου. ἐπὶ τούτου γὰρ ἡ τὶς καὶ ἡ οὐ πᾶς, ταυτὸν σημαίνουσιν. εἰ γὰρ τὸ λευκὸν οὐ παντὶ ζώῳ ὑπάρχει, καὶ τὸ ζῶον ἢ οὐ παντὶ λευκῷ ἢ τινὶ ἔσται. τοῦτο δὲ τὸ οὐδεὶς μὴ ἀντιστρέφειν πρὸς ἑαυτήν. Ἀλλὰ πρὸς τὴν τὶς ἐπὶ τῆς κυρίας ἐνδεχομένου, ἔσται φανερὸν ὅτι περὶ τοῦ ἐνδεχομένου λέγομεν τουτέστιν ἐν ταῖς μίξεσι. νῦν δὲ γινώσκετε ὅτι τὸ ἐνδέχεσθαι μηδενὶ ὑπάρχειν ἢ μὴ τινὶ ἤγουν οὐ παντί, καταφατικὸν ἔχει σχῆμα. τὸ γὰρ ἐνδέχεσθαι ἐπὶ τῶν μετὰ τρόπου προτάσεων κεῖται ὥσπερ τὸ ἐστίν. καὶ ὥσπερ τὸ ἐστὶν ἀεὶ ἐν προτάσεσι πρόσκειται, ἐὰν οὐκ ἔχῃ τὴν ἀπόφασιν καταφάσει ποιεῖ ἀεὶ ἤγουν ἐπὶ παντὸς χρόνου καὶ πάντως ἤγουν ἐπὶ πάσης ὕλης. τὸ γὰρ ἔστιν οὐκ ἀγαθόν. καὶ τὸ ἔστιν οὐ λευκόν. καὶ τὸ ἔστιν οὐ τοῦτο. ἤγουν οὐ δίκαιος ἢ οὐ σοφός, κατὰ φάσεις εἰσίν. ὡσαύτως καὶ τὸ ἐνδέχεσθαι οὐδενί. καὶ τὸ ἐνδέχεσθαι οὐ παντί. ἐπεὶ ἐν ᾧ ἐνδέχεσθαι ἡ οὐ ἀπόφασις οὐ κεῖται, κατὰ φάσεις εἰσί. διαλεχθήσεται δὲ καὶ τοῦτο ἤγουν πῶς εἰσὶ κατὰ φάσεις, διὰ τῶν ἐφεξῆς. ἤγουν τῶν ἑπομένων. ἐπὶ τῶν μίξεων. τὸ γοῦν ἐνδέχεσθαι οὐδενὶ καὶ τὸ ἐνδέχεσθαι οὐ παντὶ ὑπάρχειν ἀντιστρέφουσιν ὁμοίως ταῖς ἄλλαις ἤγουν ταῖς καταφατικαῖς προτάσεσι τῇ πᾶς καὶ τῇ τίς. ὡς γὰρ αὗται πρὸς τὴν τὶς ἀντιστρέφουσιν, οὕτω καὶ τὸ ἐνδέχεσθαι οὐδενὶ καὶ οὐ παντὶ ὑπάρχειν, πρὸς τὴν τὶς ὡς δέδεικται ἀντιστραφήσονται. εἰ λάβῃς τὴν κυρίας ἀποφατικήν, ἀντιστρέφει πρὸς ἑαυτήν. εἰ γὰρ οὐκ ἐνδέχεσθαι τινὰ ἄνθρωπον ἵπτασθαι, οὐκ ἐνδέχεσθαι ἄρα οὐδὲ ἱπτάμενόν τι ἄνθρωπον εἶναι. ἡ γὰρ οὐκ ἐνδέχεσθαι τινὰ ἄνθρωπον ἵπτασθαι τῇ ἀνάγκῃ μηδενὶ ἄνθρωπον ἵπτασθαι, ἰσοδυναμεῖ. καὶ ἡ οὐκ ἐνδέχεσθαι πᾶν ζῶον γελαστικὸν εἶναι ἰσοδυναμεῖ τῇ ἀνάγκῃ μὴ πᾶν ζῶον γελαστικὸν εἶναι.

Ἀρχὴ τοῦ πρώτου σχήματος.

Πάντων διδαχθέντων τῶν πρὸς τὴν συλλογιστικὴν μέθοδον συμβαλλομένων. οἷον, τί ἐστι πρότασις. τί ὅρος. τί συλλογισμός. καὶ τί ἀντιστροφή, λέγομεν ἤδη καὶ διὰ τίνων ὁ συλλογισμὸς γίνεται. διὰ δύο τοὐλάχιστον προτάσεων. ἐκ μιᾶς γὰρ συλλογισμὸς οὐ γίνεται. εἰ γὰρ καὶ αὐτὸ τὸ ὄνομα τοῦ συλλογισμοῦ συλλογὴν καὶ πλῆθος καὶ σύνελευσιν δηλοῖ προτάσεων. τὸ δὲ πότε, παρίστησι τὸ μὴ ὡς ἔτυχε τὰς προτάσεις συμπλέκεσθαι. ἀλλ᾽ ἢ τὰς β΄ εἶναι καθόλου καταφατικὴν τήν τε μείζονα καὶ τὴν ἐλάττονα. ἢ τὴν μείζονα εἶναι μόνην καθόλου ἀποφατικήν. εἰ δέ γε δύο συμπλακῶσι καθόλου ἀποφατικαί. ἢ εἰ μείζων καθόλου καταφατική. ἡ δὲ ἐλάττων, καθόλου ἀποφατική, συλλογισμὸς οὐ γίνεται. τὸ δὲ πῶς παρίστησι τὸ διὰ τοῦ μέσου ὅρου συνάγεσθαι καὶ συνέρχεσθαι τὰ ἄκρα πρὸς ἀπογέννησιν τοῦ συμπεράσματος. ποταπὸς δὲ δεῖ εἶναι ὁ μέσος ἐν ἑκάστῳ σχήματι μαθήσῃ. Ἐπειδὴ δὲ ἔφθασεν ἐξ ἀρχῆς εἰπεῖν, σκοπὸν ἔχειν ἐνταῦθα περὶ ἀποδείξεως διδάξαι. ἀδυνάτως δὲ ἔχει τοῦτο ποιῆσαι, διὰ τὸ προηγεῖσθαι τὸν ἁπλῶς καὶ καθόλου συλλογισμόν, τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ ὡς γένος, τούτου χάριν λέγει τό, λεκτέον πρῶτον περὶ τοῦ ἁπλῶς συλλογισμοῦ. πρὸ περὶ ἀποδείξεως. ὡς γὰρ γένος ὁ ἁπλῶς συλλογισμὸς διαιρεῖται, εἰς τὸν ἀποδεικτικὸν συλλογισμόν. εἰς τὸν διαλεκτικόν. καὶ εἰς τὸν σοφιστικόν. καὶ ὥσπερ ἀδύνατόν ἐστιν εὖ τινὰ μαθεῖν γράφειν πρὸ τοῦ μαθεῖν ἁπλῶς γράφειν, οὕτως ἀδύνατόν ἐστι μαθεῖν τινὰ ἀποδεικτικῶς καὶ ἐπιστημονικῶς συλλογίζεσθαι, πρὶν ἢ μαθεῖν τὸ ἁπλῶς συλλογίζεσθαι. ὡς γὰρ ὁ ἄνθρωπος τι ζῶόν ἐστιν. οὐ πᾶν δὲ ζῶον ἄνθρωπος, οὕτω καὶ ἡ ἀπόδειξίς τις μὲν συλλογισμός ἐστιν, οὐ πᾶς δὲ συλλογισμὸς ἀπόδειξίς ἐστιν. ἐνδέχεται γὰρ διαλεκτικὸν εἶναι συλλογισμὸν ἢ σοφιστικόν. Ὅταν οὖν λάβῃς τρεῖς ὅρους. οἷον α΄ β΄ γ΄. ἔχοντας οὕτως ὥστε τὸν μὲν ἔσχατον ἤγουν τὸ γ΄, ἐν ὅλῳ εἶναι τῷ μέσῳ. ἤγουν εἶδος εἶναι τοῦ β΄ καὶ μέρος. καὶ τὸ μέσον ἤγουν τὸ β΄. ἐν ὅλῳ εἶναι τῷ α΄. ἤγουν εἶδος εἶναι καὶ μέρος τοῦ α΄. ἢ μὴ εἶναι. τουτέστιν ἢ τὸ β΄ ἀλλότριον εἶναι τοῦ ἄλφα. ἀνάγκη εἶναι τῶν ἄκρων συναγωγὴν καὶ σύνελευσιν τὸ συμπέρασμα. καὶ συλλογισμὸν γίνεσθαι τέλειον. ἤγουν ἔχοντα τὸ ἀξιόπιστον οἴκοθεν. καὶ μηδεμιᾶς ἀποδείξεως δεόμενον. ὅρα μοι δὲ ὅπως τοὺς δύο καθόλου τρόπους τοῦ α΄ σχήματος. τόν τε πρῶτον καὶ τὸν β΄, περίεστί τε καὶ ἐπέχεσεν. εἰπὼν γὰρ τὸ γ΄ ἐν ὅλῳ εἶναι τῷ β΄. ἐδήλωσε δεῖν εἶναι τὴν ἐλάττονα πρότασιν καθόλου καταφατικήν, ἀεί. εἰπὼν δὲ τὸ β΄ ἐν ὅλῳ εἶναι τῷ α΄ ἢ μὴ εἶναι, διδάσκει τὴν μείζονα πρότασιν τηρεῖν. ἢ καθόλου καταφατικήν, ἢ καθόλου ἀποφατικήν. Εἴρηται δὲ τό, καλῶ, διὰ τὸ αὐτὸς ὀνοματοθέτης γενέσθαι τῶν μέσων καὶ τῶν ἄκρων. μέσον μέν ἐστιν ἐν α΄ σχήματι, ὃ ἐν ἄλλῳ ὤν. ἤγουν ὁ ἐμπεριεχόμενος ὑπὸ τοῦ μείζονος ὅρου. καὶ ἐμπεριέχων ἄλλο. ἤγουν τὸν ἐλάττονα ὅρον. ὅστις καὶ κατὰ τὴν θέσιν καὶ τὴν καταγραφὴν μέσος κεῖται τῶν δύο ἄκρων. τοῦ τε α΄ καὶ γ΄. ἄκρον δὲ λέγω καὶ ὅρον ἐλάττονα, τὸ γ΄ ἐμπεριεχόμενον ὑπὸ ἄλλου ἤγουν τοῦ μέσου. μεῖζον δὲ ἄκρον καὶ ὅρον λέγω, τὸ α΄. ἐν ᾧ ἐμπεριέχεται ἄλλος ἤγουν ὁ μέσος ὅρος. καὶ πρῶτον μὲν διδάσκει, περὶ τοῦ α΄ τρόπου, τοῦ α΄ σχήματος. τοῦ ἐκ β΄ καθόλου καταφατικῶν προτάσεων συνάγοντος τὸ παντὶ συμπέρασμα. καὶ ἀντὶ ὅρων λαμβάνει στοιχεῖον. εἰ γὰρ ἔλαβεν ὅρους, ἴσως ἄν τις εἶπε διὰ τοὺς ληφθέντας ὅρους συναχθῆναι τὸ παντὶ συμπέρασμα. νῦν δὲ λαβὼν στοιχεῖα. α΄ β΄ γ΄, ἀδείκνυσι διδοὺς τῷ βουλομένῳ λαμβάνειν ὅρους, οὓς ἂν καὶ βούληται ἐκ πάσης ὕλης, καὶ συνάγειν τὸ συμπέρασμα. ἡμεῖς δὲ ληψόμεθα ἐν τῷ α΄ ὅρον τὴν οὐσίαν. ἐν τῷ β΄ τὸ ζῶον. ἐν δὲ τῷ γ΄ τὸν ἄνθρωπον. εἰ γὰρ ἡ οὐσία κατὰ παντὸς ζώου. τὸ δὲ ζῶον κατὰ παντὸς ἀνθρώπου, ἐξ ἀνάγκης ἀπὸ τῶν ληφθεισῶν προτάσεων συναχθήσεται συμπέρασμα. ὅτι ἡ οὐσία, κατὰ παντὸς ἀνθρώπου ἐστίν. εἴπομεν γὰρ καὶ πρότερον κατὰ παντὸς λέγεσθαι, ὅταν οὐκ ἔστι τι μόριον τοῦ ὑποκειμένου. καθ᾽ οὗ οὐ κατηγορεῖται ὁ κατηγορούμενος. ὥστε ἡ οὐσία κατὰ παντὸς ζώου κατηγορεῖται, καὶ κατὰ πάντων ἄρα τῶν μερῶν τοῦ ζώου κατηγορηθήσεται. μέρος δὲ τοῦ ζώου ὁ ἄνθρωπος. καὶ λοιπὸν ἀνάγκη τὴν οὐσίαν κατὰ παντὸς ἀνθρώπου κατηγορεῖσθαι. εἰ δὲ τὸ α΄ λάβῃς λίθον. τὸ δὲ β΄ ζῶον τὸ δὲ γ΄ ἄνθρωπον, ποιήσας τὸν β΄ τρόπον τοῦ α΄ σχήματος. εἰ γὰρ ὁ λίθος οὐδενὶ ζώῳ. τὸ δὲ ζῶον κατὰ παντὸς ἀνθρώπου, συναχθήσεται συμπέρασμα τὸ ὁ λίθος οὐδενὶ ἀνθρώπῳ ὑπάρχει. ἐλέγομεν γὰρ πρότερον κατ᾽ οὐδενὸς εἶναι, ὅταν οὐκ ἔστι τι μέρος τοῦ ὑποκειμένου. ἀφ᾽ οὗ οὐκ ἀπαγορεύεται ὁ κατηγορούμενος. εἰ γοῦν ὁ λίθος οὐδενὶ ζώῳ, ἀπὸ πάντων τῶν μερῶν τοῦ ζώου ἀπαγορεύεται. μέρος δὲ τούτου ὁ ἄνθρωπος, ἀπαγορευθήσεται ἄρα καὶ ὁ λίθος ἀπὸ τοῦ ἀνθρώπου. καλεῖται δὲ πρῶτος τρόπος ὁ συλλογισμὸς ὁ συνάγων τὸ παντί. ὁ δὲ τὸ οὐδενί, β΄

κράτης, τότε τὸ λουθῆναι τὸν σωκράτην, οὐκ ἔστιν ἐνδεχόμενον ἀλλ' ὑπάρχον. ἐπεὶ ... ζόμεθα ἐνδεχόμενον εἶναι ὃ οὐκ ἔστι μὲν ἀναγκαῖον γενέσθαι, οὗ δ' ὑποτεθέντος ὡς γενομένου, οὐδὲν ἀδύνατον ἐπακολουθεῖ. οἷον τὸ τὸν σωκράτην μοιχεύειν ἐνδέχεται. οὐκ ἔστι μὲν ἀναγκαῖον γενέσθαι οὗ δ' ὑποτεθέντος ὡς γενομένου, οὐδὲν ἀδύνατον ἐπακολουθεῖ. οἷον τὸ τοῦτον μοιχεύοντα. ψεῦδος μὲν ὑπόθεσιν ὑπέθηκεν. οὐκ ἀδύνατον δέ. ἡ μὲν γὰρ ἀδύνατος ὑπόθεσις, ψευδής ἐστιν. ἡ δὲ ψευδὴς ὑπόθεσις, οὐκ ἔστιν ἀδύνατος. ὥστε τὸ λέγειν ἐνδέχεσθαι τὸ β τινὶ τῷ α ὑπάρχειν. εἴτις ὡς ἐκβεβηκὸς καὶ ὑπάρχον λαβών. ἐνταῦθα τὸ ἐνδεχόμενον, οὐκ ἀδύνατόν τι ὑπέθηκεν. ἔχεις λοιπὸν προεγνωσμένον ὅτι ἡ τὶς ὑπάρχουσα πρότασις ἀντιστρέφει πρὸς ἑαυτήν. τὸ δὲ πᾶς καὶ τὸ τὶς, ἔμιξε καὶ ἀμφοτέρας, ὡς ἀντιστρεφούσας πρὸς τὸ τίς. εἰ γὰρ τὸ α ἐξ ἀνάγκης παντὶ ὑπάρχει τῷ β ἢ τινὶ καὶ τὸ β τινὶ τῷ α ἀνάγκη ὑπάρχειν. εἰ γὰρ μὴ ἀνάγκη ἤγουν μὴ ἀνάγκη τὸ β. ἤγουν ὁ ἄνθρωπος ὑπάρχει τινὶ τῷ α. ἤγουν τινὶ ζώῳ δῆλον. ἔξωθεν δὲ τοῦτο ἐκληπτέον. ὅτι καὶ τὸ β ὁ ἄνθρωπος, ἀνάγκη μηδενὶ τῷ α ἤγουν τῷ ζώῳ ὑπάρχει. καὶ λοιπὸν καὶ τὸ α τὸ ζῶον, οὐδενὶ τῷ β ἐξ ἀνάγκης ἂν ὑπάρχει. τὸ δὲ λέγειν τὸ α οὐ τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει, ταυτόν ἐστι, τῷ ὅτι τὸ α οὐδενὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει. τὸ δὲ ἐν μέρει στερητικόν ἤγουν ἡ ἀνάγκη μὴ παντὶ, οὐκ ἀντιστρέφει πρὸς ἑαυτὴν διὰ τὴν αἰτίαν ἣν καὶ πρότερον εἴπομεν. ἤγουν διὰ τὸ εἶναι ἀόριστον. καὶ ἄλλως μὲν ἀντιστρέφειν ἐπὶ τῆς ἐνδεχομένης ὕλης. ἤγουν ἢ πρὸς ἑαυτὴν ἢ πρὸς τὸ τίς, ἄλλως δὲ ἐπὶ τῆς ἀναγκαίας. ἤγουν πρὸς τὸ πᾶς. καὶ ἄλλως ἐπὶ τῆς ὑπαρχούσης. ἤγουν εἰς τὸ τίς. δείξας ἐπὶ τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων. πῶς αἱ ἀποφατικαὶ προτάσεις ἀντιστρέφουσι. καὶ πῶς αἱ καταφατικαί, νῦν μέλλει δεῖξαι καὶ περὶ τῶν ἐνδεχομένων προτάσεων πῶς καὶ ἐπ' αὐτῶν αἱ ἀντιστροφαὶ γίνονται. τὸ ἐνδεχόμενον ἐστὶ πολύσημον. δηλοῖ γὰρ καὶ τὸ ἀναγκαῖον καὶ τὸ ὑπάρχον καὶ τὸ δυνατόν. τὸ κυρίως ἐνδεχόμενον. ὃ γὰρ δυνατόν ἐστι, τοῦτο καὶ ἐνδεχόμενον. καὶ ὃ ἐνδεχόμενον τοῦτο καὶ δυνατόν. εἰ γὰρ ἐνδέχεται τινὰ λουθῆναι, δυνατόν ἐστι καὶ λουθῆναι. ἐν μὲν οὖν ταῖς καταφατικαῖς. ἤγουν ἐν τῷ παντὶ καὶ τινὶ ὁμοίως αἱ ἀντιστροφαὶ γίνονται. ἐν πᾶσι ταῖς σημαινομέναις τοῦ ἐνδεχομένου. ἡ γὰρ πᾶς καὶ ἡ τὶς, πρὸς τὴν μερικὴν ἀντιστρέφουσι. σημαίνει δὲ ὅτι κἂν ἐν ἅπασι ταῖς σημαινομέναις τοῦ ἐνδεχομένου αἱ καταφατικαὶ ὁμοίως ἀντιστρέφουσι πρὸς τὴν μερικὴν καταφατικήν; ἀλλ' οὖν τὴν ἀπόδειξιν ἐποιήσατο τῶν β σημαινομένων τοῦ ἐνδεχομένου. τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου. Μίξας τὸ πᾶς καὶ τὸ τὶς ὡς φιλοσύντομος διὰ τὸ καὶ ἀμφοτέρας τὴν αὐτὴν ἔχειν ἀπόδειξιν. εἰ γὰρ τὸ α παντὶ τῷ β ἐνδέχεται ὑπάρχειν. ἢ τινὶ τῷ β. εἴτε τὸ ἐνδέχεται ἐπὶ τοῦ ἀναγκαίου λάβης. εἴτε ἐπὶ τοῦ ὑπάρχοντος, ἐνδέχοιτο καὶ τὸ β τινὶ τῷ α ὑπάρχειν. εἰ γὰρ τὸ β οὐχ ὑπάρχει τινὶ τῷ α. ἀλλὰ μηδενί. ἡ δὲ οὐδεὶς πρὸς ἑαυτὴν ἀντιστρέφει ἔσται καὶ τὸ α οὐδενὶ τῷ β. τοῦτο γὰρ ἐδείχθη πρότερον ὅτι ἡ οὐδεὶς ἀντιστρέφει πρὸς ἑαυτὴν ἐπὶ τῶν ἀναγκαίων προτάσεων καὶ ἐπὶ τῶν ὑπαρχουσῶν. ἐν δὲ ταῖς ἀποφατικαῖς προτάσεσι. τῇ τε καθόλου φημὶ τῇ οὐδείς. καὶ τῇ μερικῇ τῇ οὐ πᾶς, οὐχ ὁμοίως ἀντιστρέφουσιν ἐπὶ πάντων τῶν σημαινομένων τοῦ ἐνδεχομένου. ἀπὸ τοῦ εἰπεῖν ἐξ ἀνάγκης μὴ ὑπάρχει. ἐδήλωσε τὸ ἀνάγκη μηδενί. ἀπὸ δὲ τοῦ εἰπεῖν τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχει, ἐδήλωσε τὸ οὐδενὶ ὑπάρχοντος. ὅσα μὲν οὖν τῷ ἐνδέχεσθαι σημαινόμενα λέγονται, ἢ ἐπὶ τοῦ ἐξ ἀνάγκης μὴ ὑπάρχει. ἢ τοῦ μὴ ἐξ ἀνάγκης ὑπάρχει. τουτέστι τὸ ἐνδεχόμενον τὸ σημαῖνον τὸ ἀναγκαῖον ἢ τὸ ὑπάρχει. ἕξουσι τὴν οὐδεὶς πρὸς ἑαυτὴν ἀντιστρεφομένην ὁμοίως. καὶ τοῦ μηδενὶ ἐξ ἀνάγκης παράδειγμα, τὸ ἐνδέχεται τὸν ἄνθρωπον μὴ εἶναι ἵππον. ἤγουν μηδενὶ ἵππῳ ὑπάρχει. ἐνταῦθα γὰρ τὸ ἐνδέχεται τὸ ἀναγκαῖον σημαίνει. τοῦ μηδενὶ ὑπάρχοντος καὶ ἡ πρότασις ἡ καθόλου ἀποφατική. ὁμοίως ἀντιστρέφει πρὸς ἑαυτήν. ἐπί τε τοῦ ἐνδεχομένου τοῦ τὸ ἀναγκαῖον σημαίνοντος. καὶ τοῦ τὸ ὑπάρχει. τὸ ἐγχωρεῖ, ἀντὶ τοῦ ἐνδέχεται. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐν μέρει ἀποφατικῆς τῆς οὐ πᾶς. τὸ ἀόριστον θεωρηθήσεται καὶ ἐπὶ τοῦ ἐνδεχομένου τοῦ σημαίνοντος τὸ ἀναγκαῖον καὶ τοῦ σημαίνοντος τὸ ὑπάρχον. Τὸ κυρίως ἐνδεχόμενον, διαιρεῖται εἰς γ. εἰς τὸ ἐπίσης ἐνδεχόμενον. οἷον, τὸ ἐνδέχεται τὸν σωκράτην λουθῆναι καὶ μὴ λουθῆναι. καὶ περιπατῆσαι καὶ μή. ἐπίσης δὲ λέγεται ἐνδεχόμενον, διὰ τὸ μὴ μᾶλλον δύνασθαι τὴν ἀπόφασιν ἀληθεύειν παρὰ τὴν κατάφασιν. ἢ τοὐναντίον. καὶ εἰς τὸ ὡς ἐπ' ἔλαττον ἐνδεχόμενον. οἷον τὸν σωκράτην ἐντυχεῖν θησαυρῷ ἀπερχόμενον εἰς τὴν ἀγοράν. ἐνταῦθα γὰρ ὡς ἐπὶ τὸ πλεῖστον, ἡ ἀπόφασις ἀληθής. ποτὲ δὲ καὶ ἡ κατάφασις καὶ εἰς τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον. περὶ ὃ ἡ φύσις καταγίνεται, καὶ ἡ τέχνη. ἐπὶ πολὺ γὰρ καὶ ἡ φύσις πενταδάκτυλον ποιεῖ τὸν ἄνθρωπον. ἔστι δ' ὅτε καὶ ἀποτυγχάνει. καὶ ὡς ἐπὶ τὸ πλεῖστον ὁ ἰατρὸς ὑγίασε. ἔστι δ' ὅτε καὶ ἀποτυγχάνει. καὶ ὁ ῥήτωρ πείθει. καὶ ἐν χειμῶνι ὕει. καὶ ὁ κυβερνήτης ἐν κλύδωνι σώζει τὴν ναῦν. περὶ τούτου γοῦν τὸ ὡς ἐπὶ πολὺ ἐνδεχόμενον, ἡ συλλογιστικὴ μέθοδος καταγίνεται. τὸ δὲ ἐπίσης ἐνδεχόμενον, ἄχρηστόν ἐστιν εἰς τὴν συλλογιστικὴν μέθοδον. ποῖον γὰρ ἂν καὶ ἀποδείξει τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν. καὶ τὸ ὡς ἐπ' ἔλαττον ἐνδεχόμενον. ἄχρηστον εἰς συλλογισμούς. τίς γὰρ φρονῶν ἐπιχειρήσει ποτὲ συλλογίσασθαι καὶ ἀποδεῖξαι τὸ σπανίως γινόμενον. ὅσα δὲ τοῦ ἐνδεχομένου τὸ ὡς ἐπὶ τὸ πολὺ σημαίνουσιν. εἴ τις ἑρμηνεύειεν τὸ ὡς ἐπὶ τὸ πολύ, ἐπάγει καὶ τὸ πεφυκέναι. Τουτέστι περὶ οὗ ἡ φύσις καταγίνεται. καθ' ὃν τρόπον ἤγουν καθὸ σημαινόμενον διορίζομεν καὶ λέγομεν τὸ κυρίως ἐνδεχόμενον, ἐν ταῖς στερητικαῖς ἀντιστροφαῖς ταῖς καθόλου καὶ ταῖς μερικαῖς, οὐχ ὁμοίως ταῖς ἄλλαις τοῦ ἐνδεχομένου σημαινομέναις, ἀντιστρέφουσιν. ἐπ' ἐκείνων μὲν γὰρ τῶν σημαινομένων, ἡ οὐδεὶς ἀντιστρέφει πρὸς ἑαυτήν. ἐπὶ δὲ τοῦ κυρίως ἐνδεχομένου τουτέστι τοῦ ὡς ἐπὶ τὸ πολύ. ἡ μὲν καθόλου στερητικὴ πρότασις, οὐκ ἀντιστρέφει πρὸς ἑαυτήν. ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικήν. ἤγουν τὴν τίς. εἰ γὰρ τὸ περιπατεῖν ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν. καὶ τὸν ἄνθρωπον οὐκ ἐνδέχεται τινὶ περιπατοῦντι ὑπάρχειν. ψεύδεται γὰρ ὁ λέγων τὸν ἄνθρωπον ἐνδέχεσθαι μηδενὶ περιπατοῦντι ὑπάρχειν. μὴ περιπατοῦντα γάρ ἐστι, λίθοι. φυτά. ἀλλὰ καί τινα τῶν ἀλόγων ζώων, ἅπερ ἐστὶν ἠρεμεῖν. ἀφ' ὧν οὐκ ἐνδεχόμενον ὁ ἄνθρωπος ἀποφάσκεται, ἀλλ' ἐξ ἀνάγκης. δεῖ δὲ καὶ τὴν ἀντιστροφὴν ἀληθεύειν ὡς εἴπομεν. καὶ εἰ τὸ λούεσθαι ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν, καὶ τὸν ἄνθρωπον ἐνδέχεται τινὶ λουομένῳ ὑπάρχειν. ὁ γὰρ λέγων τὸν ἄνθρωπον ἐνδέχεσθαι μηδενὶ λουομένῳ ὑπάρχειν, ψεύδεται. τὰ γὰρ ἄλογα ζῶα οὐ λούονται. ὧν οὐκ ἐνδεχομένως ἀποφάσκεται ὁ ἄνθρωπος. ἀλλ' ἐξ ἀνάγκης. δείκνυται γοῦν ἀπὸ τῶν ὅρων ὅτι ἡ καθόλου ἀποφατική, ἀντιστρέφει πρὸς τὴν τίς. καὶ οὕτω δὲ δείξας ταύτην πρὸς τὴν τὶς ἀντιστρέφουσαν. εἰ γὰρ ὃ ἐνδέχεται οὐδενί, τοῦτο ἐνδέχεται καὶ παντὶ ὑπάρχειν. εἰ γὰρ ἐνδέχεται τὸ λούεσθαι μηδενὶ ἀνθρώπῳ ὑπάρχειν, ἐνδέχεται καὶ παντί. ἡ δὲ πᾶς ἀντιστρέφει πρὸς τὴν τίς. λοιπὸν ἄρα καὶ ἡ οὐδεὶς, ἀντιστρέφει

(πρὸς τὴν τίς. ἡ δὲ μέρει στερητική

χειν ἤγουν τῷ αὐτῷ, καὶ τὸ β΄ ὁ αὐτὸς, τινὶ ὑπάρχει τῷ α΄ ἤγουν τῷ λευκῷ. εἰ γὰρ ψεύδεται τὸ τινὶ, ἤδη παντὸς δὲ ἢ κατάφασις ἀληθεύει ἢ ἡ ἀπόφασις, ἀληθεύσει κατὰ σὲ τὸ οὐδενί. καὶ ἔστω τὸ β΄ ὁ αὐτὸς οὐδενὶ τῷ α΄ ἤγουν τῷ λευκῷ. ἡ δὲ οὐδεὶς ἀντιστρέφει πρὸς ἑαυτήν. καὶ ἔσται καὶ τὸ α΄ τὸ λευκὸν οὐδενὶ τῷ β΄ ἤγουν τῷ αὐτῷ. ἀλλ᾽ ἦν καὶ τινί. ἔσται ἄρα τὸ λευκὸν καὶ οὐδενὶ καὶ τινὶ αὐτῷ ὅπερ ἄτοπον. τοῦτο δὲ συνήχθη ἀπὸ τοῦ ὑποθέσθαι σε τὸ β΄ μηδενὶ ὑπάρχειν τῷ α΄. ψεῦδος ἄρα τὸ οὐδενί. καὶ ἀληθὲς ὅτι τὸ β΄ τινὶ τῷ α΄ ὑπάρχει. τὴν δὲ οὐ πᾶς οὐκέτι δείκνυσι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὅτι οὐκ ἀντιστρέφει πρὸς ἑαυτήν, ἀλλὰ διὰ τῶν ὅρων δείξεως. λαβὼν τὸ α΄ ἄνθρωπον. τὸ δὲ β΄ ζῷον. ὥστε εἰ τὸ α΄ ἤγουν ὁ ἄνθρωπος τινὶ τῷ β΄ μὴ ὑπάρχει, ἤγουν οὐ παντὶ ζῴῳ, οὐκ ἀνάγκη καὶ τὸ β΄ τὸ ζῷον τινὶ τῷ α΄ μὴ ὑπάρχειν. ἤγουν οὐ παντὶ ἀνθρώπῳ. ἀλλὰ παντὶ δείξας ἤδη τῶν ὑπαρχουσῶν προτάσεων. πῶς ἡ καθόλου ἀποφατική, ἀντιστρέφει πρὸς ἑαυτήν. καὶ πῶς ἡ καθόλου καταφατική, ἀντιστρέφει πρὸς τὸ ἐν μέρει καταφατικόν. ὡσαύτως δὲ καὶ ἡ ἐν μέρει. νῦν παραγίνεται καὶ ἤδη τῶν ἀναγκαίων προτάσεων δεῖξαι. πῶς ἡ καθόλου ἀποφατικὴ ἀντιστρέφει πρὸς ἑαυτήν. ἡ δὲ πᾶς καὶ ἡ τίς. πρὸς τὴν τίς. προέταξε δὲ τὰς ὑπαρχούσας προτάσεις τῶν ἀναγκαίων, διὰ τὸ ἁπλουστέραν ἔχειν ταύτας τὴν ἀπόδειξιν. ζητεῖται διατί ἐν τῷ περὶ ἑρμηνείας, οὐκ ἐμνημόνευσε τῶν μετὰ τρόπου προτάσεων προσδιορισμῶν. τὸ ἀναγκαῖον μηδενὶ εἶναί φημι. καὶ τὸ ἀναγκαῖον παντὶ εἶναι. καὶ τὸ ἐνδέχεται μηδενὶ εἶναι. καὶ τὸ ἐνδέχεται παντὶ εἶναι. ἀλλ᾽ ἀπροσδιορίστους ταύτας ἐξήνεγκεν ἁπλῶς. δυνατὸν εἶναι. οὐκ ἀδύνατον εἶναι. ἐνδεχόμενον εἶναι. οὐκ ἀναγκαῖον εἶναι. ἐνταῦθα δὲ λαμβάνει προσδιωρισμένας τὰς ἀναγκαίας προτάσεις. καὶ λέγομεν ὅτι φιλοσύντομος ὢν ὁ Ἀριστοτέλης περὶ προσδιορισμῶν. ἐν τῷ περὶ ἑρμηνείας προσδιδάξας καὶ τὰς ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεις προσδιωρισμένως λαβών, περιττὸν ἡγήσατο τὰς μετὰ τρόπου προτάσεις προσδιωρισμένως ἐπενεγκεῖν, ἀλλ᾽ ἀφεῖκε διδοὺς τοῖς μανθάνουσι προσδιωρισμένας ταύτας προσφέρειν. ἐνταῦθα δὲ περὶ γενέσεως συλλογισμῶν διαλαμβάνων, ἐπεὶ ἀδύνατόν ἐστι συλλογισμὸν γενέσθαι ἄνευ τοῦ ληφθῆναι προσδιωρισμένην καθόλου πρότασιν, τούτου χάριν καὶ τὰς μετὰ τρόπου προτάσεις προσδιωρισμένως λαμβάνει. καὶ ὅτι μερικοῦ προσδιορισμοῦ προσληφθέντος ἐν ταῖς προτάσεσι, καὶ τὸ συμπέρασμα μερικὸν συνάγεται. Ἔτι καὶ τοῦτο ζητεῖται πῶς παρώρμησε δεῖξαι ἤδη τῶν ἀναγκαίων προτάσεων τὴν καθόλου ἀποφατικὴν πρὸς ἑαυτὴν ἀντιστρέφουσαν. ἔλαβε τὴν ἀνάγκη μηδενὶ εἶναι. ἣν ἐν τῷ περὶ ἑρμηνείας, οὐκ ἀπόφασιν ἀλλὰ κατάφασιν ἐκ μεταθέσεως εἴρηκεν. λέγων ἐκεῖ ἀνάγκη μὴ εἶναι. ὡσαύτως καὶ ἐνδέχεται μὴ εἶναι λέγων κατάφασιν. ἐνταῦθα δὲ τὴν ἐνδέχεται μηδενὶ εἶναι λαμβάνει ὡς ἀπόφασιν. καὶ λέγομεν ὅτι αἱ ἀντικείμεναι προτάσεις ἀντιφατικῶς λαμβάνονται. εἰ τὸν τρόπον μόνον ἀναιροῦσαι ὡς τῇ ἀνάγκη παντὶ ἀντίκειται, ἡ οὐκ ἀνάγκη παντὶ ἥτις ἀναιροῦσα τὸ ἀναγκαῖον, ἀόριστος ἔμεινε καθόσον οὐκ εἰσάγει ἕτερον τρόπον, ἢ τὸ δυνατὸν ἢ τὸ ἐνδεχόμενον. καὶ γὰρ ἐν τῷ περὶ ἑρμηνείας ἀποφάσεις ἔλεγε, τὰς ἐχούσας τὴν οὐ ἄρνησιν ἐν τῷ τρόπῳ προσκειμένην, ἢ τὴν ὅλην πρότασιν ἀναιροῦσιν αἱ ἀντικείμεναι. τῇ γὰρ ἀνάγκη παντὶ προτάσει, ἐστι ποσὸν τὸ καθόλου ποιὸν τὸ καταφατικόν. τρόπος ὁ ἀναγκαῖος, ταῦτα κυρίως κατὰ πάντα ἀντίκειται. καὶ κατὰ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὸν τρόπον, ἡ ἐνδέχεται μὴ παντί. καὶ πάλιν τῇ ἀνάγκη τινί. ἐν μὲν τῷ περὶ ἑρμηνείας εἶπεν ἀντικειμένην, τὴν οὐκ ἀνάγκη τινί. ἣν καὶ ἀόριστον λέγομεν. ἐνταῦθα δὲ τὴν ἐνδέχεται μηδενί. καὶ ἐπειδὴ ἀπὸ ἀορίστων προτάσεων συλλογισμὸς οὐ γίνεται, ἀόριστον γὰρ συνάγεται τὸ συμπέρασμα. χρεία δὲ μᾶλλον ἐν τοῖς συλλογισμοῖς τῶν ὡρισμένων προτάσεων. ὡς καὶ ὡρισμένον συναγουσῶν συμπέρασμα, διὰ τοῦτο καὶ ἐνταῦθα τὴν ἀνάγκη μηδενὶ καὶ τὴν ἀνάγκη παντὶ ὡς ὡρισμένας παρέλαβε. τὰς δὲ οὐκ ἀνάγκη παντὶ καὶ τὴν οὐκ ἀνάγκη τινὶ ὡς ἀορίστους κατέλειψεν. ὡς μὴ χρησιμευούσας εἰς γένεσιν συλλογισμοῦ. ἴσως δ᾽ ἄν τις εἴποι εἰ οὖν ἐν ἀντίκειται, πῶς τῇ ἀνάγκη παντὶ δύο φησὶν ἀντικεῖσθαι τήν τε οὐκ ἀνάγκη παντὶ καὶ τὴν ἐνδέχεται μὴ παντί. ὡσαύτως καὶ τῇ ἀνάγκη τινί, τὴν οὐκ ἀνάγκη τινί. καὶ τὴν ἐνδέχεται μηδενί. καὶ λέγομεν ὅτι ἡ ἐνδέχεται μηδενί, ἰσοδυναμεῖ τῇ οὐκ ἀνάγκη τινί. καὶ ἡ ἐνδέχεται μὴ παντὶ τῇ οὐκ ἀνάγκη παντί. εἰ γὰρ τὸ λευκὸν οὐκ ἀνάγκη παντὶ ὑπάρχειν κύκνῳ, ἐνδέχεται καὶ μὴ παντὶ κύκνῳ ὑπάρχειν τὸ λευκόν. καὶ εἰ τὸ λέγεσθαι οὐκ ἀνάγκη τινὶ ἀνθρώπῳ ὑπάρχειν, ἐνδέχεται καὶ μηδενὶ ἀνθρώπῳ ὑπάρχειν. ὡσαύτως καὶ τῇ ἐνδέχεται τινί, ἀντίκειται ἡ οὐκ ἐνδέχεται τινί. καὶ ἡ ἀνάγκη μηδενί. ἰσοδυναμοῦσι γὰρ ἀλλήλαις αὗται. εἰ γὰρ τὸ ἵπτασθαι οὐκ ἐνδέχεται τινὶ ὑπάρχειν ἀνάγκη, καὶ μηδενὶ ὑπάρχειν. καὶ λοιπὸν εἰ καὶ β΄ φαίνονται τῇ προφορᾷ. ἀλλὰ τῷ σημαινομένῳ ἕν εἰσιν. ὥστε ἓν ἑνὶ ἀντίκειται. καὶ ἐπεὶ τὸ ἀνάγκη μηδενὶ ἰσοδυναμεῖ τῇ ἀποφάσει τῇ οὐκ ἐνδέχεται τινί, καλῶς ἄρα τὴν ἀνάγκη μηδενὶ ἀποφατικὴν ἔλαβεν καθόλου ὡς δύναμιν ἔχουσαν ἀποφάσεως. κἂν τῷ σχήματι καταφατικὴ δοκῇ. Ἔτι ζητεῖται εἰ τὴν ἀνάγκη μηδενί φησιν ἀντικεῖσθαι τῇ ἐνδέχεται τινί. καὶ τῷ τρόπῳ καὶ τῷ ποσῷ καὶ τῷ ποιῷ. πῶς οὐκ ἐμνημόνευσε τῶν τοιούτων ἀντικειμένων, ἐν τῷ περὶ ἑρμηνείας. ἀλλ᾽ ἐκείνων εἶπεν ἀντικειμένων. ἐν αἷς ἡ οὐ ἄρνησις τῷ τρόπῳ πρόσκειται. καὶ λέγομεν διὰ τὴν ἐνδεχομένην ὕλην τοῦτο ποιῆσαι. ἤδη ταύτης γὰρ εἰ οὐ πρόσκειται ἡ οὐ ἄρνησις τῷ τρόπῳ, ἀπόφασις οὐκ ἔσται. ἡ γὰρ ἐνδέχεται πάντα ἄνθρωπον λούεσθαι. καὶ ἡ ἐνδέχεται μηδένα ἄνθρωπον λούεσθαι συναληθεύουσιν οὐκ ἀντιφάσκουσιν. ἀλλὰ θεωρητέον τὸ κείμενον. Εἰ τὸ α΄ τὸ ζῷον οὐδενὶ τῷ β΄ τῷ λίθῳ ὑπάρχει. ἀνάγκη καὶ τὸ β΄ τὸν λίθον οὐδενὶ ὑπάρχειν τῷ α΄ ἤγουν τῷ ζῴῳ. εἰ δέ τις λέγοι ψεύδεσθαι τοῦτο, τὸ β΄ μηδενὶ τῷ α΄ ὑπάρχειν, ἀληθεύσει ἡ ἀντιφατικῶς ταύτῃ ἀντικειμένη. ἡ ἐνδέχεται τὸ β΄ τινὶ τῷ α΄ ὑπάρχειν. εἰ δὲ ἡ τὶς ἀντιστρέφει πρὸς ἑαυτήν, καὶ τὸ α΄ ἐνδέχεται τινὶ τῷ β΄ ὑπάρχειν. ἀλλ᾽ ἦν τὸ α΄ καὶ οὐδενὶ τῷ β΄ ἐξ ἀνάγκης. πόθεν οὖν τὰ ἀντικείμενα συνήχθησαν ἤδη τοῦ ἀδυνάτου. ἢ πάντως, ἐκ τοῦ ὑποθέσθαι τὸ β΄ ἐνδέχεσθαι τινὶ τῷ α΄ ὑπάρχειν. ψεῦδος ἄρα τοῦτο καὶ ἀληθὲς τὸ, τὸ β΄ οὐδενὶ τῷ α΄ ἐξ ἀνάγκης ὑπάρχει. εἰ δέ τις εἴποι πῶς εἰς ἀπόδειξιν τοῦ ἀντιστρέφειν τὴν ἀνάγκη μηδενί, ἐχρήσατο τῇ ἐνδεχομένῃ μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ καὶ ταύτας μήπω διδάξας ὅτι τὸ, τινὶ ἐνδέχεται ἀντιστρέφει πρὸς ἑαυτό. καὶ λέγομεν. κυρίως ἐνδεχόμενόν ἐστι τὸ ἤδη τοῦ μέλλοντος χρόνου λαμβανόμενον. ὡς τὸ ἐνδέχεται τὸν Σωκράτην λουθῆναι. ὅταν δὲ εἰς ἔκβασιν ἔλθῃ τὸ ἐνδεχόμενον καὶ λουθῇ ὁ Σωκράτης,

ἐνδεχόμενον. ταυτὸν ἐστὶ τῷ δυνατῷ. εἰπὼν γοῦν ἐνδέχεσθαι, συμπεριέλαβε καὶ τὸ δυνατόν, καθ' ἑκάστην πρόσρη-
σιν. ἤγουν καθ' ἑκάστην προσθήκην τοῦ τρόπου. καὶ γὰρ ἐπὶ τοῦ ἀναγκαίου τρόπου καὶ ἐπὶ πάντων εὑρήσεις καὶ κατα-
φατικὰς προτάσεις καὶ ἀποφατικάς. καὶ καθόλου καὶ μερικάς. καὶ ἀπροσδιορίστους. καὶ ἡ μὲν καθόλου στερητικὴ
ἡ ἐν τῷ ὑπάρχοντι τρόπῳ, ἤγουν ἡ οὐδείς, ἀντιστρέφει πρὸς ἑαυτήν, ἐν τοῖς ὅροις. ἤγουν ἐναλλαττομένης τῆς τά-
ξεως τῶν ὅρων. εἰ γὰρ τῶν ἀγαθῶν οὐδὲ μία ἡδονή. καὶ ἡ ἡδονὴ οὐδενὶ ἀγαθῷ. Ἐνταῦθά τινες σοφίζονται, ἐνίστανται
τῇ οὐδείς, μὴ πρὸς ἑαυτὴν ἀντιστρέφειν. λέγοντες οὐδεὶς τοῖχος ἐστὶν ἐν πασσάλῳ. ἡ δὲ ἀντιστροφὴ οὐκ ἀληθής. ἡ
οὐδεὶς πάσσαλος ἐν τοίχῳ. γέγονε δὲ ἡ ἀπάτη ἐνταῦθα, διὰ τὸ μὴ λαβεῖν τὸ ὅλον κατηγορούμενον ὡς ὑποκείμενον.
ἐν γὰρ τῷ οὐδεὶς τοῖχος ἐν πασσάλῳ ἐστίν. τὸ μὲν τοῖχος ἐστὶν ὑποκείμενον. τὸ δὲ ἐν πασσάλῳ, κατηγορούμενον. οὐκ ἔλα-
βε γοῦν ἐν τῇ ἀντιστροφῇ, τὸ ὅλον κατηγορούμενον. παρέλαβε γὰρ τὸ ἐστίν. οὕτω γὰρ ὤφειλεν εἰπεῖν ἀντιστρέφων
καὶ οὐδὲν ὂν ἐν πασσάλῳ, τοῖχος ἐστί. καὶ οὐδεμία κολόκυνθα τέμνει μάχαιραν. οὐκ ἀληθὴς δὲ ἡ ἀντιστροφή, ἡ οὐ-
δεμία μάχαιρα τέμνει κολόκυνθαν. διὰ τὸ μὴ λαβεῖν τὸ ὅλον κατηγορούμενον, ὡς ὑποκείμενον. κατηγορούμενον
δὲ ἦν τὸ μάχαιραν τέμνει. οὕτω γοῦν ἔδει εἰπεῖν· καὶ οὐδὲν τὸ τέμνον μάχαιραν, κολόκυνθά ἐστι. καὶ οὐδεὶς κέ-
ραμος ἐν οἴνῳ ἐστίν. οὐκ ἀληθὴς δὲ ἡ ἀντιστροφή. ὡς ἐν τοῖς ἄνω εἴπομεν. εἰ δὲ καὶ ἡ πᾶς εἰς ὕπαρξιν ὑπάγουσα τι-
μιωτέρα τῆς οὐδεὶς προτάττεται ταύτης. διὰ τὸ ἀντιστρέφειν πρὸς ἑαυτὴν τὴν πᾶς ἀντιστρέφουσαν πρὸς τὴν τίς. ἀντι-
στρέφειν μὲν τὴν πᾶς ἀναγκαῖον. οὐ μὴν καθόλου ἤγουν πρὸς ἑαυτήν. ἀλλ' ἐν μέρει ἤγουν πρὸς τὴν τίς. εἰ γὰρ τὸ ἀγα-
θὸν πᾶσα ἡδονή, καὶ ἡ ἡδονὴ τινὶ ἀγαθῷ. πᾶσα δὲ ἡδονή ἐστιν ἡ ἐκ τῆς γνώσεως προσγινομένη ἡμῖν. καὶ ἡ
ἐκ τῶν τῆς ἀρετῆς ἐργασιῶν. τὸ δὲ ἀγαθόν, οὐ μόνον λέγεται ἐπὶ τῆς τοιαύτης ἡδονῆς, ἀλλὰ καὶ ἐν οὐσίᾳ τὸ ἀγαθὸν
θεωρεῖται. καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ. τῶν δὲ μερικῶν προσδιορισμῶν. τὴν μὲν κατηγορικὴν τὴν τίς ἀνάγκη ἀντιστρέ-
φειν κατὰ μέρος ἤγουν πρὸς ἑαυτήν. εἰ γὰρ τὸ ἀγαθὸν τινὶ ἡδονῇ, καὶ ἡ ἡδονὴ τινὶ ἀγαθῷ. ἡδονὴν τινὰ εἶπεν εἶ-
ναι ἀγαθὴν ἣν ἄνω εἴπομεν. ἡ γὰρ τῶν κιναίδων, οὐκ ἀγαθή. ἔχεις δὲ εἰπεῖν ὅτι καὶ ἐν τοῖς παραδείγμασιν,
οὐκ ἀκριβείᾳ χρῆται. προέταξε δὲ τὴν τίς τῆς οὐ πᾶς, διότι ἡ τίς ὡρισμένη πρὸς ἑαυτὴν ἀντιστρέφει ἐπὶ πάσης ὕ-
λης. ἡ δὲ οὐ πᾶς μὴ τινί. ἤγουν μὴ παντὶ ζῴῳ ὑπάρχει, τὸ ζῷον οὐχ ὑπάρχει τινὶ χοίρῳ. ἤγουν ὑπάρχει οὐχὶ ἐν
παντὶ ἀλλὰ τινί. Ἐπὶ δὲ τῆς ἀδυνάτου ὕλης, ἀντιστρέφει πρὸς τὴν οὐδείς. εἰ γὰρ ὁ ἀετὸς οὐ παντὶ πτερωτῷ. καὶ
τὸ πτερωτὸν οὐδενὶ ἀετῷ. ἐπὶ δὲ τῆς ἐνδεχομένης ὕλης, ἡ πρὸς ἑαυτὴν ἀντιστρέφει, ἡ πρὸς τὴν τίς. εἰ γὰρ τὸ λευκὸν οὐ
παντὶ ἀετῷ, ὁ ἀετὸς ἢ οὐ παντὶ λευκῷ ἐρεῖς ἢ τινί. Πρὸς τὸν ἀριστοτέλην λέγοντα τὴν πᾶς ἀντιστρέφειν πρὸς τὴν
τίς. ἐπάγουσι τινὲς σοφίσματα τοιαῦτα. δεικνύοντες τὴν πᾶς μὴ ἀντιστρέφειν πρὸς τὴν τίς. οἷον πᾶς γέρων
νέος ἦν πρότερον. οὐκ ἀληθὲς δὲ καὶ τὸ τὶς νέος, γέρων ἦν πρότερον. γέγονε δὲ ἡ ἀπάτη διότι κατηγορούμενον
ἐστὶ τὸ νέος ἦν πρότερον. οὐκ ἐλήφθη δὲ ὅλος ὑποκείμενον. εἰ δὲ ληφθῇ, ἀληθὴς ἔσται ἡ ἀντιστροφὴ ὅτι τὶς νέος ὢν
πρότερον γέρων ἐστί. καὶ πάλιν πᾶσα γυνὴ παρθένος ἦν, οὐκ ἀληθὲς δὲ καὶ τὸ τὶς παρθένος γυνὴ ἦν. ἀλλὰ τὸ
τὶς παρθένος οὖσα πρότερον γυνή ἐστιν, ἀληθές. γυνὴ δὲ ἡ γεγαμημένη. Δείξας διὰ παραδειγμάτων πῶς
ἀντιστρέφουσιν οἱ προσδιορισμοί. μέλλει τοῦτο δεῖξαι καὶ ἀποδεικτικώτερον. λαμβάνει δὲ τὰ στοιχεῖα. διότι
ἐκεῖ ἐλάμβανεν ὅρους καὶ ἐδείκνυεν ὅπως ἀντιστρέφουσιν. ἀλλ' ἦν ἄν τις ἐκ τῶν ληφθέντων ὅρων γενέσθαι, ποιεῖν δεῖν
ἀντιστροφήν. εἰ δὲ ἕτεροι εἶναι ὅροι ληφθῶσιν, οὐκ ἂν ἡ οὐδεὶς ἀντιστρέψῃ πρὸς ἑαυτήν. καὶ διὰ τοῦτο λαμβάνει τὰ στοι-
χεῖα. ἄδειαν διδοὺς τῷ ἀκροατῇ, οἵους ἂν βούληται ὅρους λαμβάνειν. διδάσκει δὲ πρῶτον περὶ τῆς οὐδείς, διὰ τὸ
χρησιμεύειν αὐτῷ ταύτην, εἰς ἀπόδειξιν τῆς ἀντιστροφῆς τῶν ἄλλων προσδιορισμῶν. εἰ γὰρ τὸ α ἤγουν τὸ ζῷον
οὐδενὶ τῷ β ὑπάρχει. ἤγουν οὐδενὶ λίθῳ. καὶ τὸ β ἤγουν ὁ λίθος οὐδενὶ ὑπάρξει τῷ α ἤγουν τῷ ζῴῳ. εἰ δέ τις
λέγει ὅτι ψεύδεται ὁ λέγων τὸ β οὐδενὶ τῷ α ὑπάρχει. ἀληθεύει δὲ ὁ λέγων τὸ β τινὶ τῷ γ ὑπάρχει, λοι-
πὸν ψευδής ἐστι καὶ ἡ πρότασις. ἡ τὸ α τὸ ζῷον, μηδενὶ τῷ β ὑπάρχει. ἤγουν τῷ λίθῳ. ὅπως δὲ ἐστι ψευδὴς ὅρα. εἰ
γὰρ ὁ λίθος κατά σε οὐκ ἔτι οὐδενὶ ζῴῳ ἀλλὰ τινὶ ζῴῳ, λάβε τι μόριον τοῦ ζῴου. ἤγουν τὸν ἵππον. καθ' οὗ ὁ λίθος
κατηγορεῖται. ὁ γοῦν ἵππος, μόριον ἐστὶ καὶ τοῦ ζῴου. ἔστι δὲ ὡς λέξεις καὶ τοῦ λίθου. εἰ γὰρ ὁ λίθος κατὰ τοῦ ἵππου κα-
τηγορεῖται. πᾶν δὲ τὸ κατηγορούμενον κατά τινος ὡς ὅλον περιέχει ἐκεῖνο καθ' οὗ κατηγορεῖται. ἤγουν οὐσιωδῶς καὶ
μὴ κατὰ συμβεβηκὸς κατηγορεῖται. ὡς ὁ ἄνθρωπος κατηγορούμενος κατὰ τοῦ σωκράτους, ὡς ὅλος κατηγορεῖται κατ' αὐ-
τοῦ. ὁ ἵππος οὖν ἄρα μέρος ἐστὶ τοῦ λίθου. καὶ εἰ μέρος ἐστὶν αὐτοῦ, ψεύδεται λοιπὸν ἡ πρότασις ἡ τὸ ζῷον κατ' οὐδε-
νὸς ὑπάρχειν λέγουσα λίθου. τὸ γὰρ κατ' οὐδενός, οὕτως ὡρίσατο. ὅταν οὐκ ἔστι τι μόριον τοῦ ὑποκειμένου. ἀφ' οὗ οὐκ
ἀπαγορευθήσεται ὁ κατηγορούμενος. εἰ γοῦν ὁ ἵππος μέρος τοῦ λίθου, πῶς τὸ ζῷον οὐδενὶ λίθῳ ῥηθήσεται. ἀπὸ γὰρ τοῦ ἵπ-
που, οὐκ ἀπαγορευθήσεται τὸ ζῷον. διότι καὶ μέρος τοῦ ζῴου ἐστί. ἐπεὶ γοῦν ἄτοπον τι συνάγεται ἀπὸ τοῦ λέγειν σε
τὸ β τινὶ τῷ α ὑπάρχειν, λοιπὸν ἀληθές ἐστι τό, ὁ λίθος οὐδενὶ ζῴῳ. ψεύδεται δὲ τὸ τινί. τὸ δὲ λευκὸν κατὰ συμ-
βεβηκὸς κατηγορούμενον τοῦ αὐτοῦ οὐχ ὡς ὅλον αὐτοῦ κατηγορεῖται διότι οὐδὲ περιέχει τὸν ἄνθρωπον. ἡ δὲ ἀπόδειξις αὕ-
τη, οὐκ ἔστι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. κἂν ὁ ἐξηγητὴς λέγει διὰ ταύτης γενέσθαι τὴν ἀπόδειξιν. εἰ δὲ τῷ α
ἤγουν τὸ ζῷον παντὶ ὑπάρχει τῷ β ἤγουν τῷ ἀετῷ καὶ τὸ β ἤγουν ὁ ἀετὸς ὑπάρξει τινὶ τῷ α. εἰ δέ τις λέγει
μὴ τινὶ ὑπάρχειν, ἀλλὰ τὸ β ὁ ἀετὸς μηδενὶ ὑπάρχει τῷ α. ἤγουν τῷ ζῴῳ. οὐδὲ τὸ α ἤγουν τὸ ζῷον ὑπάρξει
οὐδενὶ τῷ β ἤγουν τῷ ἀετῷ. ἡ γὰρ οὐδεὶς ὡς δέδεικται ἀντιστρέφει πρὸς ἑαυτήν. ἀλλ' ὑπέκειτο τὸ α παντὶ ὑπάρ-
χειν τῷ β. πῶς γοῦν ἔσται τὸ α καὶ παντὶ τῷ β καὶ οὐδενί. καὶ ἐπεὶ τὸ ἄτοπον τοῦτο συνήχθη ἐκ τοῦ ὑποθέσθαι σε
τὸ β μηδενὶ ὑπάρχειν τῷ α. λοιπὸν ψευδές ἐστι τὸ οὐδενί. ἀληθὲς δὲ ἔτι τὸ β τινὶ ὑπάρχει τῷ α. Δείξας
τὴν πᾶς πρὸς τὴν τὶς ἀντιστρέφουσαν, φησίν. ὁμοίως δὲ καὶ ἐὰν κατὰ μέρος ἐστὶν ἡ πρότασις. ἤγουν ὁμοίως δὲ καὶ ἡ με-
ρικὴ καταφατική. ἡ τὶς πρὸς ἑαυτὴν ἀντιστρέφει. ἤγουν πρὸς τὴν τίς. εἰ γὰρ τὸ α ἤγουν τὸ λευκὸν τινὶ τῷ β ὑπάρ-

προσδεομένους μηδενὸς ἄλλου. ἤγουν ἀντιστροφῶν τινὸς πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον ἤγουν τὸ συμπέ-
ρασμα. ἐν γὰρ τῷ α΄ σχήματι τὸ συναγόμενον συμπέρασμα, τὸ ἀξιόπιστον ἔχει καὶ βέβαιον, ἐξ αὐτῶν τῶν ληφθεισῶν
προτάσεων. καὶ οὐ διὰ τῆς ἀντιστροφῆς τελειοῦται. ἀτελεῖς δὲ συλλογισμοί εἰσιν οἱ ἐν β΄ καὶ γ΄ σχήματι. οἵτινες
οὐκ ἀπὸ τῶν ληφθεισῶν προτάσεων συνάγουσί τι συμπέρασμα βέβαιον. ἀλλὰ προσδέονται ἑνός. ἤγουν μιᾶς
ἀντιστροφῆς ἢ καὶ πλειόνων. ἤγουν δύο, πρὸς τὸ δεῖξαι τὸ συμπέρασμα, ἀναγκαῖον καὶ βέβαιον. ἅτινα ἤγουν
ἅτινα δὴ ἀντιστροφαί, εἰσὶ μὲν ἀναγκαῖαι. καὶ ἐν τοῖς ληφθεῖσιν ὅροις κεκρυμμέναι. οὐ μέντοι γε δὲ ἐλλιπεῖαι. ἤ-
τοι φανερῶς κεῖνται ἐν τοῖς ληφθεῖσιν ὅροις. καὶ προτάσεσιν. ὧν. σημείων γὰρ δέονται, πρὸς τὸ φανερὰ γε-
νέσθαι τῇ τῶν ὅρων ἐναλλαγῇ. χάριν οὖν ὑποδείγματος προσκείσθω ὁ συλλογισμὸς οὗτος, ἐν β΄ σχήματι
τὸ ζῶον οὐδενὶ λίθῳ. τὸ ζῶον παντὶ ἀνθρώπῳ. ὁ λίθος ἄρα οὐδενὶ ἀνθρώπῳ. εἰ δέ τις ἐρωτήσει καὶ πόθεν δῆλον ὅτι ὁ λί-
θος οὐδενὶ ἀνθρώπῳ ἐστίν. ἀπὸ γὰρ τῶν ληφθεισῶν προτάσεων τὸ βέβαιον οὐκ ἔχει τὸ συμπέρασμα, ὥστε χρήσα-
σθαι τῇ ἀντιστροφῇ καὶ εἰπεῖν. εἰ τὸ ζῶον οὐδενὶ λίθῳ. καὶ ὁ λίθος οὐδενὶ ζώῳ. τὸ ζῶον παντὶ ἀνθρώπῳ. καὶ ὁ λίθος ἄρα
οὐδενὶ ἀνθρώπῳ. εἰ δέ τις ἐρεῖ τί δὲ οὐκ ἀτελής ἐστιν ὁ ἔξωθεν συλλογισμὸς προσδεόμενος ὅρου. πρὸς τὸ συνάξαι τὸ
συμπέρασμα. καὶ λέγομεν ὅτι ὁ τοιοῦτος, οὐδὲ συλλογισμὸς ὅλως λέγεται. τὸ δὲ ἐν ὅλῳ καὶ τὸ κατὰ παντός, ταυ-
τὰ μέν εἰσι τῷ ὑποκειμένῳ. τῷ δὲ λόγῳ καὶ τῇ σχέσει ἕτερα. ἔστω γὰρ πρότασις ὁ ἄνθρωπος ζῶόν ἐστιν. εἰ μὲν οὖν ἀρξά-
μενος τὸν ἄνθρωπον, λέγεται ἐν ὅλῳ. οἷον, ὁ ἄνθρωπος, ἄνθρωπος. ζῶον. ἐν ὅλῳ ἐστὶ τῷ ζώῳ. ἐπειδή τι περιέχεται ὑπὸ τὸ ζῶον ὡς
ὅλου ὄντος. εἰ δὲ ἀπὸ τοῦ ζώου ἄρξει, λέγεται τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου ὑπάρχειν. κατὰ παντὸς δέ ἐστιν. ὅταν οὐκ ἔστι
τι μέρος τοῦ ὑποκειμένου. ἤγουν τοῦ ἀνθρώπου. καθ᾽ οὗ οὐ κατηγορεῖται τὸ ζῶον. μέρη δὲ τοῦ ἀνθρώπου. οἱ μερικοὶ ἄνθρω-
ποι. ὡσαύτως καὶ τὸ μὴ ἐν ὅλῳ καὶ τὸ κατὰ μηδενός, ταυτὰ τῷ ὑποκειμένῳ εἰσί. τῇ δὲ σχέσει ἕτερα. ὡς ἐπὶ τῆς προ-
τάσεως τῆς τὸ ζῶον οὐδενὶ λίθῳ ἐστίν. εἰ μὲν οὖν ἀρξάμενος ἐκ τοῦ λίθου πρὸς τὸ ζῶον, λέγεται ὁ λίθος μὴ ἐν ὅλῳ εἶ-
ναι τῷ ζώῳ. οὐ γὰρ ὁ λίθος μέρος ἐστὶ τοῦ ζώου. εἰ δὲ ἀπὸ τοῦ ζώου κάτεισι πρὸς τὸν λίθον, ῥηθήσεται τὸ ζῶον κατ᾽
οὐδενὸς ὑπάρχειν λίθου. κατ᾽ οὐδενὸς δὲ λέγεται, διότι οὐκ ἔστι τι μέρος τοῦ λίθου ἀφ᾽ οὗ οὐκ ἀπαγορεύεται τὸ ζῶον.
ἐπειδὴ οἱ ἐν τῷ β΄ καὶ γ΄ σχήματι συλλογισμοὶ τελειοῦνται δι᾽ ἀντιστροφῆς, διὰ τοῦτο διδάσκει καὶ περὶ ταύ-
της. τὸ δὲ ἐναντίον ἤτοι τὸ ἀντί, ἀντὶ τοῦ ἴσου ἐκληπτέον κεῖται καὶ τὸ ἐναντίον σημαίνει. ἡ γὰρ ἀντιστροφή, ἰσο-
στροφή τίς ἐστι. καθὸ καὶ ἡ ἀντιστρεφομένη πρότασις. καὶ ἡ ἐκ τῆς ἀντιστροφῆς ἀντιγενομένη περὶ τὰ ἴσα καὶ
τὰ αὐτά. ἤγουν περὶ τοὺς αὐτοὺς ὅρους καταγίνονται. οἷον τὸ ζῶον παντὶ ἀνθρώπῳ. καὶ ὁ ἄνθρωπος τινὶ ζώῳ. ἔστι δὲ ἡ ἀντιστρο-
φὴ κοινωνία δύο προτάσεων κατ᾽ ἀμφοτέρους τοὺς ὅρους. τοῦ μὲν ποιοῦ τοῦ αὐτοῦ μένοντος. τῆς τάξεως δὲ τῶν ὅ-
ρων ἐναλλαττομένης μετὰ τοῦ συναληθεύειν. καὶ τὸ μὲν κοινωνία δύο προτάσεων κατ᾽ ἀμφοτέρους τοὺς ὅρους,
λαβὼν ἀντὶ γένους. τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν. κοινωνοῦσι γὰρ αἱ δύο προτάσεις, ἥτε τὸ ζῶον παντὶ ἀνθρώπῳ,
καὶ ἡ ἄνθρωπος τινὶ ζώῳ. καὶ συναληθεύουσιν. ἐναλλαγὴ δὲ γέγονε τῆς τάξεως τῶν ὅρων ἐν αὐταῖς. καθὸ ἡ μὲν τῷ
ζώῳ παντὶ ἀνθρώπῳ, τὸ ζῶον ἔλαβεν ὡς κατηγορούμενον. τὸν δὲ ἄνθρωπον ὡς ὑποκείμενον. ἡ δὲ τὸν ἄνθρωπον τινὶ ζώῳ ὑπάρχειν. τὸν
μὲν ἄνθρωπον ἔχει ὡς κατηγορούμενον. τὸ δὲ ζῶον ὑποκείμενον. ἀλλὰ καὶ ἐν ἀμφοτέραις τὸ αὐτὸ ποιὸν διατηρεῖ-
ται. καταφατικαὶ γὰρ καὶ ἀμφότεραι. ποιὸν γοῦν ἐστιν ἐπὶ προτάσεων, τὸ καταφατικὸν ἢ ἀποφατικόν.
ποσὸν δὲ τὸ καθόλου ἢ μερικόν. καὶ διὰ μὲν τοῦ ποιοῦ τοῦ αὐτοῦ μένοντος διέστειλε τὴν ἀντιστροφήν, ἀπὸ τῆς συν-
αντιθέσεως ἀντιστροφῆς. συναντιθέσεως δὲ ἀντιστροφή ἐστιν, ὅταν ἀντιστρέφων λάβῃς καὶ τὸ ἀντικείμενον
τοῦ ὑποκειμένου καὶ τοῦ κατηγορουμένου. ἀντιστρέφων δὲ ἄρξῃ ἀπὸ τοῦ κατηγορουμένου. οἷον εἰ ὁ ἄνθρωπος ζῶόν
ἐστι, τὸ μὴ ζῶον ἄνθρωπος οὐκ ἔστι. εἰ δὲ ἄρξῃ ἀπὸ τοῦ ὑποκειμένου εἰπὼν τὸ μὴ ἄνθρωπος ζῶον οὐκ ἔστι ψεῦδος ἐστι. ὁ γὰρ
ἵππος μὴ ἄνθρωπος ὤν, ζῶόν ἐστι. τὸ δὲ τῆς τάξεως τῶν ὅρων ἐναλλαττομένης κεῖται, διὰ τὴν ἐπὶ τῆς ἐνδεχομέ-
νης ὕλης ἀντιστροφήν. αὕτη γὰρ οὐκ ἐναλλάττει τοὺς ὅρους. εἰ γὰρ ἐνδέχεται τὸ λευκὸν παντὶ ἀνθρώπῳ ὑπάρχειν, ἐν-
δέχεται καὶ μηδενί. καὶ εἰ τινὶ ἐνδέχεται λευκὸν εἶναι, καὶ οὐ παντί. κεῖται δὲ τὸ μετὰ τὸ συναληθεύειν, διὰ τὴν ἀντι-
στροφὴν τὴν ἔχουσαν μὲν πάντα ταῦτα τὰ παρατηρήματα τῆς ἀντιστροφῆς. ἤγουν τὸ κοινωνεῖν καὶ τὰς
β΄ προτάσεις κατὰ τοὺς ὅρους. τὸ τηρεῖσθαι τὸ αὐτὸ ποιὸν καὶ τὸ ἐναλλάττεσθαι τοὺς ὅρους. μόνον δὲ τὸ συναληθεύειν
μὴ ἔχουσαν. οἷον, ὁ πᾶς ἄνθρωπος ζῶόν ἐστι, τοῦτο ἀληθές. ἡ δὲ ἀντιστροφὴ ἡ καὶ πᾶν ζῶον ἄνθρωπος, οὐκ ἀληθές.
Ἐπεὶ δὲ πᾶσα πρότασις ἢ ὑπάρχουσά ἐστιν ἢ ἀναγκαία. ἢ ἐνδεχομένη. ἐνταῦθα ὁ ἐξηγητὴς ἐνίσταται δ΄
μόνους εἶναι τρόπους. ἀναγκαῖον ἀδύνατον. δυνατὸν καὶ ἐνδεχόμενον. ὧν μόνον ἐμνημόνευσεν ὡς φησὶν ἐκεῖ-
νος, ἐν τῷ περὶ ἑρμηνείας. τὸν δὲ ὑπάρχοντα οὐ λέγει εἶναι τρόπον διὰ τὸ μὴ μνημονεῦσαι αὐτοῦ ἐν τῷ
περὶ ἑρμηνείας. καὶ συμβιβάζει τὸ κείμενον οὕτως. διὰ τοῦ εἰπεῖν πᾶσα πρότασις ἢ τοῦ ὑπάρχειν ἐστίν, ἐδήλω-
σε τὰς ἄνευ τρόπου προτάσεις. διὰ δὲ τοῦ ἢ ἐξ ἀνάγκης ἢ τοῦ ἐνδέχεσθαι, ἤγουν ἀναγκαία ἐστὶν ἢ ἐνδεχο-
μένη, ἐδήλωσε τὰς μετὰ τρόπου προτάσεις. ἐγὼ δὲ λέγω ὅτι καὶ τὸ ὑπάρχον, τρόπος ἐστίν. οὐ γὰρ ἐν τῷ περὶ ἑρ-
μηνείας εἴρηκε, δ΄ μόνους εἶναι τοὺς τρόπους. καὶ δῆλον ὅτι λέγων. ἀδύνατον, οὐκ ἀδύνατον. ἀναγκαῖον,
οὐκ ἀναγκαῖον. συνῆψε τούτοις, καὶ τὸ ἀληθὲς οὐκ ἀληθές. ἐμφαίνων ἐντεῦθεν, πλείους εἶναι τοὺς τρόπους.
ἀλλὰ καὶ περὶ μίξεων τρόπων διδάσκων, ποτὲ μιγνύει τὸ ἀναγκαῖον τῷ ἐνδεχομένῳ. ποτὲ δὲ τῷ ὑπάρχον-
τι. μνημονεύσας δὲ τοῦ ἀναγκαίου τρόπου, τὸ ἀδύνατον παρέλειψε. διότι ἀντίκεινται. ὁ μὲν γὰρ ἀναγκαῖος
ἀΐδιον ὕπαρξιν. ὁ δὲ ἀδύνατος ἀνυπαρξίαν. ἡ δὲ ὕπαρξις καὶ ἡ ἀνυπαρξία, ἀντικείμεναι. τῶν δὲ ἀντικειμένων,
μία ἐπιστήμη. εἰ δέ τις ἐρεῖ. καὶ τίνος χάριν οὐκ ἐμνημόνευσε τοῦ ἀδυνάτου, εἴπομεν πρὸς αὐτόν. διότι τὸ ἀναγ-
καῖον, τιμιώτερόν ἐστι τοῦ ἀδυνάτου ὡς ἀΐδιον ὕπαρξιν. τοῦ δὲ δυνατοῦ οὐκ ἐμνημόνευσε. διότι τὸ κυρίως

ἐνδεχόμενον

περιττὸν οὐκ ἔστι· καὶ λοιπὸν διὰ τῶν διῃρημένου τοῦ μὴ εἶναι, ἔλαβε καὶ τὰς ἀποφάσεις τὰς ἐξ ὑποκειμένου καὶ κατηγορουμένου. πρῶτον ὡρίσατο τὸν ὅρον ὡς ἁπλοῦν. εἶτα διδάσκει καὶ περὶ τοῦ συλλογισμοῦ συνθέτου ὄντος. τὰ γὰρ ἁπλᾶ τῶν συνθέτων πρότερα. Τὸ λόγος λαμβάνεται ἐνταῦθα ἀντὶ γένους. ἐν ᾧ τινῶν τῶν λόγων τεθέντων τινῶν. οὐκ εἶπεν ἑνικῶς τεθέντος τινὸς ἀλλὰ πληθυντικῶς, τεθέντων τινῶν. ἵνα δείξῃ ὡς πᾶς συλλογισμὸς, ἐκ δύο προτάσεων συγκεῖται. καὶ οὐκ ἐκ μιᾶς καὶ ἵνα διαστείλῃ τὸν συλλογισμὸν ἀπὸ τῶν παρὰ τοῖς ῥήτορσι μονολημμάτων συλλογισμῶν. μονολήμματοι δὲ λέγονται οὗτοι, διὰ τὸ λαμβάνειν ἐν αὐτοῖς μίαν πρότασιν τὴν ἐλάττονα καὶ εὐθὺς ἐπάγειν τὸ συμπέρασμα. τὴν δὲ μείζονα παρεᾶν. οἷον ὁ δεῖνα καλλωπιστής. τοῦτο, ἡ ἐλάττων πρότασις. μοιχὸς ἄρα. τοῦτο τὸ συμπέρασμα. ἡ δὲ μείζων, ἡ πᾶς καλλωπιστὴς μοιχὸς κατελήφθη. καὶ πάλιν ὁ δεῖνα νύκτωρ πλανᾶται. λῃστὴς ἄρα. λείπει ἡ μείζων πρότασις. ἡ πᾶς πλανώμενος νύκτωρ, λῃστής ἐστι. καὶ πάλιν ὁ δεῖνα ἀναπνεῖ. ζῇ ἄρα. λείπει ἡ μείζων πρότασις ἡ πᾶς ἀναπνέων ζῇ. καταλιμπάνουσι δὲ οἱ ῥήτορες τὴν μείζονα πρότασιν. διὰ τὸ πρὸς ὕδωρ ῥέον λέγειν, ἐν δικαστηρίῳ. οὐ γὰρ καιρὸς ἐφίεται αὐτῷ καὶ ἄδεια εἶχε λέγειν καὶ δικαιολογεῖσθαι, μέχρις ὅπου καὶ βούλεται. ἀλλ᾽ ἀρχομένου δικαιολογεῖσθαι, ἤρχετο καὶ ὕδωρ ῥεῖν καὶ ἵνα μὴ πληρωθῇ τὸ ὕδωρ καὶ ἐντεῦθεν κωλυθῇ ἕκαστος τοῦ δικαιολογεῖσθαι, σπουδάζων, κατελίμπανε τὴν μείζονα πρότασιν. παριὼν πάσας τὰς δικαιολογίας αὐτοῦ ἐξ ἀπάσης. ἢ κολακεύοντες τοὺς δικαστὰς τοῦ τὸ ἐπαινεῖν. ἐκχωροῦντες τοῖς δικασταῖς ληφθῆναι ταύτην. ὡς καὶ τοῖς συλλογιστικαῖς μεθόδοις ἐπιστήμοσι. τὸ δὲ τεθέντων, ἀντὶ τοῦ ὁμολογηθέντων. ἐν γὰρ τῷ συλλογισμῷ ὁμολογούμεναι προτάσεις λαμβάνονται καὶ οὐκ ἀμφιβαλλόμεναι. τέθεικε δὲ τὸ τεθέντων, διαστέλλων τὸν συλλογισμὸν, ἀπὸ τῶν ὑποθετικῶν συλλογισμῶν. ἐν τούτοις γὰρ οὐχ ὡς ὁμολογούμεναι αἱ προτάσεις. ἀλλὰ καθ᾽ ὑπόθεσιν λαμβάνονται. οἷον, εἰ ὁ θεὸς δίκαιος, ἀγαθὰ ποιεῖ. εἰ ἀγαθὰ ποιεῖ, ἀΐδια ποιεῖ. εἰ ὁ θεὸς δίκαιος, ἀΐδια ἄρα ποιεῖ. τὸ δὲ ἕτερον τέθεικε, διαστέλλων τὸν συλλογισμὸν, ἀπὸ τῶν διαφορουμένων συλλογισμῶν. οὗτοι δέ εἰσιν ἐν οἷς τὸ αὐτό ἐστι καὶ πρότασις καὶ συμπέρασμα. οἷον εἰ ἡμέρα ἐστὶν, ἡμέρα ἐστίν. ἀλλὰ μὴν ἡμέρα ἐστίν. εἶτα ἐπάγει τὸ συμπέρασμα. ἡμέρα ἄρα ἐστίν. ἐν δὲ τῷ συλλογισμῷ τὸ συμπέρασμα, ἕτερόν ἐστι τῶν κειμένων καὶ ληφθεισῶν προτάσεων. οἷον, ἡ οὐσία παντὶ ζώῳ. τὸ ζῷον παντὶ ἀνθρώπῳ. ἡ οὐσία παντὶ ἀνθρώπῳ. ὅτι δὲ τὸ συμπέρασμα ἕτερον δεῖ εἶναι τῶν ληφθεισῶν προτάσεων, δῆλον καὶ ἐκ τοῦδε. ἀεὶ τὸ ἕνεκά του, ἕτερόν ἐστι τοῦ οὗ ἕνεκα. οἷον, τὸ πηδάλιον, ἕνεκα τοῦ πλοίου ἐστί. τὸ δὲ πλοῖον οὐχ ἕνεκα τὸ πηδάλιον γέγονεν. ἕτερον ἄρα τὸ πηδάλιον τοῦ πλοίου ἐστί· καὶ αἱ προτάσεις ἕνεκα τοῦ συμπεράσματος λαμβάνονται. τὸ δὲ συμπέρασμά ἐστιν, οὗ ἕνεκα αἱ προτάσεις λαμβάνονται. ἕτερον ἄρα τὸ συμπέρασμα τῶν προτάσεων. τὸ δέ τι πρόσκειται, ἵνα δείξῃ ὅτι τὸ συναγόμενον συμπέρασμα, ὡρισμένον ἐστίν. ἢ γάρ τι, παντὶ συνάγεται μόνον. ἢ τὸ μηδενί. ἢ τὸ τινί. ἢ τὸ μὴ παντί. τὸ γάρ τι ὡρισμένον, τι δηλοῖ. ὥστε εἰπὼν, τὸ τι, ἀντιδιαστέλλει τὸν συλλογισμὸν τῶν ἀσυλλογίστων συλλογισμῶν. ἐν τούτοις γὰρ οὐδὲν ὡρισμένον συνάγεται οὔτε τὸ, παντί. οὔτε τὸ, οὐδενί. οὔτ᾽ ἄλλο τι. τὸ δὲ ἐξ ἀνάγκης εἶπεν, ἵνα δείξῃ ὅτι τὸ συμπέρασμα, ἀναγκαστικῶς συνάγεται. ἐπὰν γὰρ αἱ προτάσεις δοθῶσι καὶ συγχωρηθῶσιν, ἐξ ἀνάγκης ἐπακολουθεῖ καὶ τὸ τοιόνδε συναχθῆναι συμπέρασμα. ἐπὰν γάρ τις ὁμολογήσῃ τὴν οὐσίαν παντὶ ὑπάρχειν τῷ ζώῳ. τὸ δὲ ζῷον παντὶ ἀνθρώπῳ, ἀναγκάζεται ἐνδοῦναι καὶ τὸ συμπέρασμα, τὸ, ἡ οὐσία παντὶ ἀνθρώπῳ. ἅμα δὲ καὶ ἀντιδιαστέλλει τὸν συλλογισμὸν, ἀπὸ τῶν παραδειγματικῶν συλλογισμῶν καὶ τῶν ἐπαγωγικῶν. ἐν τούτοις γὰρ συνάγεται οὐκ ἐξ ἀνάγκης τὸ συμπέρασμα. καὶ παραδειγματικὸς συλλογισμός ἐστιν, ὅταν τὸ ἴσον διὰ τοῦ ἴσου πιστοῦται. τουτέστι τὸ μερικὸν διὰ τοῦ μερικοῦ λέγων. ὁ Ζήνων πλεύσας ἐναυάγησε. καὶ σὺ ἄρα εἰ πλεύσεις, ναυαγήσεις. οὐκ ἀναγκαῖον ἐνταῦθα τὸ συμπέρασμα. οὐ γὰρ εἰ ὁ Ζήνων πλεύσας ἐναυάγησεν, ἀνάγκη καὶ τὸν δεῖνα πλεύσαντα ναυαγῆσαι. καὶ πάλιν ὁ Διόδωρος νύκτωρ πλανᾶται. καὶ πλανώμενος περιέπεσε λῃσταῖς. καὶ σὺ ἄρα πλανώμενος νύκτωρ λῃσταῖς περιπέσεις. ἐπαγωγικὸς δὲ συλλογισμός ἐστιν, ὅταν τὸ καθόλου διὰ τῆς ἐπαγωγῆς τῶν μερικῶν δεικνύῃ. οἷον εἰ τὸ πᾶν ζῷον τὴν κάτω γένυν κινεῖ. δείξει τις ἐκ τοῦ εἰπεῖν. καὶ γὰρ ὁ ἵππος καὶ ὁ βοῦς καὶ ὁ λέων καί τινα ζῷα, τὴν κάτω γένυν κινοῦσιν. οὐδὲ ὧδε τούτου τοῦ συλλογισμοῦ τὸ συμπέρασμα ἔχει τὸ ἀναγκαῖον καὶ τὸ πιστόν. διὰ τὸ μὴ δύνασθαι εἶναι πάντα τὰ μερικὰ ζῷα ἀπαριθμήσασθαι ἄπειρα ὄντα. ἀνάγκη γάρ τινα ζῷα καταλειφθῆναι ὧν οὐδὲ γνῶσιν ἔχει ὁ ἀπαριθμούμενος, ἃ τὴν κάτω γένυν οὐ κινοῦσι. Τῷ ταῦτα εἶναι. Ἐπεὶ ἀσαφές ἐστι τοῦτο, ἐπαναλαμβάνει χάριν σαφηνείας. λέγω δὲ τῷ ταῦτα εἶναι, ἐν ᾧ συμβαίνει τὸ συμπέρασμα διὰ ταῦτα. ἤγουν διὰ τὰς ληφθείσας προτάσεις. ἐπεὶ δὲ ἔτι ἀσαφές ἐστι. λέγει διὰ ταῦτα δὲ λέγω τῷ ἀπὸ τῶν κειμένων προτάσεων συναχθῆναι τὸ συμπέρασμα καὶ μηδενὸς ὅρου, ἔξωθεν προσδεῖσθαι, ὥστε γενέσθαι καὶ συναχθῆναι τὸ ἀναγκαῖον ἤγουν τὸ συμπέρασμα. Ἐλλειπὴς δὲ συλλογισμός ἐστι καὶ δεόμενος ἔξωθεν ὅρου καὶ μὴ συνάγων τὸ συμπέρασμα ἀπὸ τῶν ληφθεισῶν προτάσεων, οὗτος. Ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον ἀεικίνητον. τὸ ἀεικίνητον ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. ἀπὸ γὰρ τῶν κειμένων προτάσεων, οὐ συνάγεται τὸ, ἡ ψυχὴ ἀθάνατος. ἐπεὶ οὐδὲ ἐλήφθη τὸ ἀθάνατον, ἐν τῷ συλλογισμῷ, ἀλλὰ συνάγεται τὸ ἡ ψυχὴ ἀεικίνητον. εἰ δέ γε μέλλει συναχθῆναι. τὸ ἡ ψυχὴ ἀθάνατος, δεῖ προσληφθῆναι τὸ ἀθάνατον ἐν τῷ συλλογισμῷ. καὶ συλλογίσασθαι οὕτως. ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον ἀεικίνητον. τὸ ἀεικίνητον ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. διδάσκει καὶ τίς ἐστιν ὁ τέλειος συλλογισμός. τελείους συλλογισμοὺς λέγει, τοὺς ἐν τῷ α σχήματι συνάγοντας τὸ συμπέρασμα ἀπὸ τῶν εἰλημμένων προτάσεων. καὶ μὴ

λαμβάνει τὸ ἀληθές. οὐ γὰρ ἐρωτᾷ ἵνα λάβῃ τὴν συγχωρηθεῖσαν πρότασιν παρὰ τοῦ ἐρωτωμένου· ἀλλὰ καθ' ἑαυτὸν συλλογιζόμενος καὶ ἀποδεικνὺς, εὑρὼν τὸ ἀληθὲς, τὴν ἀληθῆ λαμβάνει πρότασιν. Ἡ δὲ διαλεκτικὴ πρότασις, ἐρώτησις ἐστὶν ἀντιφάσεως. ἐνταῦθα δοκεῖ ὁ ἀριστοτέλης ἐναντία λέγειν, οἷς ἐν τῷ περὶ ἑρμηνείας εἴρηκεν. ὧδε γάρ φησι τὸν διαλεκτικὸν, ὅλην τὴν ἀντίφασιν ἐρωτᾶν· ἐν δὲ τῷ περὶ ἑρμηνείας εἶπε, τὸ ἓν μόριον τῆς ἀντιφάσεως ἐρωτᾶν τὸν διαλεκτικόν. λέγει γὰρ ἐκεῖ· ἡ δὲ διαλεκτικὴ πρότασις ἐστὶ τὸ ἓν μόριον τῆς ἀντιφάσεως. φαμὲν οὖν ὡς οὐκ ἐναντία λέγει ὁ ἀριστοτέλης· ἀλλὰ ταυτά. ἐν γὰρ τῷ περὶ ἑρμηνείας εἴρηκε, τὸ ἓν μόριον τῆς ἀντιφάσεως ἐρωτᾶν ἐνεργείᾳ· δυνάμει δὲ παρεμφαίνειν καὶ τὸ ἕτερον. καὶ ἐνταῦθα λέγων τὸν διαλεκτικὸν τὴν ὅλην ἀντίφασιν ἐρωτᾶν, οὐ τοῦτο λέγει ὅτι καὶ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν ἐνεργείᾳ ἐρωτᾷ· ἀλλὰ τὴν μὲν, ἐνεργείᾳ ἐρωτᾷ, τὴν δὲ παρεμφαίνει δυνάμει. ἀδύνατον δὲ καὶ δύο ἐνεργείᾳ ἐρωτᾶν ὁμοῦ· διότι ὁ διαλεκτικῶς ἐρωτώμενος, οὐκ ἐνδεχόμενος ἔχει παρὰ τῆς τέχνης, τὸ πολλοῖς λόγοις ἀποκρίνεσθαι. ἀλλ' ἢ τὸ ναὶ μόνον, ἢ τὸ οὔ. ἐὰν γοῦν ἐρωτήσῃ τις ἐνεργείᾳ καὶ τὰς β' προτάσεις· οἷον ἆρά γε ἡ ψυχὴ ἀθάνατός ἐστιν ἢ οὐκ ἔστι· κἂν τὸ ναὶ ἀποκριθῇ, ἀσυμφανές ἐστιν εἴτε τὴν κατάφασιν ἔδωκεν, εἴτε τὴν ἀπόφασιν· κἂν τὸ οὔ, οὐδ' οὕτως ἔσται φανερὸν, ποίαν τῶν προτάσεων ἔδωκεν. ἐὰν δὲ ἐρωτήσῃ τὴν μίαν πρότασιν ἐνεργείᾳ, τότε ἀποκριθεὶς, τὸ ναὶ φαίνεται ὅτι τὴν ἐρωτηθεῖσαν πρότασιν συνεχώρησεν· εἰ δὲ τὸ οὒ ἀποκριθῇ, οὐ τὴν ἐρωτηθεῖσαν δοκεῖ διδόναι· ἀλλὰ τὴν δυνάμει συνυπάγει ἐν τῇ ἐρωτήσει καὶ τὴν ἀπόφασιν. ὁ δὲ πυσματικῶς ἐρωτῶν, καταναγκάζει τὸν ἀποκρινόμενον, διὰ πλειόνων λόγων παραστῆσαι τὸ ἐρωτώμενον. ὡς τὸ πόθεν εἰς ἀνδρῶν· πόθι τοι πόλις ἠδὲ τοκῆες; ὅθεν ἀποκρίνεται· ἰλιόθεν με φέρων ἄνεμος κικόνεσσι πέλασσεν. ᾗ δὲ καὶ διαφέρει ἡ ἀποδεικτικὴ τῆς διαλεκτικῆς προτάσεως· τῷ τὴν μὲν, εἶναι ἀληθῆ· τὴν δὲ ἔνδοξον. ἤγουν δοκοῦσαν τῷ προσδιαλεγομένῳ. καὶ τῷ τὴν μὲν ἐρωτᾶσθαι, τὴν δὲ λαμβάνεσθαι, ἀλλ' οὐ πρὸς τὸ γενέσθαι τὸν συλλογισμὸν ἑκάτερον ἤγουν ἀλλὰ πρὸς τὸ γενέσθαι τὸν ἀποδεικτικὸν συλλογισμὸν καὶ τὸν διαλεκτικόν. οὐδὲν διοίσουσιν ἤγουν διαφέρουσιν. οὔτε γὰρ ὁ ἀποδεικνύων δύναται συλλογίσασθαι ἄνευ προτάσεων, οὔτε ὁ ἐρωτῶν ἤγουν ὁ διαλεκτικὸς ἄνευ προτάσεων συλλογίζεται. ἀλλὰ καὶ ἀμφότεροι τὰς β' προτάσεις λαμβάνουσι καταφατικὰς συλλογιζόμενοι. ἢ τὴν μίαν λαμβάνει τὴν μείζονα ἀποφατικὴν τὴν δὲ ἐλάττονα καταφατικήν. καὶ διὰ μὲν τοῦ τι κατά τινος, ἐδήλωσε τὴν καταφατικήν· διὰ δὲ τὸ ἢ μὴ ὑπάρχειν ἐδήλωσε τὴν ἀποφατικήν. καὶ συλλογιστικὴ μὲν καὶ καθόλου πρότασίς ἐστι, κατάφασις ἢ ἀπόφασις τινὸς κατά τινος· ἢ τινὸς ἀπό τινος, κατὰ τὸν εἰρημένον τρόπον. ἤγουν αὕτη δὲ ἢ καθόλου ἐστὶν ἢ μερικὴ, ἢ ἀδιόριστος. ἀποδεικτικὴ δὲ πρότασις ἐστὶν ἡ ἀληθὴς καὶ λαμβανομένη, διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων. ἐξ ἀρχῆς δὲ ὑποθέσεις. νόει, τὰς κοινὰς καὶ αὐτοπίστους ἐννοίας. αὗται δὲ εἰσὶν, αἱ παρὰ πάντων ὁμολογούμεναι τῶν σοφῶν καὶ τῶν μὴ σοφῶν, οἷον, τὸ ἐπὶ παντὸς ἢ κατάφασις ἢ ἡ ἀπόφασις. καὶ τὸ ἂν ἀπὸ τῶν ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα ἐστίν. αἱ δὲ κοιναὶ ἔννοιαι, κρείττους καὶ τιμιώτεραι τῶν ἀποδείξεών εἰσι. καθὸ αἱ μὲν οἴκοθεν ἔχουσι τὸ ἀξιόπιστον. αἱ δὲ ἀποδείξεις, τὸ πιστὸν ἔχουσιν, ἐκ τῶν κοινῶν ἐννοιῶν. τὸ ἐξ ἀρχῆς ὑποθέσεως νοητέον, τὰς προτάσεις τὰς λαμβανομένας ἐκ τῶν ἀρχῶν μιᾶς ἑκάστης ἐπιστήμης. ἑκάστη γὰρ ἐπιστήμη, ἔχει οἰκείας ἀρχάς. ἡ μὲν γραμματικὴ, τὰ κδ' στοιχεῖα. ἃ καὶ διαιρεῖ εἰς φωνήεντα καὶ εἰς σύμφωνα. καὶ εἰς λοιπά. ἡ δὲ γεωμετρία· ἀρχὰς ἔχει τὸ σημεῖον. τὴν γραμμήν. τὴν ἐπιφάνειαν. ἡ δὲ ἀριθμητικὴ τὴν μονάδα. ὥστε ἡ ἀποδεικτικὴ, οὐκ ἀληθὴς μόνον ὀφείλει εἶναι. τοῦτο γὰρ ἔχει καὶ ἡ διαλεκτική. ἀλλὰ καὶ κοινὴ ἔννοια. ἢ καὶ ἐκ τῶν ἀρχῶν μιᾶς ἑκάστης ἐπιστήμης λαμβανομένη. διαλεκτικὴ πρότασίς ἐστι πυνθανομένῳ μὲν καὶ ἐρωτῶντι τῷ διαλεκτικῷ, ἐρώτησις ἀντιφάσεως, συλλογιζομένῳ δὲ λαμβάνεται ὁ φαίνεται καὶ δοκεῖ τῷ προσδιαλεγομένῳ. τὸ δὲ ἔνδοξον ἤγουν τὸ δοκοῦν τῷ προσδιαλεγομένῳ δι' ἀκριβείας ἐν τοῖς τοπικοῖς, καὶ ἐν τοῖς ἐφεξῆς ῥηθήσεται. ὅταν γὰρ διδάσκωμεν περὶ ἀποδείξεως ἢ περὶ τῆς διαλεκτικῆς, τότε ἀκριβέστερον εἴπωμεν, τί ἐστιν ἡ διαλεκτικὴ πρότασις. καὶ τί ἡ ἀποδεικτική. Πρὸς δὲ τὴν παροῦσαν χρείαν. Ἤγουν ὅσον δὲ συνεβάλετο ἡμῖν ἐν τῇ παρούσῃ πραγματείᾳ, ἱκανῶς ἐδιδάξαμεν περὶ αὐτῶν. ἤγουν περὶ τῆς ἀποδεικτικῆς προτάσεως καὶ περὶ τῆς διαλεκτικῆς. ὁρίζεται δὲ νῦν καὶ τὸν ὅρον. ὃν καὶ αὐτὸς ὠνοματοθέτησε καὶ ἐκάλεσεν ὅρον οὐκ ὀνομαζόμενον ὄντα παρὰ τοῖς παλαιοῖς. πᾶσα γὰρ πρότασις σύνθετος οὖσα ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, ἀναλύεται πάλιν εἰς τὸ κατηγορούμενον καὶ εἰς τὸ ὑποκείμενον, καθ' οὗ κατηγορεῖται. ὅρον δὲ ἐκάλεσε τοῦτον, διὰ τὸ τὴν ἀνάλυσιν προβαίνειν. ἐς αὖ ἐς τὸ ὑποκείμενον καταντήσῃ καὶ τὸ κατηγορούμενον. εἶθ' οὕτως ἵστασθαι καὶ μὴ περαιτέρω προβαίνειν τὴν ἀνάλυσιν. ὁ γὰρ συλλογισμὸς, ἀναλύεται εἰς προτάσεις. αἱ δὲ προτάσεις εἰς τὸ κατηγορούμενον καὶ εἰς τὸ ὑποκείμενον. καὶ περαιτέρω ἀναλυθῆναι οὐ δυνατόν. ἁπλῶς δὲ προστιθεμένου τοῦ εἶναι, ἐδήλωσε τὴν κατάφασιν. διὰ δὲ τοῦ διαιρουμένου τοῦ μὴ εἶναι, ἐδήλωσε τὴν ἀπόφασιν. ἐπὶ γὰρ τοῦ οὗτος δίκαιός ἐστι τὸ ἐστὶ προστίθησι τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. ἐπὶ δὲ τοῦ οὗτος δίκαιος οὐκ ἔστι, τὸ οὐκ ἔστι διαιρεῖ τὸ κατηγορούμενον τοῦ ὑποκειμένου. Ζητεῖται ὅτι φαίνεται ὁ ἀριστοτέλης ἐνταῦθα μνημονεύσας τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου καὶ τρίτου προσκατηγορουμένου προτάσεων. καὶ τῶν μὲν τρόπων προτάσεων. τὰς δὲ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, κατέλιπε. καὶ λέγομεν ὅτι καὶ τὸ ἐστὶ κεῖται τῇ προτάσει τῇ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, δυνάμει. ἤγουν τῷ ἄνθρωπος περιπατεῖ. πᾶν γὰρ ῥῆμα εἰς μετοχὴν καὶ τὸ ἔστιν ἀναλύεται. ὥστε ἁπλῶς προστιθεμένου τοῦ ἔστιν, συμπεριέλαβε καὶ τὰς ἐξ ὑποκειμένου καὶ κατηγορουμένου. καὶ ἐν ταύταις γὰρ δυνάμει κεῖται τὸ ἐστίν. ὥσπερ καὶ τὸ οὐκ ἔστιν ἐν τῇ ἀποφάσει· τὸ γὰρ ἄνθρωπος οὐ περιπατεῖ, ἀναλύεται εἰς τὸ

τοῦ τό τινος κατά τινος, καὶ τὴν ἀποφατικὴν ἐδήλωσε καὶ τὴν καταφατικήν. πᾶσα γὰρ κατάφασις καὶ ἀπόφασις, ἐξ ὑποκειμένου καὶ κατηγορουμένου σύγκειται. καὶ διὰ μὲν τοῦ τινός, ἐδήλωσε τὸ κατηγορούμενον. διὰ δὲ τοῦ κατά τινος, ἐδήλωσε τὸ ὑποκείμενον. ἔλαβε δὲ τὸν λόγον αὐτὶ γένους. Ἰστέον δὲ μηδὲ ὁρισμὸν εἶναι τὸν ἀποδοθέντα ἀλλ' ὑπογραφήν. ἐν γὰρ τοῖς ὁρισμοῖς ὁ διαζευκτικὸς σύνδεσμος οὐ κεῖται. οὗτος δὲ ὁ λόγος ὁ καταφατικὸς ἢ ἀποφατικός, ἢ καθόλου ἐστίν, ὅταν ἔχῃ τὸν καθόλου προσδιορισμὸν προσκείμενον, ἢ τὸ πᾶς ἢ τὸ οὐδείς. οἷον πᾶς ἄνθρωπος ζῷόν ἐστιν. ἢ οὐδεὶς ἄνθρωπος ζῷόν ἐστιν. ἐν μέρει δὲ ἤγουν μερικὸς καταφατικὸς ἢ ἀποφατικὸς λόγος ἐστίν, ὅταν ἔχῃ τοὺς μερικοὺς προσδιορισμοὺς προσκειμένους. ἤγουν τὸ τίς. ἢ τὸ οὐ πᾶς. οἷόν τις ἄνθρωπος λευκός ἐστιν, οὐ πᾶς ἄνθρωπος λευκός ἐστιν. ἀδιόριστος δὲ πρότασίς ἐστιν, ὅταν οὐ πρόσκειται ταύτῃ, τὶς τῶν προσδιορισμῶν. ἢ τῶν καθόλου ἢ τῶν μερικῶν. οἷον ὁ ἄνθρωπος λευκός ἐστι. ἢ ὁ ἄνθρωπος λευκός, οὐκ ἔστιν. ἐν μέρει δὲ ἤγουν μερικοὺς προσδιορισμούς. λέγω δὲ τό, τινί. ἢ μὴ τινί. ἢ μὴ παντὶ ὑπάρχει. καὶ ζητεῖται πῶς ἐν τῷ περὶ ἑρμηνείας δύο μερικοὺς εἰπὼν προσδιορισμοὺς τόν τις καὶ τὸ οὐ πᾶς, ἐνταῦθα φησὶ τρεῖς. τίς. οὐ τίς. οὐ πᾶς. καὶ λέγομεν ὥσπερ ὁ βροτὸς καὶ ὁ ἄνθρωπος. τῇ μὲν προφορᾷ δύο εἰσί, τῷ δὲ ὑποκειμένῳ ἕν. ὡσαύτως καὶ τὸ ἄορ. καὶ τὸ φάσγανον. καὶ τὸ ξίφος, οὕτω καὶ ἡ οὐ τὶς καὶ ἡ οὐ πᾶς ἕν εἰσι τῷ ὑποκειμένῳ. κἂν τῇ προφορᾷ δοκῶσι δύο. καὶ ὅτι μάχεται πρὸς τὸ πᾶς καὶ ἀναιρεῖ ταύτην, λέγεται οὐ πᾶς. ὅτι δὲ μάχεται πρὸς τὸ τὶς λέγεται οὐ τίς ὥστε λοιπὸν καὶ ἐνταῦθα δύο φαίνεται εἰπὼν μερικοὺς προσδιορισμούς, ἀλλ' οὐ τρεῖς. ἐν γὰρ τῷ ὑποκειμένῳ ἕν εἰσιν, ἥ τε οὐ τὶς καὶ ἡ οὐ πᾶς. ἀδιόριστον δὲ λέγει τὴν πρότασιν. ἐν ᾗ κεῖται τὸ ὑπάρχειν καὶ μὴ ὑπάρχειν μόνον. οὐ μέντοι γε καὶ τὶς τῶν προσδιορισμῶν. οἷον, ὁ ἄνθρωπος γραμματικὸς ὑπάρχει. ἢ ὁ ἄνθρωπος γραμματικὸς οὐχ ὑπάρχει. μέλλων δὲ θεῖναι παραδείγματα τῆς ἀπροσδιορίστου προτάσεως, οὐκ ἠκριβολογημένα ταῦτα τέθεικεν. εἴωθε γὰρ ἐν τοῖς παραδείγμασι πολλάκις παραβλέπειν τὴν ἀκρίβειαν. ὃ γὰρ ὡς ἐν τῷ περὶ ἑρμηνείας εἴρηκε τὰ ἄρθρα μετὰ τῶν καθόλου φωνῶν κείμενα, ἰσοδυναμοῦσι τοῖς καθόλου προσδιορισμοῖς. οἷον τὸ λέγειν, ὁ ἄνθρωπος περιπατεῖ, ταυτόν ἐστι τῷ πᾶς ἄνθρωπος περιπατεῖ. λοιπὸν ἄρα καὶ τὸ λέγειν τῶν ἐναντίων μίαν εἶναι ἐπιστήμην, ταυτόν ἐστι τῷ λέγειν πάντων τῶν ἐναντίων μίαν εἶναι ἐπιστήμην. ὅθεν καὶ αὐτὸς γνοὺς μὴ ἀκριβὲς εἶναι τὸ τοιοῦτον παράδειγμα, ἔθηκε καὶ ἕτερον τὸ ἡδονὴν μὴ εἶναι ἀγαθόν. ἐνταῦθα γὰρ οὐ δύνασαι λαβεῖν τὴν ἡδονήν, ἀντὶ τῆς πᾶσαν ἡδονήν, μὴ εἶναι ἀγαθόν. ψευδὴς γὰρ ἡ πρότασις. οὐ γὰρ πᾶσα ἡδονή, ἀγαθὸν οὐκ ἔστι. μόνη γὰρ ἡ τῶν κναίδων ἡδονὴ ἤγουν τῆς ἀκολασίας, ἀγαθὸν οὐκ ἔστιν. ἡ δὲ ἐκ τῆς γνώσεως ἐπιγινομένη ἡδονὴ καὶ ἡ ἐκ τῆς τῶν ἀρετῶν ἐργασίας, ἀγαθόν ἐστιν. ὥσπερ καὶ λέγων ὅτι ὁ ἄνθρωπος λευκός ἐστιν ἢ γραμματικός, οὐ δύνασαι λαβεῖν τό, ὁ ἄνθρωπος, ἀντὶ τοῦ πᾶς ἄνθρωπος. διὰ τὸ μὴ τὸ λευκὸν ἢ τὸ γραμματικόν, οὐσιωδῶς κατηγορεῖσθαι κατὰ τοῦ ἀνθρώπου. καὶ διὰ τοῦτο τινῶν μὲν κατηγορεῖσθαι τινῶν δὲ μή. ὁ δὲ εἰπὼν ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι, λέγει ὅτι πᾶς ἄνθρωπος ζῷόν ἐστι καὶ ἀληθεύει. οὐσιωδῶς κατηγορεῖται τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου. προαναχρησάμενος ἐξ ἀρχῆς σκοπὸν ἔχειν εἰπεῖν περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ. οὗ χάριν καὶ ἀναγκαῖον ἔκρινε πρῶτον περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διαλαβέσθαι. καὶ δι' ὑπογραφῆς παραστήσας τί ἐστιν ἡ συλλογιστικὴ καὶ καθόλου πρότασις, νῦν καὶ φιλοτιμούμενος τὸν ἀκροατὴν ὠφελεῖν, μικράν τινα διαφορὰν παραδίδωσιν ἀποδεικτικῆς καὶ διαλεκτικῆς προτάσεως. πλατύτερον γὰρ περὶ αὐτῶν μέλλει διαλέγεσθαι ἐν τῇ ἀποδεικτικῇ καὶ διαλεκτικῇ πραγματείᾳ. καὶ πρῶτα μὲν λέγει διαφορὰν εἶναι αὐτῶν, ἐξ αὐτῆς ὁρμώμενος τῆς φύσεως τῆς ἀποδεικτικῆς καὶ διαλεκτικῆς προτάσεως, τὸ τὴν μὲν ἀποδεικτικὴν πρότασιν, εἶναι ἀληθῆ. τὴν δὲ διαλεκτικὴν ἔνδοξον. ἤγουν δοκοῦσαν τῷ προσδιαλεγομένῳ. ἑτέραν δὲ διαφορὰν παραδίδωσι, τὸ τὴν ἀποδεικτικὴν μὲν μὴ ἐρωτᾶσθαι. τὴν δὲ διαλεκτικήν, ἐρωτᾶσθαι. ἡ δὲ αἰτία δι' ἣν ὁ μὲν ἐρωτᾷ ὁ δὲ ἀποδεικνύων οὐκ ἐρωτᾷ, αὕτη. ὁ μὲν ἀποδεικνύων οὐ πρὸς τὸν ἐκτὸς λόγον τὸν ἐν διαλέξει θεωρούμενον, συλλογίζεται. ἀλλὰ πρὸς τὸν ἐν τῇ ψυχῇ. ὅθεν καὶ φροντίζει εὑρεῖν ἀλήθειαν. οἷον εὑρίσκει μόριον τῆς ἀντιφάσεως ἀληθεῦον. εἴτε τὴν κατάφασιν, εἴτε τὴν ἀπόφασιν, τοῦτο καὶ λαμβάνει πρὸς τὴν ἀπόδειξιν. κἂν μὴ δοκῇ ἀληθὲς τοῖς ἀκροαταῖς τὸ τοιοῦτον. καὶ τὸν ἥλιον μείζονα τῆς γῆς εἶναι λήψεται. τὸ ἀληθὲς τοῦτο καὶ παρὰ πάντων ὁμολογούμενον. κἂν τισὶ ποδιαῖος εἶναι δοκῇ. ὁ δὲ διαλεκτικὸς ἐπειδὴ πρὸς τὸν ἐκτὸς λόγον καὶ τὸν προσδιαλεγόμενον συλλογίζεται δόξης ἐρῶν, καταβαλεῖν θέλων τὸν προσδιαλεγόμενον. καὶ εἰς ἀντίφασιν αὐτὸν περιαγαγεῖν σπουδάζων καὶ ὁμολογῆσαι τὰ ἐναντία οἷς εἴρηκεν, ἐρωτᾷ τὴν ἀντίφασιν καὶ τὸ συγχωρηθὲν αὐτῷ μέρος τῷ προσδιαλεγομένῳ λαμβάνει. καὶ διὰ τοῦτο ὁμολογηθέντος παρ' αὐτοῦ, περιάγει τὸν προσδιαλεγόμενον ὁμολογῆσαι τὰ ἀντικείμενα οἷς εἴρηκεν. εἰ γὰρ μὴ ἐλάμβανε τὰ συγκεχωρημένα τῷ προσδιαλεγομένῳ. ἀλλ' ἃς αὐτὸς ἐβούλετο προτάσεις, εἶχεν ἂν εἰπεῖν ὁ προσδιαλεγόμενος περιαχθεὶς εἰς τὸ εἰπεῖν τἀναντία οἷς εἴρηκε, λέγειν μὴ συναχθῆναι τὴν ἀντίφασιν. ἐξ ὧν αὐτὸς ὁ προσδιαλεγόμενος εἶπεν. ἀλλ' ἐξ ὧν προτάσεων ἔλαβεν ὁ διαλεκτικὸς ἐρωτῶν. ἀλλὰ φέρε καὶ διὰ παραδείγματος φωτίσωμεν τὸ λεγόμενον. εἰ μὲν ὁ προσδιαλεγόμενος τὴν ψυχὴν ὁμολογήσει εἶναι ἀθάνατον, ἐπιτηρήσει οὕτως ὁ διαλεκτικός. ἆρά γε ἡ ψυχὴ ἔνυλον εἶδός ἐστι; τί δὲ τὸ ἔνυλον οὐ φθαρτόν; τὸ φθαρτὸν οὐ θνητόν; ἡ ψυχὴ ἄρα θνητή. εἰ δὲ ὁμολογήσει μὴ ἀθάνατον εἶναι ταύτην, ἐπιχειρήσει οὕτως. ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον ἀεικίνητον. τὸ ἀεικίνητον ἀΐδιον. τὸ ἀΐδιον ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος. ἀποδεικτικὴ πρότασίς ἐστι, λῆψις θατέρου μορίου τῆς ἀντιφάσεως. ἡ γὰρ ἀντίφασις δύο μόρια ἔχει τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν. μάχη γάρ ἐστι καταφάσεως καὶ ἀποφάσεως καὶ ὁ ἀποδεικνύων τὸ ἓν μόριον ταύτης,

ὁ σύνδεσμος ὁ διαζευκτικὸς οὐ κεῖται ἐν τοῖς ἁπλῶς ὁρισμοῖς.

οὔ τις οὐ δοκεῖ μερικὸς προσδιορισμός, μᾶλλον δὲ καθόλου· ὡς ἐν τῇ α Ιλιαδ. Οὔτις ἐμοῦ ζῶντος κ. ἑ. γ. δ. τοῦτο λέγει ὁ Αριστοτ

λυτικὰ εὕρηνται. ἀπὸ δὲ τῶν μ΄, αἱ σοφαὶ ταῦτα καὶ μόνα ἤγουν τὰ γ΄ σχήματα τὸ περὶ εὐπορείας προτάσεων. τὸ περὶ ἀναλύσεως συλλογισμῶν καὶ τὴν ἀποδεικτικὴν. ἃ καὶ ἀναλυτικὰ ἐπιγέγραπται, ἐκεῖνα εἶναι τοῦ ἀριστοτέλους. μέμνηται δὲ καὶ τοῦτο, ἐν ταῖς ἄλλαις αὐτοῦ πραγματείαις. Δ' δὲ ὄντων τῶν διδασκαλικῶν αὐτοῦ τρόπων, χρᾶται μόνοις ταῖς δυσὶ. τῷ τε διαιρετικῷ καὶ τῷ ὁριστικῷ. διαιρεῖ γὰρ τὰς προτάσεις, εἰς τὰς καθόλου καὶ εἰς τὰς μερικάς. καὶ τοὺς συλλογισμοὺς, εἰς τοὺς καθόλου καὶ εἰς τοὺς μερικούς. καὶ ὁρίζεται τί ἐστι πρότασις, καὶ τί ὅρος. καὶ τί συλλογισμός. Διαιρεῖται δὲ εἰς γ΄ κεφάλαια ἤγουν τμήματα. καὶ πρὸ μὲν τῆς διδασκαλίας αὐτοῦ, διδάσκει περὶ προτάσεων καὶ ὅρων ἀντιστροφῶν αἳ συμβάλλονται εἰς τὴν διδασκαλίαν αὐτοῦ. εἶτα χωρεῖ καὶ εἰς τὴν διδασκαλίαν τῶν συλλογισμῶν. καὶ μετὰ ταῦτα ἀνάγει πάντας τοὺς συλλογισμοὺς, εἰς τοὺς β΄ τρόπους τῶν συλλογισμῶν τοῦ α΄ σχήματος. τόν τε α΄ καὶ τὸν β΄. Ανάγεται δὲ ὑπὸ τὸ λογικὸν μέρος τῆς φιλοσοφίας, ἡ πραγματεία αὕτη.

Ἀρχὴ τῶν [illegible] σχημάτων.

ΠΡῶτον εἰπεῖν. Αναπλέον ἔξωθεν τὸ δεῖ κατ' ἔθος ἀττικόν. πρῶτον δεῖ εἰπεῖν περὶ τί καὶ περὶ τίνος ἐστὶν ἡ σκέψις καὶ ὁ σκοπὸς ἡμῶν διδάξαι. καὶ πρὸς μὲν τὸ περὶ τί, εἴρηκε τὸ περὶ ἀπόδειξιν. πρὸς δὲ τὸ περὶ τίνος, ἐπιστήμης ἀποδεικτικῆς. διαφέρει δὲ ἀπόδειξις καὶ ἐπιστήμη ἀποδεικτική. ἐπιστήμη γάρ ἐστιν ἀποδεικτική, αὐτὴ ἡ ἕξις τῆς ἀποδείξεως ἡ ἐν τῇ ψυχῇ ἡμῶν ἐνοῦσα. ἀπόδειξις δὲ ἐστὶν αὐτὴ ἡ ἐνέργεια. ἡ προβαλλομένη ἀπὸ τῆς ἐνούσης ἕξεως καὶ ἐπιστήμης τῇ ψυχῇ. ὅταν γὰρ ἐνεργῶ καὶ συλλογίζωμαι. ὅτι ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον ἀκίνητον. τὸ ἀκίνητον ἀΐδιον ἡ ψυχὴ ἄρα ἀΐδιος, τότε ἀπόδειξις λέγεται. τὴν δὲ ἕξιν τῆς ἀποδείξεως ἔχει τις, καὶ ὅτε οὐκ ἐνεργεῖ ἐν τῇ ψυχῇ. εἴποι δέ τις πῶς λέγει σκοπὸν ἔχειν ἐνταῦθα, διδάξαι περὶ ἀποδείξεως. καὶ μὴν ἐνταῦθα, περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διδάσκει οὐ περὶ ἀποδείξεως. ἐροῦμεν ὅτι πρὸς τὸν κυριώτατον αὐτοῦ σκοπὸν ἀποβλέψας, εἶπε τὸ περὶ ἀποδείξεως χάριν γὰρ αὐτῆς διδάσκει καὶ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ. ὡς μὴ δυνατοῦ ὄντος ἄλλως διδάξαι περὶ ἀποδείξεως, εἰ μὴ πρῶτον περὶ τοῦ ἁπλῶς συλλογισμοῦ ἐδίδαξεν. εἶτα διορίσαι ἤγουν ὁρίσασθαι, τί ἐστι πρότασις. ζητεῖται καὶ ἐνταῦθα εἰ ὁ ὅρος ἁπλούστερός ἐστι τῆς προτάσεως. τὰ δὲ ἁπλᾶ προτάττονται τῶν συνθέτων. τίνος χάριν οὐ προέταξε τὸν ὅρον τῆς προτάσεως. καὶ λέγομεν ὅτι τὴν πρότασιν προέταξεν, ὡς γνωριμωτέραν οὖσαν ἡμῖν. ἐν τῷ περὶ ἑρμηνείας μαθοῦσι περὶ προτάσεων. ἀεὶ δὲ τὰ ἡμῖν γνωριμώτερα καὶ προτάττεται. ἢ καὶ οὕτως. τὰ ἐν τῷ ὁρισμῷ λαμβανόμενα δεῖ εἶναι ἡμῖν γνώριμα. ἐπεὶ οὖν εἰς τὸν ὁρισμὸν τοῦ ὅρου καὶ τοῦ συλλογισμοῦ λαμβάνεται τὴν πρότασιν, ἀναγκαῖον ἦν πρῶτον διδάξαι περὶ αὐτῆς. τὸν δὲ ὅρον προτάττει τοῦ συλλογισμοῦ, ὡς ἁπλούστερον. τέλειοι εἰσὶ μὲν συλλογισμοὶ, οἱ ἐν τῷ α΄ σχήματι ὡς οἴκοθεν ἔχοντες τὸ ἀξιόπιστον. ἀτελεῖς δέ εἰσιν οἱ ἐν τῷ β΄ σχήματι καὶ γ΄. ὡς συμπέρασμα συνάγοντες, ἀναπόδεικτον καὶ ἀβέβαιον. ὥσπερ ὁ ὅρος ἡ ἁπλῆ φωνή. ἡ φάσις. τὸ ὄνομα καὶ τὸ ῥῆμα, ταυτὰ μὲν εἰσὶ τῷ ὑποκειμένῳ. τῇ δὲ σχέσει καὶ τῷ λόγῳ, ἕτερα οὕτω καὶ τὸ πρόβλημα. καὶ ἡ πρότασις. καὶ τὸ συμπέρασμα. καὶ ἡ ἔνστασις. καὶ ἡ ἀπόφασις, ταυτὰ μὲν εἰσὶ τῷ ὑποκειμένῳ. τῷ δὲ λόγῳ καὶ τῇ σχέσει, ἕτερα. ὡς τὸ ἡ ψυχὴ ἀθάνατος. πρόβλημα μὲν λέγεται, ὅταν τις προβάλληται τῷ προσδιαλεγομένῳ δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν. ὅταν δὲ ὡς μέρος ληφθῇ συλλογισμοῦ, λέγεται πρότασις. οἷον, ἡ ψυχὴ ἀθάνατος. τὸ ἀθάνατον ἄφθαρτον. ἡ ψυχὴ ἄρα ἄφθαρτος. συμπέρασμα δὲ λέγεται: ὅταν συναχθῇ ἀπό τινος συλλογισμοῦ. οἷον ἡ ψυχὴ ἀκίνητος. τὸ ἀκίνητον ἀθάνατον ἡ ψυχὴ ἄρα ἀθάνατος. ἔνστασις δὲ ὅταν τοῦ προσδιαλεγομένου εἰπόντος τὴν ψυχὴν θνητὴν, ἐνστῇ ὁ πρὸς αὐτὸν λέγων ἀθάνατον εἶναι ταύτην. ἀπόφασις δὲ ἐστὶν ὅταν τις αὐτὸς καθ' αὑτὸν ἀποφαίνηται λέγων ὅτι ἡ ψυχὴ ἀθάνατος. καὶ τί ἐστι τὸ λέγειν ὅτι τόδε ἐν ὅλῳ ἐστὶ τῷδε ἢ οὐκ ἔστι. καὶ τί τὸ κατὰ παντός. καὶ τί τὸ κατὰ μηδενός. καὶ λέγομεν ὅτι πᾶσα πρότασις οἷον ὁ ἄνθρωπος ζῶόν ἐστι. δύο σχέσεις ἔχει. μίαν μὲν ἀπὸ τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον. ἑτέραν δὲ ἀπὸ τοῦ ὑποκειμένου πρὸς τὸν κατηγορούμενον. καὶ εἰ μὲν θεωρήσεις τὴν σχέσιν τοῦ ὑποκειμένου πρὸς τὸν κατηγορούμενον, εἴπεις τὸν ἄνθρωπον ἐν ὅλῳ εἶναι τῷ ζώῳ. τὸ γὰρ ζῶον, ὅλον τί ἐστι. μέρη δὲ αὐτοῦ ὁ ἄνθρωπος. ὁ ἵππος. ὁ βοῦς καὶ τὰ λοιπά. εἰ δὲ θεωρήσεις τὴν σχέσιν τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον, εἴποις τὸ ζῶον κατὰ παντὸς εἶναι τοῦ ἀνθρώπου. ἤγουν κατὰ πάντων τῶν μερῶν τοῦ ἀνθρώπου κατηγορεῖσθαι. μέρη δὲ τοῦ ἀνθρώπου ὁ σωκράτης καὶ ὁ πλάτων. καὶ οἱ κατὰ μέρος ἄνθρωποι. καὶ πάλιν τὸ μὴ εἶναι τόδε τῷδε ἐν ὅλῳ σχέσιν λαμβάνει ὑποκειμένου πρὸς κατηγορούμενον, οἷον ὁ ἄνθρωπος ἐν ὅλῳ οὐκ ἔστι τῷ λίθῳ. οὐ γὰρ ὁ λίθος περιέχει τὸν ἄνθρωπον ἵνα ὅλον εἴπῃς αὐτὸν τὸν λίθον. εἰ δὲ θεωρήσεις σχέσιν κατηγορουμένου πρὸς τὸ ὑποκείμενον, εἴπῃς τὸν λίθον κατ' οὐδενὸς τοῦ ἀνθρώπου λέγεσθαι. ἤγουν οὔτε κατὰ τοῦ πλάτωνος, οὔτε κατὰ ἄλλου τινὸς ἀνθρώπου κατηγορεῖσθαι.

Καὶ κατὰ τὴν ὑπόσχεσιν ὁριζόμενος τὴν πρότασιν, πρῶτον φὴς ταύτην λόγον καταφατικὸν ἢ ἀποφατικὸν εἶναί τινος κατά τινος. τινὰ τῶν βιβλίων ἔχουσι καὶ τινὸς ἀπό τινος. τινὰ δὲ οὐκ ἔχουσι τοῦτο προσκείμενον. Καὶ ζητεῖται πῶς εἰπὼν τὴν πρότασιν καταφατικὴν εἶναι ἢ ἀποφατικὴν, εἶπε τινὸς κατά τινος καὶ οὐ προσέθηκε τὸ ἢ τινὸς ἀπό τινος, ἵνα δηλαδὴ τὴν ἀπόφασιν, καὶ λέγομεν ὅτι διὰ

ΜΑΓΕΝΤΙΝΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΜΙΤΥΛΗΝΗΣ, ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΑ ΠΡΟΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Σκοπὸς τῷ Ἀριστοτέλει ἐστὶ, διδάξαι ἐν τοῖς τρισὶ σχήμασι περὶ τῆς συνθέσεως τοῦ ἁπλῶς συλλογισμοῦ· ἤγουν πῶς δεῖ συντιθέναι τὰς προτάσεις καὶ ποιεῖν συλλογισμόν. καὶ ποταπὸν συμπέρασμα συνάγεται ἐκ τῆς συνθέσεως τῶν τοιῶνδε προτάσεων. ἵνα δὲ τὸν λόγον σαφηνίσωμεν, μανθάνωμεν καὶ τίνων συλλογισμῶν ἐκ τῆς συνθέσεως τῶν δύο καθόλου καταφατικῶν, γενήσεται συλλογισμὸς συνάγων συμπέρασμα τὸ παντί. οἷον τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ ἄρα παντὶ τῷ γ΄. ἐκ δὲ τῆς συνθέσεως τῆς καθόλου ἀποφατικῆς καὶ τῆς καθόλου καταφατικῆς, τῆς μείζονος οὔσης καθόλου ἀποφατικῆς, γενήσεται συλλογισμὸς συνάγων συμπέρασμα, τὸ, οὐδενί. οἷον τὸ α΄ οὐδενὶ τῷ β΄. καὶ τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ ἄρα οὐδενὶ τῷ γ΄. εἰ δὲ ἡ μείζων ληφθῇ καθόλου καταφατικὴ ἡ δὲ ἐλάττων καθόλου ἀποφατική, συλλογισμὸς οὐ γίνεται. ὡσαύτως καὶ αἱ δύο ἀποφατικαὶ καθόλου συντεθεῖσαι, συλλογισμὸν οὐ ποιήσαις. Χρησιμεύει δὲ ἡ παροῦσα πραγματεία εἰς τὴν ἀπόδειξιν. διότι καὶ χάριν τῆς ἀποδείξεως γέγονεν. ὁ γὰρ σκοπὸς τοῦ Ἀριστοτέλους ἐν τῷ ὀργάνῳ, περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ ἦν διδάξαι. ἐπεὶ δὲ ὁ ἀποδεικτικὸς συλλογισμὸς ἐπιστημονικὸς συλλογισμός ἐστιν, ἀδύνατον ἦν διδάξαι περὶ αὐτοῦ, εἰ μὴ πρότερον ἐδίδαξε, περὶ τοῦ καθόλου συλλογισμοῦ. καὶ πῶς ὅλως ὁ συλλογισμὸς γίνεται καὶ ἐκ συνθέσεως. καὶ πόσων προτάσεων καὶ ποίων. περὶ οὖν καθόλου συλλογισμοῦ, διδάσκει ἐν τοῖς τρισὶ σχήμασι. καὶ ὅτι ἐκ δύο προτάσεων πᾶς συλλογισμὸς γίνεται, καὶ ἐκ δύο καθόλου καταφατικῶν ἐν α΄ σχήματι. ἢ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, ὥσπερ καὶ ἀδύνατόν ἐστιν εὖ μαθεῖν γράφειν, πρὸ τοῦ μαθεῖν ὅλως ἁπλῶς γράφειν. ἢ ἀναγινώσκειν εὖ, πρὸ τοῦ μαθεῖν ὅλως ἁπλῶς ἀναγινώσκειν. Ἐντεῦθεν καὶ ἡ τάξις τῆς ἀναγνώσεως ποικίλη γέγονε. καὶ γὰρ ἡ παροῦσα πραγματεία, διδάσκει περὶ τοῦ ἁπλῶς καὶ καθόλου συλλογισμοῦ. ἤγουν πῶς δεῖ συντιθέναι τὰς προτάσεις καὶ ποιεῖν συλλογισμούς. χρησιμεύει δὲ εἰς τὴν ἀπόδειξιν. ἀνάγκη ἄρα τὸ χρησιμεῦον εἴς τι πρὸ ἐκείνου διδάσκεσθαι. Ῥητέον δὲ πρῶτον τί ἐστιν ἀνάλυσις εἶθ' οὕτως εἴπωμεν καὶ περὶ τῆς ἐπιγραφῆς. ἀνάλυσις ἐστὶ, ἀναδρομή τις ἐκ τοῦ συνθέτου εἰς τὰ ἁπλᾶ ἐξ ὧν συντέθειται. τὰ γὰρ φυσικὰ σώματα ἀναλύων τις σύνθετα ὄντα, ἀναδράμοι εἰς τὰ δ΄ στοιχεῖα. ἐξ ὧν συνετέθησαν. ὥσπερ καὶ τὸν συλλογισμὸν σύνθετον ὄντα μέλλων τις ἀναλῦσαι, ἀναδραμεῖται εἰς τὸ εὑρεῖν τὰς προτάσεις ἐξ ὧν συνετέθη καὶ γέγονεν ὁ συλλογισμός. Ζητεῖται εἰ ἐν τοῖς τρισὶ σχήμασι περὶ τῆς συνθέσεως τοῦ καθόλου συλλογισμοῦ διδάσκει, πῶς οὐκ ἐπιγράφει τὰ τρία σχήματα περὶ συνθέσεως, ἀλλὰ ἀναλυτικά. καὶ λέγομεν ἐν τῷ βιβλίῳ ἐν ᾧ διδάσκει περὶ τῆς συλλογιστικῆς μεθόδου, ἤγουν πῶς δεῖ συλλογίζεσθαι, τρία τμήματα τετάχθαι. καὶ ἐν μὲν τῷ α΄ τμήματι ἤγουν ἐν τοῖς τρισὶ σχήμασι, διδάσκει πόσαι προτάσεις συνερχόμεναι ποιοῦσι συλλογισμόν. καὶ ἐκ τίνων προτάσεων συνάγεται τὸ συμπέρασμα τὸ, παντί, καὶ ἐκ τίνων αὖθις συνάγεται συμπέρασμα, τὸ, οὐδενί. καὶ περὶ τῶν ἐφεξῆς. ἐν δὲ τῷ β΄ τμήματι, διδάσκει περὶ εὐπορίας προτάσεων. ἤγουν παραδίδωσί σοι μέθοδον δι' ἧς εὑρίσκειν τὰς προτάσεις, συντιθεὶς ταύτας καὶ συλλογίζῃ. ἐν δὲ τῷ γ΄ τμήματι διδάσκει περὶ ἀναλύσεως συλλογισμῶν. ἤγουν πῶς εὑρὼν συλλογισμοὺς ἐν τῷ ἀναγινώσκειν τὰ τῶν σοφῶν συγγράμματα, ἰσχύσεις ἀναλύειν καὶ εὑρίσκειν τὰς προτάσεις ἐξ ὧν ἐγγόνασιν οἱ συλλογισμοί. καὶ ἐντεῦθεν ἔχεις εἰδέναι εἴτε ἐν α΄ σχήματι συνελογίσθησαν, εἴτε ἐν β΄ εἴτε ἐν γ΄. τὸ γοῦν ἀναλύειν, δυσχερέστερόν ἐστι, τοῦ συντιθέναι. καὶ ἀνδρὸς ἐπιστήμονος καὶ σοφοῦ ἐστι τὸ ἀναλύειν. ὁρῶμεν γὰρ καὶ τοὺς βαναύσους συντιθέντας λόγους καὶ κοινολογουμένους μετά τινων, ἀδυνατοῦντας δὲ ἀναλῦσαι τούτους εἰς λέξεις, καὶ ταύτας εἰς συλλαβάς. καὶ τὰς συλλαβὰς εἰς στοιχεῖα. καί τινας ὁρῶμεν ἀτέχνως συλλογιζομένους. ἀναλῦσαι δὲ τοὺς λόγους εἰς προτάσεις καὶ ὅρους, ἀδυνατοῦσιν. εἰ γοῦν τὸ ἀναλύειν μόνον ἔργον ἐστὶ, τιμιώτερον ἄρα καὶ τῆς συνθέσεως. καὶ ἐκ τοῦ τιμιωτέρου μέρους, τὴν ἐπιγραφὴν τοῦ ὅλου βιβλίου ἐποιήσατο. καὶ πρότερα μὲν ἀναλυτικά, πάσας τὰς τρεῖς πραγματείας ὀνόμασεν. ἤγουν τὰ γ΄ σχήματα. τὸ περὶ εὐπορίας προτάσεων. καὶ τὸ, περὶ ἀναλύσεως συλλογισμῶν. ὡς χρησιμευούσας πρὸς τὴν ἀπόδειξιν. καὶ διὰ τοῦτο πρὸ τῆς ἀποδείξεως διδασκομένας. τῆς δὲ δι' ἣν αἰτίαν τὰ τρία σχήματα πρῶτα τῶν προτάσεων εἴρηκε. τὴν δ' ἀπόδειξιν ὕστερα ἀναλυτικὰ ὀνόμασεν. καὶ λέγομεν ὅτι τὰ γένη πρῶτα τῇ φύσει εἰσὶ τῶν εἰδῶν. ὡς τὸ ζῷον, πρῶτόν ἐστι τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου, τῇ φύσει. τὰ δὲ εἴδη, ὕστερα τῇ φύσει τοῦ γένους εἰσίν. ἐπεὶ οὖν ἐν τοῖς τρισὶ σχήμασι διδάσκει περὶ τοῦ ἁπλῶς καὶ καθόλου συλλογισμοῦ. ὅς τις ὡς γένος διαιρεῖται εἰς εἴδη, τὴν ἀποδεικτικὴν φημί. τὴν διαλεκτικὴν καὶ τὴν συλλογιστικὴν, εἰκότως τὰ μὲν τρία σχήματα, πρῶτα εἴρηκεν. Ὅτι δὲ ἡ πραγματεία αὕτη γνησία ἐστὶ τοῦ Ἀριστοτέλους, δῆλον. ἐν γὰρ ταῖς παλαιαῖς βιβλιοθήκαις, τεσσαράκοντα βιβλία ἀνα

λυτικὰ ἐπιγράφεται. ἀπὸ δὲ τῶν μ΄, αἱ σοφαὶ ταῦτα καὶ μόνα ἤγουν τὰ γ΄ σχήματα τὸ περὶ εὐπορείας προτάσεων. τὸ περὶ ἀναλύσεως συλλογισμῶν καὶ τὴν ἀποδεικτικὴν. ἀνακαὶ ἀναλυτικὰ αὐτὴ γέγραπται, ἐκεῖνα εἶναι τοῦ ἀριστοτέλους. μέμνηται δὲ καὶ τούτου, ἐν ταῖς ἄλλαις αὐτοῦ πραγματείαις. Δ΄ δὲ ὄντων τῶν διδασκαλικῶν αὐτοῦ τρόπων, χρᾶται μόναις ταῖς δυσί. τῷ τε διαιρετικῷ καὶ τῷ ὁριστικῷ. διαιρεῖ γὰρ τὰς προτάσεις, εἰς τὰς καθόλου καὶ εἰς τὰς μερικάς. καὶ τοὺς συλλογισμοὺς, εἰς τοὺς καθόλου καὶ εἰς τοὺς μερικούς. καὶ ὁρίζεται τί ἐστι πρότασις, καὶ τί ὅρος. καὶ τί συλλογισμός. Διαιρεῖται δὲ εἰς γ΄ κεφάλαια ἤγουν τμήματα. καὶ πρὸ μὲν τῆς διδασκαλίας αὐτοῦ, διδάσκει περὶ προτάσεων καὶ ὅρων ἀντιστροφῶν αἳ συμβάλλονται εἰς τὴν διδασκαλίαν αὐτοῦ. εἶτα χωρεῖ καὶ εἰς τὴν διδασκαλίαν τῶν συλλογισμῶν. καὶ μετὰ ταῦτα ἀνάγει πάντας τοὺς συλλογισμοὺς, εἰς τοὺς β΄ τρόπους τῶν συλλογισμῶν τοῦ α΄ σχήματος. τόν τε α΄ καὶ τὸν β΄. Ανάγεται δὲ ὑπὸ τὸ λογικὸν μέρος τῆς φιλοσοφίας, ἡ πραγματεία αὕτη.

Αρχὴ τῶν τριῶν σχημάτων.

ΠΡῶτον εἰπεῖν. Λιπτέον ἔξωθεν τὸ δεῖ κατ᾽ ἔθος ἀρχαϊκόν. πρῶτον δεῖ εἰπεῖν περὶ τί καὶ περὶ τίνος ἐστὶν ἡ σκέψις καὶ ὁ σκοπὸς ἡμῶν διδάξαι. καὶ πρὸς μὲν τὸ περὶ τί, εἴρηκε τὸ περὶ ἀπόδειξιν. πρὸς δὲ τὸ περὶ τίνος, ἐπιστήμης ἀποδεικτικῆς. διαφέρει δὲ ἀπόδειξις καὶ ἐπιστήμη ἀποδεικτική. ἐπιστήμη γάρ ἐστιν ἀποδεικτική, αὐτὴ ἡ ἕξις τῆς ἀποδείξεως ἡ ἐν τῇ ψυχῇ ἡμῶν ἐνοῦσα. ἀπόδειξις δὲ ἐστὶν αὐτὴ ἡ ἐνέργεια. ἡ προβαλλομένη ἀπὸ τῆς ἐνούσης ἕξεως καὶ ἐπιστήμης τῇ ψυχῇ. ὅταν γὰρ ἐνεργῶ καὶ συλλογίζωμαι. ὅτι ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον ἀκίνητον. τὸ ἀκίνητον ἀΐδιον ἡ ψυχὴ ἄρα ἀΐδιος, τότε ἀπόδειξις λέγεται. τὴν δὲ ἕξιν τῆς ἀποδείξεως ἔχει τις, καὶ ὅτε οὐκ ἐνεργεῖ ἐν τῇ ψυχῇ. εἴποι δέ τις πῶς λέγει σκοπὸν ἔχειν ἐνταῦθα, διδάξαι περὶ ἀποδείξεως. καὶ μὴν ἐνταῦθα, περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διδάσκει μόνου περὶ ἀποδείξεως. ἐροῦμεν ὅτι πρὸς τὸν κυριώτατον αὐτοῦ σκοπὸν ἀποβλέψας, εἶπε τὸ περὶ ἀποδείξεως χάριν γὰρ αὐτῆς διδάσκει καὶ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ. ὡς μὴ δυνατοῦ ὄντος ἄλλως διδάξαι περὶ ἀποδείξεως, εἰ μὴ πρῶτον περὶ τοῦ ἁπλῶς συλλογισμοῦ ἐδίδαξεν. εἶτα διορίσαι ἤγουν ὁρίσασθαι, τί ἐστι πρότασις. ζητεῖται καὶ ἐνταῦθα εἰ ὁ ὅρος ἁπλούστερός ἐστι τῆς προτάσεως. τὰ δὲ ἁπλᾶ προτάττονται τῶν συνθέτων. τίνος χάριν οὐ προέταξε τὸν ὅρον τῆς προτάσεως. καὶ λέγομεν ὅτι τὴν πρότασιν προέταξεν, ὡς γνωριμωτέραν οὖσαν ἡμῖν. ἐν τῷ περὶ ἑρμηνείας μαθοῦσι περὶ προτάσεων. ἀεὶ δὲ τὰ ἡμῖν γνωριμώτερα καὶ προτάττονται. ἢ καὶ οὕτως. τὰ ἐν τῷ ὁρισμῷ λαμβανόμενα δεῖ εἶναι ἡμῖν γνώριμα. ἐπεὶ οὖν εἰς τὸν ὁρισμὸν τοῦ ὅρου καὶ τοῦ συλλογισμοῦ λαμβάνει τὴν πρότασιν, ἀναγκαῖον ἦν πρῶτον διδάξαι περὶ αὐτῆς. τὸν δὲ ὅρον προτάττει τοῦ συλλογισμοῦ, ὡς ἁπλούστερον. τέλειοι εἰσὶ μὲν συλλογισμοί, οἱ ἐν τῷ α΄ σχήματι ὡς οἴκοθεν ἔχοντες τὸ ἀξιόπιστον. ἀτελεῖς δὲ εἰσὶν οἱ ἐν τῷ β΄ σχήματι καὶ γ΄. ὡς συμπέρασμα συνάγοντες, ἀναπόδεικτον καὶ ἀβέβαιον. ὥσπερ ὁ ὅρος ἡ ἁπλῆ φωνή. ἡ φάσις. τὸ ὄνομα καὶ τὸ ῥῆμα, ταυτὰ μὲν εἰσι τῷ ὑποκειμένῳ. τῇ δὲ σχέσει καὶ τῷ λόγῳ, ἕτερα οὕτω καὶ τὸ πρόβλημα. καὶ ἡ πρότασις. καὶ τὸ συμπέρασμα. καὶ ἡ ἔνστασις. καὶ ἡ ἀπόφανσις, ταυτὰ μὲν εἰσι τῷ ὑποκειμένῳ. τῷ δὲ λόγῳ καὶ τῇ σχέσει, ἕτερα ὡς τὸ ἡ ψυχὴ ἀθάνατος. πρόβλημα μὲν λέγεται, ὅταν τις προβάλληται τῷ προσδιαλεγομένῳ δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι. ὅταν δὲ ὡς μέρος ληφθῇ συλλογισμοῦ, λέγεται πρότασις. οἷον, ἡ ψυχὴ ἀθάνατος. τὸ ἀθάνατον ἄφθαρτον. ἡ ψυχὴ ἄρα ἄφθαρτος. συμπέρασμα δὲ λέγεται ὅταν συναχθῇ ἀπό τινος συλλογισμοῦ. οἷον ἡ ψυχὴ ἀκίνητος. τὸ ἀκίνητον ἀθάνατον ἡ ψυχὴ ἄρα ἀθάνατος. ἔνστασις δὲ ὅταν τοῦ προσδιαλεγομένου εἰπόντος τὴν ψυχὴν θνητὴν, ἐνστῇ ὁ πρὸς αὐτὸν λέγων ἀθάνατον εἶναι ταύτην. ἀπόφανσις δὲ ἐστὶν ὅταν τις αὐτὸς καθ᾽ αὑτὸν ἀποφαίνηται λέγων ὅτι ἡ ψυχὴ ἀθάνατος. καὶ τί ἐστι τὸ λέγειν ὅτι τόδε ἐν ὅλῳ ἐστὶ τῷδε ἢ οὐκ ἔστι. καὶ τί τὸ κατὰ παντός. καὶ τί τὸ κατὰ μηδενός. καὶ λέγομεν ὅτι πᾶσα πρότασις οἷον ὁ ἄνθρωπος ζῶόν ἐστι. δύο σχέσεις ἔχει. μίαν μὲν ἀπὸ τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον. ἑτέραν δὲ ἀπὸ τοῦ ὑποκειμένου πρὸς τὸ κατηγορούμενον. καὶ εἰ μὲν θεωρήσεις τὴν σχέσιν τοῦ ὑποκειμένου πρὸς τὸ κατηγορούμενον, εἴπεις τὸν ἄνθρωπον ἐν ὅλῳ εἶναι τῷ ζώῳ. τὸ γὰρ ζῶον, ὅλον τί ἐστι. μέρη δὲ αὐτοῦ ὁ ἄνθρωπος. ὁ ἵππος. ὁ βοῦς καὶ τὰ λοιπά. εἰ δὲ θεωρήσεις τὴν σχέσιν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον, εἴπεις τὸ ζῶον κατὰ παντὸς εἶναι τοῦ ἀνθρώπου. ἤγουν κατὰ πάντων τῶν μερῶν τοῦ ἀνθρώπου κατηγορεῖσθαι. μέρη δὲ τοῦ ἀνθρώπου ὁ σωκράτης καὶ ὁ πλάτων. καὶ οἱ κατὰ μέρος ἄνθρωποι. καὶ πάλιν. τὸ μὴ εἶναι τόδε τῷδε ἐν ὅλῳ σχέσιν λαμβάνει ὑποκειμένου πρὸς κατηγορούμενον, οἷον ὁ ἄνθρωπος ἐν ὅλῳ οὐκ ἔστι τῷ λίθῳ. οὐ γὰρ ὁ λίθος περιέχει τὸν ἄνθρωπον ἵνα ὅλον εἴπῃς αὐτὸν τὸν λίθον. εἰ δὲ θεωρήσεις σχέσιν κατηγορουμένου πρὸς τὸ ὑποκείμενον, εἴπεις τὸν λίθον κατ᾽ οὐδενὸς τοῦ ἀνθρώπου λέγεσθαι. ἤγουν οὔτε κατὰ τοῦ πλάτωνος, οὔτε κατὰ ἄλλου τινὸς ἀνθρώπου κατηγορεῖσθαι.

Και κατὰ τὴν ὑπόσχεσιν ὁ ὁριζόμενος τὴν πρότασιν, πρῶτα φὴς ταύτην λέγει καταφατικὸν ἢ ἀποφατικὸν εἶναί τινος κατά τινος. τινὰ τῶν βιβλίων ἔχουσι καὶ τινὸς ἀπό τινος. τινὰ δὲ οὐκ ἔχουσι τοῦτο τὸ προσκείμενον. Καὶ ζητεῖται πῶς εἰπὼν τὴν πρότασιν καταφατικὴν εἶναι ἢ ἀποφατικὴν, εἶπε τινὸς κατά τινος καὶ οὐ προσέθετο καὶ τινὸς ἀπό τινος, ἵνα δηλαδὴ τὴν ἀπόφασιν, καὶ λέγομεν ὅτι διὰ

περὶ τῶν κατὰ μέρος ... ἀνθρώπων.

ΜΑΓΕΝΤΙΝΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΜΙΤΥΛΗΝΗΣ, ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΑ ΠΡΟΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Σκοπὸς τῷ ἀριστοτέλει ἐστὶ, διδάξαι ἐν τοῖς τρισὶ σχήμασι περὶ τῆς συνθέσεως τοῦ ἁπλῶς συλλογισμοῦ· ἤγουν πῶς δεῖ συντιθέναι τὰς προτάσεις καὶ ποιεῖν συλλογισμόν. καὶ ποσαπλοῦν συμπέρασμα συνάγεται ἐκ τῆς συνθέσεως τῶν τοιῶνδε προτάσεων. ἵνα δὲ τὸν λόγον σαφηνίσωμεν, μνησθῶμεν καὶ τινῶν συλλογισμῶν ἐκ τῆς συνθέσεως τῶν δύο καθόλου καταφατικῶν, γενήσεται συλλογισμὸς συνάγων συμπέρασμα τὸ παντί. οἷον τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ ἄρα παντὶ τῷ γ΄. ἐκ δὲ τῆς συνθέσεως τῆς καθόλου ἀποφατικῆς καὶ τῆς καθόλου καταφατικῆς, τῆς μείζονος οὔσης καθόλου ἀποφατικῆς, γενήσεται συλλογισμὸς συνάγων συμπέρασμα, τὸ, οὐδενί. οἷον τὸ α΄ οὐδενὶ τῷ β΄. καὶ τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ ἄρα οὐδενὶ τῷ γ΄. εἰ δὲ ἡ μείζων ληφθῇ καθόλου καταφατικὴ ἡ δὲ ἐλάττων καθόλου ἀποφατική, συλλογισμὸς οὐ γίνεται. ὡσαύτως καὶ αἱ δύο ἀποφατικαὶ καθόλου συνθέσεις, συλλογισμὸν οὐ ποιήσεις. Χρησιμεύει δὲ ἡ παροῦσα πραγματεία εἰς τὴν ἀπόδειξιν. διότι καὶ χάριν τῆς ἀποδείξεως γέγονεν. ὁ γὰρ σκοπὸς τοῦ ἀριστοτέλους ἐν τῷ ὀργάνῳ, περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ ἦν διδάξαι. ἐπεὶ δὲ ὁ ἀποδεικτικὸς συλλογισμὸς ἐπιστημονικὸς συλλογισμός ἐστιν, ἀδύνατον ἦν διδάξαι περὶ ἐκείνου, εἰ μὴ πρότερον ἐδίδαξε, περὶ τοῦ καθόλου συλλογισμοῦ. καὶ πῶς ὅλως ὁ συλλογισμὸς γίνεται καὶ ἐκ συνθέσεως. καὶ πόσων προτάσεων καὶ ποίων. περὶ οὖν καθόλου συλλογισμοῦ, διδάσκει ἐν τοῖς τρισὶ σχήμασι. καὶ ὅτι ἐκ δύο προτάσεων πᾶς συλλογισμὸς γίνεται, καὶ ἐκ δύο καθόλου καταφατικῶν ἐν α΄ σχήματι. ἢ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, ὥσπερ καὶ ἀδύνατόν ἐστιν εὖ μαθεῖν γράφειν, πρὸ τοῦ μαθεῖν ὅλως ἁπλῶς γράφειν. ἢ ἀναγινώσκειν εὖ, πρὸ τοῦ μαθεῖν ὅλως ἁπλῶς ἀναγινώσκειν. Ἐντεῦθεν καὶ ἡ τάξις τῆς ἀναγνώσεως ποικίλη γέγονε. καὶ γὰρ ἡ παροῦσα πραγματεία, διδάσκει περὶ τοῦ ἁπλῶς καὶ καθόλου συλλογισμοῦ. ἤγουν πῶς δεῖ συντιθέναι τὰς προτάσεις καὶ ποιεῖν συλλογισμούς. χρησιμεύει δὲ εἰς τὴν ἀπόδειξιν. ἀνάγκη ἄρα τὸ χρησιμεῦον εἴς τι πρὸ ἐκείνου διδάσκεσθαι. Ῥητέον δὲ πρῶτον τί ἐστιν ἀνάλυσις εἶθ᾽ οὕτως ἐπιμεν καὶ περὶ τῆς ἐπιγραφῆς. ἀνάλυσίς ἐστι, ἀναδρομή τις ἐκ τοῦ συνθέτου εἰς τὰ ἁπλᾶ ἐξ ὧν συνετέθη. τὰ γὰρ φυσικὰ σώματα ἀναλύων τις σύνθετα ὄντα, ἀναδράμοι εἰς τὰ δ΄ στοιχεῖα. ἐξ ὧν συνετέθησαν. ὥσπερ καὶ τὸν συλλογισμὸν σύνθετον ὄντα μέλλων τις ἀναλύσαι, ἀναδραμεῖται εἰς τὸ εὑρεῖν τὰς προτάσεις ἐξ ὧν συνετέθη καὶ γέγονεν ὁ συλλογισμός. Ζητεῖται εἰ ἐν τοῖς τρισὶ σχήμασι περὶ τῆς συνθέσεως τοῦ καθόλου συλλογισμοῦ διδάσκει, πῶς οὐκ ἐπιγράφει τὰ τρία σχήματα περὶ συνθέσεως, ἀλλὰ ἀναλυτικά. καὶ λέγομεν ἐν τῷ βιβλίῳ ἐν ᾧ διδάσκει περὶ τῆς συλλογιστικῆς μεθόδου, ἤγουν πῶς δεῖ συλλογίζεσθαι, τρία τμήματα τετάχθαι. καὶ ἐν μὲν τῷ α΄ τμήματι ἤγουν ἐν τοῖς τρισὶ σχήμασι, διδάσκει πόσαι προτάσεις συνερχόμεναι ποιοῦσι συλλογισμόν. καὶ ἐκ τίνων προτάσεων συνάγεται τὸ συμπέρασμα τὸ, παντί, καὶ ἐκ τίνων αὖθις συνάγεται συμπέρασμα, τὸ, οὐδενί. καὶ περὶ τῶν ἐφεξῆς. ἐν δὲ τῷ β΄ τμήματι, διδάσκει περὶ εὐπορίας προτάσεων. ἤγουν παραδίδωσί σοι μέθοδον δι᾽ ἧς εὑρίσκειν τὰς προτάσεις, συντιθέναι ταύτας καὶ συλλογίζεσθαι. ἐν δὲ τῷ γ΄ τμήματι διδάσκει περὶ ἀναλύσεως συλλογισμῶν. ἤγουν πῶς εὑρὼν συλλογισμοὺς ἐν τῷ ἀναγινώσκειν τὰ τῶν σοφῶν συγγράμματα, ἰσχύσεις ἀναλύειν καὶ εὑρίσκειν τὰς προτάσεις ἐξ ὧν ἐγεγόνεισαν οἱ συλλογισμοί. καὶ ἐντεῦθεν ἔχεις εἰδέναι εἴτε ἐν α΄ σχήματι συνελογίσθησαν, εἴτε ἐν β΄ εἴτε ἐν γ΄. τὸ γοῦν ἀναλύειν, δυσχερέστερόν ἐστι, τοῦ συντιθέναι. καὶ ἀνδρὸς ἐπιστήμονος καὶ σοφοῦ ἐστι τὸ ἀναλύειν. ὁρῶμεν γὰρ καὶ τοὺς βαναύσους συντιθέντας λόγους καὶ κοινολογουμένους μετ᾽ ἀλλήλων, ἀδυνατοῦντας δὲ ἀναλύσαι τούτους εἰς λέξεις, καὶ ταύτας εἰς συλλαβάς. καὶ τὰς συλλαβὰς εἰς στοιχεῖα. καὶ τινὰς ὁρῶμεν ἀτέχνως συλλογιζομένους. ἀναλύσαι δὲ τοὺς λόγους εἰς προτάσεις καὶ ὅρους, ἀδυνατοῦντας. εἰ γοῦν τὸ ἀναλύειν μόνου ἔργον ἐστὶ, τιμιώτερον ἄρα καὶ τῆς συνθέσεως. καὶ ἐκ τοῦ τιμιωτέρου μέρους, τὴν ἐπιγραφὴν τοῦ ὅλου βιβλίου ἐποιήσατο. καὶ πρότερα μὲν ἀναλυτικά, ταύτας τὰς τρεῖς πραγματείας ὠνόμασεν. ἤγουν τὰ γ΄ σχήματα. τὸ περὶ εὐπορίας προτάσεων. καὶ τὸ, περὶ ἀναλύσεως συλλογισμῶν. ὡς χρησιμευούσας πρὸς τὴν ἀπόδειξιν. καὶ διὰ τοῦτο πρὸ τῆς ἀποδείξεως διδασκομένας. τῆς δὲ δι᾽ ἣν αἰτίαν τὰ τρία σχήματα πρῶτα τῶν προτάσεων εἴρηκε. τὴν δ᾽ ἀπόδειξιν ὕστερα ἀναλυτικὰ ὠνόμασεν. καὶ λέγομεν ὅτι τὰ γένη πρῶτα τῇ φύσει εἰσὶ τῶν εἰδῶν. ὡς τὸ ζῶον, πρῶτόν ἐστι τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου, τῇ φύσει. τὰ δὲ εἴδη, ὕστερα τῇ φύσει τοῦ γένους εἰσίν. ἐπεὶ οὖν ἐν τοῖς τρισὶ σχήμασι διδάσκει περὶ τοῦ ἁπλῶς καὶ καθόλου συλλογισμοῦ. ὅς τις ὡς γένος διαιρεῖται εἰς εἴδη, τὴν ἀποδεικτικὴν φημί. τὴν διαλεκτικὴν καὶ τὴν συλλογιστικήν, εἰκότως τὰ μὲν τρία σχήματα, πρῶτα εἴρηκεν. Ὅτι δὲ ἡ πραγματεία αὕτη γνησία ἐστὶ τοῦ ἀριστοτέλους, δῆλον. ἐν γὰρ ταῖς παλαιαῖς βιβλιοθήκαις, τεσσαράκοντα βιβλία ἀνα-

δῆλη, ἴσως.

Ἀνάλυσις τί.

deest πεπαιδευμένος aut aliquid tale. forte, ἔτι δὲ.

Ἐπειδὴ εἶπε τὸ ὅτι πᾶς ἐδείκνυεν δι' ἑνὸς τῶν τριῶν σχημάτων δείκνυσι· τοῦτο βούλεται δεῖξαι, ὅτι καὶ ὁ φυσιογνωμονῶν τις, δι' ἑνὸς τῶν τριῶν σχημάτων δεικνύουσιν. ἅμα μὲν μεταβάλλει τὸ σῶμα καὶ τὴν ψυχὴν ὅσα γε φυσικά ἐστι παθήματα. ἐάν τις δῷ ἡμῖν, ὅτι συμμεταβάλλεται ἡ ψυχὴ τῷ σώματι ἐν τοῖς φυσικοῖς παθήμασιν· οἷον, μαθών τις μουσικήν, μεταβέβληκεν αὐτοῦ τὴν ψυχήν. ἀλλ' ἡ μουσικὴ οὐκ ἔστι φυσικὸν πάθος· ἀλλ' οἷον ὀργαὶ καὶ ἐπιθυμίαι. ἐὰν οὖν τις δῷ ἡμῖν, ὅτι συμμεταβάλλεται ἡ ψυχὴ τῷ σώματι· καὶ δυνηθῶμεν ἑκάστου εἴδους τὸ ἴδιον λαβεῖν, δυνάμεθα φυσιογνωμονεῖν. οἷον τοῖς λέουσιν ὑπάρχει ἀνδρεία. ἔχουσιν οὖν καὶ σημεῖον. ποῖον δὲ τοῦτο; ἔστω μεγάλα ἔχειν τὰ ἄκρα. ἐὰν οὖν ἴδωμεν, ὅτι ὅς δέ τις ἔχει μεγάλα ἄκρα, ἀνδρεῖος ἄρα. ἐπειδὴ καὶ ὁ λέων ἔχων μεγάλα ἄκρα ἀνδρεῖος, τότε φυσιογνωμονοῦμεν. Ἑκάστου γένους. Γένος νῦν ἐκάλεσε, καταχρηστικῶς τὸ εἶδος.

ΤΟ γὰρ σημεῖον, οὕτως ἴδιόν ἐστιν, ὅτι ὅλου γένους ἴδιόν ἐστι τὸ πάθος· καὶ οὐ μόνου ἴδιον, ὥσπερ εἰώθαμεν λέγειν. ὑπάρξει δὲ καὶ ἐν ἄλλῳ γένει ταυτό· καὶ ἔσται ἀνδρεῖος ὁ ἄνθρωπος· καὶ ἄλλο τι ζῷον. ἕξει ἄρα τὸ σημεῖον. ἓν γὰρ ἑνὸς ἦν. εἰ τοίνυν ταῦτά ἐστι, καὶ δυνησόμεθα τοιαῦτα σημεῖα συλλέξαι ἐπὶ τούτων τῶν ζῴων, ἃ μόνον ἓν πάθος ἔχει καὶ ἴδιον. ἕκαστον δὲ ἔχει σημεῖον. ἐπείπερ ἓν ἔχειν ἀνάγκη, δυνησόμεθα φυσιογνωμονεῖν.

Τὸ γὰρ ἴδιον σημεῖον ὃ τοῖς λέουσιν ὑπάρχει. ἔστω τοιοῦτον. καθὸ ἴδιον λέγομεν παντὶ μὲν τῷ εἴδει ὑπάρχειν, μὴ μόνῳ δέ.

ΕΙ δὲ δύο ἔχει ἴδια ὅλον τὸ γένος· οἷον ὁ λέων ἀνδρεῖος καὶ μεταδοτικόν, πῶς γνωσόμεθα πότερον σημεῖον τῶν ἰδίᾳ ἀκολουθούντων σημείων.

Ἐὰν δὲ δύο σημεῖα ἔχει τὸ αὐτό, καὶ οὐκ οἴδαμεν ποῖον σημεῖον ποίου ἐστὶ πάθους, σκοπήσωμεν τὰ αὐτὰ σημεῖα. καὶ ἐπὶ ἄλλου εἴδους· ὡς εἶναι ἕκαστον σημεῖον, ἐν ἄλλῳ καὶ ἄλλῳ γένει· καὶ εὑρίσκομεν, ὅτι τοῦτο τὸ σημεῖον, τοῦδε τοῦ πάθους ἐστίν. οἷον ὡς ἐπὶ τοῦ λέοντος. ᾧ ὑπάρχει ἀνδρεῖον καὶ μεταδοτικόν. πῶς γνωσόμεθά τι ἦν τούτων τὸ σημεῖον. οὐδαμῶς ἔχομεν γνῶναι. ἢ ἐὰν ᾖ μὲν ἐν τῷ ἄλλῳ τινί. ᾧ δὲ ἄλλῳ ἄμφω μὴ ὑπάρχει τὰ σημεῖα, ἀλλὰ τὸ ἓν μόνον, καὶ ᾧ τὸ ἓν ἐκείνῳ μόνον ὑπάρχει γινωσκόμενον σημεῖον.

Ὁ λέων ἀνδρεῖος. Ἐκ φύσεως ἔχει ὁ λέων τὸ μεταδοτικόν. καὶ οὐ θησαυρίζει ἑαυτῷ τὰ σιτία.

Ἢ εἴ τι ἄλλῳ τινὶ μὴ ὅλῳ, ἄμφω καὶ ἐν οἷς μὴ ὅλοις ἑκάτερον, ὁ ταυτὸ μὲν ἔχῃ, τὸ δὲ, μή. εἰ γὰρ ἀνδρεῖος μέν, ἐλευθέριος δὲ μή. ἔχει δὲ τῶν δύο τοδί, δῆλον ὅτι καὶ ἐπὶ τοῦ λέοντος τοῦτο σημεῖον τῆς ἀνδρείας.

Οὐδαμῶς ἔχομεν δεῖξαι. ἢ οὕτως. ᾧ ἄλλῳ τινὶ μὴ παντὶ τῷ εἴδει ἐνυπάρχει. καὶ μὴ ἄμφω ὡς ἐν τῷ λέοντι.

ΕΣΤΙ δὲ τὸ φυσιογνωμονεῖν τῷ ἐν τῷ πρώτῳ σχήματι. τὸ μέσον. τῷ μὲν πρώτῳ ἄκρῳ ἀντιστρέφειν, τοῦ δὲ τρίτου, ὑπερτείνειν καὶ μὴ ἀντιστρέφειν. οἷον, ἀνδρεία τὸ α. τὰ ἀκρωτήρια μεγάλα, ἐφ' οὗ β. τὸ δὲ γ λέων. ᾧ δὴ τὸ γ, τὸ β παντί, καὶ ἄλλοις. ᾧ δὲ τὸ β, τὸ α παντί, καὶ οὐ πλείοσιν. ἀλλ' ἀντιστρέφει. εἰ δὲ μή, οὐκ ἔσται ἓν ἑνὸς σημεῖον.

Εἴ τις ὁ φυσιογνωμονῶν ἀποδεικνύοιτο, ἀποδείκνυσι διὰ τοῦ πρώτου σχήματος. ἔστω οὖν ὁ μέσος ὅρος ἐπὶ τῶν οὕτως ἀποδεικνυόντων· ἴσος τῷ μείζονι ἄκρῳ· μείζων δὲ ἔστω πάλιν ὁ μέσος τῷ ἐλάττονι, ὥστε μὴ ἀντιστρέφειν. οἷον ἀνδρεία, μείζων ὅρος· ἀκρωτήρια μεγάλα, μέσος. καὶ ἴσος τῷ μείζονι. ἔσχατος ὅρος ὁ λέων. καὶ μερικώτερος τοῦ μέσου ὅρου. ᾧ δὴ τὸ γ τῷ β παντί. τουτέστι τὸ β παντὶ τῷ γ. ἀλλὰ καὶ ἄλλοις τὸ β ἔχειν μεγάλα ἀκρωτήρια. ᾧ δὲ τὸ δεύτερον τὸ πρῶτον παντί· τουτέστι τὸ α παντὶ τῷ β. καὶ οὐκέτι πλεῖον τὸ α τοῦ δευτέρου, ὡς τὸ δεύτερον τοῦ τρίτου. ἀλλ' ἴσα καὶ ἀντιστρέφει.

ΤΕΛΟΣ.

Registrum commenta. Ioan. Gram.

a b c d e f g h i k l m n o p. quaterniones omnes, præter a. ternionem. & p quinternionem.

κύει. τοῦτο γίνεται τὸ πρῶτον σχῆμα. λαβόντες τὸ μέσον ὅτι γάλα ἔχει. ἐν δὲ τῷ τρίτῳ σχήματι δείκνυται τὸ διὰ σημείου οὕτως. ὁ πιττακὸς σπουδαῖος. ὁ πιττακὸς σοφός. οἱ ἄρα σοφοὶ σπουδαῖοι. καὶ δηλονότι παραδείγματος χάριν εἴρηται. ἔτι κατ' ἀλήθειαν ἐν πρώτῳ σχήματι ἐκ δύο καταφατικῶν καθόλου συνάγομεν. οὐ μέντοι ἐν τρίτῳ.

ἐφ' ᾧ τὸ α', σπουδαῖον. ἐφ' ᾧ τὸ β', οἱ σοφοί. ἐφ' ᾧ τὸ γ', πιττακός. ἀληθὲς δὴ καὶ τὸ α', καὶ τὸ β' τοῦ γ' κατηγορεῖσθαι.

Ὥσπερ οἱ φιλόσοφοι ἀποδεικνύουσι διὰ συλλογισμοῦ ἢ δι' ἐπαγωγῆς, οὕτω καὶ οἱ ῥήτορες διὰ σημείου ἤτοι παραδείγματος, ἢ δι' ἐνθυμήματος. καὶ τὴν αὐτὴν ἔχει ἀναλογίαν τὸ ἐνθύμημα πρὸς τὸν συλλογισμόν, ἣν ἔχει τὸ παράδειγμα, πρὸς τὴν ἐπαγωγήν.

ΤΗΝ μὲν οὐ λέγουσι διὰ τὸ εἰδέναι. τὸ δὲ, λαμβάνουσι.

Ὃ λέγουσι τὸ ὁμολογούμενον. ὁ πιττακὸς σοφός.

ΤΟ δὲ κύειν, ὅτι ὠχρά, διὰ τοῦ μέσου σχήματος βούλεται εἶναι. ἐπεὶ γὰρ ἕπεται ταῖς κυούσαις τὸ ὠχρόν. ἀκολουθεῖ δὲ καὶ ταύτῃ, δεδεῖχθαι οἴονται ὅτι κύει. τὸ ὠχρόν, ἐφ' οὗ τὸ α'. ἐφ' οὗ τὸ β' τὸ κύειν. γυνή, ἐφ' οὗ τὸ γ'.

Διὰ τοῦ δευτέρου σχήματος τὸ διὰ σημείου δείκνυται οὕτως. ἡ γυνὴ ἡ κύουσα ὠχρά ἐστιν. ἥδε δὲ ὠχρά ἐστιν. κύει ἄρα. καὶ εἴρηται χάριν παραδείγματος. ἐπεὶ κατ' ἀλήθειαν ἐν δευτέρῳ σχήματι, ἀσυλλόγιστος ἡ συζυγία ἐκ δύο καταφατικῶν. διὰ τοῦ καὶ ἔσχατον εἶπε τοῦτο τὸ σχῆμα.

ΕΑΝ μὲν οὖν ἡ μία λεχθῇ πρότασις, σημεῖον γίνεται μόνον. ἐὰν δὲ καὶ ἡ ἑτέρα προσληφθῇ, συλλογισμός. οἷον ὅτι ὁ πιττακὸς ἐλευθέριος. οἱ γὰρ φιλότιμοι ἐλευθέριοι. πιττακὸς δὲ φιλότιμος. ἢ πάλιν ὅτι οἱ σοφοὶ ἀγαθοί. πιττακὸς γὰρ ἀγαθός. ἀλλὰ καὶ σοφός.

Εἰ μὲν μίαν λάβωσι πρότασιν, σημεῖον γίνεται. εἰ δὲ καὶ τὴν ἄλλην, συλλογισμός. παράδειγμα δὲ τούτου ἐπάγει. ὅτι ὁ συλλογισμός ἐστιν. ἐὰν καὶ ἄλλην λάβῃς πρότασιν.

ΟΥΤΩ μὲν οὖν γίνονται οἱ συλλογισμοί. πλὴν ὁ μὲν διὰ τοῦ πρώτου σχήματος, ἄλυτος ἂν ἀληθὴς ᾖ. καθόλου γάρ ἐστιν. ὁ δὲ διὰ τοῦ ἐσχάτου, λύσιμος κἂν ἀληθὲς ᾖ τὸ συμπέρασμα, διὰ τὸ μὴ εἶναι καθόλου. μηδὲ πρὸς τὸ πρᾶγμα τὸν συλλογισμόν. οὐ γὰρ εἰ πιττακὸς σπουδαῖος, ἀνάγκη διὰ τοῦτο καὶ τοὺς ἄλλους σοφούς. ὁ δὲ διὰ τοῦ μέσου σχήματος, ἀεὶ καὶ πάντως λύσιμος.

Οὐκ ἀνασκευάζεται ὁ διὰ τοῦ πρώτου σχήματος δεικνύμενος, ἀλλὰ ἄλυτος μένει. τεκμήριον γὰρ γίνεται τὸ σημεῖον, ἐὰν ᾖ ἀληθές. ὁ δὲ διὰ τοῦ ἐσχάτου ἀνασκευάζεται, διατί. διὰ τὸ μὴ καθόλου αὐτὸν συλλογίζεσθαι. λύσιμος δὲ ἐὰν τὸ μερικὸν συλλογίζηται. τὸ δὲ διὰ τοῦ μέσου ἀεὶ ἀνασκευάζεται. ἐκ γὰρ δύο καταφατικῶν οὐδέποτε ἐν δευτέρῳ ἀφ' ἧς συλλογιστικῆς συζυγίας συλλογισμός.

ΟΥΔΕποτε γὰρ γίνεται συλλογισμός, οὕτως ἐχόντων τῶν ὅρων. οὐ γὰρ εἰ ἡ κύουσα ὠχρά, ὠχρὰ δὲ καὶ ἥδε. κύειν ἀνάγκη ταύτην.

Οὐδέποτε γίνεται συλλογισμός, τῶν προτάσεων καταφατικῶν οὐσῶν ἐν δευτέρῳ σχήματι. οὐδὲ γὰρ εἰ ἡ κύουσα ὠχρά. ἤδη καὶ αὕτη κύει ἐξ ἀνάγκης.

ΑΛΗΘΕΣ μὲν οὖν ἐν ἅπασιν ὑπάρξει τοῖς σχήμασι. διαφορὰς δὲ ἔχουσι τὰς εἰρημένας. ἢ δὴ οὕτω διαιρετέον τὸ σημεῖον.

Ὡς εἰρήκαμεν ἐν πᾶσι τοῖς σχήμασι δείκνυται ἡ διὰ σημείου δεῖξις. ἔχουσι δὲ ἃς εἴρηται. ὅτι ἐν πρώτῳ ἀληθὴς ἡ δεῖξις ἄλυτος ὁ συλλογισμός. ἐν δευτέρῳ δὲ ἀεὶ ἀσυλλόγιστος. ἐν τρίτῳ ποτὲ ὅτε μερικόν.

ΤΟΥΤΩΝ δὲ τὸ μέσον τεκμήριον ληπτέον. τὸ γὰρ τεκμήριον τὸ εἰδέναι ποιοῦν φασιν εἶναι.

Διαίρεσιν τοῦ σημείου ποιεῖται. ὅτι τὸ σημεῖον εἰς τεκμήριον διαιρεῖται. καὶ ὁμώνυμον σημεῖον. λέγουσι δὲ ἐκεῖνο εἶναι τεκμήριον. τὸ τὸ εἰδέναι ποιοῦν σημαῖνον.

ΤΟΙΟΥΤΟΝ δὲ μάλιστα τὸ μέσον, ἢ τὰ μὲν ἐκ τῶν ἄκρων, σημεῖον λεκτέον. τὰ δὲ ἐκ τοῦ μέσου, τεκμήριον. ἐνδοξότατον γὰρ καὶ μάλιστα ἀληθές, τὸ διὰ τοῦ πρώτου σχήματος.

Μέσον δὲ νῦν λέγει τὸ πρῶτον σχῆμα. διὰ τὸ τὸν μέσον ὅρον ἐνταῦθα κατὰ θέσιν εἶναι. καὶ τοῦ μὲν ὑποκεῖσθαι, τοῦ δὲ κατηγορεῖσθαι. Τὸ δὲ ἐκ τῶν ἄκρων. Ἄκρα λέγει τὸ δεύτερον καὶ τὸ τρίτον. ὅτι ἔχουσι τὸν μέσον ὅρον. τὸ μὲν κατηγορούμενον τὸ δὲ ὑποκείμενον. ὃ ὀφείλομεν λέγειν σημεῖον. τὰ δὲ ἐκ τοῦ μέσου ἀντὶ τοῦ πρώτου σχήματος τεκμήριον.

ΤΟ δὲ φυσιογνωμονεῖν δυνατόν ἐστιν εἴ τις δίδωσιν ἅμα μεταβάλλειν τὸ σῶμα καὶ τὴν ψυχήν, ὅσα ἐστὶ φυσικὰ παθήματα. μαθὼν γὰρ ἴσως μουσικήν, μεταβέβληκέ τι τὴν ψυχήν. ἀλλ' οὐ τῶν φύσει ἡμῖν ἐστὶ τοῦτο τὸ πάθος. ἀλλ' οἷον ὀργαὶ καὶ ἐπιθυμίαι τῶν φύσει κινήσεων. εἰ δὴ τοῦτό τε δοθείη, καὶ ἓν ἑνὸς σημεῖον εἶναι. καὶ λαμβάνειν δυναίμεθα τὸ ἴδιον ἑκάστου γένους, πάθος, καὶ σημεῖον, δυνησόμεθα φυσιογνωμονεῖν. εἰ γάρ ἐστιν ἰδίᾳ τινὶ γένει, ὑπάρχον ἀτόμῳ πάθος. οἷον τοῖς λέουσιν ἀνδρεία. ἀνάγκη καὶ σημεῖον εἶναί τι. συμπάσχειν γὰρ ἀλλήλοις ὑπόκειται. καὶ ἔστω τοῦτο, τὸ μεγάλα ἀκρωτήρια ἔχειν. ὃ καὶ ἄλλοις ὑπάρχειν γένεσι μὴ ὅλοις, ἐνδέχεται.

τρίτον σχῆμα μέσον. γὰρ τὸ ἐν μέρει λαμβανόμενον.

Πρὸς γὰρ τὸ γνωστὸν καὶ ἄγνωστον, εὑρίσκεται τὰ ἐναντία καθολικώτερα· καὶ οὕτω γίνεται τὸ τρίτον σχῆμα. λαμβανόμενον τὸ γνωστὸν καὶ ἄγνωστον.

ΟἿΟΝ τὸ γνωστὸν καὶ ἄγνωστον. ἐξ ὧν γὰρ ἔστι συλλογίσασθαι τοὐναντίον, ἐκ τούτων καὶ τὰς ἐνστάσεις ἐπιχειροῦμεν λέγειν. διὸ καὶ ἐκ μόνων τῶν σχημάτων τούτων φέρομεν· ἐν μόνοις γὰρ τούτοις οἱ ἀντικείμενοι συλλογισμοί. διὰ γὰρ τοῦ μέσου οὐκ ἦν καταφατικῶς. ἔτι δὲ κἂν λόγου δέοιτο πλείονος, οἷον διὰ τοῦ μέσου σχήματος. οἷον εἰ μὴ δοίη τὸ α τῷ β ὑπάρχειν, διὰ τὸ μὴ ἀκολουθεῖν αὐτῷ τὸ γ, τοῦτο γὰρ δι' ἄλλων προτάσεων δῆλον. οὐ δεῖ δὲ εἰς ἄλλα ἐκτρέπεσθαι τὴν ἔνστασιν, ἀλλ' εὐθὺς φανερὰν ἔχειν τὴν ἑτέραν πρότασιν. διὸ καὶ τὸ σημεῖον ἐκ μόνου τούτου τοῦ σχήματος οὐκ ἔστιν. ἐπισκεπτέον δὲ καὶ περὶ τῶν ἄλλων ἐνστάσεων. οἷον περὶ τῶν ἐκ τοῦ ἐναντίου. καὶ τοῦ ὁμοίου καὶ τοῦ κατὰ δόξαν.

Ἐκ τοῦ εἰκότως ἐπάγει, ὅτι εἰκότως ἐν τρίτῳ καὶ πρώτῳ γίνεται. ἡ γὰρ ἔνστασις τὸ ἐναντίον βούλεται συνάξαι. τὰ δὲ ἐναντία ἐν τούτοις τοῖς σχήμασιν ὑπάρχουσι. οὐκοῦν ἐν τούτοις αἱ ἐνστάσεις. διὰ γὰρ τοῦ μέσου ἐὰν λέγῃ ἐκεῖνος ἀποφατικὸν συμπέρασμα. καὶ θέλομεν ἐνστῆναι, καταφατικὸν οὐ δυνάμεθα συνάξαι. τούτου χάριν οὐ δυνάμεθα ἐνστῆναι ἐν δευτέρῳ. οὐ μόνον δέ, ἀλλ' ὅτι καὶ πολλῶν χρεία λόγων εἰ διὰ τοῦ δευτέρου σχήματος ἐνιστάμεθα. χρεία γὰρ ἀντιστροφῆς. ἵνα δειχθῇ τὸ ζητούμενον. τοῦτο εἶπεν χρεία πλείονος λόγου. εἶτα ἐκ τῆς ἀντιστροφῆς συλλογισμὸν ποιεῖ. καὶ τότε ἐνίσταται. ὅτι περ ποιοῦμεν διὰ συντόμων ἐν πρώτῳ καὶ τρίτῳ. οὐ χρεία ἐν πολλῇ ὕλῃ ἡμᾶς εὑρίσκεσθαι. ἐπειδὴ εἶπεν ὅτι τὴν καθόλου ἐν πρώτῳ, τὴν δὲ μερικὴν ἐν τρίτῳ. σκοπητέον φησὶν εἰ δυνατὸν καὶ τὸ μερικὸν ἐν πρώτῳ. τὸ γὰρ καθόλου ἐν πρώτῳ οὐ δυνατόν.

ΚΑΙ εἰ τὴν ἐν μέρει ἐκ τοῦ πρώτου. ἢ τὴν στερητικὴν ἐκ τοῦ μέσου δυνατὸν λαβεῖν.

Ἐπισκεπτέον δὲ καὶ περὶ τῶν ἄλλων ἐνστάσεων. αἱ ἐνστάσεις ἢ ἐκ τοῦ ἐναντίου. οἷον ὅτι πᾶσα χαρὰ καλόν. λέγω ὅτι ψεῦδος. οὔτε γὰρ πᾶσα λύπη κακόν. οὕτως ἐκ τοῦ ἐναντίου. ἢ ἐκ τοῦ ὁμοίου. ὡς ἐπὶ τῶν κατὰ ἀναλογίαν. ἐπειδὴ ὃν λόγον ἔχει τὸ σημεῖον πρὸς τὴν γραμμήν. τοῦτον τὸν λόγον ἔχει γραμμὴ πρὸς ἐπιφάνειαν. ἐκ τοῦ οὖν ὁμοίου μὲν οὕτως. ὅτι ἡ γραμμὴ τῆς ἐπιφανείας μέρος, λέγω ὅτι ψευδές. οὔτε γὰρ τὸ σημεῖον τῆς γραμμῆς μέρος. ἢ ἐκ τοῦ κατὰ δόξαν. οἷον ὅτι ἡ ψυχὴ θνητή. λέγομεν ὅτι ψευδές. οἱ γὰρ παλαιοὶ φιλόσοφοι δοξάζουσιν αὐτὴν ἀθάνατον.

ΕἸΚΟΣ δὲ καὶ σημεῖον οὐ ταὐτόν ἐστιν. ἀλλὰ τὸ μὲν εἰκός ἐστι πρότασις ἔνδοξος. ὃ γὰρ ὡς ἐπὶ τὸ πολὺ ἴσασιν οὕτω γινόμενον, ἢ μὴ γινόμενον. ἢ ὄν, ἢ μὴ ὄν, τοῦτό ἐστιν εἰκός. οἷον τὸ μισεῖν τοὺς φθονοῦντας. ἢ τὸ φιλεῖν τοὺς ἐρωμένους.

Ἐπειδὴ οἱ ῥήτορες καὶ διὰ ἐνθυμήματος ἀποδεικνύουσι. τὸ δὲ ἐνθύμημα διὰ εἰκότος καὶ σημείου. τούτου χάριν προδιαλαμβάνει, περὶ τοῦ εἰκότος καὶ σημείου. καὶ λέγει εὐθέως τὴν διαφοράν. ἵνα διὰ τῆς διαφορᾶς γνῶμεν ἕκαστον. ὅτι τὸ εἰκός ἐστι πρότασις ἔνδοξος. ὥστε μίαν πρότασιν λαμβάνουσιν οἱ ἐκ τοῦ εἰκότος ἀποδεικνύντες. ἐκεῖνο δὲ εἰκὸς λέγουσιν. ὃ ὡς ἐπὶ τὸ πολύ, ἢ ἔστιν. ἢ οὐκ ἔστιν. οἷον ὡς ἐπὶ τὸ πολὺ μισοῦσιν οἱ φθονούμενοι τοὺς φθονοῦντας. ἢ ὡς ἐπὶ τὸ πολὺ φιλοῦσιν οἱ ἐρῶντες τοὺς ἐρωμένους. φέρεται δέ τις ἱστορία τοιαύτη. καὶ ὅτι ἐρῶν τις τὴν ἐρωμένην ἐφόνευσεν. τὸ δὲ σημεῖον διαιρεῖ εἰς τεκμήριον καὶ ὁμώνυμον σημεῖον. τὸ ὁμώνυμον δὲ σημεῖον ταὐτόν ἐστι τῷ εἰκότως. τὸ δὲ τεκμήριον μετὰ ἀσφαλείας γίνεται ἐν πρώτῳ σχήματι. καὶ εἰ ἀληθές ἐστιν, ἄλυτον γίνεται. οἷον ἢ τὸ μισεῖν τοὺς φθονοῦντας, ἢ τὸ φιλεῖν τοὺς ἐρωμένους.

ΣΗΜΕΙ͂ον δὲ βούλεται εἶναι πρότασις ἀποδεικτικὴ ἢ ἀναγκαία ἢ ἔνδοξος. οὗ γὰρ ὄντος, ἔστιν. ἢ οὗ γενομένου πρότερον ἢ ὕστερον γέγονε τὸ πρᾶγμα. τοῦτο σημεῖόν ἐστι τοῦ γεγονέναι ἢ μὴ εἶναι.

Καὶ οἱ ἀποδεικνύντες ἐκ τοῦ σημείου, διὰ μιᾶς προτάσεως ἀποδεικνύουσι. πρότασις γὰρ ἀποδεικτικὴ τὸ σημεῖον. ἢ ἀναγκαία διὰ τὸ τεκμήριον. ἢ ἔνδοξος διὰ τὸ εἰκότως. τὸ γὰρ σημεῖον εἰς δύο διῄρηται. εἰς εἰκότος καὶ τεκμήριον. τὸ δὲ σημεῖον τριχῶς νοοῦμεν. ἢ γὰρ ἔστιν ὄντος τοῦ πράγματος. οἷον ἅμα τὸ πρᾶγμα καὶ σημεῖον. ὡς τὸ καπνὸς εἰ ἔστι, πῦρ ἔστιν. ἢ μετὰ τοῦ πράγματος σημεῖον. οἷον, τὸ τέφραν εἶναι, σημαίνει ὅτι πῦρ ἤδη γέγονεν. ἢ ὕστερον γέγονε τὸ πρᾶγμα, πρῶτον δὲ τὸ σημεῖον. ὡς τὸ γάλα ἔχειν τὴν μετὰ δύο ἡμέρας μέλλουσαν τίκτειν. ἢ ἔνδοξος. οὗ γὰρ ὄντος ἐστίν, ἢ οὗ γενομένου πρότερον. ἢ ὕστερον δὲ γέγονε τὸ πρᾶγμα. ὑποθετὸν νοήσωμεν τὸ χωρίον. ἢ οὗ γενομένου πρότερον. δῆλον ὅτι τοῦ πράγματος, τοῦτο σημεῖόν ἐστι τοῦ γεγονέναι δῆλον τὸ πρᾶγμα.

ἘΝΘύμημα μὲν οὖν ἐστι συλλογισμὸς ἀτελής, ἐξ εἰκότων ἢ σημείων. λαμβάνεται δὲ τὸ σημεῖον, τριχῶς, ὁσαχῶς καὶ τὸ μέσον ἐν τοῖς σχήμασιν. ἢ γὰρ ὡς ἐν τῷ πρώτῳ. ἢ ὡς ἐν τῷ μέσῳ. ἢ ὡς ἐν τῷ τρίτῳ. οἷον τὸ μὲν δεῖξαι κύουσαν διὰ τοῦ γάλα ἔχειν ἐκ τοῦ πρώτου σχήματος. μέσον γάρ, τὸ γάλα ἔχειν. ἐφ' ᾧ τὸ α, τὸ κύειν. τὸ β, τὸ γάλα ἔχειν. γυνὴ δέ, ἐφ' ᾧ τὸ γ. τὸ δ' ὅτι οἱ σοφοί, σπουδαῖοι. Πιττακὸς γὰρ σπουδαῖος. διὰ τοῦ ἐσχάτου.

Τὸ ἐνθύμημα καὶ διὰ τοῦ πρώτου σχήματος, ὡς τὸ ἤδη γάλα ἔχει. πᾶσαι ἢ γάλα ἔχουσαι κύει. ἤδη ἄρα

πλείοσι προτάσεσι. διαφέρει δὲ τῆς προτάσεως, ὅτι ἡ μὲν ἔνστασις, ἢ τὸ καθόλου ἐναντίον ἐστὶ γε, ἢ τὸ μερικόν. ἡ δὲ πρότασις καθόλου οὖσα, οὐ δύναται εἶναι μερική. ἔστι δὲ μερική, οὐχ ὅτι τὸ καθόλου συνάγει, ἀλλ' ὅτι τὸ μερικόν. Ἔνστασις δέ ἐστι πρότασις προτάσει ἐναντία. Διαφέρει ἔνστασις ἀνασκευῆς, ὅτι ἡ ἔνστασις προτάσεως. ἡ δὲ ἀνασκευὴ συμπεράσματος.

ΦΕΡΕΤΑΙ δὲ ἡ ἔνστασις διχῶς τε καὶ διὰ δύο σχημάτων. διχῶς μὲν, ὅτι ἢ καθόλου ἢ ἐν μέρει πᾶσα ἔνστασις. διὰ δύο δὲ σχημάτων, ὅτι ἀντικείμεναι φέρονται τῇ προτάσει. τὰ δὲ ἀντικείμενα, ἐν τῷ α' καὶ ἐν τῷ γ' σχήματι περαίνονται μόνοις. ὅταν γὰρ ἀξιώσῃ παντὶ ὑπάρχειν, ἐνιστάμεθα, ἢ ὅτι οὐδενὶ, ἢ ὅτι τινὶ οὐχ ὑπάρχει. τούτων δὲ τὸ μὲν μηδενὶ, ἐκ τοῦ πρώτου σχήματος. τὸ δὲ τινὶ μὴ, ἐκ τοῦ ἐσχάτου.

Η' ἔνστασις διττὴ ἢ καθολικὴ, ἢ μερική. δείκνυται δὲ διὰ τῶν δύο σχημάτων. πρώτου καὶ τρίτου. ἐπεὶ ἡ ἔνστασις, ἀντίθεσίς ἐστι. τὰ δὲ ἀντικείμενα, ἐν πρώτῳ καὶ τρίτῳ. ἐὰν οὖν τις λέγῃ ὅτι τὶ δε παντὶ τῷδε. εἰ μὲν οὖν τὸ οὐδενὶ βουλόμεθα ἐνστῆναι, διὰ τοῦ πρώτου σχήματος. εἰ δὲ τὸ οὐ παντὶ, διὰ τοῦ τρίτου. εἰ δὲ λέγει οὐ παντὶ καὶ ἐνστῆναι βουλόμεθα. εἰ μὲν παντὶ, διὰ τοῦ πρώτου σχήματος. εἰ δὲ τινὶ, διὰ τοῦ τρίτου. τὸ δὲ τινὶ μή. ἐκ τοῦ ἐσχάτου. τὸ δὲ τινὶ μὴ, ἀντὶ τοῦ μερικοῦ ἀποφατικοῦ.

ΟἿΟΝ ἔστω τὸ α' μίαν εἶναι ἐπιστήμην, ἐφ' ᾧ τὸ β' ἐναντία. προτείναντος δὴ μίαν εἶναι τῶν ἐναντίων ἐπιστήμην, ἢ ὅτι ὅλως.

Ε' πὶ παραδείγματος τὰ εἰρημένα παραδίδωσιν. ἔστω μεῖζον ὅρος μίαν εἶναι ἐπιστήμην. μέσος, τὰ ἀντικείμενα. τὰ δὲ ἐναντία ἔσχατος ὅρος, ἐὰν τις λέγῃ τῶν ἐναντίων μίαν ἐστὶν ἐπιστήμην. καὶ ἐνστῇ τις λέγων. ὅτι τῶν ἐναντίων μία οὐκ ἔστιν ἐπιστήμη. τοῦτο ἐν πρώτῳ σχήματι. εἰ δὲ τὸ μερικὸν βούλει ἀντιστῆναι. λαμβάνεις μερικὰ ἐναντία. τὸ γνωστὸν εἰ τύχοι καὶ ἄγνωστον, οὕτως. τὰ ἐναντία, γνωστῷ καὶ ἀγνώστῳ. τὸ γνωστὸν καὶ ἄγνωστον μίαν οὐκ ἔχει ἐπιστήμην. οὐ πάντα ἄρα τὰ ἐναντία μίαν ἔχει ἐπιστήμην, καὶ γίνεται τὸ τρίτον σχῆμα.

ΟΥ'Χ ἡ αὐτὴ τῶν ἀντικειμένων ἐπίσταται.

Α' ντὶ τοῦ οὐχ ἡ αὐτὴ ἐπιστήμη τῶν ἀντικειμένων, ἢ ὅτι ὅλως ἡ αὐτὴ τῶν ἀντικειμένων ἐπίσταται.

ΤΑ' δὲ ἐναντία ἀντικείμενα, ὥστε γίνεσθαι τὸ α' σχῆμα. ἢ ὅτι τοῦ γνωστοῦ καὶ ἀγνώστου οὐ μία. τοῦτο δὲ τὸ γ'. κατὰ γὰρ τοῦ γ', τοῦ γνωστοῦ καὶ ἀγνώστου, τὸ μὲν ἐναντία εἶναι ἀληθές· τὸ δὲ μίαν αὐτῶν ἐπιστήμην εἶναι, ψεῦδος.

Λ αμβάνει ὅρους τρεῖς τούτοις. μίαν ἐπιστήμην. μείζονα ὅρον. ἀντικείμενα μέσον ὅρον. ἐναντία ἐλάττονα ὅρον. ἐὰν οὖν λέγῃ ἄλλος ὅτι τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη. καὶ θέλεις ἐνστῆναι, οὕτω λέγεις. τὰ ἐναντία ἀντικείμενα. τὰ δὲ ἀντικείμενα μίαν οὐκ ἔχουσιν ἐπιστήμην. τῶν ἄρα ἐναντίων οὐκ ἔστι μία ἐπιστήμη. καὶ γίνεται τὸ πρῶτον σχῆμα. εἰ δὲ μερικῶς θέλεις ἐνστῆναι, λαμβάνεις μερικὰ ἐναντία τὸ γνωστὸν καὶ ἄγνωστον. οἷον ὅτι ταῦτα ἐναντία καὶ ἀντικείμενα. τοῦ δὲ γνωστοῦ καὶ ἀγνώστου μία οὐκ ἔστιν ἐπιστήμη. τῶν ἄρα ἐναντίων, οὐ πάντων μία ἐστὶν ἐπιστήμη. καὶ γίνεται τὸ τρίτον σχῆμα. ἐπὶ γὰρ τοῦ γνωστοῦ καὶ ἀγνώστου, ἀληθὲς τὸ εἶναι αὐτὰ ἐναντία. τὸ δὲ εἶναι αὐτῶν μίαν ἐπιστήμην ψεῦδος, ἀληθὲς ἄρα τὸ μὴ εἶναι αὐτῶν μίαν ἐπιστήμην.

ΠΑ'ΛΙΝ ἐπὶ τῆς στερητικῆς προτάσεως ὡσαύτως. ἀξιοῦντος γὰρ τὸ μὴ εἶναι μίαν ἐπιστήμην τῶν ἐναντίων, ἢ ὅτι πάντων τῶν ἀντικειμένων. ἢ ὅτι τινῶν τῶν ἐναντίων ἡ αὐτὴ λέγομεν, οἷον ὑγιεινοῦ καὶ νοσώδους. τὸ μὲν οὖν πάντων ἐκ τοῦ α'. τὸ δὲ τινῶν, ἐκ τοῦ τρίτου σχήματος.

Ε' ὰν δὲ λέγῃ ἐκεῖνος ὅτι οὐχ ἡ αὐτὴ ἐπιστήμη τῶν ἐναντίων, ἐνστῶμεν οὕτω. τὰ ἐναντία ἀντικείμενα. τῶν ἀντικειμένων μία ἐστὶν ἐπιστήμη. οὐκοῦν τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη. εἰ δὲ μερικῶς, οὕτως. ἡ νόσος καὶ ἡ ὑγεία ἐναντία. τῆς νόσου καὶ τῆς ὑγείας μία ἐστὶν ἐπιστήμη. τῶν ἐναντίων ἄρα μία ἐστὶν ἐπιστήμη. ὑπάρχει οὕτως τὸ καθόλου διὰ τοῦ πρώτου. τὸ δὲ μερικὸν διὰ τοῦ τρίτου. ἁπλῶς γὰρ ἐν ἅπασι καθόλου μὲν ἐνιστάμενοι παράδειγμα παραδίδωσι καθολικὸν, ὅτι ἐὰν καθόλου βούλῃ ἐνστῆναι, τὸ ἐναντίον τῷ προτεινομένῳ, ἵνα εἴπῃς. αὐτὸ δὲ ὃ λέγεις, ἵνα ᾖ καθολικώτερον τοῦ ἄκρου. καὶ οὕτως ὂν καὶ γινόμενον μέσον, τὸ πρῶτον γίγνεται σχῆμα. ἐὰν δὲ μερικὸν ὀφείλομεν τι ἀντιθεῖναι. ἵνα εὑρεθῇ ἔσχατος ὅρος. καὶ οὕτω γίνεται τὸ τρίτον σχῆμα.

Α'ΠΛΩ͂Σ γὰρ ἐν πᾶσι καθόλου μὲν ἐνισταμένῳ, ἀνάγκη πρὸς τὸ καθόλου τῶν προτεινομένων τὴν ἀντίφασιν εἰπεῖν. οἷον εἰ μὴ τὴν αὐτὴν ἀξιοῖ τῶν ἐναντίων πάντων, εἰπόντα τῶν ἀντικειμένων μίαν. οὕτω δ' ἀνάγκη τὸ α' εἶναι σχῆμα. μέσον γὰρ γίνεται τὸ καθόλου πρὸς τὸ ἐξ ἀρχῆς. ἐν μέρει δὲ, πρὸς ὅ ἐστι καθόλου καθ' οὗ λέγεται ἡ πρότασις.

Σ' ὰν καθόλου ἀντιθῶμεν, καθολικώτερον ὀφείλει εἶναι τὸ ὑφ' ἡμῶν ἀντιτεθὲν, ἵνα γένηται τὸ πρῶτον σχῆμα. εἰ δὲ μερικῶς ἐνιστάμεθα, ὀφείλομεν μερικὸν εἰπεῖν, ἵνα γένηται τὸ τρίτον σχῆμα. οἷον εἰ μὲν τὸ καθόλου ἐπὶ τῶν ἐναντίων, λάβωμεν τὰ ἀντικείμενα, καθολικώτερον ὂν τοῦ ἐναντίου. καὶ γίνεται μέσος ὅρος τὰ ἀντικείμενα. εἰ δὲ μερικῶς. λάβωμεν γνωστὸν καὶ ἄγνωστον. καὶ γίνεται τὸ τρίτον σχῆμα.

ΟἿΟΝ γνωστοῦ καὶ ἀγνώστου μὴ τὴν αὐτήν. τὰ γὰρ ἐναντία καθόλου πρὸς ταῦτα καὶ γίνεται τὸ

Εἰρήκαμεν ὅτι ὀφείλει τὸ παράδειγμα, γνώριμον εἶναι τῷ πρώτῳ καὶ δευτέρῳ ὅρῳ. ὁ δὲ ἔσχατος γνώριμος εἶναι τῷ μέσῳ ὡς καὶ νῦν ἐποιήσαμεν. τὸ παράδειγμα ἦν, ὁ πρὸς φωκεῖς θηβαίων πόλεμος. γνώριμος δὲ τῷ πρώτῳ ὅρῳ. ὅτι οὗτος ὁ πόλεμος κακός. ἀλλὰ καὶ τῷ δευτέρῳ ὅρῳ γνώριμος. ὅμοροι γὰρ ἦσαν οἱ θηβαῖοι καὶ οἱ φωκεῖς. καὶ ὁ ἔσχατος γνώριμος τῷ δευτέρῳ. οἱ γὰρ ἀθηναῖοι καὶ οἱ θηβαῖοι ὅμοροι. οὕτω διὰ παραδειγμάτων συλλογιζόμεθα.

» ΦΑΝΕΡΟ'Ν οὖν ὅτι τὸ παράδειγμά ἐστιν οὔτε ὡς ὅλον πρὸς μέρος. οὔτε ὡς μέρος πρὸς ὅλον. » ἀλλ' ὡς μέρος πρὸς μέρος. ὅταν ἄμφω μὲν ᾖ ὑπὸ τὸ αὐτό, γνώριμον δὲ θάτερον. καὶ διαφέρει τῆς ἐπα» γωγῆς, ὅτι ἡ μὲν ἐξ ἁπάντων τῶν ἀτόμων τὸ ἄκρον ἐδείκνυεν ὑπάρχειν τῷ μέσῳ. καὶ πρὸς τὸ ἄκρον » οὐ συνῆπτε, τὸν συλλογισμόν.

Φανερὸν οὖν ὅτι τὸ παράδειγμα δεικνύμενον, οὔτε ὡς μέρος πρὸς ὅλον, τουτέστιν ἐπαγωγῇ. οὔτε ὡς ὅλον πρὸς μέρος τουτέστι συλλογισμός. ἀλλ' ἔστι μέρος πρὸς μέρος ὅτι ἄμφω ὑπὸ τὸ αὐτὸ ἄκρον ἐστί. τῷ δὲ μέσῳ γνώριμόν ἐστιν ὃ ἔστι. διαφέρει δὲ τῇ ἐπαγωγῇ. ὅτι ἡ μὲν ἐπαγωγή, ἐκ τῶν πάντων, τῷ μέσῳ τὸ μεῖζον ἄκρον ἐδείκνυε ὑπάρχειν. οὐ μέντοι τὸ ἄκρον, τῷ ἄκρῳ. τὸ δὲ παράδειγμα ἐκ μερικοῦ τινός. καὶ οὐκέτι ἐξ ἁπάντων. καὶ ὅτι οὐ μόνον τὸν μέσον ὅρον τῷ ἄκρῳ συνάπτει. ἀλλὰ καὶ τὸ ἄκρον τῷ ἄκρῳ.

» ΤΟ' δὲ καὶ συνάπτει. καὶ οὐκ ἐξ ἁπάντων δείκνυσι.

Τὸ δὲ αἴτιον τοῦ τὸ παράδειγμα συνάπτει. καὶ τὸν μέσον, καὶ τὸν ἄκρον τῷ ἄκρῳ.

» ΑΠΑγωγὴ δέ ἐστιν, ὅταν τῷ μὲν μέσῳ τὸ πρῶτον δῆλον ᾖ ὑπάρχον. τῷ δὲ ἐσχάτῳ τὸ μέσον, ἄδηλον μέν,

Εἶπεν περὶ τοῦ παραδείγματος, νῦν λέγει περὶ τῆς ἀπαγωγῆς. ὅτι ἀπαγωγή ἐστιν. ὅταν ὁ μείζων ὅρος φανερὸν ὑπάρχῃ. ὁ δὲ ἐλάττων ὅρος, ἀφανής. ἀπαγωγὴ δὲ εἴρηται, διὰ τὸ ἀπάγεσθαι ἡμᾶς ἀπὸ τοῦ συμπεράσματος ἐπὶ τὴν ἀπόδειξιν τῆς ἀφανοῦς καὶ ἀσήμου προτάσεως.

» ὉΜΟΙ'ΩΣ δὲ πιστὸν ἢ μᾶλλον τοῦ συμπεράσματος. ἔτι ἐὰν ὀλίγα ᾖ τὰ μέσα τοῦ ἐσχάτου καὶ » τοῦ μέσου,

Ὀφείλει φησὶν ὁ ἔσχατος ὅρος. τουτέστιν ἡ ἐλάττων πρότασις. ὁμοῖον εἶναι τῷ συμπεράσματι. κατὰ τὸ ἀφανές, ἤγουν ἔτι ἧττον ἀφανὴς ὀφείλει εἶναι ἡ πρότασις. ὅλος δὲ αἰτία ἀφανοῦς εἴληφε τὸ πιστόν. ἐπειδὴ ἧττον γίνεται ἡ πρότασις ἀφανὴς ἐὰν δι' ἑνὸς μέσου φανερωθῇ. οὕτω γὰρ συμβαίνει τὴν ἀφανῆ πρότασιν, ἐγγὺς γενέσθαι τῆς ἐπιστήμης. τουτέστιν ἐγγὺς γίνεται τοῦ φανερωθῆναι.

non ita v.

» ΠΑ'ΝΤΩΣ γὰρ ἐγγύτερον εἶναι συμβαίνει τῆς ἐπιστήμης. οἷον ἔστω τὸ α τὸ διδακτόν. ἐφ' οὗ β ἐπι» στήμη. τὸ δὲ γ, δικαιοσύνη. ἡ μὲν οὖν ἐπιστήμη, ὅτι διδακτόν, φανερόν. ἡ δὲ δικαιοσύνη εἰ ἐπιστήμη, ἄδη» λον. εἰ οὖν ὁμοίως, ἢ μᾶλλον πιστὸν τὸ βγ τοῦ αγ, ἀπαγωγή ἐστιν. ἐγγύτερον γὰρ τοῦ ἐπίστασθαι διὰ τὸ » προσειληφέναι, τὴν αγ ἐπιστήμην πρότερον οὐκ ἔχοντας.

Ἐγγὺς γίνεται τῆς ἐπιστήμης, αἴτιον τοῦ τῆς γνώσεως φανερωθῆναι ἡ πρότασις. εἶπε ὡς ἐπὶ παραδείγματος λαμβάνει διδακτόν, ἐπιστήμην, ἀρετήν. φανερὰ οὖν ἐστιν ἡ μείζων πρότασις. ὅτι ἡ ἐπιστήμη, διδακτή ἐστιν. ἀφανὴς δὲ ἡ ἐλάττων. εἰ ἡ ἀρετὴ ἐπιστήμη ἐστίν. ὀφείλει οὖν τούτων ὁμοίως ἡ ἐλάττων ἄδηλον εἶναι τοῦ συμπεράσματος. ὁμοίως γὰρ ἄδηλόν ἐστιν εἰ ἡ ἀρετὴ διδακτόν ἐστιν. οὕτω γὰρ ἐγγὺς γινόμεθα τῆς γνώσεως. τὸ βγ τὸ αγ. τὸ βγ. ἡ ἐλάττων πρότασις. τὸ δὲ αγ. συμπέρασμα.

» ΠΑ'ΛΙΝ ἐὰν ὀλίγα τὰ μέσα τῶν βγ. καὶ γὰρ οὕτως ἐγγύτερον τοῦ εἰδέναι. οἷον, εἰ τὸ δ εἴη τετρα» γωνίζεσθαι. τὸ δ' ἐφ' ᾧ ε, εὐθύγραμμον. τὸ δ' ἐφ' ᾧ ζ κύκλος, εἰ τοῦ εζ ἓν μόνον εἴη μέσον τὸ μετὰ μηνί» σκων ἴσον γίνεσθαι εὐθυγράμμῳ τὸν κύκλον, ἐγγὺς ἂν εἴη τοῦ εἰδέναι.

Οὐ μόνον ἐὰν ὁμοίως ἔχει τῷ συμπεράσματι ἡ ἐλάττων πρότασις κατὰ τὸ ἀφανές, ἀπαγωγή ἐστι. ἀλλὰ κἂν ἡ ἐλάττων πρότασις. καὶ ἀφανὴς δείκνυται δι' ἑνὸς μέσου. ἢ δύο. οἷον, ἐζήτησάν ποτε εἰ δυνάμεθα κύκλον τετραγωνίσαι καὶ οὐκ ἠδυνήθησαν. ἐλάμβανον δὲ οὕτω τετραγωνίζεσθαι πρῶτον ὅρον. εὐθύγραμμον δεύτερον. κύκλον, τρίτον, ὅτι μὲν τὸ εὐθύγραμμον τετραγωνίζεται, δῆλον. ἀφανὲς δέ ἐστιν εἰ ὁ κύκλος εὐθυγραμματίζεται. ὅπερ ἐστὶν ἡ ἐλάττων πρότασις. καὶ τοῦτο πειρῶνται δεικνύειν, διὰ τῶν » μηνοειδῶν σχημάτων καὶ μηνίσκων. ἐπειδὴ οὖν δι' ἑνὸς πειρῶνται δεικνύειν, ἀπαγωγή ἐστιν.

ὍΤΑΝ δὲ μήτε πιστότερον ᾖ τὸ βγ τοῦ αγ, μήτε ὀλίγα τὰ μέσα, οὐ λέγω ἀπαγωγήν. οὐδ' ὅ» ταν ἄμεσον ᾖ τὸ βγ. ἐπιστήμη γὰρ τὸ τοιοῦτον.

Ἐὰν δὲ ἡ ἐλάττων πρότασις ᾖ ἀφανής, μὴ ἧττον δὲ τῷ συμπεράσματι ἧττον ἀφανὴς ἀλλ' ἴση, καὶ εἰ μὴ ὀλίγα τὰ μέσα δι' ὧν δείκνυσι τὴν ἐλάττω πρότασιν, οὐ λέγομεν ἀπαγωγὴν τὸ τοιοῦτο, ἀλλ' ὑπέρβασιν. οἷον ὑπερβαίνοντες τὸ συμπέρασμα τὰς προτάσεις ἀποδείκνυμεν. οὐδ' ὅταν ἄμεσον τὸ βγ. ἐπιστήμη γὰρ τὸ τοιοῦτον. φησὶν ὅτι ἐὰν ᾖ ἄμεσος ἡ ἐσχάτη πρότασις, ἐπιστήμη ἐστὶ τὸ τοιοῦτο. καὶ οὐκέτι ἀπαγωγὴ ὑπάρχει.

» ἜΝΣΤΑΣΙΣ δέ ἐστι, πρότασις προτάσει ἐναντία. διαφέρει δὲ τῆς προτάσεως, ὅτι τὴν μὲν » ἔνστασιν ἐνδέχεται εἶναι καὶ ἐπὶ μέρους. τὴν δὲ πρότασιν ἢ ὅλως οὐκ ἐνδέχεται. ἢ, οὐκ ἐν τοῖς καθό» λου συλλογισμοῖς.

Πληρώσας περὶ τῆς ἀπαγωγῆς, νῦν λέγει περὶ τῆς ἐνστάσεως. ἡ δὲ ἔνστασις πρότασίς ἐστιν ἐναντία τῇ προ-

γῆς. ὅτι ὁ συλλογισμὸς διὰ τοῦ μέσου ὅρον συνάπτει τὸν ἄκρον τῷ ἄκρῳ. ἡ δὲ ἐπαγωγὴ διὰ τοῦ ἐλάττονος συνάπτει τὸν μέσον τῷ ἄκρῳ. οἷόν ἐστι τὸ α β γ. διὰ τοῦ γ δείκνυμεν ὅτι τὸ α τῷ β ὑπάρχει.

» ΟἸΟΝ ἔστω τὸ α μακρόβιον. τὸ δ' ἐφ' ᾧ β, τὸ χολὴν μὴ ἔχον. ἐφ' ᾧ δὲ γ, τὸ καθ' ἕκαστον μακρό»βιον. οἷον ἄνθρωπος καὶ ἵππος καὶ ἡμίονος. τῷ δὴ β ὅλῳ ὑπάρχει τὸ α. πᾶν γὰρ τὸ ἄχολον, μακρό»βιον, ἀλλὰ καὶ τὸ β τὸ μὴ ἔχον χολὴν, παντὶ ὑπάρχει τῷ γ. εἰ οὖν ἀντιστρέφει τὸ γ τῷ β, καὶ μὴ »ὑπερτείνει τὸ μέσον, ἀνάγκη τὸ α τῷ β ὑπάρχειν.

B ούλεται διὰ παραδείγματος σημῆναι τὸν ἐπαγωγικὸν τρόπον. ἔστι δὲ οὗτος. ἔστω τὸ α μακρόβιον. τὸ β χολὴν μὴ ἔχον. τὸ γ οἷον κόραξ καὶ ὅσα τοιαῦτα. λέγει οὖν ὅτι ὁ κόραξ καὶ ὁ ἔλαφος ἄχολα μακρόβιά ἐστιν. οὐκοῦν καὶ τὸ μὴ ἔχον χολὴν μακρόβιόν ἐστιν. οὕτω διὰ τοῦ ἐσχάτου ὅρου, τὸν μέσον συνάπτομεν τῷ ἄκρῳ. λέγω γὰρ οὕτως. τὰ καθ' ἕκαστον μὴ ἔχοντα χολὴν, μακρόβιά ἐστιν. οὐκοῦν καὶ τὰ μὴ ἔχοντα χολὴν μακρόβιά ἐστιν.

» ΔΕΔΕΙΚΤΑΙ γὰρ πρότερον, ὅτι ἐὰν δύο ἄττα τῷ αὐτῷ ὑπάρχῃ, καὶ πρὸς θάτερον αὐτῶν »ἀντιστρέφῃ τὸ ἄκρον, ὅτι τῷ ἀντιστρέφοντι καὶ θάτερον ὑπάρξει τῶν κατηγορουμένων.

Ο τὶ εἰρήκαμεν πρότερον ἐπὶ φθαρτοῦ καὶ ἀφθάρτου καὶ γενητοῦ καὶ ἀγενήτου ὅτι λέγεται νῦν ὡς πρὸς ἄλλο τι μᾶλλον ἀποδείκνυσθαι. δέδεικται φησὶ πρότερον ἐὰν δύο ἄττα τῷ αὐτῷ ὑπάρχει καὶ ἀντιστρέφει τὸ ἕτερον καὶ τὸ ἄλλο ἀντιστρέφει ὡς καὶ νῦν ἐπὶ τῆς ἐπαγωγῆς, τὸ ἄχολον κατηγορεῖται ὑπόθεν τῷ κόρακι. τὸ μακρόβιον. οὐκοῦν καὶ τὸ ἄχολον μακρόβιον.

» ΔΕΙ͂ δὲ νοεῖν τὸ γ τὸ ἐξ ἁπάντων τῶν καθ' ἕκαστον συγκείμενον. ἡ γὰρ ἐπαγωγὴ διὰ πάντων.

Ο φείλομεν δὲ τὸ γ κατὰ τὰ πάντα τὰ καθ' ἕκαστον διαλαβεῖν. ἡ γὰρ ἐπαγωγὴ διὰ πάντων τῶν κατὰ μέρος δείκνυται.

» ἘΣΤΙ δὲ ὁ τοιοῦτος συλλογισμὸς, τῆς πρώτης καὶ ἀμέσου προτάσεως. ὧν μὲν γάρ ἐστι μέσον, διὰ »τοῦ μέσου ὁ συλλογισμός. ὧν δὲ μή ἐστι, δι' ἐπαγωγῆς.

Ο τι φησὶν ὁ δι' ἐπαγωγῆς συλλογισμὸς, συλλογίζεται τὴν μείζονα πρότασιν. ἡ γὰρ πρώτη καὶ ἄμεσος, ἡ μείζων ἐστίν. ἵνα οὖν ταύτην πιστωσώμεθα, δι' ἐπαγωγῆς δείκνυμεν.

» ΚΑἸ τρόπον τινὰ ἀντίκειται ἡ ἐπαγωγὴ τῷ συλλογισμῷ. ὁ μὲν γὰρ διὰ τοῦ μέσου τὸ ἄκρον τῷ »τρίτῳ δείκνυσιν. ἡ δὲ διὰ τοῦ ἄκρου τὸ τρίτον τῷ μέσῳ.

Ο μὲν γὰρ συλλογισμὸς, διὰ τοῦ μέσου τὸ ἄκρον τῷ ἐσχάτῳ συνάπτει. ἡ δὲ ἐπαγωγὴ δι' αὐτοῦ τοῦ ἐσχάτου δείκνυσι τῷ μέσῳ τὸ ἄκρον ὑπάρχον.

» ΦΎΣΕΙ μὲν οὖν πρότερος καὶ γνωριμώτερος ὁ διὰ τοῦ μέσου συλλογισμός. ἡμῖν δὲ ἐναργέστε»ρος, ὁ διὰ τῆς ἐπαγωγῆς.

Κ ατὰ τὴν φύσιν μὲν ὁ συλλογισμὸς πρῶτος. ἡ δὲ ἐπαγωγὴ δευτέρα. καθ' ἡμᾶς ἡ ἐπαγωγὴ γνωριμωτέρα ἐστὶν ὁ συλλογισμός.

» ΠΑΡΆΔΕΙΓΜΑ δέ ἐστιν, ὅταν τῷ μέσῳ τὸ ἄκρον ὑπάρχον δειχθῇ, διὰ τοῦ ὁμοίου τῷ τρίτῳ. δεῖ δὲ »καὶ τὸ μέσον τῷ τρίτῳ καὶ τὸ πρῶτον τῷ ὁμοίῳ γνωριμώτερον εἶναι ὑπάρχον. οἷον ἔστω τὸ α κακόν. τὸ »δὲ β πρὸς ὁμόρους ἀναιρεῖσθαι πόλεμον. ἐφ' ᾧ δὲ γ, τὸ ἀθηναίους πρὸς θηβαίους.


Π ληρώσας περὶ τοῦ ἐπαγωγικοῦ συλλογισμοῦ. νῦν λέγει περὶ τοῦ παραδειγματικοῦ. τί δέ ἐστι παραδειγματικόν. ὅταν τῷ μέσῳ τὸ ἄκρον δειχθῇ ὑπάρχον. διὰ τῶν ὁμοίων ἢ ὅμοιον. δεῖ δὲ τὸ ὅμοιον γνώριμον εἶναι τῷ ἄκρῳ ὅρῳ. καὶ ὁ ἔσχατος πρὸς τῷ μέσῳ γνώριμος. ἔστω οὖν πρῶτος ὅρος. κακόν ἐστι. μέσος τὸ ὁμόροις ἀναιρεῖσθαι πόλεμον. ἔσχατος ἀθηναῖοι καὶ θηβαῖοι. τοῦτο γνώριμον τοῦ μέσου ὅρου ὅτι ὅμοροι οὗτοι. τὸ δὲ ὅμοιον, ἔστω θηβαῖοι εἰ τύχοι καὶ φωκεῖς. τοῦτο γνώριμον τῷ πρώτῳ ὅρῳ τὸ κακόν. κακῶς γὰρ ἀπήλλαξαν φωκεῖς καὶ θηβαῖοι. εἰ οὖν βουλόμεθα δεῖξαι ὅτι ὁ πρὸς ἀθηναίους πόλεμος κακός ἐστι, διὰ τοῦ παραδείγματος δείκνυμεν. ὅτι θηβαῖοι καὶ φωκεῖς, ὅμοροι ὄντες καὶ πολεμοῦντες κακῶς ἀπήλλαξαν. οὐκοῦν ἀθηναῖοι καὶ θηβαῖοι ὅμοροι ὄντες πρὸς ἑαυτοὺς πολεμεῖν κακόν. εἰδέναι δὲ δεῖ ὅτι πρὸς τὸ παράδειγμα καὶ τὸ συμπέρασμα. εἰ μὲν καλὸν τὸ παράδειγμα, καλὸν καὶ τὸ συμπέρασμα. εἰ δὲ κακὸν τὸ παράδειγμα, ὥσπερ καὶ νῦν καὶ ὁ συλλογισμὸς πρὸς τὸ παράδειγμα.

» ΤῸ δ' ἐφ' ᾧ δ, θηβαίους πρὸς φωκεῖς. ἐὰν οὖν βουλώμεθα δεῖξαι ὅτι τὸ, θηβαίοις πολεμεῖν κα»κόν ἐστι, ληπτέον ὅτι τὸ πρὸς τοὺς ὁμόρους πολεμεῖν, κακόν. τούτου δὲ πίστις, ἐκ τῶν ὁμοίων. οἷον ὅτι θη»βαίοις ὁ πρὸς φωκεῖς. ἐπεὶ οὖν τὸ πρὸς τοὺς ὁμόρους, κακόν. τὸ δὲ πρὸς θηβαίους, πρὸς τοὺς ὁμόρους »ἐστὶ, φανερὸν ὅτι τὸ πρὸς θηβαίους πολεμεῖν κακόν.

Ε πεὶ οὖν πρὸς τοὺς ὁμόρους κακὸν, τοῦτο καὶ πρὸς θηβαίους καὶ φωκεῖς κακόν.

» ὍΤΙ μὲν οὖν τὸ β τῷ γ, καὶ τῷ δ ὑπάρχει, φανερόν. ἄμφω γάρ ἐστι πρὸς τοὺς ὁμόρους ἀναι»ρεῖσθαι πόλεμον. καὶ ὅτι τὸ α τῷ δ. θηβαίοις γὰρ οὐ συνήνεγκεν ὁ πρὸς φωκεῖς πόλεμος. ὅτι δὲ τὸ α »τῷ β ὑπάρχει, διὰ τοῦ δ δειχθήσεται. τὸν αὐτὸν δὲ τρόπον κἂν εἰ διὰ πλειόνων τῶν ὁμοίων ἡ πίστις γέ»νοιτο τοῦ μέσου πρὸς τὸ ἄκρον.

πίπτει ὅτι μεῖζον. οἷον ἔστω ἴσον ἡ ὑγίεια καὶ ὁ πλοῦτος. καὶ ὁμοίως ἀγαθά. ἐντεῦθεν δῆλον. ὁμοίως ἄρα φευκτὰ καὶ τὰ ἀντικείμενα. εἰ δὲ ὁμοίως φευκτὰ τὰ ἀντικείμενα, ὁμοίως ἕξουσι τὸ α γ καὶ τὸ β δ. εἰ ὁμοίως ἔχουσιν. ἐπειδὴ δὲ οὐ φαίνεται τὸ



β δ ὁμοίως ἔχειν. οὐκοῦν οὐδὲ τὸ α γ ὁμοίως ἕξει. οὐδὲν ἧττον ἡ ὑγίεια τοῦ πλούτου αἱρετή. εἰ γὰρ ἧττον, οὐκοῦν μᾶλλον διακτὴ ἐγίνετο ἡ νόσος. οὐδεὶς δὲ τῶν σωφρονούντων αἱρεῖται. τὸ μέγα κακὸν, καὶ ἧττον ἀγαθόν. ἀλλὰ μᾶλλον τὸ μέγα ἀγαθὸν καὶ ἧττον κακόν. εἰ οὖν ἡ νόσος ἧττον κακὸν, καὶ ὁ πλοῦτος μέγα ἀγαθὸν, ὤφειλον τοῦτον αἱρεῖσθαι οἱ ἄνθρωποι. ἀλλὰ τοῦτο οὐ βούλονται. ὥστε οὔτε ὁμοίως αἱρετὴ, οὔτε ἐλάττων αἱρετὴ ἡ ὑγίεια τοῦ πλούτου. λείπεται ἄρα τὸ πλέον αἱρετὴν εἶναι τὴν ὑγίειαν.

» ΕΙ δὴ ἕλοιτο πᾶς ὁ ἐρῶν κατὰ τὸν ἔρωτα τὸ α, τὸ οὕτως ἔχειν, ὥστε χαρίζεσθαι. καὶ τὸ μὴ χαρί-
» ζεσθαι τὸ ἐφ' οὗ γ. ἢ τὸ χαρίζεσθαι ἐφ' οὗ δ. καὶ τὸ μὴ τοιοῦτον εἶναι οἷον χαρίζεσθαι τὸ ἐφ' οὗ β, δῆλον
» ὅτι τὸ α τὸ τοιοῦτον εἶναι αἱρετώτερόν ἐστιν ἤπερ τὸ χαρίζεσθαι. τὸ ἄρα φιλεῖσθαι τῆς συνουσίας αἱρε-
» τώτερον κατὰ τὸν ἔρωτα. μᾶλλον ἄρα ὁ ἔρως ἐστὶ τῆς φιλίας ἤπερ τοῦ συνεῖναι. εἰ δὲ μάλιστα τούτου,
» καὶ τὸ τέλος τοῦτο. τὸ ἄρα συνεῖναι, ἢ οὐκ ἔστιν ὅλως, ἢ τοῦ φιλεῖσθαι ἕνεκα.

Πρᾶγμα μέγιστον ἐνταῦθα παραδίδωσιν ὁ φιλόσοφος, ἐκ τοῦ ἠρημένου θεωρήματος, ὃ ἀπεναντίας ἐστὶ τῇ νῦν γνώμῃ τῶν ἀνθρώπων. οἱ γὰρ ἄνθρωποι οἴονται ὅτι ὁ ἔρως γίνεται διὰ τὴν μίξιν. οὗτος δὲ δείκνυσιν, ὅτι διὰ τὴν προαίρεσιν τῆς φιλίας σύμβολον δὲ τῆς προαιρέσεως ἡ μίξις. λαμβάνει οὖν περὶ τῆς ἐρωμένης δύο ἀντιφάσεις. ἢ δυναμένην, ἢ μὴ δυναμένην. ἢ θέλουσαν, ἢ μὴ θέλουσαν. ἐκλέξεται οὖν τὰς διαγωνίους ὁ ἐρῶν, τὰς μᾶλλον συντεινούσας τῷ ἰδίῳ ἔρωτι ἐξ ἀνάγκης. καὶ οὐκ ἂν εἴποι ὁ ἐρῶν ὅτι ἥδιον ἔχειν τὴν ἐρωμένην δύνασθαι μὲν, μὴ θέλουσαν δέ. ἀλλὰ λέγει ὅτι τὴν θέλουσαν μὲν, μὴ δυναμένην δέ. αἱρετῶν δὲ ὄντων τῶν δύο. τὸ θέλειν τὴν ἐρωμένην καὶ δύνασθαι. τὸ θέλειν αἱρετώτερον λαμβάνει. τὸ γὰρ θέλειν καὶ μὴ θέλειν κατὰ τὴν προαίρεσίν ἐστι. τὸ δὲ μὴ δύνασθαι καὶ δύνασθαι κατὰ τὴν πρᾶξιν. οὐκοῦν ὥσπερ πρὸς τὸν ἐραστὴν μέγα κακόν ἐστι τὸ μὴ θέλειν τὴν ἐρωμένην. ἧττον δὲ κακὸν, τὸ μὴ δύνασθαι. οὐκοῦν καὶ τὰ ἀντικείμενα ὁμοίως ἕξει. ὥσπερ μέγα κακὸν τὸ μὴ θέλειν. οὕτω μέγα ἀγαθὸν τὸ θέλειν. καὶ ὥσπερ ἧττον κακὸν τὸ μὴ δύνασθαι. οὕτως ἧττον καλὸν τὸ μὴ δύνασθαι. ἐάν τις οὖν προσθῆται τῷ ἐρῶντι λαβεῖν τῶν διαγωνίων ἣν βούλεται. δῆλον ὅτι ἐκείνην λήψεται τὴν διαγώνιον. τὴν τὸ μέγα ἀγαθὸν καὶ ἧττον κακὸν παριστῶσαν. τοῦτο δέ ἐστι. τὸ βούλεσθαι μὲν, μὴ δύνασθαι δέ. τὸ δὲ βούλεσθαι τῆς γνώμης ἐστὶ καὶ τῆς προαιρέσεως. καὶ οὐκοῦν ὁ ἐρῶν καὶ τῆς προαιρέσεως ἐρᾷ καὶ οὐ τῆς μίξεως. σύμβολον δὲ τοῦ τυχεῖν τοῦ τέλους τὸν ἐρῶντα, ἔστιν ἡ μίξις, ἢ αὐτὸ κατέστη.

» ΚΑΙ γὰρ αἱ ἄλλαι ἐπιθυμίαι πᾶσαι καὶ τέχναι, οὕτω γίνονται.

Εἰ οὖν ὡς ἀπεδείχθη φησὶν, ὁ ἔρως τῆς φιλίας ἐστίν. οὐκοῦν ὁ ἐρῶν τοῦτο τέλος τίθεται, τὸ φιλεῖσθαι. τὸ γὰρ συνεῖναι ἢ οὐκ ἔστι τοῦ ἔρωτος, ἢ εἰ ἔστιν, ἕνεκεν τῆς φιλίας γίνεται. οὕτω καὶ αἱ ἄλλαι ἐπιθυμίαι γίνονται.

» ΠΩΣ μὲν οὖν ἔχουσιν οἱ ὅροι κατὰ τὰς ἀντιστροφάς. καὶ τὸ αἱρετώτερον ἢ φευκτότερον εἶναι
» φανερόν.

Ποῖα εἰσὶ τὰ αἱρετὰ, ὅτι τὰ μᾶλλον ἀγαθά. ποῖα δὲ φευκτὰ, τὰ μᾶλλον κακά.

» ΟΤΙ ΔΕ οὐ μόνον οἱ διαλεκτικοὶ καὶ ἀποδεικτικοὶ συλλογισμοὶ διὰ τῶν προειρημένων γίνον-
» ται σχημάτων. ἀλλὰ καὶ οἱ ῥητορικοί. καὶ ἁπλῶς, ἡτισοῦν πίστις καὶ ἡ καθ' ὁποιανοῦν μέθοδον νῦν
» ἂν εἴη λεκτέον.

Βούλεται διὰ τούτων δεῖξαι ὅτι καὶ οἱ ῥητορικοὶ συλλογισμοὶ διὰ τῶν τριῶν σχημάτων δείκνυνται. ῥητορικοὶ δέ εἰσιν οἱ ἐπαγωγικοὶ καὶ οἱ παραδειγματικοὶ καὶ ὅσοις ἄλλοις ἔχει εἰπεῖν.

» ΑΠΑΝΤΑ γὰρ πιστεύομεν, ἢ διὰ συλλογισμοῦ ἢ δι' ἐπαγωγῆς. ἐπαγωγὴ μὲν οὖν ἐστι, καὶ ὁ ἐξ
» ἐπαγωγῆς συλλογισμός. τὸ διὰ τοῦ ἑτέρου θάτερον ἄκρον τῷ μέσῳ συλλογίσασθαι. οἷον εἰ τῶν α γ μέσον
» τὸ β διὰ τοῦ γ δεῖξαι, τὸ α τῷ β ὑπάρχειν. οὕτω γὰρ ποιούμεθα τὰς ἐπαγωγάς.

Ἐπειδὴ πιστεύομεν, ἢ διὰ συλλογισμοῦ ἢ δι' ἐπαγωγῆς, ζητεῖ ἐνταῦθα τί διαφέρει ὁ συλλογισμὸς τῆς ἐπαγωγῆς

ἰσοδυναμεῖ τῷ γενητῷ. καὶ ἀντιστρέφει. ὥστε καὶ τὸ ἀγένητον ἀντιστρέψει, αὐτῷ τῷ γενητῷ. ὅπερ ἄτοπον. οὕτω καὶ αὐτῷ τῷ ἀφθάρτου. τῷ ἀφθάρτῳ ἀντιστρέφει τὸ ἀγένητον. εἰ γὰρ μὴ ἀντιστρέφει, τὸ γενητόν. τῷ δὲ γενητῷ ἀντιστρέφει τὸ φθαρτόν. ὥστε καὶ τῷ ἀφθάρτῳ, τὸ φθαρτὸν ἀντιστρέψει. ὅπερ ἄτοπον. οὕτω γίνονται δύο συζυγίαι συλλογισμοῦ ἐκ τῆς πρώτης ἀντιστροφῆς. τῆς ἀγένητον καὶ ἄφθαρτον. γίνονται δὲ καὶ ἄλλαι δύο ὁμοίως ἐκ τῆς ἀντιστροφῆς, τῆς γενητὸν καὶ ἄφθαρτον. ὥστε καλῶς εἶπεν ἀμφοτέρα. δύο γὰρ συλλογισμοὶ σύγκεινται ἐξ ἑκάστης αὐτῶν ἀντιστροφῆς. ἀλλ' ἰδεῖν δεῖ ὅτι διὰ τοῦ ἀδυνάτου δείκνυται ἕκαστος συλλογισμὸς ἑκάστης ἀντιστροφῆς.

» ΟΤΑΝ δὲ τὸ α' ὅλῳ τῷ β' καὶ τῷ γ' ὑπάρχῃ, καὶ μηδενὸς ἄλλου κατηγορῆται, ὑπάρχῃ δὲ καὶ
» τὸ β' παντὶ τῷ γ', ἀνάγκη τὸ α' καὶ τὸ β' ἀντιστρέφειν. ἐπεὶ γὰρ κατὰ μόνων τῶν β' γ' λέγεται τὸ α'. κα-
» τηγορεῖται δὲ τὸ β' καὶ αὐτὸ ἑαυτοῦ, καὶ τοῦ γ', φανερὸν ὅτι καθ' ὧν τὸ α', καὶ τὸ β' λεχθήσεται πάν-
» των, πλὴν αὐτοῦ τοῦ α'.

Ἕτερον θεώρημα παραδίδωσι θαυμάσιον πάνυ. ἔστι δὲ τοιοῦτον. ἐὰν τὸ α' κατηγορῆται, καὶ τοῦ β', καὶ τοῦ γ'. κατηγορῆται δὲ καὶ τὸ β' τοῦ γ'. ἰδεῖν δεῖ ὅτι καὶ τὸ β' τῷ α' κατηγορεῖται καὶ ἀντιστρέφει. ἐπειδὴ γὰρ τὸ α' κατηγορεῖται τοῦ β' γ'. τοῦ δὲ β' κατηγορεῖται καὶ αὐτὸ ἑαυτοῦ καὶ τοῦ γ'. ἕκαστον γὰρ τῶν ὄντων αὐτὸ ἑαυτοῦ κατηγορεῖται. ὁ γὰρ ἄνθρωπος, ἄνθρωπος ἐστί. καὶ ὁ ἵππος, ἵππος ἐστίν. εἰ οὖν τὸ β' ἑαυτοῦ καὶ τοῦ γ' κατηγορεῖται. τὸ δὲ β' ὡς ἑαυτοῦ κατηγορούμενον παντὶ τῷ γ' ἔσται περιεκτικὸς τοῦ α'. οἷον ἔστω τὸ β' ἄνθρωπος. τὸ δὲ γ' ζῷον. ἔστω ὁ ἄνθρωπος, ἄνθρωπός ἐστιν. ὁ ἄνθρωπος ζῷόν ἐστιν. οἰκοῦν ὁ αὐτὸς διὰ τοῦ ἀνθρώπου ἐστὶν ζῷόν ἐστιν. ὥστε περιεκτικὸς τοῦ α' τοῦ γ' κατηγορεῖται τὸ β'. κατὰ τὰ περιεκτικὸς πάλιν τοῦ γ'. τὸ α' κατηγορεῖται τοῦ β'. διὰ τοῦ κατηγορεῖσθαι αὐτὸ ἑαυτοῦ οὕτως. ἔστω τὸ α' γελαστικόν. καὶ τὸ β' ἄνθρωπος. καὶ ἑαυτῷ κατηγορεῖσθω οὕτως. ὁ αὐτὸς ἄνθρωπός ἐστιν. ὁ ἄνθρωπος αὐτὸς ὤν, γελαστικός ἐστιν. ὁ ἄνθρωπος οὖν διὰ μέσου τοῦ ἀνθρώπου ἐστίν. γελαστικός ἐστιν. οὕτω καὶ διὰ τὸ αὐτὸ ἑαυτοῦ κατηγορεῖσθαι γίνεται γὰρ ἀντιστροφὴ αὐτοῦ τοῦ ἄλλου ὅρου.

» ΠΑΛΙΝ ΟΤΕ τὸ α' καὶ τὸ β' ὅλῳ τῷ γ' ὑπάρχῃ, ἀντιστρέφῃ δὲ τὸ γ' τῷ β', ἀνάγκη τὸ α' παν-
» τὶ τῷ β' ὑπάρχειν. ἐπεὶ γὰρ παντὶ τῷ γ' τὸ α'. τὸ δὲ γ' τῷ β' διὰ τὸ ἀντιστρέφειν, καὶ τὸ α' παντὶ τῷ
» β' ὑπάρξει.

Ἄλλο θεώρημα παραδίδωσιν ἡμῖν ὁ φιλόσοφος τοιοῦτον. ὅτι ἐὰν τὸ α' καὶ τὸ β' παντὶ τῷ γ' ὑπάρχῃ. ἀντιστρέφῃ δὲ τὸ γ' τῷ β'. διὰ τῆς ἀντιστροφῆς γίνεται τὸ πρῶτον σχῆμα. πρὶν γὰρ ἀντιστραφῆ ἐστι τὸ τρίτον σχῆμα. τὸ γὰρ α' β' παντὶ τῷ γ'. καὶ εἰ τὸ γ' παντὶ τῷ β'. τῷ δὲ γ' παντὶ τὸ α'. τὸ ἄρα α' παντὶ τῷ β' ἐξ ἀνάγκης. ἐκ δύο καθόλου καταφατικῶν. ὥστε καὶ τοῦτο ὀφείλομεν εἰδέναι, ὅτι ἀληθεύουσιν ὅροι ἀντιστρέφοντες ἐν τρίτῳ σχήματι. καθόλου καταφατικὸν συνάγει. καὶ καθόλου ἀποφατικόν.

» ΟΤΑΝ δὲ δυοῖν ὄντοιν, οἷον τὸ α', τοῦ β' αἱρετώτερον ᾖ, ὄντων ἀντικειμένων, καὶ τὸ δ' τοῦ γ' ὡσαύ-
» τως. εἰ αἱρετώτερα τὰ α' γ' τῶν β' δ', τὸ α' τοῦ δ', αἱρετώτερον. ὁμοίως γὰρ διωκτὸν τὸ α', καὶ φευκτὸν
» τὸ β'. ἀντικείμενα γάρ. καὶ τὸ γ' τῷ δ'. καὶ γὰρ καὶ ταῦτα ἀντίκειται.

Ἐν τούτοις ὁ φιλόσοφος ἀκριβῆ καὶ θεῖα παραδίδωσιν. ἔστι δὲ τὸ θεώρημα τοιοῦτον. ἐὰν τὸ α' καὶ τὸ β' αἱρετά ἐστιν. ἔχουσι δὲ ἀντικείμενα. τὸ μὲν α' ἔχει ἀντικείμενον τὸ β'. τὸ δὲ γ' τὸ δ'. καὶ ταῦτα φευκτά ἐστιν. εἰ δὲ τῶν αἱρετῶν τὸ ἕν, μᾶλλον αἱρετώτερον. οὐκοῦν καὶ τῶν φευκτῶν τὸ ἕν μᾶλλον φευκτότερόν ἐστιν. οἷον ὡς αὐτῷ παραδείγματος. ἔστω ὑγεία καὶ πλοῦτος αἱρετά. νόσος δὲ καὶ πενία φευκτά. ἐὰν περὶ τὴν ὑγείαν ὡς μᾶλλον αἱρετὴν ζητῇ. δῆλον ὅτι καὶ τοῦ πλούτου τὸ ἐναντίον τι ζητεῖ, ὡς ἧττον φευκτόν, οἷον τὴν πενίαν. συμφέρει γὰρ ὑγιαίνειν καὶ πένεσθαι. ἢ πλουτεῖν καὶ νοσεῖν. ὥστε ἐκλέγονται οἱ ἄνθρωποι τὸ μεῖζον μὲν ἀγαθόν. ἔλαττον δὲ κακόν. ἤπερ τὸ μεῖζον κακόν, ἔλαττον δὲ ἀγαθόν. ἡ γὰρ ὑγεία μεῖζον ἀγαθόν. τὸ γὰρ πλουτεῖν τῶν ἐκτός ἐστι. τὸ δὲ ὑγιαίνειν ἐν ἡμῖν ἐστιν. οὐκοῦν καὶ πλέον τις ἕλοιτο τὸ ἴδιον καὶ μεῖζον ἀγαθόν, ἤπερ τὸ ἔξωθεν καὶ ἔλαττον ἀγαθόν. πόθεν δὲ δῆλον ὅτι ἡ ὑγεία μεῖζον ἀγαθόν ἐστιν, αὐτὸς νῦν σαφῶς δείξει.

» ΕΙ ΟΥΝ τὸ α' τῷ δ' ὁμοίως αἱρετόν, καὶ τὸ β' τῷ γ' φευκτόν. ἑκάτερον γὰρ ἑκατέρῳ ὁμοίως φευ-
» κτὸν διωκτῷ. ὥστε καὶ τὰ ἄμφω τὰ α' γ' τοῖς β' δ'. ἐπειδὴ μᾶλλον, οὐχ οἷόν τε ὁμοίως. καὶ γὰρ ἂν τὰ
» β' δ' ὁμοίως ἦσαν. εἰ δὲ τὸ δ' τοῦ α' αἱρετώτερον, καὶ τὸ β' τοῦ γ' ἧττον φευκτόν. τὸ γὰρ ἔλαττον, τῷ ἐλάττο-
» νι ἀντίκειται. αἱρετώτερον δὲ τὸ μεῖζον ἀγαθόν, καὶ ἔλαττον κακόν, ἤπερ τὸ ἔλαττον ἀγαθὸν καὶ μεῖ-
» ζον κακόν. καὶ τὸ ἅπαν ἄρα τὸ β' δ' αἱρετώτερον τοῦ α' γ'. νῦν δὲ οὐκ ἔστι. τὸ α' ἄρα αἱρετώτερον τοῦ
» δ'. καὶ τὸ γ' ἄρα τοῦ β' ἧττον φευκτόν.

Ἐπειδὴ οὖν ἀντίκειται ἡ ὑγεία, καὶ ἡ νόσος. πλοῦτος καὶ πενία. εἰ δέοι δέ τινα ἐκλέγεσθαι τῶν ἀντιθέσεων, ἐκλέξεται ὑγείαν καὶ πενίαν μᾶλλον. ὑγείαν μὲν, ὡς μεῖζον ἀγαθόν. πενίαν δέ, ὡς ἧττον κακόν. πόθεν δὲ δῆλον ὅτι ἡ ὑγεία τοῦ πλούτου μεῖζον ἀγαθόν. ἐὰν οὖν δείξω ὅτι οὔτε ἴσον, οὔτε ἐλάττον. λεί-

καταφατικῶν καὶ ἀποφατικῶν καθόλου. καὶ φησὶν, ὅτι εἰ τὸ ἄκρον τῷ ἄκρῳ ἀντιστρέφει, καὶ ὑπάρχει τὸ α΄ παντὶ τῷ γ΄. καὶ τὸ γ΄ παντὶ τῷ α΄ διὰ τοῦ β΄, ἀνάγκη καὶ τὸν μέσον ὅρον ἀντιστρέφειν πρὸς τὰ ἄκρα. καὶ ὁ μὲν μείζων ἄκρος ἀντιστρέφει οὕτως. τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ α΄. καὶ τὸ α΄ παντὶ τῷ β΄. οὕτως ὁ μείζων ὅρος. ὁ δὲ ἐλάττων οὕτως. τὸ γ΄ παντὶ τῷ α΄. τὸ α΄ παντὶ τῷ γ΄. καὶ τὸ β΄ παντὶ τῷ γ΄. οὕτω καὶ ὁ ἐλάττων. ἐὰν οὖν τὸ ἄκρον τῷ ἄκρῳ ἀντιστρέφει. καὶ τὸ μέσον τοῖς ἄκροις ἀντιστρέψεται.

» ΚΑΙ ἐπὶ τοῦ μὴ ὑπάρχειν ὡσαύτως. οἷον εἰ τὸ β΄ τῷ γ΄ ὑπάρχει. τῷ δὲ β΄ τὸ α΄ μὴ ὑπάρχει, οὐδὲ τὸ
» α΄ τῷ γ΄ οὐχ ὑπάρξει.

Ὡσαύτως καὶ ἐπὶ τοῦ ὁμοιοφόρου. εἶπε περὶ τοῦ καθόλου καταφατικοῦ. νῦν λέγει περὶ τοῦ ἀποφατικοῦ. ὅτι ἐὰν ἔστι τὸ α΄ μηδενὶ τῷ β΄. τὸ δὲ β΄ παντὶ τῷ γ΄. τὸ ἄρα α΄ οὐδενὶ τῷ γ΄. πῶς δὲ ἀντιστρέφομεν, οὕτως. τὸ β΄ παντὶ τῷ γ΄. τὸ β΄ οὐδενὶ τῷ α΄. τὸ ἄρα γ΄ οὐδενὶ τῷ α΄. οὕτω διὰ τοῦ δευτέρου σχήματος τὸ συμπέρασμα ἀντιστρέφομεν. τὴν δὲ μείζονα ἀντιστρέφομεν οὕτως. ἵνα λάβωμεν καθ' ὑπόθεσιν τὴν ἐλάττονα ἀντιστρέφουσαν. οἷον τὸ γ΄ παντὶ τῷ β΄. τὸ γ΄ οὐδενὶ τῷ α΄. τοῦτο γὰρ ἐδείχθη. οὐκοῦν τὸ β΄ οὐδενὶ τῷ α΄. οὕτω καὶ τὴν μείζονα πρότασιν. τὴν δὲ ἐλάττονα ἀποδεῖξαι ὅτι ἀντιστρέφει, οὐ δυνατόν. αἱ γὰρ δύο προτάσεις ἀποφατικαί εἰσιν. ἥτε τοῦ συμπεράσματος. καὶ ἡ τῆς μείζονος προτάσεως. ἐκ δὲ δύο ἀποφατικῶν δειχθῆναί τι, οὐ δυνατόν.

» ΕΙ δὲ τὸ β΄ τῷ α΄ ἀντιστρέφει, καὶ τὸ γ΄ τῷ α΄ ἀντιστρέψεται.


Ἐν τῷ καθόλου ἀποφατικῷ. οὐκέτι δὲ ἀντιστρέφει ἡ ἐλάττων πρότασις, ἀλλ' ἡ μείζων ἡ β΄ α΄. ἐὰν οὖν φησιν ἡ β΄ α΄ πρότασις, τουτέστιν ἡ μείζων ἀντιστρέφει. ἀντιστρέψεται καὶ ἡ γ΄ α΄, τουτέστι τὸ συμπέρασμα. ἀποκατέστησε δὲ τὴν α΄ γ΄. οὐ γὰρ ἠδύνατο ἀντιστρέφειν ἡ καταφατικὴ, τουτέστιν ἡ ἐλάττων ἐπὶ τοῦ δευτέρου φόπου τοῦ πρώτου σχήματος, τῆς μείζονος προτάσεως καὶ τοῦ συμπεράσματος ἀποφατικῶν οὐσῶν.

» ΕΣΤΩ γὰρ τὸ β΄ μὴ ὑπάρχον ᾧ τὸ α΄. οὐδ' ἄρα τὸ γ΄. παντὶ γὰρ τὸ γ΄ καὶ τὸ β΄ ὑπῆρχε. καὶ εἰ τῷ β΄ τὸ γ΄
» ἀντιστρέφει, καὶ τῷ α΄ τὸ γ΄ ἀντιστρέψεται. καθ' οὗ γὰρ ἂν παντὸς τὸ β΄, καὶ τὸ γ΄. καὶ εἰ τὸ γ΄ πρὸς τὸ α΄ ἀντιστρέφει, καὶ τὸ β΄ ἀντιστρέψεται πρὸς τὸ α΄. ᾧ γὰρ τὸ β΄, καὶ τὸ γ΄. ᾧ δὲ τὸ γ΄, τὸ α΄ οὐχ ὑπάρχει, καὶ μόνον τοῦτο ἀπὸ τοῦ συμπεράσματος ἄρχεται. τὰ δ' ἄλλα οὐχ ὁμοίως ὡς καὶ ἐπὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ.

Αἱ ἀποφατικαὶ προτάσεις αὐταί εἰσι ταῖς κατηγορικαῖς. οἷον ἔστω τὸ β΄ μὴ ὑπάρχειν ᾧ τὸ α΄. τουτέστι τὸ β΄ οὐδενὶ τῷ α΄. εἰ οὖν τὸ β΄ οὐδενὶ τῷ α΄. καὶ τὸ γ΄ οὐδενὶ τῷ α΄. τὸ γὰρ β΄ παντὶ τῷ γ΄. καὶ εἰ τὸ β΄ τῷ γ΄ ἀντιστρέφει. ἀντιστρέψεται καὶ ἡ α΄ β΄ καὶ ἡ α΄ γ΄. τὸ γὰρ β΄ παντὶ τῷ γ΄. καὶ τὸ β΄ οὐδενὶ τῷ α΄. οὐκοῦν τὸ γ΄ οὐδενὶ τῷ α΄. οὕτω τὸ συμπέρασμα. ἡ δὲ μείζων πρότασις οὕτως. τὸ γ΄ παντὶ τῷ β΄. τὸ γ΄ οὐδενὶ τῷ α΄. καὶ τὸ β΄ οὐδενὶ τῷ α΄. καὶ τὸ α΄ οὐδενὶ τῷ β΄. οὕτω καὶ ἡ μείζων. ἡ δ' ἐλάττων οὐ δύναται ἀντιστρέψαι, ὥσπερ καὶ ἐπὶ τοῦ κατηγορικοῦ.

» ΠΑΛΙΝ εἰ τὸ α΄ καὶ τὸ β΄ ἀντιστρέφει, καὶ τὸ γ΄ καὶ τὸ δ΄ ὡσαύτως. ἅπαντι δὲ ἀνάγκη τὸ α΄ ἢ τὸ γ΄
» ὑπάρχειν. καὶ τὸ β΄ καὶ τὸ δ΄ οὕτως ἕξει, ὥστε παντὶ θάτερον ὑπάρχειν. ἐπεὶ γὰρ ᾧ τὸ α΄, τὸ β΄ καὶ ᾧ τὸ γ΄,
» τὸ δ΄. παντὶ δὲ τὸ α΄ ἢ τὸ γ΄ καὶ οὐχ ἅμα, φανερὸν ὅτι καὶ τὸ β΄ ἢ τὸ δ΄ παντὶ καὶ οὐχ ἅμα. οἷον εἰ τὸ
» ἀγέννητον ἄφθαρτον, καὶ τὸ ἄφθαρτον ἀγέννητον, ἀνάγκη τὸ γενόμενον, φθαρτὸν, καὶ τὸ φθαρτὸν γε
» γενῆσθαι. δύο γὰρ συλλογισμοὶ σύγκεινται.

Ἕτερον θεώρημα παραδίδωσιν ὁ φιλόσοφος χαλεπώτατον πάνυ τοιοῦτον. εἰ τὸ α΄ καὶ τὸ β΄ ἀντιστρέφει. καὶ τὸ γ΄ καὶ τὸ δ΄ ἀντιστρέφει. ἐφ' οὖν παντὶ πράγματι, εἰ τὸ α΄ καὶ τὸ β΄ ἐξ ἀνάγκης καὶ τὸ γ΄ καὶ τὸ δ΄. καὶ ὤφειλε τοῦτο παράδειγμα παραστῆσαι. ὡς δὲ ἄλλου μέλλοντος ἀποδέχεσθαι παρέστησε παράδειγμα. ἔστω γὰρ τὸ α΄ ἀγέννητον. τὸ β΄ ἄφθαρτον. ταῦτα ἀντιστρέφουσι. καὶ ἔστω τὸ γ΄ γεννητόν. τὸ δὲ δ΄ φθαρτόν. καὶ ταῦτα ἀντιστρέφουσι. δύο γὰρ συλλογισμοὶ σύγκεινται. ποῖοι οὗτοι. τὸ ἀγέννητον ἄφθαρτόν ἐστι. καὶ τὸ ἄφθαρτον ἀγέννητον. ὁμοίως καὶ ἄλλοι δύο γίνονται.



» ΠΑΛΙΝ ᾧ παντὶ μὲν τὸ α΄, ἢ τὸ β΄. καὶ τὸ γ΄, ἢ τὸ δ΄.
» ἅμα δὲ μὴ ὑπάρχει, εἰ ἀντιστρέφει τὸ α΄, καὶ τὸ γ΄ καὶ τὸ β΄
» καὶ τὸ δ΄ ἀντιστρέφει. εἰ γάρ τινι μὴ ὑπάρχει τὸ β΄, ᾧ τὸ δ΄.
» δῆλον ὅτι τὸ α΄ ὑπάρχει. εἰ δὲ τὸ α΄ καὶ τὸ γ΄, ἀντιστρέφει γάρ.
» ὥστε ἅμα τὸ γ΄ καὶ τὸ δ΄. τοῦτο δὲ ἀδύνατον.

Ἕτερον θεώρημα λέγει ἐνταῦθα. ὅτι εἰ παντὶ ἦν τὸ ἀγέννητον. ἢ τὸ γεννητόν. ἀνάγκη καὶ παντὶ ἦν τὸ ἄφθαρτον ἢ τὸ φθαρτόν. καὶ ἀντιστρέφει τὸ ἄφθαρτον τῷ ἀγεννήτῳ. εἰ γὰρ μὴ τὸ φθαρτὸν, τὸ δὲ φθαρτὸν

πάθῃ, τοσαυταχῶς.

Ὁμοίως πάλιν ὃ καὶ εἴρηται ἤδη, ὅτι τὸ καθόλου μὲν οἶδεν, ἃ οἶδέ τις ὅτι πᾶν τρίγωνον δύο ἔχει ὀρθάς· τόδε δὲ οὐκ οἶδεν ὡς κεκρυμμένον ὅτι ἐστὶ τρίγωνον. οὐδὲν γὰρ ἔξω γινόμενον τῆς ἡμετέρας αἰσθήσεως, ἴσμεν τί ἐξ ἀνάγκης περὶ αὐτοῦ· ἀκριβῶς δὲ οἴδαμεν τότε, ὅτε σὺν τῇ καθόλου ἐπιστήμῃ καὶ τὴν μερικὴν ἔχωμεν. ἀλλ' οὐχ ὡς τὸ ἐνεργεῖν· τὸ ἀλλ' οὐχ ὡς τὸ ἐνεργεῖν, πρὸς τὸ ἄνω εἴρηται· ὅτι ὁ ὑπονοῶν, ὅτι ἥδε ἡ ἡμίονος κύει· οὐχ ὡς πρὸς τὸ ἐνεργεῖν ἐκ τοῦ καθόλου λόγον οἶδεν· ἐπεὶ εἰ ἐνεργεῖ, ᾔδει ὅτι οὐ κύει ἐκ τοῦ καθόλου ἐνεργῶν. τὸ γὰρ ἐπίστασθαι λέγεται τριχῶς· ἢ ὡς τὸ καθόλου, ἢ ὡς τὸ οἰκεῖα, ἢ ὡς τὸ ἐνεργεῖν· διαίρεσιν ἐνταῦθα παραδίδωσι τῆς ἐπιστήμης καὶ τῆς ἀπάτης· ὅτι τὸ ἐπίστασθαι, ἢ περὶ τὸ καθόλου, ἢ περὶ τὸ κατὰ μέρος, ἢ περὶ ἀμφότερα· τουτέστι τὸ ἐνεργεῖν· ἐνεργοῦμεν γὰρ ἀπὸ τῶν καθόλου ἐπὶ τὸ κατὰ μέρος· ὁμοίως οὖν ἀπατώμεθα, ἢ τὸ μὴ εἰδέναι τὸ καθόλου, ἢ τὸ μὴ εἰδέναι τὸ κατὰ μέρος, ἢ τὸ μηδέτερον· τουτέστι μὴ ἐνεργεῖν ἀπὸ τοῦ καθόλου ἐπὶ τὸ κατὰ μέρος· διὰ τοῦτο γὰρ ἐκεῖνος ᾠήθη ὅτι ἡ ἡμίονος κύει, διὰ τὸ μὴ ἐνεργῆσαι αὐτὸν ἀπὸ τοῦ καθόλου· ὅτι οὐδεμία ἡμίονος κύει.

ΟΥΔΕΝ οὖν κωλύει καὶ τὸ εἰδέναι, καὶ ἠπατῆσθαι περὶ τὸ αὐτό· πλὴν οὐκ ἐναντίως· ὅπερ συμβαίνει καὶ τῷ καθ' ἑκατέραν εἰδότι τὴν πρότασιν· καὶ μὴ ἐπεσκεμμένῳ πρότερον.

Οὐδὲν κωλύει ὡς διὰ τῶν παραδειγμάτων ἐδείξαμεν, τὸ εἰδέναι καὶ ἠπατῆσθαι· εἰδέναι μὲν τὸ καθόλου, ἠπατῆσθαι δὲ περὶ τὸ μερικόν· ἢ τὸ ἀνάπαλιν, ἃ μὴ ἐνεργοίη ἐκ τῶν καθόλου· καὶ ὅτι οὐδὲν ἐναντίον συνάγει διὰ τὸ μὴ εἰδέναι.

ΥΠΟλαμβάνων γὰρ κύειν τὴν ἡμίονον, οὐκ ἔχει τὴν κατὰ τὸ ἐνεργεῖν ἐπιστήμην· οὐδ' αὖ διὰ τὴν ὑπόληψιν ἐναντίαν ἀπάτην τῇ ἐπιστήμῃ· συλλογισμὸς γὰρ ἡ ἐναντία ἀπάτη, τῇ καθόλου.

Ἡ ἀπάτη τοι φησιν ὅτι ἥδε ἡ ἡμίονος κύει ἐκεῖνος· ὅτι οὐκ ἠδυνήθη ἐνεργῆσαι ἀπὸ τῆς καθόλου τῆς λεγούσης, ὅτι οὐδεμία ἡμίονος κύει· διὰ τοῦτο δὲ ἐπειδὴ ὑπέλαβε τὴν ἡμίονον κύειν, ἤδη ἐναντίαν ἔχει ἀπάτην· ἡ γὰρ ἐναντία ἀπάτη διὰ συλλογισμοῦ γίνεται· ἐκεῖνος δὲ οὐ συνελογίσατο.

Ὁ δ' ὑπολαμβάνων τὸ, ἀγαθῷ εἶναι κακῷ εἶναι, τὸ αὐτὸ ὑπολήψεται ἀγαθῷ εἶναι καὶ κακῷ. ἔστω γὰρ τὸ μὲν ἀγαθῷ εἶναι, ἐφ' οὗ τὸ α'. τὸ δὲ κακῷ εἶναι, ἐφ' οὗ τὸ β'. πάλιν δὲ τὸ, ἀγαθῷ εἶναι, ἐφ' οὗ τὸ γ'. ἐπεὶ οὖν ταὐτὸν ὑπολαμβάνει τὸ β' καὶ τὸ γ', καὶ εἶναι τὸ γ' τὸ β' ὑπολήψεται. καὶ πάλιν τὸ β' τὸ α' εἶναι ὡσαύτως. ὥστε καὶ τὸ γ' τὸ α'.

Ἕτερόν τι θεώρημα παραδίδωσιν ὁ φιλόσοφος ἐνταῦθα τοιοῦτον· ἐάν τις φησὶ λάβῃ τὸν ὁρισμὸν τοῦ καλοῦ· καὶ οἰηθῇ τὸν αὐτὸν εἶναι τοῦ κακοῦ· ὑπονοήσει καὶ αὐτὸς τὸ αὐτὸ εἶναι ἀπαραλλάκτως τὸ ἀγαθὸν τῷ κακῷ· ὅπερ ἀληθές. ὁ δὲ φιλόσοφος κακῶς ἔλαβε τοὺς ὅρους οὕτως· τὸ α' ἀγαθὸν εἶναι· τὸ αὐτὸ τῷ κακῷ εἶναι, λέγω δὴ τῷ β'· καὶ τῷ κακῷ εἶναι τὸ αὐτὸ τῷ γ' ἀγαθῷ εἶναι· καὶ οὐδὲν ἄτοπον ἀκολουθεῖ· διὰ τοῦτο οὖν ὀλίγον ὕστερον ἐρεῖ· ἀλλὰ τοῦτο ἀκριβέστερον σκεπτέον.

ὭΣΠΕΡ γὰρ εἰ ἦν ἀληθές, καθ' οὗ τὸ γ' τὸ β'· καὶ καθ' οὗ τὸ β' τὸ α'· καὶ κατὰ τοῦ γ' τὸ α' ἀληθὲς ἦν, οὕτω καὶ ἐπὶ τοῦ ὑπολαμβάνειν.

Ὥσπερ λέγομεν ἐπὶ ταύτης τῆς ἐκθέσεως τοῦ θεωρήματος, οὕτω καὶ ἐπὶ τοῦ ὑπολαμβάνειν. εἰ ὑπολάβῃ τις ὅτι τὸ γ' ὑπὸ τὸ β' ἐστίν· καὶ τὸ β' ὑπὸ τὸ α', ὑπολάβῃ ὅτι καὶ τὸ γ' ὑπὸ τὸ α' ἐστὶν ἐξ ἀνάγκης.

ΟΜΟΙΩΣ δὲ καὶ ἐπὶ τοῦ εἶναι· τοῦ αὐτοῦ γὰρ ὄντος τοῦ γ' καὶ τοῦ β'· καὶ πάλιν τοῦ β' καὶ τοῦ α', καὶ τὸ γ' τῷ α' ταὐτὸν ἦν.

Εἰ τὸ α' τῷ β' ὑπάρχει· καὶ τὸ β' τῷ γ'· καὶ τὸ α' ἄρα τῷ γ' ὑπάρξει ἐξ ἀνάγκης.

ὭΣΤΕ καὶ ἐπὶ τοῦ δοξάζειν ὁμοίως. ἆρα οὖν τοῦτο μὲν ἀναγκαῖον, εἴ τις δώσει τὸ πρῶτον. ἀλλ' ἴσως ἐκεῖνο ψεῦδος τὸ ὑπολαμβάνειν τινὰ κακῷ εἶναι καὶ ἀγαθῷ εἶναι, εἰ μὴ κατὰ συμβεβηκός· πολλαχῶς γὰρ ἐγχωρεῖ τοῦτο ὑπολαμβάνειν.

Ἄρ' οὖν φησιν, εἴ τις δώσει, ὅτι τῷ ἀγαθῷ εἶναι, τὸ αὐτό ἐστι τῷ κακῷ εἶναι· ἀναγκαῖόν τι καὶ ἀληθὲς συνάγειν οὐκ ἐνδέχεται· ἀλλὰ ψεῦδός ἐστι τὸ ὑπολαμβάνειν τῷ ἀγαθῷ τὸ αὐτὸ εἶναι τῷ κακῷ· εἰ μή τι γε κατὰ συμβεβηκός· οἷον ὅτι τὸ δίκαιον ἀγαθόν ἐστι καὶ κακὸν κατὰ συμβεβηκὸς ὑπονοοῦσι τινὲς ὅτι καὶ οὐ παρὰ τὸ μὴ ἀδικεῖν· διὰ τὸ μὴ ἔχειν πλεῖον.

ΕΠΙΣΚΕΠΤΕΟΝ δὲ τοῦτο βέλτιον.

Εἶπεν ἐπισκεπτέον βέλτιον· ἢ ἐπειδὴ εἶπεν εἰ μή τι γε κατὰ συμβεβηκὸς οἰηθῇ τὸ καλὸν κακὸν εἶναι· ἢ ὅτι κακῶς ἐξέθετο τοὺς ὅρους· τοῦ κακῶς εἶναι αὐτοῦ.

ὍΤΑΝ δὲ ἀντιστρέφηται τὰ ἄκρα, ἀνάγκη καὶ τὸ μέσον ἀντιστρέφειν πρὸς ἄμφω. εἰ γὰρ τὸ α' κατὰ τοῦ γ' διὰ τοῦ β' ὑπάρχει, εἰ ἀντιστρέφει, καὶ ὑπάρχει ᾧ τὸ α' παντὶ τὸ γ', καὶ τὸ β', τῷ α', ἀντιστρέφει. καὶ ὑπάρχει ᾧ τὸ α' παντί, τὸ β' διὰ μέσου τοῦ γ'· καὶ τὸ γ' τῷ β' ἀντιστρέφει, διὰ μέσου τοῦ α'.

Ἐντεῦθεν ὁ φιλόσοφος βούλεται εἰπεῖν περὶ τῶν ἀντιστροφῶν. τῶν ἐν πρώτῳ σχήματι γινομένων, καὶ

ἁπλῶς ἐναντίον τι συνάγεται· ἐὰν τὸ καθόλου συναχθῇ· ἢ τὸ ἐναντίον ἐπί τι· ἐὰν τὸ μερικὸν συναχθῇ· οἷον ἐπί τι τοῦ πᾶς τὸ οὐ πᾶς ταῦτα δὲ ἀμφότερα λέγει τὸ β γ.

» ΟΥ̓ΤΩ μὲν οὖν οὐκ ἐνδέχεται ὑπολαβεῖν· καθ' ἑκάτερον δὲ, τὴν μέσον. ἢ κατὰ τὸ ἕτερον ἀμφοτέρας οὐδὲν κωλύει. οἷον τὸ α παντὶ τῷ β· καὶ τὸ β τῷ δ· καὶ πάλιν τὸ α μηδενὶ τῷ γ. ὁμοία γὰρ ἡ τοιαύτη ἀπάτη, καὶ ὡς ἀπατώμεθα περὶ τὰ ἐν μέρει.

Πάσας ἐπιστημονικῶς εἰδέναι οὐκ ἐνδέχεται· τὰς δὲ δύο ἐπιστημονικῶς εἰδέναι· ἢ τὰς τρεῖς, οὐδὲν ἄτοπον συμβαίνει· οἷον τὸ α παντὶ τῷ β· τὸ β παντὶ τῷ δ· καὶ πάλιν τὸ α οὐδενὶ τῷ γ· μὴ εἰδέναι δὲ ἐπιστημονικῶς ὅτι τὸ γ παντὶ τῷ δ· ὅπερ ἐστὶ μερικόν· οἷον, οἶδεν μὲν ἐπιστημονικῶς, ὅτι οὐδεμία ἡμίονος κύει· οὐκ οἶδεν δὲ ὅτι τοῦτο τὸ ἔγκυον ἡμίονός ἐστιν· καὶ συμβαίνει τὸ μὲν καθόλου εἰδέναι αὐτόν, τὸ δὲ κατὰ μέρος οὐκέτι.

» ΟἿΟΝ, εἰ τῷ β παντὶ τὸ α ὑπάρχει· τὸ δὲ β τῷ γ παντὶ, τὸ α παντὶ τῷ γ ὑπάρξει· εἰ οὖν τις οἶδεν ὅτι τὸ α ᾧ τὸ β ὑπάρχει παντὶ, οἶδε καὶ ὅτι τῷ γ· ἀλλ' οὐδὲν κωλύει ἀγνοεῖν τὸ γ ὅτι ἐστίν· οἷον εἰ τὸ μὲν α δύο ὀρθαί· τὸ δ' ἐφ' ᾧ β τρίγωνον· τὸ δ' ἐφ' ᾧ γ αἰσθητὸν τρίγωνον· ὑπολάβοι γὰρ ἄν τις μὴ εἶναι τὸ γ· εἰδὼς ὅτι πᾶν τρίγωνον ἔχει δύο ὀρθάς· ὥσθ' ἅμα εἴσεται καὶ ἀγνοήσει ταὐτόν.

Ὡς ἐπὶ παραδείγματος ποιεῖται τὸν λόγον τοιοῦτον· ὅτι ὑποκείσθω τινὰ εἰδέναι τὰς δύο ὀρθὰς καὶ τὸ καθόλου· ὅτι πᾶν τρίγωνον, ἔχει δύο ὀρθὰς ἴσας· μὴ εἰδέναι δὲ ὅτι τόδε τρίγωνόν ἐστιν· οἷον τὸ κεκρυμμένον ὑπὸ τὴν θύραν· ἢ τὸν κόλπον· εὑρεθήσεται τὸ μὲν καθόλου εἰδώς· τὸ δὲ μερικὸν οὐκέτι.

» ΤῸ γὰρ εἰδέναι· ὅτι πᾶν τρίγωνον ἔχει δύο ὀρθὰς, οὐχ ἁπλοῦν ἐστιν· ἀλλὰ τὸ μὲν τῷ τὴν καθόλου ἔχειν ἐπιστήμην· τὸ δὲ, τὴν καθ' ἕκαστον· οὕτω μὲν οὖν ὡς τῇ καθόλου, οἶδε τὸ γ ὅτι δύο ὀρθαί· ὡς δὲ τῇ καθ' ἕκαστον, οὐκ οἶδεν· ὥστ' οὐχ ἕξει τὰς ἐναντίας.

Ὁ εἰδώς φησιν ὅτι πᾶν τρίγωνον δύο ἔχει ὀρθὰς, οὐχ ἁπλῶς οἶδεν ἀλλὰ τοῦτο καθόλου, τοῦτο δὲ ἐκ τῶν κατὰ μέρος τριγώνων ὡς καθόλου οἶδεν· ὥστε οὐχ ἕξει τὰς ἐναντίας· ὁ οὖν μὴ βλέπων τὸ κεκρυμμένον τρίγωνον, τὸ μὲν καθόλου οἶδεν· τὸ δὲ κατὰ μέρος οὐκ οἶδεν· οὔτε γὰρ ὁρᾷ αὐτό· ὥστε οὐδὲ τὰ ἐναντία δοξάζει ὁ τοιοῦτος, ἐπειδὴ μὴ ὁρᾷ.

» ὉΜΟΙ͂ΩΣ δὲ καὶ ὁ ἐν τῷ Μένωνι λόγος· ὅτι ἡ μάθησις, ἀνάμνησις· οὐδαμοῦ γὰρ συμβαίνει προεπίστασθαι τὸ καθ' ἕκαστον· ἀλλ' ἅμα τῇ ἐπαγωγῇ λαμβάνειν, τὴν τῶν κατὰ μέρος ἐπιστήμην.

Λέγει ὁ Πλάτων ἐν τῷ Μένωνι ὅτι αἱ μαθήσεις ἀναμνήσεις εἰσίν· ὁ δὲ Ἀριστοτέλης λέγει ὅτι ἡ μάθησις ἀνάμνησις οὐκ ἔστιν· ὁ γὰρ μανθάνων οὐ προεπιστάμενος μανθάνει· ἀλλὰ μὴ εἰδώς· ὁ δὲ ἀναμιμνησκόμενος προεπιστάμενος ἀναμιμνήσκεται οὕτως· οὐκοῦν καὶ ὁ Μένων ᾔδει τὰ καθόλου· τὸ δὲ καθ' ἕκαστον ἐμάνθανεν· διὰ τῆς κατὰ μέρος ἐπαγωγῆς μὴ εἰδώς· ἡμεῖς δὲ λέγομεν ὅτι ἀναμνήσεις εἰσὶν αἱ μαθήσεις· ἐπειδὴ πρὶν ἐνσωματωθῆ ἡ ψυχὴ τῷ σώματι πάντα ᾔδει· ἐνσωματωθεῖσα δὲ, ἀναμιμνήσκεται μανθάνουσα.

» ὭΣΠΕΡ ἀναγνωρίζοντας· ἔνια γὰρ ἰδόντες, εὐθὺς ἴσμεν, ὅτι δύο ὀρθαῖς, ἐὰν ἴδωμεν ὅτι τρίγωνον.

Οἴδαμεν ἐὰν ἴδωμεν τρίγωνόν τι· ὅτι καὶ δύο ὀρθὰς ἔχει.

» ὉΜΟΙ͂ΩΣ δὲ καὶ ἐπὶ τῶν ἄλλων· τῇ μὲν οὖν καθόλου θεωροῦμεν τὰ ἐν μέρει· τῇ δὲ οἰκείᾳ, οὐκ ἴσμεν· ὥστ' ἐνδέχεται καὶ ἀπατᾶσθαι περὶ αὐτά, πλὴν οὐκ ἐναντίως· ἀλλ' ἔχειν μὲν τὴν καθόλου, ἀπατᾶσθαι δὲ, τὴν κατὰ μέρος· ὁμοίως οὖν καὶ ἐπὶ τῶν προειρημένων· οὐ γὰρ ἐναντία ἡ κατὰ τὸ μέσον ἀπάτη, τῇ κατὰ τὸν συλλογισμὸν ἐπιστήμῃ· οὐδ' ἡ καθ' ἑκάτερον τῶν μέσων ὑπόληψις.

Πῶς οὖν συμβαίνει γίνεσθαι τὴν ἀπάτην ἐκ τοῦ τὸ μὲν καθόλου ἡμᾶς εἰδέναι· τὸ δὲ κατὰ μέρος μὴ εἰδέναι· καὶ ἐκ τούτου ἀπατώμεθα· οὐχ ὡς ἐναντίον τι ἀπατώμεθα· διατί· ὅτι οἴδαμεν τὸ καθόλου· πῶς δὲ ἀπατώμεθα ἀγνοοῦντες τὸ κατὰ μέρος.

» ΟΥ̓ΔῈΝ δὲ κωλύει εἰδότα, καὶ ὅτι τὸ α ὅλῳ τῷ β ὑπάρχει· καὶ πάλιν τοῦτο τῷ γ, οἰηθῆναι μὴ ὑπάρχειν τὸ α τῷ γ· οἷον ὅτι πᾶσα ἡμίονος ἄτοκος· καὶ αὕτη ἡμίονος, οἴεσθαι κύειν ταύτην.

Εἰρηκὼς πῶς γίνεται ἀπάτη, νῦν βούλεται εἰπεῖν ὅτι ἐάν τις εἰδείη τὸ κατὰ μέρος σὺν τῷ καθόλου, οὐκ ἀπατᾶται· οἷον εἴ τις οἶδεν ὅτι οὐδεμία ἡμίονος κύει· εἰδείη δὲ καὶ τόδε τι ὅτι ἡμίονος ἐξογκουμένη ἐστίν, οἶδεν· οὐκοῦν εἰ καὶ τοῦτο οἶδεν· τύχῃ δὲ ἐκεῖνος ἐνεργεῖν τότε ἐκ τῆς καθόλου ὡρμημένος ὑπονοήσεως· ἰδὼν δὲ ἡμίονον ἐξογκουμένην ἔχουσαν γαστέρα, ὑπονοήσει ὅτι κύει· μὴ ἐνεργήσας ἐκ τῆς καθόλου ὅτι οὐδεμία ἡμίονος κύει· οὕτως ἀγνοεῖν τις τὸ καθόλου· καθ' ὃ οὐκ ἐνήργησεν, τότε ἀπατᾶται· πάλιν δὲ ὅτι ἥδε ἡ ἡμίονος κύει· οὐ γὰρ ἐναντία ἡ κατὰ τὸ μέσον· ὅτι ἡ ἀπάτη ὅτε ἐστὶ γινομένη, οὐ συνάγεται τὸ ἐναντίον.

» ΟΥ̓ γὰρ ἐπίσταται ὅτι τὸ α τῷ γ, μὴ συνθεωρῶν τὸ καθ' ἑκάτερον.

Μὴ συνσκοπῶν ὅτι ὑπὸ τὸ καθόλου ἐστὶ τὸ μερικὸν, νομίζει κύειν τὴν ἡμίονον.

» ὭΣΤΕ δῆλον ὅτι καὶ εἰ τὸ μὲν, οἶδε· τὸ δὲ, μὴ οἶδεν ἀπατηθήσεται· ὅπερ ἔχουσιν αἱ καθόλου πρὸς τὰς κατὰ μέρος ἐπιστήμας· οὐδὲν γὰρ τῶν αἰσθητῶν ἔξω τῆς αἰσθήσεως γενόμενον ἴσμεν· οὐδ' ἂν ᾐσθημένοι τυγχάνωμεν, εἰ μὴ ὡς τῷ καθόλου, καὶ τῷ ἔχειν τὴν οἰκείαν ἐπιστήμην, ἀλλ' οὐχ ὡς τῷ ἐνεργεῖν· τὸ γὰρ ἐπίστασθαι λέγεται τριχῶς· ἢ ὡς τῇ καθόλου· ἢ ὡς τῇ οἰκείᾳ, ἢ ὡς τῷ ἐνεργεῖν· ὥστε καὶ τὸ ἠπα-

τῆσθαι

Εἰ μὲν γὰρ ἔλεγχος, ἀνάγκη συλλογισμὸν εἶναι· συλλογισμοῦ δ' ὄντος, οὐκ ἀνάγκη ἔλεγχον.

Ὁ γὰρ συλλογισμὸς ἐπὶ πλέον τοῦ ἐλέγχου.

ΩΣΑΥΤΩΣ δὲ καὶ εἰ μηδὲν τιθείη κατὰ τὴν ἀπόκρισιν ἐν ὅλῳ· ὁ γὰρ αὐτὸς ἔσται διορισμὸς ἐλέγχου καὶ συλλογισμοῦ.

Ὥσπερ εἰ ἀμφοτέρας ποιήσει ἀποφατικάς, οὐδὲν συνάγεται καὶ οὐ δύναται ἐλέγξαι, οὕτως εἰ μηδὲν τιθῇ ἐν ὅλῳ, ἀντὶ τοῦ εἰ μηδεμία πρότασις τεθῇ καθόλου, ἀλλ' ἄμφω μερικαί, οὐ δύναται ἔλεγχον συναγαγεῖν· ἐξ ἀμφοτέρων γὰρ μερικῶν ἔλεγχος οὐ γίνεται.

ΣΥΜΒΑΙΝΕΙ δὲ ἐνίοτε καθάπερ ἐν τῇ θέσει τῶν ὅρων ἀπατώμεθα, καὶ κατὰ τὴν ὑπόληψιν γίνεσθαι τὴν ἀπάτην· οἷον εἰ ἐνδέχεται τὸ αὐτὸ πλείοσι πρώτοις ὑπάρχειν, καὶ τὸ μὲν λεληθέναι τινὰ καὶ οἴεσθαι μηδενὶ ὑπάρχειν, τὸ δὲ εἰδέναι. ἔστω γὰρ τὸ α΄ τῷ β΄ καὶ τῷ γ΄, καθ' αὑτὸ ὑπάρχον. καὶ ταῦτα παντὶ τῷ δ΄ ὡσαύτως. εἰ δὴ τῷ μὲν β΄, τὸ α΄ παντὶ οἴεται ὑπάρχειν, καὶ τοῦτο τῷ δ΄. τῷ δὲ γ΄ τὸ α΄ μηδενί, καὶ τοῦτο τῷ δ΄ παντί, τοῦ αὐτοῦ κατὰ ταὐτὸν, ἕξει ἐπιστήμην καὶ ἄγνοιαν.

Βούλεται εἰπεῖν περὶ τῆς γινομένης ἀπάτης. ὅτι γίνεται ἡ ἀπάτη διὰ τὸ μὴ ἐπιστημονικῶς εἰδέναι τὰ πράγματα. ἡ ἀπάτη δὲ γίνεται οὕτως· ὅταν τὸ αὐτὸ πλείοσιν ὑπάρχειν. καὶ τῷ μὲν δοκεῖ καθ' αὑτὸ ὑπάρχειν. τῷ δὲ λανθάνειν ὡς μέσον μηδενὶ ὑπάρχειν· οἷον, τὸ α΄ καὶ παντὶ τῷ β΄· καὶ οὐδενὶ τῷ γ΄. ταῦτα δὲ τὰ β΄ γ΄ ὑπαρχέτωσαν τῷ δ΄ παντί. εὑρεθήσεται τὸ α΄ καὶ οὐδενὶ καὶ παντὶ τῷ δ΄. καὶ συμβαίνει ἀπατηθῆναι τινά, τοῦ μὲν παντὶ οὕτως. τὸ α΄ παντὶ τῷ β΄· τὸ β΄ παντὶ τῷ δ΄· τὸ α΄ παντὶ τῷ δ΄. τοῦ δὲ μηδενί. τὸ α΄ οὐδενὶ τῷ γ΄· τὸ γ΄ παντὶ τῷ δ΄· τὸ α΄ οὐδενὶ τῷ δ΄· ὥστε τὸ αὐτὸ τῷ αὐτῷ καὶ οὐδενὶ καὶ παντί. αὕτη μὲν ἡ ἀπάτη. γίνεται δὲ ὡς εἰρήκαμεν· ὅταν τὸ αὐτὸ ἄλλοις τισὶν ὑπάρχῃ καὶ τοῦ μὲν κατηγορῆται, τοῦ δὲ ἀπαρνῆται· εἶτα ταῦτα τὰ δύο ἀμφότερα κατηγορῶνταί τινος. συμβαίνει δὲ μὴ ἐπιστημονικῶς, τοῦτο εἰδέναι.

ΠΑΛΙΝ εἴ τις ἀπατηθείη περὶ τὰ ἐκ τῆς αὐτῆς συστοιχίας· οἷον εἰ τὸ α΄ ὑπάρχει τῷ β΄, τοῦτο δὲ τῷ γ΄, καὶ τὸ γ΄ τῷ δ΄. ὑπολαμβάνοι δὲ τὸ α΄ παντὶ τῷ β΄ ὑπάρχειν, καὶ πάλιν μηδενὶ τῷ γ΄· ἅμα γὰρ εἴσεται καὶ οὐχ ὑπολήψεται ὑπάρχειν.

Ἡ πρώτη ἀπάτη πῶς ἐστιν εἴρηται. δευτέρα ἀπάτη ἐστὶν αὕτη· ὅταν ἐκ τῆς αὐτῆς στοιχίας ὦσιν οὕτω· τὸ α΄ παντὶ τῷ β΄· τὸ β΄ παντὶ τῷ γ΄· εἶτα ὑπονοεῖ καὶ ὅτι οὐδενί. συμβαίνει τοῦ αὐτοῦ τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι.

ἈΡ' οὖν οὐδὲν ἄλλο ἀξιοῖ ἐκ τούτων, ἢ ὃ ἐπίσταται τοῦτο μὴ ὑπολαμβάνειν· ἐπίσταται γάρ πως ὅτι τὸ α΄ τῷ γ΄ ὑπάρχει, διὰ τοῦ β΄, ὡς ἐν τῇ καθόλου τὸ κατὰ μέρος· ὥστε ὅ πως ἐπίσταται, τοῦτο ὅλως ἀξιοῖ ὑπολαμβάνειν ὅπερ ἀδύνατον.

Ἄλλη ἀπάτη γίνεται ὡς καθόλου τὸ κατὰ μέρος πιστοῦσθαι. οἷον καθόλου οἴδαμεν ὅτι οὐδεμία ἡμίονος κύει. καὶ καθόλου οἴδαμεν ὅτι πᾶν τὸ κύον ἐξωγκωμένην ἔχει τὴν γαστέρα. οἴδαμεν δὲ ἡμίονον ἐξωγκωμένην ἔχουσαν τὴν γαστέρα. διὰ μὲν τὸ καθόλου ὅτι ἡ ἡμίονος οὐ κύει. διὰ δὲ τὸ ἐξωγκῶσθαι, κύειν ὑπονοοῦμεν. ὥστε μὴ ἔχοντες ἐπιστήμην τοῦ πράγματος, ἀπατώμεθα. ἐπειδὴ πᾶν μὲν τὸ κύον ἐξωγκωμένην ἔχει τὴν γαστέρα. οὐ πᾶν δὲ τὸ ἐξωγκωμένην ἔχον τὴν γαστέρα κύει.

ΕΤΙ δὲ τὸ πρότερον λεχθὲν εἰ μὴ ἐκ τῆς αὐτῆς συστοιχίας τὸ μέσον.

Εἰρήκαμεν πόσαι εἰσὶν αἱ ἀπάται. νῦν δὲ βούλεται τοῦτο εἰπεῖν, ὅτι πάντως συμβαίνει τὴν μίαν πρότασιν ἐπιστημονικῶς καθ' αὑτὸ μὴ εἰδέναι. ἡ γὰρ πρώτη ἀπάτη ἡ αὐτὴ τὸ ὑπάρχειν τὸ α΄ καὶ τῷ β΄ καὶ τῷ γ΄· ταῦτα δὲ τὰ δύο τῷ δ΄. ἐὰν ὑπονοήσῃ ὅτι τὸ α΄ καὶ παντὶ καὶ οὐδενὶ τῷ γ΄· ὅπερ ψεῦδος ταύτην τὴν ὑπόνοιαν ἐπιστημονικὴν ἔχειν οὐ δύναται. εἰ γὰρ ἔχει αὐτὴν ἐπιστημονικήν, εὑρεθήσεται τὸ αὐτὸ τῷ αὐτῷ καὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν, ὅπερ ἄτοπον. οἷον εἰ οἶδεν ἀκριβῶς ὅτι τὸ α΄ παντὶ τῷ β΄· καὶ τὸ β΄ παντὶ τῷ δ΄· καὶ τὸ α΄ παντὶ τῷ δ΄· ὁμοίως δὲ καὶ τοῦτο, εἰ ἐπιστημονικῶς οἶδεν τὸ α΄ οὐδενὶ τῷ γ΄· τὸ δὲ γ΄ παντὶ τῷ δ΄· τοῦτο γὰρ ὑπόκειται. συνήγαγε καὶ τὸ α΄ οὐδενὶ τῷ δ΄· ἦν δὲ καὶ παντὶ ὃ ἐδείχθη διὰ τοῦ β΄· ὅπερ ἄτοπον. ὥστε ἀνάγκη τὴν μίαν ἐπιστημονικῶς μὴ εἴσεσθαι αὐτὸν εἰδέναι. καὶ οὕτως ἐξ ὧν οὐκ οἶδεν ἐπιστημονικῶς, συνάξει τὸ αὐτὸ τῷ αὐτῷ ὑπάρχειν καὶ μὴ ὑπάρχειν μὴ ἐκ τῆς αὐτῆς συστοιχίας. εἰ μὴ ἐκ τῆς αὐτῆς συστοιχίας λέγει, ἀντὶ τοῦ ἵνα μὴ ὦσι κατ' ἀξίαν.

ΚΑΘ' ἑκάτερον μὲν τῶν μέσων ἀμφοτέρας τὰς προτάσεις οὐκ ἐγχωρεῖ ὑπολαμβάνειν. οἷον εἰ τὸ α΄ τῷ μὲν β΄ παντί, τῷ δὲ γ΄ μηδενί, ταῦτα δὲ ἀμφότερα παντὶ τῷ δ΄. συμβαίνει γὰρ ἢ ἁπλῶς ἢ ἐπί τι ὑπολαμβάνεσθαι ἐναντίαν τὴν πρώτην πρότασιν. εἰ γὰρ ᾧ τὸ β΄ ὑπάρχει παντί, τὸ α΄ ὑπολαμβάνει ὑπάρχειν. τὸ δὲ β΄ τῷ δ΄ οἶδε, καὶ ὅτι τὸ δ΄ τὸ α΄ οἶδεν. ὥστ' εἰ πάλιν, ᾧ τὸ γ΄ μηδενί, οἴεται τὸ α΄ ὑπάρχειν. ᾧ τὸ β΄ τινὶ ὑπάρχει, τούτῳ οὐκ οἴεται τὸ α΄ ὑπάρχειν. τὸ δὲ παντὶ οἰόμενον ᾧ τὸ β΄ πάλιν τινὶ μὴ οἴεσθαι ᾧ τὸ β΄ ἢ ἁπλῶς, ἢ ἐπί τι ἐναντίον ἐστίν.

Ἀμφοτέρας φησὶ τὰς προτάσεις οὐκ ἐγχωρεῖ ὑπονοεῖν ἀληθῶς ὥστε τὸ β΄ τῷ μὲν β΄ παντί. τῷ δὲ γ΄ οὐδενί. ἢ τὸ ἀνάπαλιν. πῶς γὰρ τὸ αὐτὸ ἐνδέχεται ὅταν τῶν δύο οὐ παντὶ ὑπάρχει τὸ α΄. ἀλλὰ τῷ μὲν παντί, τῷ δὲ οὐδενί. ἐὰν γάρ φησιν ἀμφοτέρας ἐπιστημονικῶς λάβωμεν, συμβαίνει ἄτοπόν τι, ἢ γὰρ

φαι γίνεσθαι ἀποφατικὴν, ὁμοίως οὐ συλλογιεῖται. λέγει οὖν πρῶτον πῶς ὀφείλομεν μὴ κατασυλλογίζεσθαι· ὕστερον δὲ ἐρεῖ πῶς ἡμᾶς ἄλλους κατασυλλογίσασθαι δυνηθείημεν. καὶ παραστέλλει αὐτὸν τοῦ ἵνα μὴ κατασυλλογίζονται ἡμῶν. ταῦτα ἃ ἡμᾶς ἐποιήσαμεν κατασυλλογισόμεθα.

ΕΠΕΙΔΗ' δὲ ἴσμεν ὅτι ἄνευ τοῦ μέσου συλλογισμὸς οὐ γίνεται· μέσον δὲ ἐστι, τὸ πλεονάκις λεγόμενον. πῶς δὲ δεῖ πρὸς ἕκαστον συμπέρασμα τηρεῖν τὸ μέσον, φανερὸν ἐκ τοῦ εἰδέναι ποῖον ἐν ἑκάστῳ σχήματι δείκνυται. τοῦτο δὲ ἡμᾶς οὐ λήσεται διὰ τὸ εἰδέναι πῶς ὑπέχομεν τὸν λόγον.

Ἐὰν τὸν μέσον ὅρον οὐ δῶμεν εἰς τὸ ληφθῆναι δίς, ἀλλ' ἅπαξ· τῇ δὲ ἄλλῃ προτάσει ἐνστῶμεν, ἵνα μὴ ληφθῇ δίς, οὐ γίνεται συλλογισμός· ἄνευ γὰρ τοῦ μέσου ὅρου συμπέρασμα γενέσθαι οὐ δύναται. πῶς δὲ ὀφείλομεν τηρεῖν τὸν μέσον ὅρον καὶ μὴ διδόναι ἐν ἑκάστῳ σχήματι δῆλον. εἰ γὰρ βούλεταί τι ἐν πρώτῳ σχήματι συνάξαι, εἰ λάβῃ αὐτοῦ τὸν μέσον ὅρον, ἢ ὑποκείμενον τῷ ἄκρῳ ἢ κατηγορούμενον παραχωρῶμεν. εἰ δὲ λάβῃ ὥστε τῷ μὲν ὑποκεῖσθαι, τοῦ δὲ κατηγορεῖσθαι τὸν μέσον ὅρον, τότε ἐνστῆναι ὀφείλομεν, καὶ μὴ συγχωρεῖν τῇ μιᾷ προτάσει. ἐὰν γὰρ μὴ συγχωρήσωμεν δὶς αὐτὸν ληφθῆναι, οὔτε συλλογισμὸν ποιήσει. τοῦτο δὲ οὐκ ὀφείλει ἡμᾶς λαθεῖν. ὥστε ἐν πρώτῳ ἢ δευτέρῳ ἢ τρίτῳ βούλεται συλλογίσασθαι σχήματι. ἐπειδὴ ἡμεῖς ὑπέχομεν τὸν λόγον. ὁ δὲ ὑπέχων τὸν λόγον οὗτός ἐστιν ὁ δυνάμενος τὸ συμπέρασμα συνάγων. τῇ γὰρ ἐκείνου θέσει ἕπεται τὸ συμπέρασμα.

ΧΡΗ δὲ ὅπερ φυλάττεσθαι παραγγέλλομεν ἀποκρινομένοις, αὐτοὺς ἐπιχειροῦντας πειρᾶσθαι λανθάνειν. τοῦτο δὲ ἔσται πρῶτον μὲν, ἐὰν τὰ συμπεράσματα μὴ προσυλλογίζωνται, ἀλλ' εἰλημμένων τῶν ἀναγκαίων ἄδηλα ὦσιν. ἔτι δὲ ἐὰν μὴ τὰ συνεχῆ ἐρωτᾷ, ἀλλ' ὅτι μάλιστα τὰ ἄμεσα. οἷον ἔστω δέον συμπεραίνεσθαι τὸ α κατὰ τοῦ ζ, μέσα δὲ τὰ β γ δ ε. δεῖ οὖν ἐρωτᾶν εἰ τὸ α τῷ β. καὶ πάλιν μὴ εἰ τὸ β, τῷ γ. ἀλλ' εἰ τὸ δ τῷ ε. καὶ ἔπειτα εἰ τὸ β τῷ γ. καὶ οὕτω τὰ λοιπά. κἂν δι' ἑνὸς μέσου γίνηται ὁ συλλογισμός.

Εἰρηκὼς ὅτι οὐκ ὀφείλομεν δὶς τὸν αὐτὸν ὅρον συγχωρεῖν τὸν κατασυλλογιζόμενον ἡμῖν διὰ τὸ μὴ λαμβάνειν ὃ βούλεται, νῦν λέγει πῶς αὐτοὶ κατασυλλογιζόμενοι κατασυλλογίσασθαι δύνανται. ἐὰν κρύψιν τῆς τάξεως τῶν ὅρων ποιήσωνται. ἵνα νομίσῃ ὁ προσδιαλεγόμενος ἀσυναρτήτους εἶναι τὰς προτάσεις. καὶ ὁμολογήσῃ εἰ διὰ πλειόνων προτάσεων δείκνυται τὸ αὐτό. οἷον εἰ δείκνυται ὅτι τὸ α τῷ ζ ὑπάρχει διὰ μέσου τοῦ β γ δ ε. εἰ ἐρωτᾷς μὴ ἐφεξῆς ἐρωτήσεις. ἐπεὶ αἰσθάνεται τοῦ συμπεράσματος ὁ προσδιαλεγόμενος. καὶ οὐκέτι συγχωρεῖ γενέσθαι τὸ συμπέρασμα. ἀλλ' οὕτως ἐρωτητέον. εἰ τὸ α τῷ β. εἰ τὸ ε τῷ ζ. πάλιν εἰ τὸ β τῷ γ. πάλιν εἰ τῷ δ τῷ ε. καὶ οὕτως ὕστερον ὁμολογήσαντος αὐτοῦ ἐφεξῆς ἐρεῖς τὸ συμπέρασμα. οὕτως εἰ διὰ πολλῶν προτάσεων γίνοιτο ὁ συλλογισμός.

ΑΠΟ τοῦ μέσου ἄρχεσθαι. μάλιστα γὰρ ἂν οὕτω λανθάνοι τὸν ἀποκρινόμενον.

Εἰρηκὼς πῶς κρύψιν ὀφείλομεν ποιεῖν ἐφ' ὧν πολλαὶ αἱ προτάσεις τῷ μὴ ἐφεξῆς ἐρωτᾶν, νῦν λέγει πῶς ὀφείλομεν κρύψιν ποιήσασθαι, εἰ ὦσιν αἱ προτάσεις μὴ πολλαί, ἀλλὰ δύο καὶ διὰ συλλογισμοῦ κρίνεται τὸ συμπέρασμα γίνεσθαι. ὀφείλομεν πρῶτον τὴν ἐλάττονα πρότασιν ἐρωτᾶν. καὶ οὕτω τὴν μείζονα.

ΕΠΕΙ δ' ἔχομεν πότε καὶ πῶς ἐχόντων τῶν ὅρων γίνεται ὁ συλλογισμός, φανερὸν καὶ πότε ἔσται καὶ πότε οὐκ ἔσται ἔλεγχος. πάντων μὲν γὰρ συγχωρουμένων, ἢ ἐναλλὰξ τιθεμένων, τῶν ἀποκρίσεων· οἷον, τῆς μὲν, ἀποφατικῆς. τῆς δὲ καταφατικῆς, ἐγχωρεῖ γίνεσθαι ἔλεγχον. ἦν γὰρ συλλογισμὸς καὶ οὕτω καὶ ἐκείνως ἐχόντων τῶν ὅρων. ὥστε εἰ τὸ κείμενον εἴη ἐναντίον τῷ συμπεράσματι, ἀνάγκη γίνεσθαι ἔλεγχον. ὁ γὰρ ἔλεγχος ἀντιφάσεως συλλογισμός.

Ἐπειδὴ εἴδαμεν πότε γίνεται καὶ πῶς ὁ συλλογισμός, φανερὸν πότε γίνεται ἔλεγχος ἢ οὐ γίνεται. εἰ γὰρ εἰ ἡ μία ἀποφατικὴ πρότασις ἡ δὲ λοιπὴ καταφατική, ἔλεγχος γίνεται καὶ συλλογισμός. εἰ ἄμφω καταφατικαὶ ἤτοι ἐν πρώτῳ ἢ τρίτῳ σχήματι. καὶ οὕτω γίνεται συλλογισμός. ἐπειδὴ δὲ ὁ ἐλέγξαι βουλόμενος τὸ ὑπὸ σοῦ λεγόμενον, τὸ ἀντιφατικῶς ἀντικείμενον λαμβάνει τῇ σῇ ὑποθέσει. δεῖ ἐξ ἀνάγκης εἰδέναι τοῦτο ὀφείλεις καὶ ἐκείνῃ τῇ προτάσει ἐνστῆναι τὴν σὴν ὑπόθεσιν ἀναιρούσῃ. ἐὰν γὰρ ἐκείνῃ ἐνστῇς, ἀδύνατον γενέσθαι ἔλεγχον. ἄλλο γὰρ οὐ δύναται. οἷον εἰ συνῆξας σὺ τὸ παντί, πάντως αὐτὸς ἢ τὸ οὐδενὶ βούλεται δεῖξαι. ἢ τὸ οὐ παντί. οὐκοῦν ἐνίστασαι τῇ προτάσει τῇ ἀναιρούσῃ τὴν σὴν ὑπόθεσιν τῇ ἀποφατικῇ.

ΕΙ δὲ μηδὲν συγχωροῖτο, ἀδύνατον γίνεσθαι ἔλεγχον. οὐ γὰρ ἦν συλλογισμός, ἁπάντων τῶν ὅρων στερητικῶν ὄντων. ὥστε οὐδ' ἔλεγχος.

Ἐὰν τὸ ἀντιφατικῶς ἀντικείμενον μὴ συγχωρηθῇ, οὐ γίνεται ἔλεγχος. οὐ γὰρ ἦν συλλογισμὸς ἁπάντων τῶν ὅρων ὄντων στερητικῶν. ἐὰν ἡμῶν συναξάντων τὸ καταφατικόν, αὐτὸς βούλεται τὸ ἀποφατικὸν συνάξαι, εἶτα μὴ δυνηθῶμεν ἐνστῆναι τῇ προτάσει τῇ ἀποφατικῇ. δεῖ ἐξ ἀνάγκης γὰρ μία πρότασις ἐστὶν ἀποφατική. ἐνστῶμεν τῇ καταφατικῇ. καὶ ποιήσωμεν αὐτὴν ἀποφατικήν, καὶ συμβαίνει δύο γίνεσθαι ἀποφάσεις καὶ ἀσυλλόγιστος ἡ συζυγία.

Εἰ μὲν

» ΑΛΛΟΣ δὲ τρόπος εἰ συνεχὲς μὲν εἴη τὸ ἀδύνατον τῇ ὑποθέσει, μὴ μέντοι δι' ἐκείνην συμβαίνει.

Η δευτέρα αἰτία τοῦ μὴ γίνεσθαι τὸ μὴ παρὰ τοῦτο. ὅταν συνδέωνται μὲν οἱ μέσοι ὅροι, μὴ μέντοι διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν συμβαίνῃ τι ἄτοπον, ὡς ἐπὶ τοῦ χρώματος καὶ τοῦ λευκοῦ, καὶ πήχεος καὶ κόρακος.

» ΤΟΥΤΟ γὰρ ἐγχωρεῖ γίνεσθαι, καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω λαμβάνοντι τὸ συνεχές. οἷον
» εἰ τὸ α' τῷ β' κεῖται ὑπάρχον. τὸ δὲ β' τῷ γ'. τὸ δὲ γ' τῷ δ'. τοῦτο δὲ εἴη ψεῦδος, τὸ, τὸ β' τῷ δ' ὑπάρχειν. εἰ
» γὰρ ἀφαιρεθέντος τοῦ α', μηδὲν ἧττον ὑπάρχει τὸ β' τῷ γ', καὶ τὸ γ' τῷ δ', οὐκ ἂν εἴη τὸ ψεῦδος διὰ τὴν
» ἐξ ἀρχῆς ὑπόθεσιν. ἢ πάλιν εἴ τις ἐπὶ τὸ ἄνω λαμβάνοι τὸ συνεχές. οἷον, εἰ τὸ μὲν α' τῷ β'. τῷ δὲ α' τὸ ε'.
» καὶ τῷ ε' τὸ ζ', ψεῦδος δὲ εἴη τὸ ὑπάρχειν τῷ α' τὸ ζ'. καὶ γὰρ οὕτως οὐδὲν ἂν ἧττον εἴη τὸ ἀδύνατον, ἀναι
» ρεθείσης τῆς ἐξ ἀρχῆς ὑποθέσεως. ἀλλὰ δεῖ πρὸς τοὺς ἐξ ἀρχῆς ὅρους συνάπτειν τὸ ἀδύνατον. οὕ
» τω γὰρ ἔσται τὸ ἀδύνατον διὰ τὴν ὑπόθεσιν. οἷον ἐπὶ μὲν τὸ κάτω λαμβάνοντι τὸ συνεχές, πρὸς τὸν κα
» τηγορούμενον τῶν ὅρων. εἰ γὰρ ἀδύνατον τὸ α' τῷ δ' ὑπάρχειν, ἀφαιρεθέντος τοῦ α' οὐκ ἔσται τὸ ψεῦδος.
» ἐπὶ δὲ τὸ ἄνω, καθ' οὗ κατηγορεῖται. εἰ γὰρ τῷ β' μὴ ἐγχωρεῖ τὸ ζ' ὑπάρχειν, ἀφαιρεθέντος τοῦ β' οὐκέτι
» ἔσται τὸ ἀδύνατον. ὁμοίως δὲ καὶ εἰ στερητικῶν, τῶν συλλογισμῶν.

Ο ἷον ἐπὶ τοῦ ἄνω τοῦ α' β'. ἐπὶ τοῦ κάτω τοῦ γ' δ'. ἢ ἐπὶ τὸ ἄνω τὸ α' ἀπὸ β'. ἐπὶ τὸ κάτω τὸ β' ἀπὸ γ'. τὸ γ' τῷ δ'. ὥστε εἶναι τὸ β' τῷ δ'. καὶ ἀφαιρεθέντος τοῦ α' οὐκέτι ἔσται τὸ ἀδύνατον. εἰ μὲν ἐπὶ τὰ ἄνω λαμβάνομεν τὰς προτάσεις. τὸ μὴ παρὰ τοῦτο ἐστὶ καθ' οὗ κατηγορεῖται τὸ α' τὸ β'. ὥστε ψεῦδος διὰ τοῦ α' β' λαμβάνεται. ἀφαιρεθέντος δὲ τοῦ ψεύδους, οὐκέτι ἄτοπον συμβαίνει.

» . ΦΑΝΕΡΟΝ οὖν ὅτι τοῦ ἀδυνάτου μὴ πρὸς τοὺς ἐξ ἀρχῆς ὅρους ὄντος, οὐ παρὰ τὴν θέσιν συμ
» βαίνει τὸ ψεῦδος. ἢ οὐδ' οὕτως ἀεὶ διὰ τὴν ὑπόθεσιν ἔσται τὸ ψεῦδος.

Φ ανερὸν οὖν ὅτι τὸ ἀδύνατον συμβαίνει. οὐ διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, ἀλλὰ διὰ τὰς ψευδεῖς προτάσεις. ὡς ἐλέγομεν ἐπὶ τοῦ χρώματος καὶ λευκοῦ.

» ΚΑΙ γὰρ εἰ μὴ τῷ β' ἀλλὰ τῷ κ' ἐτέθη τὸ α' ὑπάρχειν. τὸ δὲ κ' τῷ γ', καὶ τοῦτο τῷ δ', καὶ οὕτω μέ
» νει τὸ ἀδύνατον. ὁμοίως δὲ καὶ ἐπὶ τὸ ἄνω λαμβάνοντι τοὺς ὅρους. ὥστ' ἐπεὶ καὶ ὄντος καὶ μὴ ὄντος
» τούτου συμβαίνει τὸ ἀδύνατον, οὐκ ἂν εἴη παρὰ τὴν θέσιν. ἢ τὸ μὴ ὄντος τούτου, μηδὲν ἧττον γίνεσθαι
» τὸ ψεῦδος, οὐχ οὕτω ληπτέον, ὡς ἄλλου τιθεμένου, συμβαίνειν τὸ ἀδύνατον. ἀλλ' ὅταν ἀφαιρεθέντος
» τούτου διὰ τῶν λοιπῶν προτάσεων ταὐτὸ περαίνηται ἀδύνατον.

Ε πειδὴ ἐλέγομεν ἐπὶ τοῦ μὴ παρὰ τοῦτο ὅτι τὸ ἄτοπον συμβαίνει. καὶ ὄντος καὶ μὴ ὄντος ἐκείνου τοῦ πρώ του ὅρου. ὡς ἐπὶ τοῦ χρώματος καὶ λευκοῦ. νῦν λαμβάνει πρότασιν, ὡς οὔσης μόνης καὶ ὅμως οὐ δι' αὐ τὴν τὸ ἄτοπον ἕπεται. οἷον ὡς αὐτὸς λέγει. τὸ α' παντὶ τῷ κ'. τὸ κ' παντὶ τῷ γ'. τὸ γ' παντὶ τῷ δ'. ὥστε τὸ α' παντὶ τῷ δ'. τοῦτο δὲ ἀδύνατον. οὐ διὰ τὸ α' παντὶ τῷ κ' συμβαίνει τὸ ἀδύνατον, ἀλλὰ δι' ἄλλην τινὰ πρότασιν.

» ΕΡΕΙ τὸ αὐτό γε ψεῦδος συμβαίνειν διὰ πλειόνων ὑποθέσεων, οὐδὲν ἴσως ἄτοπον. οἷον τὰς πα
» ραλλήλους συμπίπτειν. καὶ εἰ μείζων ἐστὶν ἡ ἐντὸς τῆς ἐκτός. καὶ εἰ τὸ τρίγωνον ἔχει πλείους ὀρθὰς δυεῖν.

Φ ησὶν οὐδὲν ἄτοπον ὅτι καὶ οὔσης καὶ μὴ οὔσης τῆς πρώτης ὑποθέσεως οὐδὲν ἀδύνατον συμβαίνει. τοῦ το γὰρ τὸ ψεῦδος πολλάκις συμβαίνει διὰ πολλὰς ὑποθέσεις ψευδεῖς ὡς αὐτὸς λέγει.

» Ο ΔΕ ψευδὴς λόγος, γίνεται παρὰ τὸ πρῶτον ψεῦδος. ἢ γὰρ ἐκ τῶν δύο προτάσεων, ἢ ἐκ πλειό
» νων πᾶς ἐστὶ συλλογισμός. εἰ μὲν οὖν ἐκ τῶν δύο τούτων, ἀνάγκη τὴν ἑτέραν, ἢ καὶ ἀμφοτέρας εἶναι
» ψευδεῖς. ἐξ ἀληθῶν γὰρ, οὐκ ἦν ψευδὴς συλλογισμός. εἰ δ' ἐκ πλειόνων, οἷον τὸ γ' διὰ τῶν α' β'. ταῦτα δὲ
» διὰ τῶν δ' ε' ζ' η', τούτων, τί ἐστὶ τῶν ἐπάνω ψεῦδος. καὶ παρὰ τοῦτο ὁ λόγος. τὸ γὰρ α' καὶ τὸ β', δι' ἐκείνων
» περαίνεται. ὥστε παρ' ἐκείνων τι συμβαίνει τὸ συμπέρασμα καὶ τὸ ψεῦδος.

Τ οῦτο βούλεται εἰπεῖν ὅτι ψευδὲς συμπέρασμα γίνεται ἐκ δύο προτάσεων, ἢ ἐκ πλειόνων. εἰ μὲν οὖν ἐκ δύο ἐν θατέρᾳ ἢ ἐν ταῖς δυσὶ τὸ ψεῦδος. εἰ δὲ ἐκ πλειόνων ἐν ταῖς πρώταις προτάσεσι τὸ ψεῦδος. οἷον εἰ δείκνυται τὸ α' β' διὰ τοῦ γ' δ'. τὸ δὲ γ' δ' διὰ τοῦ ζ' η'. εἴη δὲ ψευδὲς τὸ α' β', ψευδεῖς εἶεν καὶ αἱ ζ' η'. ἐκ τούτων γὰρ συνάγεται. καὶ τὸ γ' δ'. ἅτινα γ' δ'. συνάγουσι τὸ α' β'. ὥστε περὶ τὰς πρώτας προ τάσεις εὑρήσεις τὸ ψεῦδος.

» ΠΡΟΣ δὲ τὸ μὴ κατασυλλογίζεσθαι παρατηρητέον ὅταν ἄνευ τῶν συμπερασμάτων ἐρωτᾷ τὸν
» λόγον. ὅπως μὴ δοθῇ δὶς τὸ αὐτὸ ἐν ταῖς προτάσεσιν.

Β ούλεται διὰ τούτων εἰπεῖν ὁ Ἀριστοτέλης ὅπως μὴ κατασυλλογίζωνται ἡμῶν. καὶ φησὶν ὅτι παρατη ρητέον τοῦτο, ὅπως μὴ τὸν αὐτὸν ὅρον πολλάκις λάβοι ὁ προσδιαλεγόμενος. εἰ γὰρ πολλάκις λάβοι. ἢ ἀπὸ μὲν ποιεῖ αὐτὸν ὑποκείμενον. τῷ δὲ κατηγορούμενον. καὶ ποιεῖ τὸ πρῶτον σχῆμα. ἢ ἀμφοτέρων λαμ βάνει αὐτὸν κατηγορούμενον, καὶ ποιεῖ τὸ δεύτερον σχῆμα. ἢ ἀμφοτέραις ὑποκείμενον. καὶ ποιεῖ τὸ τρί τον σχῆμα. ἐὰν δὲ μὴ λάβῃ δὶς τὸν αὐτὸν ὅρον οὐδαμῶς δυνατὸν κατασυλλογίσασθαι. ἢ πάλιν εἰ λά βῃ ἀμφοτέρας μερικὰς τὰς προτάσεις, οὐδαμῶς συλλελόγισται. εἰ δὲ βουλόμενος δεῖξαι τὸ καθόλου ἀποφατικὸν λάβῃ μίαν πρότασιν ἀληθῆ ἀποφατικὴν, ἡμῶν τῇ καταφατικῇ ἐνισταμένων διὰ τὸ ἀμφ

τικοὺς συλλογισμούς. τὸ γὰρ μερικὸν ἀποφατικὸν, οὐκ ἀντιστρέφει πρὸς ἑαυτό. τὸ δὲ ἐν μέσῳ παρεμβληθὲν ἤτοι τὸ ὡσαύτως δὲ καὶ ἐν τῷ μέσῳ συνεχές ἐστι τῷ εἰρημένῳ. ὅτι ὥσπερ ἐν πρώτῳ δείκνυνται τὰ ἀποφατικὰ, οὕτω καὶ ἐν τῷ μέσῳ δείκνυνται. ἄλλως δὲ οὐκ ἦν κατασῆσαι τὴν λέξιν. ἐδείξαμεν δὲ καὶ ἡμεῖς ἐπεξελθόντες ὅλα τὰ σχήματα. ὅτι ἐν τρίτῳ σχήματι καὶ πρώτῳ τὸ μερικὸν ἀποφατικὸν οὐ συνάγεται. εἰ μή τι γε ἂν ἐν τρίτῳ σχήματι τὸ καθόλου ἀποφατικὸν πρὸς τῷ μείζονι. τὸ δὲ καθόλου καταφατικὸν πρὸς τῷ ἐλάττονι. ἀλλὰ νῦν οὐ δι' ἑαυτὸ συνάγεται. ἀλλ' ὅταν ἡ μία μερικὴ, δύναται γενέσθαι καὶ οὐχ ὁμοίως ὁ καὶ σύνδεσμος τὴν ἀσάφειαν ἐργάζεται.

ΕΣΤΙ δὲ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ἐν μὲν ταῖς ἀποδείξεσι, τὰ κατ' ἀλήθειαν οὕτως ἔχοντα. ἐν δὲ τοῖς διαλεκτικοῖς, τὰ κατὰ δόξαν.

Τὸ ἐν ἀρχῇ αἰτεῖσθαι ἢ κατὰ ἀλήθειαν, ὡς ὅταν εἴπῃ ἡ ψυχὴ αὐτοκίνητος. ἢ κατὰ δόξαν. ὡς ὅταν ἄλλο δι' ἄλλου δεικνύοιτο, ὡς καὶ νῦν ἐπάκουσεν.

ΤΟ δὲ μὴ παρὰ τοῦτο συμβαίνειν τὸ ψεῦδος. ὃ πολλάκις ἐν τοῖς λόγοις εἰώθαμεν λέγειν. πρῶτον μέν ἐστιν ἐν τοῖς εἰς τὸ ἀδύνατον συλλογισμοῖς. ὅταν πρὸς ἀντίφασιν ᾖ τούτου. ὃ ἐδείκνυτο τῇ εἰς τὸ ἀδύνατον.

Βούλεται ἐν τούτοις ὁ φιλόσοφος εἰπεῖν, περὶ τοῦ μὴ παρὰ τοῦτο συμβαίνειν ὡς ὅτι ἑκάστη ἡ πρότασις, οὐδ' ὅλως λαμβάνεται. οἷον εἰ λάβω χρῶμα παντὶ λευκῷ. τὸ λευκὸν, παντὶ πτηνῷ. τὸ πτηνὸν παντὶ κόρακι. ὥστε καὶ τὸ λευκὸν παντὶ κόρακι. τοῦτο τὸ ἀδύνατον συνέβη, οὐ διὰ τὸ λαβεῖν ὅτι τὸ χρῶμα παντὶ λευκῷ. κἂν γὰρ ἐλαμβάνετο ἢ μὴ ἐλαμβάνετο, οὐδὲν ἧττον ἠκολούθει τὸ ἀδύνατον. ἐὰν γὰρ ἐλαμβάνετο ὅτι λευκὸν παντὶ πτηνῷ. πτηνὸν παντὶ κόρακι, καὶ λευκὸν παντὶ κόρακι. ὁμοίως τὸ ἀδύνατον ἠκολούθει. ὥστε ἐκ τούτου φανερόν. ὅτι τὸ μὴ παρὰ τοῦτο συμβαίνει, ἀδυνάτου τινὸς ὄντος. εἰ δὲ μή ἐστι παρὰ τοῦτο, δῆλον ὅτι παρὰ ἄλλην ἐστὶ πρότασιν οἱονδήποτε ληφθεῖσαν. ὡς καὶ νῦν παρὰ τὸ καὶ τὸ λευκὸν παντὶ πτηνῷ ληφθῆναι, τὸ ἄτοπον ἠκολούθησεν. οὕτω τὸ μὴ παρὰ τοῦτο γίνεται. τὸ δὲ μὴ παρὰ τοῦτο ὃ πολλάκις προσδιαλεγόμενοι λέγομεν.

ΟΥΤΕ γὰρ ὁ μὴ ἀντιφήσας τις ἐρεῖ, τὸ οὐ παρὰ τοῦτο. ἀλλ' ὅτι ψεῦδός τι ἐτέθη τῶν προτέρων. οὔτ' ἐν τῇ δεικνυούσῃ. οὐ γὰρ τίθησι τὴν ἀντίφασιν.

Ὅτι οὐ παρὰ τοῦτο λέγεται. ὅτε τις ἀντιφάσκει ἡμῖν ἐρείζων. εἰ δὲ μὴ ἐρωτᾶται λέγειν ὅτι ψεῦδος συνήχθη. καὶ οὐκέτι λέγει οὐ παρὰ τοῦτο.

ΕΤΙ δὲ ὅταν ἀναιρεθῇ τι δεικτικῶς διὰ τῶν α β γ. οὐκ ἔστιν εἰπεῖν ὡς οὐ παρὰ τὸ κείμενον γεγένηται ὁ συλλογισμός.

Ὅταν ἀκολουθήσῃ ἀδύνατον ἐπὶ τῶν δεικτικῶν δεικνυμένων, οὐ δυνατὸν εἰπεῖν ἡμᾶς ὅτι οὐ συνήχθη τοῦτο παρὰ τὰς προτάσεις. τὸ δὲ μὴ παρὰ τοῦτο ἐρεῖς ἐπὶ τῆς μὴ παραλαμβανομένης προτάσεως τοῦ ἀδυνάτου. ὡς ἐπὶ τοῦ χρώματος καὶ τοῦ λευκοῦ.

ΤΟ γὰρ μὴ παρὰ τοῦτο γίνεσθαι τότε λέγομεν. ὅταν ἀναιρεθέντος τούτου μηδὲν ἧττον περαίνηται ὁ συλλογισμός. ὅπερ οὐκ ἔστιν ἐν τοῖς δεικτικοῖς. ἀναιρεθείσης γὰρ τῆς θέσεως, οὐδ' ὁ πρὸς ταύτην ἔσται συλλογισμός.

Ἐκείνην λέγομεν τὴν πρότασιν μὴ παρὰ τοῦτο, τὴν μὴ παραλαμβανομένην ἐν τῷ συλλογισμῷ. οὐ μέντοι διὰ ταύτην ἧττον συμβαίνειν συλλογίσασθαι τὸ προκείμενον. ὅπερ συμβαίνει ἐπὶ τοῖς δεικτικοῖς. ἐπὶ γὰρ τούτων εἰ μὴ ληφθῇ πρότασις. οὐδὲ ὁ συλλογισμὸς γίνεται, ὁ πρὸς τὴν πρότασιν.

ΦΑΝΕΡΟΝ οὖν ὅτι ἐν τοῖς εἰς τὸ ἀδύνατον λέγεται τὸ μὴ παρὰ τοῦτο. καὶ ὅταν οὕτως ἔχῃ πρὸς τὸ ἀδύνατον ἡ ἐξ ἀρχῆς ὑπόθεσις, ὥστε καὶ οὔσης καὶ μὴ οὔσης ταύτης, οὐδὲν ἧττον συμβαίνειν τὸ ἀδύνατον. ὁ μὲν οὖν φανερώτατος τρόπος ἐστὶ τοῦ μὴ παρὰ τὴν ὑπόθεσιν εἶναι τὸ ψεῦδος.

Ὥσπερ πόρισμα ἔλαβεν εἰπὼν τὸ μὴ παρὰ τοῦτο λέγεται ὅτε ἀδύνατόν τι συμβαίνει. καὶ πάλιν δὲ τότε λέγομεν τὸ μὴ παρὰ τοῦτο, ὅτε ἑκάστης τῆς προτάσεως καὶ οὔσης καὶ μὴ οὔσης, οὐδὲν ἧττον τὸ ἄτοπον συμβαίνει.

ΟΤΑΝ ἀπὸ τῆς ὑποθέσεως ἀσύναπτος ᾖ ἀπὸ τῶν μέσων πρὸς τὸ ἀδύνατον ὁ συλλογισμός. ὅπερ εἴρηται καὶ ἐν τοῖς τοπικοῖς. τὸ γὰρ τὸ ἀναίτιον ὡς αἴτιον τιθέναι, τοῦτό ἐστιν. οἷον εἰ βουλόμενος δεῖξαι ὅτι ἀσύμμετρος ἡ διάμετρος, ἐπιχειροίη τὸν Ζήνωνος λόγον δεικνύναι, ὡς οὐκ ἔστι κινεῖσθαι. καὶ εἰς τοῦτο ἀπάγοι τὸ ἀδύνατον. οὐδαμῶς γὰρ οὐδαμῇ συνεχές ἐστι τὸ ψεῦδος τῇ φάσει τῇ ἐξ ἀρχῆς.

Διὰ δύο αἰτίας γίνεται τὸ μὴ παρὰ τοῦτο. μίαν μὲν ἤτοι ὅταν οἱ μέσοι ὅροι μὴ συνάπτωσι πρὸς ἑαυτούς. ὡς εἴ τις βουληθῇ τὸν Ζήνωνος λόγον ὅτι οὐκ ἔστι κίνησις. λαμβάνει ὅτι ἀσύμμετρος ἡ διάμετρος. ἔλεγε δὲ Ζήνων μὴ εἶναι τὴν κίνησιν ἀπὸ τοῦ λαμβάνειν μὴ γίνεσθαι τὸ τέλος τῆς ὁδοῦ μὴ τοῦ μέσου ληφθέντος. καὶ πάλιν ἐκείνου μὴ τοῦ μέσου. καὶ τοῦτο εἰς ἄπειρον. τὸ δὲ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ γενέσθαι οὐ δυνατόν. ὥστε ἀνῄρηται ἡ κίνησις. οὗτος ὁ Ζήνωνος λόγος. διὰ μίαν οὖν αἰτίαν γίνεται ὅταν μὴ συνάπτωνται οἱ μέσοι ὅροι πρὸς ἑαυτούς.

Ἄλλος

μετὰ μεμβρανοῦ κύκλον καταγράψαι δυνατόν. καὶ λαμβάνουσι σημεῖον, ὡς ἐπὶ ἂν πίπτον περὶ τὸ αὐτὸ πεδίον ἐκεῖνον. καὶ οὕτως ἐκβάλλουσι τὰς εὐθείας. καὶ ὃ ἐζήτηται, τοῦτο εἴληπται. ὁ γὰρ μὴ συγχωρῶν γίνεσθαι τὰς παραλλήλους, οὐδὲ τὸ σημεῖον συγχωρήσει ἐκεῖνο. ὥστε συμβαίνει ὡς λέγει αὐτὸς, ἕκαστον εἶναι λέγειν ὅτι ἔστιν ἕκαστον. αὐτὶ τοῦ διατί τὸ α΄ ἐστίν. ἐπειδὴ τὸ α΄ ἐστίν. ὥστε τὸ αὐτὸ εἶναι, ἐπειδὴ ἔστι τὸ αὐτό.

" Εἰ οὖν τις ἀδήλου ὄντος ὅτι τὸ β΄ ὑπάρχει τῷ γ΄. ὁμοίως δὲ καὶ ὅτι τὸ α΄ τῷ β΄, αἰτοῖτο τῷ γ΄ ὑ-
" πάρχειν τὸ α΄, οὔπω δῆλον εἰ τὸ ἐν ἀρχῇ αἰτεῖται. ἀλλ' ὅτι οὐκ ἀποδείκνυσι, δῆλον. οὐ γὰρ ἐστὶν ἀρχὴ
" ἀποδείξεως, τὸ ὁμοίως ἄδηλον.

Ἐὰν τις οὕτως ἀδήλως λάβῃ. ὅτι τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. οὔπω δῆλον ἐν ταύταις ταῖς προτάσεσι τὸ ἐν ἀρχῇ αἰτηθέν. ἐὰν λάβῃ οὕτως ὅτι τῷ β΄ τῷ γ΄ τὸ αὐτό ἐστιν. ὥστε εἶναι τὸ αὐτὸ κατὰ τῶν αὐτῶν. τό τε φαίνεται ὅτι φαίνεται. ὅτι περὶ τὴν μείζω ἡ ἐξ ἀρχῆς αἴτησις. νῦν δὲ τὸ παράδειγμα ποιεῖται. ὡς ἐπὶ τοῦ πρώτου σχήματος. ἐπεὶ οὔτε ἐπεξέρχεται πάσας τὰς συζυγίας.

" Εἰ μέντοι τὸ β΄ πρὸς τὸ γ΄, οὕτως ἔχει. ὥστε ταυτὸν εἶναι, ἢ δῆλον ὅτι ἀντιστρέφουσιν. ἢ ὑπάρχει
" θάτερον θατέρῳ, τὸ ἐν ἀρχῇ αἰτεῖται. καὶ γὰρ ἂν ὅτι τῷ β΄ τὸ α΄ ὑπάρχει, δι' ἐκείνων δεικνύει, εἰ ἀντι-
" στρέφοι.

Ἐπιχειρεῖται αὐτὸς ὅτι ἐστὶ τὸ αὐτὸ εἶναι τὸ τοὺς δύο ὅρους ἢ ἀντιστρέφειν πρὸς ἑαυτούς. ὡς ἐπὶ τοῦ ἀνθρώπου καὶ τοῦ γελαστικοῦ. ἢ ἐν ὑπάρχειν τὸ ἕτερον τῷ ἑτέρῳ, ὡς ἡ ἡδονὴ καὶ χαρά. ἀλλὰ εἰδέναι δεῖ, ὅτι καθόλου γίνεται ἡ πρότασις καταφατική, ἤτοι ἐν ὑπάρχει τὸ ἕτερον τῷ ἑτέρῳ. ἤτοι ἀντιστρέφει μόνον.

" ΝΥΝ δὲ τοῦτο κωλύει, ἀλλ' οὐχ ὁ τρόπος. εἰ δὲ τοῦτο ποιεῖ, τὸ εἰρημένον ἂν ποιεῖ, καὶ ἀντιστρέφοι
" διὰ τριῶν.

Ἡμῶν εἰρηκότων ὅτι τὸ α΄ παντὶ τῷ β΄, ἀντερεῖ ἡμῖν πόθεν δῆλον ὅτι τὸ α΄ παντὶ τῷ β΄. ἐπειδὴ ἐλάμβανον τὸ αὐτὸ τὸ β΄ γ΄. φησὶν εἰ ἀντιστρέψαι, δειχθήσεται ὅτι εἰ τὸ β΄ παντὶ τῷ γ΄. καὶ τὸ γ΄ παντὶ τῷ β΄. δειχθήσεται δὲ λαμβανόντων ἡμῶν ὅτι τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ β΄. εἰ δὲ τοῦτο κωλύει τουτέστι τὸ μὴ ἀντιστρέφειν οὐχ ὁ τρόπος. αὐτὶ τοῦ οὐχὶ τὸ συμπέρασμα τὸ λέγον. τὸ α΄ παντὶ τῷ γ΄. πότε δὲ οὐκ ἀντιστρέφει. οἷον, εἰ λάβωμεν ὅτι ἡ χαρὰ ἡδονή. οὐ πάντως δὲ καὶ ἡ ἡδονὴ χαρά. εἰ μήτι προσδιορισώμεθα, ὅτι ἡ ἡδονὴ σύστοιχος τῇ χαρᾷ ἐστιν. ὥστε νῦν τοῦτο κωλύει τὸ μὴ προσδιορίζεσθαι. εἰ δὲ προσδιορισώμεθα, οὐδὲν κωλύει γίνεται δὲ τὸ διὰ τριῶν. ὡς αὐτὸς λέγει, οὕτως. ἐδείχθη τὸ α΄ γ΄. διὰ τοῦ α΄ β΄. καὶ τὸ α΄ β΄ νῦν, διὰ τοῦ α΄ γ΄. ὥστε τὸ α΄ γ΄ δι' ἑαυτοῦ ἐδείξαμεν. ἤτοι αὐτὸ δι' ἑαυτοῦ. εἰ γὰρ τὸ α΄ β΄. καὶ τὸ α΄ γ΄. εἰ δὲ τὸ α΄ γ΄. καὶ τὸ α΄ β΄. ὥστε εἶναι τὸ α΄ β΄. τὸ α΄ β΄ εἶναι.

" ΩΣΑΥΤΩΣ δὲ κἂν εἰ τὸ β΄ τῷ γ λαμβάνοι ὑπάρχειν, ὁμοίως ἄδηλον ὄν. καὶ εἰ τὸ α΄ τῷ γ΄, οὔ-
" πω τὸ ἐξ ἀρχῆς αἰτεῖται. ἀλλ' οὐκ ἀποδείκνυσιν. ἐὰν δὲ ταυτὸν ᾖ τὸ α΄ καὶ τὸ β΄, ἢ τὸ ἀντιστρέφειν, ἢ τὸ
" ἕπεσθαι τὸ α΄ τῷ β΄. τὸ ἐξ ἀρχῆς αἰτεῖται διὰ τὴν αὐτὴν αἰτίαν. τὸ γὰρ ἐξ ἀρχῆς τί δύναται, πρότερον
" εἴρηται ἡμῖν, ὅτι τὸ δι' ἑαυτοῦ δεικνύναι τὸ μὴ δι' αὐτοῦ δῆλον, εἰ οὖν ἐστὶ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, τὸ δι'
" αὐτοῦ δεικνύναι τὸ μὴ δι' αὐτοῦ δῆλον. τοῦτο δέ ἐστι, τὸ μὴ δεικνύναι, ὅταν ὁμοίως ἀδήλων ὄντων τοῦ
" δεικνυμένου καὶ δι' οὗ δείκνυται. ἢ τὸ ταυτὰ τῷ αὐτῷ, ἢ τῷ, ταυτὸν τοῖς αὐτοῖς ὑπάρχειν.

Ἔλαβε πρῶτον τὸ αὐτὸ κατὰ τῶν αὐτῶν, νῦν λαμβάνει τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ. καὶ φησὶν, ὅτι ἐὰν ληφθῇ τὸ β΄ πρὸς τῷ γ΄, ὡς ἄδηλον. καὶ εἰ τὸ α΄ κατὰ κοινοῦ τῷ γ΄ ἄδηλόν ἐστιν, οὔπω δῆλον εἰ τὸ ἐξ ἀρχῆς αἰτεῖται. εἰ δὲ λάβοι οὕτως. ὥστε τὸ α΄ β΄ τὸ αὐτὸ εἶναι, συμβαίνει τὴν ἐξ ἀρχῆς αἴτησιν περὶ τὴν ἐλάττω γίνεσθαι πρότασιν. τὸ αὐτὸ δὲ εἶναι λέγομεν τὸ α΄ τῷ β΄. ἢ τῷ ἀντιστρέφειν, ἢ τὸ ἐν ὑπάρχειν ἕτερον ἑτέρῳ.

" ΕΝ μὲν τῷ μέσῳ σχήματι καὶ τρίτῳ, ἀμφοτέρως ἂν ἐνδέχοιτο ὁμοίως, τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. ἐν δὲ
" κατηγορικῷ, συλλογισμῷ ἔν τε τῷ γ΄ καὶ τὸ α΄.

Εἰρηκὼς ὡς ἐπὶ παραδείγματος ἐν πρώτῳ σχήματι περὶ τῶν καθόλου καταφατικῶν, νῦν οὐ λέγει τὰς συζυγίας πάσας ἀλλὰ μόνον τοῦτο λέγει. ὅτι καὶ ἐν δευτέρῳ καὶ τρίτῳ ἐνδέχεται γίνεσθαι τὸ ἐν ἀρχῇ αἰτηθέν. λείπει δὲ τὸ ὥσπερ ἐν πρώτῳ καὶ περὶ τῶν καταφατικῶν καὶ ἀποφατικῶν. καταφατικῶν ὡς ἐν πρώτῳ καὶ τρίτῳ. ἐν γὰρ δευτέρῳ καταφατικὸν οὐ συνάγεται. ὡς δὲ ἐδείκνυτο εἶναι τὰ καταφατικὰ λαμβάνοντες. ἢ τὸ αὐτὸ κατὰ τῶν αὐτῶν. ἢ τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ, οὕτω καὶ ἐν τρίτῳ σχήματι λαμβάνομεν. ἐξεθέμεθα δὲ πῶς ἐν τρίτῳ σχήματι τοῦτο ποιοῦμεν.

" ΑΠΟφατικῶς δὲ, ὅταν τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ καὶ οὐχ ὁμοίως ἀμφότεραι αἱ προτάσεις. ὡσαύ-
" τως δὲ καὶ ἐν τῷ μέσῳ. διὰ τὸ μὴ ἀντιστρέφειν τοὺς ὅρους κατὰ τοὺς ἀποφατικοὺς συλλογισμούς.

Εἰρηκὼς περὶ τῶν καταφατικῶν τῶν ἐν τρίτῳ σχήματι πῶς συνάγονται. ὅτι ὥσπερ ἐπὶ τοῦ πρώτου, νῦν λέγει περὶ τῶν ἀποφατικῶν τῶν ἐν τρίτῳ σχήματι. πότε δὲ γίνεται ἐν τρίτῳ σχήματι ὅταν τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ. ληφθείη δὲ τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν, οὐχ ὁμοίως δείκνυνται αἱ προτάσεις ἀμφότεραι, αἱ ἐν τῷ πρώτῳ καὶ ἐν τρίτῳ. διατί οὐχ ὁμοίως. διὰ τὸ μὴ ἀντιστρέφειν τοὺς ὅρους κατὰ τοὺς ἀποφα-

παντὶ τῷ γ'. τὸ ἐξ ἀρχῆς ζητούμενον ἔλαβον. ὁ γὰρ μὴ συγχωρῶν ὅτι τὸ α' παντὶ τῷ γ', οὐδὲ τὸ β' παντὶ τῷ γ' συγχωρήσει. τὸ αὐτὸ γάρ ἐστι τὸ α' καὶ τὸ β'. νῦν οὖν ἔλαβον τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ. ἀλλὰ δὴ ληφθήτω τὸ αὐτὸ κατὰ τῶν αὐτῶν. ὥστε εἶναι τὸ β' γ' τὸ αὐτό. ἐὰν οὖν αἰτῶ, τὸ α' παντὶ τῷ β'. καὶ τὸ β' παντὶ τῷ γ'. τὸ α' παντὶ τῷ γ'. περὶ τὴν μείζω ἡ ἐξ ἀρχῆς αἴτησις γίνεται. ὁ γὰρ μὴ συγχωρῶν ὅτι τὸ α' παντὶ τῷ γ', οὐδὲ ὅτι παντὶ τῷ β'. οὕτω τὸ καθόλου καταφατικόν. ἀλλὰ δέον ἔστω δεῖξαι τὸ καθόλου ἀποφατικόν. οὐκοῦν λαμβάνομεν ἢ τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν ἢ τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ. καὶ πῶς λάβομεν τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν. ὥστε εἶναι τὸ α' χωρίς, τὸ δὲ β' γ' τὸ αὐτό. ἔστω οὖν τὸ β' παντὶ τῷ γ'. ὁ οὖν μὴ συγχωρῶν ὅτι τὸ α' οὐδενὶ τῷ γ', οὐδὲ τοῦτο συγχωρεῖ, ὅτι τὸ α' οὐδενὶ τῷ β'. τὸ γὰρ β' καὶ τὸ γ' τὸ αὐτό ἐστιν. ὥστε ἡ ἐξ ἀρχῆς αἴτησις περὶ τὴν μείζω νῦν γέγονεν. ἀλλὰ δὴ ἔστω τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ, ὥστε εἶναι τὸ α' παντὶ τῷ β'. τὸ β' οὐδενὶ τῷ γ'. ἀλλὰ ἀσυλλόγιστος ἡ συζυγία. εἰ δὲ ἀντιστρέψαιμεν, γίνεται συλλογιστική. καὶ φανεροῦται ἡ ἐν ἀρχῇ αἴτησις, οὕτως. εἰ τὸ β' οὐδενὶ τῷ γ'. καὶ τὸ γ' οὐδενὶ τῷ β'. τὸ δὲ β' παντὶ τῷ α'. τὸ αὐτὸ γάρ ἐστι τὸ α' καὶ τὸ β'. καὶ τὸ γ' οὐδενὶ τῷ α'. ὥστε καὶ τὸ α' οὐδενὶ τῷ γ'. ἡ οὖν ἐξ ἀρχῆς αἴτησις περὶ τὴν β' γ' γέγονεν. ὁ γὰρ μὴ συγχωρῶν τὸ α' οὐδενὶ τῷ γ', οὐδὲ τοῦτο συγχωρεῖ ὅτι τὸ γ' οὐδενὶ τῷ β'. ὥστε εἰ οὐ διὰ ὅτι ἀντιστροφῆς ἐδείχθη, νῦν ἡ ἐξ ἀρχῆς αἴτησις. πάλιν δέον ἔστω δεῖξαι τὸ μερικὸν καταφατικόν. λαμβάνομεν οὖν ἢ τὸ αὐτὸ κατὰ τῶν αὐτῶν. ἢ τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ. εἰ οὖν λάβομεν τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ. ὥστε τὸ αὐτὸ εἶναι τὸ α' β'. λαμβάνομεν οὕτως. τὸ α' παντὶ τῷ β'. τὸ β' τινὶ τῷ γ'. τὸ α' τινὶ τῷ γ'. ἡ ἐν ἀρχῇ αἴτησις περὶ τὴν ἐλάττω γέγονεν. ὁ γὰρ μὴ συγχωρῶν ὅτι τὸ α' τινὶ τῷ γ', οὐδ' ὅτι τὸ β' τινὶ τῷ γ' συγχωρεῖ. ἐὰν δὲ λάβομεν τὸ αὐτὸ κατὰ τῶν αὐτῶν. συμβαίνει γίνεσθαι τὴν μείζω μερικήν, εἰ λάβομεν τὰ αὐτὰ τὸ β' γ'. ἀλλ' ἀντιστρέψαντες ποιοῦμεν οὕτως. τὸ γ' παντὶ τῷ β'. τὸ β' τινὶ τῷ α'. τὸ γ' τινὶ τῷ α'. ὥστε καὶ τὸ α' τινὶ τῷ γ'. ἡ ἐξ ἀρχῆς αἴτησις περὶ τὴν β' α'. ὁ γὰρ μὴ συγχωρῶν τὸ α' τινὶ τῷ γ', οὐδὲ τὸ β' τινὶ τῷ α' συγχωρήσει. ὥστε καὶ νῦν τὸ ἐν ἀρχῇ αἰτηθέν, δι' ἀντιστροφῆς δείκνυται. ἔτι δέον ἔστω δεῖξαι τὸ μερικὸν ἀποφατικόν. οὐκοῦν ἢ τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν λαμβάνομεν. ὥστε εἶναι τὸ α' οὐ παντὶ τῷ β'. τὸ β' παντὶ τῷ γ'. ἢ τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ. ὥστε εἶναι τὸ α' παντὶ τῷ β'. τὸ β' οὐ παντὶ τῷ γ'. ἀλλ' εἰδέναι δεῖ, ὅτι οὐ γίνεται τὸ μερικὸν ἀποφατικὸν ἐν πρώτῳ σχήματι δεικνύον τὸ ἐν ἀρχῇ αἰτηθέν. εἰ γὰρ λάβομεν τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ ἡ ἐλάττων ἀποφατικὴ εὑρίσκεται. καὶ ἐν πρώτῳ σχήματι ἀσυλλόγιστος ἡ συζυγία. εἰ δὲ λάβω τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν, γίνεται ἡ μείζων μερικὴ καὶ ἀσυλλόγιστος ἡ συζυγία. οὕτως ἐν πρώτῳ σχήματι. εἰλήφθω οὖν τὸ δεύτερον σχῆμα. καὶ δέον ἔστω δεῖξαι τὸ καθόλου ἀποφατικόν. οὐκοῦν λαμβάνομεν ἢ τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ. ἢ τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν. καὶ πρότερον εἰλήφθω τὰ αὐτὰ ἀπὸ τοῦ αὐτοῦ. τὸ α' παντὶ τῷ γ'. ὥστε ταῦτα τὰ αὐτὰ εἶναι. τὸ α' οὐδενὶ τῷ β'. τὸ γ' οὐδενὶ τῷ β'. ἡ ἐν ἀρχῇ αἴτησις περὶ τὴν α' β' ἐστὶ πρότασις. ὁ γὰρ μὴ συγχωρῶν τὸ γ' οὐδενὶ τῷ β', οὐδὲ τὸ α' οὐδενὶ τῷ β' συγχωρήσει. τὸ γὰρ α' γ' τὸ αὐτὸ νῦν ἐστι. εἰ δὲ εἴη τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν τὸ α' οὐδενὶ τῷ γ'. τὸ α' παντὶ τῷ β'. συμπέρασμα ὅτι τὸ γ' οὐδενὶ τῷ β'. ἀλλ' οὔπω δῆλον εἴληπται τὸ ἐν ἀρχῇ αἰτούμενον εἰ μὴ γένηται ἀντιστροφή. εἰ γὰρ τὸ α' οὐδενὶ τῷ γ'. καὶ τὸ γ' οὐδενὶ τῷ α'. ὥστε ὁ μὴ συγχωρῶν τὸ γ' οὐδενὶ τῷ β'. οὐδενὶ τῷ γ'. οὐδενὶ τῷ α' συγχωρήσει. ἀλλ' ἔστω δεῖξαι τὸ μερικὸν ἀποφατικόν. καὶ ἔστω τὸ α' γ' τὰ αὐτά. τὸ α' παντὶ τῷ γ'. τὸ α' οὐ παντὶ τῷ β'. τὸ γ' οὐ παντὶ τῷ γ'. ὁ γὰρ μὴ συγχωρῶν τὸ γ', οὐ παντὶ τῷ β'. οὐδὲ τὸ α' οὐ παντὶ τῷ β' συγχωρήσει. ὥστε τὸ ἐν ἀρχῇ αἰτηθέν, περὶ τὴν ἐλάττω εἴληπται. εἰ δὲ ληφθῇ τὸ α' β' τὸ αὐτό, γίνεται ἡ μείζων μερική. καὶ οὐ δύναται ἀντιστραφῆναι. οὐ γὰρ ἀντιστρέφει τὸ μερικὸν ἀποφατικόν. προκεχειρίσθω νῦν τὸ γ' σχῆμα. καὶ δεικνύσθω τὸ μερικὸν καταφατικόν. ὥστε τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ. τὸ α' παντὶ τῷ γ'. τὸ β' παντὶ τῷ γ'. τὸ α' τινὶ τῷ β'. ἡ ἐν ἀρχῇ αἴτησις περὶ τὴν ἐλάττω πρότασιν. ὁ γὰρ μὴ συγχωρῶν τὸ α' τινὶ τῷ β', οὐδὲ τὸ β' παντὶ τῷ γ' συγχωρήσει. ἀντιστρέψει ὥστε καὶ τὸ γ' τινὶ τῷ β'. ὁμοίως εἰ ἂν τὸ αὐτὸ κατὰ τῶν αὐτῶν, δι' ἀντιστροφῆς δείκνυται. τὸ α' παντὶ τῷ γ'. τὸ β' παντὶ τῷ γ'. τὸ α' τινὶ τῷ β'. ὥστε καὶ τὸ β' τινὶ τῷ α'. νῦν γὰρ ἐλήφθη τὸ αὐτὸ τὸ β' γ'. ἀλλὰ δέον ἔστω δεῖξαι τὸ μερικὸν ἀποφατικόν. εἰ μὲν δειχθῇ τὸ αὐτὸ ἀπὸ τῶν αὐτῶν. ὥστε εἶναι τὴν μείζω καθόλου ἀποφατικήν, τὴν δὲ ἐλάττω καθόλου καταφατικήν, δείκνυται. ἄλλως δὲ ὅλως οὐ δείκνυται. οὐ γὰρ ἀντιστρέφει τὸ μερικὸν ἀποφατικόν. οὕτω κατὰ τὰ τρία σχήματα δείκνυται τὸ ἐν ἀρχῇ αἰτηθέν.

ΣΥΜΒΑΙΝΕΙ γὰρ αὐτὸ δι' ἑαυτοῦ τὸ α' δεικνύναι τοὺς οὕτω συλλογιζομένους. ὅπερ ποιοῦσιν οἱ τὰς παραλλήλους οἰόμενοι γράφειν. λανθάνουσι γὰρ αὐτοὶ ἑαυτοὺς τοιαῦτα λαμβάνοντες. ἃ οὐχ οἷόν τε ἀποδεῖξαι μὴ οὐσῶν τῶν παραλλήλων. ὥστε τοῖς οὕτω συλλογιζομένοις συμβαίνει, ἕκαστον λέγειν εἶναι, εἰ ἔστιν ἕκαστον. οὕτω δ' ἅπαν ἔσται, δι' αὑτοῦ γνωστόν. ὅπερ ἀδύνατον.

Ὅταν διὰ μέσου τινὸς τὸ ἐν ἀρχῇ αἰτῆται, συμβαίνει ποιεῖν αὐτὸν τὴν διὰ τριῶν δεῖξιν. οἷον, εἰ τὸ α' δείκνυται διὰ τοῦ β'. τὸ δὲ β' δείκνυται διὰ τοῦ γ'. εἴη δὲ καὶ τὸ γ' δείκνυσθαι διὰ τοῦ α'. ὥστε τὸ αὐτὸ τοῦ αὐτοῦ δεικτικόν ἐστιν. εἰ τὸ β' τῷ α'. εἰ τὸ γ' τῷ β'. εἰ τὸ α' τῷ γ'. ὥστε εἰ τὸ α', τὸ α'. τὸ αὐτὸ ποιοῦσι καὶ οἱ τὰς παραλλήλους γράφοντες τὸ ἐν ἀρχῇ αἰτοῦνται. βούλονται γὰρ παραλλήλους εὐθείας ἀπὸ τοῦ

μεσημβρινοῦ

ναι, γίνεται γὰρ ἐκ τῶν ἐναντίων ἀντικειμένων ὁ συλλογισμός. οἷον ἀγαθὸν ἐστὶν ἡ ἡδονὴ ἡδονή. ἀγαθὸν οὐκ ἔστιν ἡ ἡδονή. οὐκ ἔστιν ἄρα ἡ ἡδονὴ ἡδονή. ἐπειδὴ οὖν οἱ ἐξ ἀντικειμένων συλλογισμοὶ τὸ ὂν ὡς μὴ ὂν συλλογίζονται, τούτου χάριν ἀληθῆ συλλογισμὸν οὐ ποιοῦσιν.

» ΔΗΛΟΝ δὲ καὶ ὅτι ἐν τοῖς παραλογισμοῖς οὐδὲν κωλύει γίνεσθαι τῆς ὑποθέσεως τὴν ἀντίφασιν. οἷον εἰ ἔστι περιττὸν, μὴ εἶναι περιττόν. ἐκ γὰρ τῶν ἀντικειμένων προτάσεων ἐναντίος ἦν ὁ συλλογισμός. ἐὰν οὖν λάβοις τοιαύτας, ἔσται τῆς ὑποθέσεως ἀντίφασις.

Ε ἐπὶ τῶν παραλογισμῶν τῶν ἐξ ἀντιφάσεων. παραλογισμοὶ γὰρ οὗτοι. τοῦτο συνάγεται τὸ ἐναντίον τῇ ὑποθέσει. ἐὰν τὸ περιττόν ἐστιν, οὐκ ἔστιν περιττόν. τὸ ὄν. ὅτι οὐκ ἔστιν ὄν. δεῖ οὖν κατανοεῖν ὅτι οὐκ ἔστιν ἐκ τῶν ἐναντίων ἀντικείμενον συμπέρασμα συνάγειν. ὅτι τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχει. ἀλλὰ πῶς συνάγεται, ὅτι ἐλήφθη τοιαύτη πρότασις ἡ ἐλάττων, ὥστε τὸ ἐναντίον ὅλον ἐμφαίνειν. οἷον τὸ ζῷον καὶ λευκὸν καὶ μέλαν. καὶ συνάξει ἐν πρώτῳ σχήματι τοιοῦτο.

» ΔΕΙ δὲ κατανοεῖν ὅτι οὕτω μὲν οὐκ ἔστιν ἐναντία συμπεραίνεσθαι ἐξ ἑνὸς συλλογισμοῦ. ὥστε εἶναι τὸ συμπέρασμα τὸ μὴ ὂν ἀγαθὸν, ἀγαθόν. ἢ ἄλλο τι τοιοῦτον. ἐὰν μὴ εὐθὺς ἡ πρότασις τοιαύτη ληφθῇ. οἷον πᾶν ζῷον εἶναι λευκὸν, καὶ μὴ λευκόν. τὸν δὲ ἄνθρωπον ζῷον.

Ζ πῶς διὰ τούτων ὁ ἀριστοτέλης, τὸ δυνατὸν ἐπὶ τῶν ἐπὶ ἀντικειμένων συλλογισμῶν τὰ ἐναντία συλλογίσασθαι γινόμενα, ὡς ὑποκείμενα τῷ μείζονι ὅρῳ τὸ ἅμα δύναται συστῆναι. καὶ πρώην μὲν ἔλεγεν ὅτι οὐ δυνατὸν ἐξ ἀντικειμένων τοῦτο συλλογίσασθαι. οἱ γὰρ συλλογισμοὶ οἱ ἐξ ἀντικειμένων, τὸ ὂν μόνον ποιοῦσιν, ὡς μὴ ὄν. νῦν δὲ βούλεται δεῖξαι, ὅτι δυνατὸν συλλογίσασθαι τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχειν. ἀλλὰ τὸ δύναται πῶς, ἐδείχθη ὅτι ἐν πρώτῳ σχήματι οὐ συνάγονται ἐξ ἀντικειμένων συλλογισμοί. καὶ τὸ οὕτω πάλιν πῶς φησι δύναται συναχθῆναι ἐν πρώτῳ σχήματι, ὅτι τὰ ἐναντία τῷ αὐτῷ ὑπάρχει. πῶς οὖν συνάγεται, ὅτι ἡ ἐλάττων πρότασίς ἐστιν ἡ τὸ ἐναντίον καταφάσκουσα ὅλον. οἷον, ὁ ἄνθρωπος ζῷόν ἐστι. τὸ ζῷον καὶ λευκὸν καὶ μέλαν. ἰδοὺ τὰ ἐναντία κατέφησε. καὶ συμπέρασμα ὅτι ὁ ἄνθρωπος, καὶ μέλας καὶ λευκός. ἀλλ' εἰδέναι δεῖ ὅτι τὴν ἐλάττονα πρότασιν ὡς τὰ ἐναντία ἄμφω καταφάσκουσαν. ἢ κατὰ ἄμφω ἀποδείκνυμεν. ἢ τὴν μὲν ὁμολογουμένην λαμβάνομεν, τὴν δὲ ἀποδείκνυμεν. οἷον ὅτι τὸ ζῷον καὶ λευκὸν καὶ μέλαν ἐστίν. τούτων γὰρ ἀποδείκνυμεν ἑκάτερον ἢ θάτερον μόνον. ἢ οὐδέτερον. ἀλλὰ ὡς ὁμολογούμενον λαμβάνεται.

» ΑΛΛ' ἢ προσλαβεῖν δεῖ τὴν ἀντίφασιν. οἷον, ὅτι πᾶσα ἐπιστήμη ὑπόληψις καὶ οὐχ ὑπόληψις. εἶτα λαβεῖν ὅτι ἡ ἰατρικὴ ἐπιστήμη μέν ἐστιν, οὐδεμία δὲ ὑπόληψις. ὥσπερ οἱ ἔλεγχοι γίνονται, ἢ ἐκ δύο συλλογισμῶν. ὥστε δὲ εἶναι ἐναντία κατ' ἀλήθειαν τὰ εἰλημμένα, οὐκ ἔστιν ἄλλον τρόπον, ἢ τοῦτον καθάπερ εἴρηται πρότερον.

Φ καὶ τὴν ἐλάττω πρότασιν τὴν τὸ ἐναντίον ὅλον εἰσάγουσαν. οἷον ὅτι ἐπιστήμη καὶ ὑπόληψις καὶ οὐχ ὑπόληψις. ἢ ὅλην ἢ ἀνὰ μέρος κατασκευάσομεν. ἢ τῆς ὅλης θάτερον μέρος. ἢ ὅλης οὐδέτερον μέρος. ἀλλ' ὡς ὁμολογούμενα τὰ μόρια ληψόμεθα. ἀλλὰ τὸ μέλλον κατασκευασθῆναι ὅλον. ἐκ δύο συλλογισμῶν κατασκευάζεται. ἕκαστον παρὰ μέρος. οἷον ὅτι τὸ ζῷον λευκόν ἐστιν. καὶ πάλιν παρὰ μέρος, ὅτι τὸ ζῷον μέλαν ἐστίν. ὥσπερ οὖν τὸ βουληθεὶς ἐλέγξαι ὅτι τοῦτο οὕτως ἔχει, ἐλέγξεις διχῶς. ἓν μὲν ὡς ἐπὶ τοῦ ζῴου λευκόν ἐστι. δεύτερον δὲ ὡς ἐπὶ τοῦ ζῴου μέλαν ἐστίν. οὕτω καὶ διχῶς συλλογίσῃ τὴν ἐλάττω πρότασιν, διὰ προσυλλογισμοῦ. καὶ τότε ληφθήσεται ὡς πρότασις.

» ΤΟ δὲ ἐν ἀρχῇ αἰτεῖσθαι καὶ λαμβάνειν, ἔστι μὲν ὡς ἐν γένει λαβεῖν ἐν τῷ μὴ ἀποδεικνύναι τὸ προκείμενον. τοῦτο δὲ ἐπισυμβαίνει πολλαχῶς. καὶ γὰρ εἰ ὅλως μὴ συλλογίζεται. καὶ τὸ δι' ἀγνωστοτέρων, ἢ ὁμοίως ἀγνώστων. καὶ τὸ διὰ τῶν ὑστέρων τὸ πρότερον. ἡ γὰρ ἀπόδειξις ἐκ πιστοτέρων τε καὶ προτέρων ἐστί. τούτων μὲν οὖν οὐδέν ἐστι τὸ αἰτεῖσθαι τὸ ἐξ ἀρχῆς. ἀλλ' ἐπεὶ τὰ μὲν δι' αὑτῶν πέφυκε γνωρίζεσθαι, τὰ δὲ δι' ἄλλων. αἱ μὲν γὰρ ἀρχαὶ, δι' ἑαυτῶν. τὰ δὲ ὑπὸ τὰς ἀρχὰς δι' ἄλλων, ὅταν τὸ μὴ τὸ δι' αὑτοῦ γνωστὸν, δι' ἑαυτοῦ τις ἐπιχειρῇ δεικνύναι, τότε αἰτεῖται τὸ ἐξ ἀρχῆς. τοῦτο δὲ ἔστι μὲν οὕτω ποιεῖν. ὥστ' εὐθὺς ἀξιῶσαι τὸ προκείμενον. ἐνδέχεται δὲ καὶ μεταβάντας ἐπ' ἄλλα ἄττα τῶν πεφυκότων δι' ἐκείνου δείκνυσθαι, διὰ τούτων ἀποδεικνύναι τὸ ἐξ ἀρχῆς. οἷον εἰ τὸ α' δεικνύοιτο, διὰ τοῦ β'. τὸ δὲ β' διὰ τοῦ γ'. τὸ δὲ γ' πεφυκὸς εἴη δείκνυσθαι, διὰ τοῦ α'.

Ν ὧν βούλεται εἰπεῖν περὶ τοῦ ἐξ ἀρχῆς αἰτεῖσθαι. τὸ δὲ ἐξ ἀρχῆς αἰτεῖσθαι, τοῦτό ἐστι τὸ ζητούμενον ὡς ὁμολογούμενον λαμβάνειν. γίνεται δὲ τοῦτο, τὸ λαμβάνειν τοὺς δύο ὅρους ἀντιστρέφοντας. ὡς ἄνθρωπος καὶ γελαστικόν. ἢ τὸν ὄντα ὑπάρχοντα τῷ ἑτέρῳ, ὡς τὸ ἡ ἡδονὴ, χαρά. γίνεται δὲ ἡ ἐξ ἀρχῆς αἴτησις, κατὰ τὰ τρία σχήματα. καὶ ἵνα τὴν ἀσάφειαν τῆς λέξεως εἰς σαφὲς μεταστρέψωμεν, ὀφείλομεν θεωρῆσαι πῶς γίνεται κατὰ τὰ τρία σχήματα, τὸ ἐξ ἀρχῆς ζητούμενον. καὶ πρῶτον ὡς ἐν πρώτῳ σχήματι δεῖον. ἔστω μὲν δεῖξαι, ὅτι τὸ α' παντὶ τῷ γ' ὑπάρχει, διὰ τοῦ β'. ἐὰν λάβω τὸ α' παντὶ τῷ β'. καὶ τὸ β' παντὶ τῷ γ'. οὔπω δῆλον τὸ τὸ ἐξ ἀρχῆς ἔλαβον. τὸ δὲ λάβω τὸ α' τὸ αὐτὸ εἶναι τῷ β', τότε ἡ ἐξ ἀρχῆς αἴτησις πρὸς τὴν ἐλάττω πρότασιν γίνεται. τὸ γὰρ τὸ α' παντὶ τῷ β'. ἐπειδὴ τὸ αὐτό ἐστιν. τὸ δὲ β'


ἘΝ δὲ τῷ τρίτῳ σχήματι καταφατικὸς μὲν συλλογισμὸς οὐδέποτ᾽ ἔσται ἐξ ἀντικειμένων προτάσεων διὰ τὴν προειρημένην αἰτίαν, καὶ ἐπὶ τοῦ πρώτου σχήματος. ἀποφατικὸς δ᾽ ἔσται συλλογισμός, καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων. ἔστω γὰρ ἐπιστήμη ἐφ᾽ οὗ β΄ καὶ γ΄, ἰατρικὴ δ᾽, ἐφ᾽ οὗ α΄.

F λησάμενος περὶ τοῦ δευτέρου σχήματος, νῦν λέγει καὶ περὶ τοῦ τρίτου. ὅτι καὶ ἐν τῷ τρίτῳ δείκνυται ἐξ ἀντικειμένων προτάσεων συλλογισμός. ἤτοι καθόλου ὄντων τῶν ὅρων, ἢ οὔ. ἀλλ᾽ ἐν τρίτῳ καταφατικαὶ οὐ δείκνυνται. ἀλλ᾽ αἱ ἀποφατικαὶ διὰ τὴν εἰρημένην αἰτίαν.

ἘΙ οὖν λάβοι πᾶσαν ἰατρικὴν ἐπιστήμην, καὶ μηδεμίαν ἰατρικὴν ἐπιστήμην, τὸ β΄ παντὶ τῷ α΄ εἴληφε. καὶ τὸ γ΄ οὐδενί. ὥστ᾽ ἔσται τὶς ἐπιστήμη οὐκ ἐπιστήμη.

Ε ν τρίτῳ σχήματι δείκνυσι, πῶς τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι, δείκνυται ἐξ ἀντικειμένων τῶν προτάσεων. καὶ ἀμφοτέρων καθόλου οὐσῶν. ἡ ἐπιστήμη οὐδεμιᾷ ἰατρικῇ. ἡ ἐπιστήμη πάσῃ ἰατρικῇ. καὶ συμπέρασμα ὅτι οὐ πᾶσα ἐπιστήμη, ἐπιστήμη ἐστίν. ἀλλ᾽ ἐνταῦθα πάλιν αἱ προτάσεις δῆλαι. αἱ δὲ μέθοδοι παραδίδονται ἐν τοῖς τοπικοῖς ὅπως κρύπτειν ὀφείλομεν τὰς προτάσεις. κρύβομεν δὲ τὰς προτάσεις, ὅτι διὰ πολλῶν ἄλλων τὸ αὐτὸ συνάγεται, ἢ δι᾽ ἄλλων ὀνομάτων οὕτως. πᾶσα ἡδονὴ κακόν ἐστιν. ἡ χαρὰ κακὸν οὐκ ἔστι. συμπέρασμα, τὶς ἄρα ἡδονὴ, ἡδονὴ οὐκ ἔστι. ὥστε ἡ χαρὰ ἐπεὶ ἡδονὴ οὖσα, κακὸν οὐκ ἔστι. ἐνταῦθα γὰρ ἐπειδὴ ἄλλα ὀνόματά ἐστι, κρύβει τὴν δύναμιν τῶν ἀντικειμένων προτάσεων.

ΟΜΟΙΩΣ δὲ καὶ ἐὰν μὴ καθόλου ληφθῇ ἡ α β΄ πρότασις. εἰ γάρ ἐστι τὶς ἰατρικὴ ἐπιστήμη, καὶ πάλιν μηδεμία ἰατρικὴ ἐπιστήμη, συμβαίνει ἐπιστήμην τινὰ μὴ εἶναι ἐπιστήμην.



Κ αὶ ἐὰν ἡ μείζων μὴ καθόλου, καθόλου δὲ ἡ ἐλάττων, τὸ αὐτὸ συνάγεται. οἷον ἰατρικῇ τινὶ, ἐπιστήμη. ἰατρικῇ οὐδεμιᾷ ἐπιστήμη. συμπέρασμα ὅτι οὐ πᾶσα ἐπιστήμη ἐπιστήμη ἐστιν.

ἘΙΣΙ δὲ καθόλου τῶν ὅρων μὲν λαμβανομένων ἐναντίαι αἱ προτάσεις. εἰ δὲ ἐν μέρει ἅτερος, ἀντικείμεναι.

Ε ἰσὶ δὲ καθόλου προτάσεις ὅτε αἱ ἐναντίαι λαμβάνονται. μερικὴ δὲ γίνεται ἡ μία, ὅτε τὸ ἀντιφατικὸν ληφθῇ

ΔΕΙ δὲ κατανοεῖν ὅτι ἐνδέχεται μὲν οὕτω τὰ ἀντικείμενα λαμβάνειν, ὥσπερ εἴπομεν, πᾶσαν ἐπιστήμην σπουδαίαν εἶναι. καὶ πάλιν οὐδεμίαν ἢ τινὰ μὴ σπουδαίαν, ὅπερ οὐκ εἴωθε λανθάνειν. ἔστι δὲ καὶ δι᾽ ἄλλων ἐρωτημάτων συλλογίσασθαι θάτερον. ἢ καὶ ὡς ἐν τοπικοῖς ἐλέχθη λαβεῖν.

Δ εἶ φησι προσέχειν, ὅτι ἐγχωρεῖ λαβεῖν τὰ ἀντικείμενα αὐθυ κρύψεις, ὥστε μὴ λαθεῖν τοὺς διαλεγομένοις. ἐνδέχεται δὲ ταῦτα τὰ ἀντικείμενα δι᾽ ἄλλων ἐπερωτήσεων λαβεῖν τὸν προσδιαλεγόμενον. ὥσπερ εἰρήκαμεν ἐν τοῖς τόποις.

ἘΠΕΙ δὲ τῶν καταφάσεων αἱ ἀντιθέσεις τρεῖς, ἑξαχῶς συμβαίνει τὰ ἀντικείμενα λαμβάνειν. ἢ παντὶ καὶ μηδενί. ἢ παντὶ καὶ μὴ παντί, ἢ τινὶ καὶ μηδενί. καὶ τοῦτο ἀντιστρέψαι ἐπὶ τῶν ὅρων. οἷον τὸ α΄ παντὶ τῷ γ΄. τῷ β΄ μηδενί. ἢ τῷ γ΄ παντί. τῷ δὲ β΄ μηδενί. ἢ τῷ μὲν, παντὶ, τῷ δ᾽, μὴ παντί. καὶ πάλιν τοῦτο ἀντιστρέψαι κατὰ τοὺς ὅρους. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ τρίτου σχήματος. ὥστε φανερὸν, ὁσαχῶς τε καὶ ἐν ποίοις σχήμασιν ἐνδέχεται διὰ τῶν ἀντικειμένων προτάσεων γενέσθαι συλλογισμόν.

Σ ἰρηκὼς ὁ ἀριστοτέλης περὶ τῶν ἐξ ἀντικειμένων συλλογισμῶν πῶς γίνονται, νῦν λέγει πόσοι μὲν τρόποι συζυγιῶν γίνονται τῶν ἐξ ἀντικειμένων. καὶ ποῖαι συζυγίαι μάλιστα λαμβάνονται. καὶ εἰ λαμβάνονται ὡς ἐν τῷ δευτέρῳ σχήματι, τὸ καθόλου ἀνάγκη εἶναι πρὸς τῇ μείζονι. εἰ οὖν ἐστιν ἡ μείζων καθόλου καὶ καταφατική, ἐξ ἀνάγκης ἡ ἐλάττων τριχῶς ποικίλλεται. καὶ γίνονται τίνες τρεῖς τρόποι. ἢ γὰρ καθόλου ἀποφατική ἐστιν. ἢ μερικὴ ἀποφατικὴ ἢ μερικὴ καταφατική. εἰ δὲ μείζων ἡ καθόλου ἀποφατική, πάλιν ἡ ἐλάττων ποικίλλεται τριχῶς. ἢ γὰρ καθόλου καταφατική ἐστιν. ἢ μερικὴ καταφατική, ἢ μερικὴ ἀποφατική, ὥστε εἶναι ἓξ τὰς συζυγίας. ἀλλ᾽ οὐ πᾶσαι συντελοῦσιν εἰς τὸν περὶ τῶν ἀντικειμένων συλλογισμόν, ἀλλ᾽ αἱ τέσσαρες μόνον. οὔτε γὰρ ἐκ δύο καταφατικῶν, ἢ ἐκ δύο ἀποφατικῶν συλλογισμὸν ποιοῦσι. τῷ αὐτῷ τρόπῳ καὶ ἐν τρίτῳ σχήματι γίνονται αἱ συλλογισμοί. ὅτε ἡ ἐλάττων καταφατική. εἰ δὲ ἀποφατική, οὐ γίνεται.

ΦΑΝΕΡΟΝ δ᾽ ὅτι καὶ ἐκ ψευδῶν, ἔστιν ἀληθὲς συλλογίσασθαι. καθάπερ εἴρηται πρότερον. ἐκ δὲ τῶν ἀντικειμένων, οὐκ ἔστι. ἀεὶ γὰρ ἐναντίος ὁ συλλογισμὸς γίνεται τῷ πράγματι. οἷον εἰ ἔστιν ἀγαθὸν, μὴ εἶναι ἀγαθόν. ἢ εἰ ζῷον, μὴ ζῷον. διὰ τὸ ἐξ ἀντιφάσεως εἶναι τὸν συλλογισμόν. καὶ τοὺς ὑποκειμένους ὅρους, ἢ τοὺς αὐτοὺς εἶναι. ἢ τὸν μὲν, ὅλον. τὸν δὲ, μέρος.


Φ ανεροῦ ὄντος ὅτι ἐκ ψευδῶν ἀληθὲς ἐνδέχεται συλλογίσασθαι. μὴ νομίσῃς ὅτι, ἐξ ἀντικειμένων ἀληθὲς ἐνδέχεται συλλογίσασθαι. πῶς γὰρ δυνατὸν ὅλην τὴν ἀντίφασιν λαμβάνοντας, ἀληθῆ συμπέρασμα

ναι,

προτάσει ὑπόκειται. καὶ ἐν τῷ μιᾷ κατηγορεῖται. ὥστε οὐ δυνατὸν τοῦ αὐτοῦ τὰς ἀντικειμένας προτάσεις λαβεῖν. εἰ οὖν μὴ ἐν πρώτῳ, ἀναγκαίως ἐν δευτέρῳ καὶ τρίτῳ δειχθῆναι τοὺς συλλογισμοὺς τοὺς ἐξ ἀντικειμένων προτάσεων.

ἘΝ δὲ τῷ μέσῳ σχήματι καὶ ἐκ τῶν ἀντικειμένων, καὶ ἐκ τῶν ἐναντίων ἐνδέχεται γίνεσθαι συλλογισμόν. ἔστω γὰρ ἀγαθὸν μὲν ἐφ' οὗ α. ἐπιστήμη, ἐφ' οὗ β' καὶ γ. εἰ δὴ πᾶσαν ἐπιστήμην σπουδαίαν ἔλαβε μηδεμίαν, τὸ α τῷ β' παντὶ ὑπάρχει. καὶ τῷ γ' οὐδενί. ὥστε τὸ β' τῷ γ' οὐδενί. οὐδεμία ἄρα ἐπιστήμη, ἐπιστήμη ἐστίν.

Δείξας ὅτι ἐν πρώτῳ σχήματι οὐ δυνατὸν συνάγειν τοὺς ἐξ ἀντικειμένων προτάσεων συλλογισμούς. νῦν βούλεται δεῖξαι ὅτι ἐν δευτέρῳ συνάγεται. συνάγεται δὲ ὅτι τὸ αὐτὸ καὶ ὂν ἐστὶ καὶ μὴ ὂν οὕτως. ὡς μέσος ὅρος τὸ σπουδαῖον. ἐπιστήμη δὲ καὶ ἐπιστήμη ὡς ἰατρικὴ ἄκροι. καὶ λέγομεν οὕτως ἐν δευτέρῳ σχήματι ὅτι πᾶσα ἐπιστήμη σπουδαία ἐστί. οὐδεμία ἐπιστήμη ὡς ἰατρικὴ σπουδαία. ὥστε συνάγεται ὅτι ἰατρικὴ ἐπιστήμη, ἐπιστήμη οὐκ ἔστιν. εἰ γὰρ πᾶσα ἐπιστήμη σπουδαία. οὐδεμία δὲ ἰατρικὴ ἐπιστήμη σπουδαία. οὐδὲ ἰατρικὴ ἐπιστήμη, ἐπιστήμη ἐστίν. λάβε δὲ τὸν μέσον ὅρον πάλιν πρὸς τὴν ἰατρικὴν καὶ μείζονα οὕτως. οὐδὲν σπουδαῖον ἰατρική ἐστιν ἐπιστήμη. πᾶν σπουδαῖον ἐπιστήμη ἐστίν. ὥστε ἡ ἰατρικὴ ἐπιστήμη, ἐπιστήμη οὐκ ἔστιν. καλῶς οὖν ἐλέγομεν ἐπὶ τῶν ἐξ ἀντικειμένων προτάσεων συλλογισμῶν, ὅτι τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι συνάγεται. δῆλον δὲ τοῦτο συνήχθη διὰ τὸ εἶναι τὴν μείζω ψευδῆ τὴν λέγουσαν. οὐδὲν σπουδαῖον ἰατρική ἐστιν ἐπιστήμη. ἀλλὰ καὶ διὰ τὴν ἐλάττω τὴν λέγουσαν. πᾶν σπουδαῖον ἐπιστήμη ἐστί. δυνατὸν δὲ διὰ τούτων τῶν τρόπων καὶ τὰ θεῖα δεῖξαι μὴ θεῖα. καὶ τὴν ἡδονὴν μὴ εἶναι ἡδονήν. καὶ ὅσα ἄλλα τοιαῦτα. ἀλλ' εἰδέναι δεῖ ὅτι κρύψις οὐ γέγονεν τῶν ὅρων ἐνταῦθα, ἀλλ' εὐθέως ὁ προσδιαλεγόμενος νοεῖ, καὶ οὐ δίδωσι τοῦτο. ὅτι πᾶν σπουδαῖον ἐπιστήμη. καὶ οὐδὲν σπουδαῖον ἰατρικὴ ἐπιστήμη. ἐν δὲ τοῖς τοπικοῖς παραδίδωσι μεθόδους τῶν κρύψεων, δι' ἃς τοῦτο δοθήσεται. τόπους δὲ ἐκάλεσεν αὐτὰς τὰς μεθόδους.




ΟΜΟΙΩΣ δὲ καὶ εἰ πᾶσαν λαβὼν σπουδαίαν, τὴν ἰατρικὴν μὴ σπουδαίαν ἔλαβε. τῷ μὲν γὰρ β' παντὶ τὸ α. τῷ δὲ γ', οὐδενί.

Ὁμοίως φησίν, ἐὰν ἡ μείζων πρότασις μὴ ἀποφατική, ἀλλὰ καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική, ἵνα μόνον μεταθῶμεν τὰς προτάσεις, πάλιν δείκνυμεν τὸ αὐτό.

ὩΣΤΕ ἡ τὶς ἐπιστήμη. οὐκ ἔσται ἐπιστήμη, καὶ εἰ τὸ μὲν γ' παντὶ τὸ α. τῷ δὲ β' μηδενί. ἔστι δὲ τὸ μὲν β' ἐπιστήμη, τὸ δὲ γ' ἰατρική. τὸ δὲ α ὑπόληψις. οὐδεμίαν γὰρ ἐπιστήμην ὑπόληψιν λαβών, εἴληφέ τινα ἐπιστήμην εἶναι ὑπόληψιν.

Ἴσον ἢ ἰατρική. τὶς γὰρ ἐπιστήμη ἐστίν. καὶ εἰ τῷ μὲν γ' παντὶ τὸ α. ἐὰν ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική, τὸ αὐτὸ καὶ εἶναι καὶ μὴ εἶναι δειχθήσεται. οἷον ἡ ὑπόληψις. οὐδεμιᾷ ἐπιστήμῃ. ὑπόληψις πάσῃ ἰατρικῇ ἐπιστήμῃ. συμπέρασμα ὅτι οὐδεμιᾷ ἰατρικὴ ἐπιστήμη, ἐπιστήμη ἐστίν.



ΔΙΑφέρει δὲ τοῦ πάλαι, τῷ ἐπὶ τῶν ὅρων ἀντιστρέφεσθαι. πρότερον μὲν γὰρ πρὸς τῷ β. νῦν δὲ πρὸς τῷ γ', τὸ καταφατικόν.

Διαφέρει φησὶν ὁ δεύτερος τρόπος τῶν ἐξ ἀντικειμένων προτάσεων τοῦ πρώτου. ὅτι ὁ πρῶτος ἔχει τὴν ἐλάττονα ἀποφατικήν, τὴν δὲ μείζονα καταφατικήν. ὁ δὲ δεύτερος, τὸ ἀνάπαλιν.

ΚΑῚ ἐὰν ᾖ δὲ μὴ καθόλου ἡ ἑτέρα πρότασις ὡσαύτως. ἀεὶ γὰρ τὸ μέσον ἐστίν, ὃ ἀπὸ θατέρου μὲν, ἀποφατικῶς λέγεται. κατὰ θατέρου δέ, καταφατικῶς. ὥστ' ἐνδέχεται τὰ ἀντικείμενα περαίνεσθαι. νῦν λέγει περὶ τῶν ἐκ τῆς ἑτέρας μερικῆς καὶ ἀντικειμένων ἀντιφατικῶς. ἔστιν περὶ τῶν ἄμφω καθόλου καὶ ἀντικειμένων ἐναντίων προτάσεων, ἐξ ἀνάγκης γὰρ αἱ ἀντικείμεναι προτάσεις, ἢ ἐναντίαι εἰσίν, ἢ ἀντιφατικαί. οὕτω γὰρ γίνεται ἐξ ἀντικειμένων συλλογισμός. εἰ δὲ μὴ ὦσιν αἱ προτάσεις ἀντικείμεναι, οὐ γίνεται. ὥστε ἐὰν ὦσιν αἱ προτάσεις μερικαὶ καὶ καθόλου, αἱ αὐταὶ ἀποδείξεις ἔσονται.

ΠΛΗ͂Ν οὐκ ἀεί. οὐ δὲ πάντως. ἀλλ' ἐὰν οὕτως ἔχῃ τὰ ὑπὸ τὸ μέσον, ὥστ' ἢ ταὐτὰ εἶναι. ἢ ὅλον πρὸς μέρος. ἄλλως δὲ ἀδύνατον. οὐ γὰρ ἔσονται οὐδαμῶς αἱ προτάσεις, οὔτε ἐναντίαι, οὔτ' ἀντικείμεναι. περαίνεται ἐξ ἀντικειμένων τότε, ὅτε ὁ μέσος ὅρος τῷ μὲν κατηγορεῖται, τοῦ δὲ ἀπαρνεῖται ἀντικειμένως. ἄλλως δὲ οὐ γίνεται.

παντὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ α΄ οὐδενὶ τῷ β΄. οὕτω τὸ καθόλου ἀποφατικὸν δείκνυται δεικτικῶς ἐν δευτέρῳ σχήματι.

ΕἸλήφθω δὲ τὸ γ΄, τῷ μὲν α΄, μηδενί· τῷ δὲ β΄, παντί· τοῦτο δὲ τὸ μέσον σχῆμα· ὁμοίως δὲ καὶ εἰ μὴ καθόλου ἡ ἀπόδειξις. ὑπόθεσις μὲν γὰρ ἔσται παντὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν. εἰλήφθω δὲ τὸ γ΄ τῷ μὲν α΄ μηδενί· τῷ δὲ β΄ τινί. τοῦτο δὲ τὸ μέσον σχῆμα. φανερὸν οὖν ὅτι διὰ τῶν αὐτῶν ὅρων καὶ δεικτικῶς ἔστι δεικνύναι τῶν προβλημάτων ἕκαστον. καὶ διὰ τοῦ ἀδυνάτου. ὁμοίως δ᾽ ἔσται καὶ δεικτικῶν ὄντων τῶν συλλογισμῶν εἰς ἀδύνατον ἀπάγειν ἐν τοῖς εἰλημμένοις ὅροις, ὅταν ἡ ἀντικειμένη πρότασις τῷ συμπεράσματι ληφθῇ. γίνονται γὰρ οἱ αὐτοὶ συλλογισμοί, τοῖς διὰ τῆς ἀντιστροφῆς. ὥστε εὐθὺς ἔχομεν καὶ τὰ σχήματα, δι᾽ ὧν ἔσται ἕκαστον.

Ὥσπερ τὸ καθόλου ἀποφατικὸν ἐν δευτέρῳ σχήματι ἐδείχθη, οὕτω καὶ τὸ μερικόν. ἐδείκνυτο γὰρ τὸ μερικὸν ἐν τρίτῳ οὕτως. ὅτι τὸ α΄ οὐ παντὶ τῷ β΄. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί. τὸ δὲ γ΄ τινὶ τῷ β΄. οὐκοῦν τὸ α΄ τινὶ τῷ γ΄. ἦν δὲ οὐδενί. τοῦτο δὲ ψεῦδος, ἀληθὲς ἄρα τὸ οὐ παντί. εἶτα ἐν δευτέρῳ σχήματι. ὅτι τὸ γ΄ οὐδενὶ τῷ α΄. τὸ γ΄ τινὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ α΄ οὐ παντὶ τῷ β΄. οὕτω καὶ τὰ ἀποφατικὰ τοῦ τρίτου σχήματος ἐν τῷ δευτέρῳ δεικτικῶς.

ΔΗΛΟΝ οὖν ὅτι πᾶν πρόβλημα δείκνυται κατ᾽ ἀμφοτέρους τοὺς τρόπους, διά τε τοῦ ἀδυνάτου καὶ δεικτικῶς. καὶ οὐκ ἐνδέχεται χωρίζεσθαι τὸν ἕτερον τοῦ ἑτέρου.

Οὐκ εἶπεν πάντα τρόπον, ἀλλὰ πᾶν πρόβλημα ἢ καταφατικὸν ἢ ἀποφατικόν. ὅτι δείκνυται καὶ δι᾽ ἀδυνάτου καὶ ἐπ᾽ εὐθείας.

ἘΝ ποίῳ δὲ σχήματι ἔστιν ἐξ ἀντικειμένων προτάσεων συλλογίσασθαι. καὶ ἐν ποίῳ οὐκ ἔστιν, ὧδ᾽ ἔσται φανερόν. λέγω δὲ ἀντικειμένας προτάσεις εἶναι, κατὰ μὲν τὴν λέξιν, τέτταρας. οἷον τὸ παντί, τῷ οὐδενί. καὶ παντί, τῷ οὐ παντί. καὶ τὸ τινί, τῷ οὐδενί. καὶ τὸ τινὶ τῷ οὐ τινί. κατ᾽ ἀλήθειαν δὲ τρεῖς. τὸ γὰρ τινὶ τῷ οὐ τινὶ κατὰ τὴν λέξιν ἀντίκειται μόνον. τούτων δ᾽ ἐναντίας μέν, τὰς καθόλου, τὸ παντί, τῷ μηδενὶ ὑπάρχειν. οἷον τὸ πᾶσαν ἐπιστήμην εἶναι σπουδαίαν, τῷ μηδεμίαν εἶναι σπουδαίαν. τὰς δὲ ἄλλας ἀντικειμένας. ἐν μὲν οὖν τῷ α΄ σχήματι οὐκ ἔστιν ἐξ ἀντικειμένων προτάσεων συλλογισμός, οὔτε καταφατικός, οὔτε ἀποφατικός.

Βούλεται διὰ τούτων ὁ ἀριστοτέλης παραδοῦναι ἡμῖν τὸν ἐξ ἀντικειμένων τῶν προτάσεων συλλογισμόν. ἀντικείμεναι δὲ λέγονται προτάσεις ἡ πᾶς. καὶ ἡ οὐ πᾶς. τὶς καὶ οὐδείς. πᾶς καὶ οὐδείς. τὶς καὶ οὐ πᾶς. αὗται μὲν τέσσαρες ἀντιθέσεις κατὰ τὴν λέξιν. ἐν γὰρ τοῖς πράγμασιν ἄλλως οὐκ ἀντίκειται ἡ τὶς τῇ οὐ πᾶς. ὅπου γε καὶ συναληθεύει αὐτῇ, ὥστε εἰσὶ τρεῖς ἀντιθέσεις. εἰδέναι δὲ δεῖ ὅτι ὁ συλλογισμὸς ὁ ἐξ ἀντικειμένων τῶν προτάσεων συναγόμενος, τὸ αὐτὸ δείκνυσιν καὶ εἶναι καὶ μὴ εἶναι. καὶ ἐν πρώτῳ σχήματι δειχθῆναι τοῦτο οὐ δύναται. ἀλλ᾽ ἐν δευτέρῳ καὶ τρίτῳ. καὶ ἐν τῷ πρώτῳ καταφατικὸν μέν, οὐ δείκνυσι συμπέρασμα. δι᾽ ὅτι ἐξ ἀντικειμένων γίνεται. τὰ δὲ ἀντικείμενα εἰσὶ τὰ καταφατικὰ τοῖς ἀποφατικοῖς. εἰ δὲ ἐστίν, ἡ μὲν καταφατικὴ ἡ δὲ ἀποφατική, ἀποφατικὸν τὸ συμπέρασμα. διὰ ταύτην οὖν τὴν αἰτίαν καταφατικὰ συναχθῆναι οὐ δύναται ἐν τῷ πρώτῳ σχήματι. καὶ ἐν τῷ τρίτῳ ὡσαύτως. ἤθελε γὰρ τὸ καταφατικὸν ἐξ ἀμφοτέρων καταφατικῶν εἶναι. νῦν δὲ ἀντιφατικαί εἰσιν αἱ προτάσεις. ἡ μὲν καταφατικὴ ἡ δὲ ἀποφατική. οὔτε δὲ ἀποφατικὸν δύναται συναχθῆναι ἐν πρώτῳ σχήματι. οὔτε καταφατικόν. δι᾽ ὅτι τοῦ αὐτοῦ καὶ κατηγοροῦνται καὶ ἀπαρνοῦνται αἱ προτάσεις αἱ ἐξ ἀντικειμένων. ἐν δὲ τῷ πρώτῳ σχήματι τοῦ αὐτοῦ οὐχ ἔτι οἱ ὅροι κατηγοροῦνται καὶ ἀπαρνοῦνται. ἀλλ᾽ ὁ μέσος ὅρος τῷ μὲν ὑπόκειται. τοῦ δὲ κατηγορεῖται. εἰδέναι δὲ δεῖ, ὅτι ταῦτα πρὸς τὴν ἀποδεικτικὴν οὐδὲν συμβάλλεται. πάντως γὰρ ἡ μία πρότασις ψευδής ἐστι. τῆς τοῦ αὐτοῦ ἀντικειμένας προτάσεις λαμβανούσας. αἱ δὲ ἀντικείμεναι προτάσεις, ἡ μὲν ἀληθής ἐστιν, ἡ δὲ ψευδής. ὥστε αὐτὴν τῶν ἐξ ἀντικειμένων τὴν μίαν πάντως ἀληθῆ δεῖ εἶναι. τὴν δὲ μίαν ψευδῆ. ἀλλὰ συμβάλλεται ἡμῖν ταῦτα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις. ἵνα μὴ παραλογιζώμεθα ὅτι δύναται τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι. ἀκριβέστερον δὲ ἐν τοῖς τοπικοῖς τούτου τὴν μέθοδον δείκνυσι.

ΚΑΤΑφατικὸς μέν, ὅτι ἀμφοτέρας καταφατικὰς δεῖ εἶναι τὰς προτάσεις. αἱ δ᾽ ἀντικείμεναι φάσις καὶ ἀπόφασις. στερητικὸς δέ, ὅτι αἱ μὲν ἀντικείμεναι τὸ αὐτὸ τοῦ αὐτοῦ κατηγοροῦσι καὶ ἀπαρνοῦνται. τὸ δ᾽ ἐν τῷ πρώτῳ σχήματι μέσον οὐ λέγεται κατ᾽ ἀμφοῖν. ἀλλ᾽ ἐκείνου μὲν ἄλλο ἀπαρνεῖται. αὐτὸ δὲ ἄλλου κατηγορεῖται. αὗται δὲ οὐκ ἀντίκεινται.

Αὐτὸς λέγει τὴν αἰτίαν δι᾽ ἣν ἐν πρώτῳ σχήματι οὐ δύναται δειχθῆναι, οὔτε καταφατικὸν συμπέρασμα, οὔτε ἀποφατικόν. καταφατικὸν μὲν οὐ δύναται, ἐπειδὴ ἐκ δύο γίνεται καταφατικῶν. ἐνταῦθα δὲ τῶν ἐξ ἀντικειμένων συλλογισμῶν, ἡ μὲν ἦν κατάφασις, ἡ δὲ ἄλλη ἀπόφασις τῶν προτάσεων. ἀποφατικὸν δὲ συμπέρασμα ἐν πρώτῳ σχήματι οὐ συνάγεται. διατί; ὅτι ἐπειδὴ ἐνταῦθα τῶν ἐξ ἀντικειμένων συλλογισμῶν πρὸς τῷ μέσῳ ὅρῳ ἐγίνοντο αἱ ἀντιθέσεις καὶ προτάσεις, ὥστε τῶν ἄλλων ὅρων καὶ καταφατικὴν καὶ ἀποφατικὴν ποιεῖν πρότασιν. ἐν δὲ τῷ πρώτῳ σχήματι ὁ μέσος ὅρος ἐν τῇ μιᾷ

ματι ὅτι τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχει οὕτως. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενὶ τῷ β΄ τὸ α΄. τὸ δὲ β΄ παντὶ τῷ γ΄. συμπέρασμα ὅτι τὸ α΄ οὐδενὶ τῷ γ΄. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί. δείκνυται δὲ ἐν τρίτῳ δεικτικῶς οὕτως. τὸ α΄ παντὶ ἢ τινὶ τῷ γ΄. τὸ β΄ παντὶ τῷ γ΄. συμπέρασμα ὅτι τὸ α΄ τινὶ τῷ β΄.

ΠΑΛΙΝ καὶ ἐν τῷ μέσῳ σχήματι δεδείχθω τὸ α΄ παντὶ τῷ β΄ ὑπάρχον. οὐκοῦν ἡ μὲν ὑπόθεσις ἔστω, μὴ παντὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν. εἰλήφθω δὲ τὸ α΄ παντὶ τῷ γ΄. καὶ τὸ γ΄ παντὶ τῷ β΄. οὕτω γὰρ ἔσται τὸ ἀδύνατον. τοῦτο δὲ τὸ α΄ σχῆμα. εἰ τὸ α΄ παντὶ τῷ γ΄. καὶ τὸ γ΄ παντὶ τῷ β΄.

δείξας πῶς τὰ τοῦ πρώτου σχήματος δι᾽ ἀδυνάτου δεικνύμενα, δείκνυται δεικτικῶς ἐν δευτέρῳ καὶ τρίτῳ, νῦν βούλεται δεῖξαι πῶς τὰ τοῦ δευτέρου ἐν πρώτῳ δεικτικῶς δείκνυται. συνήχθη δὲ τὸ καθόλου καταφατικὸν δι᾽ ἀδυνάτου ἐν δευτέρῳ οὕτως ὅτι τὸ α΄ παντὶ τῷ β΄. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί. τὸ δὲ α΄ παντὶ τῷ γ΄. τὸ α΄ οὐ παντὶ τῷ β΄. συμπέρασμα, ὅτι τὸ γ΄ οὐ παντὶ τῷ β΄. ἀλλ᾽ ἔστω τοῦτο ψεῦδος. ἀληθὲς ἄρα τὸ παντί. τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ β΄. τὸ ἄρα α΄ παντὶ τῷ β΄. καὶ οὕτως ἐστὶ τὸ πρῶτον σχῆμα.

ΟΜΟΙΩΣ δὲ καὶ εἰ τινὶ δέδεικται ὑπάρχον. ἡ μὲν γὰρ ὑπόθεσις ἔστω μηδενὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν. εἰλήφθω δὲ τὸ α΄ παντὶ τῷ γ΄. καὶ τὸ γ΄ τινὶ τῷ β΄.

ἀλλ᾽ εἰ ἐδείχθη δι᾽ ἀδυνάτου ἐν δευτέρῳ σχήματι ὅτι τὸ α΄ τινὶ τῷ β΄. δῆλον ὅτι ἔχοι ψεῦδος, τὴν οὐδενὶ οὕτως. τὸ α΄ παντὶ τῷ γ΄. τὸ α΄ οὐδενὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ γ΄ οὐδενὶ τῷ β΄. τοῦτο δὲ ἐναργῶς ψεῦδος, ἀληθὲς ἄρα τὸ τινί. οὐκοῦν ποιοῦμεν οὕτως. τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ τινὶ τῷ β΄. τὸ ἄρα α΄ τινὶ τῷ β΄. καὶ πάλιν ἔσται τὸ πρῶτον σχῆμα.

ΕΙ δὲ στερητικὸς ὁ συλλογισμός, ἡ μὲν ὑπόθεσις τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχειν. εἰλήφθω δὲ, καὶ τὸ α΄ μηδενὶ τῷ γ΄. καὶ τὸ γ΄ παντὶ τῷ β΄ ὥστε γίνεται τὸ α΄ σχῆμα.

ἀλλ᾽ εἰ δείκνυται ὁ στερητικὸς ἐν δευτέρῳ οὕτως. λέγω ὅτι τὸ α΄ οὐδενὶ τῷ β΄. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί. τὸ δὲ α΄ οὐδενὶ τῷ γ΄. συμπέρασμα ὅτι τὸ γ΄ οὐ παντὶ τῷ β΄. εἰ δὲ τοῦτο ψεῦδος. ἔστω γὰρ παντί, ἀληθὲς τὸ παντί. τὸ α΄ οὐδενὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ β΄. τὸ α΄ οὐδενὶ τῷ β΄.

ΚΑΙ εἰ μὴ καθόλου ὁ συλλογισμός, ἀλλὰ τὸ α΄ τινὶ τῷ β΄ δέδεικται μὴ ὑπάρχειν, ὡσαύτως. ὑπόθεσις μὲν γὰρ παντὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν. εἰλήφθω δὲ τὸ α΄ μηδενὶ τῷ γ΄. καὶ τὸ γ΄ τινὶ τῷ β΄. οὕτω γὰρ τὸ πρῶτον σχῆμα.

ἐδείχθη δι᾽ ἀδυνάτου τὸ μερικὸν ἐν δευτέρῳ σχήματι οὕτως. λέγω ὅτι τὸ α΄ οὐ παντὶ τῷ β΄. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς παντί. εἶτα ληφθέντος ὅτι τὸ α΄ οὐδενὶ τῷ γ΄. τὸ α΄ παντὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ γ΄ οὐδενὶ τῷ β΄. ἔστω δὲ τινί. ἀλλὰ τοῦτο ἔστω ἐναργῶς ψεῦδος. οὐκοῦν ἀληθὲς ἄρα τὸ τινί. εἶτα ἐν πρώτῳ σχήματι δείκνυται οὕτως. ὅτι τὸ α΄ οὐδενὶ τῷ γ΄. τὸ γ΄ τινὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ α΄ οὐ παντὶ τῷ β΄. οὕτως ὁ τοῦ δευτέρου σχήματος ἐν πρώτῳ δεικνύεσθαι. δυνατὸν δὲ καὶ τὰ μερικὰ ἀποφατικὰ ἐν τρίτῳ δεῖξαι.

ΠΑΛΙΝ ἐν τῷ γ΄ σχήματι δεδείχθω τὸ α΄ παντὶ τῷ β΄ ὑπάρχειν. οὐκοῦν, ἡ μὲν ὑπόθεσις ἔστω μὴ παντὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν. εἰλήφθω δὲ τὸ γ΄ παντὶ τῷ β΄. καὶ τὸ α΄ παντὶ τῷ γ΄. οὕτω γὰρ ἔσται τὸ ἀδύνατον. τοῦτο δὲ τὸ α΄ σχῆμα. ὡσαύτως δὲ καὶ εἰ ἐπί τινος ἡ ἀπόδειξις. ἡ μὲν γὰρ ὑπόθεσις ἔσται, μηδενὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν. εἰλήφθω δὲ τὸ γ΄ τινὶ τῷ β΄. καὶ τὸ α΄ παντὶ τῷ γ΄.

πληρώσας περὶ τοῦ δευτέρου σχήματος, νῦν λέγει περὶ τοῦ τρίτου. καὶ φησὶν ὅτι, τὰ καταφατικὰ τοῦ τρίτου ἐν πρώτῳ σχήματι, δεικτικῶς δείκνυται. τὰ δὲ ἀποφατικά, ἐν δευτέρῳ οὕτως. ἐδείχθη ἐν τρίτῳ διὰ τοῦ ἀδυνάτου, τὸ καθόλου καταφατικὸν οὕτως. ὑποκείσθω ὅτι τὸ α΄ παντὶ τῷ β΄ κατὰ τὸ ἀληθές. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί. εἶτα τὸ γ΄ παντὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ α΄ οὐ παντὶ τῷ γ΄. ἀλλ᾽ ἔστω τοῦτο ψεῦδος. ἔστω γὰρ παντί, ἀληθὲς οὖν τὸ παντί. οὐκοῦν ἐν πρώτῳ σχήματι δείκνυται οὕτως. τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ α΄ παντὶ τῷ β΄. οὕτω τὸ καθόλου καταφατικόν. τὸ δὲ μερικὸν καταφατικὸν ἐδείκνυτο ἐν τρίτῳ σχήματι διὰ τοῦ ἀδυνάτου οὕτως. τὸ α΄ λέγω ὅτι τινὶ τῷ β΄. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενί. τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ γ΄ τινὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ α΄ οὐ παντὶ τῷ γ΄. ἀλλ᾽ ἔστω τοῦτο ἐναργῶς ψεῦδος. ἔστω γὰρ παντί. ὥστε ἀληθὲς τὸ τινί. οὐκοῦν γίνεται ἐν πρώτῳ σχήματι οὕτως. τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ τινὶ τῷ β΄. τὸ ἄρα α΄ τινὶ τῷ β΄. οὕτω τὰ δι᾽ ἀδυνάτου καταφατικὰ ἐν τρίτῳ δειχθέντα, δεικτικῶς ἐν πρώτῳ ἐδείχθη ὑπάρχοντα.

ΕΙ δὲ στερητικὸς ὁ συλλογισμός, ὑπόθεσις μὲν τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχειν.

εἰρηκὼς πῶς τὰ καταφατικὰ ἐν πρώτῳ δείκνυται τὰ ἐν τρίτῳ σχήματι, νῦν λέγει πῶς τὰ ἐν τρίτῳ σχήματι ἀποφατικά, δεικτικῶς δείκνυνται ἐν δευτέρῳ. δύναται δὲ καὶ ἐν πρώτῳ δειχθῆναι. ἀλλ᾽ ἐπειδὴ ἴδιον τοῦτο τοῦ δευτέρου σχήματος, διὰ τοῦτο ἐν δευτέρῳ ἀνάγεται τὸ ἀποφατικὸν τοῦ τρίτου σχήματος διὰ τοῦ ἀδυνάτου οὕτως. ὅτι τὸ α΄ οὐδενὶ τῷ β΄. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τινί. οὐκοῦν τὸ τὸ α΄ τινὶ τῷ β΄. τὸ γ΄ παντὶ τῷ β΄. συμπέρασμα ὅτι τὸ α΄ τινὶ τῷ γ΄. ἀλλὰ τοῦτο ἐναργῶς ψεῦδος. ἔστω γὰρ τινί. ἀληθὲς ἄρα τὸ οὐδενί, καὶ ποιοῦμεν λοιπὸν ἐν δευτέρῳ σχήματι οὕτως. τὸ γ΄ οὐδενὶ τῷ α΄. τὸ γ΄

δειχθήσεται διὰ τῆς ἐπ' εὐθείας δείξεως. τὰ μὲν ἀποφατικὰ ἐν δευτέρῳ, τὰ δὲ καταφατικὰ ἐν τρίτῳ. καὶ ὅτι ὅσα ἐν δευτέρῳ διὰ τοῦ ἀδυνάτου, ἐπ' εὐθείας ἐστὶ δεῖξαι. ὅτι μὲν διὰ τοῦ πρώτου, ὅτι δὲ διὰ τοῦ τρίτου. καὶ ὅσα ἐν τρίτῳ τὰ μὲν ἀποφατικὰ ἐν δευτέρῳ. τὰ δὲ καταφατικὰ ἐν πρώτῳ καὶ αὐτὸς οὕτω πάσας τὰς συζυγίας ἐξελθὼν ἔχει σαφῶς. Ἀλλ' ἡ μὲν ἐξ ὧν ὁ συλλογισμός. ἡ δὲ μίαν μὲν τούτων. Ὅτι ἡ μὲν δεικτικὴ λαμβάνει τὰς προτάσεις ἐξ ὧν ὁ συλλογισμός. ἡ δὲ διὰ τοῦ ἀδυνάτου μίαν τούτων λαμβάνει ἐξ ὧν ὁ συλλογισμός. τουτέστι μίαν ἀληθῆ. τὴν μίαν δὲ λαμβάνει τὴν ἀντίφασιν τῆς ἀληθοῦς. καὶ δείκνυσι τὸ ψεῦδος ἑπόμενον.

» ΜΙΑΝ δὲ τὴν ἀντίφασιν τοῦ συμπεράσματος. καὶ ἔνθα μὲν, οὐκ ἀνάγκη γνώριμον εἶναι τὸ συμπέρασμα, οὐδὲ προϋπολαμβάνειν ὡς ἔστιν, ἢ οὔ. ἔνθα δὲ, ἀνάγκη ὡς οὐκ ἔστι. διαφέρει δὲ οὐδὲν φάσιν, ἢ ἀπόφασιν εἶναι τὸ συμπέρασμα. ἀλλ' ὁμοίως ἔχει περὶ ἀμφοῖν.

Ἀπὸ τοῦ συμπεράσματος νῦν ποιεῖται τὴν διαφορὰν ὅτι ἐπὶ τῶν δεικτικῶν οὐκ ἀνάγκη εἰδέναι τὸ συμπέρασμα. ἐπὶ δὲ τῶν διὰ ἀδυνάτου ἀνάγκη ἤδη τοῦτο εἰδέναι. οὐ διαφέρει δὲ ἤτοι ἀποφατικὸν εἶναι ἢ καταφατικὸν τὸ δεικνύμενον ἐπ' εὐθείας. καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς.

» ἍΠΑΝ δὲ τὸ δεικτικῶς συμπεραινόμενον, καὶ διὰ τοῦ ἀδυνάτου δειχθήσεται. καὶ τὸ διὰ τοῦ ἀδυνάτου, δεικτικῶς καὶ διὰ τῶν αὐτῶν ὅρων, οὐκ ἐν τοῖς αὐτοῖς δὲ σχήμασιν. ὅταν μὲν γὰρ ὁ συλλογισμὸς ἐν τῷ πρώτῳ σχήματι γένηται, τὸ ἀληθὲς ἔσται ἢ ἐν τῷ μέσῳ ἢ ἐν τῷ ἐσχάτῳ. τὸ μὲν στερητικὸν ἐν τῷ μέσῳ. τὸ δὲ κατηγορικὸν, ἐν τῷ ἐσχάτῳ. ὅταν δὲ ἐν τῷ μέσῳ ᾖ ὁ συλλογισμὸς, τὸ ἀληθὲς, ἐν τῷ α' καὶ ἐπὶ πάντων τῶν προβλημάτων. ὅταν δὲ ἐν τῷ ἐσχάτῳ ὁ συλλογισμὸς τὸ ἀληθὲς ἐν τῷ πρώτῳ καὶ ἐν τῷ μέσῳ. τὰ μὲν καταφατικὰ ἐν τῷ α'. τὰ δὲ στερητικὰ, ἐν τῷ μέσῳ.

Ζητεῖ ἐνταῦθα ὁ ἀλέξανδρος πῶς δυνατὸν τὸ δι' ἀδυνάτου δεικνύμενον, καὶ ἐπ' εὐθείας δεικνύναι. ὁ ἕκτος τρόπος τοῦ τρίτου σχήματος. καὶ ὁ τέταρτος τοῦ δευτέρου δι' ἀδυνάτου μὲν ἐδείκνυντο. οὐ μέντοι γε δεικτικῶς. εἶτα ἐπελύσατο αὐτὸς λέγων. ὅτι ἅπαν λέγει οὐ πάντα τρόπον. ἀλλὰ ἅπαν πρόβλημα ὃ δείκνυται διὰ ἀδυνάτου. καὶ ἐπ' εὐθείας. καὶ διὰ ἀδυνάτου, ἤτοι καταφατικὸν τὸ πρόβλημα. ἤτοι ἀποφατικόν. καὶ ταῦτα ἤτοι καθόλου, ἤτοι μερικά. λοιπὸν λέγει ὅτι ὅσα ἐν πρώτῳ σχήματι ἐδείκνυντο διὰ ἀδυνάτου, δειχθήσεται καὶ δεικτικῶς ταῦτα ἐν δευτέρῳ, καὶ τρίτῳ. τὰ μὲν ἀποφατικὰ, ἐν δευτέρῳ. τὰ δὲ καταφατικὰ, ἐν τρίτῳ. ὅσα δὲ ἐν τῷ μέσῳ ἐδείκνυντο, διὰ τοῦ ἀδυνάτου δεικτικῶς δειχθήσεται. τὰ μὲν καταφατικὰ, ἐν πρώτῳ. τὰ δὲ ἀποφατικὰ, ἐν δευτέρῳ.

» ἜΣΤΩ γὰρ δεδειγμένον τὸ α' μηδενὶ ἢ μὴ παντὶ τῷ β' διὰ τοῦ α' σχήματος. οὐκοῦν ἡ μὲν ὑπόθεσις ἦν τινὶ, τῷ β' ὑπάρχειν τὸ α'. τὸ δὲ γ' ἐλαμβάνετο τῷ μὲν α' παντὶ ὑπάρχειν. τῷ δὲ β' οὐδενὶ, οὕτω γὰρ ἐγένετο συλλογισμὸς, καὶ τὸ ἀδύνατον. τοῦτο δὲ τὸ μέσον σχῆμα. εἰ τὸ γ' τῷ μὲν α' παντὶ, τῷ δὲ β' μηδενὶ ὑπάρχει.

Ἐλέγομεν ὅτι διὰ ἀδυνάτου τὸ καθόλου καταφατικὸν ἐν πρώτῳ σχήματι μὴ συνάγεται. ἀλλὰ τὸ καθόλου ἀποφατικόν. ἐδείκνυτο δὲ οὕτως. ὅτι τὸ α' οὐδενὶ τῷ β'. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί. τὸ οὖν γ' παντὶ τῷ α'. τὸ α' τινὶ τῷ β'. τὸ ἄρα γ' τινὶ τῷ β'. τοῦτο δὲ ἐναργῶς ψεῦδος. ἀληθὲς ἄρα τὸ οὐδενί. τοῦτο οὖν δειχθήσεται διὰ τοῦ δευτέρου σχήματος δεικτικῶς οὕτως. τὸ γ' οὐδενὶ τῷ β'. τὸ γ' παντὶ τῷ α'. συμπέρασμα ὅτι τὸ α' οὐδενὶ τῷ β'. αὕτη οὖν ἡ ὑπόθεσις ἡ λέγουσα τὸ α' τινὶ τῷ β' ψευδής. ἀληθὲς ἄρα ἦν ἡ οὐδενί. τὸ δὲ γ' λαμβάνει νῦν αὐτὸς ἀντὶ τοῦ μέσου ὅρου. καὶ λέγει ὅτι τὸ γ' ἐλαμβάνετο τῷ μὲν α' παντί. τῷ δὲ β' οὐδενί. ἐλαμβάνετο δὲ νῦν κατὰ ἀλήθειαν. καὶ ἐν δευτέρῳ σχήματι ἐδείκνυτο τὸ ζητούμενον οὕτω τὸ καθόλου ἀποφατικόν. ὃ δὲ δι' ἀδυνάτου ἐν πρώτῳ σχήματι συνήχθη, δεικτικῶς συνάγεται ἐν δευτέρῳ.

» ΦΑΝΕΡῸΝ ἐκ τούτων, ὅτι οὐδενὶ, τῷ β' ὑπάρχει τὸ α'. ὁμοίως δὲ καὶ εἰ μὴ παντὶ, δέδεικται ὑπάρχειν τὸ α'. ἡ μὲν γὰρ ὑπόθεσις, ἐστὶ παντὶ ὑπάρχειν. τὸ δὲ γ' ἐλαμβάνετο τῷ μὲν α' παντί. τῷ δὲ β' οὐ παντί. καὶ εἰ στερητικὸν λαμβάνοιτο τὸ γ' α', ὡσαύτως. καὶ γὰρ οὕτω γίνεται τὸ μέσον σχῆμα.

Ὁμοίως καὶ τὸ μερικὸν ἀποφατικὸν δείκνυται δεικτικῶς ἐν δευτέρῳ σχήματι οὕτως. τὸ γ' παντὶ τῷ α'. τὸ γ' οὐ παντὶ τῷ β'. συμπέρασμα ὅτι τὸ α' οὐ παντὶ τῷ β'. ἐδείκνυτο δὲ τοῦτο δι' ἀδυνάτου ἐν πρώτῳ σχήματι οὕτως. τὸ γ' παντὶ τῷ α'. τὸ α' παντὶ τῷ β'. τὸ γ' ἄρα παντὶ τῷ β'. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί. τὸ γὰρ παντὶ ἐναργῶς ἄτοπον. οὐκοῦν τὸ οὐ παντὶ ἀληθές.

» ΠΆΛΙΝ δεδείχθω τινὶ ὑπάρχον τῷ β' τὸ α'. ἡ μὲν οὖν ὑπόθεσις μηδενὶ ὑπάρχειν. τὸ δὲ β' ἐλαμβάνετο παντὶ τῷ γ' ὑπάρχειν. καὶ τὸ α' ἢ παντὶ ἢ τινὶ τῷ γ'. οὕτω γὰρ ἔσται τὸ ἀδύνατον. τοῦτο δὲ τὸ ἔσχατον σχῆμα. εἰ τὸ α' καὶ τὸ β' παντὶ τῷ γ' καὶ φανερὸν ἐκ τούτων ὅτι ἀνάγκη τὸ α' τινὶ τῷ β' ὑπάρχειν. ὁμοίως δὲ καὶ εἰ τινὶ τῷ γ' ληφθείη ὑπάρχον τὸ β', ἢ τὸ α'.

Νῦν βούλεται δεῖξαι τὸ μερικὸν καταφατικὸν ὃ συνήχθη ἐν πρώτῳ δι' ἀδυνάτου, νῦν συνάγεται ἐν τρίτῳ δεικτικῶς. ἀλλ' ἐπιστῆσαι δεῖ ὅτι εἰ μὲν ἐπὶ τοῦ δευτέρου δείκνυσι, προσλαμβάνει μείζονα πρότασιν. εἰ δὲ ἐπὶ τοῦ τρίτου, προσλαμβάνει ἐλάττονα πρότασιν. ἐδείκνυτο δὲ δι' ἀδυνάτου ἐν πρώτῳ σχή-

γουσαν τὸ α' παντὶ τῷ β'. τοῦτο δὲ ψεῦδος, ἀληθὲς ἄρα τὸ οὐ παντί. ὥστε φανερὸν ὅτι ἐν δευτέρῳ σχήματι πάντα τὰ συμπεράσματα συνάγεται.

» ὉΜΟΊΩΣ δὲ καὶ διὰ τοῦ ἐσχάτου. κείσθω γὰρ τὸ α' τινὶ τῷ β' μὴ ὑπάρχειν. τὸ δὲ γ' παντί. τὸ
» ἄρα α' τινὶ τῷ γ' οὐχ ὑπάρξει. εἰ οὖν τοῦτο ἀδύνατον, ψεῦδος τό, τινὶ μὴ ὑπάρχειν. ὥστε ἀληθές, τὸ
» παντί. ἐὰν δὲ ὑποτεθῇ μηδενὶ ὑπάρχειν, συλλογισμὸς μὲν ἔσται καὶ τὸ ἀδύνατον. οὐ δείκνυται δὲ τὸ προ
» τεθέν. ἐὰν γὰρ τὸ ἐναντίον ὑποτεθῇ, ταὐτὰ ἔσται, ἅπερ καὶ ἐπὶ τῶν πρότερον.

Π ληρώσας περὶ τοῦ δευτέρου σχήματος, νῦν λέγει περὶ τοῦ τρίτου. καὶ φησὶν ὅτι ἐν τούτῳ ὅλα συνάγε ται τὰ συμπεράσματα, ὥστε καὶ τὸ καθόλου καταφατικόν. ὑποκείσθω γὰρ ὅτι τὸ α' παντὶ τῷ β' κατὰ τὰ ἀλήθειαν. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί. εἶτα καὶ ἄλλη προσληφθείτω πρότασις ἡ λέγουσα τὸ γ' παντὶ τῷ β'. συμπέρασμα ὅτι τὸ α' οὐ παντὶ τῷ γ'. ἔστι δὲ τοῦτο ψεῦδος. τὸ ψεῦδος διατί ἠκολούθησεν. διὰ τὸ εἰπεῖν τὸ α' οὐ παντὶ τῷ β'. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί. οὕτω τὸ καθόλου καταφατικόν.

» ἈΛΛᾺ πρὸς τὸ τινὶ ὑπάρχειν, αὕτη ληπτέα ἡ ὑπόθεσις. εἰ γὰρ τὸ α' μηδενὶ τῷ β', τὸ δὲ γ' τινὶ
» τῷ β'. τὸ α' οὐ παντὶ τῷ γ'. εἰ οὖν τοῦτο ψεῦδος, ἀληθές, τὸ α' τινὶ τῷ β' ὑπάρχειν.

Φ κἂν δὲ βουλόμεθα τὸ μερικὸν καταφατικὸν δεῖξαι, ληπτέον ὅτι τὸ α' οὐδενὶ τῷ β'. τὸ δὲ γ' τινὶ τῷ β'. συμπέρασμα, ὅτι τὸ α' οὐ παντὶ τῷ γ'. ὅπερ ἔστω ἐναργῶς ψεῦδος. τὸ ψεῦδος διατί ἠκολούθησεν. διὰ τὴν ψευδῆ πρότασιν τὴν λέγουσαν τὸ α' οὐδενὶ τῷ β'. εἰ δὲ αὕτη ψευδής, ἀληθὴς ἄρα ἡ τινί. οὕτως ἡ μερικὴ καταφατική.

» ὍΤΙ δὲ οὐδενὶ τῷ β' ὑπάρχει τὸ α', ὑποκείσθω τινὶ ὑπάρχειν. εἰλήφθω δὲ καὶ τὸ γ' παντὶ τῷ
» β' ὑπάρχον. οὐκοῦν ἀνάγκη τὸ α' τινὶ τῷ γ' ὑπάρχειν. ἀλλ' οὐδενὶ ὑπῆρχεν. ὥστε ψεῦδος τό, τινὶ τῷ
» β' τὸ α' ὑπάρχειν.

Ο τε βουλόμεθα δεῖξαι τὸ καθόλου ἀποφατικόν, ληπτέον ψεῦδος τὸ μερικὸν καταφατικὸν οὕτως. τὸ α' τινὶ τῷ β'. τὸ γ' παντὶ τῷ β'. συμπέρασμα, ὅτι τὸ α' τινὶ τῷ γ'. ὅπερ ἔστω ἐναργῶς ψεῦδος. τὸ ψεῦδος οὖν διατί ἠκολούθησεν. διὰ τὴν ψευδῆ πρότασιν τὴν λέγουσαν τὸ α' τινὶ τῷ β'. εἰ δὲ ψευδὴς αὕτη ἀληθὴς ἄρα οὐδενί. ὥστε εἶναι, τὸ α' οὐδενὶ τῷ β'. οὕτω καὶ τὸ καθόλου ἀποφατικόν.

» ἘᾺΝ δὲ ὑποτεθῇ παντὶ τῷ β' ὑπάρχειν τὸ α', οὐ δείκνυται τὸ προτεθέν. ἀλλὰ πρὸς τὸ μὴ παντὶ
» ὑπάρχειν, αὕτη ληπτέα ἡ ὑπόθεσις.

Ε ἂν ὑποτεθῇ τὸ ἐναντίον, οὐ δείκνυται τὸ προκείμενον. εἰ γὰρ ὑποτεθῇ τὸ α' παντὶ τῷ β'. καὶ δειχθῇ τοῦτο ψεῦδος. οὐδὲν μᾶλλον τὸ οὐδενὶ ἀληθεύει. τοῦ παντός. ἀλλὰ μᾶλλον τὸ οὐ παντὶ ἀληθεύει. ἡμεῖς δὲ σπουδάζομεν δεῖξαι. ὅτι τὸ α' οὐδενὶ τῷ β'. πότε οὖν δεῖξαι ὅτι λάβωμεν ὅτι τὸ α' τινὶ τῷ β'. ἐπὶ τούτων γὰρ ἄτοπον ἕπεται ὑποτεθέντος.

» ΕἸ γὰρ τὸ α' παντὶ τῷ β', καὶ τὸ γ' τινὶ τῷ β', τὸ α' ὑπάρχει τινὶ τῶν γ'. τοῦτο δὲ οὐκ ἦν. ὥστε
» ψεῦδος τὸ παντὶ ὑπάρχειν. εἰ δὲ οὕτως, ἀληθὲς τὸ μὴ παντί.

Ε ἂν οὖν βουλόμεθα τὸ μερικὸν ἀποφατικὸν δεῖξαι. ληπτέον τότε ὅτι τὸ α' παντὶ τῷ β'. καὶ τὸ γ' παντὶ τῷ β'. συμπέρασμα ὅτι τὸ α' τινὶ τῷ γ' ὑπάρχει. ἔστω δὲ καὶ τοῦτο ἐναργῶς ψεῦδος. τὸ ψεῦδος διατί ἠκολούθησεν. διὰ τὴν ψευδῆ πρότασιν τὴν λέγουσαν τὸ α' παντὶ τῷ β'. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς ἄρα τὸ οὐ παντί. οὕτω καὶ τὸ μερικὸν ἀποφατικόν.

» ἘᾺΝ δὲ ὑποτεθῇ τινὶ ὑπάρχειν, ταὔτ' ἔσται ἃ καὶ ἐπὶ τῶν προειρημένων. φανερὸν οὖν ὅτι ἐν ἅπα
» σι τοῖς διὰ τοῦ ἀδυνάτου συλλογισμοῖς τὸ ἀντικείμενον ὑποθετέον.

Ε ἂν ληφθῇ τὸ τινὶ ὡς ἐναντίον, οὐ δείκνυται τὸ προκείμενον. ὡς εἴρηται ἐν τοῖς ἔμπροσθεν.

» ΔΗ͂ΛΟΝ δὲ καὶ ὅτι ἐν τῷ μέσῳ σχήματι δείκνυταί πως τὸ καταφατικόν. καὶ ἐν τῷ ἐσχάτῳ τοῦ
» καθόλου.

Κ αλῶς εἶπεν ὅτι ἐν τῷ δευτέρῳ σχήματι δείκνυται πῶς τὸ καταφατικόν. τὸ γὰρ πῶς προσέθηκεν. ἐπει δὴ οὐ προσεχῶς συνάγεται, ἀλλὰ τῇ τῶν ἄλλων ἀναιρέσει συνάγεται.

» ΔΙΑΦέρει δὲ ἡ εἰς τὸ ἀδύνατον ἀπόδειξις τῆς ἀποδεικτικῆς, τῷ τιθέναι ὃ βούλεται ἀναιρεῖν ἀπ
» άγουσα εἰς ὁμολογούμενον ψεῦδος. ἡ δὲ δεικτικὴ ἄρχεται ἐξ ὁμολογουμένων θέσεων ἀληθῶν. λαμ
» βάνουσι μὲν οὖν ἀμφότεραι δύο προτάσεις ὁμολογουμένας. ἀλλ' ἡ μὲν, ἐξ ὧν ὁ συλλογισμός. ἡ δέ, μίαν
» μὲν οὖν τούτων.

Β ούλεται διὰ τούτων ὁ ἀριστοτέλης παραδοῦναι τὴν διαφορὰν τῆς δι' ἀδυνάτου δείξεως, καὶ τῆς δει κτικῆς. καὶ φησὶν ὅτι διαφέρει κατὰ τὰς προτάσεις ὅτι ἡ ἀδύνατος ἀπαγωγὴ τίθεται τὸ ἀντιφατικῶς ἀντικείμενον, καὶ τοῦτο δείκνυσι ψεῦδος. εἶτα τῇ τούτου ἀναιρέσει ἕπεται. καὶ εἰσάγει ὃ βούλεται δεῖξαι. ἐπὶ δὲ τῆς δεικτικῆς, προηγουμένως δείκνυσι τὸν συλλογισμόν. πάλιν αἱ προτάσεις ἐπὶ τῆς δι' ἀδυνάτου ἀπαγωγῆς ἡ μία ἀληθής, ἡ δὲ μία πάντως ψευδής. ἐπὶ δὲ τῆς δεικτικῆς, ἀμφότεραι ἀληθεῖς εἶτα μετὰ ταῦτα ἐρεῖ ὡς ὅτι τὸ δεικνύμενον πρόβλημα ἐπ' εὐθείας καὶ δι' ἀδυνάτου. καὶ τὸ δι' ἀδυνάτου καὶ ἐπ' εὐθείας δείκνυται. καὶ ὅτι ὅσα διὰ τοῦ πρώτου σχήματος διὰ τοῦ ἀδυνάτου συνηγάγομεν,

» φασις, δειχθέντος ὅτι οὐχ ἡ ἀπόφασις, ἀνάγκη τὴν κατάφασιν ἀληθεύεσθαι, πάλιν δ᾽ μὴ τίθησιν ἀλη-
» θεύεσθαι τὴν κατάφασιν, εὔδοξον τὸ ἀξιῶσαι τὴν ἀπόφασιν. τὸ δ᾽ ἐναντίον οὐδετέρως ἁρμόττει ἀξ-
» ιῶσαι. οὔτε γὰρ ἀναγκαῖον, εἰ τὸ μηδενὶ ψεῦδος τὸ, παντὶ ἀληθές, οὔτε εὔδοξον. ὡς εἰ θάτερον ψεῦδος,
» ὅτι θάτερον ἀληθές. φανερὸν οὖν ὅτι ἐν τῷ α σχήματι, τὰ μὲν ἄλλα προβλήματα πάντα δείκνυται
» διὰ τοῦ ἀδυνάτου. τὸ δὲ καθόλου καταφατικὸν, οὐ δείκνυται.

Φ ανερὸν οὖν φησιν ἐκ τῶν εἰρημένων ὅτι δεικνύντας διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τὸ συμπέρασμα. τὸ ἀντιφατικῶς ἀντικείμενον ληπτέον καὶ οὐ τὸ ἐναντίον. καὶ οὕτως ἔσται εὔδοξον ἐκεῖνο τὸ ἀξίωμα τὸ, λέγον. ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν εἶναι τὴν διαιροῦσαν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἔστι δὲ ἡ ἀντίφασις ἡ διαιροῦσα ἀεὶ, καὶ οὐχὶ ἡ ἐναντίως ἀντικειμένη. τὸ γὰρ ἐναντίον οὐκ ἀξιοῦται οὔτε ἀεὶ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. οὔτε ἄτοπόν τι συνάγειν πολλάκις. διὰ τοῦτο εἶπεν οὐδετέρως.

» ΕΝ ΔΕ τῷ μέσῳ καὶ τῷ ἐσχάτῳ, καὶ τοῦτο δείκνυται. ὑποκείσθω γὰρ τὸ α μὴ παντὶ τῷ β ὑπάρ-
» χειν. εἰλήφθω δὲ τῷ γ παντὶ ὑπάρχειν τὸ α. οὐκοῦν εἰ τῷ μὲν β ὑπάρχει τὸ α μὴ παντὶ, τῷ δὲ γ παντὶ,
» οὐ παντὶ τῷ β τὸ γ. τοῦτο δὲ ἀδύνατον. ἔστω γὰρ φανερὸν, ὅτι τῷ β παντὶ ὑπάρχει τὸ γ. ὥστε ψεῦδος
» τὸ ὑποκείμενον. ἀληθὲς ἄρα τὸ παντὶ ὑπάρχειν.

Π ληρώσας τὴν ἀδυνάτου δεῖξιν ἐν πρώτῳ σχήματι, νῦν ἦλθεν δεῖξαι καὶ ἐν δευτέρῳ καὶ τρίτῳ. καὶ φησὶν ὅτι πάντα τὰ συμπεράσματα συνάγεται διὰ τῆς εἰς τὸ ἄτοπον ἀποδείξεως ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι. ἀλλ᾽ εἰδέναι δεῖ ὅτι οὐ προσεχῶς οὐδὲ πρώτως συνάγεται ἢ τὰ καθόλου καταφατικὰ ἐν δευτέρῳ σχήματι. ἢ τὰ καθόλου ἐν τρίτῳ σχήματι, ἀλλὰ συνάγεται τῇ τῶν ἄλλων ἀναιρέσει ὑποκείσθω. ὑποκείσθω οὖν ἐν δευτέρῳ σχήματι δεῖξαι τὸ καθόλου καταφατικόν. οἷον ὅτι τὸ α παντὶ ὑπάρχει τῷ β. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί. καὶ προσληφθήτω ἄλλη πρότασις ἀληθὴς ἡ λέγουσα. τὸ α παντὶ τῷ γ. συμπέρασμα ὅτι τὸ γ οὐ παντὶ τῷ β. ὅπερ ἔστω ἐναργῶς ψεῦδος. τὸ ψεῦδος διὰ τί ἠκολούθησεν. οὐ διὰ τὴν ἀληθῆ πρότασιν. ἀλλὰ διὰ τὴν ψευδῆ τὴν λέγουσαν. τὸ α οὐ παντὶ τῷ β. ψεῦδος τοῦτο. ἀληθὲς ἄρα τὸ παντί. ἔστι τὸ καθόλου καταφατικόν. φησὶ δὲ ὅτι εἰ λάβωμεν πάλιν τὴν ἀδύνατον δεῖξιν ὡς ἐπὶ τοῦ ἐναντίου, οὐ δείκνυται τὸ ἐναντίον. εἰ γὰρ λάβωμεν τὸ α τῷ β παντί. εἰ δὲ μὴ ὑποκείσθω οὐδενί. εἶτα εἰ τοῦτο δειχθῇ ἄτοπον. ἀτόπου δὲ ὄντος, οὐδὲν μᾶλλον τὸ παντὶ τοῦ τινὶ λαμβάνομεν. ἀλλὰ μᾶλλον τὸ τινί. ὥστε οὐ τὸ ἐναντίον ληπτέον. ἀλλὰ τὸ ἀντιφατικῶς ἀντικείμενον.

» ΕΑΝ δὲ τὸ ἐναντίον ὑποτεθῇ, συλλογισμὸς μὲν ἔσται, καὶ τὸ ἀδύνατον. οὐ μὴν δείκνυται τὸ προ-
» τεθέν. εἰ γὰρ τὸ α μηδενὶ, τῷ β, τὸ δὲ γ παντὶ, οὐδενὶ τῷ β τὸ γ. τοῦτο δὲ ἀδύνατον. ὥστε ψεῦδος τὸ μη-
» δενὶ ὑπάρχειν. ἀλλ᾽ οὐχὶ εἰ τοῦτο ψεῦδος, τὸ παντὶ ἀληθές.

Ο τι φησὶν εἰ τὸ ἐναντίον ληφθῇ ἐπὶ τῆς δι᾽ ἀδυνάτου δείξεως. καὶ μὴ τὸ ἀντιφατικῶς ἀντικείμενον. γίνεται συλλογισμός. ἀλλ᾽ οὐκέτι συνάγεται τὸ προκείμενον ἀληθὲς, τουτέστι τὸ παντί. εἰ γὰρ λάβωμεν, τὸ μηδενὶ ὡς ψεῦδος, οὐκέτι τοῦ μηδενὶ ψευδοῦς ὄντος. ἀληθὲς τὸ παντί. ἀλλὰ τὸ τινί.

» ΟΤΙ δὲ τινὶ τῷ β ὑπάρχει τὸ α. ὑποκείσθω τὸ α μηδενὶ τῷ β ὑπάρχειν. τῷ δὲ γ παντὶ ὑπαρχέ-
» τω. ἀνάγκη οὖν τὸ γ μηδενὶ τῷ β. ὥστ᾽ εἰ τοῦτο ἀδύνατον, ἀνάγκη τὸ α τινὶ τῷ β ὑπάρχειν. ἐὰν δὲ ὑπο-
» τεθῇ τινὶ μὴ ὑπάρχειν, ταῦτα ἔσται, ἅπερ καὶ ἐπὶ τοῦ πρώτου σχήματος.

Ε δειξε πῶς συνάγεται ἐν δευτέρῳ σχήματι τὸ καταφατικὸν καθόλου, νῦν βούλεται δεῖξαι πῶς συνάγεται τὸ μερικὸν καταφατικόν. ὑποκείσθω οὖν ὅτι τὸ α τινὶ τῷ β ὑπάρχει. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενί. καὶ προσληφθήτω ἄλλη ἀληθὴς ἡ λέγουσα τὸ α παντὶ τῷ γ. συμπέρασμα ὅτι τὸ γ οὐδενὶ τῷ β. ἔστω δὲ τοῦτο ἐναργῶς ψεῦδος. τὸ ψεῦδος ἠκολούθησεν, οὐ διὰ τὴν ἀληθῆ πρότασιν. ἀλλὰ διὰ τὴν ψευδῆ τὴν λέγουσαν, τὸ α οὐδενὶ τῷ β. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς ἄρα ὅτι τὸ α τινὶ τῷ β. ἐὰν δὲ ὑποτεθῇ τὸ παντί. οὔτε ἐκεῖ τὸ ἐναντίον ληφθὲν οὐ δείκνυται τὸ ζητούμενον.

» ΠΑΛΙΝ ὑποκείσθω τὸ α τινὶ τῷ β ὑπάρχειν. τῷ δὲ γ, μηδενὶ ὑπαρχέτω. ἀνάγκη οὖν τὸ γ τῷ
» β μὴ ὑπάρχειν. ἀλλὰ παντὶ ὑπῆρχεν. ὥστε ψεῦδος τὸ ὑποτεθέν. οὐδενὶ ἄρα τῷ β τὸ α ὑπάρξει. ὅτι δὲ
» οὐ παντὶ τῷ β τὸ α, ὑποκείσθω παντὶ ὑπάρχειν. τῷ δὲ γ μηδενί. ἀνάγκη οὖν τὸ γ μηδενὶ τῷ β ὑπάρ-
» χειν. τοῦτο δὲ ἀδύνατον. ὥστ᾽ ἀληθὲς τὸ μὴ παντὶ ὑπάρχειν.

Ε ἰ βουλόμεθα δεῖξαι ὅτι τὸ α οὐδενὶ τῷ β. ληφθήτω ὅτι τινί. ἔστω ἀληθὴς πρότασις ἡ λέγουσα τὸ α οὐδενὶ τῷ γ. συμπέρασμα ὅτι τὸ γ οὐ παντὶ τῷ β. ὅπερ ἐστὶ τοῦτο ἐναργῶς ψεῦδος. ἠκολούθησε διὰ τὸ λαβεῖν ἡμᾶς τὴν ψευδῆ τὴν λέγουσαν τὸ α τινὶ τῷ β. ἀληθὲς ἄρα ὅτι τὸ α οὐδενὶ τῷ β. ὅτι δὲ οὐ παντὶ τῷ β τὸ α. περὶ τοῦ μερικοῦ ἀποφατικοῦ νῦν λέγει πῶς συνάγεται.

» ΦΑΝΕΡΟΝ οὖν ὅτι πάντες οἱ συλλογισμοὶ γίνονται διὰ τοῦ μέσου σχήματος.

Ε ἰ βουλόμεθα δεῖξαι ὅτι τὸ μερικὸν ἀποφατικὸν ὅτι τὸ α οὐ παντὶ τῷ β. ληφθήτω ὅτι παντί. εἶτα καὶ ἡ μείζων πρότασις ὡς ἀληθής. ὅτι τὸ α οὐδενὶ τῷ γ. συμπέρασμα ὅτι τὸ γ οὐδενὶ τῷ β. ὅπερ ἐστὶν ἐναργῶς ψεῦδος. τὸ ψεῦδος διὰ τί ἠκολούθησεν. δῆλον ὅτι οὐ διὰ τὴν ἀληθῆ, ἀλλὰ διὰ τὴν ψευδῆ τὴν λέ-

συλλογισμὸς, ὅτι ἡ μείζων μερικὴ ἐγένετο.

ΦΑΝΕΡΟΝ οὖν ὅτι τὸ ἀντικείμενον ὑποθετέον.

Εἰ γὰρ συμπέρασμα συνήχθη οὐδενὶ ἢ οὐ παντὶ διὰ τὸ ὑποκεῖσθαι τὸ α' οὐδενὶ τῷ β'. ψεῦδος δὲ ἐστὶ τὸ συμπέρασμα· διατί; διὰ τὸ τὴν μείζω ψευδῆ εἶναι· ἀνάγκη ἄρα τὸ ἀντικείμενον ἀληθὲς τὸ τινί. ὅτι τὸ α' τινὶ τῷ γ'. ἀλλ' εἰ τοῦτο ἀληθὲς, ἀνάγκη τὴν μείζω πρότασιν τὴν α' β' παντὶ ὑπάρχειν. τὴν δὲ β' γ' τινὶ ὑπάρχειν. οὕτω διὰ τοῦ ἀτόπου ἐδείχθη ἐν πρώτῳ σχήματι τὸ μερικὸν καταφατικόν.

ΠΑΛΙΝ ὑποκείσθω τὸ α' τινὶ τῷ β' ὑπάρχειν. εἰλήφθω δὲ τὸ γ' παντὶ τῷ α'. ἀνάγκη οὖν τὸ γ', τινὶ τῷ β' ὑπάρχειν. τοῦτο δὲ ἔστω ἀδύνατον. ὥστε ψεῦδος τὸ ὑποτεθέν. εἰ δὲ οὕτως, ἀληθὲς τὸ μηδενὶ ὑπάρχειν. ὁμοίως δὲ καὶ εἰ στερητικὸν ληφθῇ τὸ γ' α'. εἰ δ' ἡ πρὸς τῷ β' ἐλήφθη πρότασις, οὐκ ἔσται συλλογισμός. ἐὰν δὲ τὸ ἐναντίον ὑποτεθῇ, συλλογισμὸς μὲν ἔσται καὶ τὸ ἀδύνατον. οὐ δείκνυται δὲ τὸ προτεθέν.

Νῦν διὰ ταύτης τῆς ὑποθέσεως βούλεται δεῖξαι ἄτοπον ἑπόμενον. ἅτε διὰ τοῦ ἀτόπου ἐκείνου δείκνυσι τὸ οὐδενὶ συναγόμενον οὕτως. τὸ γ' παντὶ τῷ α'. τὸ α' τινὶ τῷ β'. τὸ γ' ἄρα τινὶ τῷ β'. ἀδύνατον καὶ ψεῦδος διατί συνήχθη, διὰ τὸ ληφθῆναι παντὶ τὴν μείζω. εἰ τοῦτο οὖν ψεῦδος, ἀληθὲς τὸ οὐδενί. ὁμοίως καὶ εἰ ἡ α' γ' ληφθῇ ὅτι οὐδενὶ ὑπάρχει, δειχθήσεται τὸ ἄτοπον. καὶ συναχθήσεται ὡς ἐδείξαμεν τὸ πρῶτον. ὅτι τινὶ ὑπάρχει. εἰ δὲ λάβῃς μὴ πρὸς τῷ α' τὴν ἄλλην πρότασιν. ἀλλὰ πρὸς τὸ β', οὐ γίνεται συλλογισμός, διὰ τὸ γενέσθαι τὴν μείζω μερικήν.

ΥΠΟΚΕΙΣΘΩ γὰρ παντὶ τῷ β' τὸ α' ὑπάρχειν. καὶ τὸ γ' τῷ α' εἰλήφθω παντί. οὐκοῦν ἀνάγκη τὸ γ' παντὶ τῷ β' ὑπάρχειν. τοῦτο δὲ ἀδύνατον. ὥστε ψεῦδος τὸ παντὶ τῷ β' τὸ α' ὑπάρχειν. ἀλλ' οὔπω ἤδη ἀναγκαῖον, εἰ μὴ παντὶ, μηδενὶ ὑπάρχειν.

Βούλεται δεῖξαι διὰ τούτων. ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον εἰ ληφθῇ, δείκνυται τὸ ἄτοπον. εἰ δὲ τὸ ἐναντίον, οὐ δείκνυται ἄτοπόν τι ὑπάρχον. οἷον, εἰ τὸ α' παντὶ τῷ β', καὶ τὸ γ' παντὶ τῷ α'. συμπέρασμα ὅτι τὸ γ' παντὶ τῷ β' ὑπάρχει. εἰ δὲ τοῦτο ὑποτεθὲν ψεῦδος, οὐ πάντως ἀληθὲς τὸ ἀντικείμενον τούτῳ εἰς τὸ ἀδύνατον ἀπάγοντας, ἐροῦμεν. φανερὸν οὖν ὅτι τοῖς διὰ τοῦ ἀδυνάτου ἀπάγοντας τὸ ἀντιφατικῶς ἀντικείμενον ληπτέον. καὶ οὐ τὸ ἐναντίον.

ὉΜΟΙΩΣ δὲ κἂν εἰ πρὸς τὸ β' ἐλήφθη ἡ ἑτέρα πρότασις. συλλογισμὸς μὲν γὰρ ἔσται καὶ τὸ ἀδύνατον. οὐκ ἀναιρεῖται δὲ, ἡ ὑπόθεσις. ὥστε τὸ ἀντικείμενον ὑποθετέον. πρὸς δὲ τὸ μὴ παντὶ δεῖξαι ὑπάρχον τῷ β' τὸ α, ὑποθετέον παντὶ ὑπάρχειν. εἰ γὰρ τὸ α' παντὶ τῷ β'. καὶ τὸ γ' παντὶ τῷ α', τὸ γ' παντὶ τῷ β'. ὥστ' εἰ τοῦτο ἀδύνατον, ψεῦδος τὸ ὑποτεθέν. ὁμοίως δὲ καὶ εἰ πρὸς τῷ β' ληφθῇ ἡ ἑτέρα πρότασις. καὶ εἰ στερητικὸν ἦν τὸ γ' α', ὡσαύτως. καὶ γὰρ οὕτω γίνεται συλλογισμός.

Βὰν λοιπὸν βουληθῶμεν δεῖξαι τὸ μερικὸν ἀποφατικὸν διὰ τοῦ ἀδυνάτου ὀφείλομεν ὑποθέσθαι τὸ ἀντικείμενον ἀντιφατικῶς τὸ παντί. καὶ οὕτως ἕπεται ἄτοπον. καὶ ἐπάγεται τὸ οὐ παντί. οἷον τὸ γ' παντὶ τῷ α'. καὶ τὸ α' παντὶ τῷ β'. συμπέρασμα ὅτι τὸ γ' παντὶ τῷ β'. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς ἄρα τὸ οὐ παντί. ὁμοίως καὶ εἰ τὸ α' γ' ᾖ στερητικόν. καὶ γὰρ οὕτω γίνεται συλλογισμὸς τοῦ τινὶ μὴ ὑπάρχειν ὑγιῶς.

ἘἊΝ δὲ πρὸς τῷ β' ᾖ τὸ στερητικὸν, οὐδὲν δείκνυται. ἐὰν δὲ μὴ τὸ παντὶ ἀλλὰ τὸ τινὶ ὑπάρχειν ὑποτεθῇ, οὐ δείκνυται ὅτι οὐ παντί. ἀλλ' ὅτι οὐδενί.

Ἐὰν φησὶ πρὸς τῷ μείζονι ἄκρῳ ᾖ τὸ στερητικόν. ποιεῖ συλλογισμὸν μερικὸν ἀποφατικόν. ἐὰν δὲ πρὸς τῷ ἐλάττονι, οὐ ποιεῖ. διὰ τὸ ἀποφατικὴν εἶναι τὴν ἐλάττω πρότασιν ἐν πρώτῳ σχήματι.

ΕΙ γὰρ τὸ α' τῷ β' τινὶ, τὸ δὲ γ' παντὶ τῷ α', τινὶ τῷ β' τὸ γ' ὑπάρξει. εἰ οὖν τοῦτο ἀδύνατον, ψεῦδος τὸ τινὶ ὑπάρχειν τῷ β' τὸ α'. ὥστ' ἀληθὲς τὸ μηδενί. τούτου δὲ δειχθέντος, προσαναιρεῖται τὸ ἀληθές. τὸ γὰρ α', τῷ β' τινὶ μὲν ὑπῆρχε, τινὶ δὲ οὐχ ὑπῆρχεν.

Ὥστε ὑποτεθὲν ὅτι τὸ γ' τινὶ τῷ β' ὑπάρχει. τοῦτο δὲ ψεῦδος ὂν, ἕπεται τὸ οὐδενὶ, οὕτω καὶ τὸ οὐδενὶ ὑποτεθὲν ψεῦδος, ἕπεται τὸ τινί.

ἜΤΙ δὲ οὐ παρὰ τὴν ὑπόθεσιν συμβαίνει τὸ ἀδύνατον. ψεῦδος γὰρ ἂν ἦν, ἐπεὶ ἐξ ἀληθῶν μὴ ἔστι ψεῦδος συλλογίσασθαι. νῦν δὲ ἔστιν ἀληθές. ὑπάρχει γὰρ τὸ α' τινὶ τῷ β'. ὥστ' οὐχ ὑποθετέον τὸ τινὶ ὑπάρχειν, ἀλλὰ τὸ παντί. ὁμοίως δὲ καὶ εἰ τινὶ μὴ ὑπάρχον τῷ β' τὸ α' δεικνύοιμεν. εἰ γὰρ ταὐτὸ τὸ τινὶ μὴ ὑπάρχειν, καὶ μὴ παντὶ ὑπάρχειν, ἡ αὐτὴ ἀμφοῖν ἀπόδειξις.

Βούλεται διὰ τούτου δεῖξαι, ὅτι ἐπὶ τοῦ τετάρτου τρόπου τοῦ πρώτου σχήματος εἰ ὑποτεθῇ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς τὸ ἐναντίον, οὐδὲν ἄτοπον ἕπεται. οἷον τὸ γ' οὐ παντὶ τῷ β'. εἰ γὰρ μὴ ἐνδέχεται τὸ τινί. τὸ δὲ τινὶ τῷ οὐ παντὶ οὐ μάχεται. ὥστε ὀφείλομεν τὸ ἀντιφατικῶς ἀντικείμενον λαμβάνειν, τὸ παντί. ἵνα τοῦτο δείξομεν ἄτοπον. καὶ μὴ τὸ τινὶ ὑπάρχειν.

ΦΑΝΕΡῸΝ οὖν ὅτι οὐ τὸ ἐναντίον, ἀλλὰ τὸ ἀντικείμενον ὑποθετέον ἐν ἅπασι τοῖς συλλογισμοῖς. οὕτω γὰρ, τό, τε ἀναγκαῖον ἔσται, καὶ τὸ ἀξίωμα ἔνδοξον. εἰ γὰρ, κατὰ παντὸς ἡ κατάφασις ἢ ἀπό-

imo διὰ τὸ ληφθῆναι καθολικὴν τὴν ἐλάττω. neque enim sequeretur ψεῦδος τὸ παντί: igitur ἀληθὲς τὸ οὐδενί.

διὰ

ΟΙ'ΟΝ, εἰ τὸ α΄ παντὶ τῷ β΄ ὑπάρχει, μέσον δὲ τὸ γ΄, ἐὰν ὑποτεθῇ τὸ α΄ μὴ παντὶ ἢ μηδενὶ τῷ β΄ ὑπάρχειν· τῷ δέ γε γ΄ παντί, ὅπερ ἦν ἀληθές, ἀνάγκη τὸ γ΄ τῷ β΄ ἢ μηδενὶ ἢ μὴ παντὶ ὑπάρχειν. τοῦτο δὲ ἀδύνατον· ὥστε ψεῦδος τὸ ὑποτεθέν. ἀληθὲς ἄρα τὸ ἀντικείμενον.

Βούλεται τὸ λεχθὲν διὰ παραδείγματος δεῖξαι. ὅτι τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ β΄. συμπέρασμα τὸ α΄ παντὶ τῷ β΄. εἰ δέ τις τοῦτο ἐρεῖ ψεῦδος, ἐξ ἀνάγκης συγχωρεῖ ἢ τὸ ἐναντίον ἀληθὲς εἶναι, ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον. οὐκοῦν εἰ οὐ συγχωρεῖ τῷ β΄ τὸ α΄ ὑπάρχειν, ἢ οὐδενὶ ὑπάρχει, ἢ οὐ παντί. οὐκοῦν ἐν δευτέρῳ δείκνυται σχήματι τὸ ἄτοπον οὕτως. τὸ α΄ τῷ μὲν β΄ ἢ μηδενί, ἢ οὐ παντί. τὸ α΄ παντὶ τῷ γ΄. συμπέρασμα ὅτι τῷ γ΄ ἢ οὐδενὶ τὸ β΄. ἢ οὐ παντί. εἰ δὲ τοῦτο ἄτοπον τὸ συναχθῆναι τῷ γ΄ τὸ β΄, ἢ οὐδενὶ ἢ οὐ παντί ψεῦδος τοῦτο, ἀληθὲς ἄρα τὸ παντὶ ὅπερ πρότερον εἰρήκαμεν οὕτως. ἐν β΄ σχήματι διὰ τοῦ ἕπεσθαι ἀδύνατόν τι, ἐδείχθη τὸ καθόλου καταφατικόν. οὕτως οὖν οὐ μόνον ἐπὶ τοῦ πρώτου σχήματος ποιεῖν δυνατόν, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων.

in utroque syllogismo, suo, ex ceterorum Graecorum more, minorem priore loco ponit, posteriore maiorem.

ΟΜΟΙΩΣ δὲ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων. ὅσα γὰρ ἀντιστροφὴν δέχεται, καὶ τὸν διὰ ἀδυνάτου συλλογισμόν.

Τὸ ἀνάπαλιν ὤφειλεν εἰπεῖν ὅτι ὅσα διὰ τοῦ ἀδυνάτου δείκνυνται, καὶ τῇ ἀντιστροφῇ δείκνυνται. ὅσα δὲ διὰ τῆς ἀντιστροφῆς, οὐκέτι διὰ τοῦ ἀδυνάτου. ἐπὶ πλέον γὰρ ἡ ἀντιστροφὴ τῆς δι' ἀδυνάτου.

ΤΑ μὲν οὖν ἄλλα προβλήματα πάντα δείκνυται διὰ τοῦ ἀδυνάτου ἐν πᾶσι τοῖς σχήμασι. τὸ δὲ καθόλου κατηγορικὸν ἐν μὲν τῷ μέσῳ καὶ τῷ γ΄ δείκνυται. ἐν δὲ τῷ α΄, οὐ δείκνυται. ὑποκείσθω γὰρ τὸ α΄ τῷ β΄ μὴ παντὶ ἢ μηδενὶ ὑπάρχειν, καὶ προσειλήφθω ἄλλη πρότασις ὁποτερωθενοῦν. εἴτε τῷ α΄ παντὶ ὑπάρχειν, τὸ γ΄. εἴτε τὸ β΄ παντὶ τῷ δ΄. οὕτω γὰρ ἂν εἴη τὸ πρῶτον σχῆμα. εἰ μὲν οὖν ὑπόκειται μὴ παντὶ ὑπάρχειν τὸ α΄ τῷ β΄, οὐ γίνεται συλλογισμός.

Τὰ ἄλλα πάντα προβλήματα καὶ συμπεράσματα δείκνυνται διὰ τοῦ πρώτου σχήματος. οἷον τὸ ἀποφατικὸν τότε καθόλου καὶ τὸ μερικόν. καὶ τὸ μερικὸν καταφατικόν. τὸ δὲ καθόλου καταφατικὸν δείκνυται μὲν ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι, οὐ μέντοι ἐν πρώτῳ. καὶ ἐπὶ παραδειγμάτων ποιεῖται τὸν λόγον. ὑποκείσθω δὲ οὕτως. τὸ α΄ οὐδενὶ τῷ β΄. ἢ οὐ παντί. εἶτα προσειλήφθω ἤτοι μείζων πρότασις ἄλλη ἢ ἐλάττων. εἰ μὲν προσληφθῇ. εἰ δή ποτε μείζων ἂν ᾖ, ἀσυλλόγιστος γίνεται ἡ συζυγία. διὰ τὸ τὴν ἐλάττω εἶναι ἀποφατικὴν καθόλου. ἢ μερικὴν ἀποφατικήν. εἰ δὲ ἐλάττων προσληφθῇ πρότασις, ὥστε εἶναι τὸ β΄ παντὶ τῷ δ΄. εἰ μὲν καὶ ἡ μείζων καθόλου ἀποφατικὴ ᾖ, συνάγεται συλλογισμὸς ἀποφατικός. εἰ δὲ μερικὴ εἴη ἀποφατική, οὐ συνάγεται. διὰ τὸ τὴν μείζω μερικὴν γενέσθαι. ἐὰν οὖν προσληφθῇ τὸ β΄ παντὶ τῷ δ΄. τοῦ α΄ ὄντος οὐδενὶ τῷ β΄. ψευδὲς μὲν ἔσται τὸ συμπέρασμα ἀποφατικόν. ἀλλ' οὐ συνάγει τὸ ἀντικείμενον ἀληθὲς ὅπερ ἦν. ὑπέκειτο γὰρ παντί.

ΟΠΟΤΕΡΩΘΕΝΟΥΝ τῆς προτάσεως λαμβανομένης. εἰ δὲ μηδενί, ὅταν μὲν ἡ β΄δ΄ προσληφθῇ, συλλογισμὸς μὲν ἔσται τοῦ ψεύδους. οὐ δείκνυται δὲ τὸ προκείμενον. εἰ γὰρ τὸ α΄ μηδενὶ τῷ β΄. τὸ δὲ β΄ παντὶ τῷ δ΄. τὸ α΄ οὐδενὶ τῷ δ΄. τοῦτο δὲ ἔστω ἀδύνατον. ψεῦδος ἄρα τὸ μηδενὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν. ἀλλ' οὐχὶ εἰ τὸ μηδενὶ ψεῦδος, τὸ παντὶ ἀληθές. ἐὰν δὲ ἡ γ΄α΄ προσληφθῇ, οὐ γίνεται συλλογισμός. οὐδ' ὅταν ὑποτεθῇ μὴ παντὶ τῷ β΄ ὑπάρχειν, τὸ α΄. ὥστε φανερὸν ὅτι τὸ παντὶ ὑπάρχειν, οὐ δείκνυται ἐν τῷ πρώτῳ σχήματι διὰ τοῦ ἀδυνάτου. τὸ δὲ τινὶ καὶ τὸ μηδενὶ καὶ τὸ μὴ παντί, δείκνυνται.

Ὥσπερ οὖν εἰρήκαμεν, εἰλήφθω τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ δ΄. συμπέρασμα ὅτι τὸ α΄ οὐδενὶ τῷ δ΄. καὶ ὑποκείσθω τοῦτο ψεῦδος. τὸ δὲ ψεῦδος διατί ἠκολούθησεν. διὰ τὸ λαβεῖν ἡμᾶς τὴν μείζω ἀποφατικήν. ἀλλ' οὐ πάντως, εἰ μηδενὶ τὸ α΄ τῷ β΄ ὑπάρχει ψεῦδος, ἤδη ἀληθὲς τὸ παντί. ἀλλὰ μᾶλλον ἀληθές, τὸ ἀντιφατικῶς κείμενον. ἤπερ τὸ ἐναντίον εἰπεῖν. ὥστε τοῦ ἀτόπου ἀκολουθήσαντος τῆς πρώτης καὶ μείζονος προτάσεως, ψευδοῦς οὔσης διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς ἐν πρώτῳ σχήματι οὐ δείκνυται τὸ καθόλου καταφατικόν. τὸ δὲ καθόλου ἀποφατικὸν καὶ μερικόν. καταφατικόν τε καὶ ἀποφατικὸν δείκνυνται ἐν πρώτῳ σχήματι.

ΥΠΟΚΕΙΣΘΩ γὰρ τὸ α΄ μηδενὶ τῷ β΄ ὑπάρχειν. τὸ δὲ β΄ εἰλήφθω παντὶ ἢ τινὶ τῷ γ΄. οὐκοῦν ἀνάγκη τὸ α΄ μὴ παντὶ ἢ μηδενὶ τῷ γ΄ ὑπάρχειν. τοῦτο δ' ἀδύνατον. ἔστω γὰρ ἀληθές. καὶ φανερόν, ὅτι παντὶ ὑπάρχει τὸ α΄ τῷ γ΄. ὥστ' εἰ τοῦτο ψεῦδος, ἀνάγκη τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχειν. ἐὰν δὲ πρὸς τὸ α΄ ληφθῇ ἡ ἑτέρα πρότασις, οὐκ ἔσται συλλογισμός.

Διὰ ταύτης τῆς ὑποθέσεως βούλεται δεῖξαι τὸ μερικὸν καταφατικὸν συναγόμενον, διὰ τὸ ἄτοπον ἕπεσθαι τῇ ἄλλῃ πρώτῃ λήψει. ὑποκείσθω γὰρ ἡ πρώτη λῆψις αὕτη τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ οὐδενὶ τῷ γ΄ συμπέρασμα. εἰ μὲν τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ οὐδενὶ τῷ γ΄. εἰ δὲ τινὶ τῷ γ΄ τὸ β΄. συμπέρασμα ὅτι τὸ α΄ οὐ παντὶ τῷ γ΄. ἀλλὰ τοῦτο ἔστω ἀδύνατον. οὐκοῦν εἰ ἀδύνατον ἠκολούθησεν διὰ τὸ μὴ ὑπάρχειν τὸ α΄ τῷ β΄ παντί, ἀλλ' οὐδενί. ἀνάγκη τινὶ ὑπάρχειν.

ΟΥΔ' ὅταν τὸ ἐναντίον τῷ συμπεράσματι ὑποτεθῇ, οἷον τὸ τινὶ μὴ ὑπάρχειν.

Ἐὰν οὖν φησι λάβωμεν τῇ α΄β΄ ἄλλην πρότασιν ἀντικειμένην. οἷον τὸ γ΄ τινὶ τῷ α΄. τὸ α΄ παντὶ τῷ β΄. οὐ γίνεται

συλλογισμός,

καταφατικὴ, μερικὸν ἀποφατικὸν συνάγει συμπέρασμα. τὸ α΄ οὐ παντὶ τῷ β΄. ἐὰν οὖν μεταληφθῇ εἰς τὸ ἐναντίον τὸ τινὶ, οὔτε ἡ μείζων, οὔτε ἡ ἐλάττων πρότασις ἀνασκευασθήσεται. ἐὰν δὲ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον, ἀνασκευασθήσονται ἀμφότεραι. ἔστω γὰρ τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ τινὶ τῷ γ΄. τὸ ἄρα α΄ τινὶ τῷ γ΄. ἡ δὲ τὴν ἐλάττω οὕτω. τὸ α΄ παντὶ τῷ β΄. τὸ α΄ οὐδενὶ τῷ γ΄, τὸ β΄ οὐδενὶ τῷ γ΄. ὥστε παραφυλακτέον. ὅτι ἡ ἐλάττων καὶ ἡ μείζων εἰς τὸ ἀντιφατικὸν ἀντιστρέφουσιν. ὅταν ᾖ ἡ μὲν καθόλου, ἡ δὲ ἐν μέρει.

» ΠΑ΄ΛΙΝ εἰ τὸ α΄ παντὶ τῷ β΄. τῷ δὲ γ΄ μηδενὶ, τὸ β΄ οὐδενὶ τῷ γ΄, εἰ δὲ τὸ α΄ τινὶ τῷ β΄, καὶ τὸ β΄ τινὶ
» τῷ γ΄ οὐ γίνεται συλλογισμος, οὐδ᾽ εἰ τὸ α΄ τινὶ τῷ β΄, τῷ δὲ γ΄ μηδενὶ, οὐδ᾽ οὕτως. ὥστε ἐκείνως μὲν,
» ἀναιροῦνται, οὕτω δ᾽ οὐκ ἀναιροῦνται αἱ προτάσεις.

Ἐὰν δὲ ᾖ ἡ μείζων μερικὴ ἀποφατικὴ, ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ, δείκνυμεν οὕτως. τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ παντὶ τῷ γ΄. εἰ δὲ τὴν ἐλάττω, οὕτως. τὸ α΄ παντὶ τῷ β΄. τὸ α΄ οὐ παντὶ τῷ γ΄. τὸ β΄ οὐ παντὶ τῷ γ΄.

» ΦΑΝΕΡΟ΄Ν οὖν διὰ τῶν εἰρημένων, πῶς ἀντιστρεφομένου τοῦ συμπεράσματος ἐν ἑκάστῳ σχήμα-
» τι γίνεται συλλογισμός. καὶ πότε ἐναντίως τῇ προτάσει, καὶ πότε ἀντικειμένως.

Σύντομον ἐπανάληψιν ποιεῖται τῶν εἰρημένων διὰ τῶν τριῶν σχημάτων. καὶ φησὶν ὅτι φανερὸν πότε ἀνασκευάζονται αἱ προτάσεις. ἤτοι εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον μεταληφθὲν τὸ συμπέρασμα. ἤτοι εἰς τὸ ἐναντίον. καὶ πότε οὐκ ἀνασκευάζεται.

» ΚΑΙ` ὅτι ἐν μὲν τῷ πρώτῳ σχήματι, διὰ τοῦ μέσου καὶ τοῦ ἐσχάτου, γίνονται οἱ συλλογισμοί. καὶ
» ἡ μὲν πρὸς τῷ ἐλάττονι ἄκρῳ, ἀεὶ διὰ τοῦ μέσου ἀναιρεῖται. ἡ δὲ πρὸς τῷ μείζονι, διὰ τοῦ ἐσχάτου. ἐν
» δὲ τῷ β΄ σχήματι, διὰ τοῦ α΄ καὶ διὰ τοῦ ἐσχάτου. καὶ ἡ μὲν πρὸς τῷ ἐλάττονι ἄκρῳ, ἀεὶ διὰ τοῦ α΄ σχή-
» ματος. ἡ δὲ πρὸς τῷ μείζονι, διὰ τοῦ ἐσχάτου. ἐν δὲ τῷ γ΄. διὰ τοῦ α΄. καὶ τοῦ μέσου. καὶ ἡ μὲν πρὸς τῷ
» ἐλάττονι ἄκρῳ ἀεὶ διὰ τοῦ πρώτου καὶ τοῦ μέσου. καὶ ἡ μὲν πρὸς τῷ μείζονι, ἀεὶ διὰ τοῦ πρώτου. ἡ δὲ
» πρὸς τῷ ἐλάττονι, ἀεὶ διὰ τοῦ μέσου. τί μὲν οὖν ἐστι τὸ ἀντιστρέφειν, καὶ πῶς ἐν ἑκάστῳ σχήματι, καὶ τίς
» γίνεται συλλογισμὸς, φανερόν.

Κατὰ κοινοῦ τὸ φανερὸν, ὅτι αἱ προτάσεις ἐν πρώτῳ σχήματι. ἡ μὲν μείζων δείκνυνται διὰ τοῦ ἐσχάτου. ἡ δὲ ἐλάττων διὰ τοῦ δευτέρου. ἐν δὲ τῷ δευτέρῳ σχήματι. ἡ μὲν μείζων πρότασις διὰ τοῦ τρίτου. ἡ δὲ ἐλάττων διὰ τοῦ α΄. ἐν δὲ τῷ τρίτῳ σχήματι. ἡ μὲν μείζων διὰ τοῦ α΄, ἡ δὲ ἐλάττων διὰ τοῦ δευτέρου σχήματος ἀνασκευάζονται.

» Ο΄ ΔΕ` διὰ τοῦ ἀδυνάτου συλλογισμὸς, δείκνυται μὲν ὅταν ἡ ἀντίφασις τεθῇ τοῦ συμπεράσματος,
» καὶ προσληφθῇ ἄλλη πρότασις γίνεται δ᾽ ἐν ἅπασι τοῖς σχήμασι.

Πληρώσας περὶ τῆς ἐν συλλογισμῷ ἀντιστροφῆς, νῦν περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς λέγει. καὶ τί διαφέρει ἡ ἐν συλλογισμῷ ἀντιστροφὴ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. διαφέρει οὖν τούτῳ ὅτι ἐπὶ τῆς ἀντιστροφῆς δεῖ πρῶτον συλλογισμὸν γενέσθαι, εἶθ᾽ οὕτως ἀντιστρέφειν. ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. καὶ ἄνευ τοῦ γενέσθαι συλλογισμὸν, δυνατὸν δεῖξαι τὸ ἄτοπον ἑπόμενον. ἔτι διαφέρει. ὅτι ἐπὶ τῆς ἀντιστροφῆς δυνατὸν καὶ εἰς τὸ ἐναντίον καὶ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστρέψαι. ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οὐκέτι. εἰ μὴ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον μόνον. ἐπεὶ εἰ τὸ ἐναντίον ληφθείη. ἢ οὐ δείκνυσι συλλογιστικὴν συζυγίαν. ἢ εἰ γίνεται συλλογιστικὴ, οὐδὲν ἄτοπον ἕπεται. ἔτι διαφέρει. ὅτι ἐπὶ τῆς ἐν συλλογισμῷ ἀντιστροφῆς, δείκνυται τῆς μιᾶς προτάσεως. ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον, ἢ τὸ ἐναντίον. ἐπὶ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἐπὶ τῆς μιᾶς προτάσεως μόνον ἀντιφατικῶς προηγουμένης, ἄτοπον ἑπόμενον δείκνυται. Ταῦτα μὲν διαφέρει ἡ ἐν συλλογισμῷ ἀντιστροφὴ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὥσπερ δὲ ἡ ἀντιστροφὴ ἐπὶ τῶν τριῶν σχημάτων ἐδείκνυτο ὅτι δυνατὸν γενέσθαι. οὕτω καὶ ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγὴ ἐπὶ τῶν τριῶν σχημάτων ἔσται. δείξει δὲ καὶ τοῦτο. ὅτι διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τὸ καθόλου καταφατικὸν ἐν πρώτῳ σχήματι δειχθῆναι οὐ δυνατόν. ἀλλ᾽ ἐν δευτέρῳ καὶ τρίτῳ. ἐν δὲ τῷ πρώτῳ σχήματι δείκνυσι τὰς ἄλλας τρεῖς συλλογιστικὰς συζυγίας. λέγει δὲ πρῶτον πῶς γίνεται ἡ εἰς ἀδύνατον ἀπαγωγὴ, ὅτι λαμβάνομεν τὸ ἐξ ἀρχῆς τὸ συμπέρασμα. καὶ τούτῳ ἀντιφατικῶς ἀντικείμενον. καὶ μίαν πρότασιν ἀληθῆ. καὶ δείκνυμεν ἑπόμενον τῇ ἑτέρᾳ προτάσει ἄτοπόν τι καὶ ἀδύνατον.

» Ο῞ΜΟΙΟΝ γάρ ἐστι τῇ ἀντιστροφῇ. πλὴν διαφέρει τοσοῦτον. ὅτι ἀντιστρέφεται μὲν γεγενημέ-
» νου τοῦ συλλογισμοῦ. καὶ εἰλημμένων ἀμφοῖν τῶν προτάσεων. ἀπάγεται δὲ εἰς τὸ ἀδύνατον, οὐ προσο-
» μολογηθέντος τοῦ ἀντικειμένου πρότερον, ἀλλὰ φανεροῦ ὄντος ὅτι ἀληθές. οἱ δὲ ὅροι ὁμοίως ἔχουσιν
» ἐν ἀμφοῖν. καὶ ἡ αὐτὴ λῆψις ἀμφοτέροιν.

Ὅμοιον τῇ ἀντιστροφῇ φησιν. ὅτι ὥσπερ ἡ ἀντιστροφὴ ἐν τοῖς τρισὶ σχήμασι γέγονεν, οὕτω καὶ ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγὴ ἐν τρισὶ σχήμασι γενήσεται. τούτῳ μὲν κοινωνεῖ. διαφέρει δὲ ὡς προειρήκαμεν ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγὴ τῆς ἀντιστροφῆς.

Ω ἐπεὶ ἤδη τοῦ τρίτου τρόπου ἐδείξαμεν, οὕτω καὶ ἤδη τοῦ τετάρτου τρόπου δείξομεν. τοῦ ἔχοντος τὴν μεί-
ζω καθόλου καταφατικήν.

» Ἐπὶ δὲ τοῦ τρίτου σχήματος, ὅταν μὲν ἐναντίως ἀντιστρέφηται τὸ συμπέρασμα, οὐδετέρα τῶν προ-
» τάσεων ἀναιρεῖται, κατ' οὐδένα τῶν συλλογισμῶν. ὅταν δὲ ἀντικειμένως, ἀμφότεραι καὶ ἐν ἅπασι.

Ε εἰρηκὼς περὶ τοῦ δευτέρου σχήματος, νῦν λέγει περὶ τοῦ τρίτου. καὶ φησὶν ὅτι ἐπειδὴ τὸ συμπέρασμα με-
ρικόν ἐστιν, ἐὰν τὸ ἐναντίον τοῦ συμπεράσματος ληφθῇ οὐκ ἀντιστρέφει, οὔτε ἀναιρεῖται οὐδεμία πρό-
τασις. ἐὰν δὲ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστραφῇ, ἀμφότεραι αἱ προτάσεις ἀναιροῦνται ὡς
ἤδη δείξομεν. δείκνυται δὲ ἡ μὲν μείζων πρότασις διὰ τοῦ πρώτου σχήματος. ἡ δὲ ἐλάττων διὰ τοῦ
δευτέρου.

» Δεδείχθω γὰρ τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχον. μέσον δὲ εἰλήφθω τὸ γ΄. ἔστωσαν δὲ καθόλου αἱ προτά-
» σεις. οὐκοῦν ἐὰν ληφθῇ τὸ α΄ τινὶ τῷ β΄ μὴ ὑπάρχειν. τὸ δὲ β΄ παντὶ τῷ γ΄, οὐ γίνεται συλλογισμὸς τοῦ
» α΄ κατὰ τοῦ γ΄. οὐδ' εἰ τὸ α΄ τῷ μὲν β΄ τινὶ μὴ ὑπάρχει. τῷ δὲ γ΄ παντί, οὐκ ἔσται τοῦ β΄ καὶ τοῦ γ΄ συλλογι-
» σμός. ὁμοίως δὲ δειχθήσεται καὶ εἰ μὴ καθόλου αἱ προτάσεις. ἢ γὰρ ἀμφοτέρας ἀνάγκη κατὰ μέρος
» εἶναι διὰ τῆς ἀντιστροφῆς. ἢ τὸ καθόλου πρὸς τῷ ἐλάττονι ἄκρῳ γίνεσθαι. οὕτω δὲ οὐκ ἦν συλλογι-
» σμός. οὔτ' ἐν τῷ α΄ σχήματι, οὔτ' ἐν τῷ μέσῳ.

Δ ἐκτίθεται πρῶτον ἤδη τοῦ πρώτου τρόπου τοῦ τρίτου σχήματος τὴν ἀντιστροφήν. ὅτι συνάγεται ἐκ δύο
καθόλου καταφατικῶν μερικὸν καταφατικόν. οἷον τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχει. ἐὰν οὖν ληφθῇ τὸ α΄
οὐ παντὶ τῷ β΄ ὑπάρχειν, τὸ δὲ β΄ παντὶ τῷ γ΄, οὐ δύναται γενέσθαι συλλογισμὸν ἐν πρώτῳ σχήματι
διὰ τοῦ α΄. ἡ δὲ ἐλάττων διὰ τοῦ β΄ οὕτως. τὸ α΄ οὐ παντὶ τῷ β΄. τὸ α΄ παντὶ τῷ γ΄. ἐπειδὴ ἡ μείζων μερική
ἐν δευτέρῳ σχήματι ἡ α΄ β΄, ἀσυλλόγιστος ἡ συζυγία. πάλιν ἐὰν ᾖ ἡ μία καθόλου τῶν προτάσεων, ἡ δὲ
ἐν μέρει, οὐ γίνεται συλλογισμός. διατί. ἐπειδὴ εἰ βουληθῶμεν τὴν μείζω πρότασιν δεῖξαι, γίνεται ἡ
μείζων μερική. καὶ ἔστιν ἄμφω μερικαί, καὶ ἀσυλλόγιστος ἡ συζυγία. ὁμοίως δὲ εἰ καὶ τὴν ἐλάττονα βου-
ληθῶμεν ἀποδεῖξαι, ὥστε καλῶς εἰρήκαμεν. ἐὰν εἰς τὸ ἐναντίον ἀντιστραφῇ, οὐδεμία πρότασις ἀναι-
ρεῖται. ἐν τρίτῳ σχήματι.

» Ἐὰν δὲ ἀντικειμένως ἀντιστρέφωνται αἱ προτάσεις, ἀναιροῦνται ἀμφότεραι. εἰ γὰρ τὸ α΄ μη-
» δενὶ τῷ β΄. τὸ δὲ β΄ παντὶ τῷ γ΄, τὸ α΄ οὐδενὶ τῷ γ΄. πάλιν εἰ τὸ α΄ τῷ μὲν β΄ οὐδενί, τῷ δὲ γ΄ παντί, τὸ
» β΄ οὐδενὶ τῷ γ΄. καὶ εἰ ἑτέρα μὴ καθόλου, ὡσαύτως. εἰ γὰρ τὸ α΄ μηδενὶ τῷ β΄. τὸ δὲ β΄ τινὶ τῷ γ΄, τὸ α΄
» τινὶ τῷ γ΄ οὐχ ὑπάρξει. εἰ δὲ τὸ α΄ τῷ μὲν β΄ μηδενὶ τῷ δὲ γ΄ παντί, οὐδενὶ τῷ γ΄ τὸ β΄.

Ε εἰρηκὼς ὅτι ἐὰν εἰς τὸ ἐναντίον ἀντιστραφῇ ὁ συλλογισμός, οὐ γίνεται τῶν προτάσεων ἀναίρεσις, νῦν
λέγει ὅτι ἐὰν ἀντικειμένως ἀντιστραφῇ, γίνεται. οἷον ἀντὶ τοῦ τὸ α΄ τινὶ τῷ β΄, ἵνα λάβωμεν ὅτι οὐδενὶ
καὶ ποιοῦμεν οὕτως. τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ οὐδενὶ τῷ γ΄. εἰ δὲ τὴν ἐλάττονα βουλό-
μεθα ἀνασκευάσαι οὕτω. τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ α΄ παντὶ τῷ γ΄. τὸ ἄρα β΄ οὐδενὶ τῷ γ΄. ὥστε ἀμ-
φότεραι αἱ προτάσεις, εἰς τὸ ἐναντίον ἀνεσκευάσθησαν ἐν τρίτῳ σχήματι τοῦ συμπεράσματος ἀν-
τιστραφέντος, εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον. ὁμοίως δὲ δείξομεν καὶ εἰ ἡ μείζων ἀποφατική, ἡ δὲ
ἐλάττων καταφατικὴ ὑπάρχει. συμπέρασμα γίνεται ὅτι τὸ α΄ οὐ παντὶ τῷ β΄. ἐὰν οὖν ληφθῇ παντί.
εἰ μὲν τὴν μείζω πρότασιν δέον δεῖξαι, δείκνυμεν οὕτως. τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ
α΄ παντὶ τῷ γ΄. εἰ δὲ τὴν ἐλάττω, οὕτω τὸ α΄ παντὶ τῷ β΄. τὸ α΄ οὐδενὶ τῷ γ΄. συμπέρασμα ὅτι τὸ β΄ οὐδενὶ
τῷ γ΄. οὕτως ἤδη τῶν ἄμφω καθόλου προτάσεων τῶν ἐν τρίτῳ σχήματι.

» Ὁμοίως δὲ καὶ εἰ στερητικὸς ὁ συλλογισμός. δεδείχθω γὰρ τὸ α΄ τινὶ τῷ β΄ μὴ ὑπάρχον, ἔστω
» δὲ κατηγορικὸν μὲν, τὸ β΄ γ΄ ἀποφατικὸν δέ, τὸ α΄ γ΄. οὕτω γὰρ ἐγίνετο ὁ συλλογισμός. ὅταν μὲν οὖν
» τὸ ἐναντίον ληφθῇ τῷ συμπεράσματι, οὐκ ἔσται συλλογισμός. εἰ γὰρ τὸ α΄ τινὶ τῷ β΄. τὸ δὲ β΄ παντὶ τῷ
» γ΄, οὐκ ἦν συλλογισμὸς τοῦ α΄ καὶ τοῦ γ΄. οὐδ' εἰ τὸ α΄ τινὶ τῷ β΄. τῷ δὲ γ΄ μηδενί, οὐκ ἦν τοῦ β΄ καὶ τοῦ γ΄ συλ-
» λογισμός. ὥστε οὐκ ἀναιροῦνται αἱ προτάσεις. ὅταν δὲ τὸ ἀντικείμενον, ἀναιροῦνται. εἰ γὰρ τὸ α΄ παν-
» τὶ τῷ β΄. καὶ τὸ β΄ παντὶ τῷ γ΄, τὸ α΄ τῷ γ΄ παντί. ἀλλ' οὐδενὶ ὑπῆρχε. πάλιν εἰ τὸ α΄ παντὶ τῷ β΄, τῷ δὲ
» γ΄ μηδενί, τὸ β΄ οὐδενὶ τῷ γ΄. ἀλλὰ παντὶ ὑπῆρχεν. ὁμοίως δὲ δείκνυται, καὶ εἰ μὴ καθόλου εἰσὶν αἱ προ-
» τάσεις. γίνεται γὰρ τὸ α΄ γ΄ καθόλου τε καὶ στερητικόν. θάτερον δὲ ἤδη μέρους, κατηγορικόν. εἰ μὲν οὖν τὸ α΄
» παντὶ τῷ β΄. τὸ δὲ β΄ τινὶ τῷ γ΄, τὸ α΄ τινὶ τῷ γ΄ συμβαίνει. ἀλλ' οὐδενὶ ὑπῆρχε.

Λ ἐγένετο νῦν περὶ τοῦ τρίτου τρόπου τοῦ πρώτου σχήματος, τοῦ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ
ἐλάττονος μερικῆς ἀποφατικῆς. μερικὸν καταφατικὸν συνάγοντος τὸ συμπέρασμα. ἐὰν εἰς τὸ ἀντι-
κείμενον ληφθῇ τὸ συμπέρασμα. εἰς τὸ οὐδενί. καὶ δέον τὴν μείζω πρότασιν ἀνασκευάσαι. ἀνασκευά-
ζεται οὕτως. τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ β΄ τινὶ τῷ γ΄. τὸ α΄ οὐ παντὶ τῷ γ΄. ὥστε εἰς τὸ ἀντιφατικῶς νῦν ἡ μεί-
ζων ἀνεσκευάσθη. τοῦ συμπεράσματος εἰς τὸ ἀντιφατικῶς ἀντιστραφέντος. εἰ δὲ τὴν ἐλάττω ἀνασκευά-
σωμεν, οὕτως. τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ α΄ παντὶ τῷ γ΄, τὸ ἄρα β΄ οὐδενὶ τῷ γ΄. ὥστε καὶ ἡ ἐλάττων εἰς τὸ ἀν-
τιφατικῶς ἀνεσκευάσθη. καὶ τοῦτο φυλακτέον ὅτι εἰ μὲν εἴη ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων κα-
ταφατική,

Πληρώσας τὸ πρῶτον σχῆμα, νῦν ἦλθεν ἐπὶ τὸ β΄. καὶ φησὶν ὅτι ἡ μείζων πρότασις οὐκ ἀναιρεῖται. ὅτε λαμβάνεται τοῦ συμπεράσματος τὸ ἐναντίον. ἡ δὲ ἐλάττων ἀναιρεῖται. λέγει δὲ τὴν μείζω πρότασιν μὴ ἀναιρεῖσθαι. οὐχ ὅτι οὐκ ἀναιρεῖται, ἀλλ' ὅτι εἰς τὸ ἐναντίον οὐκ ἀναιρεῖται. ἀλλ' εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀναιρεῖται. διατί δὲ, ὁ αὐτὸς λέγει. ὅτι ἐν τρίτῳ σχήματι δείκνυται ἡ μείζων πρότασις. οὐδὲν δὲ καθόλου ἐν τρίτῳ δείκνυται. ἡ δὲ μείζων ἐν δευτέρῳ σχήματι καθόλου ἐστίν. ὥστε τὸ ἀντιφατικῶς ἀντικείμενον δείκνυται. ἡ δὲ ἐλάττων πρότασις δείκνυται διὰ τοῦ πρώτου σχήματος ὡς ἐπιδείξομεν.

ΥΠΑΡΧΕΤΩ γὰρ τὸ α΄ παντὶ τῷ β΄. τῷ δὲ γ΄ μηδενί. συμπέρασμα τὸ β΄ γ΄ οὐδενί. ἐὰν οὖν ληφθῇ τὸ β΄ παντὶ τῷ γ΄ ὑπάρχειν, καὶ τὸ α΄ β΄ μένῃ, τὸ α΄ παντὶ τῷ γ΄ ὑπάρξει. γίνεται γὰρ τὸ πρῶτον σχῆμα. εἰ δὲ τὸ β΄ παντὶ τῷ γ΄, τὸ δὲ α΄ οὐδενὶ τῷ γ΄, τὸ α΄ οὐ παντὶ τῷ β΄ σχῆμα τὸ ἔσχατον. ἐὰν δ' ἀντικειμένως ἀντιστραφῇ τὸ β΄ γ΄. ἡ μὲν α΄ β΄ ὁμοίως δειχθήσεται. ἡ δὲ α΄ γ΄ ἀντικειμένως. εἰ γὰρ τὸ β΄ τινὶ τῷ γ΄ τὸ δὲ α΄ μηδενὶ τῷ γ΄. τὸ α΄ τινὶ τῷ β΄ οὐχ ὑπάρξει. πάλιν εἰ τὸ β΄ τινὶ τῷ γ΄, τὸ δὲ α΄ παντὶ τῷ β΄, τὸ α΄ τινὶ τῷ γ΄. ὥστ' ἀντικείμενος γίνεται ὁ συλλογισμός.

Ἀποδείκνυσι πρῶτον τὸν πρῶτον τρόπον τοῦ δευτέρου σχήματος, οὕτως. τὸν ἐκ τῆς μείζονος καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀποφατικῆς συναγόμενον συμπέρασμα ἀποφατικόν. τὸ β΄ οὐδενὶ τῷ γ΄. ἐὰν ληφθῇ τὸ β΄ παντὶ τῷ γ΄ ὑπάρχειν. καὶ δεῖξαι βουληθῶμεν τὴν ἐλάττω πρότασιν, τὴν λέγουσαν τὸ α΄ οὐδενὶ τῷ γ΄. δείκνυμεν τὴν ἐλάττω διὰ τοῦ πρώτου σχήματος οὕτως. τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ ἄρα α΄ παντὶ τῷ γ΄. ἀναιρεῖται δὲ ἡ μείζων πρότασις, οὐκ ἐναντίως, ἀλλ' ἀντιφατικῶς. ὥστε καλῶς ἐλέγομεν τὴν μείζω μὴ ἀναιρεῖσθαι ἐναντίως, ἀλλ' εἰ τὸ ἀντιφατικῶς ἀντικείμενον τοῦ συμπεράσματος ληφθῇ. οἷον τὸ β΄ τινὶ τῷ γ΄. ἡ μείζων πρότασις ὁμοίως ἀναιρεθήσεται δειχθήσεται τούτων. ἡ δὲ ἐλάττων ἀντιφατικῶς. εἰ γὰρ τὸ β΄ τινὶ τῷ γ΄. τὸ α΄ οὐδενὶ τῷ γ΄. συμπέρασμα ὅτι τὸ α΄ οὐ παντὶ τῷ β΄. ἐπὶ δὲ τῆς ἐλάττονος οὕτως, τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ τινὶ τῷ γ΄. τὸ α΄ τινὶ τῷ γ΄. ὅπερ ἀντιφατικῶς ἀντίκειται τῇ πρώτῃ προτάσει.

ΟΜΟΙΩΣ δὲ δειχθήσεται καὶ εἰ ἀνάπαλιν ἔχοιεν αἱ προτάσεις.

Ὁμοίως δὲ δειχθήσεται καὶ ὁ δεύτερος τρόπος τοῦ δευτέρου σχήματος. ἀνάπαλιν γὰρ ἔχουσιν αἱ προτάσεις.

ΕΙ δ' ἔστιν ἐπὶ μέρους ὁ συλλογισμός, ἐναντίως μὲν ἀντιστρεφομένου τοῦ συμπεράσματος, οὐδετέρα τῶν προτάσεων ἀναιρεῖται. καθάπερ οὐδὲ ἐν τῷ πρώτῳ σχήματι. ἀντικειμένως δὲ ἀμφότεραι.

Πληρώσας περὶ τῶν καθόλου συναγόντων ἐν δευτέρῳ σχήματι, νῦν λέγει περὶ τῶν τὰ μερικά. καὶ φησίν. ὅτι ἐὰν ἐπὶ τῶν τὸ μερικὸν συμπέρασμα συναγόντων τὸ συμπέρασμα εἰς τὸ ἐναντίον ἀντιστραφῇ, οὐδεμία πρότασις ἀναιρεῖται. οὔτε ἡ μείζων, οὔτε ἡ ἐλάττων. ἐὰν δὲ τὸ συμπέρασμα ἀντιστραφῇ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῷ, τότε ἀμφότεραι ἀναιροῦνται ὡς δείξομεν.

ΚΕΙΣΘΩ γὰρ τὸ α΄ τῷ μὲν β΄ μηδενὶ ὑπάρχειν. τῷ δὲ γ΄ τινί. συμπέρασμα τὸ β΄ γ΄. ἐὰν οὖν τεθῇ τὸ β΄ τινὶ τῷ γ΄ ὑπάρχειν, καὶ τὸ α΄ β΄ μένῃ, συμπέρασμα ἔσται, ὅτι τὸ α΄ τινὶ τῷ γ΄ οὐχ ὑπάρχει. ἀλλ' οὐκ ἀνῄρηται τὸ ἐξ ἀρχῆς. ἐνδέχεται γὰρ τινὶ ὑπάρχειν. πάλιν εἰ τὸ β΄ τινὶ τῷ γ΄. καὶ τὸ α΄ τινὶ τῷ γ΄, οὐκ ἔσται συλλογισμός. οὐδέτερον γὰρ καθόλου τῶν εἰλημμένων. ὥστ' οὐκ ἀναιρεῖται τὸ α΄ β΄. ἐὰν δ' ἀντικειμένως ἀντιστρέφηται, ἀναιροῦνται ἀμφότεραι. εἰ γὰρ τὸ β΄ παντὶ τῷ γ΄. τὸ δὲ α΄ μηδενὶ τῷ β΄, οὐδενὶ τῷ γ΄ τὸ α΄. ἦν δὲ τινί. πάλιν εἰ τὸ β΄ παντὶ τῷ γ΄. τὸ δὲ α΄ τινὶ τῷ γ΄. ἔσται τινὶ τῷ β΄ τὸ α΄.

Περὶ τοῦ τρίτου τρόπου λέγει νῦν, τοῦ δευτέρου σχήματος, τοῦ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, συμπέρασμα μερικὸν ἀποφατικὸν συνάγοντος. ἐὰν οὖν τὸ συμπέρασμα μεταληφθῇ εἰς τὸ ἐναντίον, ὅτι τὸ β΄ τινὶ τῷ γ΄ ὑπάρχει. καὶ δέον δεῖξαι τὴν ἐλάττω πρότασιν, δείκνυμεν οὕτως. τὸ α΄ οὐ παντὶ τῷ γ΄. ἀλλ' οὐκ ἀνῄρηται τὸ πρότερον τὸ λέγον ὅτι τὸ α΄ τινὶ τῷ γ΄. ἐνδέχεται γὰρ ἀμφότερα συναληθεύειν. εἰ δὲ βουλόμεθα τὴν μείζω ἀνασκευάσαι, ἀνασκευάσομεν διὰ τοῦ τρίτου σχήματος. ἀλλ' οὐκ ἀνασκευασθήσεται. καὶ γὰρ καὶ τὸ συμπέρασμα μερικὸν καταφατικόν. καὶ ἡ ἐλάττων πρότασις μερική. ἐκ δὲ δύο μερικῶν οὐ γίνεται συλλογισμός. ὥστε καλῶς ἐλέγομεν ὅτι ἐὰν ἐπὶ τῶν μερικῶν εἰς τὸ ἐναντίον ἀντιστραφῇ, οὔτε ἡ μείζων, οὔτε ἡ ἐλάττων ἀναιρεῖται. ἐὰν δὲ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστραφῇ τὸ συμπέρασμα, ἀναιρεθήσονται αἱ προτάσεις ἀμφότεραι. οἷον εἰ τὸ β΄ ληφθῇ ἀντὶ τοῦ οὐ παντὶ τῷ γ΄. ὅτι παντὶ ὑπάρχει. καὶ εἰ δέον δεῖξαι τὴν ἐλάττω πρότασιν, δείκνυμεν οὕτως. τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ οὐδενὶ τῷ γ΄. ἰδοὺ νῦν ἀνῄρηται ἡ ἐλάττων ἀντιφατικῶς. ἦν γὰρ τινὶ τῷ γ΄ τὸ α΄. εἰ δὲ δέον τὴν μείζω ἀναιρεῖν, ἀναιροῦμεν οὕτως. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ τινὶ τῷ γ΄. τὸ ἄρα α΄ τινὶ τῷ β΄. ὥστε καὶ νῦν ἡ μείζων ἀντιφατικῶς ἀνῄρηται, ἦν γὰρ τὸ α΄ οὐδενὶ τῷ β΄.

Η δ' αὐτὴ δ' ἐστὶ δεῖξις καὶ εἰ τὸ καθόλου κατηγορικὸν εἴη.

ρῶτον δείκνυσι τὴν ἐλάττω πρότασιν συνάγονται τὸ ἐναντίον τῇ πρώτῃ προτάσει. εἶτα δεύτερον δείκνυσι τὴν μείζω συνάγονται τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ πρώτῃ προτάσει.

ΕΑΝ δὲ ἀντικειμένως ἀντιστραφῇ τὸ συμπέρασμα, καὶ οἱ ἄλλοι συλλογισμοὶ ἀντικείμενοι, καὶ οὐ καθόλου ἔσονται. γίνεται γὰρ ἡ ἑτέρα πρότασις ἐν μέρει. ὥστε καὶ τὸ συμπέρασμα ἔσται κατὰ μέρος. ἔστω γὰρ κατηγορικὸς συλλογισμός. καὶ ἀντιστρεφέσθω οὕτως. οὐκοῦν εἰ τὸ α' μὴ παντὶ τῷ γ', τῷ δὲ β' παντί. τὸ β' οὐ παντὶ τῷ γ'. καὶ εἰ τὸ μὲν α' οὐ παντὶ τῷ γ', τὸ δὲ β' παντί, τὸ α' οὐ παντὶ τῷ β'. ὁμοίως δὲ καὶ εἰ στερητικὸς εἴη ὁ συλλογισμός. εἰ γὰρ τὸ α', τινὶ τῷ γ' ὑπάρχει, τῷ δὲ β' μηδενί, τὸ β' τινὶ τῷ γ' οὐχ ὑπάρξει. καὶ οὐχ ἁπλῶς οὐδενί. καὶ εἰ τὸ μὲν α' τῷ γ' τινί, τὸ δὲ β' παντί, ὥσπερ ἐν ἀρχῇ ἐλήφθη, τὸ α' τῷ β' τινὶ ὑπάρξει.

Ἔλαβε πρῶτον τὸ συμπέρασμα ἐπὶ τῶν δύο τρόπων, καὶ ἀντέστρεψεν εἰς τὸ ἐναντίον. καὶ ἔδειξε τὰ συναγόμενα, νῦν ἀντιστρέφει, εἰς τὰ ἀντιφατικῶς ἀντικείμενα. οὐκοῦν καὶ ἐπὶ τῆς μείζονος προτάσεως καὶ ἐπὶ τῆς ἐλάττονος τὸ ἀντιφατικῶς ἀντικείμενον συναχθήσεται ἐπὶ τοῦ πρώτου τρόπου. οἷον τὸ α' οὐ παντὶ τῷ γ'. τὸ α' παντὶ τῷ β'. συμπέρασμα ὅτι τὸ β' οὐ παντὶ τῷ γ'. ἣν δὲ παντὶ τὸ πρῶτον. ἐπὶ δὲ τῆς μείζονος πάλιν ὁμοίως. τὸ α' οὐ παντὶ τῷ γ'. τὸ β' παντὶ τῷ γ'. συμπέρασμα ὅτι τὸ α' οὐ παντὶ τῷ β'. ὥστε ἡ ἀντιστραφὰν εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον. τὸ συμπέρασμα συναχθήσεται τὰ ἀντιφατικῶς ἀντικείμενα τῶν προτάσεων. ἐπὶ δὲ τοῦ δευτέρου τρόπου, ἔστω τὸ α' οὐδενὶ τῷ β'. τὸ α' τινὶ τῷ γ'. συμπέρασμα ὅτι τὸ β' οὐ παντὶ τῷ γ'. ὅτι ἀντιφατικῶς ἀντίκειται τῇ πρώτῃ προτάσει. ἐὰν δὲ τὴν μείζω δέον δεῖξαι οὕτως. τὸ α' τινὶ τῷ γ'. τὸ β' παντὶ τῷ γ'. συμπέρασμα ὅτι τὸ α' τινὶ τῷ β'. ὅπερ καὶ τοῦτο ἀντιφατικῶς ἀντίκειται τῇ πρώτῃ προτάσει.

ΕΠΙ δὲ τῶν ἐν μέρει συλλογισμῶν, ὅταν μὲν ἀντικειμένως ἀντιστρέφηται τὸ συμπέρασμα, ἀναιροῦνται ἀμφότεραι αἱ προτάσεις. ὅταν δὲ ἐναντίως, οὐδετέρα. οὐ γὰρ ἔτι συμβαίνει καθάπερ ἐν τοῖς καθόλου ἀναιρεῖν, ἐλλείποντος τοῦ συμπεράσματος κατὰ τὴν ἀντιστροφήν. ἀλλ' οὐδ' ὅλως ἀναιρεῖν.

Πληρώσας περὶ τῶν καθόλου συλλογισμῶν τῶν τὸ καθόλου συναγόντων, νῦν λέγει περὶ τῶν τὸ μερικὸν συναγόντων καὶ φησίν. ὅτι ἐὰν τὸ συμπέρασμα εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντιστραφῇ. ἀναιροῦνται αἱ προτάσεις αἱ ἐξ ἀρχῆς, καὶ φέρουσι τὰ ἐναντία, ἢ τὰ ἀντιφατικῶς ἀντικείμενα. ἐὰν δὲ εἰς τὸ ἐναντίον ἀντιστραφῇ τὸ συμπέρασμα, οὐκέτι ἀναιροῦνται αἱ προτάσεις. ἀλλὰ μένουσιν αἱ αὐταί ὡς ἐπὶ δείξομεν. καὶ διατί τοῦτο γίνεται, φησίν. οὐκέτι γὰρ γίνεται ὥσπερ ἐπὶ τῶν καθόλου λαμβανομένου τοῦ συμπεράσματος εἰς τὸ ἐναντίον. ἐδείκνυτο ἀφαιρεῖν τὴν πρώτην πρότασιν, οὕτω καὶ ἐνταῦθα. ἐνταῦθα γὰρ ὅλως ἀναιρεῖ τὸ καθόλου, διὰ τὸ μερικὸν εἶναι τὸ συμπέρασμα.

ΔΕΔείχθω γὰρ τὸ α' κατά τινος τοῦ γ'. οὐκοῦν ἐὰν ληφθῇ τὸ α' μηδενὶ τῷ γ' ὑπάρχειν, τὸ δὲ β' τινὶ τῷ γ', τὸ α', τῷ β' τινὶ οὐχ ὑπάρξει. καὶ εἰ τὸ α' μηδενὶ τῷ γ'. τῷ δὲ β' παντί, οὐδενὶ τῶν γ' τὸ β'. ὥστε ἀναιροῦνται ἀμφότεραι. ἐὰν δὲ ἐναντίως ἀντιστραφῇ οὐδετέρα. εἰ γὰρ τὸ α' τινὶ τῷ γ' μὴ ὑπάρχει, τῷ δὲ β' παντί, τὸ β' τινὶ τῷ γ' οὐχ ὑπάρξει. ἀλλ' οὔπω ἀνῄρηται τὸ ἐξ ἀρχῆς. ἐνδέχεται γὰρ τινὶ ὑπάρχειν καὶ τινὶ μὴ ὑπάρχειν. τῆς δὲ καθόλου τῆς α' β', ὅλως οὐδεὶς γίνεται συλλογισμός. εἰ γὰρ τὸ μὲν α' τινὶ τῶν γ' μὴ ὑπάρχει. τὸ δὲ β' τινὶ ὑπάρχει, οὐδετέρα καθόλου τῶν προτάσεων.

Πρῶτον δείκνυσι τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος συνάγοντα τὸ τινί. ἐὰν δὲ ἀντιστραφῇ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ οὐδενί, συνάξει οὕτως. τὸ α' οὐδενὶ τῷ γ'. τὸ β' τινὶ τῷ γ'. συμπέρασμα ὅτι τὸ α' οὐ παντὶ τῷ β'. εἰ δὲ τὴν ἐλάττω οὕτως. τὸ α' οὐδενὶ τῷ γ'. τὸ α' παντὶ τῷ β'. συμπέρασμα ὅτι τὸ β' οὐδενὶ τῷ γ'. ὥστε καὶ ἡ μείζων καὶ ἡ ἐλάττων εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον ἀντέστρεψαν τοῦ συμπεράσματος οὕτως ἀντιστραφέντος. ἐὰν δὲ εἰς τὸ ἐναντίον ἀντιστραφῇ τὸ συμπέρασμα. ἵνα ἀντὶ τοῦ τινὶ τὸ οὐ παντὶ λάβωμεν, ὅτι τὴν μείζω δυνάμεθα δεῖξαι διὰ τὸ εἶναι καὶ τὴν ἐλάττω πρότασιν καὶ τὸ συμπέρασμα μερικόν. τὴν δὲ ἐλάττω οὐ δυνάμεθα δεῖξαι, διατί. εἰ γὰρ δείξομεν, πρῶτον μὲν ὅτι ἡ μείζων γίνεται μερικὴ ἐν δευτέρῳ σχήματι. ἔπειτα δὲ ὅτι συνάγομεν οὐ παντί. τοῦτο δὲ τὸ οὐ παντί, οὐκ ἀντίκειται ἐναντίως τῇ πρώτῃ προτάσει τῇ τινί. ποτὲ γὰρ συναληθεύουσιν αὗται αἱ προτάσεις.

ΟΜΟΙΩΣ δὲ καὶ εἰ στερητικὸς εἴη ὁ συλλογισμός. εἰ μὲν γὰρ ληφθείη τὸ α' παντὶ τῷ γ' ὑπάρχειν, ἀναιροῦνται ἀμφότεραι. εἰ δὲ τινί, οὐδετέρα. ἀπόδειξις δὲ ἡ αὐτή.

Ὥσπερ ἐπὶ τοῦ τρίτου τρόπου, οὕτως καὶ ἐπὶ τοῦ τετάρτου ἀποφατικοῦ ποιητέον. εἰ μὲν γὰρ τὸ ἀντιφατικῶς ἀντικείμενον ληφθῇ, ἀναιροῦνται ἀμφότεραι. εἰ δὲ τὸ ἐναντίον, οὐκ ἀναιροῦνται. ἀπόδειξις δὲ ἡ αὐτή. καὶ ἐπὶ τοῦ τετάρτου τρόπου, ἥτις καὶ ἐπὶ τοῦ τρίτου τρόπου ἐγένετο.

ΕΝ δὲ τῷ β' σχήματι, τὴν μὲν πρὸς τῷ μείζονι ἄκρῳ πρότασιν, οὐκ ἔστιν ἀνελεῖν ἐναντίως ὁποτερωσοῦν τῆς ἀντιστροφῆς γινομένης. ἀεὶ γὰρ ἔσται τὸ συμπέρασμα ἐν τῷ τρίτῳ σχήματι. καθόλου δὲ οὐκ ἦν ἐν τούτῳ συλλογισμός. τὴν δὲ ἑτέραν ὁμοίως ἀναιρήσομεν τῇ ἀντιστροφῇ. λέγω δὲ τὸ ὁμοίως. εἰ μὲν ἐναντίως ἀντιστρέφεται, ἐναντίως. εἰ δὲ ἀντικειμένως, ἀντικειμένως.

Πληρώσας

σμα καθόλου καταφατικόν· μεταπίθεμεν τοῦτο εἰς τὸ ἐναντίον τὸ καθόλου ἀποφατικόν· ἢ εἰς τὸ ἀντιφατικῶς αὐτῷ ἀντικείμενον· ὅ ἐστι τὸ μερικὸν ἀποφατικόν· καὶ οὕτω δείκνυμεν τῆς ἑτέρας προτάσεως συναγόμενα ἢ τὰ ἐναντία, ἢ τὰ ἀντιφατικῶς ἀντικείμενα· ποιεῖται δὲ ταύτην τὴν ἐν συλλογισμῷ ἀντιστροφὴν καὶ ἐπὶ ἑκάστου τρόπου συλλογιστικοῦ· καὶ ἐπὶ ἑκάστου σχήματος· τινὲς δὲ ᾠήθησαν τὴν ἐν συλλογισμῷ ἀντιστροφήν, καὶ τὴν εἰς ἀδύνατον ἀπαγωγήν, ταυτὸν εἶναι· ὁ δὲ ἀριστοτέλης μετὰ ταῦτα τὴν θεωρίαν, ἐκτίθεται περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ δείκνυσι μὴ εἶναι τὸ αὐτὸ τὴν ἐν συλλογισμῷ ἀντιστροφήν, τῇ εἰς ἀδύνατον ἀπαγωγῇ·

» ἈΝΑΓΚΗ γὰρ τοῦ συμπεράσματος ἀντιστραφέντος καὶ τῆς ἑτέρας προτάσεως μενούσης, ἀναιρεῖσθαι
» τὴν λοιπήν· εἰ γὰρ ἔσται, καὶ τὸ συμπέρασμα ἔσται·

Τοῦ συμπεράσματος ἀντιστραφέντος, καὶ τῆς μιᾶς προτάσεως μενούσης, ἀνάγκη ἀναιρεῖσθαι τὴν ἄλλην πρότασιν· καὶ δείκνυσθαι αὐτὴν ἢ τὸ ἐναντίον συνάξασαν, ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον· εἰ γὰρ μένει καὶ αὕτη ἡ αὐτή, δηλονότι· καὶ τὸ συμπέρασμα τὸ αὐτὸ ἔμενεν·

» ΔΙΑΦΕΡΕΙ δὲ τὸ ἀντικειμένως ἢ τὸ ἐναντίως ἀντιστρέφειν τὸ συμπέρασμα· οὐ γὰρ ὁ αὐτὸς γίνεται συλ-
» λογισμός, ἑκατέρως ἀντιστρέφοντος· δῆλον δὲ τοῦτο ἔσται, διὰ τῶν ἑπομένων· λέγω δ' ἀντικεῖσθαι μὲν
» τό, παντὶ τῷ οὐ παντὶ καὶ τό, τινὶ τῷ οὐδενί· ἐναντίως δέ, τὸ παντὶ τῷ οὐδενί· καὶ τὸ τινί, τῷ οὐ τινὶ ὑπάρχειν·

Ἐὰν τὸ συμπέρασμα εἰς τὸ ἐναντίον ἀντιστρέψωμεν ἑτέρους ποιοῦμεν συλλογισμούς· ἐὰν δὲ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον, ἑτέρους, ὡς σαφῶς αὐτίκα δείξομεν· ἐναντίως δὲ ὑπάρχει τὸ παντὶ καὶ οὐδενί· καὶ τὸ τινὶ καὶ οὐ τινί·

» ἜΣΤΩ γὰρ δεδειγμένον τὸ α κατὰ τοῦ γ', διὰ μέσου τοῦ β'· εἰ δὴ τὸ α μηδενὶ ληφθείη τῷ γ ὑπάρ-
» χειν, τῷ δὲ β' παντὶ τῷ γ' ὑπάρξει τὸ β'·

Πρῶτον ποιεῖται τὴν ἀντιστροφὴν ὡς ἐπὶ τοῦ πρώτου τρόπου τοῦ πρώτου σχήματος, τοῦ συνάγοντος καθόλου καταφατικὸν συμπέρασμα· ἐπειδὴ καὶ ἐκ δύο καθόλου καταφατικῶν σύγκειται· λάβωμεν οὖν τέως· τὸ ἐναντίον τῷ συμπεράσματι, ὅτι τὸ α τῷ γ' οὐκ ἔστι παντί, ἀλλ' ὅτι οὐδενί· καὶ δέον ἐστὶ δεῖξαι τὴν ἐλάττονα πρότασιν· δείκνυται δὲ ἡ ἐλάττων διὰ τοῦ δευτέρου σχήματος· ἡ δὲ μείζων διὰ τοῦ γ'· οὐκοῦν τὸ α οὐδενὶ τῷ γ'· τὸ α παντὶ τῷ β'· συμπέρασμα τῆς ἐλάττονος προτάσεως ὅτι τὸ β' οὐδενὶ τῷ γ'· ὅπερ ἦν ἐναντίον τῷ παντί· εἰ δὲ βουλόμεθα τὴν μείζονα πρότασιν ἀποδεῖξαι, ἀποδείκνυμεν διὰ τοῦ τρίτου σχήματος καὶ συνάγομεν οὐ τὸ ἐναντίον τῇ μείζονι προτάσει, ἀλλὰ τὸ ἀντιφατικῶς ἀντικείμενον· ἐν γὰρ τῷ τρίτῳ σχήματι καθόλου συμπέρασμα οὐ συνήγετο· οἷον τὸ α οὐδενὶ τῷ γ'· τὸ β' παντὶ τῷ γ'· καὶ συμπέρασμα ὅτι τὸ α οὐ παντὶ τῷ β'· τοῦτο δὲ ἀντιφατικῶς ἀντίκειται τῇ προτάσει· ὥστε ἐκ τούτων τῶν ῥηθέντων παραφυλάξασθαι ὀφείλομεν· ὅτι ἡ μὲν πρότασις ἡ μείζων, διὰ τοῦ τρίτου σχήματος δείκνυται· ἡ δὲ ἐλάττων, διὰ τοῦ δευτέρου· καὶ τοῦτο δὲ πάλιν φυλάξασθαι ὀφείλομεν, ἐπὶ τοῦ πρώτου σχήματος ὅτι εἰ τὸ συμπέρασμα ἀντιστραφῇ εἰς τὸ ἐναντίον· εἰ μὲν τὴν μείζω πρότασιν δεικνύς· δείξεις τὸ ἀντιφατικῶς ἀντικείμενον· εἰ δὲ τὴν ἐλάττω, τὸ ἐναντίον δείξεις συναγόμενον, εἰς ὃ καὶ τὸ συμπέρασμα ἀντιστρέψεις· εἰ δὲ τὸ συμπέρασμα ἀντιστραφήσεται εἰς τὸ οὐ παντί· λέγω δὴ τὸ ἀντιφατικῶς ἀντικείμενον· καὶ ἡ μείζων πρότασις καὶ ἡ ἐλάττων, ὅμοιον συμπέρασμα συνάξουσιν ὡς αὐτίκα δείξομεν σαφῶς· εἰ δὴ τὸ α μηδενὶ ληφθείη τῷ γ'· πρῶτον δείκνυσι τὴν ἐλάττω πρότασιν συνάγουσαν, ὅμοιον τῷ συμπεράσματι·

» ΚΑΙ εἰ τὸ μὲν α μηδενὶ τῷ γ'· τὸ δὲ β' παντὶ τῷ γ', τὸ α οὐ παντὶ τῷ β'· καὶ οὐχ ὅλως οὐδενί·
» οὐ γὰρ ἐδείκνυτο τὸ καθόλου διὰ τοῦ τρίτου σχήματος· ὅλως δὲ τὴν πρὸς τῷ μείζονι ἄκρῳ πρότασιν οὐκ
» ἔστιν ἀνασκευάσαι, καθόλου δι' ἀντιστροφῆς· ἀεὶ γὰρ ἀναιρεῖται διὰ τοῦ τρίτου σχήματος· ἀνάγκη γὰρ
» πρὸς τὸ ἔσχατον ἄκρον, ἀμφοτέρας λαβεῖν τὰς προτάσεις·

Νῦν δείκνυσι τὴν μείζω πρότασιν συνάγουσαν τὸ ἀντιφατικῶς ἀντικείμενον τῆς προτάσεως· ἦν δὲ ἡ πρώτη τὸ α οὐ παντὶ τοῦ β'· νῦν οὖν τὸ οὐ παντὶ συνάγεται· τουτέστι τὸ α οὐ παντὶ τοῦ β'·

» ΚΑΙ ὁ στερητικὸς ὁ συλλογισμός, ὡσαύτως· δεδείχθω γὰρ τὸ α μηδενὶ τῷ γ' ὑπάρχον διὰ τοῦ β'·

Δείξας περὶ τοῦ καθόλου καταφατικοῦ, νῦν βούλεται περὶ τοῦ καθόλου ἀποφατικοῦ· ἐὰν γὰρ ᾖ τὸ α οὐδενὶ τῷ γ', διὰ μέσου τοῦ β'· ἵνα ληφθῇ παντί· δέον δεῖξαι τὴν ἐλάττω πρότασιν· συνάξομεν οὕτω πάλιν ἐν δευτέρῳ σχήματι· ἡ γὰρ ἐλάττων ἐν δευτέρῳ συνήγετο· τὸ α παντὶ τῷ γ'· τὸ α οὐδενὶ τοῦ β'· καὶ συμπέρασμα ὅτι τὸ β' οὐδενὶ τοῦ γ'· εἰ δὲ τὴν μείζονα δέον δεῖξαι, δείξομεν διὰ τοῦ τρίτου σχήματος τὸ α παντὶ τοῦ γ'· τὸ β' παντὶ τοῦ γ'· τὸ ἄρα α τινὶ τοῦ β'· καὶ ἐπὶ τοῦ δευτέρου οὖν τρόπου τοῦ πρώτου σχήματος ἐδείχθη· ἡ μὲν ἐλάττων διὰ τοῦ β'· ἡ δὲ μείζων διὰ τοῦ γ'· ἐδείχθη δὲ καὶ τοῦτο πάλιν ὡς εἰρήκαμεν· καὶ ἡ μὲν μείζων συνῆξε τὸ ἀντιφατικῶς ἀντικείμενον· ἀντὶ γὰρ τοῦ οὐδενί, τὸ τινὶ συνῆγεν· ἡ δὲ ἐλάττων τὸ ἐναντίον ὡς ἀντικείμενον· ἀντὶ γὰρ τοῦ παντὶ τὸ οὐδενὶ συνῆξεν·

» ΟΥΚΟΥΝ ἐὰν ληφθῇ τὸ α τῷ γ' παντὶ ὑπάρχειν, τῷ δὲ β' μηδενί, οὐδενὶ τῷ γ' τὸ β' ὑπάρξει·
» καὶ εἰ τὸ α καὶ τὸ β' παντὶ τῷ γ', τὸ α τινὶ τῷ β'· ἀλλ' οὐδενὶ ὑπῆρχεν·

Οὐκ ἔσται τὸ προκείμενον, ἐπεὶ συνάγει τὸ γ΄ τινὶ τῷ β΄. ἀλλ' ὕστερον ἀντιστρέφει. ὅτι καὶ τὸ β΄ τινὶ τῷ γ΄. καὶ οὕτως ἔσται.

ΕἸ τὸ γ΄ τινὶ τῷ β΄, καὶ τὸ β΄ τινὶ τῷ γ΄ ὑπάρχειν. ἀλλ' οὐ ταυτόν ἐστι τόδε τῷδε ὑπάρχειν, καὶ τόδε τῷδε. ἀλλὰ προσληπτέον ὅτι εἰ τόδε, τινὶ τῷδε. καὶ θάτερον τινὶ τῷδε. τούτου δὲ ληφθέντος, οὐκέτι γίνεται ἐκ τοῦ συμπεράσματος, καὶ τῆς ἑτέρας προτάσεως συλλογισμός.

Οὐ γὰρ ταυτόν ἐστι λέγειν. εἰ τὸ β΄ τινὶ τῷ γ΄. καὶ τὸ γ΄ τινὶ τῷ β΄. ὅτε γὰρ λέγω τὸ β΄ τινὶ τῷ γ΄ ὑπάρχειν, ὑποκείμενόν ἐστι τὸ γ΄. κατηγορούμενον δὲ τὸ β΄. ὅταν δὲ λέγω ὅτι τὸ γ΄ τινὶ τῷ β΄. τὸ μὲν β΄ λαμβάνω ὑποκείμενον. τὸ δὲ γ΄ κατηγορούμενον. ἕτερον δὲ τὸ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι.

ΕἸ δὲ τὸ μὲν β΄ παντὶ τῷ γ΄, τὸ δὲ α΄ τινὶ τῷ γ΄. ἔσται δεῖξαι τὸ α΄ γ΄, ὅταν ληφθῇ τὸ μὲν γ΄ παντὶ τῷ β΄ ὑπάρχειν, τὸ δὲ α΄, τῷ β΄ τινί. εἰ γὰρ τὸ γ΄ παντὶ τῷ β΄ ὑπάρχει, τὸ δὲ α΄ τινὶ τῷ β΄, ἀνάγκη τὸ α΄ τινὶ τῷ γ΄ ὑπάρχειν. μέσον τὸ β΄.

Ἐὰν φησὶν ἡ μείζων μερικὴ, ἡ δὲ ἐλάττων καθόλου, δυνατὸν δεῖξαι τὴν μείζω πρότασιν ἀλλὰ προηγουμένως οὕτως. τὸ α΄ τινὶ τῷ γ΄, τὸ β΄ παντὶ τῷ γ΄. καὶ τὸ γ΄ παντὶ τῷ β΄. καὶ τὸ β΄ τινὶ τῷ α΄. τὸ ἄρα α΄ τινὶ τῷ γ΄.

ΚΑῚ ὅταν ᾖ ἡ μὲν κατηγορικὴ, ἡ δὲ στερητική. καθόλου δὲ ἡ κατηγορικὴ, δειχθήσεται ἡ ἑτέρα. ὑπαρχέτω γὰρ τὸ β΄ παντὶ τῷ γ΄. τὸ δὲ α΄ τινὶ μὴ ὑπαρχέτω. συμπέρασμα, ὅτι τὸ α΄ τινὶ τῷ β΄ οὐχ ὑπάρχει. ἐὰν οὖν προσληφθῇ τὸ γ΄ παντὶ τῷ β΄ ὑπάρχειν. ἦν δὲ καὶ τὸ α΄ οὐ παντὶ τῷ β΄, ἀνάγκη τὸ α΄ τινὶ τῷ γ΄ μὴ ὑπάρχειν. μέσον τὸ β΄.

Ἐὰν δὲ ᾖ ἡ μείζων στερητικὴ μερικὴ, ἡ δ' ἐλάττων καθόλου καταφατικὴ, δειχθήσεται ἡ μείζων κύκλῳ οὕτως. τὸ α΄ οὐ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ οὐ παντὶ τῷ γ΄. τὴν δὲ ἐλάττω κατηγορικὴν, διὰ προσλήψεως δείκνυμεν.

ὍΤΑΝ δὲ ἡ στερητικὴ καθόλου γένηται, οὐ δείκνυται ἡ ἑτέρα, εἰ μὴ ὥσπερ ἐπὶ τῶν πρότερον ἐλήφθησαν. ἐὰν ληφθῇ ᾧ τοῦτο τινὶ μὴ ὑπάρχειν, θάτερον τινὶ ὑπάρχειν. οἷον εἰ τὸ μὲν α΄ μηδενὶ ὑπάρχει τῷ γ΄. τὸ δὲ β΄ τινὶ, συμπέρασμα ὅτι τινὶ τῷ β΄ τὸ α΄ οὐχ ὑπάρχει. ἐὰν οὖν ληφθῇ ᾧ τὸ α΄ τινὶ μὴ ὑπάρχειν, ἀνάγκη τὸ γ΄ τινὶ τῷ β΄ ὑπάρχειν. ἄλλως δ' οὐκ ἔστιν ἀντιστρέφοντα τὴν καθόλου πρότασιν, δεῖξαι τὴν ἑτέραν. οὐδαμῶς γὰρ ἔσται συλλογισμός.

Ἐὰν δὲ ᾖ ἡ μείζων στερητικὴ καθόλου. ἡ δὲ ἐλάττων μερικὴ καταφατικὴ, οὐ δείκνυται ἡ μερικὴ καταφατικὴ εἰ μὴ διὰ προσλήψεως, κύκλῳ γὰρ οὐ δύναται. εἰ γὰρ ἡ μείζων ἀποφατικὴ, καὶ τὸ συμπέρασμα ἀποφατικόν. ἐκ δὲ δύο ἀποφατικῶν, καταφατικὸν συναχθῆναι οὐ δύναται. ἀλλὰ διὰ προσλήψεως δείκνυται οὕτως. ᾧ τὸ α΄ οὐ παντὶ ὑπάρχει, τούτῳ τὸ γ΄ τινὶ ὑπάρχει. τὸ δὲ α΄ τῷ δευτέρῳ ὑπάρχει οὐ παντί. οὐκοῦν τῷ β΄ τὸ γ΄ ὑπάρχει τινί.

ΦΑΝΕΡῸΝ οὖν ὅτι ἐν μὲν τῷ α΄ σχήματι ἡ δι' ἀλλήλων δεῖξις διά τε τοῦ α΄ καὶ τοῦ γ΄ γίνεται σχήματος. κατηγορικοῦ μὲν γὰρ ὄντος τοῦ συμπεράσματος, διὰ τοῦ α΄. στερητικοῦ δὲ διὰ τοῦ ἐσχάτου. λαμβάνεται γὰρ, ᾧ τοῦτο μηδενὶ, θάτερον παντὶ ὑπάρχειν.

Ἐπανάληψιν σύντομον ποιεῖται τῶν λεχθέντων. ὅτι ἐν τῷ πρώτῳ σχήματι ὅσαι δείκνυνται προτάσεις κύκλῳ, αἱ μὲν ἐν τῷ πρώτῳ εὐθέως, αἱ δὲ ἐν τῷ τρίτῳ. καὶ λέγει πότε διὰ τοῦ πρώτου. πότε διὰ τοῦ τρίτου.

ἘΝ δὲ τῷ μέσῳ, καθόλου μὲν ὄντος τοῦ συλλογισμοῦ, δι' αὐτοῦ τε καὶ διὰ τοῦ α΄ σχήματος, καὶ διὰ τοῦ ἐσχάτου. ὅταν δ' ἐν μέρει, δι' αὐτοῦ τε καὶ διὰ τοῦ ἐσχάτου. ἐν δὲ τῷ γ΄, δι' αὐτοῦ πάντες. φανερὸν δὲ, καὶ ὅτι ἐν τῷ μέσῳ καὶ ἐν τῷ γ΄, οἱ μὴ δι' αὐτῶν γινόμενοι συλλογισμοὶ, ἢ οὐκ εἰσὶ κατὰ τὴν κύκλῳ δεῖξιν, ἢ ἀτελεῖς.

Ἐν δὲ τῷ δευτέρῳ σχήματι αἱ δεικνύμεναι κύκλῳ, εἰ μὲν καθόλου εὐθέως διὰ τοῦ δευτέρου καὶ τοῦ πρώτου ἀμφοῖν. εἰ δὲ μερικὸν, δι' ἀμφοῖν τοῦ δευτέρου καὶ τοῦ τρίτου δείκνυται. ἐν δὲ τῷ τρίτῳ σχήματι ὅσοι κύκλῳ ἐδείκνυντο, πάντες δι' ἀμφοῖν εὐθέως τοῦ τρίτου ἐδείκνυντο. φανερὸν δὲ ὅτι ἐν τῷ τρίτῳ καὶ μέσῳ σχήματι ὅσοι μὴ δι' ἑαυτοῦ δεικνύουσιν. ἢ οὐ κατὰ κύκλον ἀτελεῖς εἰσιν.

ΤῸ δ' ἀντιστρέφειν ἐστὶ, τὸ μετατιθέντα τὸ συμπέρασμα, ποιεῖν τὸν συλλογισμόν. ὅτι ἢ τὸ ἄκρον τῷ μέσῳ οὐχ ὑπάρξει, ἢ τοῦτο, τῷ τελευταίῳ.

Εἰρήκαμεν ἤδη τοῦτο πλειστάκις. ὡς ὅτι τρεῖς ὑπάρχουσιν ἀντιστροφαὶ, μία μὲν ἡ ἐν ὅροις. δευτέρα δὲ ἡ ἐν προτάσεσι. τρίτη δὲ ἡ ἐν συλλογισμῷ. ἀλλὰ περὶ μὲν τῆς ἐν τοῖς ὅροις ἀντιστροφῆς, εἴρηκεν ἐν κατηγορίαις. ὅταν ἔλεγεν τὸ ἴσον ἴσῳ ἴσον. περὶ δὲ τῆς ἐν προτάσεσιν ἀντιστροφῆς εἶπεν .. ἐν τῷ πρώτῳ λόγῳ τῶν προτέρων ἀναλυτικῶν. νῦν δὲ βούλεται εἰπεῖν περὶ τῆς ἀντιστροφῆς τῆς ἐν συλλογισμῷ. γίνεται δὲ αὕτη τοῦτον τὸν τρόπον. λαμβάνομεν τὸ συμπέρασμα τὸ γινόμενον. καὶ τοῦτο μετατίθεμεν, ἢ εἰς τὸ ἐναντίον. ἢ εἰς τὸ ἀντιφατικῶς ἀντικείμενον. καὶ τὴν ἄλλην πρότασιν ὑγιῆ. καὶ οὕτω δεικνύομεν τῆς λοιπῆς προτάσεως ὡς ὅτι τὸ ἐναντίον συνάγεται. ἢ τὸ ἀντιφατικῶς ἀντικείμενον, οἷον, εἰ συναχθῇ συμπέρα-

σμα

Illud. καὶ διὰ τοῦ ἐσχάτου, falsum est: neque est in veteri, aut Boethiana versione, neque exponitur à Philopono. Et vero quomodo unquam universale colligeretur in 3 figura!

ΤΟ δὲ στερητικὸν, ὧδε δείκνυται. ὑπαρχέτω τὸ α παντὶ τῷ β, τῷ δὲ γ μηδενί. συμπέρασμα, τὸ β τῷ γ οὐδενί. ἐὰν οὖν ληφθῇ τὸ β, παντὶ τῷ α ὑπάρχειν. τῷ δὲ γ μηδενὶ, ἀνάγκη τὸ α μηδενὶ τῷ γ ὑπάρχειν. γίνεται γὰρ τὸ β σχῆμα. μέσον τὸ β.

Λ αμβάνει πρώτην τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. καί φησιν ὅτι τὴν μείζονα οὐ δύναται δεῖξαι κύκλῳ. τὸ γὰρ καθόλου καταφατικὸν ἐκ δύο καταφατικῶν καθόλου ἦν. ἐνταῦθα δὲ καὶ τὸ συμπέρασμα καὶ ἡ ἐλάττων πρότασις ἀποφατική. τὴν δὲ ἐλάττονα τὴν καθόλου ἀποφατικὴν οὕτως. τὸ γ οὐδενὶ τῷ α. ἦν γὰρ τὸ α οὐδενὶ τῷ γ. τὸ οὖν β οὐδενὶ τῷ γ. τὸ β παντὶ τῷ α. ὥστε τὸ β οὐδενὶ τὸ α. καὶ τὸ α οὐδενὶ τῷ β. δυνατὸν δὲ καὶ τὴν μείζονα εἰ καὶ μὴ κύκλῳ. ἀλλ' οὖν κατὰ πρόσληψιν δεῖξαι οὕτως. ὅτι ᾧ τὸ γ οὐδενὶ συμπεράσματι, τούτῳ παντὶ τὸ α. τὸ δὲ β οὐδενὶ τῷ γ. τὸ ἄρα α παντὶ τῷ β.

ΕΙ δὲ τὸ α β στερητικὸν ληφθῇ. θάτερον δὲ κατηγορικὸν, τὸ α γ. τὸ α ἔσται σχῆμα. τὸ μὲν γ παντὶ τῷ α, τὸ δὲ β οὐδενὶ τῷ γ ὥστ' οὐδενὶ τῷ α τὸ β. οὐδ' ἄρα τῷ β τὸ α. μέσον τὸ γ. διὰ μὲν οὖν τοῦ συμπεράσματος, καὶ τῆς προτάσεως τῆς μιᾶς, οὐ γίνεται συλλογισμός. προσληφθείσης δὲ ἑτέρας, ἔσται.

Ν ῦν λαμβάνει τὴν μείζονα στερητικὴν, τὴν δὲ ἐλάττονα καταφατικήν. τὴν οὖν μείζω δεῖξαι δυνατὸν, οὐ μέντοι τὴν ἐλάττω οὕτως. τὸ β οὐδενὶ τῷ γ. τὸ γ παντὶ τὸ α. τὸ ἄρα β οὐδενὶ τῷ α. καὶ τὸ α οὐδενὶ τῷ β. διὰ τοῦτο δεύτερος ἐλήφθη οὗτος ὁ τρόπος, ἐπειδὴ δύο ἔχει ἀντιστροφὰς μίαν τὴν λέγουσαν τὸ γ παντὶ τῷ α. ἦν γὰρ τὸ α παντὶ τῷ γ. καὶ ἑτέραν τὴν τοῦ συμπεράσματος. τὴν δὲ ἐλάττω πρότασιν, δυνατὸν δεῖξαι διὰ προσλήψεως οὕτως. ᾧ τὸ β οὐδενὶ, τούτῳ τὸ α παντί. τὸ δὲ β τῷ γ οὐδενί. οὐκοῦν τὸ α τῷ γ παντί.

ΗΝ δὲ μὴ καθόλου ὁ συλλογισμὸς ᾖ. ἡ μὲν, ἐν ὅλῳ πρότασις οὐ δείκνυται. διὰ τὴν αὐτὴν αἰτίαν ἣν εἴπομεν καὶ πρότερον. ἡ δ' ἐν μέρει, δείκνυται, ὅταν ᾖ τὸ καθόλου κατηγορικόν. ὑπαρχέτω γὰρ τὸ μὲν α παντὶ τῷ β. τῷ δὲ γ μὴ παντί. συμπέρασμα, τὸ β γ. ἐὰν οὖν ληφθῇ τὸ β παντὶ τῷ α. ᾧ δὲ γ μὴ παντὶ, συμπέρασμα τὸ α τινὶ τῷ γ οὐχ ὑπάρξει. μέσον, τὸ β.

Ρ ληρώσας περὶ τῶν καθόλου ἐν δευτέρῳ σχήματι, νῦν λέγει περὶ τῶν μερικῶν. καὶ πρῶτον τὴν ἔχουσαν, τὴν μείζονα καθόλου καταφατικὴν, τὴν δὲ ἐλάττονα μερικὴν ἀποφατικὴν, καί φησιν ὅτι ἀδύνατον τὴν μείζω κύκλῳ δεῖξαι διότι καθόλου, τὴν δὲ ἐλάττω δυνατὸν, οὕτως. τὸ β παντὶ τῷ α. τὸ β οὐ παντὶ τῷ γ. καὶ τὸ α οὐ παντὶ τῷ γ. ἥτις ἦν ἐλάττων πρότασις. τὴν δὲ μείζω δυνατὸν, διὰ προσλήψεως οὕτως ᾧ β ὑπάρχει οὐ παντὶ, τούτῳ τὸ α παντί. τὸ δὲ β τῷ γ ὑπάρχει οὐ παντί. τὸ ἄρα α τῷ β ὑπάρχει παντί.

ΕΙ δὲ ἐστὶν ἡ καθόλου στερητικὴ, οὐ δειχθήσεται ἡ α γ πρότασις. ἀντιστραφέντος τοῦ α β. συμβαίνει γὰρ ἢ ἀμφοτέρας ἢ τὴν ἑτέραν πρότασιν γίνεσθαι ἀποφατικήν. ὥστ' οὐκ ἔσται συλλογισμός. ἀλλ' ὁμοίως δειχθήσεται ὡς καὶ ἐπὶ τῶν καθόλου ἐὰν ληφθῇ ᾧ τὸ β τινὶ μὴ ὑπάρχει. τὸ α τινὶ ὑπάρχει.

Σ ἂν δέ φησιν ἡ μείζων ᾖ ἀποφατικὴ, πάλιν ἡ μείζων οὐ δειχθήσεται. ἡ δὲ ἐλάττων, κατὰ πρόσληψιν οὕτως. ᾧ τὸ β οὐ παντὶ ὑπάρχει, τούτῳ τὸ α τινί. τῷ δὲ γ τὸ β οὐ παντὶ ὑπάρχει. τῷ ἄρα γ τὸ α τινὶ ὑπάρχει.

ΕΠΙ δὲ τοῦ γ σχήματος, ὅταν μὲν ἀμφότεραι αἱ προτάσεις καθόλου ληφθῶσιν, οὐκ ἐνδέχεται δεῖξαι δι' ἀλλήλων. τὸ μὲν γὰρ καθόλου δείκνυται διὰ τῶν καθόλου. τὸ δὲ ἐν τούτῳ συμπέρασμα, ἀεὶ κατὰ μέρος. ὥστε φανερὸν ὅτι οὐκ ἐνδέχεται ὅλως δεῖξαι διὰ τούτου τοῦ σχήματος τὴν καθόλου πρότασιν.

Σ ἰρηκὼς ποῖαι προτάσεις δείκνυνται ἐν δευτέρῳ σχήματι κύκλῳ καὶ ποῖαι οὐ δείκνυνται κύκλῳ, ἀλλὰ διὰ προσλήψεως, νῦν λέγει περὶ τῶν ἐν τρίτῳ σχήματι προτάσεων. καὶ πρῶτον ἐξ ἄμφω καθόλου. καί φησιν ὅτι οὐ δυνατὸν ἐν τρίτῳ σχήματι τὰς προτάσεις τὰς ἐξ ἄμφω καθόλου κύκλῳ δεῖξαι. διατί. τὰς γὰρ καθόλου, διὰ τῶν καθόλου ἐδείκνυμεν. ἐν δὲ τῷ τρίτῳ σχήματι τὰ συμπεράσματα μερικά. ὥστε οὐ δείκνυνται ἐν τῷ τρίτῳ σχήματι ἐξ ἄμφω καθόλου προτάσεις.

ΕΑΝ δὲ ἡ μὲν ᾖ καθόλου. ἡ δ' ἐν μέρει, ποτὲ μὲν ἔσται. ποτὲ δὲ οὐκ ἔσται συλλογισμός. ὅταν μὲν οὖν ἀμφότεραι κατηγορικαὶ ληφθῶσι, καὶ τὸ καθόλου γένηται πρὸς τῷ ἐλάττονι ἄκρῳ, ἔσται.

Σ ἰρηκὼς, ὅτι ἡ καθόλου πρότασις οὐ δείκνυται τοῦ τρίτου σχήματος, νῦν λέγει περὶ τῶν τὴν μὲν ἐχουσῶν καθόλου, τὴν δὲ ἄλλην μερικὴν καί φησιν. ὅτι ἐὰν ἀμφότεραι ληφθῶσιν κατηγορικαί. καὶ ἡ μείζων μερικὴ ἡ δὲ ἐλάττων καθόλου, ἔσται. εἰ δὲ τὸ ἀνάπαλιν, οὐκ ἔσται. οἷον τὸ α παντὶ τῷ β. καὶ τὸ β παντὶ τῷ α. τὸ ἄρα α τινὶ τῷ β. τοῦτο γὰρ δέδεικται. ὥστε καὶ τὸ γ τινὶ τῷ β. οὐ μὴν δὲ τὸ β τινὶ τῷ α. οὕτως ἡ μερικὴ πρότασις δείκνυται. ἡ δὲ καθόλου οὐ δείκνυται, διότι καθόλου ἐστὶν, εἰ μὴ ἄρα κατὰ πρόσληψιν.

ΟΤΑΝ δὲ πρὸς θατέρῳ, οὐκ ἔσται. ὑπαρχέτω γὰρ τὸ α παντὶ τῷ γ, τὸ δὲ β τινί. συμπέρασμα τὸ α β. ἐὰν οὖν ληφθῇ τὸ γ παντὶ τῷ α ὑπάρχειν ἀντιστραφείσης τῆς καθόλου καὶ τὸ α τῷ β ὃ ἦν συμπέρασμα. τὸ μὲν γ δέδεικται τινὶ τῷ β ὑπάρχειν. τὸ δὲ β τινὶ τῷ γ οὐ δέδεικται. καίτοι ἀνάγκη.

κοινοῦσιν ὅτι ὁ εἰς τὰ τρία σχήματα κατὰ τὴν πρόσληψιν τρεῖς ἔχει ὅρους. διαφέρει δὲ ὅτι ὡς ὅρος, πάντως τὸ πρῶτον ἀόριστόν ἐστι. καὶ ὀφείλουσιν ἐξ ὁμολογίας προσεῖναι αἱ προτάσεις. τῶν δὲ ὑποθετικῶν κοινούς. καθὸ οὐ συμπέρασμα συνάγουσιν, ἀλλὰ πρότασιν. λέγοντες τούτῳ τὸ β' παντί. ὥστε εἶναι παντὶ τῷ γ' τὸ β'. ὥσπερ καὶ αἱ ὑποθετικαί. διαφέρουσι δὲ καθὸ κοινωνοῦσι τοῖς κατηγορικοῖς.

ΕΙ δ' ὅτι τὸ β' τῷ γ' δεῖ συμπεράνασθαι, οὐκέτι ὁμοίως ἀντιστρεπτέον τὴν α' β'. ἡ γὰρ αὐτὴ πρότασις τὸ β' μηδενὶ τῷ α' καὶ τὸ α' μηδενὶ τῷ β' ὑπάρχειν. ἀλλὰ ληπτέον ᾧ τὸ α' μηδενὶ ὑπάρχει, τὸ β' παντὶ ὑπάρχειν. ἔστω τὸ α' μηδενὶ τῷ γ' ὑπάρχειν, ὅπερ ἦν τὸ συμπέρασμα. ᾧ δὲ τὸ α' μηδενί, τὸ β' εἰλήφθω παντὶ ὑπάρχειν. ἀνάγκη οὖν τὸ β' παντὶ τῷ γ' ὑπάρχειν. ὥστε τριῶν ὄντων, ἕκαστον συμπέρασμα γέγονε. καὶ τὸ κύκλῳ ἀποδεικνύναι τοῦτ' ἔστι, τὸ τὸ συμπέρασμα λαμβάνοντα, καὶ ἀνάπαλιν τὴν ἑτέραν πρότασιν τὴν λοιπὴν συλλογίζεσθαι.

Ἐὰν χρεία φησὶ δεῖξαι τὴν ἐλάττω πρότασιν, οὐ δύναται δι' ἀντιστροφῆς δειχθῆναι τῆς μείζονος. ἐπειδὴ καὶ τὸ συμπέρασμα ἀποφατικόν, καὶ ἡ μείζων. ἐκ δύο δὲ ἀποφατικῶν οὐ γίνεται συλλογισμός. ἤτοι οὐ συνάγεται συμπέρασμα συλλογιστικόν. ἀλλὰ πῶς, διὰ προσλήψεως οὕτως. ὅτι ᾧ τὸ α' οὐδενὶ ὑπάρχει, τούτῳ τὸ β' παντί. τῷ δὲ γ' τὸ α' οὐδενὶ ὑπάρχει. τούτῳ ἄρα τὸ β' παντί. ἰδοὺ ἵνα δείξῃ τὴν ἐλάττω πρότασιν τοῦ πρώτου σχήματος, διὰ προσλήψεως ἔδειξεν. ἡ δὲ πρόσληψις ἔδειξε τὴν ἐλάττω πρότασιν διὰ τοῦ τρίτου σχήματος.

ΕΠΙ δὲ τῶν ἐν μέρει συλλογισμῶν, τὴν μὲν καθόλου πρότασιν, οὐκ ἔστιν ἀποδεῖξαι διὰ τῶν ἑτέρων. τὴν δὲ κατὰ μέρος ἔστιν. ὅτι μὲν οὖν οὐκ ἔστιν ἀποδεῖξαι τὴν καθόλου, φανερόν. τὸ μὲν γὰρ καθόλου δείκνυται διὰ τῶν καθόλου. τὸ δὲ συμπέρασμα, οὐκ ἔστι καθόλου. δεῖ δὲ ἐκ τοῦ συμπεράσματος δεῖξαι καὶ ἐκ τῆς ἑτέρας προτάσεως.

Ἐπλήρωσεν ἐν τῷ πρώτῳ σχήματι περὶ τῶν ἄμφω καθόλου, νῦν ἦλθεν περὶ τῶν μερικῶν συμπερασμάτων. καὶ πρῶτον περὶ τοῦ καταφατικοῦ φησι. ὅτι τῆς ἐλάττονος προτάσεως ἐνδέχεται δεῖξαι τὴν κύκλῳ. τῆς δὲ μείζονος, οὐκέτι ἐνδέχεται. εἰ μὴ ἄρα διὰ προσλήψεως πάλιν. ἡ γὰρ μείζων καθόλου καταφατική. τὸ δὲ καθόλου καταφατικὸν ἐκ τῶν καθόλου συνήγετο. καὶ ἐνταῦθα ὅτι ἐλάττων μερική, καὶ τὸ συμπέρασμα μερικόν. ἐκ δύο δὲ μερικῶν οὐδὲν συνάγεται.

ΕΤΙ ὅλως οὐδὲ γίνεται συλλογισμὸς ἀντιστραφείσης τῆς προτάσεως. ἐν μέρει γὰρ ἀμφότεραι γίνονται αἱ προτάσεις. τὴν δὲ ἐν μέρει ἔστι. δεδείχθω γὰρ τὸ α', κατά τινος τοῦ γ' διὰ τοῦ β'. ἐὰν οὖν ληφθῇ τὸ β' παντὶ τῷ α', καὶ τὸ συμπέρασμα μένῃ, τὸ β' τινὶ τῷ γ' ὑπάρξει, γίνεται γὰρ τὸ πρῶτον σχῆμα καὶ τὸ α' μέσον.

Ἐπειδὴ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματός ἐστιν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. μερικὸν συνάγων συμπέρασμα. φησὶν ὅτι κύκλῳ δεῖξαι τὴν ἐλάττονα ὅτι τὸ β' τινὶ τῷ γ' δυνατὸν οὕτως. τὸ β' παντὶ τῷ α'. ἦν γὰρ τὸ α' παντὶ τῷ β'. τὸ οὖν β' παντὶ τῷ α'. τὸ α' τινὶ τῷ γ'. καὶ τὸ β' ἄρα τινὶ τῷ γ'. τὴν δὲ μείζονα κύκλῳ οὐ δυνατὸν δεῖξαι διὰ τὸ καθόλου. τὸ δὲ καθόλου ἐκ δύο καθόλου ἐδείκνυτο. πῶς οὖν δείκνυται, διὰ προσλήψεως οὕτως. ὃ τῷ γ' ὑπάρχει τινὶ ὡς ἐν προτάσει εἴρηκα μέν. καὶ διὰ τοῦ συμπεράσματος. καὶ τοῦτο γὰρ τινὶ συνάγεται. τούτῳ ὑπάρχει τὸ α' β' παντὶ καθόλου. τὸ δὲ β' ὑπάρχει τῷ γ' τινί. τῷ ἄρα β' τὸ α' παντὶ καὶ ἐδείχθη ἡ πρόσληψις διὰ τοῦ τρίτου σχήματος.

ΕΙ ΔΕ στερητικὸς ὁ συλλογισμός, τὴν μὲν καθόλου πρότασιν οὐκ ἔστι δεῖξαι. διὸ καὶ πρότερον ἐλέχθη. τὴν δὲ ἐν μέρει ἔστιν, ἐὰν μὲν ὁμοίως ἀντιστραφῇ τὸ α' β', ὥσπερ καὶ ἐπὶ τῶν καθόλου, οὐκ ἔστι. διὰ προσλήψεως δὲ ἔστιν, οἷον ᾧ τὸ α' τινὶ μὴ ὑπάρχῃ, τὸ β' τινὶ ὑπάρχειν. ἄλλως γὰρ ἐχόντων οὐ γίνεται συλλογισμός. διὰ τὸ ἀποφατικὴν εἶναι τὴν ἐν μέρει πρότασιν.

Ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματός ἐστιν ὁ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. καὶ φησὶν ὅτι οὔτε τὴν μείζονα, οὔτε τὴν ἐλάττονα δυνατὸν δεῖξαι διὰ τῆς κύκλῳ δείξεως. ἀλλὰ διὰ προσλήψεως μόνη ἡ ἐλάττων δείκνυται. καὶ ἡ μὲν μείζων οὐ δύναται, διότι καθόλου. ἡ δὲ ἐλάττων διὰ προσλήψεως, διότι καὶ ἡ μείζων καὶ τὸ συμπέρασμα ἀποφατικόν. ἐκ δὲ ἀποφατικοῦ οὐδὲν συνήγετο. πῶς δὲ ἡ ἐλάττων δείκνυται οὕτως. ᾧ τὸ α' τινὶ μὴ ὑπάρχει, τούτῳ τὸ β' τινὶ ὑπάρχει. τῷ δὲ γ' τὸ α' τινὶ οὐχ ὑπάρχει. τὸ ἄρα γ' τὸ β' τινὶ ὑπάρχει. καὶ ἄλλως οὐκ ἔνι.

χ

ΕΝ δὲ τῷ δευτέρῳ σχήματι, τὸ μὲν καταφατικόν, οὐκ ἔστι δεῖξαι διὰ τούτου τοῦ τρόπου. τὸ δὲ στερητικὸν ἔστι. τὸ μὲν οὖν κατηγορικὸν οὐ δείκνυται, διὰ τὸ μὴ ἀμφοτέρας εἶναι τὰς προτάσεις, καταφατικάς. τὸ γὰρ συμπέρασμα στερητικόν ἐστι. τὸ δὲ κατηγορικόν, ἐξ ἀμφοτέρων ἐδείκνυτο καταφατικῶν.

Ἐπλήρωσε περὶ τοῦ πρώτου σχήματος, νῦν ἦλθεν ἐπὶ τὸ δεύτερον. καὶ ἐνταῦθα δὲ δυνατὸν δεῖξαι κύκλῳ ἢ κατὰ τὴν πρόσληψιν τὰς προτάσεις. καὶ ἣν μὲν ἔλαβε πρώτην συζυγίαν αὐτοῦ, νῦν δευτέραν. ἣν δὲ δευτέραν, νῦν πρώτην. καὶ ἣν ἔλαβε τρίτην, νῦν τετάρτην. καὶ ἣν τετάρτην, νῦν τρίτην.

δευτέρου ψευδής· οἷον πᾶς ἄνθρωπος ζῶον· καὶ πᾶν ζῶον ἄνθρωπος. ταύτην τὴν δευτέραν ἀντιστροφὴν ἀναπόδεικτον καλεῖ ἀντὶ τοῦ ψευδῆ καὶ μὴ δυναμένην ἀποδειχθῆναι. τίς γὰρ δύναται ἀποδεῖξαι ὅτι πᾶν ζῶον ἄνθρωπός ἐστιν. οὐκοῦν ἡ μία ἀναπόδεικτος εὑρίσκεται πρότασις. ἡ δὲ ἄλλη ὑγιής. καὶ δείκνυται τὸ συναγόμενον.

ΕΝ δὲ τοῖς ἀντιστρέφουσιν ἔσται πάντας δεικνύναι δι' ἀλλήλων. οἷον εἰ τὸ α΄ καὶ τὸ β΄ καὶ τὸ γ΄ ἀντιστρέφουσιν ἀλλήλοις.

νῦν ὁ αὐτὸς ὅτι οὐ δυνατὸν δεῖξαι τὴν ἀντιστρεφομένην πρότασιν διὰ συλλογισμοῦ. εἰ μήτις γε αὐτὰ λάβῃ, τὴν ὀξιάζουσαν ἀντιστροφήν. τὴν ἀληθῆ γὰρ δι' ἀλλήλων δεῖξαι ἐνδέχεται.

ΑΠΟΔΕΙΧΘΩ γὰρ τὸ α΄γ΄ διὰ μέσου τοῦ β΄. καὶ πάλιν τὸ α΄β΄ διά τε τοῦ συμπεράσματος, καὶ τῆς β΄γ΄ προτάσεως ἀντιστραφείσης. ὡσαύτως δὲ καὶ τὸ β΄γ΄, διά τε τοῦ συμπεράσματος, καὶ τῆς α΄β΄ προτάσεως ἀντιστραμμένης. δεῖ δὲ τήν τε γ΄β΄ καὶ τὴν β΄α΄ πρότασιν ἀποδεῖξαι.

δειχθῇ τὸ α΄ παντὶ τῷ γ΄ διὰ τοῦ β΄ οὕτως. τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. τὸ α΄ παντὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ β΄. τὸ ἄρα α΄ παντὶ τῷ β΄. εἰ δὲ δέοι δεῖξαι τὸ α΄β΄ δείκνυμεν διὰ τοῦ γ΄ οὕτως. τὸ α΄ παντὶ τῷ γ΄, τὸ γ΄ παντὶ τῷ β΄. τὸ ἄρα α΄ παντὶ τῷ β΄. εἰ δὲ δέοι δεῖξαι τὸ β΄γ΄ οὕτως. τὸ β΄ παντὶ τῷ α΄. τὸ α΄ παντὶ τῷ γ΄. τὸ β΄ παντὶ τῷ γ΄.

ΤΑΥΤΑΙΣ γὰρ ἀναποδείκτοις κεχρήμεθα μόναις. ἐὰν οὖν ληφθῇ τὸ β΄ παντὶ τῷ γ΄ ὑπάρχειν. καὶ τὸ γ΄ παντὶ τῷ α΄, συλλογισμὸς ἔσται τοῦ β΄ πρὸς τὸ α΄. πάλιν ἐὰν ληφθῇ τὸ μὲν γ΄ παντὶ τῷ α΄, τὸ δὲ α΄ παντὶ τῷ β΄, ἀνάγκη τὸ γ΄ παντὶ τῷ β΄ ὑπάρχειν. ἐν ἀμφοτέροις δὴ τούτοις τοῖς συλλογισμοῖς ἡ γ΄α΄ πρότασις ἀναπόδεικτος εἴληπται. αἱ γὰρ ἕτεραι, δεδειγμέναι ἦσαν. ὥστε ἂν ταύτην ἀποδείξωμεν, ἅπασαι ἔσονται δεδειγμέναι δι' ἀλλήλων.

ἀναποδείκτους ἀντὶ τοῦ ψευδεῖς καὶ μὴ ἀποδειχθεῖσαν. ἡ α΄γ΄ πρότασις εἴληπται ἀναπόδεικτος. τὴν α΄γ΄ ἥτις ἦν συμπέρασμα, νῦν πρότασιν ἔλαβεν. αἱ γὰρ ἄλλαι ἦσαν ἀποδειχθεῖσαι προτάσεις, ἐὰν δὲ καὶ τὴν α΄γ΄ ἀποδείξωμεν, ὅλας ἐσμὲν ἀποδείξαντες.

ΕΑΝ οὖν ληφθῇ τὸ γ΄ παντὶ τῷ β΄, καὶ τὸ β΄ παντὶ τῷ α΄ ὑπάρχειν, ἀμφότεραί τε αἱ προτάσεις ἀποδεδειγμέναι λαμβάνονται. καὶ τὸ γ΄ τῷ α΄ ἀνάγκη ὑπάρχειν.

λέγει πῶς δείκνυται ἡ α΄γ΄. ὥσπερ γὰρ ἐδείξαμεν πῶς ἡ α΄β΄ ὑπάρχει. καὶ ἡ β΄α΄. καὶ πῶς ἡ β΄γ΄. καὶ ἡ γ΄β΄. ὁμοίως καὶ τὴν α΄γ΄ βούλεται ἀποδεῖξαι οὕτως. τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ γ΄. εἰ δὲ τὸ γ΄ τῷ α΄ οὕτως. τὸ γ΄ παντὶ τῷ β΄. τὸ β΄ παντὶ τῷ α΄. τὸ γ΄ παντὶ τῷ α΄.

ΦΑΝΕΡΟΝ οὖν ὅτι ἐν μόναις ταῖς ἀντιστρέφουσι, κύκλῳ, καὶ δι' ἀλλήλων ἐνδέχεται γίνεσθαι τὰς ἀποδείξεις.

φανερόν φησιν ἐκ τῶν εἰρημένων ὅτι ἀντιστροφῆς γινομένης, γίνεται δι' ἀλλήλων δεῖξις. ἤτοι ἀληθοῦς ἀντιστροφῆς, ἤτοι ψευδοῦς.

ΕΝ δὲ τοῖς ἄλλοις, ὥσπερ πρότερον εἴπομεν. συμβαίνει δὲ καὶ ἐν τούτοις αὐτῷ τῷ δεικνυμένῳ χρῆσθαι πρὸς τὴν ἀπόδειξιν. τὸ μὲν γὰρ γ΄, κατὰ τοῦ β΄, καὶ τὸ β΄ κατὰ τοῦ α΄ δείκνυται, ληφθέντος τοῦ γ΄ κατὰ τοῦ α΄ λέγεσθαι. τὸ δὲ γ΄ κατὰ τοῦ α΄ διὰ τούτων δείκνυται τῶν προτάσεων, ὥστε τῷ συμπεράσματι χρώμεθα πρὸς τὴν ἀπόδειξιν.

τὰς ἄλλας λέγει τὰς τὰς ψευδεῖς ἀντιστροφὰς ποιοῦσαν. ἐν δὲ τούτοις τοῖς τὰς ἀληθεῖς ἀντιστροφάς. ὁμοίως δείξομεν τόδε τῷδε ὑπάρχειν ἢ οὔ.

ΕΠΙ δὲ τῶν στερητικῶν συλλογισμῶν ὧδε δείκνυται δι' ἀλλήλων. ἔστω τὸ μὲν β΄ παντὶ τῷ γ΄ ὑπάρχειν, τὸ δὲ α΄ μηδενὶ τῷ β΄. συμπέρασμα, ὅτι τὸ α΄ οὐδενὶ τῶν γ΄. εἰ δὴ πάλιν δεῖ συμπεράνασθαι, ὅτι τὸ α΄ οὐδενὶ τῶν β΄, ὃ πάλαι ἔλαβεν, ἔσται τὸ μὲν α΄, μηδενὶ τῷ γ΄. τὸ δὲ γ΄ παντὶ τῷ β΄, οὕτω γὰρ ἀνάπαλιν ἡ πρότασις.

εἰρηκὼς ὅπως ἐν τῷ πρώτῳ σχήματι τὰ καταφατικὰ ἐδείκνυτο, νῦν περὶ τῶν στερητικῶν λέγει. ὅτι δείκνυται μὲν ἡ μείζων πρότασις. ἡ δὲ ἐλάττων οὐ δείκνυται, εἰ μὴ διὰ τοῦ πρόσληψιν συλλογισμοῦ. ἐδείκνυτο γὰρ ὅτι τὸ α΄ διὰ μέσου τοῦ β΄, οὐδενὶ ὑπάρχει τῷ γ΄. πόθεν δῆλον ὅτι τὸ α΄ οὐδενὶ τῷ β΄. οὕτω πάλιν τὸ α΄ οὐδενὶ τῷ γ΄. τὸ γ΄ παντὶ τῷ β΄. ὑπέκειτο δὲ τὸ β΄ παντὶ τῷ γ΄, καὶ τὸ α΄ ἄρα οὐδενὶ τῷ β΄. οὐκέτι δὲ δύναται τὴν ἐλάττω πρότασιν δεῖξαι. εἰ μὴ διὰ προσλήψεως ἐπεὶ διὰ κατηγορίας οὐ δυνατόν. ἔστι γὰρ μείζων ἀποφατική, καὶ τὸ συμπέρασμα ἀποφατικόν. ἐκ δύο δὲ ἀποφατικῶν, οὐδὲν συνάγεται. διὰ δὲ προσλήψεως δείκνυται ἡ ἐλάττων πρότασις οὕτως. ἵνα εἴπωμεν ᾧ τὸ α΄ οὐδ' ὅλως ὑπάρχει τούτῳ τὸ β΄ παντὶ ὑπάρχει. τῷ δὲ γ΄ τὸ α΄ οὐδ' ὅλως ὑπάρχει. τούτῳ οὖν τὸ β΄ παντί. καὶ δῆλον ὅτι ἐπὶ τῶν κατὰ πρόσληψιν συλλογισμῶν ὁ εἷς ὅρος ἀόριστος ὤν, ὕστερον ὁρίζεται ὡς εἴρηκα. ᾧ τὸ α΄ οὐδενί, τούτῳ τὸ β΄ παντί. ἰδοὺ ἀόριστον ἐλάβομεν τὸν ἔσχατον ὅρον. ὕστερον δὲ ὁρίζεται. ὅταν εἴπωμεν τῷ δὲ γ΄ τὸ α΄ οὐδενί. τούτῳ οὖν τὸ β΄ παντί. κοινωνοῦσι δὲ οἱ κατὰ πρόσληψιν συλλογισμοὶ τοῖς τε κατηγορικοῖς καὶ τοῖς ὑποθετικοῖς. ὁμοίως δὲ διαφέρουσι. καὶ τοῖς κατηγορικοῖς μὲν κοι

ὅπερ ἄτοπον. ὥστε τὸ ἄτοπον ἠκολούθησεν διὰ τὸ εἰπεῖν ὅτι τὸ β´ ἐξ ἀνάγκης ἕπεται ἀμφοτέρων. καὶ τοῦ εἶναι τὸ α´ λευκόν. καὶ τοῦ μὴ εἶναι ὅπερ ἐδείχθη τοῦ διὰ τριῶν συλλογισμοῦ. διὰ τριῶν δὲ ἐκλήθη ὅτι λαμβάνει τοὺς ὅρους καὶ τὸν ἐλάττονα ἄκρον ὑποθετικὸν καὶ τὸν μείζονα. ἔστι οὖν ὑποθετικὸς ὁ συλλογισμὸς, ὅτι ἔχει τρεῖς ὅρους. οὔτε κατηγορικὸς, ὅτι ὑποθετικαί εἰσιν αἱ προτάσεις διὰ τοῦτο διὰ τριῶν ἐκλήθη.

» ΑΔΥΝΑΤΟΝ ἐξ ἀνάγκης εἶναι τὸ αὐτό.

Ἀδύνατόν φησιν ἐξ ἀνάγκης εἶναι τὸ αὐτὸ συμπέρασμα τοῦ αὐτοῦ αὖθις τῆς προτάσεως καὶ ὄντος καὶ μὴ ὄντος.

» ΛΕΓΩ δὲ οἷον. τοῦ α´ ὄντος λευκοῦ, τὸ β´ εἶναι ἐξ ἀνάγκης.

Ὡς ἐπὶ παραδείγματος τοῦτο λέγει. ὅτι δὲ τοῦτο ὁμολογεῖται, ὅτι τοῦ α´ εἰ τύχει λευκοῦ ὄντος, τὸ β´ μέγα εἶναι ἐξ ἀνάγκης, καὶ τοῦ λευκοῦ μὴ ὄντος τὸ β´ μὴ εἶναι.

» ΚΑΙ μὴ ὄντος λευκοῦ τοῦ α´, τὸ β´ εἶναι ἐξ ἀνάγκης. ὅταν γὰρ, τουδὶ ὄντος λευκοῦ οἷον τοῦ α´, ἀνάγ-
» κης τοδὶ εἶναι μέγα, τὸ β´. τοῦ δὲ β´ ὄντος μεγάλου. τὸ γ´ μὴ εἶναι λευκὸν, ἀνάγκη, εἰ τὸ α´ λευκὸν τὸ γ´ μὴ
» εἶναι λευκόν. καὶ ὅταν δυοῖν ὄντοιν, θατέρου ὄντος, ἀνάγκη θάτερον εἶναι, τούτου μὴ ὄντος, ἀνάγκη
» τὸ α´ μὴ εἶναι. τοῦ δὴ β´ μὴ ὄντος μεγάλου, τὸ α´ οὐχ οἷόν τε λευκὸν εἶναι. τοῦ δὲ α´ μὴ ὄντος λευκοῦ, εἰ
» ἀνάγκη τὸ β´ μέγα εἶναι, συμβαίνει ἐξ ἀνάγκης τοῦ β´ μὴ ὄντος μεγάλου, αὐτὸ τὸ β´ μέγα εἶναι. τοῦτο
» δὲ ἀδύνατον. εἰ γὰρ τὸ β´ μὴ ἔστι μέγα, τὸ α´ οὐκ ἔσται λευκὸν ἐξ ἀνάγκης. εἰ οὖν μὴ ὄντος τούτου λευκοῦ
» τὸ β´ ἔσται μέγα, συμβαίνει εἰ τὸ β´ μὴ ἔστι μέγα, εἶναι μέγα, ὡς διὰ τριῶν.

Ἐξ ἀνάγκης καλῶς ἐλέγομεν καὶ ἐπὶ τῶν προτάσεων ὅτι τῶν προτάσεων ἀληθῶν οὐσῶν, ἀνάγκη τὸ συμπέρασμα ἀληθές. οὐκέτι δὲ τῶν προτάσεων μὴ οὐσῶν ἀληθῶν. τὸ συμπέρασμα μὴ εἶναι ἀληθές. ἐνδέχεται γὰρ ἀληθὲς εἶναι τὸ συμπέρασμα.

» ΤΟ δὲ κύκλῳ καὶ ἐξ ἀλλήλων δείκνυσθαί ἐστι, τὸ διὰ τοῦ συμπεράσματος. καὶ τοῦ ἀνάπαλιν τῇ
» κατηγορίᾳ, τὴν ἑτέραν λαβόντα πρότασιν, συμπεράνασθαι τὴν λοιπὴν, ἣν ἐλάμβανεν ἐν ἑτέρῳ συλ-
» λογισμῷ.

Εἰρηκὼς πῶς ἐκ ψευδῶν ἔνεστιν ἀληθὲς συλλογίσασθαι, νῦν λέγει περὶ τῶν κύκλῳ δεικνυμένων συλλογισμῶν. καὶ τῶν δι᾽ ἀλλήλων. εἰδέναι δὲ δεῖ, ὅτι αὕτη ἡ κύκλῳ ἡ καὶ δι᾽ ἀλλήλων δεῖξις, οὐκ ἔστι χρησίμη πρὸς τὴν ἀποδεικτικὴν μέθοδον. διὰ τὸ αὐτὸ καὶ αἴτιον εἶναι καὶ αἰτιατὸν ὡς δείξομεν. ἵνα δὲ γένηται δι᾽ ἀλλήλων δεῖξις, πάντως δεῖ ἀναστροφὴν ποιῆσαι τῆς μιᾶς προτάσεως καὶ τὸ συμπέρασμα λαβεῖν ὡς πρότασιν. διαφέρει δὲ ἀναστροφὴ ἀντιστροφῆς. ὅτι ἡ μὲν ἀντιστροφὴ μετὰ τῆς συναληθεύειν γίνεται. ἡ δὲ ἀναστροφὴ, οὐ πάντως.

» ΟΙΟΝ εἰ ἔδει δεῖξαι ὅτι τὸ α´ τῷ γ´ παντὶ ὑπάρχει. ἔδειξε δὲ διὰ τοῦ β´, πάλιν εἰ δεικνύοι ὅτι τὸ
» α´ τῷ β´ ὑπάρχει. λαβὼν τὸ μὲν α´ τῷ γ´ ὑπάρχειν. τὸ δὲ γ´ τῷ β´, καὶ τὸ α´ τῷ β´. πρότερον δὲ ἀνάπα-
» λιν ἐλάμβανε τὸ β´ τῷ γ´ ὑπάρχειν. ἢ εἰ ὅτι τὸ β´ τῷ γ´ δέοι δεῖξαι ὑπάρχον. εἰ λάβοι τὸ α´ κατὰ τοῦ γ´ ὃ
» ἦν συμπέρασμα. τὸ δὲ β´ κατὰ τοῦ α´ ὑπάρχειν. πρότερον δὲ ἐλήφθη ἀνάπαλιν τὸ α´ κατὰ τοῦ β´.

Ὅτι ὀφείλομεν λαβεῖν τὴν μίαν πρότασιν καὶ ἀναστρέψαι καὶ οὕτω ποιῆσαι τὴν δι᾽ ἀλλήλων δεῖξιν. εἴρηται. οἷον εἰ ἐδείχθη ὅτι τὸ α´ τῷ γ´ ὑπάρχει διὰ τοῦ β´. εἶτα εἰ βουληθείς δεῖξαι εἰ καὶ τὸ α´ παντὶ τῷ β´ ὑπάρχει, ποιήσας οὕτως. τὸ α´ παντὶ τῷ γ´. τὸ γ´ παντὶ τῷ β´. ἵνα ἀναστρέψῃς. συνάγει καὶ τὸ α´ παντὶ τῷ β´. καὶ ἀκριβῶς ὀφείλομεν σκοπῆσαι ὅτι ἐπὶ τῆς δι᾽ ἀλλήλων δείξεως ἡ μία πρότασις παραλαμβάνεται ὑγιὴς ἐξ ἀνάγκης. ἡ δὲ μία ἀναστρέφεται. εἰ γὰρ ἀμφοτέρας ἀναστρέψομεν καὶ μὴ τὴν μίαν ὑγιῶς λάβομεν οὐ ποιοῦμεν συλλογισμόν. πάλιν ἐληφθείη πρῶτον ὅτι τὸ α´ τῷ γ´ ὑπάρχει, διὰ αἴτιον τοῦ β´. αἰτιατὸν γέγονεν τὸ α´ γ´. νῦν δὲ ἐλήφθη τὸ α´ γ´ ὡς αἴτιον τὸ δὲ α´ β´ ὡς αἰτιατὸν ὅπερ ἄτοπον. τὸ αὐτὸ καὶ αἴτιον καὶ αἰτιατόν.

» ΑΛΛΩΣ δ᾽ οὐκ ἔστιν ἐξ ἀλλήλων δεῖξαι. εἴτε γὰρ ἄλλο μέσον λήψεται, οὐ κύκλῳ. οὐδὲν γὰρ λαμ-
» βάνεται τῶν αὐτῶν. εἴτε τούτων τι, ἀνάγκη θάτερον μόνον. εἰ γὰρ ἄμφω, τὸ αὐτὸ ἔσται συμπέρασμα. δεῖ
» δὲ ἕτερον.

Βούλεται δεῖξαι ὅτι ἄλλως οὐκ ἐνδέχεται συναχθῆναι τὰς δι᾽ ἀλλήλους δείξεις. οὔτε γὰρ εἰ ἄλλον ὅρον ἐμβάλῃς ἀντὶ τοῦ β´, ποιεῖς τὴν δι᾽ ἀλλήλων δεῖξιν. ἄλλας γὰρ ποιεῖς προτάσεις. καὶ ἄλλο συμπέρασμα. καὶ πάλιν τὰς αὐτὰς προτάσεις λαβεῖν οὐ δυνατὸν ἐπεὶ τὸ αὐτὸ ἔσται συμπέρασμα. ἀνάγκη οὖν τὴν μίαν πρότασιν λαβεῖν μετὰ ἀντιστροφῆς. ἤδη δὲ ἐδείξαμέν τι ἀλλήλων διαφέρουσιν.

» ΕΝ ΜΕΝ οὖν τοῖς μὴ ἀντιστρέφουσιν, ἐξ ἀναποδείκτου τῆς ἑτέρας προτάσεως γίνεται ὁ συλ-
» λογισμός. οὐ γάρ ἐστιν ἀποδεῖξαι διὰ τούτων τῶν ὅρων, ὅτι τῷ μέσῳ τὸ τρίτον ὑπάρχει. ἢ τῷ πρώτῳ
» τὸ μέσον.

Ἐπειδὴ ἡ ἀντιστροφὴ ἢ ἀληθὴς ἢ ψευδής. ἀληθὴς μὲν ἐπὶ τῶν ἐξισαζόντων, ψευδὴς δὲ ἐπὶ τῶν μὴ ἐξισαζόντων. οἷον ἐπὶ τοῦ προτέρου. πᾶς ἄνθρωπος γελαστικός. καὶ πᾶς γελαστικὸς ἄνθρωπος. ἐπὶ δὲ τοῦ

καταφατικὴν ἀληθῆ. οἷον τὸ α΄ οὐδενὶ τῷ γ΄ ἐπί τι ψευδής. τὸ β΄ παντὶ τῷ γ΄ ὅλη ἀληθής. καὶ ὅμως τὸ α΄ οὐ παντὶ τῷ β΄. οἷον λευκὸν, οὐδενὶ ἀνθρώπῳ. τὸ ζῷον παντὶ ἀνθρώπῳ. καὶ ὅμως τὸ λευκὸν οὐ παντὶ ζῴῳ.

ΦΑΝΕΡΟΝ οὖν ὅτι καὶ τῆς μὲν αγ΄ ὅλης ἀληθοῦς οὔσης, τῆς δὲ βγ΄ ἐπί τι ψευδοῦς, ἐγχωρεῖ τὸ συμπέρασμα εἶναι ἀληθές. ἐὰν γὰρ ληφθῇ τὸ μὲν α΄ μηδενὶ τῷ γ΄, τὸ δὲ β΄ παντί, ἡ μὲν αγ΄ ὅλη ἀληθής. ἡ δὲ βγ΄ ἐπί τι ψευδής.

Τὸ μὲν α΄ ἔλαβεν ἐπί τι ψευδῆ τὴν μείζω, τὴν δὲ ἐλάττω ἀληθῆ. νῦν λαμβάνει τὴν μὲν μείζω ἀληθῆ τὴν δὲ ἐλάττω ἐπί τι ψευδῆ. οἷον τὸ μέλαν οὐδενὶ λευκῷ. τὸ ζῷον παντὶ λευκῷ. καὶ μέλαν οὐ παντὶ ζῴῳ ὅπερ ἀληθές.

ΦΑΝΕΡΟΝ δὲ καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν, ὅτι πάντως ἔσται διὰ ψευδῶν ἀληθές. οἱ γὰρ αὐτοὶ ὅροι ληπτέοι, οἳ καὶ ὅταν καθόλου ὦσιν αἱ προτάσεις, οἱ μὲν, ἐν τοῖς κατηγορικοῖς κατηγορικοί. οἱ δὲ, ἐν τοῖς στερητικοῖς στερητικοί. οὐδὲν γὰρ διαφέρει μηδενὶ ὑπάρχοντος καθόλου λαβεῖν ὑπάρχειν. καὶ τινὶ ὑπάρχειν λαβεῖν καθόλου πρὸς τὴν τῶν ὅρων ἔκθεσιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν στερητικῶν.

Πληρώσας περὶ τῶν προτάσεων τῶν ἄμφω καθόλου, νῦν λέγει περὶ τῶν ἄμφω, τῶν μὲν καθόλου, τῶν δὲ ἐν μέρει. καὶ τοῦτο διχῶς, ἢ γὰρ ἡ μείζων καθόλου, ἡ δ' ἐλάττων μερική. ἢ ἡ μείζων μερική, ἡ δὲ ἐλάττων καθόλου. καὶ ἢ ἄμφω καταφατικαί. ἢ ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. καὶ ἢ ἄμφω ψευδεῖς, ἢ ἡ καθόλου ὅλη ψευδής, ἡ δὲ μερικὴ ἐπί τι. ἢ ἔμπαλιν. καὶ ἢ ἡ μὲν ψευδής, ἡ δὲ ἀληθής. καὶ τούτων. ἢ ἡ μείζων ἀληθής, ἡ δὲ ἐλάττων ψευδής. ἢ ἡ μείζων ψευδής, ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἄμφω ἐπί τι ψευδεῖς. τούτων οὖν οὕτως ἐχουσῶν, ἀληθὲς τὸ συμπέρασμα. φησὶν οὖν ὅτι ὥσπερ ἐπὶ τῶν καθόλου προτάσεων οὐσῶν, ἐδείξαμεν ἐκ ψευδῶν ἀληθές. οὕτω καὶ ἐπὶ τῶν προτάσεων τῶν ἐχόντων τὴν μίαν καθόλου, τὴν δὲ ἄλλην μερικήν. διὰ τῶν αὐτῶν ὅρων δείξομεν δι' ὧν καὶ τὰς καθόλου προτάσεις. καὶ εἰ καταφατικαὶ ἄμφω, καταφατικῶς λαμβάνομεν. εἰ δὲ ἀποφατικαί, ἀποφατικῶς.

ΦΑΝΕΡΟΝ οὖν ὅτι ἂν μὲν ᾖ τὸ συμπέρασμα ψεῦδος, ἀνάγκη ἐξ ὧν ὁ λόγος, ψευδῆ εἶναι, ἢ πάντα ἢ ἔνια· ὅταν δὲ ἀληθές, οὐκ ἀνάγκη ἀληθῆ εἶναι, οὔτε τι οὔτε πάντα. ἀλλ' ἔστι μηδενὸς ὄντος ἀληθοῦς, τῶν ἐν τῷ συλλογισμῷ τὸ συμπέρασμα, ὁμοίως εἶναι ἀληθές, οὐ μὴν ἐξ ἀνάγκης.

Συμπέρασμα ὥσπερ ἐπάγει τῷ λόγῳ φανερὸν ἐκ τῶν δειχθέντων πάντων, ὅτι ἐὰν ᾖ συμπέρασμα ψευδές, πάντως ἢ ὅλαι αἱ προτάσεις ψευδεῖς ἦσαν. ἢ ἡ μὲν ψευδής, ἡ δὲ ἀληθής. εἰ δὲ ἦν συμπέρασμα ἀληθές, οὐκ ἀνάγκη τὰς προτάσεις ἀληθεῖς εἶναι. ἐνδέχεται γὰρ αὐτὰς καὶ ἀμφοτέρας ψευδεῖς εἶναι. καὶ τῆς ἑτέρας ψευδοῦς οὔσης, τῆς δὲ ἑτέρας ἀληθοῦς. καὶ ἄμφω ἐπί τι ψευδῶν οὐσῶν, ἀληθὲς συναχθῆναι συμπέρασμα.

ΑΙΤΙΟΝ δὲ ὅτι, ὅταν δύο ἔχῃ οὕτω πρὸς ἄλληλα· ὥστε θατέρου ὄντος, ἐξ ἀνάγκης θάτερον εἶναι, τούτου μὴ ὄντος μέν, οὐδὲ θάτερον ἔσται. ὄντος δέ, οὐκ ἀνάγκη εἶναι θάτερον. τοῦ δ' αὐτοῦ ὄντος. καὶ μὴ ὄντος.

Ἡ αἰτία φησὶ τοῦ εἶναι συμπέρασμα ἀληθές, τῶν προτάσεων οὐσῶν ψευδῶν, αὕτη, ὅτι εἰ δύο τινὰ ὄντα ἔχουσι τοιαύτην φύσιν πρὸς ἑαυτά. ὥστε τοῦ ἑτέρου ὄντος, ἀνάγκη τὸ ἕτερον εἶναι. καὶ τούτου μὴ ὄντος, ἀνάγκη τὸ ἕτερον μὴ εἶναι. αὕτη τοῦ γίνεσθαι ἐκ ψευδῶν ἀληθῆ συμπέρασμα αἰτία. οἷον, ἀληθῶν τῶν προτάσεων οὐσῶν, ἀνάγκη ἀληθὲς συμπέρασμα εἶναι. ἀληθοῦς δὲ συμπεράσματος ὄντος, οὐκ ἀνάγκη τὰς προτάσεις ἀληθεῖς εἶναι. οὐ γὰρ ἀντιστρέφει. ἀλλὰ ἐνδέχεται καὶ ψευδεῖς εἶναι τὰς προτάσεις. τοῦ δὲ συμπεράσματος ἀληθοῦς μὴ ὄντος, ἀνάγκη καὶ τὰς προτάσεις μὴ εἶναι ἀληθεῖς. ὥστε ἡ αἰτία τοῦ μὴ δύνασθαι ἀντιστρέφειν, ποιεῖ τὸ αἴτιον τοῦ εἶναι ἀληθὲς τὸ συμπέρασμα μὴ πάντως ἐξ ἀληθῶν προτάσεων, ἀλλὰ καὶ ἐκ ψευδῶν. τοῦ δ' αὐτοῦ ὄντος καὶ μὴ ὄντος ἀδύνατον ἐξ ἀνάγκης εἶναι. συνεχῆ ἐστι τοῖς προειρημένοις τὰ νῦν λεγόμενα. βούλεται γὰρ ἐν τούτοις δεῖξαι ὅτι τὸ ἀληθὲς συμπέρασμα οὐκ ἐξ ἀνάγκης ἕπεται ἀμφοτέραις. τοῖς τε ἐξ ἀληθῶν προτάσεων καὶ τοῖς ἐκ ψευδῶν. οὐ λέγω ἑκάστῳ παρὰ μέρος, ἀλλ' ἀμφοτέραις. κατασκευάζει δὲ τοῦτο διὰ τοῦ ὑποθετικοῦ συλλογισμοῦ. τὸ οὖν τοῦ αὐτοῦ καὶ ὄντος καὶ μὴ ὄντος φησὶν ἀντὶ τοῦ αὐτοῦ οὔσης τῆς προτάσεως. τὸ δὲ ὄντος, ἀντὶ τοῦ ἀληθοῦς ὄντος. τὸ δὲ καὶ μὴ ὄντος, ἀντὶ τοῦ ψευδοῦς ὄντος. τοῦ γὰρ αὐτοῦ οὔσης τῆς προτάσεως ἤτοι ἀληθοῦς, ἢ ψευδοῦς ὄντος. οὐχ ἕπεται ἐξ ἀνάγκης τὸ εἶναι τὸ αὐτό, ἀντὶ τοῦ εἶναι ἀληθὲς τὸ συμπέρασμα. καὶ τοῦτο δείκνυσιν ὅτι οὐκ ἐξ ἀνάγκης ἐστὶν ἀληθὲς συμπέρασμα. πρῶτον διὰ τοῦ διὰ τριῶν συλλογισμοῦ. οἷον εἰ τοῦ α΄ λευκοῦ ὄντος, ἀνάγκη τὸ β΄ μέγα εἶναι. τοῦ δὲ β΄ μεγάλου, ἀνάγκη τὸ γ΄ μὴ εἶναι λευκόν. ὥστε τοῦ α΄ ὄντος λευκοῦ, τὸ γ΄ μὴ εἶναι λευκόν. οὗτος μὲν ὁ διὰ τοῦ διὰ τριῶν συλλογισμός. ὁ δὲ ὑποθετικὸς οὕτως. ἐπεὶ ὅτε τὸ α΄ ἐστίν, ἀνάγκη τὸ β΄ εἶναι. καὶ τοῦ β΄ μὴ ὄντος, ἀνάγκη τὸ α΄ μὴ εἶναι. οὐκοῦν τοῦ β΄ μὴ ὄντος μεγάλου, τὸ α΄ λευκὸν οὐκ ἔσται. εἰ δέ τις ἐρεῖ ὅτι τοῦ α΄ μὴ ὄντος λευκοῦ, ἔστι τὸ β΄ μέγα ἐξ ἀνάγκης. συμβαίνει τὸ β΄ μέγα εἶναι ἐξ ἀνάγκης. ἐξ ἀνάγκης γὰρ ἕπεται ἀμφοτέροις. εἰ γὰρ τοῦ α΄ μὴ ὄντος, τὸ β΄ μέγα οὐκ ἔστι. εἰ δὲ ἐρεῖς καὶ ἐὰν τὸ α΄ μὴ ἔστι, πάλιν τὸ β΄ ἐστὶν ἐξ ἀνάγκης. τὸ αὐτὸ καὶ μέγα καὶ οὐ μέγα

ΟΥΔΕΝ γὰρ κωλύει τὸ μὲν α, τινὶ τῷ γ μὴ ὑπάρχειν· τὸ δὲ β, τινὶ ὑπάρχειν. καὶ τὸ α τῷ β μὴ παντὶ ὑπάρχειν· οἷον τὸ λευκὸν καὶ τινὶ ζώῳ οὐχ ὑπάρχει· τὸ δὲ καλὸν τινὶ ὑπάρχει. καὶ τὸ λευκὸν οὐ παντὶ καλῷ· ὥστ᾽ ἐὰν ληφθῇ τὸ μὲν α μηδενὶ τῷ γ. τὸ δὲ β παντί, ἀμφότεραι μὲν αἱ προτάσεις ἐπί τι ψευδεῖς, τὸ δὲ συμπέρασμα ἀληθές.

Ἀληθῶς μέντοι ταύτας τὰς ὑπάρξεις φησί· ἵνα δὲ γένωνται ἐπί τι ψευδεῖς, μεταλαμβάνονται εἰς τὰς ὅλας καὶ οὐ τὰς.

ΩΣΑΥΤΩΣ δὲ καὶ τῆς μὲν ὅλης ψευδοῦς, τῆς δέ, ὅλης ἀληθοῦς λαμβανομένης. ἐγχωρεῖ γὰρ καὶ τὸ α καὶ τὸ β, παντὶ τῷ γ ἕπεσθαι. τὸ μέντοι α τινὶ τῷ β μὴ ὑπάρχειν. οἷον ζῷον καὶ λευκὸν παντὶ κύκνῳ ἕπεται. τὸ μέντοι ζῷον, οὐ παντὶ ὑπάρχει λευκῷ. τεθέντων οὖν ὅρων τοιούτων, ἐὰν ληφθῇ τὸ μὲν β ὅλῳ τῷ γ ὑπάρχειν· τὸ δὲ α ὅλῳ μὴ ὑπάρχειν, ἡ μὲν β γ ἔσται ἀληθὴς ὅλη. ἡ δὲ α γ ὅλη ψευδής. καὶ τὸ συμπέρασμα ἀληθές.

Εἰληφὼς πρῶτον ἄμφω τὰς προτάσεις ἐπί τι ψευδεῖς, νῦν λαμβάνει τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ. καὶ πρῶτόν γε τὴν μείζονα ὅλην ψευδῆ λαμβάνει. τὴν δὲ ἐλάττονα ἀληθῆ. οἷον ζῷον οὐδενὶ κύκνῳ. λευκὸν παντὶ κύκνῳ. καὶ ὅμως ζῷον οὐ παντὶ λευκῷ. οὕτως ἐκ τῆς μείζονος ψευδοῦς ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἀληθοῦς καταφατικῆς, ἀληθὲς τὸ συμπέρασμα. ἐγχωρεῖ γὰρ τὸ α καὶ τὸ β παντὶ τῷ γ ἕπεσθαι κατὰ τὴν ἀλήθειαν. γίνεται δὲ ἡ μείζων ψευδὴς ὅλη, μεταληφθεῖσα εἰς τὸ οὐδενί.

ΟΜΟΙΩΣ δὲ καὶ εἰ τὸ μὲν β γ ψεῦδος, τὸ δὲ α γ ἀληθές. οἱ γὰρ αὐτοὶ ὅροι πρὸς τὴν ἀπόδειξιν. μέλαν. κύκνος. ἄψυχον.

Λάβε πρῶτον τὴν μείζονα πρότασιν ὅλην ψευδῆ ἀποφατικήν· νῦν λαμβάνει τὴν ἐλάττονα ψευδῆ, τὴν δὲ μείζονα ἀληθῆ. οἷον τὸ μέλαν οὐδενὶ κύκνῳ. ἄψυχον παντὶ κύκνῳ. ἰδοὺ ὅλη ψευδής. καὶ ὅμως μέλαν οὐδενὶ ἀψύχῳ.

ΑΛΛΑ καὶ εἰ ἀμφότεραι λαμβάνοιντο καταφατικαί. οὐδὲν γὰρ κωλύει τὸ μὲν β παντὶ τῷ γ ἕπεσθαι, τὸ δὲ α ὅλῳ μὴ ὑπάρχειν. καὶ τὸ α τινὶ τῷ β ὑπάρχειν. οἷον, κύκνῳ μέν, παντὶ ζῷον. μέλαν δέ, οὐδενὶ κύκνῳ. καὶ τὸ μέλαν ὑπάρχει τινὶ ζώῳ. ὥστ᾽ ἐὰν ληφθῇ τὸ α καὶ τὸ β παντὶ τῷ γ ὑπάρχειν, ἡ μὲν β γ ὅλη ἀληθής. ἡ δὲ α γ ὅλη ψευδής, καὶ τὸ συμπέρασμα ἀληθές.

Εἰρηκὼς τὰς συζυγίας τὰς ἐκ τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς, νῦν λαμβάνει ἄμφω καταφατικὰς καθόλου. καὶ πρῶτον τὴν μείζονα ψευδῆ, τὴν δὲ ἐλάττονα ἀληθῆ. οἷον τὸ ζῷον παντὶ κύκνῳ ἐλάττων. τὸ μέλαν παντὶ κύκνῳ μείζων πρότασις. ἰδοὺ ὅλη ψευδής. καὶ ὅμως ζώῳ τινὶ μέλαν ὑπάρχει.

ΟΜΟΙΩΣ δὲ καὶ τῆς α γ ληφθείσης ἀληθοῦς. διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις.

Εἴληφε πρότερον τὴν μείζονα ὅλην ψευδῆ. καὶ τὴν ἐλάττονα ἀληθῆ καὶ καθόλου καταφατικάς. νῦν λαμβάνει τὴν μείζονα ἀληθῆ, τὴν δὲ ἐλάττονα ψευδῆ. καὶ δείκνυσι διὰ τῶν ὅρων τῶν προειρημένων, ἐναλλὰξ αὐτῶν τὴν τάξιν οὕτως. τὸ ζῷον παντὶ κύκνῳ. ἰδοὺ ὅλη ἀληθὴς καὶ μείζων. τὸ μέλαν παντὶ κύκνῳ. ἰδοὺ ὅλη ψευδὴς καὶ ἐλάττων. καὶ ὅμως ζῷον τινὶ μέλανι ὅτι ἀληθές.

ΠΑΛΙΝ τῆς μὲν, ὅλης ἀληθοῦς οὔσης. τῆς δέ, ἐπί τι ψευδοῦς. ἐγχωρεῖ γὰρ τὸ μὲν β παντὶ τῷ γ ὑπάρχειν. τὸ δὲ α τινὶ τῷ γ. καὶ τὸ α, τινὶ τῷ β. οἷον δίπουν μὲν παντὶ ἀνθρώπῳ. καλὸν δὲ οὐ παντί. καὶ τὸ καλὸν τινὶ δίποδι ὑπάρχει. ἐὰν οὖν ληφθῇ καὶ τὸ α καὶ τὸ β ὅλῳ τῷ γ ὑπάρχειν. ἡ μὲν β γ, ἀληθὴς ὅλη. ἡ δὲ α γ. ἐπί τι ψευδής. τὸ δὲ συμπέρασμα ἀληθές.

Ἔλαβε τὴν μὲν ὅλην ψευδῆ τὴν δὲ ὅλην ἀληθῆ, νῦν λαμβάνει τὴν μὲν ὅλην ἀληθῆ τὴν δὲ ἐπί τι ψευδῆ. καὶ πάλιν ἐπειδὴ ἐπλήρωσε τὰς ἐξ ἄμφω καθόλου. νῦν λέγει τὰς ἐκ τῆς μὲν καθόλου, τῆς δὲ μερικῆς. καὶ πρῶτον περὶ τῶν ἐκ τῆς ὅλης ἀληθοῦς, τῆς δὲ ἐπί τι ψευδοῦς οὕτως. εἴπομεν τὸ καλὸν παντὶ ἀνθρώπῳ. ἰδοὺ ἐπί τι ψευδής. τὸ δίπουν παντὶ ἀνθρώπῳ ὅλη ἀληθής. καὶ ὅμως τὸ καλὸν τινὶ δίποδι, ὅτι ἀληθές.

ΟΜΟΙΩΣ δὲ καὶ τῆς μὲν α γ ἀληθοῦς οὔσης, τῆς δὲ β γ ψευδοῦς ἐπί τι λαμβανομένης. μετατεθέντων γὰρ τῶν αὐτῶν ὅρων ἔσται ἡ ἀπόδειξις. καὶ τῆς μὲν, στερητικῆς. τῆς δέ, καταφατικῆς οὔσης.

Τὸ πρῶτον ἐλάβομεν, τὴν συζυγίαν τὴν ἐκ τῆς μείζονος ἐπί τι ψευδοῦς, τῆς δὲ ἐλάττονος ἀληθοῦς. νῦν λαμβάνει τὴν ἐκ τῆς μείζονος ἀληθοῦς, τῆς δὲ ἐλάττονος ἐπί τι ψευδοῦς. καὶ οἱ αὐτοὶ ὅροι μετατεθήμενοι, ἐλήφθωσαν πρὸς ἀπόδειξιν. τὸ δίπουν παντὶ ἀνθρώπῳ ὅλη ἀληθής. τὸ καλὸν παντὶ ἀνθρώπῳ ἐπί τι ψευδής, καὶ τὸ δίπουν, τινὶ καλῷ.

ΕΠΕΙ γὰρ ἐγχωρεῖ τὸ μὲν β ὅλῳ τῷ γ ὑπάρχειν. τὸ δὲ α τινὶ μὴ ὑπάρχειν, ὅταν οὖν οὕτως ἔχωσιν, οὐ παντὶ τῷ β τὸ α. ἐὰν οὖν ληφθῇ τὸ μὲν β ὅλῳ τῷ γ ὑπάρχειν. τὸ δὲ α μηδενί, ἡ μὲν στερητική, ἐπί τι ψευδής. ἡ δ᾽ ἑτέρα ὅλη ἀληθής. καὶ τὸ συμπέρασμα ἔσται ἀληθὲς πάλιν ἐπεὶ δέδεικται. ὅτι τοῦ μὲν α μηδενὶ ὑπάρχοντος τῷ γ. τῷ δὲ β παντί, ἐγχωρεῖ τὸ α τῷ β τινὶ μὴ ὑπάρχειν.

Ἔλαβεν ἀμφοτέρας καταφατικάς, νῦν λαμβάνει τὴν μὲν ἀποφατικὴν ἐπί τι ψευδῆ. τὴν δὲ κα-

καὶ ἐν τρίτῳ δύναται ἐκ ψευδῶν ἀληθὲς συνάξαι οὕτως. τῶν ἐν τρίτῳ σχήματι συναγόντων ἐκ ψευδῶν ἀληθῆ, ἢ ἄμφω αἱ προτάσεις καθόλου, ἢ ἡ μὲν καθόλου, ἡ δὲ ἐν μέρει. καὶ εἰ ἄμφω καθόλου, ἢ ἄμφω καταφατικαί, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ ἡ μὲν καθόλου ἡ δὲ μερικὴ, ἢ ἡ μείζων καθόλου ἡ δὲ ἐλάττων μερικὴ, ἢ ἡ μείζων μερικὴ ἡ δὲ ἐλάττων καθόλου. καὶ εἰ ὦσιν ἄμφω αἱ προτάσεις καθόλου. ἢ ἄμφω ψευδεῖς. ἢ ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής. καὶ εἰ ἄμφω ψευδεῖς, ἢ ἀμφότεραι ὅλαι ψευδεῖς. καὶ αὗται ἢ καθόλου καταφατικαὶ ἄμφω. ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. ἢ ἡ μὲν ὅλη, ἡ δὲ ἐπί τι ψευδής. καὶ τοῦτο διχῶς. ἢ μείζων ὅλη ἡ δὲ ἐλάττων ἐπί τι. ἢ ἔμπαλιν. καὶ κατ' ἄμφω τούτων. ἢ ἀμφότεραι καταφατικαί. ἢ ἡ μὲν μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. ἢ ἄμφω ἐπί τι καὶ αὗται. ἢ ἄμφω καταφατικαί, ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. πάλιν εἰ ἡ μὲν ἀληθής, ἡ δὲ ψευδής, ἢ ἄμφω καταφατικαί. ἢ ἡ μείζων ἀποφατικὴ ἡ δὲ ἐλάττων καταφατική. καὶ πάλιν ἡ μείζων ἀληθὴς καταφατική. ἡ δὲ ἐλάττων ψευδὴς καταφατική. ἢ ἡ μείζων ψευδὴς καταφατική. ἡ δὲ ἐλάττων ἀληθὴς καταφατική. καὶ πάλιν. ἡ μείζων ἀληθὴς ἀποφατική, ἡ δὲ ἐλάττων ψευδὴς καταφατική. ἢ ἡ μείζων ψευδὴς ἀποφατική. ἡ δὲ ἐλάττων ἀληθὴς καταφατική. οὕτω μὲν οὖν εἰ ὦσιν αἱ προτάσεις ἄμφω καθόλου. εἰ δὲ ἡ μὲν ᾖ καθόλου ἡ δὲ μερική. ἢ ἄμφω ψευδεῖς, ἢ ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής. ἢ ἄμφω ἐπί τι ψευδεῖς. καὶ εἰ ἄμφω ψευδεῖς, ἢ ἡ μείζων μερικὴ ἀποφατική, ἡ δὲ ἐλάττων καθόλου καταφατική. ἢ ἡ μείζων καθόλου ἀποφατικὴ ἡ δὲ ἐλάττων μερικὴ καταφατική. εἰ δὲ ἡ μὲν ψευδής, ἡ δὲ ἀληθής, ἢ ἡ μείζων ψευδὴς καὶ μερικὴ καταφατική, ἡ δὲ ἐλάττων ἀληθὴς καὶ καθόλου καταφατική. ἢ ἡ μείζων ψευδής, καὶ καθόλου καταφατική. ἡ δὲ ἐλάττων ἀληθὴς καὶ μερικὴ καταφατική. ἢ ἡ μείζων ἀληθής, καὶ μερικὴ καταφατική. ἡ δὲ ἐλάττων ψευδής. καὶ καθόλου καταφατική. ἢ ἡ μείζων ἀληθής. καὶ καθόλου καταφατική. ἡ δὲ ἐλάττων ψευδής. καὶ μερικὴ καταφατική. εἰ δὲ ἄμφω ἐπί τι. ἢ ἡ μείζων καθόλου, ἡ δὲ ἐλάττων μερική. ἢ ἡ μείζων μερική, ἡ δὲ ἐλάττων καθόλου. καὶ εἰ ἄμφω καταφατικαί. ἢ ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική.

» ΟΥΔΕΝ γὰρ κωλύει μήτε τὸ α μήτε τὸ β, μηδενὶ τῷ γ ὑπάρχειν, τὸ μέντοι α τινὶ τῷ β ὑπάρ-
» χειν. οἷον οὔτε ἄνθρωπος οὔτε πεζὸν οὐδενὶ ἀψύχῳ ἕπεται.

M ἢ ὑπάρχειν τινὶ κατὰ ἀλήθειαν. ψευδὴ γίνεσθαι εἰ λαμβάνεται ὡς τὸ ὑπάρχειν.

» ΑΝΘΡΩΠΟΣ μέντοι τινὶ πεζῷ ὑπάρχει. ἐὰν οὖν ληφθῇ τὸ α καὶ τὸ β, παντὶ τῷ γ ὑπάρ-
» χειν, αἱ μὲν προτάσεις ὅλαι ψευδεῖς, τὸ δὲ συμπέρασμα ἀληθές.

P ρῶτον λέγει περὶ τῶν προτάσεων τῶν ὅλων ψευδῶν καὶ καθόλου καταφατικῶν. οἷον ὁ ἄνθρωπος καὶ τὸ πεζὸν παντὶ ἀψύχῳ. ἰδοὺ ὅλαι ψευδεῖς καὶ ὅμως ἀληθὲς συμπέρασμα συνάγεται, ὅτι ἄνθρωπος τινὶ πεζῷ.

» ΩΣΑΥΤΩΣ δὲ καὶ τῆς μὲν στερητικῆς, τῆς δὲ καταφατικῆς οὔσης. ἐγχωρεῖ γὰρ τὸ μὲν β μη-
» δενὶ τῷ γ ὑπάρχειν. τὸ δὲ α, παντί. καὶ τὸ α τινὶ τῷ β μὴ ὑπάρχειν. οἷον τὸ μέλαν οὐδενὶ κύκνῳ. ζῷον
» δὲ παντί. καὶ τὸ ζῷον οὐ παντὶ μέλανι ὥστ' ἐὰν ληφθῇ. τὸ μὲν γὰρ παντὶ τῷ γ. τὸ δὲ α μηδενί, τὸ α τινὶ
» τῷ β οὐχ ὑπάρξει. καὶ τὸ συμπέρασμα ἀληθές. αἱ δὲ προτάσεις ψευδεῖς.

E λαβεν ὅλας ψευδεῖς καὶ καθόλου καταφατικάς, νῦν λαμβάνει πάλιν ἀμφοτέρας ψευδεῖς καὶ καθόλου. ἀλλὰ τὴν μὲν μείζονα ἀποφατικήν, τὴν δὲ ἐλάττονα καταφατικήν. οἷον, τὸ μέλαν, οὐδενὶ κύκνῳ. τὸ ζῷον παντὶ κύκνῳ. καὶ ὅμως τὸ μέλαν οὐ παντὶ ζῴῳ, ὅπερ ἀληθές. οὕτως ἄμφω ψευδῶν οὐσῶν τῶν προτάσεων. καὶ καθόλου, ἤτοι ἀμφοτέρων καταφατικῶν. ἢ τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς.

» ΚΑΙ εἰ ἐπί τι ἑκατέρα ψευδής, ἔσται τὸ συμπέρασμα ἀληθές. οὐδὲν γὰρ κωλύει καὶ τὸ α καὶ τὸ β
» τινὶ τῷ γ ὑπάρχειν, καὶ τὸ α τινὶ τῷ β. οἷον, τὸ λευκὸν καὶ τὸ καλόν, τινὶ ζῴῳ ὑπάρχει. καὶ τὸ λευ-
» κὸν τινὶ καλῷ. ἐὰν οὖν τεθῇ τὸ α καὶ τὸ β παντὶ τῷ γ ὑπάρχειν, αἱ μὲν προτάσεις ἐπί τι ψευδεῖς.
» τὸ δὲ συμπέρασμα ἀληθές.

P ληρώσας τὰς ἄμφω ψευδεῖς καὶ καθόλου. ἀποσιώπησε δὲ τὰς προτάσεις. τὰς ἐχούσας τὴν μὲν ψευδῆ, τὴν δὲ ἀληθῆ. νῦν λέγει τὰς ἄμφω ἐπί τι ψευδεῖς. καὶ ἀμφοτέρας καθόλου καταφατικάς. καὶ συναγούσας ἀληθὲς συμπέρασμα. οἷον τὸ λευκόν. καὶ τὸ καλόν, κατὰ ἀλήθειαν τινὶ ζῴῳ ὑπάρχει. ἀλλ' ἵνα ποιήσωμεν αὐτὰς ἐπί τι ψευδεῖς, λάβωμεν αὐτὰς παντί. τὸ λευκὸν παντὶ ζῴῳ. τὸ καλὸν παντὶ ζῴῳ. καὶ ὅμως τὸ λευκὸν τινὶ καλῷ. ὅπερ ἀληθές.

» ΚΑΙ στερητικῆς δὲ τῆς α γ τιθεμένης ὁμοίως.

E ἶπε τὰς ἐπί τι ψευδεῖς καὶ καθόλου καταφατικὰς ἐχούσας τὰς προτάσεις, νῦν λέγει τὰς ἐχούσας τὴν μείζονα ἀποφατικήν, τὴν δὲ ἐλάττονα καταφατικήν, καὶ ποιούσας ἀληθῆ συμπεράσματα. οἷον, λευκόν, οὐδενὶ ζῴῳ ἐπί τι ψευδής. καλὸν παντὶ ζῴῳ ἐπί τι ψευδής, καὶ ὅμως λευκὸν οὐ παντὶ καλῷ. ἰδοὺ ἀληθὲς συμπέρασμα.

παντὶ λευκῷ. ὅπως ἐκ τῆς μείζονος οὔσης ἀποφατικῆς, ὅλης ψευδοῦς. τῆς δὲ ἐλάττονος καταφατικῆς ἀληθοῦς, ἀληθὲς συμπέρασμα. οὐδὲν κωλύει τὸ ά τῷ μὲν β΄ παντί. πρῶτον λέγει τὰ κατὰ ἀλήθειαν ὑπάρχοντα. εἶτα μεταλαμβάνει τὴν μίαν ὡς ψευδῆ, τὴν μείζω.

ΩΣΑΥΤΩΣ δὲ καὶ καταφατικῆς λαμβανομένης τῆς ά β΄. ἐγχωρεῖ γὰρ τὸ ά τῷ μὲν β΄ μηδενί, τῷ δὲ γ΄ τινὶ μὴ ὑπάρχειν. καὶ τὸ β΄ τῷ γ΄ τινὶ μὴ ὑπάρχειν. οἷον τὸ ζῷον, οὐδενὶ ἀψύχῳ, λευκῷ δὲ τινὶ οὐχ ὑπάρχει. καὶ τὸ ἄψυχον τινὶ λευκῷ οὐχ ὑπάρξει. ἐὰν οὖν τεθῇ τὸ ά τῷ μὲν β΄ παντί. τῷ δὲ γ΄ τινὶ μὴ ὑπάρχειν, ἡ μὲν ά β΄ πρότασις ἡ καθόλου ὅλη ψευδής. ἡ δὲ ά γ΄ ἀληθής. καὶ τὸ συμπέρασμα, ἀληθές.

Ε΄΄ λάβε τὴν μείζονα ἀποφατικὴν ὅλην ψευδῆ, τὴν δὲ ἐλάττονα ἀληθῆ. νῦν λαμβάνει τὴν μείζονα καταφατικὴν ὅλην ψευδῆ. ἐγχωρεῖ μὲν γὰρ τὸ ά μηδενὶ τῷ β΄ κατὰ τὰ ἀλήθειαν. ἐὰν δὲ ληφθῇ παντί, δύο εἴσεται ὅλη ψευδὴς οὕτως. τὸ ζῷον παντὶ ἀψύχῳ. ἰδοὺ ὅλη ψευδής. τὸ ζῷον οὐ παντὶ λευκῷ. καὶ ὅμως ἄψυχον οὐ παντὶ λευκῷ.

ΚΑΙ τῆς μὲν καθόλου ἀληθοῦς τεθείσης, τῆς δ᾽ ἐν μέρει ψευδοῦς. οὐδὲν γὰρ κωλύει τὸ ά, μήτε τῷ β΄, μήτε τῷ γ΄ μηδενὶ ἕπεσθαι. τὸ μέντοι β΄ τινὶ τῷ γ΄ μὴ ὑπάρχειν. οἷον ζῷον οὐδενὶ ἀριθμῷ οὐδὲ ἀψύχῳ. καὶ ὁ ἀριθμὸς τινὶ ἀψύχῳ οὐχ ἕπεται. ἐὰν οὖν τεθῇ τὸ ά, τῷ μὲν β΄ μηδενί. τῷ δὲ γ΄ τινί, τὸ μὲν συμπέρασμα ἔσται ἀληθές, καὶ ἡ καθόλου πρότασις ἀληθής, ἡ δ᾽ ἐν μέρει ψευδής. καὶ καταφατικῆς δὲ τῆς καθόλου τιθεμένης, ὡσαύτως. ἐγχωρεῖ γὰρ τὸ ά καὶ τῷ β΄ καὶ τῷ γ΄ ὅλῳ ὑπάρχειν. τὸ μέντοι β΄ τινὶ τῷ γ΄ μὴ ἕπεσθαι. οἷον τὸ γένος τῷ εἴδει καὶ τῇ διαφορᾷ. τὸ γὰρ ζῷον παντὶ ἀνθρώπῳ. καὶ ὅλῳ πεζῷ ἕπεται. ἄνθρωπος δ᾽ οὐ παντὶ πεζῷ. ὥστε ἐὰν ληφθῇ τὸ ά τῷ μὲν β΄ ὅλῳ ὑπάρχειν, τῷ δὲ γ΄ τινὶ μὴ ὑπάρχειν, ἡ μὲν καθόλου πρότασις ἀληθής, ἡ δ᾽ ἐν μέρει ψευδής, τὸ δὲ συμπέρασμα ἀληθές.

Ε΄΄ λάβε πρῶτον τὴν μείζονα ψευδῆ ὅλην, νῦν λαμβάνει τὴν μὲν μείζονα ἀληθῆ, τὴν δὲ ἐλάττονα ψευδῆ ἐπί τι. μερικὴ γάρ ἐστι. καὶ πρῶτον λαμβάνει τὴν μείζονα ἀποφατικὴν ἀληθῆ. τὴν δὲ ἐλάττω καταφατικήν. καὶ ἐπί τι ψευδῆ οὕτως. τὸ ζῷον οὐδενὶ ἀριθμῷ. ζῷον τινὶ ἀψύχῳ. ψευδὲς ἐπί τι κατὰ τὴν κατηγορίαν, οὐ κατὰ τὴν ὕπαρξιν. διὰ τὸ τὴν ἀντίφασιν ἀληθῆ εἶναι. καὶ ὅμως ἀριθμὸς οὐ παντὶ ἀψύχῳ. καὶ καταφατικῆς δὲ τῆς καθόλου τιθεμένης ὡσαύτως. ἔδειξεν ἐκ τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς οὔσης ἀληθὲς συναγόμενον. νῦν δείκνυσιν ἐκ τῆς μείζονος καταφατικῆς ἀληθοῦς, τῆς δὲ ἐλάττονος ἀποφατικῆς ἐπί τι ψευδοῦς. τουτέστιν μερικῆς ἀποφατικῆς. ὅτι ἀληθὲς συνάγεται. οἷον τὸ ζῷον παντὶ ἀνθρώπῳ. τὸ ζῷον οὐ παντὶ πεζῷ, ψευδὲς ἐπί τι. κατὰ τὴν κατηγορίαν. οὐ κατὰ τὴν ὕπαρξιν. διὰ τὸ ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ παντί. τὸ γὰρ ζῷον παντὶ πεζῷ. ὥστε τὸ οὐ παντὶ ἐπί τι ψευδές. διὰ τὴν κατηγορίαν. καὶ ὅμως ἄνθρωπος οὐ παντὶ πεζῷ.

ΦΑΝΕΡΟΝ δὲ ὅτι καὶ ἐξ ἀμφοτέρων ψευδῶν ἀληθὲς ἔσται τὸ συμπέρασμα. ἐπεὶ ἐνδέχεται τὸ ά καὶ τῷ β΄ καὶ τῷ γ΄ ὅλῳ ὑπάρχειν. τὸ μέντοι β΄ τινὶ τῷ γ΄ μὴ ἕπεσθαι. ληφθέντος γὰρ τοῦ ά τῷ μὲν β΄ μηδενί. τῷ δὲ γ΄ τινὶ ὑπάρχειν, αἱ μὲν προτάσεις ἀμφότεραι ψευδεῖς. τὸ δὲ συμπέρασμα ἀληθές.

Ε εἰρηκὼς περὶ τῶν ἐκ τῆς μὲν ψευδοῦς τῆς δὲ ἀληθοῦς, νῦν λέγει περὶ τῶν ἐξ ἀμφοῖν ψευδῶν. καὶ πρῶτόν γε τῆς μείζονος ὅλης ψευδοῦς, τῆς δὲ ἐλάττονος ἐπί τι. καὶ ταύτης τῆς μείζονος ἀποφατικῆς, οὕτως. τὸ ά κατὰ τὰ ἀλήθειαν μὲν παντὶ τῷ τε β΄ καὶ τῷ γ΄. ἀλλὰ ληφθήτω τῷ μὲν β΄ μηδενί, ἵνα ᾖ ὅλη ψευδής. τῷ δὲ γ΄ οὐ παντί. ἵνα ληφθῇ ἐπί τι. καὶ συνάγει τὸ ἀληθὲς συμπέρασμα. οἷον τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ. τὸ ζῷον τινὶ ἀψύχῳ. ἐπί τι ψευδής, διὰ τὴν κατηγορίαν οὐ διὰ τὴν ὕπαρξιν. καὶ ὅμως ἄνθρωπος οὐ παντὶ ἀψύχῳ. διὰ γὰρ τὴν οὐδενὸς ἀλήθειαν καὶ τὸ οὐ πᾶς.

ΟΜΟΙΩΣ δὲ καὶ κατηγορικῆς οὔσης τῆς καθόλου προτάσεως. τῆς δ᾽ ἐν μέρει στερητικῆς. ἐγχωρεῖ γὰρ τὸ ά τῷ μὲν γ΄ παντί. τῷ δὲ β΄ μηδενὶ ἕπεσθαι. καὶ τὸ β΄ τινὶ τῷ γ΄ μὴ ὑπάρχειν. οἷον ζῷον ἐπιστήμῃ μὲν οὐδεμιᾷ. ἀνθρώπῳ δὲ παντὶ ἕπεται. ἡ δ᾽ ἐπιστήμη οὐ παντὶ ἀνθρώπῳ. ἐὰν οὖν ληφθῇ τὸ μὲν ά τῷ β΄ ὅλῳ ὑπάρχειν. τῷ δὲ γ΄ τινὶ μὴ ἕπεσθαι. αἱ μὲν προτάσεις ψευδεῖς. τὸ δὲ συμπέρασμα ἀληθές.

Ω΄΄ ἐπεὶ ἔλαβε τὴν μείζονα ἀποφατικὴν ὅλην ψευδῆ, νῦν λαμβάνει αὐτὴν ὅλην ψευδῆ καταφατικήν. ἐγχωρεῖ γὰρ κατὰ τὰ ἀλήθειαν τὸ ά μηδενὶ μὲν τῷ β΄, παντὶ δὲ τῷ γ΄. μεταλαμβανόμεναι αὗται ὡς ψευδεῖς, ἀληθῆ ποιοῦσι συμπεράσματα. οἷον ζῷον πάσῃ ἐπιστήμῃ. τὸ ζῷον οὐ παντὶ ἀνθρώπῳ. πάλιν ἐπί τι ψευδὴς διὰ τὴν κατηγορίαν ὅτι ἀληθεύει τὸ ἀντιφατικῶς ἀντικείμενον. τὸ γὰρ ζῷον παντὶ ἀνθρώπῳ. συνηγοῦ δὲ οὐ παντὶ ἐπί τι ψευδὴς κατὰ τὴν κατηγορίαν. καὶ ὅμως ἐπιστήμη οὐ παντὶ ἀνθρώπῳ. ἀποσιώπησε δὲ ἐνταῦθα τὰς συζυγίας τὰς ἐξ ἀμφοῖν ἐπί τι συναγούσας ἀληθὲς συμπέρασμα. ὡς δυναμένων ἡμῶν ἀφ᾽ ἑαυτῶν καὶ περὶ αὐτῶν συλλογίσασθαι.

ΕΣΤΑΙ δὲ καὶ ἐν τῷ ἐσχάτῳ σχήματι διὰ ψευδῶν, ἀληθές. καὶ ἀμφοτέρων ψευδῶν οὐσῶν ὅλων. καὶ ἐπί τι ἑκατέρας. καὶ τῆς μὲν ἑτέρας, ὅλης ἀληθευούσης τῆς δ᾽ ἑτέρας ψευδοῦς. καὶ τῆς μὲν ἐπί τι ψευδοῦς, τῆς δ᾽ ὅλης ἀληθοῦς καὶ ἀνάπαλιν. καὶ ὁσαχῶς ἄλλως ἐγχωρεῖ μεταβάλλειν τὰς προτάσεις.

Ε εἰρηκὼς πῶς ἐν δευτέρῳ σχήματι δυνατόν ἐστιν ἐκ ψευδῶν ἀληθῆ συλλογισμὸν πλέξαι. νῦν λέγει πῶς

Atqui si sumatur, τῷ β μηδενί, τῷ δὲ γ οὐ παντί, utraque erit negativa. [illegible]cinde in exemplo aliter [illegible]uit.

θοῦς οὔσης, ὅροι αὐτοὶ οἱ πρὸ μέσων. ἰστέον δὲ ὅτι ἀποσιώπησε τὴν ἐκ τῆς μείζονος ψευδοῦς καταφατικῆς τῆς δὲ ἐλάττονος ἀληθοῦς ἀποφατικῆς. καὶ τὴν ἐκ τῆς μείζονος ἀληθοῦς καταφατικῆς. τῆς δὲ ἐλάττονος ψευδοῦς ἀποφατικῆς.

» ΚΑΙ εἰ ἡ ἑτέρα ἐπί τι ψευδής, ἡ δὲ ἑτέρα ὅλη ἀληθής. ἐγχωρεῖ γὰρ τὸ α τῷ μὲν β τινὶ ὑπάρχειν,
» τῷ δὲ γ παντί. τὸ μέντοι β μηδενὶ τῷ γ. οἷον ζῷον λευκῷ μὲν τινί. κόρακι δὲ παντί. καὶ τὸ λευκὸν οὐδενὶ
» κόρακι. ἐὰν οὖν ληφθῇ τὸ α τῷ μὲν β μηδενί, τῷ δὲ γ ὅλῳ ὑπάρχειν, ἡ μὲν α β πρότασις ἐπί τι ψευ
» δής. ἡ δὲ α γ ὅλη ἀληθής, καὶ τὸ συμπέρασμα ἀληθές. καὶ μετατιθεμένου δὲ τοῦ στερητικοῦ, ὡσαύτως.
» διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις. καὶ εἰ ἡ καταφατικὴ πρότασις ἐπί τι ψευδής, ἡ δὲ στερητικὴ ὅλη
» ἀληθής.

E πλήρωσις περὶ τοῦ εἶναι τὴν μὲν ὅλην ψευδῆ. τὴν δὲ ὅλην ἀληθῆ. νῦν λαμβάνει τὴν μὲν ὅλην ἀληθῆ, τὴν δὲ ἐπί τι ψευδῆ. καὶ πρῶτον τὴν μείζονα ἐπί τι ψευδῆ καὶ ἀποφατικήν. τὴν δὲ ἐλάττονα ἀληθῆ, καὶ καταφατικήν, οὕτως, τὸ ζῷον οὐδενὶ λευκῷ ἐπί τι ψευδής. τὸ ζῷον παντὶ κόρακι. ὅλη ἀληθής. καὶ ὅμως λευκὸν οὐδενὶ κόρακι. καὶ μετατιθεμένων τῶν προτάσεων καὶ γινομένων. τῆς μὲν μείζονος ἐπί τι ψευδοῦς καταφατικῆς, τῆς δὲ ἐλάττονος ὅλης ἀληθοῦς ἀποφατικῆς, ἀληθὲς γίνεται συμπέρασμα. οἷον τὸ ζῷον παντὶ λευκῷ. τὸ ζῷον οὐδεμιᾷ ἐπιστήμῃ. καὶ λευκὸν οὐδεμιᾷ ἐπιστήμῃ. ἢ οὕτω μετατιθεμένου τοῦ στερητικοῦ. ἵνα γένηται ἡ μείζων καταφατικὴ ἀληθής, ἡ δὲ ἐλάττων ἐπί τι ψευδὴς ἀποφατική. καὶ συνάγεται ὅτι τὸ ζῷον παντὶ μὲν κόρακι. οὐδενὶ δὲ λευκῷ. καὶ κόραξ οὐδενὶ λευκῷ.

» ΟΥΔΕΝ γὰρ κωλύει τὸ α τῷ μὲν β τινὶ ὑπάρχειν. τῷ δὲ γ ὅλῳ μὴ ὑπάρχειν, καὶ τὸ β μηδενὶ τῷ
» γ. οἷον τὸ ζῷον λευκῷ μὲν τινί, πίττῃ δὲ οὐδεμιᾷ. καὶ τὸ λευκὸν οὐδεμιᾷ πίττῃ. ὥστε ἐὰν ληφθῇ τὸ α ὅ
» λῳ τῷ β ὑπάρχειν, τῷ δὲ γ μηδενί. ἡ μὲν α β, ἐπί τι ψευδής. ἡ δὲ α γ ὅλη ἀληθής, καὶ τὸ συμπέ
» ρασμα ἀληθές.

E' λαβὲ πρῶτον, τὴν μὲν ἀποφατικὴν ὅλην ἀληθῆ, τὴν δὲ καταφατικὴν ἐπί τι ψευδῆ. καὶ τὴν μεί
ζονα καταφατικήν, τὴν δὲ ἐλάττονα ἀποφατικὴν οὕτως. τὸ ζῷον παντὶ λευκῷ ἐπί τι ψευδής. τὸ ζῷον οὐδεμιᾷ πίττῃ ὅλη ἀληθής. καὶ λευκὸν οὐδεμιᾷ πίττῃ. οὕτως ἐστίν, ἡ μὲν ὅλη ἀληθής, ἡ δὲ ἐπί τι ψευδής. ἀπεσιώπησε δὲ πάλιν, τὴν ἐκ τῆς μείζονος ἀληθοῦς ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς ἐπί τι ψευδοῦς.

» ΚΑΙ εἰ ἀμφότεραι αἱ προτάσεις ἐπί τι ψευδεῖς, ἔσται τὸ συμπέρασμα ἀληθές. ἐγχωρεῖ γὰρ τὸ α
» καὶ τῷ β καὶ τῷ γ τινὶ ὑπάρχειν. τὸ δὲ β μηδενὶ τῷ γ. οἷον ζῷον καὶ λευκῷ τινὶ καὶ μέλανι τινί. τὸ δὲ
» λευκὸν οὐδενὶ μέλανι. ἐὰν οὖν ληφθῇ τὸ α τῷ μὲν β παντί. τῷ δὲ γ μηδενί, ἄμφω μὲν αἱ προτάσεις
» ἐπί τι ψευδεῖς, τὸ δὲ συμπέρασμα, ἀληθές. ὁμοίως δὲ καὶ μετατεθείσης τῆς στερητικῆς διὰ τῶν αὐτῶν ὅρων.

F λιπούσης περὶ τῶν συζυγιῶν, τῶν ἐκ τῆς μὲν ἀληθοῦς, τῆς δὲ ψευδοῦς. καὶ ταύτης ἤτοι ὅλης ἢ ἐπί τι, νῦν λέγει περὶ τῶν ἄμφω ἐπί τι ψευδῶν. καὶ πρῶτον τὴν μείζονα καταφατικήν, τὴν δὲ ἐλάττονα ἀποφατικήν, οὕτως. τὸ ζῷον παντὶ λευκῷ. τὸ ζῷον οὐδενὶ μέλανι. καὶ ὅμως λευκὸν οὐδενὶ μέλανι. καὶ τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς οὔσης. ὅροι οἱ αὐτοὶ πρὸ μέσων. ζῷον οὐδενὶ λευκῷ. τὸ ζῷον οὐ παντὶ μέλανι. καὶ λευκὸν οὐδενὶ μέλανι. οὕτω καὶ περὶ τῶν ἄμφω καὶ ἐπί τι ψευδῶν οὐσῶν. καὶ συναγουσῶν τὸ ἀληθές.

» ΦΑΝΕΡΟΝ δὲ καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. οὐδὲν γὰρ κωλύει τὸ α τῷ μὲν β παντί. τῷ
» δὲ γ τινὶ ὑπάρχειν. καὶ τὸ β τῷ γ τινὶ μὴ ὑπάρχειν. οἷον ζῷον παντὶ μὲν ἀνθρώπῳ, λευκῷ δὲ τινί. ἄν
» θρωπος δὲ τινὶ λευκῷ οὐχ ὑπάρξει. ἐὰν οὖν τεθῇ τὸ α τῷ μὲν β μηδενὶ ὑπάρχειν. τῷ δὲ γ τινὶ ὑπάρ
» χειν. ἡ μὲν καθόλου πρότασις ὅλη ψευδής. ἡ δ' ἐν μέρει ἀληθής, καὶ τὸ συμπέρασμα ἀληθές.

F λιπούσης περὶ τῶν τὸ καθόλου συναγόντων ἐν δευτέρῳ σχήματι, νῦν λέγει καὶ περὶ τῶν τὰ μερικὰ καὶ φησίν. ὅτι τῶν τὰ μερικὰ συναγόντων, συμπλακήσονται, ἐν δευτέρῳ σχήματι. ἢ ἄμφω ψευδεῖς. ἢ ἡ μὲν ψευδής. ἡ δὲ ἀληθής. καὶ ἄμφω ψευδεῖς. ἢ μείζων ψευδὴς ὅλη. ἡ δὲ ἐλάττων ἐπί τι. ἢ καὶ ἡ μείζων καὶ ἡ ἐλάττων ἐπί τι ψευδεῖς. ὅλην γὰρ ψευδῆ τὴν ἐλάττονα οὐ δυνάμεθα λαβεῖν διὰ τὸ μερικόν. καὶ εἰ ἄμφω ἐπί τι. ἢ ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. ἢ ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική, εἰ δὲ ἡ μείζων ὅλη ἂν ψευδής, ἡ δὲ ἐλάττων ἐπί τι. ἢ ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. ἢ ἡ μείζων ἀποφατική. ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ ἡ μὲν ἀληθής, ἡ δὲ ψευδής, ἢ ἡ μείζων ἀληθής, ἡ δὲ ἐλάττων ψευδής, καὶ δεῖ ἀνάγκης ἐπί τι. καὶ ταύτης. ἢ ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. ἢ ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ ἂν ἡ μείζων ψευδής, ἡ δὲ ἐλάττων ἀληθής. ἢ ψευδής ἐστιν ἡ μείζων ὅλη, ἢ ἐπί τι. καὶ εἰ ἡ μείζων ὅλη ψευδής, ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. ἢ ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ ἡ μείζων ἐπί τι ψευδής. ἢ ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. ἢ ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. καὶ πρῶτον λέγει περὶ τῆς μείζονος ὅλης ψευδοῦς καὶ ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἀληθοῦς καὶ καταφατικῆς οὔσης. οὕτως. τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ. ζῷον τινὶ λευκῷ. καὶ ὅμως ἄνθρωπος οὐ

ὅλη ψευδὴς ἐν τῷ β σχήματι οὐ δύναται ἡ ἐλάττων, ἐν τῷ κ... χ' ἂν ... τι ... ποις.

„ γ' τινὶ μὴ ὑπάρχειν. μηδὲ τὸ β' μηδενὶ τῷ γ'. οἷον ζῷον κύκνῳ μὲν παντί. μέλανι δὲ τινὶ οὐχ ὑπάρχει.
„ κύκνος δὲ οὐδενὶ μέλανι. ὥστ' εἰ ληφθείη τὸ α' μηδενὶ τῷ β'. τὸ δὲ β' τινὶ τῷ γ', τὸ α' τινὶ τῷ γ' οὐχ ὑπάρξει. τὸ
„ μὲν οὖν συμπέρασμα ἀληθές. αἱ δὲ προτάσεις ψευδεῖς.

Ε ἐρικὼς τὴν καταφατικὴν. ὅπως συνάγεται λέγει νῦν τὴν ἀποφατικὴν. συνάγεται δὲ οὕτως ζῷον οὐδενὶ κύκνῳ, ὅλη ψευδής. κύκνος τινὶ μέλανι ἐπὶ τι ψευδής. καὶ ζῷον οὐ παντὶ μέλανι.

„ ΕΝ δὲ τῷ μέσῳ σχήματι πάντως ἐγχωρεῖ διὰ ψευδῶν, ἀληθὲς συλλογίσασθαι καὶ ἀμφοτέρων τῶν
„ προτάσεων ὅλων ψευδῶν λαμβανομένων. καὶ ἐπὶ τι ἑκατέρας. καὶ τῆς μὲν, ἀληθοῦς. τῆς δὲ ψευδοῦς
„ οὔσης ὅλης ὁποτερασοῦν ψευδοῦς τιθεμένης, καὶ εἰ ἀμφότεραι ἐπὶ τι ψευδεῖς. καὶ εἰ ἡ μὲν ἁπλῶς ἀληθὴς. ἡ δὲ ἐπὶ τι ψευδής. καὶ εἰ ἡ μὲν ὅλη ψευδής, ἡ δὲ ἐπὶ τι ἀληθής. καὶ ἐπὶ τῶν καθόλου, καὶ ἐπὶ τῶν
„ ἐν μέρει συλλογισμῶν.

Ρ ληρώσας τὸ πρῶτον σχῆμα. νῦν ἦλθεν ἐπὶ τὸ β'. δεικνὺς, ὅτι καὶ ἐν τῷ δευτέρῳ σχήματι ἐνδέχεται ἐκ ψευδῶν, ἀληθὲς συνάξαι. λαμβάνει δὲ ἐκδιαιρέσεως οὕτως. τῶν ἐκ ψευδῶν, τἀληθῆ ἢ καθόλου συμπεράσματα συναγουσῶν συζυγιῶν ἐν δευτέρῳ σχήματι. ἢ ἐξ ἄμφω ψευδῶν εἰσιν. ἢ ἐκ τῆς μὲν ψευδοῦς τῆς δὲ ἀληθοῦς. καὶ εἰ ἐξ ἀμφοτέρων ψευδῶν, ἢ ἀμφοτέρων ὅλων ψευδῶν οὐσῶν. καὶ ἢ τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς. ἢ τῆς μείζονος καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀποφατικῆς. ἢ ἀμφοτέρων ἐπὶ τι. καὶ ἢ τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς. ἢ τῆς μείζονος καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀποφατικῆς. ἢ τῆς μὲν ὅλης, τῆς δὲ ἐπὶ τι. καὶ τοῦτο διχῶς, ἢ ἡ μείζων ὅλη, ἡ δὲ ἐλάττονος ἐπὶ τι. ἢ ἔμπαλιν. καὶ κατὰ ἄμφω τούτων. ἤτοι ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. ἢ ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. καὶ εἰ ἐκ τῆς μὲν ψευδοῦς, τῆς δὲ ἀληθοῦς. ἢ ἐπὶ τι ψευδοῦς, ἢ ὅλη ψευδοῦς. καὶ εἰ ἐπὶ τι ψευδοῦς, ἤτοι ἡ μείζων ἐπὶ τι ψευδής, ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἡ μείζων ἀληθής, ἡ δὲ ἐλάττων ἐπὶ τι ψευδής. καὶ εἰ ὅλης ψευδοῦς ἢ ἡ μείζων ὅλη ψευδής, ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἡ μείζων ἀληθής. ἡ δὲ ἐλάττων ὅλη ψευδής. καὶ εἰ ἡ μὲν μείζων ὅλη ψευδής, ἡ δὲ ἐλάττων ἀληθής. ἤτοι ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. ἢ ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. εἰ δὲ εἴη ἡ μείζων ἐπὶ τι ψευδής, ἡ δὲ ἐλάττων ἀληθής. ἤτοι ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. ἢ ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. εἰ δὲ εἴη ἡ μείζων ἀληθής, ἡ δὲ ἐλάττων ὅλη ψευδής. ἤτοι ἡ μείζων καταφατική, ἡ δὲ ἐλάττων ἀποφατική. ἢ ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. εἰ δὲ εἴη ἡ μείζων ἀληθής. ἡ δὲ ἐλάττων ἐπὶ τι ψευδής. ἢ ἡ μείζων καταφατική ἐστιν. ἡ δὲ ἐλάττων ἀποφατική. ἤτοι ἡ μείζων ἀποφατική, ἡ δὲ ἐλάττων καταφατική. ταύτας τὰς δώδεκα συζυγίας τὰς μὲν διέξεισι. τὰς δὲ οὔ. ὡς ἐν τῇ λέξει σαφῶς ἐπιδείξομεν.

„ ΕΙ γὰρ τὸ α' τῷ μὲν β' μηδενὶ ὑπάρχει, τῷ δὲ γ' παντί. οἷον ζῷον λίθῳ μὲν οὐδενί, ἀνθρώπῳ δὲ παντί, ἐὰν ἐναντίως τεθῶσιν αἱ προτάσεις, καὶ ληφθῇ τὸ α' τῷ μὲν β' παντί. τῷ δὲ γ' μηδενὶ ἐκ ψευδῶν ὅ-
„ λων τῶν προτάσεων, ἀληθὲς ἔσται τὸ συμπέρασμα.

Ρ ρῶτον δείκνυσι τὴν ἐξ ἀμφοτέρων τῶν προτάσεων ὅλων ψευδῶν ἀληθὲς συνάγουσαν. οἷον τὸ α' τῷ μὲν β' μηδενί, τῷ δὲ γ' παντὶ κατὰ τὴν ἀλήθειαν. ἀντὰ ἐὰν ἐναντίως λάβῃς. ποιεῖς ἀληθὲς συμπέρασμα. ἐξ ὅλων ψευδῶν. τῆς μὲν μείζονος καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀποφατικῆς. οἷον ζῷον παντὶ λίθῳ. ἰδοὺ ὅλη ψευδής. ζῷον οὐδενὶ ἀνθρώπῳ. ἰδοὺ ὅλη ψευδής. καὶ συμπέρασμα ἀληθές. ὅτι λίθος οὐδενὶ ἀνθρώπῳ.

„ ΟΜΟΙΩΣ δὲ καὶ εἰ τῷ μὲν β' παντί, τῷ δὲ γ' μηδενὶ ὑπάρχει τὸ α'. ὁ γὰρ αὐτὸς ἔσται συλ-
„ λογισμός.

Ε δείξει πρῶτον τῆς μείζονος καταφατικῆς ὅλης ψευδοῦς οὔσης. καὶ τῆς ἐλάττονος ἀποφατικῆς ὅλης ψευδοῦς. πῶς συνάγεται ἀληθὲς συμπέρασμα. νῦν δὲ δείκνυσι τῆς μείζονος ἀποφατικῆς οὔσης, ὅλης ψευδοῦς. καὶ τῆς ἐλάττονος καταφατικῆς ὅλης ψευδοῦς, πῶς συνάγεται ἀληθὲς οὕτως. εἰ κατὰ τὴν ἀλήθειαν τὸ α' παντὶ τῷ β', τῷ δὲ γ' οὐδενί. ἐὰν ἀντιστραφῶσι καὶ γένωνται ψευδεῖς, ἀληθὲς γίνεται τὸ συμπέρασμα. οἷον τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ ὅλη ψευδής. τὸ ζῷον παντὶ λίθῳ. ὅλη ψευδής. καὶ ὅμως ἄνθρωπος, οὐδενὶ λίθῳ. ἰδοὺ τὸ συμπέρασμα ἀληθές.

„ ΠΑΛΙΝ εἰ ἡ μὲν ἑτέρα ψευδὴς ὅλη ἡ δὲ ἑτέρα ὅλη ἀληθής. οὐδὲν γὰρ κωλύει τὸ α', καὶ τῷ β'. καὶ
„ τῷ γ' παντὶ ὑπάρχειν. τὸ μέντοι β' μηδενὶ τῷ γ', οἷον τὸ γένος τοῖς μὴ ὑπ' ἄλληλα, εἴδεσι. τὸ γὰρ ζῷον,
„ καὶ ἵππῳ παντὶ καὶ ἀνθρώπῳ, καὶ οὐδεὶς ἄνθρωπος ἵππος. ἐὰν οὖν ληφθῇ τὸ ζῷον, τῷ μὲν, παντί. τῷ
„ δὲ, μηδενὶ ὑπάρχειν. ἡ μὲν ὅλη ψευδὴς ἔσται. ἡ δὲ ὅλη ἀληθής. καὶ τὸ συμπέρασμα ἀληθές. πρὸς ὁποτε-
„ ρανοῦν τεθέντος τοῦ στερητικοῦ.

Ε ἐρικὼς περὶ τῶν ἄμφω ψευδῶν, νῦν λέγει περὶ τῶν τὴν μὲν ψευδῆ, τὴν δὲ ἀληθῆ ἐχόντων. καὶ λαμβάνει ψευδῆ τὴν μείζονα, ἀληθῆ δὲ τὴν ἐλάττονα. καὶ πρῶτον λαμβάνει τὴν μείζονα ψευδῆ καὶ ἀποφατικὴν, τὴν δὲ ἐλάττονα ἀληθῆ καὶ καταφατικὴν οὕτως. τὸ ζῷον κατὰ μὲν ἀλήθειαν καὶ ἀνθρώπῳ, καὶ ἵππῳ παντί. εἰ ληφθῇ οὖν ἡ μείζων ψευδής, καὶ γένηται οὐδενί, γίνεται ἀληθὲς συμπέρασμα. οἷον, τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ. τὸ ζῷον παντὶ ἵππῳ. καὶ ἄνθρωπος οὐδενὶ ἵππῳ. ὁμοίως δὲ καὶ τῆς ἐλάττονος ὅλης ψευ-

δοῦς

Δ ἐὰν γὰρ καὶ ἡ καταφατικὴ συνάγηται, διὰ τῶν αὐτῶν ὅρων δείκνυται καὶ ἡ ἀποφατική. τὸ ζῶον οὐδενὶ κύκνῳ ἐπί τι ψευδής· κύκνον τινὶ μέλανι· καὶ ζῶον οὐ παντὶ μέλανι.

» ΠΑΛΙΝ εἰ ἡ μὲν α β' ἀληθής. ἡ δὲ β' γ' ψευδής, ἀληθὲς ἔσται τὸ συμπέρασμα. οὐδὲν γὰρ κωλύει
» τὸ α τῷ μὲν β' ὅλῳ ὑπάρχειν· τῷ δὲ γ' τινί· καὶ τὸ β' τῷ γ' μηδενὶ ὑπάρχειν. οἷον ζῶον κύκνῳ μὲν παν
» τί· μέλανι δέ τινι· κύκνος δὲ οὐδενὶ μέλανι. ὥστ' εἰ ληφθείη παντὶ τῷ β' τὸ α. καὶ τὸ β' τῷ γ' τινί, ἀληθὲς ἔ
» σται τὸ συμπέρασμα ψευδοῦς ὄντος τοῦ β' γ'.

Ε ἰρηκὼς περὶ τῶν συζυγιῶν τῶν ἐχουσῶν τὴν μείζονα ἤτοι ὅλην ψευδῆ ἢ ἐπί τι, νῦν λέγει περὶ τῶν ἐ
χουσῶν τὴν μείζονα ἀληθῆ, τὴν δὲ ἐλάττονα ψευδῆ ἐπί τι. ὡς γὰρ εἰρήκαμεν ὅλην ψευδῆ τὴν ἐλάττο
να λαβεῖν οὐκ ἐνδέχεται ἐπὶ τῶν τὸ μερικὸν συναγόντων συζυγιῶν. ἐπεὶ γίνεται ἡ ἐλάττων καθό
λου. ἤτοι δὲ καταφατική, ἢ ἀποφατική. καὶ οὐ ποιεῖ μερικὸν συλλογισμόν. ὥστε τὴν ἐλάττονα ἐπί τι
ψευδῆ λαμβάνει κατὰ τὴν κατηγορίαν, οὐ κατὰ τὸ ὑπάρχειν. ἐπειδὴ γὰρ ἐκείνην ἐλέγομεν ἐπί τι ψευδῆ τὴν
ἔχουσαν τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές. εἰ τύχοι οὖν καὶ ἐπί τινων ὅλην ψευδῆ λαμβάνει. εἰ καὶ
ὅλως μὴ ὑπάρχει· ἀλλ' ὅμως ἐπειδὴ τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθεύει κατὰ τὴν κατηγορίαν, ἐπί
τι ψευδὴς ἀκούει. καὶ πρῶτον συνάγει τὸ καταφατικὸν οὕτως. τὸ ζῶον παντὶ κύκνῳ. κύκνος τινὶ μέλανι
ἐπί τι ψευδὴς οὐ διὰ τὴν ὕπαρξιν, ἀλλὰ διὰ τὴν κατηγορίαν. ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον ἀλη
θές. καὶ ὅμως ζῶον τινὶ μέλανι. οὕτω τὸ καταφατικὸν συνάγεται.

» ΟΜΟΙΩΣ δὲ καὶ στερητικῆς λαμβανομένης τῆς α β' προτάσεως. ἐγχωρεῖ γὰρ τὸ α τῷ μὲν β'
» μηδενί· τῷ δὲ γ' τινὶ μὴ ὑπάρχειν· τὸ μέντοι β' μηδενὶ τῷ γ'. οἷον τὸ γένος τῷ ἐξ ἄλλου γένους εἴδει. καὶ
» τῷ συμβεβηκότι τοῖς ἑαυτοῦ εἴδεσι. τὸ γὰρ ζῶον ἀριθμῷ μὲν οὐδενὶ ὑπάρχει. λευκῷ δέ τινι.

Σ συνάγεται δὲ τὸ ἀποφατικὸν τῆς μείζονος ἀληθοῦς οὔσης, τῆς δὲ ἐλάττονος ἐπί τι ψευδοῦς οὕτως. ζῶον
οὐδενὶ ἀριθμῷ. ἀριθμὸς τινὶ λευκῷ ἐπί τι ψευδὴς κατὰ τὴν κατηγορίαν. ὅτι τὸ ἀντιφατικῶς ἀντικείμε
νον ἀληθές. τὸ λέγον ἀριθμὸς οὐδενὶ λευκῷ. εἰ οὖν ζῶον οὐδενὶ ἀριθμῷ. ἀριθμὸς δὲ τινὶ λευκῷ. καὶ ὅ
μως ζῶον οὐ παντὶ λευκῷ.

» ΚΑΙ ὁ ἀριθμὸς οὐδενὶ λευκῷ. ἐὰν οὖν μέσον τεθῇ ὁ ἀριθμός, καὶ ληφθῇ τὸ μὲν α μηδενὶ τῷ β'. τὸ δὲ
» β' τινὶ τῷ γ', τὸ α τινὶ τῷ γ' οὐχ ὑπάρξει. ὅπερ ἦν ἀληθές.

Λ ἀριθμὸς οὐδενὶ λευκῷ κατὰ τὴν ἀλήθειαν. εἶτα λαμβάνεται ὅτι τινὶ καὶ γίνεται ἐπί τι ψευδής.

» ΚΑΙ ἡ μὲν α β' πρότασις ἀληθής. ἡ δὲ β' γ' ψευδής. καὶ εἰ ἐπί τι ψευδὴς ἡ α β'. ψευδὴς δὲ καὶ ἡ β'
» γ'. ἔσται τὸ συμπέρασμα ἀληθές.

Ε ἰρηκὼς περὶ τῶν συζυγιῶν τῶν ἐκ τῆς μὲν ψευδοῦς. τῆς δὲ ἑτέρας ἀληθοῦς. νῦν λέγει περὶ τῶν ἀμφοῖν
ψευδῶν. καὶ πρῶτον περὶ τῶν ἀμφοῖν καὶ ἐπί τι τὸ μερικὸν καταφατικὸν συναγουσῶν.

» ΟΥΔΕΝ γὰρ κωλύει τὸ α τῷ β' τινὶ καὶ τῷ γ' τινὶ ὑπάρχειν ἑκατέρῳ. τὸ δὲ β' μηδενὶ τῷ γ'. οἷον
» εἰ ἀντικείμενον τὸ β' τῷ γ'. ἄμφω δὲ συμβεβηκότα τῷ αὐτῷ γένει.

Λ ἔγει πρῶτον περὶ τῶν ἀμφοῖν ἐπί τι ψευδῶν συναγουσῶν μερικὸν καταφατικόν. ἀλλ' αἱ ἡ μείζων ἐπί τι
ψευδὴς κατὰ τὴν ὕπαρξιν. ἡ δὲ ἐλάττων ἐπί τι ψευδὴς κατὰ τὴν κατηγορίαν οὕτως. ζῶον παντὶ λευ
κῷ. ἐπί τι ψευδὴς κατὰ τὴν ὕπαρξιν. λευκὸν τινὶ μέλανι ἐπί τι ψευδὴς κατὰ τὴν κατηγορίαν. καὶ
ὅμως ζῶον τινὶ μέλανι.

» ΤΟ γὰρ ζῶον, τινὶ λευκῷ καὶ τινὶ μέλανι ὑπάρχει. λευκὸν δὲ οὐδενὶ μέλανι ὑπάρχει. ἐὰν οὖν ληφθῇ
» τὸ α παντὶ τῷ β'. καὶ τὸ β' τινὶ τῷ γ', ἀληθὲς ἔσται τὸ συμπέρασμα. καὶ στερητικῆς δὲ λαμβανομένης τῆς
» α β' ὡσαύτως. οἱ γὰρ αὐτοὶ ὅροι καὶ ὡσαύτως τεθήσονται πρὸς τὴν ἀπόδειξιν.

Τ ὁ ζῶον τινὶ λευκῷ καὶ τινὶ μέλανι. καὶ τὸ λευκὸν οὐδενὶ μέλανι κατὰ τὴν ἀλήθειαν. ἐὰν οὖν ποιήσωμεν ἀμ
φοτέρας τὰς προτάσεις ἐπί τι ψευδεῖς. ἔσται τὸ συμπέρασμα ἀληθὲς οἷον, παντὶ λευκῷ ἀντὶ τοῦ τινί. λευ
κὸν τινὶ μέλανι. ἀντὶ τοῦ οὐδενί. ὅπως ἔσται τὸ συμπέρασμα. οὕτω καὶ ἐπὶ τῆς ἀποφατικῆς λάβωμεν τὸ
συμπέρασμα. ζῶον οὐδενὶ λευκῷ. λευκὸν τινὶ μέλανι. καὶ ζῶον οὐ παντὶ μέλανι.

» ΚΑΙ ἀμφοτέρων δὲ ψευδῶν οὐσῶν, ἔσται τὸ συμπέρασμα ἀληθές. ἐγχωρεῖ γὰρ τὸ α τῷ μὲν β' μηδενί.
» τῷ δὲ γ' τινὶ ὑπάρχειν. τὸ μέντοι β' μηδενὶ τῷ γ' οἷον τὸ γένος τῷ ἐξ ἄλλου γένους εἴδει. καὶ τῷ συμβεβη
» κότι τοῖς εἴδεσιν αὐτοῦ.

Ε ἰρηκὼς περὶ τῶν συζυγιῶν τῶν ἀμφοῖν ἐπί τι ψευδῶν, νῦν λέγει περὶ τῆς ἐκ τῆς μείζονος ὅλης ψευδοῦς, τῆς
δὲ ἐλάττονος ἐπί τι ψευδοῦς. συναγουσῶν πρῶτως τὸ καταφατικὸν οὕτως. ζῶον παντὶ ἀριθμῷ. ἀριθ
μὸς τινὶ λευκῷ. καὶ ζῶον τινὶ λευκῷ.

» ΖΩΟΝ γὰρ ἀριθμῷ μὲν οὐδενὶ λευκῷ δὲ τινὶ ὑπάρχει. καὶ ὁ ἀριθμὸς οὐδενὶ λευκῷ. ἐὰν οὖν ληφθῇ τὸ
» α παντὶ τῷ β'. καὶ τὸ β' τινὶ τῷ γ'. τὸ μὲν συμπέρασμα ἀληθές. αἱ δὲ προτάσεις ἄμφω ψευδεῖς.

Τ ὁ ζῶον οὐδενὶ ἀριθμῷ κατὰ ἀλήθειαν. ὅλη δὲ ψευδὴς γίνεται μεταληφθεῖσα ὅτι τὸ ζῶον παντὶ ἀριθμῷ. ἀριθ
μὸς οὐδενὶ λευκῷ κατὰ ἀλήθειαν. ἐπί τι δὲ ψευδὴς γίνεται, εἰ ληφθείη ὅτι ἀριθμὸς τινὶ λευκῷ.

» ΟΜΟΙΩΣ δὲ καὶ στερητικῆς οὔσης τῆς α β'. οὐδὲν γὰρ κωλύει τὸ α τῷ μὲν β' ὅλῳ ὑπάρχειν. τῷ δὲ

Ε εἰρηκὼς περὶ τῶν ἐν τῷ πρώτῳ σχήματι τὰ καθόλου συμπεράσματα συναγόντων, νῦν λέγει περὶ τῶν τὰ μερικά. πάλιν ἐκ διαιρέσεως λαμβάνων τὰς συζυγίας, ὅτι τῶν τὰ μερικὰ συμπεράσματα συναγόντων ἐν πρώτῳ σχήματι, ἢ ἡ μὲν ἐστὶν ἀληθὴς ἡ δὲ ψευδής, ἢ ἡ μείζων ψευδής, ἡ δὲ ἐλάττων ἀληθής. ἢ ἡ μείζων ἀληθής, ἡ δὲ ἐλάττων ψευδής. καὶ εἰ ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ὅλη ψευδὴς ἡ μείζων, ἡ δὲ ἐλάττων ἀληθής. καὶ συνάγει ἢ καταφατικὸν ἢ ἀποφατικόν. ἢ ἡ μείζων ἐπί τι ψευδής. ἡ δὲ ἐλάττων ἀληθής. καὶ συνάγει ἢ καταφατικὸν ἢ ἀποφατικόν. εἰ δὲ ἡ μείζων ἀληθής, ἡ δὲ ἐλάττων ψευδής. οὐ δύναται ἡ ἐλάττων ὅλη ψευδὴς ληφθῆναι. εἰ γὰρ ληφθῇ ὅλη ἡ καταφατικὴ λαμβάνεται ἢ ἀποφατική. καὶ εἰ ἀποφατικὴ ληφθῇ ἡ ἐλάττων, ἀσυλλόγιστοι ἐν πρώτῳ σχήματι. εἰ δὲ καταφατική, ἀνάγκη καὶ τὴν μείζονα καθόλου εἶναι. καὶ ἐκ δύο καθόλου προτάσεων, καθόλου τὸ συμπέρασμα. ἀλλὰ νῦν περὶ τῶν μερικῶν. ὥστε ἡ ἐλάττων ψευδὴς οὖσα, οὐκ ἂν ληφθῇ ὅλη διὰ τὰς εἰρημένας αἰτίας, ἀλλ' ἐπί τι μόνως. καὶ γίνεται καταφατικὴ ἡ συζυγία ἢ ἀποφατική. εἰ δὲ εἶεν ἄμφω ψευδεῖς, ἢ ἄμφω ἐπί τι, καὶ συνάγεται καταφατικὸν ἢ ἀποφατικόν. ἢ ἡ μείζων ὅλη ψευδής, ἡ δὲ ἐλάττων ἐπί τι. καὶ συνάγεται καταφατικὸν ἢ ἀποφατικόν. ταύτας τὰς δὲ καὶ συζυγίας ἔχει διεξελθεῖν ὁ ἀριστοτέλης. δεικνὺς ὅτι ἐκ ψευδῶν ἀληθὲς συνάγεται.

» ΕΠΙ δὲ τῶν ἐν μέρει συλλογισμῶν ἐνδέχεται καὶ τῆς πρώτης προτάσεως ὅλης ψευδοῦς οὔσης, τῆς δ' ἑτέρας ἀληθοῦς, ἀληθὲς εἶναι τὸ συμπέρασμα, καὶ ἐπί τι ψευδοῦς οὔσης τῆς ΑΒ, τῆς δὲ ΒΓ ὅλης ἀληθοῦς. καὶ τῆς μὲν ΑΒ ἀληθοῦς, τῆς δ' ἐν μέρει ψευδοῦς, καὶ ἀμφοτέρων οὐσῶν ψευδῶν.

Φ ησὶν ὅτι τῶν ἐπὶ μέρους συλλογισμῶν ἐνδέχεται τῆς μείζονος ὅλης ψευδοῦς οὔσης. τῆς δὲ ἐλάττονος ἀληθοῦς. ἢ καὶ ἐπί τι ψευδοῦς οὔσης τῆς μείζονος. ὁμοίως μὲν οὔσης τῆς ἐλάττονος. ἢ πάλιν τῆς μείζονος ἀληθοῦς, τῆς δὲ ἐλάττονος ψευδοῦς ἐπί τι, ἢ καὶ τῆς μείζονος ψευδοῦς, καὶ τῆς ἐλάττονος ἐπί τι ψευδοῦς. ἀληθὲς συναχθῆναι συμπέρασμα.

» ΟΥΔΕΝ γὰρ κωλύει τὸ Α τῷ μὲν Β μηδενὶ ὑπάρχειν, τῷ δὲ Γ τινί, καὶ τὸ Β τινὶ τῷ Γ ὑπάρχειν. οἷον ζῷον, οὐδεμιᾷ χιόνι. λευκῷ δὲ τινὶ ὑπάρχει. καὶ ἡ χιὼν λευκῷ τινί. εἰ οὖν μέσον τεθείη ἡ χιών. πρῶτον δὲ τὸ ζῷον. καὶ ληφθείη τὸ μὲν Α ὅλῳ τῷ Β ὑπάρχειν. τὸ δὲ Β τινὶ τῷ Γ. ἡ μὲν ΑΒ ὅλη ψευδής. ἡ δὲ ΒΓ, ἀληθής, καὶ τὸ συμπέρασμα ἀληθές.

Λ έγει πρῶτον περὶ τῆς μερικῆς καταφατικῆς. τῆς γινομένης ἐκ τῆς μείζονος ὅλης ψευδοῦς, τῆς δὲ ἐλάττονος ἀληθοῦς. ὅτι οὐδὲν κωλύει κατὰ τὰ ἀληθῆ τὸ Α μηδενὶ τῷ Β ὑπάρχειν. τῷ δὲ Γ τινί. ὁμοίως καὶ τὸ Β τῷ Γ τινὶ ὑπάρχειν μεταληφθείσης τῆς μείζονος εἰς ὅλην ψευδῆ, ἀληθὲς ἔσται συμπέρασμα. οἷον, ζῷον οὐδεμιᾷ χιόνι κατὰ ἀλήθειαν. ληφθείη δὲ ὡς ὅλη ψευδής. καὶ γίνεται ὅτι ζῷον πάσῃ χιόνι. χιὼν τινὶ λευκῷ. καὶ ὅμως ζῷον τινὶ λευκῷ ὑπάρχει. δεῖ δὲ νῦν τοῦτο εἰδέναι. ὅτι ἡ ἐλάττων ὅτε λαμβάνεται ἐπί τι, διὰ τὴν κατηγορίαν λαμβάνεται. οὐ διὰ τὴν ὕπαρξιν πολλάκις. ἐλέγομεν γὰρ ὅτι ἐπί τι ψευδῆ ἐκείνην λέγει τὴν ἔχουσαν τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές. οἷον, πᾶς ἄνθρωπος πτερωτός. ἐπί τι ψευδὴς ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές. ἐπί τι δὲ λέγομεν ψευδῆ, οὐχ ὅτι ἐπί τινων μὲν ἀληθεύει, ἐπί τινων δὲ ψεύδεται. οὔτε γὰρ ὅλως εἷς τις πτερωτός. ἀλλὰ ἐπί τι ψευδὴς λέγεται διὰ τὸ ἀληθεύειν τὴν ἀντίφασιν. ὥστε νῦν λαμβάνει μὲν ἐπί τι ψευδῆ τὴν ἐλάττονα πρότασιν διὰ τὴν κατηγορίαν. οὐ διὰ τὴν ὕπαρξιν.

» ΟΜΟΙΩΣ δὲ καὶ στερητικῆς οὔσης τῆς ΑΒ προτάσεως. ἐγχωρεῖ γὰρ τὸ Α τῷ μὲν Β ὅλῳ ὑπάρχειν. τῷ δὲ Γ τινὶ μὴ ὑπάρχειν. τὸ μέντοι Β τινὶ ὑπάρχειν τῷ Γ. οἷον τὸ ζῷον, ἀνθρώπῳ μὲν παντὶ ὑπάρχει. λευκῷ δέ τινι οὐχ ἕπεται. ὁ δὲ ἄνθρωπος λευκῷ τινὶ ὑπάρχει. ὥστε εἰ μέσου τεθέντος τοῦ ἀνθρώπου ληφθείη τὸ Α μηδενὶ τῷ Β ὑπάρχειν. τὸ δὲ Β τινὶ τῷ Γ ὑπάρχειν, ἀληθὲς ἔσται τὸ συμπέρασμα ψευδοῦς οὔσης ὅλης τῆς ΑΒ προτάσεως.

Ε ἰρηκὼς περὶ τῆς καταφατικῆς, νῦν λέγει περὶ τῆς ἀποφατικῆς. ὅτι ἐνδέχεται μὲν κατὰ τὰ ἀλήθειαν τὸ Α παντὶ τῷ Β. καὶ τὸ Β τινὶ τῷ Γ. ἀλλὰ μεταληφθῆναι ἡ ΑΒ εἰς ὅλην ψευδῆ. ὥστε εἶναι τὸ Α οὐδενὶ τῷ Β. οἷον τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ. ἰδοὺ ὅλη ψευδής. ἄνθρωπος τινὶ λευκῷ. καὶ ὅμως ζῷον τινὶ λευκῷ. οὕτως καὶ τὸ μερικὸν ἀποφατικὸν ἀληθὲς συνάγεται ἐκ τῆς μείζονος ὅλης ψευδοῦς, τῆς δὲ ἐλάττονος ἀληθοῦς.

» ΚΑΙ εἰ ἐπί τι ψευδὴς ἡ ΑΒ πρότασις τῆς ΒΓ ἀληθοῦς οὔσης ἔσται τὸ συμπέρασμα ἀληθές. οὐδὲν γὰρ κωλύει τὸ Α, καὶ τῷ Β καὶ τῷ Γ τινὶ ὑπάρχειν. καὶ τὸ Β τῷ Γ τινὶ ὑπάρχειν. οἷον τὸ ζῷον, τινὶ καλῷ. καὶ τινὶ μεγάλῳ. καὶ τὸ καλὸν τινὶ μεγάλῳ ὑπάρχειν. ἐὰν οὖν ληφθῇ τὸ Α παντὶ τῷ Β. καὶ τὸ Β τινὶ τῷ Γ. ἡ μὲν ΑΒ πρότασις, ἐπί τι ψευδὴς ἔσται. ἡ δὲ ΒΓ ὅροι ἀληθής. καὶ τὸ συμπέρασμα ἀληθές.

Ε πλήρωσε περὶ τῶν β' συζυγιῶν τῶν ἐχόντων τὴν μείζονα ὅλην ψευδῆ, τὴν δὲ ἐλάττονα ἀληθῆ, νῦν λέγει περὶ τῶν ἐχόντων τὴν μείζω ἐπί τι ψευδῆ. τὴν δὲ ἐλάττονα ἀληθῆ. καὶ πρῶτον τὸ καταφατικὸν συνάγει οὕτως. οἷον, τὸ ζῷον παντὶ καλῷ. ἰδοὺ ἐπί τι ψευδής. ἐπειδὴ τινὶ καλῷ ὑπάρχει. νῦν δὲ παντὶ ἐλάβομεν. καλὸν τινὶ μεγάλῳ. καὶ ὅμως ζῷον τινὶ μεγάλῳ. οὕτως τὸ καταφατικὸν συνάγεται ἐκ τῆς μείζονος ἐπί τι ψευδοῦς. τῆς δὲ ἐλάττονος ἀληθοῦς.

» ΟΜΟΙΩΣ δὲ καὶ στερητικῆς οὔσης τῆς ΑΒ προτάσεως. οἱ γὰρ αὐτοὶ ὅροι ἔσονται καὶ ὡσαύτως κείμενοι πρὸς τὴν ἀπόδειξιν.

ΟΜΟΙΩΣ δὲ οὐδ' εἰ τὸ α' τῷ β' παντὶ ὑπάρχει, καὶ τὸ β' τῷ γ' παντί. ληφθῇ δὲ ἡ μὲν β' γ' ἀληθὴς πρότασις. ἡ δὲ α' β' ψευδὴς ὅλη. καὶ μηδενὶ ὧν τὸ β' τὸ α'. τὸ συμπέρασμα ψευδὲς ἔσται. παντὶ γὰρ ὑπάρχει τῷ γ', τὸ α'. εἴπερ ᾧ τὸ β' παντὶ τὸ α'. τὸ δὲ β' παντὶ τῷ γ'. φανερὸν οὖν ὅτι τῆς πρώτης ὅλης λαμβανομένης ψευδοῦς, ἄν τε καταφατικῆς ἄν τε στερητικῆς, τῆς δ' ἑτέρας ἀληθοῦς, οὐ γίνεται ἀληθὲς τὸ συμπέρασμα.

Πάλιν ἵνα ποιήσῃ τὴν ἀποφατικὴν συζυγίαν ψευδῆ, λαμβάνει ψευδῆ ἀποφατικὴν πρότασιν τὴν μείζονα ἡ τὸ α' τῷ β' μηδενί. ὅπερ ψευδές. παντὶ γὰρ ἦν τῷ ζώῳ τὸ ἔμψυχον.

ΜΗ ὅλης δὲ λαμβανομένης, ψευδοῦς, ἔσται. εἰ γὰρ τὸ α' τῷ μὲν γ' παντὶ ὑπάρχει. τῷ δὲ β' τινί, τὸ δὲ β' παντὶ τῷ γ'. οἷον ζῶον κύκνῳ μὲν παντί. λευκῷ δὲ τινί. τὸ δὲ λευκὸν παντὶ κύκνῳ. ἐὰν ληφθῇ τὸ α' παντὶ τῷ β'. καὶ τὸ β' παντὶ τῷ γ', τὸ α' παντὶ τῷ γ' ὑπάρξει ἀληθῶς. πᾶς γὰρ κύκνος ζῶον.

Ἐὰν μὲν ἡ, ἡ μείζων ὅλη ψευδὴς, οὐ συνάγεται ἀληθὲς συμπέρασμα. ἐὰν δὲ ἐπί τι ψευδὴς, συνάγεται ἀληθές. οἷον εἰ μὲν καταφατική, οὕτω. ζῶον παντὶ λευκῷ. ἐπί τι ψευδής. ἐπὶ τῶν κοράκων γὰρ ψευδής. ἐπὶ δὲ τῶν κύκνων ἀληθής. λευκὸν παντὶ κύκνῳ. καὶ ὅμως ζῶον παντὶ κύκνῳ. οὕτως ἡ καταφατικὴ συζυγία συνάγεται.

ΟΜΟΙΩΣ δὲ καὶ εἰ στερητικὸν εἴη τὸ α' β'. ἐγχωρεῖ γὰρ τὸ α' τῷ μὲν β' τινὶ ὑπάρχειν. τῷ δὲ γ' μηδενί. τὸ δὲ β' παντὶ τῷ γ'. οἷον τὸ ζῶον τινὶ μὲν λευκῷ. χιόνι δὲ οὐδεμιᾷ, λευκὸν δὲ πάσῃ χιόνι. εἰ οὖν ληφθείη τὸ μὲν α' μηδενὶ τῷ β', τὸ δὲ β', παντὶ τῷ γ'. τὸ α' οὐδενὶ τῷ γ' ὑπάρξει.

Ὥστε τὸ ἀληθὲς τὸ καταφατικὸν συνάγεται γέγονε συμπέρασμα. οὕτω καὶ τὸ ἀποφατικὸν ἀληθὲς, τῆς μείζονος ἐπί τι ψευδοῦς οὔσης. τῆς οἷον ζῶον οὐδενὶ λευκῷ ἐπί τι ψευδοῦς. ἐπὶ γὰρ κύκνων μόνων ψευδοῦς. λευκὸν πάσῃ χιόνι. καὶ ὅμως ζῶον οὐδεμιᾷ χιόνι ὅπερ ἀληθὲς τὸ συμπέρασμα.

ΕΑΝ δ' ἡ μὲν α' β' πρότασις ὅλη ληφθῇ ἀληθὴς, ἡ δὲ β' γ' ὅλη ψευδὴς, ἔσται συλλογισμὸς ἀληθής. οὐδὲν γὰρ κωλύει τὸ α' καὶ τῷ β' καὶ τῷ γ' παντὶ ὑπάρχειν. τὸ μέντοι β' μηδενὶ τῷ γ'. οἷον ὅσα τοῦ αὐτοῦ γένους εἴδη μὴ ὑπ' ἄλληλα. τὸ γὰρ ζῶον, καὶ ἵππῳ καὶ ἀνθρώπῳ ὑπάρχει. ἵππος δὲ, οὐδενὶ ἀνθρώπῳ ὑπάρχει. ἐὰν οὖν ληφθῇ τὸ α' παντὶ τῷ β'. καὶ τὸ β' παντὶ τῷ γ'. ἀληθὲς ἔσται τὸ συμπέρασμα, ψευδοῦς οὔσης ὅλης τῆς β' γ' προτάσεως.

Ἐλήφθη ἡ μείζων πρότασις ὅλη ψευδὴς. καὶ οὐ συνῆξεν ἀληθές, καὶ ἐπί τι ψευδὴς, καὶ συνῆξε τὰ δύο συμπεράσματα ἀληθῆ. νῦν δὲ λαμβάνει τὴν μείζονα ἀληθῆ, τὴν δὲ ἐλάττονα ψευδῆ ὅλην. καὶ λέγει ἀληθῆ γίνεσθαι τὰ συμπεράσματα οἷον ζῶον παντὶ ἀνθρώπῳ ἀληθές. ἄνθρωπος παντὶ ἵππῳ. ψευδὴς ὅλη. καὶ ὅμως ζῶον παντὶ ἵππῳ. ὅπερ ἀληθές. οὕτω τὸ καταφατικόν. τὸ μέντοι β', οὐδενὶ τῷ γ'. εἰ τὸ β' οὐδενὶ τῷ γ'. ἀληθές. ἀλλ' ἵνα γένηται ψευδὴς λαμβάνηται παντί.

ΟΜΟΙΩΣ δὲ καὶ στερητικῆς οὔσης τῆς α' β' προτάσεως. ἐνδέχεται γὰρ τὸ α' μήτε τῷ β' μήτε τῷ γ' μηδενὶ ὑπάρχειν. μηδὲ τὸ β' μηδενὶ τῷ γ'. οἷον τοῖς ἐξ ἄλλου γένους εἴδεσι τὸ ἕτερον γένος. τὸ γὰρ ζῶον οὔτε μουσικῇ. οὔτε ἰατρικῇ ὑπάρχει. οὐδ' ἡ μουσικὴ, ἰατρικῇ. ληφθέντος οὖν τοῦ μὲν α' μηδενὶ τῷ β'. τοῦ δὲ β' παντὶ τῷ γ'. ἀληθὲς ἔσται τὸ συμπέρασμα.

Τὴν ἀποφατικὴν συζυγίαν συνάγομεν ἀληθῆ, τῆς μείζονος ἀληθοῦς οὔσης, τῆς δὲ ἐλάττονος ὅλης ψευδοῦς οὕτως. τὸ ζῶον οὐδεμιᾷ μουσικῇ ὅπερ ἀληθές. μουσικὴ πάσῃ ἰατρικῇ ὅπερ ψευδές. καὶ ζῶον οὐδεμιᾷ ἰατρικῇ. ὅπερ ἀληθές. οὕτω καὶ αὗται αἱ συζυγίαι ἀληθεῖς.

ΚΑΙ εἰ μὴ ὅλη ψευδὴς ἡ β' γ', ἀλλ' ἐπί τι καὶ οὕτως ἔσται τὸ συμπέρασμα ἀληθές. οὐδὲν γὰρ κωλύει τὸ α' καὶ τῷ β' καὶ τῷ γ' ὅλῳ ὑπάρχειν. τὸ μέντοι β' τινὶ τῷ γ'. οἷον τὸ γένος τῷ εἴδει, καὶ τῇ διαφορᾷ. τὸ γὰρ ζῶον παντὶ ἀνθρώπῳ, καὶ παντὶ πεζῷ. ὁ δὲ ἄνθρωπος τινὶ πεζῷ καὶ οὐ παντί. εἰ οὖν τὸ α' παντὶ τῷ β', καὶ τὸ β' παντὶ τῷ γ' ληφθείη, τὸ α' παντὶ τῷ γ' ὑπάρξει, ὅπερ ἦν ἀληθές.

Εἰρηκὼς ὅτι τῆς ἐλάττονος ὅλης ψευδοῦς, οὔσης γίνονται ἀληθῆ τὰ συμπεράσματα. φησὶ καὶ μὴ ὅλης οὔσης ψευδοῦς, τῆς δὲ μείζονος ἀληθοῦς, ἀληθῆ γίνεσθαι τὰ συμπεράσματα. οἷον, ζῶον παντὶ ἀνθρώπῳ. ἄνθρωπος παντὶ πεζῷ ὅπερ ἐπί τι ψευδές ἐστι. καὶ ὅμως ζῶον παντὶ πεζῷ. ὅπερ ἀληθές. οὕτω τὸ καθόλου καταφατικὸν συνάγομεν. ὅρους λαμβάνοντες γένος καὶ εἶδος καὶ διαφοράν. ἄκρα μὲν τιθέντες γένος καὶ διαφοράν. μέσον δὲ τὸ εἶδος.

ΟΜΟΙΩΣ δὲ καὶ στερητικῆς οὔσης τῆς α' β' προτάσεως. ἐνδέχεται γὰρ τὸ α' μήτε τῷ β' μήτε τῷ γ' μηδενὶ ὑπάρχειν. τὸ μέντοι β' τινὶ τῷ γ'. οἷον τὸ γένος τὸ ἐξ ἄλλου γένους εἴδει καὶ διαφορᾷ.


Νῦν τὴν ἑτέραν συζυγίαν λέγει τὴν ἀποφατικὴν πῶς συνάγεται. ὅτι λαβόντες τὸν μέσον ὅρον ἀλλοτρίῳ γένους εἶδος. οἷον, ζῶον, οὐδεμιᾷ φρονήσει. φρόνησις πάσῃ θεωρητικῇ. καὶ ὅμως ζῶον οὐδεμιᾷ θεωρητικῇ. οὕτω καὶ τὸ ἀποφατικὸν ἀληθὲς τῆς ἐλάττονος ἐπί τι ψευδοῦς οὔσης. καὶ ἐπλήρωσε πάσας τὰς συζυγίας. θρυλῶν ποτὲ ἐκ ψευδῶν ἀληθῆ συνάγεται συμπεράσματα. ποτὲ δὲ οὐ ἀπαραλείπτως.

ΤΟ γὰρ ζῶον οὔτε φρονήσει οὐδεμιᾷ ὑπάρχει. οὔτε θεωρητικῇ. ἡ δὲ φρόνησις τινὶ θεωρητικῇ, εἰ οὖν ληφθείη τὸ μὲν α' μηδενὶ τῷ β', τὸ β' παντὶ τῷ γ', οὐδενὶ τῷ γ' τὸ α' ὑπάρξει. τοῦτο δὲ ἦν ἀληθές.

» χα παντὶ λάβωμεν μηδενὶ ὑπάρχειν, ᾧ δὲ μὴ ὑπάρχει, παντὶ ὑπάρχειν ἐκ ψευδῶν ἀμφοῖν, ἀληθὲς ἔσται
» τὸ συμπέρασμα.

Ε ἴπε περὶ τῆς μιᾶς συζυγίας τῆς καταφατικῆς, τῆς ἐξ ὅλων ψευδῶν. νῦν περὶ τῆς ἄλλης λέγει, τῆς ἀποφατικῆς καὶ ἐξ ὅλων ψευδῶν ἀληθὲς συναγούσης οὔσης. ἐὰν οὖν ἀληθῶν οὐσῶν. τὸ ζῶον παντὶ κύκνῳ ὡς κύκνος οὐδενὶ λίθῳ. λάβωμεν ἀλλὰς ψευδεῖς, ποιοῦμεν ἀληθὲς συμπέρασμα οὕτω. τὸ ζῶον οὐδενὶ ἀνθρώπῳ. ἰδοὺ ὅλη ψευδής. ὁ κύκνος παντὶ λίθῳ. ἰδοὺ ὅλη ψευδής. καὶ ὅμως ζῶον οὐδενὶ λίθῳ. ὅπερ ἀληθές. ἰδοὺ καὶ ἐν ταύταις ἀληθῶν οὐσῶν τῶν προτάσεων, ψευδὴς καὶ ὁ συλλογισμός. ψευδῶν δὲ γέγονεν τοῦ ὅτι ὁ συλλογισμός.

» Τῶν αὐτῶν ὅρων ληφθέντων. τῶν αὐτῶν ὅρων τῶν ἤδη εἰρημένων ἐν τοῖς μικρὸν ἀνωτέρω.



» ΟΜΟΙΩΣ δὲ δειχθήσεται, κἂν οὐδέ τι ψευδὴς ἑκατέρα ληφθῇ.

Ε ἴπε περὶ τῶν δύο συζυγιῶν τῶν ἐξ ἀμφοῖν ψευδῶν. καὶ ὤφειλεν εἰπεῖν εὐθέως περὶ τῶν δύο συζυγιῶν τῶν ἐκ τῆς μὲν ὅλης ψευδοῦς, τῆς δὲ οὐδέ τι ψευδοῦς τῶν ἐξ ἀμφοῖν ψευδῶν. καὶ οὐδέ τι ψευδῶν. αὐτὸς δὲ ταύτας ἀποσιωπήσας τὰς συζυγίας ὡς δήλας γινομένας ἐκ τῶν ἄλλων συζυγιῶν. ὅτι αὗται ἀληθὲς συνάγουσι συμπέρασμα. λέγει δὲ περὶ τῶν ἀμφοῖν οὐδέ τι ψευδῶν ὅτι συνάγεται ἀληθὲς συμπέρασμα. οἷον ἐὰν λάβοις ζῶον παντὶ λευκῷ. ἰδοὺ οὐδέ τι ψευδής. οὐδὲ γὰρ τοῦ κόρακος ψευδής. οὐδὲ δὲ κύκνου, ἀληθές. λευκὸν παντὶ ἀνθρώπῳ. καὶ αὕτη οὐδέ τι ψευδής. καὶ ὅμως ζῶον παντὶ ἀνθρώπῳ. ὁμοίως καὶ οὐδὲ τοῦ ἀποφατικοῦ. λίθος οὐδενὶ λευκῷ. λευκὸν παντὶ ἀνθρώπῳ. ἰδοὺ ἀμφότεραι οὐδέ τι ψευδεῖς. καὶ ὅμως λίθος οὐδενὶ ἀνθρώπῳ, ὅπερ ἀληθές.

» ΕΑΝ δ' ἡ ἑτέρα τεθῇ ψευδής. τῆς μὲν πρώτης ὅλης ψευδοῦς οὔσης. οἷον τῆς α β οὐκ ἔσται τὸ συμ-
» πέρασμα ἀληθές, τῆς δὲ β γ, ἔσται.


Π ληρώσας περὶ τῶν ἀμφοῖν οὐδέ τι ψευδῶν, νῦν ἦλθεν οὐδὲ τὴν ἄλλην διαίρεσιν τὴν λέγουσαν, τὴν μὲν ψευδῆ τὴν δὲ ἀληθῆ. τοῦτο δὲ ἦν διχῶς. καὶ γὰρ ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ἡ μείζων ἀληθής, ἡ δὲ ἐλάττων ψευδής. καὶ εἰ ἔστιν ἡ μείζων ψευδής, ἢ ὅλη ψευδής, ἢ οὐδέ τι ψευδής. καὶ φησὶν ὅτι εἰ ἔσται ἡ μείζων ὅλη ψευδής, ἀληθὲς οὐ συνάγεται συμπέρασμα. εἰ δὲ εἴη ἡ β γ ἡ ἐλάττων, πρότασις ψευδής, συνάγεται. πάλιν εἰ καὶ ἡ μείζων ἢ ὅλη ψευδής. ἀλλ' οὐδέ τι, πάλιν συνάγεται ἀληθές. καὶ ὁμοίως ἂν μείζων πρότασις ὅλη ἀληθής, ἡ δὲ ἐλάττων ὅλη ψευδής. ἢ οὐδέ τι ψευδὴς συνάγεται ὡς δείξομεν.

» ΛΕΓΩ δὲ ὅλην ψευδῆ τὴν ἐναντίαν. οἷον εἰ μηδενὶ ὑπάρχον, παντὶ εἴληπται. ἢ εἰ παντὶ μηδενὶ ὑ-
» πάρχον. ἔστω γὰρ τὸ α τῷ β μηδενὶ ὑπάρχον. τὸ δὲ β τῷ γ παντί.

Π άλιν λέγει ὅλην ψευδῆ, τὴν ἔχουσαν τὴν ἐναντίαν ἀληθῆ. οὐδέ τι δὲ ψευδῆ, τὴν ἔχουσαν τὸ ἀντιφατικῶς ἀντικείμενον.

» ΕΑΝ δὴ τὴν μὲν β γ πρότασιν λάβωμεν ἀληθῆ. τὴν δὲ α β ψευδῆ ὅλην, καὶ παντὶ ὑπάρχειν
» τῷ β τὸ α, ἀδύνατον τὸ συμπέρασμα ἀληθὲς εἶναι. οὐδενὶ γὰρ ὑπῆρχε τῶν γ εἴπερ ᾧ τὸ β μηδενὶ τὸ α.
» τὸ δὲ β παντὶ τῷ γ.

Λ έγει πρῶτον περὶ τῆς συζυγίας τῆς ἐχούσης τὴν μείζονα ὅλην ψευδῆ, τὴν δὲ ἐλάττονα ἀληθῆ. καὶ πρῶτος περὶ τοῦ καταφατικοῦ. ὅτι ἐὰν τὸ α κατὰ ἀλήθειαν οὐδενὶ ὑπάρχει τῷ β. εἶτα ληφθῇ ὅτι ὑπάρχει παντί. ὅλη ψευδής ἐστιν. εἶτα καὶ τὸ β ἐξ ἀληθείας παντὶ τῷ γ, οὐκ ἔστιν ἀληθὲς εἰπεῖν ὅτι τὸ συμπέρασμά ἐστιν ἀληθές. οἷον, ἄψυχον οὐδενὶ ζώῳ ἀληθές. μετάλαβε εἰς ψευδῆ ὅλην καὶ εἰπέ. ἄψυχον παντὶ ζώῳ. ζῶον παντὶ ἀνθρώπῳ ἀληθές. καὶ συνάγεται ψεῦδος ὅτι ἄψυχον παντὶ ἀνθρώπῳ. οὕτως ἡ μία συζυγία ἡ καταφατική. ἡ δ' ἀποφατικὴ ἡ ψευδής οὕτως. ἔμψυχον οὐδενὶ ζώῳ. ὅπερ ὅλον ψευδής. ζῶον παντὶ ἀνθρώπῳ. ἔμψυχον οὐδενὶ ἀνθρώπῳ. ὅπερ ψεῦδος. οὕτως αἱ δύο συζυγίαι αὗται, αἱ ἔχουσαι τὴν μείζω ὅλην ψευδῆ, ἀληθὲς συμπέρασμα οὐ συνάγουσιν.




Ὁμοίως

ἀληθὲς καὶ ὂν τὸ συμπέρασμα. εἰ δέ τις ἐρεῖ τοῦτο ψευδές, τὸ αὐτὸ καὶ ὂν καὶ μὴ ὄν. ὅπερ ἄτοπον. ὁμοίως καὶ ἐπὶ ἀποφατικῶν ἔστιν ἀληθὲς ἐξ ἀληθῶν δεικνύναι.

» ΕΚ ψευδῶν δὲ ἔστιν ἀληθὲς συλλογίσασθαι, καὶ ἀμφοτέρων τῶν προτάσεων ψευδῶν οὐσῶν, καὶ
» τῆς μιᾶς. ταύτης δὲ οὐχ ὁποτέρας ἔτυχεν, ἀλλὰ τῆς δευτέρας. ἐάν περ ὅλην λαμβάνωμεν ψευδῆ. μὴ
» ὅλης δὲ λαμβανομένης, ἔστιν ὁποτερασοῦν.

E Εἰρηκὼς περὶ τῶν ἐξ ἀληθῶν προτάσεων, νῦν περὶ τῶν ἐκ ψευδῶν συναγομένων. καὶ λέγει πότε μὲν ψευδῆ συνάγεται, πότε δὲ ἀληθῆ συμπεράσματα. τῶν οὖν ἐκ ψευδῶν προτάσεων συλλογισμὸν συναγόντων ἐν πρώτῳ σχήματι. ἢ ἐξ ἀμφοτέρων ψευδῶν. ἢ τῆς ἑτέρας μόνης. καὶ εἰ ἀμφοτέρων ψευδῶν, ἢ ἀμφοτέρων τῶν προτάσεων ὅλων ψευδῶν οὐσῶν καὶ συνάγονται δύο συζυγίαι. καταφατικαί. καὶ ἀποφατικαί. ἢ ἀμφοτέρων τῶν προτάσεων ἐπί τι ψευδῶν οὐσῶν, καὶ ἄλλαι δύο συζυγίαι γίνονται. μία καταφατικὴ καὶ ἄλλη ἀποφατική. ἢ τῆς μὲν ὅλης ψευδοῦς, τῆς δὲ ἐπί τι ψευδοῦς. καὶ τοῦτο διχῶς. ἢ γὰρ ἡ μείζων ἐπί τι ψευδής. ἡ δὲ ἐλάττων ὅλη ψευδής. καὶ γίνονται ἄλλαι δύο συζυγίαι καταφατικὴ καὶ ἀποφατική. ἢ ἡ μείζων ὅλη ψευδής, ἡ δὲ ἐλάττων ἐπί τι ψευδής. καὶ γίνονται ἄλλαι δύο. καταφατικὴ καὶ ἀποφατική. ὥστε τέως ἔχομεν ὀκτὼ συζυγίας. δύο μὲν ἐκ τῶν ὅλων ψευδῶν. δύο δὲ ἐκ τῶν ἐπί τι ἄμφω ψευδῶν. τέσσαρας δὲ ἐκ τοῦ τῆς μὲν ὅλης, τῆς δὲ ἐπί τι τῶν προτάσεων ψευδοῦς. οὕτω μὲν ἐξ ἀμφοτέρων ψευδῶν. ἐκ δὲ τῆς ἑτέρας ψευδοῦς, τῆς δὲ ἑτέρας ἀληθοῦς, καὶ τοῦτο διχῶς. ἢ γὰρ ἡ μείζων ψευδής, ἡ δὲ ἐλάττων ἀληθής. ἢ ἡ μὲν ἐλάττων ψευδής, ἡ δὲ μείζων ἀληθής. καὶ εἰ ἡ μείζων ψευδὴς ἡ δὲ ἐλάττων ἀληθής, ἢ ὅλη ψευδής. καὶ ποιεῖ δύο συζυγίας καταφατικὴν καὶ ἀποφατικήν. ἢ ἐπί τι ψευδὴς καὶ ποιεῖ ἄλλας δύο μίαν καταφατικὴν καὶ μίαν ἀποφατικήν. εἰ δὲ ἡ ἡ μείζων ἀληθὴς ἡ δὲ ἐλάττων ψευδής. πάλιν ἢ ὅλη ἀληθὴς καὶ ποιεῖ ἄλλας δύο συζυγίας. ἢ ἐπί τι ἀληθής. καὶ ποιεῖ ἄλλας δύο καταφατικὴν καὶ ἀποφατικήν. ὥστε γίνεσθαι τὰς πάσας ιϛʹ.

ταύτας διέξεισιν ὁ ἀριστοτέλης. οὐ πάσας δέ, τὰς γὰρ τῆς μὲν ὅλης ψευδοῦς. τῆς δὲ ἐπί τι ψευδοῦς γινομένην τέσσαρας συζυγίας, οὐ διέξεισιν ὡς δήλας ἐκ τῶν ἄλλων. καὶ λέγει ὅτι συνάγουσιν ἀληθῆ συμπεράσματα ἐὰν ὦσιν ἄμφω ψευδεῖς. εἰ δὲ ἡ μείζων ψευδής, οὐ συνάγεται τὸ ἀληθές. ὅπερ θαυμαστόν. ὅτι ἀμφοτέρων μὲν τῶν προτάσεων ψευδῶν οὐσῶν συνήγετο. τῆς δὲ μείζονος ψευδοῦς οὔσης, οὐ συνάγεται.



» ΕΣΤΩ γὰρ τὸ α ὅλῳ τῷ γ ὑπάρχον. τῷ δὲ β μηδενί. μηδὲ τὸ
» β τῷ γ ὑπάρχον, ἐνδέχεται δὲ τοῦτο. οἷον λίθῳ οὐδενὶ ζῷον, οὐδὲ λί-
» θος οὐδενὶ ἀνθρώπῳ. ἐὰν οὖν ληφθῇ τὸ α παντὶ τῷ β. καὶ τὸ β παν-
» τὶ τῷ γ, τὸ α παντὶ τῷ γ ὑπάρξει. ὥστ' ἐξ ἀμφοῖν ψευδῶν, ἀληθὲς τὸ
» συμπέρασμα. πᾶς γὰρ ἄνθρωπος ζῷον.

F Πρῶτον εἶπε περὶ τῆς συζυγίας τῆς ἐξ ἀμφοτέρων ὅλων ψευδῶν. ἀλλ' ὅλον ψεῦδος καλεῖ, οὗ τὸ ἐναντίον ἀληθές ἐστιν. οἷον πᾶς ἄνθρωπος πτερωτός. ὅλον ψεῦδος. ἐπειδὴ τὸ ἐναντίον ἀληθές. τὸ οὐδεὶς ἄνθρωπος πτερωτός ἐστιν. ἐπί τι δὲ ψεῦδος καλεῖ, ᾧ τὸ ἀντιφατικῶς ἀντικείμενόν ἐστιν ἀληθές, οἷον πᾶς ἄνθρωπος λευκός. τοῦτο ἐπί τι ψεῦδος. ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῷ ἀληθεύει. τὸ οὐ πᾶς ἄνθρωπος λευκός. λέγει οὖν πρῶτον περὶ τῶν συζυγιῶν τῶν ἐξ ἄμφω ψευδῶν. λέγει γὰρ ἔστω ὅτι συμπέρασμα γέγονε τὸ α παντὶ τῷ γ. ἔστωσαν δὲ αἱ προτάσεις. ἀληθεῖς μέν, ὡς ἀποφατικαί. τό τε α β καὶ τὸ β γ. ψευδεῖς δὲ ὡς καταφατικαί ἵνα ὦσιν αἱ ὅλαι ψευδεῖς. οἷον τὸ α παντὶ τῷ β ὅπερ ψεῦδος. ἦν γὰρ τὸ ἀληθὲς οὐδενὶ τῶν β. τὸ δὲ β παντὶ τῷ γ. ὅπερ ψεῦδος. τὸ γὰρ ἀληθὲς ἦν οὐ παντί. ἐκ γοῦν συνάγεται, ὅτι τὸ α τῷ γ παντί, ὅπερ ἀληθές. καὶ σκοπήσωμεν ἐνταῦθα. ἐπειδὴ γὰρ ἀληθεῖς οὖσαι αἱ προτάσεις ἀσυλλόγιστοι ἦσαν ἀμφότεραι γὰρ ἀποφατικαί, καὶ συνῆγον τὸ πᾶς καὶ τὸ οὐδείς διὸ καὶ ἀσυλλόγιστοι. ψευδεῖς γινόμεναι ἐποιοῦντο ἀληθῆ συνάγειν. εἰ γὰρ ἀληθεῖς αἱ προτάσεις οὖσαι ἀσυλλόγιστος ἦν ἡ συζυγία, ψευδεῖς δὲ οὖσαι συλλογιστικὴ ἔσται. ἀλλὰ καὶ τοῦτο εἰδέναι δεῖ. ὅτι ἄμφω ψευδῶν οὐσῶν, οὐκ ἀεὶ τὸ συμπέρασμα ἀληθές, ἀλλ' ὅτε ἀσυλλόγιστος οὖσα συνῆγε τὸ τοιοῦτο συμπέρασμα, οἷον, εἰ ἀσυλλόγιστος οὖσα ἡ συζυγία συνῆγεν καταφατικόν. ψευδῶν δὲ μεταληφθεισῶν εἰς καταφατικάς, συνάξει καὶ τὸ καταφατικὸν ἀληθὲς ἐκ ψευδῶν. ὅτι δὲ ἐξ ἀληθῶν προτάσεων ἀσυλλόγιστος οὖσα ἡ συζυγία συνῆγεν ἀποφατικόν, μεταληφθεισῶν τῶν προτάσεων εἰς ψευδεῖς. συνάξουσι ψευδὲς συμπέρασμα. δι' ὃ οὐκ ἀεὶ ἐκ ψευδῶν ἀληθές. ἐπειδὴ οὖν οὐκ ἀεί, ὡς ἐπὶ ὅρων ἔλαβε τὸ λεγόμενον. Ἔστω γὰρ τὸ α ὅλῳ τῷ γ ὑπάρχον. τῷ δὲ β μηδενί. ἀληθεῖς μὲν οὕτω λαμβανόμεναι. ψευδεῖς δὲ ἐναντίως λαμβανόμεναι. κατηγορικαὶ καὶ ἀποφατικαί.

» ΩΣΑΥΤΩΣ δὲ καὶ τὸ στερητικόν. ἔστω γὰρ τῷ γ μήτε τὸ α ὑπάρχον μηδενί, μήτε τὸ β. τὸ μέν-
» τοι α τῷ β παντί. οἷον ἐὰν τῶν αὐτῶν ὅρων ληφθέντων μέσον τεθῇ, ὁ ἄνθρωπος. λίθῳ γὰρ οὔ-
» τε ζῷον οὔτε ἄνθρωπος οὐδενὶ ὑπάρχει. ἀνθρώπῳ δὲ παντὶ ζῷον. ὥστε ἐὰν ᾧ μὲν ὑπάρ-

ά παντὶ τῷ δ΄. ὥστε τοῖς πράγμασι τοῖς πρὸς τὸν μέσον ὅρον ὑπάρχει τὸ ἄκρον. τοῖς δὲ ὑπὸ τὸν ἔσχατον, οὐ δυνατὸν δεῖξαι ὅτι ὑπάρχει.

ΟἸΟΝ εἰ τὸ ά παντὶ τῷ β΄ τὸ δὲ β΄ τινὶ τῷ γ΄. τοῦ μὲν γὰρ ὑπὸ τὸ γ΄ τεθέντος, οὐκ ἔσται συλλογισμός. τοῦ δὲ ὑπὸ τὸ β΄, ἔσται. ἀλλ᾽ οὐ διὰ τὸν προγεγενημένον συλλογισμόν.

Τ ῶν ὑπὸ τὸ γ΄ ἐσχάτου ὅρου ὄντων. οὐ γίνεται συλλογισμός. ὅτι ὑπάρχει τὸ ἄκρον. τῶν δὲ ὑπὸ τὸ β΄ ὄντων γίνεται. ὅτι ἡ μείζων φυλάττεται καθόλου.

ΟΜΟΙΩΣ δὲ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων. τοῦ μὲν γὰρ ὑπὸ τὸ συμπέρασμα οὐκ ἔσται. θατέρου δὲ, ἔσται πλὴν οὐ διὰ τὸν συλλογισμόν, ἢ καὶ ἐν τοῖς καθόλου ἐξ ἀναποδείκτου τῆς προτάσεως τὸ ὑπὸ τὸ μέσον ἐδείκνυτο. ὥστε ἢ οὐδὲ ἐκεῖ ἔσται, ἢ καὶ ἐπὶ τούτων.

Κ αὶ ἐπὶ τῶν ἄλλων σχημάτων φησὶ τοῦτο δεῖ δεῖξαι, ὅτι τὸ ἄκρον τῷ μέσῳ καὶ τοῖς μέρεσιν ὑπάρχει. ὡς ἐπὶ τῶν καθόλου προτάσεων. ἢ ὅτι δυνατὸν δεῖξαι καὶ ἐπὶ τοῦ ἐσχάτου ὅρου. ὡς ἐπὶ τῶν μερικῶν συμπερασμάτων. ἀλλὰ ἢ καθόλου τὸ παράγγελμα λέγει. ἵνα πανταχοῦ ᾖ. εἰ γὰρ μὴ ἔσται καὶ ἐπὶ τούτων τῶν μερικῶν συλλογισμῶν τοῦ δευτέρου καὶ τρίτου σχήματος οὐδ᾽ ἐπὶ τῶν τοῦ πρώτου μερικῶν συλλογισμῶν ἔσται. οὐδ᾽ ἐπὶ τοῦ μερικοῦ καταφατικοῦ ἔσται. δυνατὸν γὰρ δεῖξαι τὸ μέρος τοῦ γ΄ τουτέστι τὸ ἑ΄, ὅτι ὑπάρχει ἐν τῷ ἄκρῳ. ἵνα ἀντὶ τοῦ γ΄ λάβω τὸ ἑ΄.

ἜΣΤΙ μὲν οὖν οὕτως ἔχειν, ὥστ᾽ ἀληθεῖς εἶναι τὰς προτάσεις, δι᾽ ὧν ὁ συλλογισμός. ἔστι δ᾽ ὥστε ψευδεῖς. ἔστι δ᾽ ὥστε τὴν μὲν, ἀληθῆ εἶναι. τὴν δὲ, ψευδῆ. τὸ δὲ συμπέρασμα, ἢ ἀληθὲς ἢ ψεῦδος ἐξ ἀνάγκης. ἐξ ἀληθῶν μὲν οὖν οὐκ ἔστι ψεῦδος συλλογίσασθαι. ἐκ ψευδῶν δὲ ἔστιν ἀληθές. πλὴν οὐ τοῦ διότι, ἀλλ᾽ ὅτι. τοῦ γὰρ διότι, οὐκ ἔστιν ἐκ ψευδῶν συλλογισμός. δι᾽ ἣν δ᾽ αἰτίαν, ἐν τοῖς ἑπομένοις λεχθήσεται.

Β ούλεται δεῖξαι ἐντεῦθεν ὁ ἀριστοτέλης πῶς ἐκ τῶν προτάσεων συνάγονται τὰ συμπεράσματα. καὶ γὰρ αἱ προτάσεις, ἢ ἄμφω ἀληθεῖς, ἢ ἄμφω ψευδεῖς. ἢ ἡ μὲν ἀληθὴς, ἡ δὲ ψευδής. καὶ εἰ ἄμφω ἀληθεῖς, ἀληθὲς καὶ τὸ συμπέρασμα. εἰ δ᾽ ἄμφω ψευδεῖς, ποτὲ ἀληθὲς, ποτὲ ψευδές. εἰ δ᾽ ἐπὶ τι ψευδεῖς. εἰ μὲν ἡ μείζων ψευδὴς, ἡ δὲ ἐλάττων ἀληθὴς, ψευδὲς τὸ συμπέρασμα. εἰ δὲ ἡ μείζων ἀληθὴς, ἡ δὲ ἐλάττων ψευδὴς, ἀληθὲς τὸ συμπέρασμα. λέγει οὖν ὅτι. εἰ ἐκ ψευδῶν ἀμφοτέρων ἐστὶ συλλογίσασθαι καὶ ἀληθῆ συμπεράσματα. τοῦ δὲ ὅτι συλλογισμὸς οὐ τοῦ διότι. δέδεικται γὰρ δεῖ ὅτι εἰ ἀληθεῖς ὦσιν αἱ προτάσεις, ὁ μέσος ὅρος ἔχει τὴν αἰτίαν, δι᾽ ἣς συνάπτεται ἄκρος τῷ ἄκρῳ. διὰ γὰρ τοῦ μέσου ὅρου, ὁ ἄκρος τῷ ἄκρῳ δείκνυται. καὶ ἔστιν ὁ συλλογισμὸς τοῦ διότι. εἰ δὲ ψευδεῖς ὦσιν αἱ προτάσεις, ἀληθὲς δὲ τὸ συμπέρασμα, αὐτὸ τοῦτο μόνον συνήχθη. ὅτι τὸ ἄκρον τῷ ἄκρῳ ὑπάρχει. καὶ μόνον τὸ ὅτι. οὔτε γὰρ τὴν αἰτίαν ἔχει ὁ μέσος ὅρος ἐπὶ τῶν ψευδῶν προτάσεων διότι τὸ ἄκρον τῷ ἄκρῳ συνάπτεται. ὥστε διαφέρει τὸ ἀληθὲς συμπέρασμα. τὸ ἐξ ἀληθῶν προτάσεων, τῷ ἀληθεῖ συμπεράσματι τῷ ἐκ ψευδῶν, τούτῳ. ὅτι τὸ μὲν ἀληθὲς, τὸ ἐξ ἀληθῶν, τοῦ διότι ἔχει τὸν συλλογισμόν. τὸ δὲ ἀληθὲς, τὸ ἐκ ψευδῶν, τοῦ ὅτι μόνον. λέγει οὖν πρῶτον περὶ τοῦ ἐξ ἀληθῶν προτάσεων. ὅτι οὐκ ἐνδέχεται ψεῦδος συναχθῆναι. ἀλλὰ πάντως ἀληθές. δέδεικται δὲ δεῖ ὅτι τὸ μὲν ἀληθὲς ἑκάλεσεν ὄν. τὸ δὲ ψεῦδος μὴ ὄν. καὶ τὸ ὂν ἀληθὲς, τὸ δὲ μὴ ὂν, ψεῦδος.

ΠΡΩΤΟΝ μὲν οὖν ὅτι ἐξ ἀληθῶν οὐχ οἷόν τε ψεῦδος συλλογίσασθαι, ἐντεῦθεν δῆλον. εἰ γὰρ τοῦ ά ὄντος ἀνάγκη τὸ β΄ εἶναι τοῦ β΄ μὴ ὄντος, ἀνάγκη τὸ ά μὴ εἶναι. εἰ οὖν ἀληθές ἐστι τὸ ά, ἀνάγκη καὶ τὸ β΄ ἀληθὲς εἶναι. ἢ συμβήσεται τὸ αὐτὸ ἅμα εἶναί τε καὶ μὴ εἶναι. τοῦτο δὲ ἀδύνατον.

Β ουλόμενος δεῖξαι ὅτι ἐξ ἀληθῶν προτάσεων ἀληθὲς γίνεται συμπέρασμα, λαμβάνει ἀναλογίαν τινὰ τοιαύτην. λαμβάνει τὸ ά ὡς δύο προτάσεις ἀληθεῖς, τὸ συμπέρασμα τὸ β΄. καὶ λέγει οὕτως εἰ ἀνάγκη τοῦ β΄ μὴ ὄντος μηδὲ ά εἶναι. οὐκοῦν ἀνάγκη καὶ τοῦ ά ὄντος, τὸ β΄ εἶναι. εἰ δὲ ἐρεῖς ὅτι τοῦ ά ὄντος τὸ β΄ οὐκ ἔστι. τὸ αὐτὸ καὶ ἔστι καὶ οὐκ ἔστιν, ὅπερ ἄτοπον. ἐλέγομεν γὰρ ὅτι τὸ ἀληθὲς ὂν, καλεῖται. τὸ δὲ ψεῦδος μὴ ὄν. οὐκοῦν ἐξ ἀνάγκης τοῦ ά ὄντος τὸ β΄ ἀκολουθεῖ. ὂν ἔσται τὸ β΄. ὡς ἀληθές. εἰ δὲ ἐρεῖς, ὅτι οὐκ ἀληθὲς ἀλλὰ ψευδές, ἔσται μὴ ὄν. ὅπερ ἄτοπον. τὸ αὐτὸ καὶ ὂν καὶ μὴ ὂν λέγειν.

ΜΗ ὅτι δὲ κεῖται τὸ ά εἷς ὅρος, ὑποληφθήτω ἐνδέχεσθαι, ἑνός τινος ὄντος ἐξ ἀνάγκης τι συμβαίνειν. οὐ γὰρ οἷόν τε. τὸ μὲν γὰρ συμβαῖνον ἐξ ἀνάγκης, τὸ συμπέρασμά ἐστι. δι᾽ ὧν δὲ τοῦτο γίνεται, ἐλάχιστοι τρεῖς ὅροι, δύο δὲ διαστήματα καὶ προτάσεις.

Ε πειδὴ ἔλαβε τὸ ά ὡς ἕνα ὅρον. τὸ δὲ β΄ ὡς συμπέρασμα ἀληθές. φησὶ μὴ νομίσῃς ὅτι τὸ ά εἷς ἐστιν ὅρος. καὶ ὅτι καὶ ἐξ ἑνὸς ὅρου συνήχθη τὸ β΄. ψεῦδος τι γάρ ἐστιν. οὐ γὰρ ἐξ ἑνὸς ὅρου τι συνάγεται. ἀλλ᾽ ἐκ τριῶν ὅρων καὶ δύο προτάσεων παρείληπται.

ΕΙ οὖν ἀληθὲς ᾧ τὸ β΄ ὑπάρχει, τὸ ά παντί. ᾧ δὲ τὸ γ΄, τὸ β΄ ᾧ τὸ γ΄ ἀνάγκη τὸ ά ὑπάρχειν. καὶ οὐχ οἷόν τε τοῦτο ψεῦδος εἶναι. ἅμα γὰρ ὑπάρξει ταὐτὸ καὶ οὐχ ὑπάρξει. τὸ οὖν ά ὥσπερ ἓν κεῖται, δύο προτάσεις συλληφθεῖσαι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν στερητικῶν ἔχει. οὐ γάρ ἐστιν ἐξ ἀληθῶν δεῖξαι ψεῦδος.

Δ είκνυσι δι᾽ ἐκθέσεως ὅτι τὸ ά, ἀντὶ δύο προτάσεων ἐλήφθη καὶ τριῶν ὅρων. ἅμα δὲ καὶ ὅτι ἐξ ἀληθῶν ἀληθὲς συνάγεται. εἰ γὰρ ἀνάγκη τὸ ά ὑπάρχειν τῷ β΄. καὶ τὸ β΄ τῷ γ΄, οὐκοῦν καὶ τὸ ά τῷ γ΄. ὥστε

εἶναι ὑποκείμενον τὸ γ', κατηγορούμενον δὲ τὸ α'. καὶ ἕτερον τὸ ὑποκείμενον τὸ α', κατηγορούμενον δὲ τὸ γ'. διὸ καὶ αὐτὸς σαφῶς εἰπὼν ἐπὶ τοῦ καθόλου ἀποφατικοῦ. ὅτι εἰ μηδενὶ τὸ β' τῷ α'. καὶ τὸ α' οὐδενὶ τῷ β'. τοῦτό φησιν ἕτερον εἶναι τοῦ ἔμπροσθεν. δεξ ἀνάγκης γὰρ ἕτερόν ἐστιν. ὁ γὰρ πρότερος εἶχε κατηγορούμενον τὸ α'. ὑποκείμενον δὲ τὸ β'. ὁ δὲ δεύτερος εἶχε κατηγορούμενον τὸ β', ὑποκείμενον δὲ τὸ α', ὥστε ἕτεροι ἀλλήλων. πῶς δὲ πολλὰ συμπεράσματα συνάγεται ἀναγκαῖον ἐπισκέψασθαι. δῆλον ὡς ἐπὶ τοῦ καθόλου καταφατικοῦ εἰ τὸ α' εἰ τύχοι παντὶ τῷ γ'. καὶ τὸ γ' παντὶ τῷ β'. καὶ τὸ α' ἄρα παντὶ τῷ β'. καὶ τὸ β' τινὶ τῷ α'. ὁμοίως καὶ ἐπὶ τοῦ μερικοῦ καταφατικοῦ. εἰ γὰρ τὸ α' παντὶ τῷ γ' καὶ τὸ γ' τινὶ τῷ β'. καὶ τὸ α' ἄρα τινὶ τῷ β'. καὶ τὸ β' ἄρα τινὶ τῷ α'. ὥστε πλείους εἰσὶν οἱ συλλογισμοί. ὁμοίως καὶ ἐπὶ τοῦ καθόλου ἀποφατικοῦ. ὅτι τὸ α' οὐδενὶ τῷ β'. καὶ τὸ β' οὐδενὶ τῷ α'. ἐπὶ δὲ τοῦ μερικοῦ ἀποφατικοῦ. ἐπειδὴ ἀντιστρέψαι οὐκ ἐνδέχεται, τούτου χάριν οὐδὲ πλείονες γίνονται οἱ συλλογισμοί. τὸ δὲ συμπέρασμά τι κατά τινος ἐστίν. ὅτι ἕκαστον ἔσται συμπέρασμα ἐκ τῆς ἀντιστροφῆς γινόμενον. εἰ δὲ ἕκαστον ἔσται, δηλονότι ἕτερος ἐστὶ συλλογισμός. τὸ γάρ τι κατά τινος τὸ αὐτὸ τοῦτο δηλοῖ τὸ ἕκαστον ἔσται.

ΕΣΤΙ δὲ περὶ τῶν καθόλου καὶ ἄλλως εἰπεῖν. ὅσα γὰρ ἢ ὑπὸ τὸ μέσον ἢ ὑπὸ τὸ συμπέρασμά ἐστιν, ἁπάντων ἔσται ὁ αὐτὸς συλλογισμός. ἐὰν τὰ μὲν, ἐν τῷ μέσῳ. τὰ δὲ, ἐν τῷ συμπεράσματι τεθῇ.

Οὕτως μὲν οὖν ἐκ τῆς γινομένης ἀντιστροφῆς ἐδείχθησαν πλείους γινόμενοι συλλογισμοί. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν ὅτι πλείους γίνονται συλλογισμοί. ἐκ τοῦ κατὰ παντὸς ἢ μηδενός. οἷον, ὡς ἐπὶ παραδείγματος σαφηνείας χάριν. ἡ οὐσία παντὶ ζώῳ. τὸ ζῶον, παντὶ ἀνθρώπῳ. ἡ οὐσία, παντὶ ἀνθρώπῳ. ἐπειδὴ κατὰ παντὸς ἀνθρώπου κατηγορεῖται τὸ ζῶον. οὐκοῦν καὶ κατὰ Σωκράτους καὶ Πλάτωνος καὶ Ἀλκιβιάδους. οὐκοῦν καὶ κατὰ τούτων δῆλον ἡ οὐσία. ὥστε πλείους οἱ συλλογισμοὶ ἐκ τοῦ κατὰ παντός. ὁμοίως καὶ ἐκ τοῦ κατὰ μηδενὸς πλείους εἰσὶν οἱ συλλογισμοί. οἷον τὸ ἄψυχον, οὐδενὶ ζώῳ. τὸ ζῶον παντὶ ἀνθρώπῳ. οὐκοῦν καὶ Σωκράτους καὶ Πλάτωνος. οὐκοῦν τὸ ἄψυχον κατὰ τούτων οὐκ ἔστιν. οὕτω καὶ ἐκ τοῦ κατὰ παντὸς καὶ ἐκ τοῦ κατὰ μηδενὸς πλείους γίνονται οἱ συλλογισμοί. οὐ μόνον δὲ ἐπὶ τούτων, ἀλλὰ καὶ ἐπὶ τοῦ μέσου ὅρου. οἷον ὅτι τὸ ζῶον κατὰ ἵππου καὶ κατὰ ἀνθρώπου καὶ κατὰ κυνὸς, οὐκοῦν ἡ οὐσία. ὥστε ὁμοίως ἔσται ὁ συλλογισμὸς, οὐ μέντοι ὁ αὐτός. καὶ γὰρ οὗτος καταφατικὸς, ἀλλ' ἄλλη καταφατικός. Ἢ ὑπὸ τὸ συμπέρασμα. Μνημονεύειν ὀφείλομεν ὅτι τὸν ἔσχατον ὅρον συμπέρασμα ἐκάλεσεν. ὡς δηλονότι ἐκείνῳ τὸ ἄκρον ἢ ὑπάρχειν λέγομεν, ἢ μὴ ὑπάρχειν. ὁ αὐτὸς συλλογισμὸς, ἀντὶ τοῦ ὅμοιος.

ΟΙΟΝ εἰ τὸ α' β' συμπέρασμα διὰ τοῦ γ'. ὅσα ὑπὸ τὸ β' ἢ τὸ γ' ἐστὶν, ἀνάγκη κατὰ πάντων λέγεσθαι τὸ α'. εἰ γὰρ τὸ δ', ἐν ὅλῳ τῷ β'. τὸ δὲ β' ἐν ὅλῳ τῷ α', καὶ τὸ δ' ἔσται ἐν ὅλῳ τῷ α'. πάλιν εἰ τὸ ε' ἐν ὅλῳ τῷ γ'. τὸ δὲ γ' ἐν τῷ α'. καὶ τὸ ε' ἐν ὅλῳ τῷ α' ἔσται. ὁμοίως δὲ καὶ εἰ στερητικὸς ἀνὴ ὁ συλλογισμός.

Ἀπὸ τὸ παράδειγμα αὐτὸς ἐπὶ στοιχείων δὲ ποιεῖται τὸν λόγον. οἷόν φησιν. εἰ τὸ α' συνήχθη παντὶ τῷ β' διὰ τοῦ γ'. ἔστω δὲ καὶ τὸ δ' μέρος τοῦ β'. οὐκοῦν καὶ τὸ μέρει κατηγορεῖται. πάλιν εἰ παντὶ τῷ γ' τὸ α'. μέρος δὲ τοῦ γ' τὸ ε'. καὶ τὸ α' παντὶ τῷ ε'. ὥστε πλείους οἱ συλλογισμοί.

ΕΠΙ δὲ τοῦ β' σχήματος, τὸ ὑπὸ τὸ συμπέρασμα μόνον ἔσται συλλογίσασθαι. οἷον εἰ τὸ α' τῷ β' μηδενὶ, τῷ δὲ γ' παντὶ, συμπέρασμα ὅτι οὐδενὶ τῷ γ', τὸ β'. εἰ δὴ τὸ δ' ὑπὸ τὸ γ' ἐστὶ, φανερὸν ὅτι οὐχ ὑπάρχει αὐτῷ τὸ β'. τοῖς δὲ ὑπὸ τὸ α' ὅτι οὐχ ὑπάρχει. οὐ δῆλον διὰ τοῦ συλλογισμοῦ. καίτοι οὐχ ὑπάρχει τῷ ε' εἰ ἔστιν ὑπὸ τὸ α'. ἀλλὰ τὸ μὲν τῷ γ', μηδενὶ ὑπάρχειν τὸ β', διὰ τοῦ συλλογισμοῦ δέδεικται. τὸ δὲ τῷ α' μὴ ὑπάρχειν, ἀναπόδεικτον εἴληπται.

Ἐν μὲν τῷ πρώτῳ σχήματι ὡς ἐπεδείξαμεν καὶ ἐκ τοῦ κατὰ παντὸς δείκνυνται πλείους οἱ συλλογισμοί. ἐν δὲ τῷ δευτέρῳ σχήματι οὐκέτι δυνατόν. εἰ γὰρ τὸ α' οὐδενὶ τῷ β'. τῷ δὲ γ' παντί. συμπέρασμα ὅτι τὸ β' οὐδενὶ τῷ γ'. ἔστι δὲ μέρος τοῦ γ' τὸ δ'. φανερὸν ὅτι καὶ τῷ δ' οὐχ ὑπάρχει τὸ β'. εἰ δὲ τὸ ε' μέρος τοῦ α', οὐ φανερὸν εἰ τὸ β' οὐχ ὑπάρχει τῷ ε'. εἰ μὴ ἄρα ἀντιστροφὴ γένηται. εἰ γὰρ τὸ α' οὐδενὶ τῷ β'. καὶ τὸ β' οὐδενὶ τῷ α'. καὶ οὕτω δῆλον γίνεται ὅτι οὐδὲ τοῖς μέρεσι τοῦ α' ὑπάρχει. εἰ δὲ μὴ ἐγένετο ἡ ἀντιστροφὴ, οὐκ ἐγένετο φανερόν. ὅτι οὐχ ὑπάρχει τὸ β' τῷ ε'.

ΩΣΤΕ οὐ διὰ τὸν συλλογισμὸν συμβαίνει τὸ β' τῷ ε' μὴ ὑπάρχειν. ἐπὶ δὲ τῶν ἐν μέρει, τῶν μὲν ὑπὸ τὸ συμπέρασμα, οὐκ ἔσται τὸ ἀναγκαῖον. οὐ γὰρ γίνεται συλλογισμὸς, ὅταν ληφθῇ ἐν μέρει.

Οὐ διὰ τὸν συλλογισμὸν τὸν πρῶτον. ἐπεὶ διὰ τῆς ἀντιστροφῆς δείκνυται ὅτι τὸ β' τῷ ε' οὐχ ὑπάρχει ἐπειδὴ μέρος ἐστὶ τὸ ε' τοῦ α'.

~~ΟΤΑΝ ΑΥΤΗ ληφθῇ ἐν μέρει~~ τῶν δὲ ὑπὸ τὸ μέσον, ἔσται πάντων. πλὴν οὐ διὰ τὸν συλλογισμόν.

Ἐπειδὴ τὸ συνάγον τὸ μερικὸν καταφατικόν. τὰ μὲν ὄντα ὑπὸ τὸν μέσον δυνατὸν δεῖξαι διὰ τοῦ κατὰ παντός. τὰ δὲ ὄντα ὑπὸ τὸν ἄκρον ὅρον οὐ δυνατὸν, ἐπεὶ εὑρίσκεται ἡ μείζων μερικὴ καὶ ἐν πρώτῳ σχήματι ἀσυλλόγιστος. οἷον, εἰ τὸ α' τινὶ τῷ γ'. μέρος δὲ τοῦ γ' τὸ ε'. ὥστε τὸ γ' τινὶ τῷ ε'. τὸ α' δὲ τινὶ τῷ γ'. καὶ εὑρίσκεται ἡ μείζων μερικὴ καὶ ἀσυλλόγιστος ἐν πρώτῳ σχήματι. δυνατὸν δὲ δεῖξαι τὰ ὄντα ὑπὸ τὸν μέσον ὅρον διὰ τοῦ κατὰ παντός. οἷον εἰ τὸ α' παντὶ τῷ β'. μέρος δὲ τοῦ β' τὸ δ', ὥστε καὶ τὸ

ἕπεται δὲ ἐξ ἀνάγκης. ἀλλ' ἐδείκνυτο πρότερον ψεῦδος εἶναι τὸ τοιοῦτο. οὐ γὰρ ἅπτεται τοῦ δ τὸ β. τί οὖν τοῦ ψεύδους αἴτιον ἐπήγαγεν.

ΟΥ γὰρ ἴσως ἀνάγκη παντὶ ἢ τὸ α ἢ τὸ ζ, ἢ οὐδὲ τὸ ζ ἢ τὸ β. οὐ γάρ ἐστιν ἀπόφασις τοῦ β τὸ ζ.

Τ ουτέστιν κακῶς ἀληπται ὅτι τὸ ζ ἀπόφασίς ἐστιν ἑκατέρου. τοῦτ' ἔστι ἀφημὲ καὶ τοῦ β. ὅπερ ἐπὶ τῶν ὅλων τοῦτο δείκνυσιν.

ΤΟΥ γὰρ ἀγαθοῦ, τὸ οὐκ ἀγαθὸν ἀπόφασις, οὐ ταυτὸν δέ ἐστι τὸ οὐκ ἔστιν ἀγαθὸν, τῷ οὔτε ἀγαθὸν, οὔτε οὐκ ἀγαθόν ἐστιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν γ δ. αἱ γὰρ ἀποφάσεις αἱ εἰλημμέναι, δύο εἰσίν.

Τ ουτέστιν, τοῦ ἔστιν ἀγαθόν. τὸ οὐκ ἔστιν ἀγαθόν. τὸ δὲ ζ ἦν οὔτε ἀγαθόν ἐστιν, οὔτε οὐκ ἔστιν ἀγαθόν. ἡ οὖν ἀπόφασις μία ἐστὶ τοῦ ἔστιν ἀγαθὸν, τὸ οὐκ ἔστιν ἀγαθόν. οὐ ταυτὸν δὲ οὐκ ἔστιν ἀγαθὸν, τῷ οὔτε ἀγαθόν ἐστιν, οὔτε οὐκ ἔστιν ἀγαθὸν, οὐκ ἄρα ἀπόφασις τοῦ α τὸ ζ. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἔφθημεν προειπόντες.

ΕΙΣ ΤΟ ΤΩΝ ΠΡΟΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΕΝ ΠΟΣΟΙΣ μὲν οὖν σχήμασι, καὶ διὰ ποίων καὶ πόσων προτάσεων, καὶ πότε, καὶ πῶς γίνεται πᾶς συλλογισμὸς, ἔτι δὲ, εἰς ποῖα βλεπτέον ἀνασκευάζοντι καὶ κατασκευάζοντι. καὶ πῶς δεῖ ζητεῖν περὶ τοῦ προκειμένου καθ' ὁποιανοῦν μέθοδον. ἔτι δὲ διὰ ποίας ὁδοῦ ληψόμεθα τὰς περὶ ἕκαστον ἀρχὰς, ἤδη διεληλύθαμεν.

Σκοπὸς τῆς προκειμένης πραγματείας. κατὰ μὲν ἀλέξανδρον, οὗτος. ἐρεῖν τὰ ὑπόλοιπα τοῦ α λόγου. ποῖα δέ ἐστι ταῦτα. ὅτι ἐκ ψευδῶν ἀληθὲς συνάγεται. καὶ ὅτι ἐξ ἀληθῶν ἀληθές. κατὰ δὲ τοὺς ἀκριβέστερον λέγοντας, σκοπὸς οὗτος. ἐπειδὴ ἐν τῷ πρώτῳ λόγῳ τὸ εἶδος τῶν συλλογισμῶν εἶπεν, ἐν τούτῳ ἐρεῖ τὴν ὕλην. εἶδος δὲ ἦν τὸ συμπέρασμα, ὕλη δὲ αἱ προτάσεις. καὶ οὗτος μὲν ὁ σκοπός. ἐν προοιμίοις δὲ ἐπαναλαμβάνει τὰ εἰρημένα ἐν τῷ πρώτῳ βιβλίῳ. ὅτι ἐπεδείξαμεν ἐν πόσοις σχήμασι γίνονται οἱ συλλογισμοί. ἐν γὰρ τρισίν. καὶ διὰ ποίων προτάσεων. δηλονότι ἐν μὲν τῷ πρώτῳ σχήματι τῆς μείζονος καθόλου οὔσης, τῆς δὲ ἐλάττονος καταφατικῆς. ἐν δὲ τῷ δευτέρῳ τῆς μείζονος καθόλου, τῆς δὲ ἐλάττονος ἀνομοιοσχήμονος οὔσης κατὰ τὸ ποιόν. ἐν δὲ τῷ τρίτῳ τῆς ἐλάττονος οὔσης καταφατικῆς. καὶ πόσων προτάσεων. ὅτι δύο χρεία τοὐλάχιστον. καὶ πότε. καὶ πῶς. ταῦτα μὲν προείρηνται ἐν τῷ πρώτῳ τμήματι τοῦ πρώτου βιβλίου. ἐν δὲ τῷ δευτέρῳ τμήματι εἴρηται πῶς δεῖ κατασκευάζειν. ὅτι ὀφείλομεν λαμβάνειν κατηγορούμενα. ὑπακολουθοῦντα. ἀλλότρια. ἐν δὲ τῷ τρίτῳ τμήματι, περὶ τῆς ἀναλύσεως εἶπεν. ὅτι ποίᾳ μεθόδῳ χρώμενοι ἀναδραμεῖν ὀφείλομεν εἰς τὰς ἀρχὰς τῶν συλλογισμῶν. ταῦτα οὖν εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ. ἐν πόσοις μὲν οὖν σχήμασι καὶ διὰ ποίων. ἐπειδὴ περὶ τῆς ὕλης τῶν συλλογισμῶν μέλλει λέγειν. χρησιμεύει ἡμῖν εἰς τὴν τῶν τόπων πραγματείαν τοῦτο τὸ βιβλίον ὥσπερ καὶ τὸ πρότερον εἰς τὴν ἀποδεικτικὴν καὶ ὥσπερ ἐκεῖνο εἰς τὴν ἀποδεικτικὴν οὕτω καὶ τοῦτο εἰς τοὺς τόπους.

ΕΠΕΙ δὲ οἱ μὲν, καθόλου τῶν συλλογισμῶν εἰσιν. οἱ δὲ κατὰ μέρος. οἱ μὲν καθόλου πάντες ἀεὶ πλείω συλλογίζονται. τῶν δὲ ἐν μέρει, οἱ μὲν κατηγορικοὶ, πλείω. οἱ δ' ἀποφατικοὶ τὸ συμπέρασμα μόνον. αἱ γὰρ ἄλλαι προτάσεις ἀντιστρέφουσιν. ἡ δὲ ἐν μέρει στερητική, οὐκ ἀντιστρέφει.

Ἐνταῦθα τὸ προοίμιον ἐπληρώθη. ἐν τούτοις δὲ βούλεται σημαίνειν ὅτι οἱ καθόλου συλλογισμοὶ καταφατικοὶ καὶ ἀποφατικοί. καὶ οἱ κατὰ μέρος καταφατικοὶ μόνοι, πλείω συλλογίζονται. οἱ δὲ μερικοὶ ἀποφατικοί, οὐκέτι. διατί. ἐπειδὴ τὰ καθόλου καταφατικὰ προβλήματα, πρὸς τὰ μερικὰ ἀντιστρέφει. τὰ δὲ μερικὰ πρὸς ἑαυτά. λέγω δὴ τὰ καταφατικά. ὁμοίως δὲ καὶ τὰ καθόλου ἀποφατικὰ πρὸς ἑαυτά. τὸ δὲ μερικὸν ἀποφατικὸν, πρὸς οὐδὲν ἐν τῶν ἄλλων, οὔτε πρὸς ἑαυτό. τὸ δὲ συμπέρασμά φησιν ὡρισμένον ἐστί. τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν τι κατά τινος. ἵνα γὰρ μή τις οἰηθῇ μάτην ταῦτα λέγεσθαι. ὅτι πλείους ἐπὶ τῶν τριῶν προβλημάτων εἰσὶν οἱ συλλογισμοί. φησὶν ὅτι τὸ συμπέρασμα ἐφ' ἑκάστου ὡρισμένον ἐστὶν ἵνα μή τις εἴπῃ τὸ α τινὶ τῷ γ. καὶ τὸ γ τινὶ τῷ α. τὸ αὐτό ἐστι καὶ οὐκ εἰσὶ πολλοί. λέγομεν δὲ ὅτι ἕκαστον ὡρισμένον ἐστίν. καὶ ἕκαστον ἐστί τι κατά τινος. ἕτερον γάρ ἐστι τὸ παντὸ

τὸ δὲ [illegible] τινός ἐστιν. [illegible] πλείω συλλογίζονται. [illegible] τὸ β [illegible] τὸ α [illegible] τῷ α.

[illegible] εἰ δὲ τὸ α τινὶ μὴ ὑπάρχει τῷ β, οὐκ ἀνάγκη καὶ τὸ β τινὶ τῷ α μὴ ὑπάρχειν. [illegible] παντὶ ὑπάρχειν. [illegible]

Ε ἐπειδὴ ἔδειξεν ὅτι ἡ ἀκολούθησις τῶν προτάσεων τῶν τε ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως ἀντεστραμμένας ἔχει. λέγω δὴ ὅτι τῇ μὲν ἁπλῇ καταφάσει ἡ ἐκ μεταθέσεως ἀπόφασις ἕπεται. καὶ τὸ ἔμπαλιν τῇ ἐκ μεταθέσεως καταφάσει, ἡ ἁπλῆ ἀπόφασις. καὶ ὅτι οὐ καθ' ἕνα καὶ τὸν αὐτὸν στοῖχον. ἢ ταῖς ἁπλαῖς αἱ ἐκ μεταθέσεως ἕπονται. ἢ ταῖς ἐκ μεταθέσεως αἱ ἁπλαῖ, ἀπάτην τινὰ ἴσως γενομένην τισί. δι' ἧς δόξαιεν ἐνδέχεσθαι κατὰ τὸν αὐτὸν στοῖχον μὴ μόνον τῷ γ' τὸ α' ἕπεσθαι, ἀλλὰ καὶ τῷ δ' τὸ β'. τίθησι καὶ ἀπελέγχει ὡς διὰ πάντων τῶν περὶ τῆς ἀκολουθήσεως λόγον ἀληθῆ δείκνυσθαι. καὶ δι' ὧν ἄλλοθεν δέδεικται. καὶ δι' ὧν οἱ τὸ ἐναντίον κατασκευάζοντες λόγοι ἐλέγχονται. συμβαίνει δέ φησιν ἡ τοιαύτη ἀπάτη, εἰ μὴ καλῶς ληφθείη τὰ ἀντικείμενα. οἷον εἴ τις νομίσοι ὅτι ἐνδέχεται τοῦ α' καὶ τοῦ β' μίαν ἀπόφασιν. καὶ ταύτην εἶναι τὸ ζ'. καὶ κοινῶς ἀμφοτέρων καὶ ἰδίᾳ ἑκατέρου. οἷον, ἔστω τὸ μὲν β' ἔστιν ἀγαθόν. τὸ δὲ α', οὐκ ἔστιν ἀγαθόν. τούτων ἀμφοτέρων μία ὑποκείσθω ἀπόφασις τὸ ζ' τὸ οὔτε ἔστιν ἀγαθόν, οὔτε οὐκ ἔστιν ἀγαθόν. πάλιν τοῦ γ' καὶ δ'. λέγω δὴ τοῦ ἔστιν οὐκ ἀγαθόν. καὶ οὐκ ἔστιν οὐκ ἀγαθὸν ἀπόφασις τὸ ε'. τὸ οὔτε οὐκ ἔστιν οὐκ ἀγαθόν, οὔτε ἔστιν οὐκ ἀγαθόν.

α' οὐκ ἔστιν ἀγαθόν. β' ἔστιν ἀγαθόν.		ζ οὔτε ἔστιν ἀγαθόν, οὔτε οὐκ ἔστιν ἀγαθόν.
γ' ἔστιν οὐκ ἀγαθόν. δ' οὐκ ἔστιν οὐκ ἀγαθόν.		ε' οὔτε οὐκ ἔστιν οὐκ ἀγαθόν, οὔτε ἔστιν οὐκ ἀγαθόν.
ἕπεται ἡ ἁπλῆ τῇ ἐκ μεταθέσεως.	τῇ ἐκ μεταθέσεως ἡ ἁπλῆ.	ἀμφοτέρων ἀποφάσεων.

Τούτων οὕτως ἐχόντων, δειχθήσεται ὅτι ὥσπερ τῷ γ' τὸ α' ἕπεται, οὕτω καὶ τῷ δ' τὸ β'. ἐπεὶ γὰρ τὸ ζ' ἀπόφασίς ἐστι τοῦ α'. ἐπὶ παντὸς δὲ ἢ τὸ α' ἢ τὸ ζ' διὰ τὰ αὐτὰ δεῖ. ἐπὶ παντός, ἢ τὸ γ', ἢ τὸ ε'. ἀπόφασις γὰρ τοῦ γ' τὸ ε'. ὑπόκειται δὲ ὅτι ᾧ τὸ γ' ὑπάρχει, τοῦτο παντὶ ἕπεται τὸ α'. ἀνάγκη πᾶσα καὶ ᾧ τὸ ζ', τούτῳ παντὶ τὸ ε' ὑπάρχειν. ἐπειδὴ γὰρ ἐπὶ παντὸς ἢ τὸ ε' ἢ τὸ γ'. ἢ μὴ τὸ ε' ὑπάρχει τούτῳ ᾧ ὑπάρχει τὸ ζ', τὸ γ' ὑπάρξει. ἀλλ' ᾧ τὸ ζ', τούτῳ καὶ τὸ γ'. ᾧ δὲ τὸ γ', τούτῳ ὑπόκειται τὸ α'. ᾧ ἄρα τὸ ζ', τούτῳ καὶ τὸ α' ὑπάρξει. ὅπερ ἐστὶν ἀδύνατον. ἀντίφασις γὰρ τὸ α' ζ'. ᾧ οὖν ᾧ τὸ ζ' τούτῳ, τὸ γ' οὐκ ἐνδέχεται, ἀνάγκη δήπου τὸ ε'. ἐπειδὴ ἐπὶ παντὸς ἢ τὸ γ' ἢ τὸ ε'. πάλιν ἐπειδὴ τὸ ζ' ἀπόφασίς ἐστι τοῦ β', παντὶ ἄρα ἢ τὸ β' ἢ τὸ ζ'. διὰ τὰ αὐτὰ δὲ ἐπὶ παντὸς ἢ τὸ δ' ἢ τὸ ε'. δέδεικται δὲ ὅτι ᾧ τὸ ζ', τούτῳ καὶ τὸ ε'. ᾧ ἄρα τὸ δ', τούτῳ καὶ τὸ β'. εἰ γὰρ ᾧ τὸ δ', τούτῳ μὴ ὑπάρξει τὸ β'. ἐπειδὴ ἐπὶ παντὸς ἢ τὸ β' ἢ τὸ ζ'. ᾧ ἄρα τὸ δ', τούτῳ τὸ ζ' ὑπάρξει. ἀλλ' ᾧ τὸ ζ' ὑπάρχει, τούτῳ δέδεικται καὶ τὸ ε' ὑπάρχον. ᾧ ἄρα τὸ δ', τούτῳ καὶ τὸ ε' ὑπάρξει. ἡ ἀντίφασις. ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ᾧ τὸ δ', τούτῳ τὸ ζ'. λείπεται ἄρα τὸ β'. ᾧ οὖν ᾧ τὸ δ', τούτῳ τὸ β'. ὑπόκειται δὲ καὶ ᾧ τὸ γ' τούτῳ καὶ τὸ α'. καθ' ἕνα ἄρα καὶ τὸν αὐτὸν στοῖχον ἢ ταῖς ἁπλαῖς αἱ ἐκ μεταθέσεως ἕψονται. ἢ ταῖς ἐκ μεταθέσεως αἱ ἁπλαῖ. τοὐναντίον δὲ ἐδείκνυτο πρότερον. ὁ μὲν οὖν τρόπος τῆς ἀπάτης τοιοῦτος. συνέβη δὲ διὰ τὸ κακῶς εἰλῆφθαι τὸ ζ' ἀπόφασιν εἶναι τοῦ τε α' καὶ τοῦ β'. ὁμοίως καὶ τὸ ε'. τοῦ τε γ' καὶ τοῦ δ'. ψεῦδος γὰρ ὅτι ἐπὶ παντὸς ἢ τὸ α' ἢ τὸ ζ'. καὶ πάλιν ἢ τὸ β' ἢ τὸ ζ'. ὁμοίως καὶ ἐπὶ τῶν γ' δ' ε'. τοῦ γὰρ ἔστιν ἀγαθὸν ὅπερ ἦν τὸ β', ἀπόφασίς ἐστι τὸ οὐκ ἔστιν ἀγαθόν. οὐ μὴν τὸ οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν ἀγαθόν. ἀδύνατον γάρ ἐστι τὸ οὔτε ἀγαθόν ἐστιν. οὔτε οὐκ ἔστιν ἀγαθόν. ἀλλὰ πάντως θάτερον ἀνάγκη. ὁμοίως δὲ οὐδὲ τοῦ α' ὅπερ ἦν τὸ οὐκ ἔστιν ἀγαθόν, ἀπόφασίς ἐστι τὸ ζ'. τὸ οὔτε ἀγαθόν ἐστιν οὔτε οὐκ ἔστιν ἀγαθόν. συμπεριείληπται γὰρ ἐν τῷ ζ' τὸ α'. τὸ γὰρ οὐκ ἔστιν ἀγαθόν, ταὐτόν ἐστι τῷ οὔτε ἀγαθόν ἐστιν. ὁμοίως δὲ οὐδὲ τὸ ε' ἀπόφασις δειχθήσεται. ἢ τοῦ γ' ἢ τοῦ δ'. τούτου δὲ συγκεχωρημένου, ἡ ἀπάτη προείη. ὥστε διὰ τὸ μὴ καλῶς εἰλῆφθαι τὰ ἀντικείμενα. λέγω δὴ τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν τὰς ἀντιφατικῶς ἀντικειμένας πλάνη γέ-

» γονεν. Διὰ τὸ μὴ τὰ ἀντικείμενα λαμβάνειν ὀρθῶς. ὧν ἀνάγκη παντὶ θάτερον ὑπάρχειν. τουτέστι

» τὰ ἀντιφατικῶς ἀντικείμενα. ἐπὶ τούτων γὰρ μόνων τῶν ἀντικειμένων, ἀνάγκη ἐπὶ πάντων καὶ μὴ ὄν-

» των, θάτερον μὲν ψευδὲς εἶναι. θάτερον δὲ ἀληθές. Οἷον, εἰ τὸ α' καὶ τὸ β' μὴ ἐνδέχεται ἅμα τῷ αὐτῷ. ἀναλαμβάνει τὰς ἐξ ἀρχῆς ὑποθέσεις τὰς φαύλας φημί. ὧν ὑποκειμένων ἐδείκνυτο ἡ ᾑρημένη ὑγιὴς τῶν προτάσεων ἀκολούθησις. αἷς ταῖς ὑποθέσεσι ταύταις ἐπισυνάπτει ἑξῆς τὴν ψευδῆ ὑπόθεσιν ἐξ ἧς ἡ ἀπάτη ἐγένετο.

» ΚΑΙ ᾧ τὸ γ' παντὶ τὸ α' ὑπόκειται.

Μ ία γὰρ ἦν αὕτη τῶν εἰλημμένων ἐξ ἀρχῆς φαύλων ὑποθέσεων.


» ΩΣΤΕ ᾧ τὸ ζ', παντὶ τὸ ε'. πάλιν ἐπεὶ τῶν ζ' β' παντὶ θάτερον. καὶ τῶν ε' δ' ὡσαύτως.

Κ αἰτιώμεθα πῶς ἐπειδὴ ἀνάγκη μὲν παντὶ ἢ τὸ ε'. ἢ τὸ γ'. μὴ ἐνδέχεσθαι δὲ τὸ γ' τῷ ζ'. διὰ τὸ συνεπιφέρειν ἑαυτῷ τὸ α'.

» ΑΚΟλουθεῖ δὲ τῷ ζ', τὸ ε', καὶ τῷ δ' ἀκολουθήσει, τὸ β'. τοῦτο γὰρ ἴσμεν. εἰ ἄρα τῷ β' τὸ α', καὶ τῷ δ'

» τὸ β'. τοῦτο δὲ ψεῦδος. ἀνάπαλιν γὰρ ἐν τοῖς οὕτως ἔχουσιν ἡ ἀκολούθησις.

Ε ἰ γὰρ ἐπὶ παντὸς ἢ τὸ β' ἢ τὸ ζ'. οὐχ ἕπεται δὲ τῷ δ' τὸ β'. τὸ ζ' ἕψεται. ἀλλ' ἀδύνατον. συνεπιφέρει γὰρ ἑαυτῷ τὸ ε'. διὰ τὸ δεδεῖχθαι ὅτι ἕπεται τῷ ζ' τὸ ε'. ὥστε εἰ μὴ ἐνδέχεται τῷ δ' τὸ ζ' ἕπεσθαι, τὸ β'.



Τρισὶ δ' ὑποθέσεσι χρησάμενος, τὰ λοιπὰ ἀποδείκνυσι. μιᾷ μὲν ὅτι ἀντιφατικῶς ἀντίκειται τὸ ά καὶ τὸ β'. καὶ ἔτι τὸ γ' καὶ τὸ δ'. δευτέρα δέ, ὅτι ἀνάγκη παντὶ τὸ ά ὑπάρχειν ἢ τὸ β'. καὶ πάλιν παντὶ ἐξ ἀνάγκης ἢ τὸ γ' ἢ τὸ δ'. τοιαύτη γὰρ ἡ ἀντίφασις. τρίτη ὑπόθεσις. ὅτι τῷ γ' ἕπεται τὸ ά. καὶ οὐκ ἀντιστρέφει. λέγω δὴ ὅτι οὐχ ἕπεται τῷ ά τὸ γ'. τούτων ὑποτεθέντων δείκνυσιν ἕτερα τρία. ἓν μέν, ὅτι τῷ β' τὸ δ' ἕπεται καὶ οὐκ ἀντιστρέφει καὶ ὅτι τὸ γ' καὶ τὸ β' ἅπερ ὑπόκεινται καταφάσεις, οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ συναληθεύουσι. καὶ ὅτι τὸ ά δ' τουτέστι τὰς ἀποφάσεις, ἐνδέχεται ἤδη ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν. τὰ μὲν οὖν προκείμενα, ταῦτα. πρῶτον δὲ δείκνυσιν ὅτι τῷ β' ἕπεται τὸ δ', τὸν τρόπον τοῦτον. ἐπειδὴ γὰρ ὑπόκειται ὅτι τῶν γ' δ' θάτερον παντὶ ἐξ ἀνάγκης ὑπάρξει, διὰ τὸ ἀντιφατικῶς ἀντικεῖσθαι. εἰ μὴ ὑπάρξει τῷ β' τὸ δ', ἀνάγκη δήπου τὸ γ' ὑπάρχειν. ἀλλ' εἰ τὸ γ' ὑπάρξει τῷ β'. ὑπόκειται δὲ ἕπεσθαι τῷ γ' τὸ ά. τουτέστιν ᾧ δ' ἂν ὑπάρχῃ τὸ γ'. τούτῳ καὶ τὸ ά ὑπάρχειν. ὑπάρχει δὲ τῷ β' τὸ γ'. καὶ τὸ ά ἄρα τῷ β' ὑπάρξει. ᾧ ἄρα τὸ β', τούτῳ καὶ τὸ ά. ὅπερ ἐστὶν ἀδύνατον, διὰ τὸ ἀντιφατικῶς ἀντικεῖσθαι. τὸ ἀδύνατον ἠκολούθησε, διὰ τὸ ὑποκεῖσθαι τῷ β' ὑπάρχειν τὸ γ'. εἰ οὖν τοῦτο ψεῦδος, ἀληθὲς δήπου τὸ τῷ β' ὑπάρχειν τὸ δ'. ὑπόκειται γὰρ ἐξ ἀνάγκης παντὶ ἢ τὸ γ'. ἢ τὸ δ'. οὕτω μὲν οὖν δείκνυσιν ὅτι τῷ β' ἕπεται τὸ δ'. ἀκόλουθον δὲ ἦν εὐθὺς δεῖξαι, ὅτι οὐκ ἀντιστρέφει. τουτέστιν οὐχ ᾧ τὸ δ' ὑπάρχει, τούτῳ καὶ τὸ β'. ἀλλ' ἐπεὶ πρὸς τὴν δεῖξιν τούτου ἐδέοντο, ὅτι τὰ ά δ' ἐνδέχεται τῷ αὐτῷ παρεῖναι. ἐπεὶ γὰρ ὑπόκειται ὅτι οὐκ ἀντιστρέφει πρὸς τὸ ά τὸ γ'. τουτέστιν οὐκ ἐφ' ὧν τὸ ά, πάντως καὶ τὸ γ'. ἐκεῖ ληφθῇ τούτων ἐφ' ὧν τὸ μὲν ά ὑπάρχει, τὸ δὲ γ' οὐχ ὑπάρχει. ἐπειδὴ παντὶ ἢ τὸ γ', ἢ τὸ δ'. οὐχ ὑπάρχει δὲ τὸ γ' ᾧ τὸ ά ὑπάρχει. τὸ δ' ἄρα ὑπάρξει ᾧ τὸ ά. τὸ ἄρα ά δ' ἐνδέχεται τῷ αὐτῷ παρεῖναι. εὐθὺς ἤδη συνάπτει καὶ ὅτι τὸ γ' καὶ τὸ β' οὐκ ἐνδέχεται τῷ αὐτῷ. εἰ γὰρ ᾧ τὸ β', τούτῳ καὶ τὸ γ'. ἐπειδὴ ᾧ τὸ γ' τούτῳ καὶ τὸ ά. ὑπόκειται γὰρ ἕπεσθαι τῷ γ' τὸ ά. ᾧ ἄρα τὸ β' τούτῳ καὶ τὸ ά ἡ ἀντίφασις. ὅπερ ἐστὶν ἀδύνατον. οὐδενὶ ἄρα τῷ αὐτῷ τὸ γ' καὶ τὸ β' ὑπάρξει. τούτων δὲ δεδειγμένων δείκνυσιν ὅτι οὐκ ἀντιστρέφει τὸ β' τῷ δ'. τοῦτο γὰρ λείπεται. λέγω δὴ ὅτι οὐκ ἐφ' ὧν τὸ δ', πάντως ἤδη τούτων καὶ τὸ β'. ἐπειδὴ δέδεικται ὅτι ἐφ' ᾧ τὸ δ', ἤδη τούτων ἐνδέχεται καὶ τὸ ά. εἰ γὰρ ἐφ' ὧν μὲν τὸ ά, ἤδη τούτων ἐνδέχεται καὶ τὸ δ'. ἐφ' ὧν δὲ τὸ δ', ἤδη τούτων πάντως καὶ τὸ β'. ἐφ' ὧν ἄρα τὸ ά ἤδη τούτων καὶ τὸ β'. ὅπερ ἐστὶν ἀδύνατον. ἀντιφατικῶς γὰρ ἀντίκειται. οὐκ ἄρα ἕψεται τῷ δ' τὸ β'.

Ἁπλῶς δὲ ὅταν οὕτως ἔχῃ τὸ ά καὶ τὸ β', ὥστε ἅμα μὲν τῷ αὐτῷ μὴ ἐνδέχεσθαι, παντὶ δὲ ἐξ ἀνάγκης θάτερον. καὶ πάλιν τὸ γ' καὶ τὸ δ' ὡσαύτως. αἱ πρῶται δύο ὑποθέσεις ὅτι τὰ ἀντιφατικῶς ἀντίκειν-ται τὸ ά καὶ τὸ β'. καὶ ἔτι τὸ γ' καὶ τὸ δ'. καὶ ὅτι παντὶ ἐξ ἀνάγκης θάτερον ἑκατέρας ἀντιφάσεως. Ἕπεται δὲ τῷ γ' τὸ ά καὶ μὴ ἀντιστρέφει. ἡ τρίτη ὑπόθεσις. καὶ τῷ β' τὸ δ' ἀκολουθήσει. καὶ οὐκ ἀντιστρέφει. καὶ τὸ μὲν ά καὶ τὸ δ' ἐνδέχεται τῷ αὐτῷ. τὸ δὲ β' καὶ τὸ γ' οὐκ ἐνδέχεται. τὰ λοιπὰ τρία προαποφαίνονται ἅπερ βούλεται ἀποδεῖξαι. εἰ δέ τις ἐνστῇ πρὸς τὴν τρίτην τῶν ὑποθέσεων. λέγω δὲ πόθεν ὅτι ἕπεται τῷ γ' τὸ ά. καὶ οὐκ ἀντιστρέφει. ἴστω ὅτι ἐλήφθη ἐκ τῆς ὕλης ἐξ ἀμφοῖν τῆς ἐνεργείας ὁ ἔλεγχος. ὥσπερ ἐφ' ὧν ἐθήκαμεν προτέρων ὑποδειγμάτων. σαφῆ δὲ τὰ ἑξῆς τῆς λέξεως.

ΣΥΜΒΑΙΝΕΙ δ' ἐνίοτε καὶ ἐν τῇ τοιαύτῃ τάξει τῶν ὅρων ἀπατᾶσθαι. διὰ τὸ μὴ τὰ ἀντικείμενα λαμβάνειν ὀρθῶς ὧν, ἀνάγκη παντὶ θάτερον ὑπάρχειν. οἷον εἰ τὸ ά καὶ τὸ β' μὴ ἐνδέχεται ἅμα τῷ αὐτῷ, ἀνάγκη δ' ὑπάρχειν ᾧ μὴ θάτερον, θάτερον καὶ πάλιν τὸ γ' καὶ τὸ δ', ὡσαύτως. ᾧ δὲ τὸ γ' παντὶ ἕπεται τὸ ά, συμβήσεται γὰρ ᾧ τὸ δ' τὸ β', ὑπάρχειν ἐξ ἀνάγκης. ὅπερ ἐστὶ ψεῦδος. εἰλήφθω γὰρ ἡ ἀπόφασις τῶν ά β', ἡ ἐφ' ᾧ ζ. καὶ πάλιν τῶν γ' δ', ἡ ἐφ' ᾧ θ. ἀνάγκη δὴ παντί, ἢ τὸ ά ἢ τὸ ζ. ἢ γὰρ τὴν φάσιν ἢ τὴν ἀπόφασιν. καὶ πάλιν ἢ τὸ γ' ἢ τὸ θ, φάσις γὰρ καὶ ἀπόφασις.

δεῖξαι· καὶ διὰ τοῦτο ἐμνήσθη τῶν ἐκ μεταθέσεως καταφάσεων· ὅτι εἴ ποτε τοιοῦτο πρόβλημα εὕρο-
μεν, οὐ δεῖ οἴεσθαι ἀποφατικὴν αὐτὸ εἶναι· καὶ διὰ τοῦτο εἰς ἀποφατικὸν συλλογισμὸν ἀνάγειν. τοῦτο μὲν
οὖν ἦν τὸ προκείμενον· καὶ διὰ τοῦτο ἔδειξεν ὅτι οὐκ εἰσὶν ἀποφάσεις αἱ ἐκ μεταθέσεως καταφάσεις· με-
ταξὺ δὲ καὶ περὶ τῆς ἀκολουθίας αὐτῶν διέλαβε. ταῦτα οὖν πληρώσας, ἐπανῆλθεν εἰς τὸ προκείμενον.
ἐπεὶ οὖν ἐδείξαμεν φησὶν ὅτι οὐ ταὐτὸν σημαίνει τὸ οὐκ ἔστι λευκόν· καὶ ἔστιν οὐ λευκόν· καὶ ὅτι τὸ μὲν ἀπό-
φασις, τὸ δὲ κατάφασις ἐκ μεταθέσεως. δῆλον ἂν εἴη ὅτι οὐχ ὁ αὐτὸς τρόπος ἑκατέρου τῶν προβλημάτων,
δειχθήσεται. ἀλλὰ τὸ μὲν οὐκ ἔστι λευκὸν ἀπόφασις ὄν, δι' ἀποφατικῶν συλλογισμῶν κατασκευασθήσεται. τὸ
δὲ ἔστιν οὐ λευκὸν κατάφασις ὄν, διὰ καταφατικῶν. ὥστε καὶ αἱ ἀναλύσεις τοιαῦται.

» ΟΙΟΝ ὅτι ὃ ἂν ᾖ ζῷον, οὐκ ἔστι λευκόν· ἢ ἐνδέχεται μὴ εἶναι λευκόν.

Τουτέστι καθόλου ἀπόφασις ἁπλῆ ὅτι οὐδὲν ζῷον λευκόν· ἢ ὅτι ἐνδέχεται μηδὲν ζῷον λευκὸν εἶναι.

» ΚΑΙ ὅτι ἀληθὲς εἰπεῖν μὴ λευκόν· τοῦτο γάρ ἐστιν εἶναι μὴ λευκόν.

Τουτέστιν ἡ ἐκ μεταθέσεως κατάφασις καθόλου οὖσα καὶ αὐτή. κατὰ κοινοῦ γὰρ ἀκουστέον τὸ ὅτι ὃ ἂν ᾖ ζῷον.
τουτέστι πᾶν ζῷον ἀληθὲς εἰπεῖν μὴ λευκόν. εἶτα αὐτὴ τὸ σαφέστερον μεταλαβὼν ἐπήγαγε. τοῦτο γάρ ἐστιν εἶ-
ναι μὴ λευκόν. τὸ γὰρ λέγειν φησὶν ὅτι πᾶν ζῷον ἀληθὲς εἰπεῖν μὴ λευκόν, ταὐτόν ἐστι τῷ λέγειν ὅτι πᾶν
ζῷον οὐ λευκόν ἐστι. τὸ γὰρ ἀληθὲς φησι, τῷ ἔστιν ὁμοίως τάττεται. τουτέστιν ἰσοδυναμοῦσι ταῦτα ἀλλήλοις.
ὥστε ἀντιλαμβάνεσθαι εἰς ἄλληλα· καὶ τίθεσθαι ἀντὶ τοῦ ἔστι τὸ ἀληθές. πᾶς ἄνθρωπος ζῷόν ἐστι. πᾶς
ἄνθρωπος ἀληθὲς εἰπεῖν ὅτι ζῷον· καὶ ἔτι ἰσοδυναμεῖ τὸ ἔστι τὸ ἀληθές. δείκνυσιν ἐκ τοῦ καὶ τὴν ἄρνη-
σιν αὐτῷ προστίθεσθαι· καὶ μὴ ἄλλως γίνεσθαι ἀπόφασιν· εἰ μὴ αὐτῷ συνταχθείη ἡ ἄρνησις. ὥσπερ
καὶ τὸ ἔστι. τοῦ γοῦν ἀληθὲς εἰπεῖν λευκόν· ἀπόφασίς ἐστιν ἡ οὐκ ἀληθὲς εἰπεῖν λευκόν. οὐ μὴν ἀληθὲς
εἰπεῖν μὴ λευκόν· ὥσπερ καὶ τῆς ἔστι λευκόν, ἡ οὐκ ἔστι λευκὸν ἀπόφασις, οὐχ ἡ ἔστιν οὐ λευκόν.

» ΑΛΛΑ τοῦ μὲν ὃ ἂν ᾖ λευκὸν ἀληθὲς εἰπεῖν, ἔστι λευκόν, εἴτε μὴ λευκόν, ὁ αὐτὸς τρόπος· κατα-
» σκευαστικῶς γὰρ ἀμφοῖν διὰ τοῦ πρώτου δείκνυται σχήματος. τὸ γὰρ ἀληθὲς τῷ εἶναι ὁμοίως τάττεται.
» τοῦ γὰρ ἀληθὲς εἰπεῖν λευκόν, οὐ τὸ ἀληθὲς εἰπεῖν μὴ λευκόν, ἀπόφασις, ἀλλὰ τὸ μὴ ἀληθὲς εἰπεῖν
» λευκόν.

Εἰ γὰρ δέδεικται ὅτι κατάφασίς ἐστιν· ἔστι δὲ καὶ καθόλου. τὸ δὲ καθόλου καταφατικὸν ἐν τῷ α' μόνῳ δεί-
κνυται σχήματι. ἀμφοτέρων τῶν προτάσεων καταφατικῶν οὐσῶν. δηλονότι εἰς τοῦτο ἀναλυτέον τὸ
τοιοῦτον πρόβλημα.

» ΕΙ δὲ ἔσται ἀληθὲς εἰπεῖν ὃ ἂν ᾖ ἄνθρωπος, μουσικὸν εἶναι, ἢ μὴ μουσικὸν εἶναι. ὃ ἂν ᾖ ζῷον ληπτέον
» ἢ εἶναι μουσικόν, ἢ εἶναι μὴ μουσικόν· καὶ δέδεικται.

Ὑπόδειγμα τίθησι πῶς ἂν συναχθείη τὸ τοιοῦτον πρόβλημα. λέγω δὲ τὸ καταφατικὸν καθόλου. ἁπλοῦν
τε καὶ ἐκ μεταθέσεως. ὅτι καὶ τοῦ μέσου οὕτω κατηγορητέον τὸν μείζονα, ὥσπερ καὶ τοῦ ἐλάττονος. οἷον
ὅτι πᾶς ἄνθρωπος μουσικός. πᾶς ἄνθρωπος ζῷον· πᾶν ζῷον μουσικόν· πᾶς ἄρα ἄνθρωπος μουσικός. πά-
λιν ὅτι πᾶς ἄνθρωπος οὐ μουσικός. πᾶς ἄνθρωπος ζῷον· πᾶν ζῷον οὐ μουσικόν. πᾶς ἄρα ἄνθρωπος
οὐ μουσικός.

» ΤΟ δὲ μὴ εἶναι μουσικὸν ὃ ἂν ᾖ ἄνθρωπος ἀνασκευαστικῶς δείκνυται κατὰ τοὺς εἰρημένους
» τρόπους.

Τὴν ἀπόφασιν τέθεικε τὴν ἐκ μεταθέσεως. λέγω δὲ τὴν οὐδεὶς ἄνθρωπος οὐ μουσικός. ταῦτα οὖν φησι δει-
κτέον διὰ τῶν εἰρημένων τριῶν τρόπων. οὗτοι δέ εἰσιν ὅτι β' τοῦ πρώτου σχήματος καὶ οἱ πρῶτοι τοῦ β'
δύο. διὰ τούτων γὰρ μόνων τὸ καθόλου ἀποφατικὸν ἐδείκνυτο.

» ΑΠΛΩΣ δὲ ὅταν οὕτως ἔχῃ τὸ α' καὶ τὸ β'· ὥστε ἅμα μὲν τῷ αὐτῷ μὴ ἐνδέχεσθαι. παντὶ δ' ἐξ
» ἀνάγκης, θάτερον· καὶ πάλιν τὸ γ' καὶ τὸ δ' ὡσαύτως. ἕπηται δὲ τῷ γ' τὸ α' καὶ μὴ ἀντιστρέφῃ· καὶ τῷ
» β' τὸ δ' ἀκολουθήσει, καὶ οὐκ ἀντιστρέψει· καὶ τὸ μὲν α' καὶ τὸ δ' ἐνδέχεται ᾧ αὐτῷ τὸ δὲ β' καὶ τὸ γ', οὐκ ἐνδέχεται. πρῶ-
» τον μὲν οὖν, ὅτι τῷ β' τὸ δ' ἕπεται ἐνθένδε φανερόν. ἐπεὶ γὰρ παντὶ τῶν γ' δ' θάτερον ἐξ ἀνάγκης. ᾧ δὲ τὸ β' οὐκ
» ἐνδέχεται τὸ γ' διὰ τὸ συνεπιφέρειν τὸ α'. τὸ δὲ α' καὶ β' μὴ ἐνδέχεσθαι τῷ αὐτῷ. φανερὸν ὅτι τὸ δ', ἀκολουθή-
» σει. πάλιν ἐπεὶ τῷ α' τὸ γ' οὐκ ἀντιστρέφει, παντὶ δὲ ἢ τὸ γ' ἢ τὸ δ', ἐνδέχεται τὸ α' καὶ τὸ δ' ᾧ αὐτῷ ὑπάρ-
» χειν. τὸ δέ γε β' καὶ τὸ γ' οὐκ ἐνδέχεται. διὰ τὸ συνακολουθεῖν τῷ γ' τὸ α'. συμβαίνει γάρ τι ἀδύνατον.
» φανερὸν οὖν ὅτι οὐδὲ τὸ β' τῷ δ', ἀντιστρέφει. ἐπείπερ ἐγχωρεῖ ἅμα τῷ δ' καὶ τὸ α' ὑπάρχειν.

Ἀναλαμβάνει πάλιν τὰ περὶ τῆς ἀκολουθήσεως τῶν προτάσεων. τῶν τε ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως.
ἐπειδὴ γὰρ ἀσαφέστερον αὐτὴν ὕλης τινὸς ἐγύμνασε τὸν λόγον. ξύλον λευκόν, λαβών· καὶ ξύλον οὐ λευκόν. ἐν-
ταῦθα καθολικωτέραν ποιεῖ τὴν δεῖξιν. αὐτὴν τῶν στοιχείων προάγει τὴν ἀκολούθησιν. λαμβάνει οὖν
πάλιν τὰς δύο ἀντιφάσεις τήν τε ἁπλῆν καὶ τὴν ἐκ μεταθέσεως. μίαν μὲν ἀντίφασιν τὴν α' β'. ἑτέ-
ραν δὲ τὴν γ' δ'. ὅτι οὖν ταῖς μὲν καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται, καὶ οὐκ ἀντιστρέφουσι· καὶ ὅτι
τὰς μὲν καταφάσεις ἀδύνατον συναληθεύειν. τὰς δὲ ἀποφάσεις ἐνδέχεται, βούλεται δεῖξαι. ὑπο-
τίθεται οὖν τὸ μὲν γ' β' τὰς καταφάσεις. τὴν μὲν ἁπλῆν, τὴν δὲ ἐκ μεταθέσεως. τὰ δὲ λοιπὰ τὸ δ'
φημὶ καὶ τὸ α' τὰς τούτων ἀποφάσεις.

οὕτως ἔχουσι καὶ αἱ στερητικαὶ πρὸς τὰς ἁπλᾶς. ταύτας γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν πρὸς τὰς κατηγορίας. δῆλον δὲ ἐκ τοῦ διαγράμματος.

α΄ ἔστιν ἴσον.	β΄ οὐκ ἔστιν ἴσον.
δ΄ οὐκ ἔστιν ἄνισον.	γ΄ ἔστιν ἄνισον.

Ἐπεὶ οὖν εἰ ἴσον, τοῦτο οὐκ ἔστιν ἄνισον. οὐ μὴν ὅτι οὐκ ἔστιν ἄνισον, ἤδη τοῦτο ἴσον ἐστίν. ἀληθὲς γὰρ ἐπὶ τοῦ μὴ ποσοῦ. ἢ μὴ ὄντος ὅλως τὸ εἰπεῖν οὐκ ἔστιν ἄνισον. οἷον ἡ ψυχὴ οὐκ ἔστιν ἄνισον. ἢ τὸ χρῶμα. οὐ μὴν ὅτι καὶ ἴσον ἐστίν. ὃ γὰρ μηδὲ ποσόν ἐστι, τοῦτο οὐδὲ ἴσον ἔσται. οὔτε οὐκ ἄνισον. πάλιν εἴ τι μέν ἐστιν ἄνισον, τοῦτο οὐκ ἔστιν ἴσον. εἴ τι δὲ οὐκ ἴσον, οὐ πάντως καὶ ἄνισον. διότι ἴσον μὲν ἢ οὐκ ἴσον πᾶν. ἴσον δὲ ἢ ἄνισον, οὐ πᾶν. ὃ γὰρ μὴ ἔστι ποσόν, οὔτε ἴσον ἐστὶν οὔτε ἄνισον. καὶ αἱ μὲν καταφάσεις, οὐδέποτε συναληθεύουσιν ἔστιν ἴσον ἔστιν ἄνισον. τὰς δὲ ἀποφάσεις ἐνδέχεται ἐπὶ τοῦ μὴ ὄντος. ἢ ὅλως ἐπὶ τοῦ μὴ ποσοῦ. τὸ γὰρ μὴ ὂν ἢ τὸ χρῶμα, ἀληθὲς εἰπεῖν καὶ ὅτι οὐκ ἔστιν ἴσον. καὶ ὅτι οὐκ ἔστιν ἄνισον. μέσον δὲ τέτακται τῶν τε ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως, τὰς στερητικὰς ὡς ὑποτέτακται.

α΄ ἔστιν ἴσον.	δ΄ οὐκ ἔστιν ἴσον.
δ΄ οὐκ ἔστιν ἄνισον.	α΄ ἔστιν ἄνισον.
β΄ οὐκ ἔστιν οὐκ ἴσον.	γ΄ ἔστιν οὐκ ἴσον.

» ΚΑΙ ἐπὶ πολλῶν δὲ ὧν τοῖς μὲν ὑπάρχει, τοῖς δὲ, οὐχ ὑπάρχει τὸ αὐτό. ἡ μὲν ἀπόφασις ὁμοίως
» ἀληθεύοι ἂν ὅτι οὐκ ἔστι λευκὰ πάντα, ἢ ὅτι οὐκ ἔστι λευκὸν ἕκαστον. ὅτι δὲ ἐστὶν οὐ λευκὸν ἕκαστον, ἢ ὅτι
» πάντα ἐστὶν οὐ λευκά, ψεῦδος. ὁμοίως δὲ καὶ τοῦ ἔστι πᾶν ζῷον λευκόν, οὐ τὸ ἔστιν οὐ λευκὸν ἅπαν ζῷον,
» ἀπόφασις ἄμφω γὰρ ψευδεῖς. ἀλλὰ τὸ οὐκ ἔστι πᾶν ζῷον λευκόν.

Πρὸς τὸ ἐξ ἀρχῆς ἀναδραμεῖν. λέγω δὴ ὅτι τῆς ἁπλῆς καταφάσεως, οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις. ἀλλ' ἡ ἁπλῆ ἀπόφασις. τοῦτο δέ φησι μάλιστα δῆλον ἔσται ἐπὶ τῶν τοιούτων ὑλῶν. αἳ τισὶ μὲν τοῖς λοιποῖς ὑπάρχουσι. τισὶ δὲ οὐχ ὑπάρχουσιν. οἷον τὸ λευκόν. τισὶ μὲν ἀνθρώποις ὑπάρχει. τισὶ δὲ οὐχ ὑπάρχει. ἐπὶ τῶν τοιούτων οὖν τῆς καταφάσεως ψευδοῦς οὔσης. οἷον ὅτι πᾶς ἄνθρωπος λευκός, ἀνάγκη δήπου τὴν ἀπόφασιν ἀληθῆ εἶναι. τῆς γὰρ ἀντιφάσεως, θάτερον μὲν μόριον ἀνάγκη ἀληθὲς εἶναι. θάτερον δὲ ψευδές. ὅτι οὖν τῆς πᾶς ἄνθρωπος λευκός, ἀπόφασίς ἐστιν. ἡ οὐ πᾶς ἄνθρωπος λευκός, δῆλον ἐξ ὧν ἐκείνης ψευδομένης αὕτη ἀληθεύει. ἡ μέντοι πᾶς ἄνθρωπος οὐ λευκός ἐστιν ἐκ μεταθέσεως οὖσα κατάφασις, ψευδής ἐστιν. οὐκ ἄρα ἀπόφασίς ἐστιν τῆς ἔστιν πᾶς ἄνθρωπος λευκός, ἡ ἔστιν πᾶς ἄνθρωπος οὐ λευκός. ἄμφω γὰρ ψευδεῖς. ἀλλ' ἡ οὐκ ἔστι πᾶς ἄνθρωπος λευκός. καὶ ἐπὶ πάντων τῶν τοιούτων ὡσαύτως. Σαφῶς ἄρα διὰ τῆς τοιαύτης ὕλης ἐλήλεγκται ὅτι τῆς ἁπλῆς καταφάσεως οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις. ἄμφω γὰρ ἐξ ἀνάγκης ψευδεῖς εἰσίν, ἀλλ' ἡ ἁπλῆ ἀπόφασις. τὸ δὲ ἡ μὲν ἀπόφασις ὁμοίως ἀληθεύει. τουτέστιν ἐπὶ πάσης τῆς τοιαύτης ὕλης ὁμοίως ἡ ἀπόφασις ἀληθής ἐστι τῆς καταφάσεως ψευδοῦς οὔσης. ταυτὸν δὲ σημαίνει τὸ οὐκ ἔστι λευκὰ πάντα. καὶ τὸ οὐκ ἔστι λευκὸν ἕκαστον. ὡς ἐξηγητικὸν γὰρ τοῦ προτέρου τὸ δεύτερον ἐπήγαγεν. ὁμοίως δὲ καὶ τοῦ ἔστι πᾶν ζῷον λευκόν. οὐ τὸ ἔστιν οὐ τὸ λευκὸν πᾶν ζῷον ἀπόφασις ἄμφω γὰρ ψευδεῖς ἀλλὰ τὸ οὐκ ἔστιν πᾶν ζῷον λευκόν, διὰ ταῦτα καὶ τῆς ἀκολουθίας τῶν προτάσεων ἐμνήσθη. προθέμενος γὰρ δεῖξαι ὅτι οὐκ εἰσὶ τῶν ἁπλῶν καταφάσεων ἀποφάσεις αἱ ἐκ μεταθέσεως καταφάσεις ἐξηνέχθη εἰς τὸν περὶ τῆς ἀκολουθίας τῶν προτάσεων λόγον. ὃν πληρώσας ἐπανῆλθεν ἐπὶ τὸ προκείμενον. ὥσπερ οὖν φησὶν ἐπὶ τῶν ἀπροσδιορίστων τῶν ἁπλῶν καταφάσεων οὐκ εἰσὶν ἀποφάσεις αἱ ἐκ μεταθέσεως καταφάσεις, οὕτως οὐδὲ ἐπὶ τῶν προσδιορισμένων. ὅτι οὖν οὐκ ἔστι τοῦ πᾶν ζῷον λευκὸν ἀπόφασις, ἡ ἔστι πᾶν ζῷον οὐ λευκόν, συντόμως δείκνυσιν. ἡ μὲν γὰρ κατάφασίς φησι καὶ ἀπόφασις αἱ ἀντιφατικῶς ἀντικείμεναι. ἐπὶ πάντων τῶν ὄντων καὶ μὴ ὄντων διαιροῦσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. καὶ ἐπ' οὐδενὸς οὔτε ἀληθεύουσιν, οὔτε συμψεύδονται. ἡ μέντοι λέγουσα πᾶν ζῷον λευκόν. καὶ ἡ πᾶν ζῷον οὐ λευκόν, συμψεύδονται. οὐκ ἄρα ἀπόφασις τῆς πᾶν ζῷον λευκόν, ἡ πᾶν ζῷον οὐ λευκόν. αὗται γὰρ οὐκ ἀντιφατικῶς ἀντίκεινται. οὐδὲ ἔστι τῆς ἁπλῆς καταφάσεως τῆς πᾶν ζῷον λευκὸν ἀπόφασις, ἡ πᾶν ζῷον οὐ λευκὸν ἐκ μεταθέσεως οὖσα κατάφασις. οὐδὲ ἐπὶ τῶν ἄλλων πασῶν τοῦτο ἔσται. κἂν ἐπί τινων ἡ μὲν ἀληθεύσῃ, ἡ δὲ ψεύδηται. ὡς ἐπὶ τῆς ἀναγκαίας ὕλης. πᾶν ζῷον οὐσία. πᾶν ζῷον οὐκ οὐσία. οὐ γὰρ ἐπί τινων μὲν δὴ οὕτως ἔχειν τὴν ἀντίφασιν. λέγω δὴ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ἐπί τινων δὲ οὔ. ἀλλ' ἀεὶ καὶ ἐπὶ πάντων.

» ΕΠΕΙ δὲ δῆλον ὅτι ἕτερον σημαίνει τὸ ἔστιν οὐ λευκόν. καὶ τὸ οὐκ ἔστι λευκόν. καὶ τὸ μὲν κατάφασις, τὸ δὲ ἀπόφασις, φανερὸν ὡς οὐχ ὁ αὐτὸς τρόπος τοῦ δεικνύναι ἑκάτερον.

Ἐπανῆλθεν εἰς τὸ ἐξ ἀρχῆς προκείμενον διὸ πάντα ταῦτα εἶπε. προὔκειτο γὰρ περὶ ἀναλύσεως τῶν συλλογισμῶν

τῆς ἐνδεχομένης ὕλης. λέγω δὴ ἐπὶ τῆς ἀναγκαίας καὶ τῆς ἀδυνάτου ἡ αὐτὴ σώζεται ἀκολουθία. ἐπι-σκεπτέον δὲ ἐκ τοῦ διαγράμματος.

ἀνάγκη ζῷον εἶναι.	οὐκ ἀνάγκη ζῷον εἶναι.
οὐκ ἀνάγκη μὴ ζῷον εἶναι.	ἀνάγκη μὴ ζῷον εἶναι.
ἀδύνατον λίθον εἶναι.	οὐκ ἀδύνατον λίθον εἶναι.
οὐκ ἀδύνατον οὐ λίθον εἶναι.	ἀδύνατον οὐ λίθον εἶναι.

Σ ημειωτέον καὶ ἐπὶ τούτων ὅτι ταῖς μὲν καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται. ὃ γὰρ ἀνάγκη ζῷον εἶναι, τοῦτο οὐκ ἀνάγκη μὴ ζῷον εἶναι. καὶ πάλιν ὃ ἀνάγκη μὴ ζῷον, τοῦτο οὐκ ἀνάγκη ζῷον εἶναι. καὶ αἱ μὲν καταφάσεις, οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ συναληθεύουσιν. λέγω δὴ ἡ ἀνάγκη ζῷον εἶναι. καὶ ἡ ἀνάγκη μὴ ζῷον εἶναι. τὰς δὲ ἀποφάσεις ἐνδέχεται συναληθεύειν. τὸ γὰρ μὴ ὄν, ἀληθὲς εἰπεῖν, ὅτι καὶ οὐκ ἀνάγκη ζῷον εἶναι. καὶ ὅτι οὐκ ἀνάγκη μὴ ζῷον εἶναι. ὃ γὰρ οὐκ ἔστιν ὅλως, ἀληθὲς εἰπεῖν ὅτι οὐκ ἀνάγκη μὴ ζῷον εἶναι. ὃ γὰρ ἀνάγκη μὴ ζῷον εἶναι, τοῦτο καὶ εἶναι ἀνάγκη. ᾧ οὖν ἡ κατάφασις ψευδὴς ἐπὶ τοῦ μὴ ὄντος, ἀληθὴς δήπου ἡ ἀπόφασις. ἀλλὰ δὴ κἂν ἀντὶ τοῦ ἔστι ἢ εἶναι ῥήματος, ἐκτιθώμεθα τῆς ἀναγκαίας ὕλην. τὸ αὐτὸ ἀπαραλλάκτως ἀκολουθεῖ. οἷον, ἀνάγκη ἀναπνεῖν. οὐκ ἀνάγκη ἀναπνεῖν. ἀνάγκη μὴ ἀναπνεῖν. οὐκ ἀνάγκη μὴ ἀναπνεῖν. ὃ γὰρ ἀνάγκη μὴ ἀναπνεῖν, τοῦτο οὐκ ἀνάγκη μὴ ἀναπνεῖν. καὶ ὃ ἀνάγκη μὴ ἀναπνεῖν, τοῦτο οὐκ ἀνάγκη ἀναπνεῖν. καὶ αἱ μὲν καταφάσεις, οὐδέποτε συναληθεύουσιν. ἡ ἀνάγκη ἀναπνεῖν. καὶ ἀνάγκη μὴ ἀναπνεῖν. τὰς δὲ ἀποφάσεις ἐνδέχεται. τὸ γὰρ μὴ ὂν ὅλως, ἀληθὲς εἰπεῖν. καὶ ὅτι οὐκ ἀνάγκη ἀναπνεῖν. καὶ ὅτι οὐκ ἀνάγκη μὴ ἀναπνεῖν. τουτέστιν οὐκ ἀνάγκη τοῦ μὴ ἀναπνέοντος εἶναι. ἐπισκεπτέον δέ, μήποτε οὐκ ἐνδέχεται ἐπὶ τούτων οὐδὲ τὰς ἀποφάσεις συναληθεύειν. ὅσα εἴρηται ἐπὶ τῆς ἀναγκαίας ὕλης. ταῦτα καὶ ἐπὶ τῆς ἀδυνάτου λεχθήσεται. ὃ γὰρ ἀδύνατον ἵπτασθαι, τοῦτο οὐκ ἀδύνατον μὴ ἵπτασθαι. καὶ ὃ ἀδύνατον μὴ ἵπτασθαι, τοῦτο οὐκ ἀδύνατον ἵπτασθαι. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. δοξουσι δὲ αἱ προκείμεναι προτάσεις διαφέρειν τῶν ἐκ τρίτου προσκατηγορουμένων. καὶ ταύτῃ ὅτι ἐπὶ μὲν ἐκείνων ταῖς ἀποφάσεσιν, οὐχ ἕπονται αἱ καταφάσεις. οὐ γὰρ ἀντιστρέφει ἡ ἀκολούθησις. ἐπὶ δὲ τῶν μετατρόπων ἀντιστρέφει. οὐ μόνον γὰρ ὃ ἀνάγκη ἀναπνεῖν, τοῦτο οὐκ ἀνάγκη μὴ ἀναπνεῖν. ἀλλὰ καὶ ὃ οὐκ ἀνάγκη μὴ ἀναπνεῖν. οἷον τὸν κύνα. τοῦτο ἀνάγκη ἀναπνεῖν. καὶ πάλιν ὃ οὐκ ἀνάγκη ἀναπνεῖν. τοῦτο ἀνάγκη μὴ ἀναπνεῖν. φημὶ δὲ ὅτι ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένων ᾗ ὁ εἰωθέναι τι ἔστιν ὃ λέγεται λευκὸν εἶναι. ἢ βαδίζειν ἢ τοιοῦτόν τι, οὐδὲ ἐπὶ ἐκείνων ἡ ἀντιστροφὴ σώζεται. ἐπὶ μὲν γὰρ τοῦ ἔστι ξύλον λευκόν. καὶ οὐκ ἔστι ξύλον λευκόν. καὶ τῶν λοιπῶν, ἐπειδὴ ἀφώρισται τι ἔστιν ὃ λέγεται εἶναι λευκὸν ἢ μὴ λευκόν. διὰ τοῦτο οὐκ ἔστι τῇ ἀντιστροφῇ χρήσασθαι. ἐπεὶ ἐὰν ἀφέλῃς τὸ ξύλον, εὑρήσεις ἐνταῦθα ἀντιστρέφοντα. οὐ μόνον γὰρ ὅτι ἐστὶ λευκόν, τοῦτο οὐκ ἔστιν οὐ λευκόν. ἀλλὰ καὶ ὃ οὐκ ἔστιν οὐ λευκόν. οἷον τὸ ψιμμύθιον. τοῦτο ἀνάγκη λευκὸν εἶναι. οὕτω γὰρ ἔτι αἱ οὕτω λεγόμεναι ἀποφάσεις, αἱ ἐκ μεταθέσεως. λέγω δὴ αἱ μὴ ὁρίζουσαι τί ἐστι τὸ ὑποκείμενον ᾧ ὑπάρξει τὸ κατηγορούμενον. δύνανται ἢ ἐπὶ τοῦ μὴ ὄντος λέγεσθαι ἢ ὅλως ἐπὶ τῶν μὴ δεκτικῶν τοῦ κατηγορουμένου. οὐ γάρ ἐστιν ἀληθὲς εἰπεῖν ὅτι ἡ ψυχὴ ἢ τὸ μὴ ὄν, οὐκ ἔστιν οὐ λευκόν. τὸ γὰρ οὐ λευκὸν ἓν μὲν ἀναιρεῖ τὸ λευκόν, πάντα δὲ εἰσάγει τὰ παρὰ τὰ λευκά. καὶ ὄντα καὶ μὴ ὄντα. ἀλλ' ἀναιροῦνται ταῦτα ὑπὸ τῆς ἀποφάσεως πλὴν ἐπὶ τοῦ μὴ ὄντος ὡς οἶμαι, ἀληθεύει. ἡ γὰρ ἀντικειμένη αὐτῆς κατάφασις ἡ ἐκ μεταθέσεως ψεύδεται. ἐπὶ μὴ λευκῶν γὰρ λέγεται ἀλλ' ὄντων. ὡς ἐπὶ μόνων ἄρα τῶν δεκτικῶν χρωμάτων ἀληθεύειν τὰς ἀποφάσεις. οἷον ᾗ τὸ ψιμμύθιον οὐκ ἔστιν οὐ λευκόν. ἐπὶ τούτων δὲ ἀληθεύσει καὶ ἡ ἁπλῆ κατάφασις ἡ λέγουσα ἔστι λευκόν. ὁμοίως ἐφ' ὧν ἀληθεύσει ἡ λέγουσα ὅτι οὐκ ἔστιν λευκόν, ἐπὶ τούτῳ ἀληθεύσει. καὶ ἡ λέγουσα ἔστιν οὐ λευκόν, οἷον ἡ ψυχή. ἀληθὲς γὰρ εἰπεῖν καὶ ὅτι οὐκ ἔστι λευκόν. καὶ ὅτι ἔστιν οὐ λευκόν. πλὴν ἐνταῦθα ἐπὶ τοῦ μὴ ὄντος οὐκ ἀντιστρέψει. ἀληθὲς μὲν γὰρ εἰπεῖν ὅτι οὐκ ἔστι λευκόν. οὐ μὴν ὅτι ἔστιν οὐ λευκόν. ὃ γὰρ μὴ ἔστιν ὅλως, πῶς ἂν εἴη οὐ λευκόν. ἐπὶ δὲ τῆς ἐνδεχομένης ὕλης μόναι αἱ καταφάσεις ἕπονται ἀλλήλαις, δύναται βαδίζειν. δύναται μὴ βαδίζειν. οὐδεμία δὲ ἑτέρα συμπλοκή. οὔτε γὰρ αἱ ἀποφάσεις. ἡ οὐ δύναται βαδίζειν. τῇ οὐ δύναται μὴ βαδίζειν. οὔτε αἱ ἀποφάσεις μετὰ τῶν καταφάσεων. λέγω δή, ἡ δύναται βαδίζειν. τῇ οὐ δύναται βαδίζειν. ἢ πάλιν ἡ δύναται μὴ βαδίζειν. τῇ οὐ δύναται μὴ βαδίζειν. ἐπεὶ γὰρ συναληθεύουσιν αἱ καταφάσεις ἀδύνατον δέ, ἐπὶ τοῦ αὐτοῦ τὴν ἀντίφασιν ἀληθεύειν, δῆλον ὡς οὐκ ἐνδέχεται οὔτε τῇ ἁπλῇ καταφάσει τὴν ἐκ μεταθέσεως ἀπόφασιν συναληθεύειν. οὔτε τῇ ἐκ μεταθέσεως καταφάσει τὴν ἁπλῆν ἀπόφασιν. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. ἐπανιτέον δὲ ἐπὶ τὸ ἐξ ἀρχῆς.

» ΟΜΟΙΩΣ δὲ ἔχουσι καὶ αἱ στερητικαὶ πρὸς τὰς κατηγορίας, ταύτῃ τῇ θέσει. ἴσον ἐφ' ᾧ τὸ α', οὐκ
» ἴσον ἐφ' οὗ τὸ β'. ἄνισον ἐφ' οὗ τὸ γ', οὐκ ἄνισον, ἐφ' οὗ τὸ δ'.

Ὡς ἔχουσί φησιν ἀκολουθίας ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένων αἱ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς,

Τὸ ἀνάπαλιν, διότι οὐ καθ' ἕνα καὶ τὸν αὐτὸν στοῖχον. ἢ ταῖς ἁπλαῖς αἱ ἐκ μεταθέσεως ἕπονται. ἢ ταῖς ἐκ μεταθέσεως, αἱ ἁπλαῖ. ἀλλ' ἀντιστρόφως. τῇ μὲν ἁπλῇ καταφάσει, ἡ ἐκ μεταθέσεως ἀπόφασις. τῇ δὲ ἐκ μεταθέσεως κατάφασις, ἡ ἁπλῆ ἀπόφασις. καθὸ μέντοι ἐπ' ἀμφοτέρων ταῖς καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται, τὴν αὐτὴν σώζειν τὴν συστοιχίαν.

» ΩΣΤΕ τὸ δ, ἀληθές. τὸ α, οὐκ ἀληθές. ὅτι ξύλον λευκόν.

Τουτέστι κατὰ τοῦ ὅλως μὴ ὄντος ξύλου. τὸ μὲν δ ἀληθὲς ὅτι οὐκ ἔστι ξύλον οὐ λευκόν. τὸ δὲ α οὐκ ἀληθὲς ὅτι ἔστι ξύλον λευκόν. ὥστε οὐχ ἕπεται τῇ ἐκ μεταθέσεως ἀποφάσει, ἡ ἁπλῆ κατάφασις.

» ΔΗΛΟΝ δ' ὅτι καὶ τὸ α γ οὐδενὶ ἅμα τῷ αὐτῷ ὑπάρχει, τὸ δὲ β καὶ τὸ δ ἐνδέχεταί τινι τῷ αὐτῷ
» ὑπάρξαι.

Εἰπὼν ὅπως ἔχουσιν αἱ ὑπ' ἀλλήλας προτάσεις ἐν τῷ διαγράμματι, ζητεῖ νῦν ὅπως ἔχουσι καὶ αἱ διαγώνιοι. καί φησιν ὅτι τὸ μὲν α καὶ γ, οὐδέποτε τῷ αὐτῷ ὑπάρξει. τουτέστιν ἀμφότεραι αἱ καταφάσεις ἥ τε ἁπλῆ καὶ ἡ ἐκ μεταθέσεως. ὁ γάρ ἐστι ξύλον λευκόν, τοῦτο ἀδύνατον εἶναι ξύλον οὐ λευκόν. τὰς μέντοι ἀποφάσεις φησὶν ἐνδέχεσθαί ποτε συναληθεύειν. λέγω δὴ ἐπὶ τοῦ μὴ ὄντος. ἀληθὲς γὰρ τὸ λέγειν ὅτι τὸ μὴ ὄν, οὐκ ἔστι ξύλον λευκόν. καὶ πάλιν οὐκ ἔστι ξύλον λευκόν. οὐ μόνον δὲ ἐπὶ τοῦ μὴ ὄντος, ἀλλὰ καὶ ἐπὶ τῶν ὅλως μὴ ὄντων ξύλων. οἷον, ἡ ψυχή, οὐκ ἔστι ξύλον λευκόν. ἀλλὰ καὶ οὐκ ἔστι ξύλον οὐ λευκόν. ὥστε αἱ μὲν καταφάσεις οὐδέποτε συναληθεύουσι. τὰς δὲ ἀποφάσεις, ἐνδέχεται συναληθεύειν. ἐπειδὴ δὲ ἐν τῷ περὶ ἑρμηνείας δύο διαγράμματα ἐκθέμενος ὁ Ἀριστοτέλης. ἐν μὲν τῶν ἀπροσδιορίστων προτάσεων. ἕτερον δὲ τῶν προσδιορισμένων. ἐπὶ μὲν τῶν ἀπροσδιορίστων εἶπε. τὰς μὲν καταφάσεις μηδέποτε συναληθεύειν. τὰς δὲ ἀποφάσεις συναληθεύειν. καὶ ταῖς καταφάσεσιν ἀεὶ τὰς ἀποφάσεις ἕπεσθαι. ὡς ἔφθημεν εἰπόντες. ἐπὶ δὲ τῶν προσδιορισμένων, οὐχ οὕτως. ἀλλὰ μόνον τὰς μερικὰς ἀποφάσεις ἕπεσθαι. οἷον τῇ οὐ πᾶς ἐστι δίκαιος ἄνθρωπος, τὴν οὐ πᾶς ἐστιν οὐ δίκαιος ἄνθρωπος. αἱ γὰρ καθόλου οὐδέποτε συναληθεύουσι. λέγω δὴ ἡ πᾶς ἐστιν ἄνθρωπος δίκαιος. τῇ πᾶς ἐστιν ἄνθρωπος οὐ δίκαιος. καὶ ἡ οὐδείς ἐστι δίκαιος ἄνθρωπος, τῇ οὐδείς ἐστιν οὐ δίκαιος ἄνθρωπος. εἰ οὖν μέλλει συνᾴδειν τὰ ἐνταῦθα λεγόμενα, τοῖς ἐν τῷ περὶ ἑρμηνείας ὡς ὁ Ἀλέξανδρός φησιν. ὅταν λέγῃ ὁ Ἀριστοτέλης, ὅτι τὸ α γ οὐδενὶ ἅμα τῷ αὐτῷ ὑπάρξει τουτέστιν αἱ καταφάσεις ἢ ὡς ἐπὶ τῶν ἀπροσδιορίστων ἀποφάσεων δεῖ ἀκουσόμεθα. ἢ ὡς ἐπὶ τῶν μερικῶν ἀποφάσεων. καὶ γὰρ αἱ ἀπροσδιόριστοι ταῖς μερικαῖς ἰσοδυναμοῦσιν, ἀλλ' ὡς ἐπὶ τῶν προσδιορισμένων καταφάσεων. ὅτι δὲ ὡς ἐπὶ τῶν ἀπροσδιορίστων ἐνταῦθα τὸν λόγον ποιεῖται. ἐδήλωσε καὶ ἐν τῷ περὶ ἑρμηνείας. ἐκθεὶς γὰρ τῶν ἀπροσδιορίστων προτάσεων τὸ διάγραμμα. καὶ εἰπὼν ποῖαι ἀκολουθοῦσιν ἀλλήλαις. καὶ ποῖαι οὔ. ταῦτα μὲν οὖν φησιν ὥσπερ ἐν τοῖς ἀναλυτικοῖς εἴρηται. οὕτω τέτακται. ὡς δὴ τούτου τοῦ γράμματος προτέρου γεγραμμένου. ἀπορήσας δ' ἄν τις πῶς ἀνωτέρω μὲν ἀμφοτέρας τὰς καταφάσεις συναληθεύειν ἔλεγε τήν τε ἁπλῆν καὶ τὴν ἐκ μεταθέσεως. ὁ γὰρ αὐτός φησι δύναται βαδίζειν καὶ μὴ βαδίζειν. καὶ ἐπιστήμη τοῦ ἀγαθοῦ, καὶ τοῦ μὴ ἀγαθοῦ, ἐνταῦθα δέ φησι τὸ α γ μηδέποτε τῷ αὐτῷ ὑπάρχειν. λέγω δὴ τήν τε ἁπλῆν κατάφασιν. καὶ τὴν ἐκ μεταθέσεως. τὴν ἔστι ξύλον λευκόν. καὶ τὴν ἔστι ξύλον οὐ λευκόν. ἀδύνατον γὰρ τὸ αὐτὸ λευκὸν εἶναι καὶ οὐ λευκόν. καὶ πάλιν ἄνω μὲν ἔλεγε μὴ ταυτὸν εἶναι. τὸ μὴ ἐπίστασθαι τὸ ἀγαθόν. καὶ ἐπίστασθαι μὴ ἀγαθόν. τουτέστι τὴν ἁπλῆν ἀπόφασιν. καὶ τὴν ἐκ μεταθέσεως κατάφασιν. καὶ ἔμπαλιν. ἐνταῦθα δὲ ἔδειξεν ὅτι ταῖς καταφάσεσιν ἕπονται αἱ ἀποφάσεις. Ἰστέον οὖν ὅτι πρῶτον μὲν οὐ ταυτόν ἐστι. τὸ λέγειν μὴ εἶναι ταυτὸν τόδε τῷδε. καὶ τὸ λέγειν ἕπεσθαι τόδε τῷδε. ἐπεὶ τῷ μὲν ἀνθρώπῳ ἕπεται τὸ ζῷον. οὐ ταυτὸν δέ ἐστι ζῷον καὶ ἄνθρωπος. καὶ ἐπ' ἄλλων μυρίων ὡσαύτως. ἄλλως τε ἡ ἀκολούθησις τῶν προτάσεων. ἡ καὶ ἐνταῦθα καὶ ἐν τῷ περὶ ἑρμηνείας παραδιδομένη. λέγω δὴ ὅτι ἐπὶ τῶν δύο ἀντιφάσεων. τῆς τε ἁπλῆς καὶ τῆς ἐκ μεταθέσεως. ταῖς μὲν καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται. οὐκέτι δὲ ταῖς ἀποφάσεσιν αἱ καταφάσεις. καὶ τὸ τὰς μὲν καταφάσεις μηδέποτε ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν. τὰς δὲ ἀποφάσεις ἐνδέχεσθαι συναληθεύειν ἐπὶ τοῦ αὐτοῦ. οὐκ ἐπὶ πασῶν τῶν προτάσεων λέγεται. εἰ γὰρ δὴ καὶ ἐπὶ τῶν μετὰ τρόπου. ἐπὶ τούτων γὰρ οὐκέτι ἀληθής, ἡ τοιαύτη ἀκολούθησις. ἐπὶ γὰρ τῶν μετὰ τρόπου ἐνδεχομένου ἀνάγκη ἀληθεύειν τὰς καταφάσεις. ὡς ἤδη εἴπομεν. τὸ δύνασθαι βαδίζειν. τῷ δύνασθαι μὴ βαδίζειν. οὐδέποτε δὲ ταῖς καταφάσεσιν ἀκολουθοῦσιν αἱ ἀποφάσεις. οἷον, τῇ δύναται βαδίζειν. ἡ οὐ δύναται μὴ βαδίζειν. ἢ τῇ δύναται μὴ βαδίζειν. ἡ οὐ δύναται βαδίζειν, ἀσύμφωνα γὰρ ταῦτα ἐπὶ τοῦ αὐτοῦ. ἀλλ' οὐδὲ αἱ ἀποφάσεις συναληθεύουσί ποτε, ἡ οὐ δύναται βαδίζειν καὶ οὐ δύναται μὴ βαδίζειν. ἀλλὰ κἀνταῦθα κἀκεῖ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένων, ἡ τοιαύτη λέγεται ἀκολούθησις. οὕτω γοῦν καὶ ἐν ἐκείνοις ἔλεγεν. ὅταν δὲ τὸ ἔστι τρίτον προσκατηγορῆται, ἤδη διχῶς λέγονται αἱ ἀντιθέσεις. ὥστε ἐκεῖ μὲν σαφῶς περὶ τῶν ἐκ τρίτου προσκατηγορουμένων εἶπε ταύτην τὴν ἀκολούθησιν. ἀναπέμπει δὲ ἡμᾶς ἐν ἐκείνοις εἰς τὰ ἐνταῦθα λεγόμενα. ἐν οἷς φησι ταῦτα μὲν οὖν ὥσπερ ἐν τοῖς ἀναλυτικοῖς λέγεται οὕτω τέτακται. δῆλον ὅτι κἀνταῦθα περὶ τῶν αὐτῶν διδάσκει ὡς δηλοῖ καὶ τὰ παραδείγματα. προτάσεις γὰρ εἴληφεν ἐκ τρίτου προσκατηγορουμένου. Ἰστέον δὲ ὅτι καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων χωρὶς

γ', ἀνάγκη τὸ β' παντὶ ὑπάρχειν. ὃ γὰρ ἀληθὲς εἰπεῖν ὅτι ἔστιν οὐ λευκόν, καὶ ὅτι οὐκ ἔστι λευκόν, ἀληθές. ἀδύνατον γὰρ ἅμα εἶναι λευκὸν καὶ εἶναι μὴ λευκόν. ἢ εἶναι ξύλον οὐ λευκὸν καὶ εἶναι ξύλον λευκόν. ὥστ' εἰ μὴ ἡ κατάφασις ἡ ἀπόφασις ὑπάρξει.

Προύκειτο μὲν δεῖξαι ὅτι τῆς ἁπλῆς καταφάσεως οὐκ ἔστιν ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις ὡς χρησιμεύοντος ἡμῖν τούτου εἰς τὰς τῶν συλλογισμῶν ἀναλύσεις. ἵνα μὴ καταφατικὸν ἐκ μεταθέσεως πρόβλημα ἀχθέν τις ἀποφατικὸν εἶναι, εἰς ἀποφατικὸν ἀναλύῃ συλλογισμόν. παραθῶμεν. τοῦτο μὲν οὖν τὸ προκείμενον ἦν τῷ ἀριστοτέλει. εἶτα πρὸς τὴν τούτου δεῖξιν ἔλεγε τὸ αὐτὸν δύνασθαι βαδίζειν καὶ μὴ βαδίζειν. καὶ ἐπίστασθαι τοῦ ἀγαθοῦ εἶναι καὶ τοῦ μὴ ἀγαθοῦ. ὧν αἱ μὲν ἦσαν ἁπλαῖ καταφάσεις. αἱ δὲ ἐκ μεταθέσεως. καὶ ὅτι οὐ ταυτόν ἐστι τὸ μὴ ἐπίστασθαι τὸ ἀγαθόν. καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν. ὧν ἡ μὲν ἁπλῆ ἐστιν ἀπόφασις. ἡ δὲ κατάφασις ἐκ μεταθέσεως. ἐπεὶ οὖν ὅλως ἐμνήσθη τινὰς τὸ ταυτὸν δυναμένας τῶν ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως καὶ τινὰς οὐ ταυτόν. διὰ τοῦτο βούλεται μεταξὺ περὶ τῆς ἀκολουθίας τῶν ἁπλῶν προτάσεων, καὶ τῶν ἐκ μεταθέσεως ἡμᾶς διδάξαι. καὶ αὐτὸς ἐν τῷ περὶ ἑρμηνείας ἠνίξατο περὶ τῆς ἀκολουθίας αὐτῶν. ταῦτα σαφῶς ἐνταῦθα διδάσκει. καὶ λέγει ἵνα συντόμως εἴπω. ὅτι ἀντιστρόφως ἔχουσι κατὰ τὴν ἀκολούθησιν αἱ ἁπλαῖ καὶ ἐκ μεταθέσεως. τῇ μὲν γὰρ ἁπλῇ καταφάσει, ἕπεται ἡ ἐκ μεταθέσεως ἀπόφασις. καὶ ἀνάπαλιν τῇ ἐκ μεταθέσει καταφάσει, ἡ ἁπλῆ ἀπόφασις. καὶ ἁπλῶς ταῖς μὲν καταφάσεσιν αἱ ἀποφάσεις ἕπονται, οὐ μὴν καὶ ἀνάπαλιν αἱ καταφάσεις ταῖς ἀποφάσεσιν. ἐπὶ πλέον γάρ εἰσιν αἱ ἀποφάσεις τῶν καταφάσεων. ἵνα οὖν τοῦτο δείξῃ, ἐκτίθεται αὐτὰς ἐν διαγράμματι. τὴν μὲν ἁπλῆν κατάφασιν. ἐφ' ἧς τὸ α'. οἷον τὴν λέγουσαν ἔστι ξύλον λευκόν. ταύτης ἀπόφασις τὸ β'. οὐκ ἔστι ξύλον λευκόν. εἶτα ὑπὸ μὲν τὸ α', τὴν ἐκ μεταθέσεως κατάφασιν. ἐφ' ἧς τὸ γ'. ἔστι ξύλον οὐ λευκόν. ὑπὸ δὲ τὸ α' τὴν ἐκ μεταθέσεως ἀπόφασιν. ἐφ' ἧς τὸ δ'. οὐκ ἔστι ξύλον οὐ λευκόν.

ἁπλῆ κατάφασις.	ἔστι ξύλον λευκόν.	α'	οὐκ ἔστι ξύλον λευκόν.	β'	ἁπλῆ ἀπόφασις.
ἐκ μεταθέσεως ἀπόφασις.	οὐκ ἔστι ξύλον οὐ λευκόν.	δ'	ἔστι ξύλον λευκόν.	γ'	ἐκ μεταθέσεως κατάφασις.

Τούτων οὕτως ἐχόντων. ἐπειδὴ ἐπὶ παντὸς καὶ ὄντος καὶ μὴ ὄντος, ἢ ἡ κατάφασις ἀληθεύει ἢ ἡ ἀπόφασις αἱ ἀντιφατικῶς ἀντικείμεναι. ἀντιφατικῶς δὲ ἀντίκειται τὸ α' καὶ τὸ β'. καὶ ἔτι τὸ γ' καὶ τὸ δ'. καὶ ἐπὶ παντὸς ἄρα ἢ τὸ α' ἢ τὸ β'. καὶ ἢ τὸ γ' ἢ τὸ δ'. ἐπεὶ οὖν τῷ α' ἀδύνατον ὑπάρξαι τὸ γ'. ἀδύνατον γὰρ τὸ αὐτὸ εἶναι λευκὸν καὶ εἶναι μὴ λευκόν, τὸ δ' ἄρα ὑπάρξει τῷ α'. ὃ γάρ ἐστι ξύλον λευκόν, τοῦτο οὐκ ἔστι ξύλον οὐ λευκόν. ὥστε ὃ ἂν ᾖ α', τοῦτο πάντως ἔσται καὶ δ'. τῇ ἄρα ἁπλῇ καταφάσει τῷ α' ἡ ἐκ μεταθέσεως ἀπόφασις ἕπεται ἥτις ἐστὶ τὸ δ'. οὐ μὴν ἀνάπαλιν τῷ δ' ἕψεται τὸ α'. ἐπὶ πλέον γάρ ἐστι τὸ δ' τοῦ α'. τὸ γὰρ οὐκ ἔστι ξύλον οὐ λευκὸν ἀληθεύει κἂν μὴ ὅλως ᾖ ξύλον. καὶ γὰρ ἡ ψυχὴ οὐκ ἔστι ξύλον οὐ λευκόν. καὶ τὸ μὴ ὄν, οὐκ ἔστι ξύλον οὐ λευκόν. ὅτε δ' ἂν ᾖ ξύλον λευκόν, πάντως καὶ ξύλον ἐστι. οὐκ ἄρα τῇ ἐκ μεταθέσεως ἀποφάσει ἥτις ἦν ἐφ' ἧς τὸ δ'. ἕπεται ἡ ἁπλῆ κατάφασις. ἐφ' ἧς τὸ α'. διὰ τὸ ἐπὶ πλέον εἶναι τὴν ἀπόφασιν τὴν ἐκ μεταθέσεως. τῆς ἁπλῆς καταφάσεως. ὥσπερ δὲ τῇ ἁπλῇ καταφάσει ἠκολούθησεν ἡ ἐκ μεταθέσεως ἀπόφασις. οὕτω κατὰ τὸ ἐναντίον τῇ ἐκ μεταθέσεως καταφάσει, ἕπεται ἡ ἁπλῆ ἀπόφασις. καὶ οὐκ ἀντιστρέφει. παντὶ γὰρ ἐφ' οὗ τὸ γ'. πάντως ἐπὶ τούτου καὶ τὸ β'. οὐ μὴν ἐφ' οὗ τὸ β'. πάντως καὶ τὸ γ'. διὰ τὸ ἐπὶ πλέον εἶναι τὸ β' τοῦ γ'. ὅτι οὖν ἐφ' οὗ τὸ γ' πάντως, ἐπὶ τούτου καὶ τὸ β' τῷ αὐτῷ τρόπῳ δείκνυσιν. εἰ γὰρ μὴ τὸ β', ἀνάγκη πάντως τὸ α'. ἐπὶ παντὸς γὰρ ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις. ἀλλ' ἀδύνατον. εἰ γάρ ἐστι ξύλον οὐ λευκόν. ἀδύνατον τοῦτο ξύλον εἶναι λευκόν. ὥστε τὸ ἀντικείμενον ἀνάγκη τὸ οὐκ ἔστι ξύλον λευκόν. ὅτι δ' ἐστιν ἀληθές. ὃ γὰρ ἂν ᾖ ξύλον οὐ λευκόν, τοῦτο οὐκ ἔστι ξύλον λευκόν. οὐκέτι μέντοι εἴ τι οὐκ ἔστι ξύλον λευκόν, τοῦτο ἔσται ξύλον οὐ λευκόν. καὶ γὰρ τὰ μὴ ὄντα ξύλα οἷον ψυχὴ ἄγγελος. καὶ ὅτι τὸ μὴ ὄν, ἀληθὲς εἰπεῖν ὅτι οὐκ ἔστι ξύλα λευκά. οὐκέτι μέντοι ἀληθὲς τὸ εἰπεῖν ἔστι ξύλον οὐ λευκόν.

ΤΩ δὲ β' τὸ γ' οὐκ ἀεί. ὃ γὰρ ὅλως μὴ ξύλον ἐστίν, οὐδὲ ξύλον ἔσται, οὐ λευκόν.

Ἑπόμενον γὰρ ὅτι ἡ ἀπόφασις, καὶ ἐπὶ τὰ μὴ ὄντα χωρεῖ. τὸ γὰρ οὐκ ἔστι ξύλον λευκόν, φέρεται καὶ ἐπὶ ψυχῆς. καὶ ἐπὶ μὴ ὄντος. εἰ οὖν οὐκ ἔστι ξύλον ἡ ψυχὴ ἢ τὸ μὴ ὄν, οὐδὲ ξύλον οὐ λευκὸν ἔσται. καλῶς δὲ τὸ οὐκ ἀεί. ἐνδέχεται γὰρ ἐπί τινων ἐφ' ὧν ὑπάρχει τὸ γ'. λέγω δὲ τῶν οὐ λευκῶν ξύλων. ἐπὶ γάρ τις ἔβενος, ἀληθὲς εἰπεῖν ὅτι οὐκ ἔστιν ξύλον λευκόν. ὥστε ἀληθὲς εἰπεῖν ὅτι οὐκ ἔστι ξύλον λευκόν. ὥστε ἀληθὲς καὶ ὅτι ἔστι ξύλον οὐ λευκόν.

ἈΝΑΠΑΛΙΝ τοίνυν ᾧ τὸ α', καὶ τὸ δ' παντί. ἢ γὰρ τὸ γ', ἢ τὸ δ'. ἐπεὶ δ' οὐχ οἷόν τε ἅμα εἶναι μὴ λευκὸν καὶ εἶναι λευκόν, τὸ δ' ὑπάρξει. κατὰ γὰρ τοῦ ὄντος λευκοῦ, ἀληθὲς εἰπεῖν ὅτι οὐκ ἔστιν οὐ λευκόν. κατὰ δὲ τοῦ δ' οὐ παντὸς τὸ α'. κατὰ γὰρ τοῦ ὅλως μὴ ὄντος ξύλου, οὐκ ἀληθὲς τὸ α' εἰπεῖν, ὡς ἔστι ξύλον λευκόν.

ΩΣΠΕΡ οὐδ᾽ οὐ ταυτόν ἐστι τὸ μὴ ἐπίστασθαι τὸ ἀγαθόν, καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν. οὐδὲ εἶναι μὴ ἀγαθὸν καὶ μὴ εἶναι ἀγαθόν, ταυτόν. τῶν γὰρ ἀνάλογον ἂν θάτερα ᾖ ἕτερα, καὶ θάτερα.

Δ Ἐπεὶ μὲν γὰρ τὴν ὑπόθεσιν τὴν λέγουσαν τῆς ἁπλῆς ἀποφάσεως ἀπόφασιν εἶναι τὴν ἐκ μεταθέσεως κατάφασιν. ἠκολούθει συναληθεύειν τὴν ἁπλῆν ἀπόφασιν τῇ ἐκ μεταθέσεως καταφάσει. τοῦτο δὲ ἄτοπον ἔδειξε πρὸς τὸ τὴν ἀντίφασιν συναληθεύειν ἅμα ἐπὶ τοῦ αὐτοῦ. ἡ δὲ ὑποθέσει ἀδύνατον ἠκολούθει, ψευδής ἐστιν αὕτη. ψευδὴς ἄρα ἡ λέγουσα ὑπόθεσις ταυτὶν εἶναι τὴν ἁπλῆν ἀπόφασιν τῇ ἐκ μεταθέσεως καταφάσει. αὕτη δὲ ἡ ὑπόθεσις ἠκολούθει τῇ λεγούσῃ ἀπόφασιν εἶναι τῆς ἁπλῆς καταφάσεως, τὴν ἐκ μεταθέσεως κατάφασιν. ψευδὴς ἄρα αὕτη ἡ ὑπόθεσις, ὅπερ καὶ δεῖξαι προέκειτο. ὁ μὲν οὖν τρόπος ἀγωγὴ τῆς συλλογισμὸν ἐστιν αὕτη. ἐπειδὴ δὲ ὅτι ἔλεγον ἐκ τῶν μεταφόρων προτάσεων ἤλεγχεν ὁ ἀριστοτέλης. ὅτι οὐδὲ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένων τῶν ἁπλῶν καταφάσεων ἀποφάσεις εἰσὶν αἱ ἐκ μεταθέσεως καταφάσεις. ἀλλὰ δῆλος ἦν τινὰ νομίσαι μὴ ὁμοίως ἔχειν ἐπὶ τε τῶν τὸ ἔστιν ἐχουσῶν προτάσεων καὶ ἐπὶ τῶν μὴ ἐχουσῶν. καὶ διὰ τοῦτο τὸν τρόπον ἀνέλυσεν. ὥς τε τὴν μεταχείρισιν καὶ τὸ ἔστι. διὰ τοῦτο αὐτό τε τοῦτο καὶ νῦν συμπεραίνεται. ὅτι δ᾽ ὡς ἔχει ἡ οὐκ ἐπίσταται τὸ ἀγαθόν, πρὸς τὴν ἐπίσταται τὸ μὴ ἀγαθόν, οὕτως ἔχει ἡ λέγουσα, οὐκ ἔστιν ἀγαθόν. καὶ ἔστιν οὐκ ἀγαθὸν δέδεικται δὲ ὅτι οὐκ ἔστι ταυτόν. τὸ α τῷ β. οὐδ᾽ ἄρα τὸ γ τῷ δ, ταυτὶν ἔσται. εἰ γὰρ τοῖς ἀνάλογον ὡς ἔχει τὸ α πρὸς τῷ β, οὕτω καὶ τὸ γ ἔχει πρὸς τῷ δ. ἐκείνων οὖν τῶν ἄλλων οὐκ ὄντων, οὐδὲ ταῦτα ἂν εἴη τὰ ἄλλα.

ΟΥΔΕ τὸ εἶναι μὴ ἴσον καὶ τὸ μὴ εἶναι ἴσον. τῷ μὲν γὰρ, ὑπόκειταί τι, τῷ ὄντι μὴ ἴσῳ. καὶ τοῦτ᾽ ἔστι τὸ ἄνισον. τῷ δὲ, οὐδέν. διόπερ ἴσον μὲν ἢ ἄνισον, οὐ πᾶν ὑπάρχει. ἴσον δὲ, ἢ οὐκ ἴσον, πᾶν.

Ε Τὸ σαφέστερον ὑπόδειγμα μετάγει τὸν λόγον, δεικνὺς ὅτι οὐκ ἔστι ταυτὸν ἡ ἁπλῆ ἀπόφασις τῇ ἐκ μεταθέσεως καταφάσει. τὸ γὰρ οὐκ ἔστιν ἴσον, οὐκ ἂν εἴη ταυτὸν τῷ ἔστιν οὐκ ἴσον. ὁ γὰρ λέγων ἔστιν οὐκ ἴσον, καταφάσκει τινὶ ὑπάρχειν τὸ μὴ ἴσον. τουτέστι τὸ ἄνισον. ὁ δὲ λέγων οὐκ ἔστιν ἴσον, ἀποφάσκει μόνον τὸ ἴσον, καταφάσκει δὲ οὐδέν. διότι τὸ μὲν ἔστιν ἴσον. καὶ οὐκ ἔστιν ἴσον, ἐπὶ πάντων τῶν ὄντων καὶ μὴ ὄντων διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. τὸ δὲ ἴσον καὶ ἄνισον οὐκέτι. οὐ γὰρ πᾶν ἢ ἴσον ἐστὶν ἢ, ἄνισον. ὃ γὰρ μὴ ἔστι ποσὸν, οὔτε ἴσον ἐστὶν, οὔτε ἄνισον. ταυτὸν δὲ ἐστι τὸ ἔστιν οὐκ ἴσον τῷ ἔστιν ἄνισον.

οὐκ ἐπίσταται τὸ ἀγαθόν.	ἐπίσταται τὸ μὴ ἀγαθόν.
οὐκ ἔστιν ἀγαθόν.	ἔστιν οὐκ ἀγαθόν.
οὐκ ἔστιν ἴσον.	ἔστιν οὐκ ἴσον.
οὐκ ἔστι ξύλον λευκόν.	ἔστι ξύλον οὐ λευκόν.

ΕΤΙ τὸ ἔστιν οὐ λευκὸν ξύλον. καὶ τὸ οὐκ ἔστι λευκὸν ξύλον, οὐχ ἅμα ὑπάρχει. εἰ γάρ ἐστι ξύλον οὐ λευκὸν, ἔσται ξύλον. τὸ δὲ μὴ ὂν λευκὸν ξύλον, οὐκ ἀνάγκη εἶναι ξύλον.

Γ Πάλιν ἐπὶ σαφέστερον μετῆλθεν. ἐν μὲν γὰρ τοῖς ἐπάνω, ἄνευ τινὸς ὑποκειμένου λέγων τὸ μὴ εἶναι ἀγαθόν. ἢ ἔστιν οὐκ ἀγαθόν. καὶ ἔστιν οὐκ ἴσον. καὶ οὐκ ἔστιν ἴσον. οὐ προστιθεὶς δὲ τίποτε ἐστὶν ὃ ταῦτα λέγει εἶναι καὶ μὴ εἶναι, ἀσαφέστερον ἐποίει τὸν λόγον. νῦν δὲ λέγων οὐκ ἔστι ξύλον λευκόν. καὶ ἔστι ξύλον οὐ λευκὸν τῷ προσθεῖναι καὶ τὸ ὑποκείμενον, σαφὲς ἐποίησε καὶ τὸ συνώνυμον τῆς τε ἀποφάσεως τῆς ἁπλῆς καὶ τῆς ἐκ μεταθέσεως καταφάσεως. ὁ μὲν γὰρ λέγων ἔστι ξύλον οὐ λευκόν. λέγει εἶναί τι ξύλον. τούτῳ δὲ κατηγορεῖ τὸ οὐ λευκόν. ὁ δὲ λέγων οὐκ ἔστι ξύλον λευκὸν, δύναται μὴ μόνον τὸ λευκὸν, ἀλλὰ καὶ τὸ ξύλον ἀποφάσκειν. ἀληθὲς γὰρ εἰπεῖν ὅτι ἡ ψυχὴ καὶ τὸ μὴ ὂν οὐκ ἔστι ξύλον λευκόν. οὐκ ἄρα ταυτά ἐστι τὰ ἄλλα.

ΩΣΤΕ φανερὸν ὅτι οὐκ ἔστι τοῦ ἔστιν ἀγαθὸν, τὸ ἔστιν οὐκ ἀγαθὸν, ἀπόφασις.

Τ Ὁ συμπέρασμα ἐπήγαγεν δι᾽ ὃ ταῦτα πάντα εἶπεν. ὅτι οὐκ ἔστι τῆς ἁπλῆς καταφάσεως ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις. πῶς δὲ τοῦτο συνῆκται πολλάκις εἶπον.

ΕΙ ΟΥΝ κατὰ παντὸς ἑνὸς ἢ ἡ φάσις ἢ ἀπόφασις ἀληθὴς, εἰ μή ἐστιν ἀπόφασις, δῆλον ὡς κατάφασις ἄν πως εἴη. καταφάσεως δὲ πάσης ἀπόφασίς ἐστι. καὶ ταύτης ἄρα, τὸ οὐκ ἔστιν οὐκ ἀγαθόν.

Δ Δείξας ὅτι ἡ ἐκ μεταθέσεως κατάφασις οὐκ ἔστιν ἀπόφασις. ἀναγκαίως συνάγει ὅτι κατάφασίς ἐστιν. πάντα γὰρ ἀποφαντικὸν λόγον ἀνάγκη ἢ κατάφασιν εἶναι ἢ ἀπόφασιν. ὃ οὖν μή ἐστιν ἀπόφασις κατάφασις ἂν εἴη. καὶ καλῶς προσέθηκε τὸ πῶς, ὅτι οὐχ ἁπλῆ ἐστι κατάφασις ἀλλ᾽ ἐκ μεταθέσεως. πάσης δὲ καταφάσεως ἐστιν τὶς ἀπόφασις. καὶ τῆς ἄρα λεγούσης ἔστιν οὐκ ἀγαθὸν ἥτις δέδεικται κατάφασις οὖσα, ἀπόφασις ἔσται ἡ οὐκ ἔστιν οὐκ ἀγαθόν.

ΕΧΕΙ δὲ τάξιν τήνδε πρὸς ἄλληλα. ἔστω τὸ μὲν εἶναι ἀγαθὸν, ἐφ᾽ οὗ α. τὸ δὲ μὴ εἶναι ἀγαθὸν, ἐφ᾽ οὗ τὸ β. τὸ δὲ εἶναι μὴ ἀγαθὸν, ἐφ᾽ οὗ γ ὑπὸ τὸ β. τὸ δὲ μὴ εἶναι μὴ ἀγαθὸν, ἐφ᾽ οὗ δ ὑπὸ τὸ α, παντὶ δὴ ὑπάρξει ἢ τὸ α, ἢ τὸ β. καὶ οὐδενὶ τῷ αὐτῷ καὶ ἢ τὸ γ ἢ τὸ δ οὐδενὶ τῷ αὐτῷ. καὶ ᾧ τὸ

γ, ἀνάγκη

πλῆς τε καὶ ἐκμεταθέσεως ἃς ἤδη ἔφαμεν προσκειμένας. καὶ δείξας ὅτι ἐπ᾽ ἐκείνων οὐκ ἔστι τῆς ἁπλῆς καταφάσεως ἀπόφασις ἡ ἐκ μεταθέσεως κατάφασις. οὕτω τὸ ἀνάλογον καὶ ἐπὶ τῶν προκειμένων δείκνυσι.

ΤΟ ΓΑΡ ἐπίστασθαι τἀγαθὸν ἢ ἔστιν ἐπιστάμενος τὸ ἀγαθόν, οὐδὲν διαφέρει. οὐδὲ τὸ δύναται βαδίζειν, ἢ ἔστι δυνάμενος βαδίζειν. ὥστε καὶ τὰ ἀντικείμενα οὐ δύναται βαδίζειν, οὐκ ἔστι δυνάμενος βαδίζειν.

B ἐπειδὴ τὸ μὲν ἔστιν λευκὸν καὶ ἔστιν οὐ λευκόν, περὶ ὧν ἡ σκέψις τὸ ἔστιν εἶχε ῥῆμα. τὸ δὲ δύναται βαδίζειν καὶ δύναται μὴ βαδίζειν. καὶ ἐπίσταται τὸ ἀγαθόν. καὶ ἐπίσταται τὸ μὴ ἀγαθόν, οὐκ εἶχον τὸ ἔστιν. ἐκ δὲ τῆς πρὸς ταῦτα ἀναλογίας δεῖξαι βούλεται ὅτι οὐκ ἔστιν τῆς ἁπλῆς καταφάσεως τῆς ἔστιν λευκὸν ἀπόφασις, ἡ ἐκ μεταθέσεως κατάφασις, ἡ ἔστιν οὐ λευκόν, ἵνα μή τις νομίσῃ ὅτι διὰ τὸ μὴ προσκεῖσθαι τὸ ἔστι, τούτου ἕνεκεν παραλογίζεται. τούτου χάριν βούλεται δεῖξαι ὅτι ἰσοδυναμεῖ τῷ φάσκειν τὸ ἔστι. τὸ γὰρ λέγειν φησὶν ἐπίσταται τὸ ἀγαθόν, ταυτόν ἐστι τῷ λέγειν ἔστιν ἐπιστάμενος τὸ ἀγαθόν. ὁμοίως καὶ τὸ δύναται βαδίζειν, τῷ ἔστιν δυνάμενος βαδίζειν. τὸ γὰρ ῥῆμα εἰς μετοχὴν καὶ τὸ ἔστιν ἀναλύεται. ὥσπερ καὶ τῷ σωκράτης περιπατεῖ, ταυτόν ἐστι τῷ σωκράτης περιπατῶν ἐστι. ὥστε φησὶ καὶ τὰ ἀντικείμενα τὰ αὐτὰ ἔσται. τουτέστιν αἱ ἀποφάσεις αὐτῶν. λέγω δὲ τὸ οὐ δύναται βαδίζειν, τῷ οὐκ ἔστι δυνάμενος βαδίζειν. τὸ γὰρ δύναται ῥῆμα, ἀνελύθη εἰς τὸ ἔστι καὶ τὴν μετοχὴν τὴν δυνάμενος. ὡσαύτως καὶ τὸ οὐκ ἐπίσταται τὸ ἀγαθόν, ταυτὸν ἔσται τὸ οὐκ ἔστι ἐπιστάμενος τὸ ἀγαθόν.

ΕΙ οὖν τὸ οὐκ ἔστι δυνάμενος βαδίζειν ταυτὸ σημαίνει καὶ ἔστι δυνάμενος οὐ βαδίζειν ἢ μὴ βαδίζειν. ταῦτά γε ἅμα ὑπάρξει τῷ αὐτῷ. ὁ γὰρ αὐτὸς δύναται καὶ βαδίζειν καὶ μὴ βαδίζειν. καὶ ἐπιστήμων τοῦ ἀγαθοῦ καὶ τοῦ μὴ ἀγαθοῦ ἐστι.

Δ είξας ὅτι οὐδὲν διαφέρει τὸ λέγειν δύναται βαδίζειν καὶ ἔστιν δυνάμενος μὴ βαδίζειν. καὶ ἐπὶ τῶν ἀποφάσεων ὁμοίως. τουτέστιν ἢ μεταξὺ ὅπου μόνον προφέρεσθαι τὰς προτάσεις. ἢ ἀναλύειν τοὺς τρόπους εἰς μετοχὴν καὶ τὸ ἔστιν ῥῆμα. δείκνυσι πάλιν ὅτι οὐκ ἔστιν τῆς ἁπλῆς καταφάσεως ἀπόφασις, ἡ ἐκ μεταθέσεως κατάφασις. δείκνυσι δὲ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. τίθεται γὰρ εἶναι ταυτὸν τὴν ἐκ μεταθέσεως κατάφασιν, τῇ ἁπλῇ ἀποφάσει. καὶ συλλογίζεται τὸ ἑπόμενον ἄτοπον. εἰ γὰρ τῆς λεγούσης ἔστι δυνάμενος βαδίζειν, ἀπόφασίς ἐστιν ἡ λέγουσα ἔστιν δυνάμενος οὐ βαδίζειν. ἐπειδὴ ὁμολογουμένως τῆς ἔστιν δυνάμενος βαδίζειν, ἀπόφασις ἡ λέγουσα οὐκ ἔστιν δυνάμενος βαδίζειν ἁπλῆ οὖσα καὶ αὐτή. ἔστιν δὲ κατὰ τὴν ὑπόθεσιν καὶ ἡ ἔστιν δυνάμενος μὴ βαδίζειν τῆς αὐτῆς ἀπόφασις. ταυτὸν ἄρα σημαίνουσιν ἄμφω ἥ τε λέγουσα οὐκ ἔστιν δυνάμενος βαδίζειν. καὶ ἡ ἔστιν δυνάμενος μὴ βαδίζειν. ἄμφω γὰρ μιᾶς καὶ τῆς αὐτῆς καταφάσεως εἰσιν ἀπόφασις, τῆς ἔστιν δυνάμενος βαδίζειν. εἰ οὖν τὸ αὐτὸ σημαίνουσιν. ἐφ᾽ ὧν δήπου μία ἀληθής, ἐπὶ τούτων τὴν λοιπὴν ἀληθεύειν ἀνάγκη. ἀλλ᾽ ἐπειδὴ εἰδέναι ἔστιν εἶναι καὶ τὸν αὐτόν, δύνασθαι βαδίζειν καὶ δύνασθαι μὴ βαδίζειν. μᾶλλον δὲ καὶ ἀναγκαῖον. ὃς γὰρ μὴ βαδίζων δύναται βαδίζειν. δῆλον δήπου ὅτι καὶ μὴ βαδίζειν δύναται. οὐδὲ γὰρ βαδίζει τότε ὅτε λέγει δύναται βαδίζειν. εἰ οὖν ἀμφότεραι αἱ προτάσεις ἐπὶ τοῦ αὐτοῦ συναληθεύουσιν, ἥ τε ἁπλῆ ἡ δύναται βαδίζειν καὶ ἡ ἐκ μεταθέσεως ἡ δύναται μὴ βαδίζειν. ἀλλὰ δὴ ἡ δύναται μὴ βαδίζειν ταυτὸν ἐσήμαινεν κατὰ τὴν ὑπόθεσιν τῇ οὐ δύναται βαδίζειν. ἄμφω γὰρ ἀποφάσεις τῆς δύναται βαδίζειν. ἡ μὲν κατὰ τὴν ἀλήθειαν. ἡ δὲ κατὰ τὴν ὑπόθεσιν. καὶ ἡ ἄρα δύναται βαδίζειν, ταυτὸν σημαίνει τῇ οὐ δύναται βαδίζειν. ἐπὶ τοῦ αὐτοῦ ἄρα ἡ ἀντίφασις συναληθεύει. ὅπερ ἐστὶν ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησεν ἐκ τοῦ ὑποθέσθαι τὴν ἔστι δυνάμενος μὴ βαδίζειν ἀπόφασιν εἶναι τῆς ἔστιν δυνάμενος βαδίζειν. ἀναγκαίως μὲν γὰρ εἰς ταυτὸν συνήγετο τῇ οὐκ ἔστιν δυνάμενος βαδίζειν. ἡ ἔστιν δυνάμενος μὴ βαδίζειν. ἀλλὰ ἡ ἔστιν δυνάμενος βαδίζειν συναληθεύει τῇ ἔστι δυνάμενος μὴ βαδίζειν. καὶ ἡ ἄρα οὐκ ἔστιν δυνάμενος βαδίζειν, συναληθεύσει τῇ ἔστιν δυνάμενος βαδίζειν, ἡ ἀντίφασις. ὅπερ ἐστὶν ἀδύνατον.

Εἰ οὖν τὸ οὐκ ἔστιν δυνάμενος βαδίζειν. τὸ αὐτὸ σημαίνει τῷ ἔστιν δυνάμενος μὴ βαδίζειν. Οὐχ ὡς αὐτῷ δοκεῖ, ἀλλὰ κατὰ τὴν ὑπόθεσιν. εἰ γὰρ τὸ ἔστιν δυνάμενος μὴ βαδίζειν ἀπόφασις ἐστίν, τῆς ἔστιν δυνάμενος βαδίζειν. τῆς δὲ ἔστιν δυνάμενος βαδίζειν, ἀπόφασις ἐστὶν ἡ οὐκ ἔστιν δυνάμενος βαδίζειν. ταυτὸν ἄρα σημαίνει ἡ ἔστιν δυνάμενος μὴ βαδίζειν. τῇ οὐκ ἔστιν δυνάμενος βαδίζειν. τῆς γὰρ αὐτοῦ ἄμφω ἀποφάσεις. ὥστε φησὶ καὶ τῷ αὐτῷ ἅμα ὑπάρξει. εἰ γὰρ τὰ αὐτά ἐστι. καὶ ἅμα ὑπάρξει τῷ αὐτῷ. δύναται δὲ τὸ ταυτά γε ὑπάρξει ἅμα τῷ αὐτῷ πρὸς τὰ ἐφεξῆς λέγεσθαι. ἐπάγει φησὶν ὁ γὰρ αὐτὸς δύναται βαδίζειν καὶ μὴ βαδίζειν. ὁ γὰρ αἰτιολογικὸς σύνδεσμος, ὁ γάρ, τοῦτο βούλεται.

ΦΑΣΙΣ δὲ καὶ ἀπόφασις, οὐχ ὑπάρχουσιν αἱ ἀντικείμεναι ἅμα τῷ αὐτῷ.

T ουτέστιν ἀδύνατον τὴν ἀντίφασιν ἐπὶ τοῦ αὐτοῦ συναληθεύειν. ἐλλιπῶς δὲ εἴρηται ὁ συλλογισμός. ἔδει γὰρ εἰπεῖν ἐπεὶ ἂν φάσεις δὲ καὶ ἀποφάσεις αἱ ἀντικείμεναι οὐχ ὑπάρχουσιν ἅμα τῷ αὐτῷ. συναγαγεῖν τὸ ἄτοπον ὅτι ὁ αὐτὸς ἄρα δύναται βαδίζειν. καὶ οὐ δύναται βαδίζειν. ἀντὶ ἐπαγαγεῖν φάσεις δὲ καὶ ἀποφάσεις αἱ ἀντικείμεναι οὐχ ὑπάρχουσιν ἅμα τῷ αὐτῷ. πῶς δὲ συνάγεται τὸ ἄτοπον εἴπομεν.

προτάσεις. καὶ ἡ αἰτία δήλη. ἐν ἀμφοτέροις γὰρ ἔχει ἐν τούτοις ὁ μέσος. ἐν μὲν γὰρ τῷ β΄. ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται. ἐν δὲ τῷ γ΄, ἀμφοτέροις ὑπόκειται. τὸ οὖν ἀμφοτέροις ὑποκείμενον, ἀδύνατον ἀμφοτέρων κατηγορηθῆναι μὴ ἀμφοτέρων ἀντιστραφεισῶν τῶν προτάσεων. ὁμοίως καὶ ὃ τὸ ἀμφοτέρων κατηγορούμενον, δύνατον ἀμφοτέροις ὑποκεῖσθαι.

ΦΑΝΕΡΟΝ οὖν ὅτι ἐν αὐτοῖς συλλογισμοὶ οὐκ ἀναλύονται ἐν τούτοις τοῖς σχήμασιν. ἐπεὶ οὐδ' εἰς τὸ πρῶτον ἀνελύοντο. καὶ ὅτι εἰς τὸ πρῶτον σχῆμα τῶν συλλογισμῶν ἀναγομένων, οὗτοι μόνοι διὰ τοῦ ἀδυνάτου περαίνονται. πῶς μὲν οὖν δεῖ τοὺς συλλογισμοὺς ἀνάγειν, καὶ ὅτι ἀναλύεται τὰ σχήματα εἰς ἄλληλα, φανερὸν ἐκ τῶν εἰρημένων.

Ἐν τούτοις τῷ τε τρίτῳ καὶ τῷ δευτέρῳ συλλογισμοῖς δὲ ὁ τέταρτος τρόπος τοῦ δευτέρου. καὶ ὁ πέμπτος τοῦ τρίτου. οὐδέτερος γὰρ τούτων εἰς οὐδέτερον τῶν λοιπῶν σχημάτων, ἀναλυθῆναι δύναται. δι' ὅπερ καὶ μόνοι δι' ἀδυνάτου ἐδείκνυντο συλλογιστικοὶ ὄντες. τῷ μὴ δύνασθαι ἀναλύεσθαι εἰς τὸ πρῶτον. τῶν ἄλλων πάντων τρόπων τῇ εἰς τὸ πρῶτον ἀναγωγῇ περαίνονται τὸ ἀναγκαῖον.

Διαφέρει δέ τι ἐν τῷ κατασκευάζειν ἢ ἀνασκευάζειν τὸ ὑπολαμβάνειν, ἢ ταυτὸν ἢ ἕτερον σημαίνειν τὸ, μὴ εἶναι τόδε. καὶ εἶναι μὴ τόδε, οἷον τὸ μὴ εἶναι λευκὸν, τῷ εἶναι μὴ λευκόν. οὐ γὰρ ταυτὸν σημαίνει. οὐδ' ἔστιν ἀπόφασις τοῦ εἶναι λευκὸν, τὸ εἶναι μὴ λευκὸν, ἀλλὰ τὸ μὴ εἶναι λευκόν.

Διὰ τῶν νῦν παραδιδομένων τεχνῶσαι τὴν ἡμετέραν διάνοιαν ὁ φιλόσοφος βούλεται. ἵνα μὴ ἀπατώμεθα. οἰόμεθα τὰς ἐκ μεταθέσεως καταφάσεις, ἀποφάσεις εἶναι. πολλάκις γάρ τινος κατασκευάζοντος ὅτι τόδε οὐ λευκόν ἐστι. εἰληφέναι αὐτῆς ἀποφατικὴν εἶναι. τὸ τοιοῦτον πρόβλημα. εἶτα ἀναλύειν πειρώμενος αὐτὸς ἑαυτῷ ἀπάτης ἔσται αἴτιος καὶ πλάνης. ζητῶν τὴν ἀποφατικὴν πρότασιν δι' ἧς τὸ τοιοῦτον συνῆκται πρόβλημα. οὐ δεῖ οὖν φησιν οἴεσθαι ὅτι ταυτόν ἐστι τὸ εἰπεῖν ὅτι οὐκ ἔστι λευκόν. καὶ ὅτι ἔστιν οὐ λευκόν. τῆς γὰρ καταφάσεως τῆς λεγούσης. ὅτι λευκόν ἐστιν. οὐκ ἔστιν ἀπόφασις ἡ λέγουσα οὐ λευκόν ἐστι. καὶ γὰρ αὕτη κατάφασίς ἐστιν, ἐκ μεταθέσεως. καὶ ὅτι τοῦτο ἀληθὲς, δείκνυσιν ἐξ ἀναλογίας τῆς πρὸς τὰς προτάσεις τὰς μετὰ τρόπου. ὡς γὰρ ἔχει φησὶ τὸ ἔστιν λευκὸν πρὸς τὸ ἔστιν οὐ λευκὸν, οὕτως ἔχει τὸ δύναται βαδίζειν πρὸς τὸ δύναται μὴ βαδίζειν. ὁ γὰρ τρόπος τῷ ἔστιν τρίτῳ προσκατηγορουμένῳ ἰσοδυναμεῖ καὶ ὁμοίως τάττεται. πάλιν ὡς ἔχει τὸ ἔστιν λευκὸν, πρὸς τὸ ἔστιν οὐ λευκόν. οὕτως ἔχει τὸ ἐπίσταται τὸ ἀγαθὸν πρὸς τὸ ἐπίσταται τὸ οὐκ ἀγαθόν. ἔστω οὖν τὸ μὲν ἔστιν λευκὸν α΄. τὸ δὲ ἔστιν οὐ λευκὸν β΄. τὸ δύναται βαδίζειν γ΄. τὸ οὐ δύναται οὐ βαδίζειν δ΄. τὸ ἐπίσταται τὸ ἀγαθὸν ε΄. τὸ ἐπίσταται τὸ οὐκ ἀγαθὸν ζ΄. εἰ οὖν οὕτως ἔχει τὸ α΄ πρὸς τὸ β΄. ὡς ἔχει τὸ γ΄ πρὸς τὸ δ΄. καὶ τὸ ε΄ πρὸς τὸ ζ΄. εἰ μὴ εἴη τὸ δ΄ τοῦ γ΄ ἀπόφασις. μηδὲ τὸ ζ τοῦ ε΄. οὐδ' ἄρα τοῦ α΄ τὸ β΄ ἀπόφασις ἔσται. α΄ ἔστιν λευκόν. β΄ ἐστὶν οὐ λευκόν. τὸ α΄ τὸ β΄ ἀποφαίνεσθαι οὐκ ἔστι. γ΄ δύναται βαδίζειν. δ΄ δύναται οὐ βαδίζειν. τοῦ δὲ δύναται βαδίζειν, τὸ δύναται οὐ βαδίζειν οὐκ ἔστιν ἀπόφασις. ε΄ ἐπίσταται τὸ ἀγαθὸν ζ΄ ἐπίσταται τὸ οὐκ ἀγαθόν. τοῦ οὖν δύναται βαδίζειν, οὐκ ἀπόφασις τὸ δύναται οὐ βαδίζειν. ἀμφότερα γὰρ συναληθεύει ἐπὶ τοῦ αὐτοῦ κατὰ τὸν αὐτὸν χρόνον. ὁ γὰρ αὐτὸς κατὰ τὸν αὐτὸν χρόνον δύναμιν ἔχει τοῦ βαδίζειν καὶ μὴ βαδίζειν. βαδίζειν μὲν γὰρ καὶ μὴ βαδίζειν κατὰ τὸν αὐτὸν χρόνον ἀδύνατον ὑπάρχειν. γὰρ καὶ μὴ ὑπάρχειν τὸ αὐτὸ κατὰ τὸν αὐτὸν χρόνον τῷ αὐτῷ ἀδύνατον. δύνασθαι μέντοι τὸν αὐτὸν τὰ ἀντικείμενα κατὰ τὸν αὐτὸν χρόνον ἐνδέχεται ἐπὶ τῆς ἐνδεχομένης ὕλης. τοιοῦτον γάρ ἐστι τὸ ἐνδεχόμενον. οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ, οὐδὲν ἀδύνατον ἀκολουθεῖ. εἰ τοίνυν τὸ μὲν γ΄ καὶ δ΄ ἅμα τῷ αὐτῷ ἐνδέχεται παρεῖναι. κατάφασιν δὲ καὶ ἀπόφασιν ἅμα τῷ αὐτῷ κατὰ τὸ αὐτὸ παρεῖναι τῶν ἀδυνάτων ἐστίν. οὐκ ἄρα ἐστὶ τοῦ γ΄ τὸ δ΄ ἀπόφασις. ὡς δὲ ἔχει τὸ α΄ πρὸς τὸ β΄. οὕτως ἔχει καὶ τὸ γ΄ πρὸς τὸ δ΄. οὐδὲ τοῦ β΄ ἄρα τὸ α΄ ἀπόφασίς ἐστι. λέγω δὴ τοῦ ἔστιν λευκὸν τὸ ἔστιν οὐ λευκόν. ὡσαύτως καὶ ἐπὶ τοῦ ἐπίσταται τὸ ἀγαθὸν, ἐπίσταται τὸ οὐκ ἀγαθόν. οὐ γάρ ἐστι τοῦ ἐπίσταται τὸ ἀγαθὸν ἀπόφασις, τὸ ἐπίσταται τὸ οὐκ ἀγαθόν. ἅμα γὰρ τῷ αὐτῷ παρεῖναι ἀμφότερα ἐνδέχεται. ὁ αὐτὸς γὰρ καὶ τὸ ἀγαθὸν ἐπίστασθαι δύναται καὶ τὸ οὐκ ἀγαθόν. ἐπειδὴ καὶ τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη. ὥστε εἰ μὴ ἔστι τὸ ε΄ τοῦ ζ ἀπόφασις, οὐδὲ τοῦ α΄ τὸ β΄ αὖ ἂν ἀπόφασις. οὐκ ἄρα τοῦ ἔστι λευκὸν, ἀπόφασίς ἐστι, τὸ ἔστιν οὐ λευκόν. ὅπερ ἔδει δεῖξαι. δέδεικται γὰρ ἐν τῷ περὶ ἑρμηνείας. ὅτι οὐκ ἄλλως ἀπόφασις γίνεται ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένων προτάσεων. εἰ μὴ τῷ ἔστιν τὸ ἀρνητικὸν συνταχθῇ μόριον. τοῦτο γάρ ἐστι τὸ τὴν κατάφασιν ἐργαζόμενον. ὅπερ εἰ μὴ ἡ ἄρνησις ἀνέλῃ οὐ γενήσεται ἀπόφασις. ὥσπερ καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων τὸν τρόπον. ἰσοδυναμεῖ γὰρ τῷ ἔστιν ὁ τρόπος, εἰ οὖν τῆς ἔστιν λευκὸν μὴ ἔστιν ἀπόφασις, ἔστιν οὐ λευκὸν, κατάφασις αὖ ἂν, καὶ αὐτὴ ἐκ μεταθέσεως. ἔστιν οὖν τῆς μὲν ἔστιν λευκὸν ἀπόφασις, ἡ οὐκ ἔστι λευκόν. τῆς δὲ ἔστιν οὐ λευκὸν, ἡ οὐκ ἔστιν λευκόν.

ΛΟΓΟΣ δὲ τούτου, ὅδε. ὁμοίως γὰρ ἔχει τὸ δύναται βαδίζειν, πρὸς τὸ δύναται οὐ βαδίζειν, τῷ ἔστι λευκὸν, πρὸς τὸ ἔστιν οὐ λευκόν. καὶ τὸ ἐπίσταται τἀγαθὸν πρὸς τὸ ἐπίσταται τὸ οὐκ ἀγαθόν.

Τοῦτ' ἔστιν ἀπόδειξις καὶ αἰτία. εἰ τα ἐπάγει τὴν εἰρημένην ἡμῖν ἀναλογίαν. ἐπειδὴ γὰρ ἐπὶ τῆς ἔστιν λευκόν. καὶ ἔστιν οὐ λευκόν. ἀσαφὴς ἦν ὁ λόγος, λαμβάνει μετὰ τρόπου ὁμοίως ἐχούσας καταφάσεις ἀν-

πλάς τι

γὰρ τὸ μὲν α΄ παντὶ τῷ β΄, τὸ δὲ β΄, τινὶ τῷ γ΄ ὁμοίως ἐπεὶ ἀντιστρέφει καὶ τὸ ἐν μέρει κατηγορικὸν ὑπάρξει τὸ γ΄ τινὶ τῷ β΄. τὸ δὲ α΄ παντὶ ὑπῆρχε τῷ β΄, ὥστε γίνεται τὸ γ΄ σχῆμα. καὶ εἰ στερητικὸς ὁ συλλογισμός, ὡσαύτως. ἀντιστρέφει γὰρ τὸ ἐν μέρει καταφατικόν. ὥστε τὸ μὲν α΄ οὐδενὶ τῷ β΄, τὸ δὲ γ΄, τινὶ ὑπάρξει. τῶν δὲ ἐν τῷ τελευταίῳ σχήματι συλλογισμῶν, εἷς μόνος οὐκ ἀναλύεται, εἰς τὸ α΄. ὅταν μὴ καθόλου τεθῇ τὸ στερητικόν, οἱ δὲ ἄλλοι πάντες ἀναλύονται. κατηγορεῖσθαι γὰρ παντὸς τοῦ γ΄ τὸ α΄, καὶ τὸ β΄ οὐκοῦν ἀντιστρέψει τὸ γ΄ πρὸς ἑκάτερον ἐπὶ μέρους, ὑπάρξει ἄρα τὸ α΄ τινὶ τῷ β΄. ὥστ᾽ ἔσται τὸ α΄ σχῆμα, εἰ τὸ μὲν α΄ παντὶ τῷ γ΄, τὸ δὲ γ΄ τινὶ τῷ β΄. καὶ εἰ τὸ μὲν α΄ παντὶ τῷ γ΄, τὸ δὲ β΄ τινὶ τῷ γ΄, ὁ αὐτὸς λόγος. ἀντιστρέφει γὰρ πρὸς τὸ β΄ τὸ γ΄.

Ἡ καθόλου καταφατική φησιν. αὕτη γάρ ἐστιν ἡ α΄ β΄. ἥτις μείζων ἦν. εἰ ὅλως καθὸ δύναται ἀντιστρέφεσθαι. ἀντιστρέφειν. λέγω δὲ πρὸς τὴν μερικὴν καταφατικήν. ὥστε τὸ β΄ τινὶ τῷ α΄ ὑπάρχειν. μερικὴ γενήσεται ἡ μείζων καὶ ἀσυλλόγιστος ὁ τρόπος.

ΕΑΝ δὲ τὸ μὲν β΄ παντὶ τῷ γ΄, τὸ δὲ α΄ τινὶ τῷ γ΄, πρῶτον ὅρον θετέον τὸ β΄. τὸ γὰρ β΄ παντὶ τῷ γ΄, τὸ δὲ γ΄ τινὶ τῷ α΄, ὥστε τὸ β΄ τινὶ τῷ α΄ ἐπεὶ δὲ ἀντιστρέφει τὸ ἐν μέρει, καὶ τὸ α΄ τινὶ τῷ β΄ ὑπάρξει. καὶ εἰ στερητικὸς ὁ συλλογισμὸς καθόλου τῶν ὅρων ὄντων, ὁμοίως ληπτέον. ὑπαρχέτω γὰρ τὸ β΄ παντὶ τῷ γ΄. τὸ δὲ α΄ μηδενί. οὐκοῦν τινὶ τῷ β΄ οὐχ ὑπάρξει τὸ γ΄. τὸ δὲ α΄ οὐδενὶ τῷ γ΄. ὡς ἔσται μέσον τὸ γ΄. ὁμοίως δὲ καὶ εἰ τὸ μὲν στερητικὸν καθόλου, τὸ δὲ κατηγορικὸν ἐν μέρει. τὸ μὲν γὰρ α΄ οὐδενὶ τῷ γ΄. τὸ δὲ γ΄, τινὶ τῷ β΄ ὑπάρξει. ἐὰν δὲ ἐν μέρει ληφθῇ τὸ στερητικόν, οὐκ ἔσται ἀνάλυσις. οἷον εἰ τὸ μὲν β΄ παντὶ τῷ γ΄. τὸ δὲ α΄ τινὶ μὴ ὑπάρχει. ἀντιστραφέντος γὰρ τοῦ β΄ γ΄, ἀμφότεραι αἱ προτάσεις ἔσονται κατὰ μέρος.

Τουτέστιν ἐὰν ἀμφοτέρων οὐσῶν καταφατικῶν, ἡ ἐλάττων εἴη καθόλου. δεῖ πάλιν ὥσπερ καὶ πρότερον τὴν διάστασιν τῶν ὅρων ἀντιμεταλαβόντα. καὶ τὸν μὲν ἐλάττονα, μείζονα θεῖναι. τὸν δὲ μείζονα, ἐλάττονα. καὶ συμπεράναι μὲν ὅτι τὸ β΄ τινὶ τῶν α΄. ἀντιστρέψαντα δὲ τὸ συμπέρασμα, ὅτι καὶ τὸ α΄ τινὶ τῶν β΄, τὸ προκείμενον ἐξ ἀρχῆς συναγαγεῖν.

ΦΑΝΕΡΟΝ δὲ ὅτι καὶ πρὸς τὸ ἀναλύειν εἰς ἄλληλα τὰ σχήματα. ἡ πρὸς τῷ ἐλάττονι ἄκρῳ πρότασις, ἀντιστρεπτέα ἐν ἀμφοτέροις τοῖς σχήμασι. ταύτης γὰρ μετατιθεμένης, μετάβασις ἐγίνετο. τῶν δὲ ἐν τῷ μέσῳ σχήματι, ἅτερος μὲν ἀναλύεται, ἅτερος δὲ οὐκ ἀναλύεται εἰς τὸ γ΄. ὅταν μὲν γὰρ ᾖ τὸ καθόλου στερητικόν, ἀναλύεται. εἰ γὰρ τὸ α΄ μηδενὶ μὲν τῷ β΄. τῷ δὲ γ΄ τινί, ἀμφότεραι ὁμοίως ἀντιστρέφει πρὸς τὸ α΄. ὥστε τὸ μὲν β΄, οὐδενὶ τῷ α΄. τὸ δὲ γ΄, τινί. μέσον ἄρα τὸ α΄. ὅταν δὲ τὸ α΄ παντὶ τῷ β΄. τῷ δὲ γ΄ τινὶ μὴ ὑπάρχῃ, οὐ γίνεται ἀνάλυσις. οὐδετέρα γὰρ τῶν προτάσεων ἐκ τῆς ἀντιστροφῆς καθόλου. καὶ οἱ ἐκ τοῦ τρίτου δὲ σχήματος ἀναλυθήσονται εἰς τὸ μέσον, ὅταν ᾖ καθόλου τὸ στερητικόν. οἷον, εἰ τὸ α΄ μηδενὶ τῷ γ΄. τὸ δὲ β΄ τινὶ ἢ παντί. καὶ γὰρ τὸ γ΄, τῷ μὲν α΄ οὐδενί. τῷ δὲ β΄ τινὶ ὑπάρξει. ἐὰν δὲ ἐπὶ μέρους ᾖ τὸ στερητικόν, οὐκ ἀναλυθήσεται. οὐ γὰρ δέχεται ἀντιστροφὴν τὸ ἐν μέρει ἀποφατικόν.

Τουτέστι τὸ πρῶτον καὶ τρίτον σχῆμα. περὶ τούτων γὰρ νῦν τὸν λόγον ποιεῖται. εἴτε οὖν φησιν ἐκ τοῦ πρώτου εἰς τὸ τρίτον μεταλαβεῖν βουλόμεθα τὰς προτάσεις, εἴτε ἀνάπαλιν. πάντως τὴν ἐλάττονα ἀνάγκη ἀντιστρέφειν. ἐπὶ μὲν γὰρ τοῦ πρώτου, ἀδύνατον ἦν τὴν μείζονα ἀντιστραφῆναι. οὕτω γὰρ τὸ δεύτερον γίνεται σχῆμα. ὁ γὰρ μέσος τοῦ ἐλάττονος κατηγορεῖτο. ἀντιστραφείσης οὖν τῆς μείζονος προτάσεως, συμβήσεται καὶ τοῦ μείζονος αὐτὸν κατηγορεῖσθαι. τοῦτο δὲ ἦν τὸ δεύτερον σχῆμα. εἰ δὲ ἀμφότεραι ἦσαν κατηγορικαί, δεύτερόν τε σχῆμα πάλιν ἐγένετο. καὶ κατὰ ἀμφότερα ἀσυλλόγιστον. ἥ τε γὰρ μείζων μερική. καὶ ἔτι ἀμφότεραι κατηγορικαί. μόνως οὖν ἡ ἐλάττων ἀντιστρεπτέα. ὁμοίως καὶ εἰ ἐκ τοῦ τρίτου τὸ πρῶτον μεταλαβεῖν θελήσωμεν. εἰ γὰρ ἡ μείζων ἀντιστραφείη ἀποφατικὴ μὲν οὖσα, ἀσυλλόγιστον ποιήσεις τὸ πρῶτον σχῆμα. εἰς ἐλάττονα γὰρ μετατεθήσεται ἐκ μείζονος. καὶ ἔσται ἐν πρώτῳ σχήματι ἡ ἐλάττων ἀποφατική. οἷον, εἰ τὸ α΄ οὐδενὶ τῶν γ΄. τὸ δὲ β΄ παντί. εἰ γοῦν ἀντιστραφείη ἡ α γ΄, ἔσται τὸ μὲν β΄ παντὶ τῷ γ΄. τὸ δὲ γ΄ οὐδενὶ τῶν α΄. ἀποφατικὴ οὖν ἡ ἐλάττων. εἰ δὲ εἴη ἡ β΄ γ΄ μερικὴ καταφατική. ἔσται καὶ πρὸς τῷ πρώτῳ ἕτερόν τι ἄτοπον. τὸ καὶ τὴν μείζονα μερικὴν εἶναι. εἰ δὲ καταφατικὴ εἴη καθόλου ἡ α΄ γ΄, δυνατὸν μὲν συναγαγεῖν ὅτι τὸ β΄ τινὶ τῷ α΄. καὶ ἀντιστρέψαι, ὥστε καὶ τὸ α΄ τινὶ τῷ β΄. ἀλλὰ περιττὸν δύο δεηθῆναι ἀντιστροφῶν. ἐξὸν τὴν ἐλάττονα ἀντιστρέψαντα ἀρκεσθῆναι. εἰ δὲ μερικὴ εἴη ἡ β γ΄. καὶ ἀντιστρέφει ἡ α΄ γ΄. ἀμφότεραι ἔσονται μερικαί, ὅπερ ἐστὶν ἀδύνατον. μόνως ἄρα ἐν τῇ μεταβάσει τοῦ πρώτου εἰς τὸ τρίτον. καὶ τοῦ τρίτου εἰς τὸ πρῶτον, τὴν ἐλάττονα ἀντιστρεπτέον. εἰ δὲ ἐκ τοῦ πρώτου εἰς δεύτερον γίνεται ἡ μετάβασις, πάντως ἡ μείζων ἀντιστρέφεται. αὕτη γάρ ἐστιν ἡ ἀποφατική. τὴν δὲ ἐλάττονα ἀδύνατον. ἐπεὶ τρίτον γίνεται σχῆμα. ὁμοίως καὶ εἰ ἐκ τοῦ δευτέρου εἰς τὸ πρῶτον γίνοιτο ἡ μετάβασις, ἡ μείζων ἀντιστραφήσεται. πλὴν ἑνὸς τρόπου, τοῦ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. ἀντιστραφείσης γὰρ τῆς μείζονος, μερικὴ γίνεται ἐν πρώτῳ σχήματι ὅπερ ἐστὶν ἀδύνατον. ἀντιστρέφεται οὖν ἡ ἐλάττων μετὰ τῆς τῶν ὅρων δυνάμεως. εἶτα τοῦ συμπεράσματος ἀντιστραφέντος, γίνεται τὸ ἐξ ἀρχῆς. εἰ δὲ ἐκ τοῦ δευτέρου εἰς τὸ τρίτον. ἢ ἐκ τοῦ τρίτου εἰς τὸ β΄ μετάβασις γίνοιτο. ἀμφοτέρας δεῖ ἀντιστρέψαι τὰς

ἐν δυνάμει ἐστὶν ἀνάγειν οὐδὲν τῶν καθόλου· διότι πάντα τὰ μερικὰ ἐν τρίτῳ συνάγεται. τὸ δὲ μερικὸν καταφατικὸν, ἔτι τῷ πρώτῳ καὶ τῷ τρίτῳ ἐνδέχεται ἀναλύειν. ἔτι γὰρ ἐν τῷ πρώτῳ συλλελόγισται, τῆς ἐλάττονος ἀντιστραφείσης, γίνεται τὸ τρίτον σχῆμα. οἷον, εἰ τὸ α´ παντὶ τῷ β´. τὸ δὲ β´ τινὶ τῷ γ´. τῆς γὰρ βγ´ ἀντιστραφείσης, λέγω ὅτι τὸ γ´ τινὶ τῶν β´. τὸ γ´ γίνεται σχῆμα. ὁμοίως δὲ καὶ ὃ ἐν τῷ τρίτῳ συλλελόγισται. πάλιν διὰ τῆς ἀντιστροφῆς τὸ πρῶτον γενήσεται. τὸ δὲ μερικὸν ἀποφατικὸν ἐν πᾶσι δείκνυται τοῖς σχήμασι. ὥστε καὶ εἰς πάντα τὰ σχήματα αὐτὸ ἀναλύειν ἐνδέχεται. χωρὶς τοῦ τετάρτου τρόπου τοῦ δευτέρου σχήματος. καὶ τοῦ πέμπτου τοῦ τρίτου. δι᾽ ἣν εἰρήκαμεν πολλάκις αἰτίαν. τοὺς γὰρ οὕτω συλλελογισμένους, οὐκ ἐνδέχεται εἰς τὸ πρῶτον ἀναγαγεῖν σχῆμα. καὶ καθόλου φημὶ, ὅτι τοὺς μὲν ἐν τῷ πρώτῳ ἀποφατικόν. καὶ εἰς τὸ δεύτερόν ἐστιν ἀναλύειν σχῆμα. καὶ τοὺς μερικοὺς καὶ εἰς τὸ τρίτον. τοὺς δὲ ἐν τῷ δευτέρῳ ἀποφατικοὺς ὄντας, πάντας εἰς τὸ πρῶτον χωρὶς τοῦ τετάρτου τρόπου. εἰς δὲ τὸ τρίτον ὅτι μὲν τοὺς καθόλου οὐκ ἐνδέχεται, πρόδηλον. οὐδὲν γὰρ καθόλου ἐν τῷ τρίτῳ δείκνυται. τῶν δὲ μερικῶν, τὸν ἕτερον μόνον. τὸν τρίτον. τὸν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. ἀμφοτέρων γὰρ ἀντιστραφεισῶν τῶν προτάσεων γίνεται τὸ τρίτον σχῆμα. οἷον εἰ τὸ α´ τῷ μὲν β´ οὐδενί. τῷ δὲ γ´ τινί. δῆλον γὰρ ὅτι ἑκατέρας ἀντιστρεφομένης. τὸ δὲ β´ οὐδενὶ τῷ α´. καὶ τὸ γ´ τινί. ὁ δὲ λοιπὸς οὐκέτι. ὁ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς. οὔτε γὰρ ἡ μερικὴ ἀποφατικὴ ἀντιστρέφει. οὔτε ἡ καθόλου. ἣ γὰρ ἀντιστραφεῖ, μερικὴ γίνεται. πάλιν τοὺς ἐν τῷ τρίτῳ τοὺς μὲν καταφατικοὺς πάντας εἰς τὸ πρῶτον ἀναλύσεις. τοὺς δὲ ἀποφατικοὺς χωρὶς τοῦ πέμπτου τρόπου. τοὺς λοιποὺς δύο εἰς ἀμφότερα ἀνάξεις τὰ σχήματα τὸ πρῶτόν φημι καὶ τὸ δεύτερον. ἀλλ᾽ εἰς μὲν τὸ πρῶτον, θατέραν τῶν προτάσεων ἀντιστρέφων. εἰς τὸ δεύτερον, ἀμφοτέρας. οἷον. ἔστω ἡ μὲν μείζων ἀποφατική. ἡ δὲ ἐλάττων καταφατική, ἄμφω καθόλου. τῷ γὰρ β´ οὐδενὶ τὸ α´. τὸ δὲ γ´ παντὶ, ὥστε καὶ τὸ β´ τινὶ τῶν γ´. καὶ γίνεται τὸ πρῶτον σχῆμα. ἐὰν δὲ καὶ τὴν β α´ ἀντιστρέψω λέγων ὅτι τὸ α´ οὐδενὶ τὸ β´. ἔσται τὸ β´. ὁμοίως καὶ ἐπὶ τοῦ ἑτέρου τρόπου τοῦ τὴν ἐλάττονα μερικὴν ἔχοντος καταφατικήν. πάλιν τῆς μὲν καταφατικῆς ἀντιστραφείσης, γίνεται τὸ πρῶτον σχῆμα. ἀμφοτέρων δὲ τὸ β´.

» ἜΣΤΑΙ δὲ φανερὸν ἐν τοῖς ἑπομένοις. εἰ γὰρ τὸ α´ μηδενὶ τῷ β´. τὸ δὲ β´ παντὶ τῷ γ´, τὸ α´
» οὐδενὶ τῷ γ´. οὕτω μὲν οὖν τὸ πρῶτον σχῆμα. ἐὰν δὲ ἀντιστραφῇ τὸ στερητικὸν, τὸ μέσον ἔσται. τὸ
» γὰρ β´ τῷ μὲν α´, οὐδενί. τῷ δὲ γ´, παντὶ ὑπάρξει. ὁμοίως δὲ καὶ εἰ μὴ καθόλου ἀλλ᾽ ἐν μέρει ὁ συλ-
» λογισμός. οἷον εἰ τὸ μὲν α´ μηδενὶ τῷ β´. τὸ δὲ β´ τινὶ τῷ γ´. ἀντιστραφέντος γὰρ τοῦ στερητικοῦ, τὸ
» μέσον ἔσται σχῆμα. τῶν δὲ ἐν τῷ δευτέρῳ σχήματι συλλογισμῶν, οἱ μὲν καθόλου, ἀναχθήσονται εἰς
» τὸ πρῶτον σχῆμα.

Ὅπου πάντας ἐνδέχεται ἀνάγειν εἰς πάντα τὰ σχήματα φανερὸν ἔσται φησὶ διεξιόντων ἡμῶν πάντας τοὺς ἐν τοῖς σχήμασι τρόπους. ἐπεξέρχεται γὰρ ἕκαστον. καὶ δείξει ὅτι τὸν ἐν τῷ δευτέρῳ τέταρτον τρόπον καὶ ἐν τῷ τρίτῳ πέμπτον, ἀδύνατον εἰς ἕτερον ἀναλῦσαι σχῆμα. σαφῶς οὖν πᾶσιν ἐπεξέρχεται. τὸν καὶ δῆλά ἐστι τὰ τῆς λέξεως.

» ΤΩΝ δ᾽ ἐν μέρει, θάτερος μόνος. ἔστω γὰρ τὸ α´ τῷ μὲν β´ μηδενί. τῷ δὲ γ´, παντὶ ὑπάρ-
» χειν. ἀντιστραφέντος οὖν τοῦ στερητικοῦ, τὸ α´ ἔσται σχῆμα. τὸ μὲν γὰρ β´, οὐδενὶ τῷ α´. τὸ δὲ α´, παν-
» τὶ τῷ γ´ ὑπάρχει.

Εἴπομεν πρότερον, ὅτι ὁ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. καὶ τῆς ἐλάττονος μερικῆς καταφατικῆς ὁ μέντοι τέταρτος ὁ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. τῆς δὲ ἐλάττονος, μερικῆς ἀποφατικῆς οὔ.

» ἘᾺΝ ΔΕ τὸ κατηγορικὸν μὲν ᾖ πρὸς τῷ β´. τὸ δὲ στερητικὸν πρὸς τῷ γ´, πρῶτον ὅρον θετέον
» τὸ γ´. τοῦτο γὰρ οὐδενὶ τῷ α´. τὸ δὲ α´, παντὶ τῷ β´. ὥστ᾽ οὐδενὶ τῷ β´ τὸ γ´. οὐδ᾽ ἄρα τὸ β´ τῷ γ´ οὐδενί.
» ἀντιστρέφει γὰρ τὸ στερητικόν. ἐὰν δὲ ἐν μέρει ᾖ ὁ συλλογισμός. ὅταν μὲν ᾖ τὸ στερητικὸν πρὸς τῷ μεί-
» ζονι ἄκρῳ ἀναλυθήσεται εἰς τὸ πρῶτον σχῆμα. οἷον εἰ τὸ α´ μηδενὶ τῷ β´, τῷ δὲ γ´ τινί. ἀντιστραφέντος
» γὰρ τοῦ στερητικοῦ, τὸ α´ ἔσται σχῆμα. τὸ μὲν γὰρ β´, οὐδενὶ τῷ α´. τὸ δὲ α´ τινὶ τῷ γ´. ὅταν δὲ τὸ κατηγο-
» ρικὸν οὐκ ἀναλυθήσεται. οἷον εἰ τὸ α´ τῷ μὲν β´ παντί. τῷ δὲ γ´, μὴ παντί.

Τουτέστιν ἐὰν ἡ μείζων ᾖ καταφατική. ἡ δὲ ἐλάττων ἀποφατική. ἄμφω δὲ καθόλου δηλονότι. περὶ τούτων γὰρ ὁ λόγος, οὐκ ἄλλως ἀναχθήσεται εἰς τὸ β´ σχῆμα ἢ τὴν δύναμιν τῶν ἄκρων. τῶν ὅρων ἀμειψάντων ἡμῶν, τουτέστιν τὸν μείζονα ἐλάττονα ποιησάντων. οἷον τὸν β´. τὸν ἐλάττονα λέγω τὸν γ´ μείζονα. ἀντιστραφείσης γὰρ τῆς ἀποφατικῆς καὶ τοῦ πρώτου γενομένου σχήματος. συνάγεται μὲν ὅτι τὸ γ´ οὐδενὶ τῶν β´. διὰ δὲ τὸ ἀντιστρέφειν τὸ στερητικὸν καθόλου. ἀντιστραφέντος τοῦ συμπεράσματος, γίνεται τὸ ἐξ ἀρχῆς. ὅτι οὐδὲ τὸ β´ οὐδενὶ τῷ γ´. τοῦτο γὰρ ἐν τῷ δευτέρῳ σεσημειωμένον ἦν.

» ΟΥ̓ΤΕ γὰρ ἦν ἐνδέχεται ἀντιστροφὴν τὸ α´ β´. οὔτε γενομένης, ἔσται συλλογισμός. πάλιν οἱ μὲν
» ἐν τῷ τρίτῳ σχήματι οὐκ ἀναλυθήσονται πάντες εἰς τὸ α´. οἱ δὲ ἐν τῷ α´ πάντες, εἰς τὸ γ´. ὑπαρχέτω

μόνον τὴν πρόσληψιν, ἀλλὰ καὶ τὸ συνημμένον κατασκευάσει. καὶ ἐν τοῖς δι' ἀδυνάτου ὡς ἑξῆς φησι, τὸ συνημμένον δεῖται κατασκευῆς, ὡς μαθησόμεθα. νῦν οὖν περὶ τῶν ἐξ ὁμολογίας ὑποθετικῶν ὁ λόγος. κέχρηται δὲ παραδείγματι τοιούτῳ. ἐάν τις φησίν, αἰτήσῃ ἐξ ὁμολογίας ὅτι εἰ μὴ εἴη τῶν ἐναντίων μία δύναμις, οὐδὲ ἐπιστήμη μία ἔσται. τοῦτο μὲν ὅλον τὸ εἰ τόδε καὶ τόδε οὐκ ἀναλυτέον. οὐ γὰρ συλλελόγισται, ἀλλ' ἐξ ὁμολογίας εἴληπται. τὸ μέντοι, ἀλλὰ μὴν οὐκ ἔστι τῶν ἐναντίων μία δύναμις, ἀναλυτέον. τοῦτο γὰρ δείκνυται διὰ συλλογισμοῦ. ὅτι οὖν οὐκ ἔστι τῶν ἐναντίων μία δύναμις. δειχθήσεται διὰ μέσου τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους. τὸ γὰρ ὑγιεινὸν καὶ νοσῶδες, ἐναντία ἐστί. τοῦ ὑγιεινοῦ καὶ νοσώδους οὐκ ἔστι μία δύναμις. τῶν ἄρα ἐναντίων οὐκ ἔστι μία δύναμις. ὅτι δὲ τοῦ ὑγιεινοῦ καὶ νοσώδους οὐκ ἔστι μία δύναμις δείξας διὰ μέσου τοῦ μὴ ταῦτα εἶναι τῶν ἄλλων ποιητικά. τὸ γὰρ ὑγιεινὸν καὶ νοσῶδες, οὐκ ἔστι τῶν ἄλλων ποιητικά. πάντων ὅσων οὐδὲ μία δύναμις, ταῦτα τῶν ἄλλων ἐστὶ ποιητικά. τοῦ ἄρα ὑγιεινοῦ καὶ νοσώδους, οὐκ ἔστι μία δύναμις.

ΟΜΟΙΩΣ δὲ καὶ ἐπὶ τῶν διὰ τοῦ ἀδυνάτου περαινομένων. οὔτε γὰρ τούτους ἔστιν ἀναλύειν. ἀλλὰ τὴν μὲν εἰς τὸ ἀδύνατον ἀπαγωγὴν ἔστι. συλλογισμῷ γὰρ δείκνυται. θάτερον δ' οὐκ ἔστι. ἐξ ὑποθέσεως γὰρ περαίνεται. διαφέρουσι δὲ τῶν προειρημένων, ὅτι ἐν ἐκείνοις μὲν δεῖ προδιομολογήσασθαι, εἰ μέλλει συμφήσειν. οἷον, ἐὰν δειχθῇ μία δύναμις τῶν ἐναντίων, καὶ ἐπιστήμην εἶναι τὴν αὐτήν. ἐνταῦθα δὲ καὶ μὴ προδιομολογησάμενοι συγχωροῦσι, διὰ τὸ φανερὸν εἶναι τὸ ψεῦδος. οἷον τεθείσης τῆς διαμέτρου συμμέτρου, τὸ τὰ περιττὰ ἴσα εἶναι τοῖς ἀρτίοις.

Ἔτι οὐ περὶ πάντων τῶν ὑποθετικῶν ὁ λόγος, δῆλον ἐξ ὧν τὸ μὲν πρότερον σαφῶς ἐξ ὁμολογίας ἐκάλεσεν. ἐπειδὴ δὲ μετέβη ἐπὶ τοὺς δι' ἀδυνάτου. ὁμοίως καὶ ἐπὶ τῶν δι' ἀδυνάτου. οὐ πάντα τὸν ὑποθετικὸν ἀναλύσομεν. ὑπεναντίως δὲ οὗτοι ἔχουσι τοῖς ἐξ ὁμολογίας. τὸ μὲν γὰρ συνημμένον ἐκείνων ὡς ἀμφίβολον κατασκευάζεται διὰ συλλογισμοῦ. ἡ δὲ πρόσληψις ὡς ὁμολογημένη κατασκευῆς οὐ δεῖται. οἱ γὰρ εἰς ἄτοπον ἄγοντες οὐκ εἰς ἀμφίβολον, ἀλλ' εἰς ὁμολογημένως ἄτοπον τὴν ἀπαγωγὴν ποιοῦνται. ὥσπερ καὶ ὁ γεωμέτρης βουλόμενος δεῖξαι ὅτι ἡ διάμετρος τῇ πλευρᾷ ἀσύμμετρός ἐστι, κέχρηται τῇ εἰς ἀδύνατον ἀπαγωγῇ διὰ ὑποθετικοῦ συλλογισμοῦ τὸν τρόπον τοῦτον. εἰ γὰρ μὴ εἴη φησὶν ἀσύμμετρος, σύμμετρος ἔσται. ἀλλ' εἰ σύμμετρος εἴη, τὰ περιττὰ τοῖς ἀρτίοις ἴσα ἔσται. ἀλλὰ μὴν ἀδύνατον τὰ περιττὰ τοῖς ἀρτίοις ἴσα εἶναι. οὐκ ἄρα σύμμετρος. τὸ μὲν οὖν συνημμένον ἐν τούτοις διὰ συλλογισμοῦ δείκνυται, ἡ δὲ πρόσληψις οὐκέτι. διαφέρουσι δέ φησιν οἱ εἰς ἀδύνατον ἀπάγοντες τῶν ἐξ ὁμολογίας. ὅτι οἱ μὲν εἰς τὸ ἀδύνατον ἀπάγοντες τὴν πρόσληψιν ὅπερ οὐκ ἀποδεικνύουσιν, οὐκ ἐκ συνθήκης λαμβάνουσιν ὁμολογούμενον, ἀλλ' ἐξ αὐτῆς τῆς ἐναργείας μαρτυρούμενον. ἐκεῖνοι δὲ ἐκ συνθήκης. ὡς εἰ μὴ συγχωρήσει ὁ προσδιαλεγόμενος. οὐ μόνον τὴν πρόσληψιν, ἀλλὰ καὶ τὸ συνημμένον κατασκευάσαι ἀνάγκη. διττὴ οὖν ἡ διαίρεσις τῶν εἰς ἀδύνατον ἀπαγόντων, πρὸς τοὺς ἐξ ὁμολογίας. ὅτι οὗτοι μὲν λέγω δὲ οἱ εἰς ἀδύνατον τὸ συνημμένον κατασκευάζουσιν. ὁμολογοῦσι δὲ τὴν πρόσληψιν. ἐκεῖνοι δὲ τοὐναντίον. καὶ ὅτι οὗτοι μὲν ὃ λαμβάνουσιν, οὐ κατασυγχωροῦσι καὶ ὁμολογίαν λαμβάνουσιν, ἀλλ' ὡς ἐκ τῆς ἐναργείας μαρτυρούμενον. ἐκεῖνοι δὲ ἐκ συνθήκης. Ἀλλὰ τὴν μὲν εἰς τὸ ἀδύνατον ἀπαγωγήν, ἔστι. Τουτέστι τὸ συνημμένον εἰ σύμμετρος τὰ ἄρτια τοῖς περιττοῖς ἴσα ἔσται. τοῦτο γὰρ διὰ συλλογισμοῦ δείκνυται. θάτερον δέ φησιν οὐκ ἔστι. τουτέστι τὴν πρόσληψιν. λέγω δὴ τὸ ἀλλὰ μὴν ἀδύνατον τὰ ἄρτια τοῖς περιττοῖς ἴσα εἶναι. τοῦτο γὰρ ὁμολογεῖται. καὶ συλλογισμοῦ οὐ δεῖται.

ΠΟΛΛΟΙ δὲ καὶ ἕτεροι περαίνονται ἐξ ὑποθέσεως οὓς ἐπισκέψασθαι δεῖ, καὶ ἐπισημῆναι καθαρῶς. τίνες μὲν εἶναι διαφοραὶ τούτων, καὶ ποσαχῶς γίνονται οἱ ἐξ ὑποθέσεως. ὕστερον ἐροῦμεν. νῦν δὲ τοσοῦτον ἡμῖν ἔστω φανερόν. ὅτι οὐκ ἔστιν ἀναλύειν εἰς τὰ σχήματα τοὺς τοιούτους συλλογισμούς. καὶ δι' ἣν αἰτίαν, εἰρήκαμεν.

Ε παρέλκεται μὲν οὖν ἐν τούτοις περὶ τῶν ὑποθετικῶν συλλογισμῶν διαλαβεῖν. τίνες τέ εἰσι καὶ πόσα τούτων τὰ εἴδη. οὐ φαίνεται δὲ οὐδαμοῦ περὶ αὐτῶν πραγματευσάμενος, ὡς οἱ ἐξηγηταί φασιν.

ΟΣΑ δὲ ἐν πλείοσι σχήμασι δείκνυται τῶν προβλημάτων, ἂν ἐν θατέρῳ συλλογισθῇ. ἔστιν ἀναγαγεῖν τὸν συλλογισμὸν εἰς θάτερον. οἷον τὸν ἐν τῷ πρώτῳ, στερητικὸν εἰς τὸ δεύτερον. καὶ τὸν ἐν τῷ μέσῳ, εἰς τὸ πρῶτον. οὐχ ἅπαντας δέ, ἀλλ' ἐνίους.

Διδάσκει διὰ τούτων. ὅτι οὐ πάντως ἀνάγκη τὴν ἀνάλυσιν τῶν συλλογισμῶν. εἰς τοῦτο ποιεῖσθαι τὸ σχῆμα ἐν ᾧ καὶ ὁ συλλογισάμενος τὸν συλλογισμὸν ἔπλεξεν. ἀλλ' ὅσα τῶν προβλημάτων ἐν πλείοσι περαίνεται σχήμασιν ἀδύνατον ταῦτα εἰς ὁποῖον οὖν ἀναγαγεῖν. οἷον τὸ μὲν καθόλου καταφατικὸν μόνως ἐν πρώτῳ δείκνυται. οὐκοῦν ὅταν τις καθόλου καταφατικὸν συλλογίζηται πρόβλημα. ἀνάγκη εἰς τὸ πρῶτον μόνον τὴν ἀνάλυσιν ποιεῖσθαι. τὸ δὲ καθόλου ἀποφατικόν, διὰ τοῦ πρώτου περαίνεται καὶ διὰ τοῦ δευτέρου. εἴτε οὖν διὰ τοῦ πρώτου συλλελόγισται. δυνατὸν καὶ εἰς τὸ β΄ ἀνάγειν. διὰ τοῦ ἀντιστρέφειν τὴν ἀποφατικὴν πρότασιν. εἴτε ἐν τῷ β΄ τὸν αὐτὸν τρόπον. οἷόν ἐστιν ὅτι καὶ τῆς τοῦ συμπεράσματος ἀντιστροφῆς δεόμεθα. ὡς ὅταν ἐν β΄ σχήματι ἡ ἐλάττων ἀποφατικὴ ὑπάρχῃ. εἰς τὸ γ΄ δὲ,

τῷ δ. τὸ γὰρ δ οὐδενὶ μὲν α, παντὶ δὲ β. οὐκέτι ἡ α β παραλαμβάνεται πρότασις. ἀλλ' ἡ δ β. δ α. α γ. ὧν ἡ μὲν δ α. α γ. τὸ πρῶτον ποιεῖ σχῆμα. ἡ δὲ δ α δ β, τὸ δεύτερον. τὸ γὰρ δ παντὶ μὲν τῷ β, οὐδενὶ δὲ τῷ α. τὸ δὲ α παντὶ τῷ γ, ὥστε ἡ μὲν δ β δ α, τὸ δεύτερον ἐποίει σχῆμα. ἡ δὲ δ α α γ, τὸ πρῶτον. τὸ αὐτὸ καὶ ἐπὶ πάντων. ἐπειδὴ δὲ τῶν προσυλλογισμῶν τὸ συμπέρασμα λαμβάνοντες καὶ ἐπισυνάπτοντες ἑτέραν πρότασιν, οὕτω τὸν συλλογισμὸν πλέκομεν. ἐκεῖνο ἐπιστῆσαι χρὴ ὅπερ καὶ ὁ ἀλέξανδρός φησιν. ὅτι εἰ μὲν ἐν τρίτῳ σχήματι εἴη ὁ προσυλλογισμός. ἐξ αὐτοῦ δὲ ἐπὶ τὸ πρῶτον μεταβαίνομεν, ἀεὶ κάτωθεν δεῖ τὴν πρότασιν προστιθέναι. μερικῶν γὰρ ὄντων τῶν συμπερασμάτων. εἰ μὴ κάτωθεν προστεθείη ἡ πρότασις, ἀσυλλόγιστον γίνεται τὸ σχῆμα. ἐν πρώτῳ τῆς μείζονος μερικῆς οὔσης. καὶ δηλονότι εἰ ἀποφατικὸν εἴη τὸ ἐν τρίτῳ συνηγμένον. οὐδὲν ἐνδέχεται ἐπὶ τὸ πρῶτον μεταβαίνειν σχῆμα. ὅθεν γὰρ ἂν ἡ προσθήκη γένηται, ἀσυλλόγιστος ἡ συμπλοκὴ γίνεται. ὁμοίως κἂν ἐκ δευτέρου εἰς πρῶτον ἡ μετάβασις γίνηται. ἀεὶ καθόλου ἄνωθεν δεῖ τὴν προσθήκην ποιεῖσθαι. ἐπεὶ ἡ ἐλάττων ἀποφατικὴ γίνεται. ἀποφατικὰ γὰρ τοῦ δευτέρου τὰ συμπεράσματα. ὁμοίως κἂν ἐκ πρώτου εἰς πρῶτον ἡ μετάβασις γίνηται. καταφατικοῦ μὲν ὄντος καθόλου τοῦ συμπεράσματος, ἀδιάφορον ὅθεν δή ποτε τὴν προσθήκην ποιήσασθαι, εἰ ἡ προστιθεμένη πρότασις καθόλου εἴη. εἰ δὲ μερικὴ πάντως κάτωθεν. εἰ δὲ ἀποφατικὸν εἴη τὸ συμπέρασμα καθόλου, ἄνωθεν. εἰ δὲ μερικὸν οὐκ ἐνδέχεται πρότασιν προσθέντας, πάλιν τὸ πρῶτον ποιῆσαι. εἴτε γὰρ ἄνωθεν προσθήσεις, ἀποφατικὴν ποιήσας τὴν ἐλάττονα. εἴτε κάτωθεν, μερικὴν τὴν μείζονα. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐν δευτέρῳ καὶ τρίτῳ μερικῶν ἀποφατικῶν ἂν ἤδη εἴποι. ἀδύνατον γὰρ ἐκ τούτων εἰς τὸ πρῶτον μεταβῆναι. εἰ δὲ ἀπὸ δευτέρου εἰς δεύτερον ἡ μετάβασις γίνεται. καθόλου μὲν ὄντος τοῦ συμπεράσματος, εἰ μὲν ἡ προστιθεμένη καὶ αὐτὴ καθόλου εἴη, ἀδιάφορον. εἰ δὲ μερικὴ πάντως κάτωθεν. τουτέστι πρὸς τῇ ἐλάττονι, ἵνα μὴ τὴν μείζονα μερικὴν ποιήσωμεν. καὶ καθόλου ἁπλῶς ἐπιβλέπειν δεῖ μή τι παραφθείρηται διὰ τῆς προσθήκης τῶν ἐν ἑκάστῳ σχήματι παραπεφυλαγμένων. καὶ εἰ μὲν διὰ τῆς προσθήκης σώζ(εται) τὰ τοῦ σχήματος ἴδια, προσθετέον. εἰ δὲ μή, δι' ἄλλου δεικτέον σχήματος.

» Τούς τε πρὸς ὁρισμὸν τῶν λόγων. ὅσοι πρὸς ἕν τι τυγχάνουσι
» διειλεγμένοι τῶν ἐν τῷ ὅρῳ. πρὸς ὃ διείλεκται θετέον ὅρον.


Ἄλλο πάλιν ἡμᾶς διὰ τούτων διδάσκει. πολλάκις συλλογιζόμενοι δεῖξαι βουλόμεθα ὅτι ὅδε τοῦδε οὐκ ἔστιν ὁρισμός. οὐ πάντως ὅλον τὸν ὁρισμὸν ἀνασκευάσαι βουλόμενοι, ἀλλὰ μόριόν τι τῶν ἐν τῷ ὁρισμῷ. ἐν οὖν τῷ ἀνασκευάζειν ὅτι ὅδε τοῦδε οὐκ ἔστιν ὁρισμός. οὐ θετέον φησὶν ὅλον τὸν ὁρισμὸν ὅρον. δυσχερῶς γὰρ οὕτως εὑρίσκομεν μέσον δι' οὗ δείξομεν τὸν ὁρισμὸν ὅλον τῷ ὁριστῷ μὴ ὑπάρχοντα. ἀλλ' ὅτι περ ἂν εἴη τῷ ὁρισμῷ κακῶς εἰλημμένον, τοῦτο θετέον ὅρον. δειχθέντος γὰρ ὅτι τοῦτο οὐχ ὑπάρχει τῷ ὑποκειμένῳ διὰ τούτου καὶ ὁ ὅρος συνελήλεγκται εἴγε παρείληφέ τι τῶν μὴ ὑπαρχόντων. οἷον φησὶ εἴ τις ὁρίσαιτο ὕδωρ ὑγρὸν ποτὸν εἶναι. οὐ θετέον τὸ ὑγρὸν ποτὸν ὅρον. ὑπάρχει γὰρ ὁμολογουμένως τῷ ὕδατι τὸ ὑγρόν, ἀλλὰ τὸ ποτὸν θετέον. μέσον δὲ τὴν θάλασσαν. ἐπεὶ οὖν πᾶσα θάλασσα ὕδωρ. οὐδεμία δὲ θάλασσα ποτόν. οὐ πᾶν ἄρα ὕδωρ ποτόν. κακῶς ἄρα ἐν τῷ ὁρισμῷ παρείληπται τοῦ ὑγροῦ τὸ ποτόν. ὃ μὴ παντὶ ὕδατι ὑπάρχει.


» ἜΤΙ δὲ τοὺς ἐξ ὑποθέσεως συλλογισμοὺς οὐ πειρατέον ἀνάγειν. οὐ γὰρ ἔστιν ἐκ τῶν κειμέ-
» νων ἀναγαγεῖν. οὐ γὰρ διὰ συλλογισμοῦ δεδειγμένοι εἰσίν, ἀλλὰ διὰ συνθήκης ὡμολογημένοι πάν-
» τες. οἷον εἰ ὑποθέμενος, εἰ μία τις δύναμις μὴ εἴη τῶν ἐναντίων, μηδ' ἐπιστήμην εἶναι μίαν. εἶτα
» διαλεχθείη ὅτι οὐκ ἔστι μία δύναμις τῶν ἐναντίων. οἷον εἰ τοῦ ὑγιεινοῦ καὶ τοῦ νοσώδους. ἅμα γὰρ
» ἔσται τὸ αὐτὸ ὑγιεινὸν καὶ νοσῶδες. ὅτι μὲν οὐκ ἔστι μία πάντων τῶν ἐναντίων δύναμις, ἐπιδέδεικται.
» ὅτι δὲ ἐπιστήμη οὐκ ἔστιν, οὐ δέδεικται. καίτοι γε ὁμολογεῖν ἀναγκαῖον. ἀλλ' οὐκ ἐκ συλλογισμοῦ, ἀλλ'
» ἐξ ὑποθέσεως. τοῦτον μὲν οὖν οὐκ ἔστιν ἀναγαγεῖν. ὅτι δὲ οὐ μία δύναμις ἔστιν. οὗτος γὰρ ἦν ἴσως καὶ συλ-
» λογισμός, ἐκεῖνος δὲ ὑπόθεσις.

Οὐ δεῖ φησιν ἅπαντας τοὺς ὑποθετικοὺς συλλογισμοὺς πειρᾶσθαι ἀναλύειν εἰς τὰ σχήματα. ἀλλὰ μόνην αὐτῶν τὴν πρόσληψιν. τὸ δὲ συνημμένον οὐκέτι. διὰ τὸ μὴ διὰ συλλογισμοῦ δείκνυσθαι. ἀλλ' ἐξ ὁμολογίας λαμβάνεσθαι. ὑποθετικοὺς δέ φησιν ἐν τούτοις οὐ πάντας, ἀλλὰ τοὺς ἐξ ὁμολογίας καλουμένους. λέγω δὲ τοὺς λαμβάνοντας κατὰ συνθήκην τὸ συνημμένον. ὥσπερ αὐτὸς ὁ ἀριστοτέλης ἐν τῷ περὶ οὐρανοῦ περὶ τῶν σχημάτων τῶν ἄστρων κατεσκεύασεν. αἰτήσας γὰρ ὅτι ὅπερ ἐπὶ ἑνὸς τῶν ἄστρων τοῦτο καὶ ἐπὶ τῶν λοιπῶν. καὶ τοῦτο λαβὼν ἐξ ὁμολογίας ὅτι εἰ ἕν, ὁποιονοῦν, σφαιρικόν. καὶ τὰ λοιπὰ τοιαῦτα ἂν εἴη. εἶτα τὴν πρόσληψιν κατασκευάσας. ὅτι ἀλλὰ μὴν ἓν τῶν ἄστρων ἡ σελήνη σφαιρική, συνήγαγε τό, καὶ τὰ λοιπὰ σφαιρικὰ εἶναι. τοὺς τοιούτους φησὶ τῶν συλλογισμῶν, οὐ πάντας ἀνακτέον. ἀλλὰ μόνην τὴν πρόσληψιν. αὕτη γὰρ ἡ συλλελογισμένη. τὸ δὲ συνημμένον ἐξ ὁμολογίας εἴληπται. ὅτι δὲ ἐπὶ τῶν μὴ ἐξ ὁμολογίας εἰλημμένων, πολλάκις καὶ τὸ συνημμένον διὰ συλλογισμοῦ δείκνυται, δῆλον. ὁ γοῦν πλάτων λαβὼν ὅτι εἰ τὸ ζῶον καὶ τὸ τεθνηκὸς ἐξ ἀλλήλων ἐστίν, ἡμῶν αἱ ψυχαὶ ἐν ᾅδου. ἀλλὰ μὴν τὸ πρότερον καὶ τὸ δεύτερον ἄρα. οὐ


μόνον


οὐ πᾶν ἔμψυχον αἰσθητικόν ἐστι· καὶ εἰλήφθω μέσον τὸ ζῷον. τὸ οὖν ζῷον αἰσθητικῷ μὲν παντί, ἐμψύχῳ δὲ οὐ παντί. οὐ πᾶν ἄρα ἔμψυχον αἰσθητικόν. ἢ τὸ αἰσθητικὸν οὐ παντὶ ἐμψύχῳ. εἰ οὖν τις ζητοίη πόθεν ὅτι τὸ ζῷον οὐ παντὶ ἐμψύχῳ. δείξομεν τοῦτο ἐν τρίτῳ σχήματι, μέσον λαβόντες τὸ φυτὸν οὕτως. ζῷον οὐδενὶ φυτῷ. τὸ ἔμψυχον παντὶ φυτῷ. τὸ ἄρα ζῷον οὐ παντὶ ἐμψύχῳ. καὶ πάλιν συνθεὶς






τὸν συλλογισμόν φημι ζῷον παντὶ αἰσθητικῷ· ζῷον οὐδενὶ φυτῷ· καὶ συνάγεται αἰσθητικὸν οὐ παντὶ ἐμψύχῳ. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ πρώτου σχήματος ἐνδέχεται πάντα μὲν πάντα τὰ συμπεράσματα δι' ἑαυτοῦ περαίνεσθαι. ἐνδέχεται δὲ καὶ διὰ τοῦ δευτέρου καὶ τοῦ τρίτου, ὅτι τὸ ζῷον οὐ παντὶ ἐμψύχῳ. δείκνυται δὲ διὰ μέσου τοῦ φυτοῦ. τὸ ζῷον οὐδενὶ φυτῷ. ἔμψυχον παντὶ φυτῷ. τὸ ζῷον ἄρα οὐ παντὶ ἐμψύχῳ. πόθεν ὅτι τὸ ζῷον οὐδενὶ φυτῷ. δείξομεν διὰ τοῦ μέσου σχήματος. μέσον λαβόντες τὸ αἰσθητικόν. τὸ γὰρ αἰσθητικόν, ζῴῳ μὲν παντί. φυτῷ δὲ οὐδενί. τὸ ἄρα ζῷον οὐδενὶ φυτῷ. συνθεὶς οὖν τὸν συλλογισμόν φημι. τὸ αἰσθητικὸν παντὶ ζῴῳ, φυτῷ δὲ οὐδενί. τὸ ἔμψυχον παντὶ φυτῷ. τὸ ἄρα ζῷον οὐ παντὶ ἐμψύχῳ. ἐπεὶ γὰρ τὸ αἰσθητικὸν οὐδενὶ φυτῷ. οὐδὲ φυτὸν οὐδενὶ αἰσθητικῷ. αἰσθητικὸν δὲ παντὶ ζῴῳ. φυτὸν ἄρα οὐδενὶ ζῴῳ. ὥστε καὶ ζῷον οὐδενὶ φυτῷ. ἔμψυχον δὲ παντὶ φυτῷ. ζῷον ἄρα οὐ παντὶ ἐμψύχῳ. εἰ δὲ τὴν καταφατικὴν θελήσομεν διὰ προσυλλογισμοῦ κατασκευάσαι. κατασκευάσωμεν ἐν πρώτῳ μέσον λαβόντες τὸ φερόμενον. πᾶν φυτὸν φέρεται. πᾶν φερόμενον ἔμψυχον. πᾶν ἄρα φυτὸν ἔμψυχον. καὶ συνθεὶς τὸ ζῷον οὐδενὶ φυτῷ. πᾶν φυτὸν φέρεται. πᾶν φερόμενον ἔμψυχον. καὶ συνάγεται ζῷον οὐ παντὶ ἐμψύχῳ. ἐπεὶ δὲ πᾶν φυτὸν φέρεται. πᾶν δὲ φερόμενον ἔμψυχον. πᾶν ἄρα φυτὸν ἔμψυχον. οὐδὲν φυτὸν ζῷόν ἐστιν. οὐ πᾶν ἄρα ἔμψυχον ζῷόν ἐστιν. οὕτω







τε μὲν οὖν ἐν πρώτῳ καὶ δευτέρῳ οἱ συλλογισμοί. δυνατὸν δὲ καὶ διὰ τοῦ αὐτοῦ, λέγω δὴ τοῦ τρίτου. πάντα τὰ συμπεράσματα συνάγεσθαι. κείσθω γὰρ ὥστε δεῖξαι. ὅτι τὸ φερόμενον αἴσθησιν ἔχει. τὸ δὲ δεδείχθω ἐν τρίτῳ σχήματι μέσον λαμβανόντων τὸ ἔμψυχον. τὸ μὲν γὰρ φερόμενον παντὶ ἐμψύχῳ. αἴσθησις δὲ τινὶ ἐμψύχῳ. αἴσθησις ἄρα τινὶ φερομένῳ. εἰ οὖν δέοι δεῖξαι πόθεν ὅτι αἴσθησις τινὶ ἐμψύχῳ. δείξομεν πάλιν ἐν τρίτῳ διὰ μέσου τοῦ ζῴου. αἴσθησις παντὶ ζῴῳ. ἀλλὰ καὶ ἔμψυχον παντὶ ζῴῳ. καὶ συνάξεις. αἴσθησις τινὶ ἐμψύχῳ. καὶ συνθεὶς τὸ φερόμενον παντὶ ἐμψύχῳ. τὸ ἔμψυχον παντὶ ζῴῳ. καὶ τὸ αἰσθητικὸν δὲ, παντὶ ζῴῳ. τὸ ἄρα αἰσθητικὸν τινὶ φερομένῳ. ἐπεὶ γὰρ τὸ φερόμενον παντὶ ἐμψύχῳ. τὸ δὲ ἔμψυχον παντὶ ζῴῳ. καὶ τὸ φερόμενον παντὶ ζῴῳ. πᾶν γὰρ ζῷον φέρεται. ἀλλὰ καὶ τὸ αἰσθητικὸν παντὶ ζῴῳ. τι ἄρα φερόμενον αἰσθητικόν ἐστιν. ἐν τούτοις δὲ πᾶσιν ἐκεῖνο δεῖ εἰδέναι ὅτι ὅταν μὲν διαφόροις σχήμασι τὰ συμπεράσματα συνάγηται, συντιθέμεναι αἱ προτάσεις φυλάττουσι τῶν σχημάτων τὴν ἰδιότητα. ὅταν δὲ ἐν τῷ αὐτῷ πάντα περαίνηται. ἐν τῇ συνθέσει τῶν προτάσεων, οὐ διὰ πασῶν τὸ αὐτὸ ἐμφαίνεται σχῆμα. ἀλλὰ δύο μὲν συμπλοκαὶ φυλάττουσι τὴν τοῦ σχήματος ἰδιότητα. αἱ δὲ ἄλλαι οὐκέτι. παραλιμπάνεται γὰρ ὡς εἴπομεν ἡ κατασκευαζομένη πρότασις, διὰ τὸ συμπέρασμα γίνεσθαι τοῦ προσυλλογισμοῦ. τὰ δὲ τῶν προσυλλογισμῶν συμπεράσματα μὴ παραλαμβάνεσθαι ἐν τῇ συνθέσει τῶν προτάσεων. τούτου δὲ γινομένου λύεται τὸ σχῆμα. καὶ εἰς τὸ πρῶτον ἀνάγεται. ἔστω γὰρ δεῖξαι ἐν τῷ δευτέρῳ σχήματι. ὅτι οὐδενὶ τῷ γ' τὸ β'. διὰ μέσου τοῦ α'. τὸ οὖν α'. οὐδενὶ μὲν τῶν β'. παντὶ δὲ τῷ γ'. δεικνυμένης οὖν πάλιν τῆς α' β' προτάσεως τῆς ἀποφατικῆς. διὰ μέσου

» ὍΛΩΣ γὰρ ὃ μή ἐστιν ὡς ὅλον πρὸς μέρος καὶ ἄλλο πρὸς τοῦτο ὡς μέρος πρὸς ὅλον· ἐξ οὐδενὸς
» τῶν τοιούτων δείκνυσιν ὁ δεικνύων· οὐδὲ γὰρ γίνεται συλλογισμός.


Τ οὐτέστιν εἰ μὴ οὕτως ἔχοιεν οἱ ὅροι· ὥστε τὸν μὲν μείζονα περιέχειν τὸν μέσον· τὸν δὲ μέσον τὸν ἐλάττονα· ἐξ οὐδενὸς τῶν ἐκκειμένων ἄντε ὅρων, ἄντε στοιχείων ἡ ἀπόδειξις ἐγίνετο.


» ΤΟ δ' ἐκτίθεσθαι, οὕτω προσχρώμεθα· ὥσπερ καὶ τῷ αἰσθάνεσθαι, τὸν μανθάνοντα λέγοντες· οὐ
» γὰρ οὕτως ὡς ἄνευ τούτων, οὐχ οἷόν τε ἀποδειχθῆναι, ὥσπερ ἐξ ὧν ὁ συλλογισμός.

Τ οὐτέστιν ὥσπερ ἐπὶ τῶν μαθημάτων τῇ αἰσθήσει τοῦ μανθάνοντος χρώμεθα· καταγράφοντες ποδιαίαν τὴν μὴ οὖσαν ποδιαίαν· καὶ ἀπλατῆ ὁμοίως· διὰ τὸ μὴ δύνασθαι μόνῃ τῇ φαντασίᾳ τοῖς ἐξ ὧν ἡ ἀπόδειξις ἐπιβάλλειν, οὕτω καὶ ἡμεῖς τοῦ σαφοῦς ἕνεκα τῆς διδασκαλίας· τοῖς ὅροις καὶ τοῖς στοιχείοις ἐχρησάμεθα. οὐ γὰρ οὕτω φησὶν αὐτοῖς ἐχρησάμεθα ὡς χωρὶς αὐτῶν μὴ δυνάμενοι, ἀποδεῖξαι· ὥσπερ ἀδύνατον ἀποδεῖξαι χωρὶς τοῦ ἐξ ὧν ὁ συλλογισμός· λέγω δὴ τοῦ καθόλου τοῦ μερικοῦ· τοῦ καταφατικοῦ τοῦ ἀποφατικοῦ· ἄνευ γὰρ τούτων ἀδύνατον ἀποδεῖξαι.

» ΜΗ λανθανέτω δὲ ἡμᾶς ὅτι ἐν τῷ αὐτῷ τῷ συλλογισμῷ οὐχ ἅπαντα τὰ συμπεράσματα δι' ἑνὸς,
» τοῦ αὐτοῦ σχήματός ἐστιν· ἀλλὰ τὸ μὲν, διὰ τούτου· τὸ δὲ, δι' ἄλλου· δῆλον οὖν ὅτι καὶ τὰς ἀναλύσεις,
» οὕτω ποιητέον. ἐπεὶ δ' οὐ πᾶν πρόβλημα ἐν ἅπαντι σχήματι, ἀλλ' ἐν ἑκάστῳ τεταγμένα, φανερὸν ἐκ
» τοῦ συμπεράσματος ἐν ᾧ σχήματι ζητητέον. τούς τε πρὸς ὁρισμοὺς τῶν λόγων, ὅσοι πρὸς ἕν τι τυγχά-
» νουσι διειλεγμένοι τῶν ἐν τῷ ὅρῳ, πρὸς ὃ διείλεκται θετέον ὅρον· καὶ οὐ τὸν ἅπαντα λόγον· ἧττον γὰρ
» συμβήσεται ταράττεσθαι διὰ τὸ μῆκος· οἷον, εἰ τὸ ὕδωρ ἔδειξεν ὅτι ὑγρὸν ποτὸν, τὸ ποτὸν καὶ τὸ ὕδωρ,
» ὅρους θετέον.

Ὃ βούλεται διὰ τούτων δεῖξαι, ἐκεῖνό ἐστιν, ὅτι ἐπειδὴ τῶν συλλογισμῶν οἱ μὲν ἁπλοῖ εἰσιν· οἱ δὲ σύνθετοι· καὶ καθόλου οἱ μὲν ἐκ προσυλλογισμοῦ δείκνυνται· ὧν αἱ προτάσεις, οὐκ ἄμεσοι οὐδὲ αὐτόπιστοι· οἱ δὲ οὐδὲ δέονται προσυλλογισμῶν διὰ τὸ ἀμέσους τε εἶναι καὶ αὐτοπίστους τὰς προτάσεις· οὐ δεῖ φησιν ἀγνοεῖν ὅτι ὅταν ἐκ προσυλλογισμοῦ περαίνηταί τις συλλογισμὸν, οὐ πάντως καθ' ἓν καὶ τὸ αὐτὸ σχῆμα πάντα συνάγεται τὰ συμπεράσματα· ἀλλ' ἔστιν ὅτε ἐν τοῖς δύο ἢ καὶ ταῖς τρισίν. ἐὰν μὲν γὰρ θελήσας δεῖξαι ὅτι σωκράτης οὐσία ἐστί· χρήσομαι μεταξὺ τῷ ζῷῳ ὅτι σωκράτης ζῷον· ἐπεὶ μὴ ἄμεσοι αἱ προτάσεις· καὶ δεῖ τῆς ἑκατέρας κατασκευῆς· τίθημι μεταξὺ μὲν σωκράτους καὶ τοῦ ζῴου τὸν ἄνθρωπον· μεταξὺ δὲ τοῦ ζῴου καὶ τῆς οὐσίας τὸ ἔμψυχον· καὶ πάλιν μεταξὺ τοῦ ἐμψύχου καὶ τῆς οὐσίας τὸ σῶμα· καὶ δῆλον ὅτι πάντα τὰ συμπεράσματα ἐν τούτῳ κατὰ τὸ α' γίνεται σχῆμα, οὕτως· σωκράτης ἄνθρωπος· ὁ ἄνθρωπος ζῷον· σωκράτης ἄρα ζῷον· τὸ ζῷον ἔμψυχον· σωκράτης ἄρα ἔμψυχον· καὶ οὕτω μέχρι τῆς οὐσίας· καὶ συντιθέμεναι πᾶσαι αἱ προτάσεις· εἶτα σύνθετον ἐν πρώτῳ σχήματι ποιοῦσι συλλογισμόν· σωκράτης ἄνθρωπος· ὁ ἄνθρωπος, ζῷον· τὸ ζῷον ἔμψυχον· τὸ ἔμψυχον σῶμα· τὸ σῶμα οὐσία· σωκράτης ἄρα οὐσία ἐστίν· ὁμοίως καὶ ἐν β' μόνῳ δυνατὸν πάντα τὰ συμπεράσματα συναγαγεῖν. οἷον εἰ θελήσω δεῖξαι ὅτι τὰ φυτὰ οὐκ ἔστι ζῷα· δείκνυμι τοῦτο ἐν δευτέρῳ σχήματι μέσον, ὅρον τεθεὶς τὴν αἴσθησιν· πᾶν ζῷον αἴσθησιν ἔχει· οὐδὲν φυτὸν αἴσθησιν ἔχει· οὐδὲν ἄρα φυτὸν ζῷον· εἰ μὲν οὖν ἡ κατηγορικὴ πρότασις δέοιτο κατασκευῆς λέγω δὴ ἡ ὅτι πᾶν ζῷον αἴσθησιν ἔχει, πάντως διὰ τοῦ α' δείκνυται σχήματος καθολικὴ οὖσα· εἰ δὲ μερικὴ ἦν καὶ διὰ τοῦ α' καὶ διὰ τοῦ γ'· εἰ δὲ ἡ ἀποφατικὴ δέοιτο κατασκευῆς καθολικὴ οὖσα, ἔστι μὲν ὅτε καὶ αὐτὴ διὰ τοῦ α' δειχθήσεται· ἔστι δὲ ὅτε διὰ τοῦ β'·





οἷον οὐδὲν φυτὸν δύναμιν ἔχει· γνωστικήν τε καὶ διακριτικὴν τῶν προσπιπτόντων ἢ θιγγανόντων· πᾶσα δὲ αἴσθησις, δύναμίς ἐστι γνωστική τε καὶ διακριτικὴ τῶν θιγγανόντων ἢ προσπιπτόντων· οὐδὲν ἄρα φυτὸν αἴσθησιν ἔχει· καὶ ἔστι συνθεῖναι τὸν συλλογισμὸν οὕτω· πᾶν ζῷον αἴσθησιν ἔχει· πᾶσα αἴσθησις, δύναμίς ἐστι γνωστική τε καὶ διακριτική, τινῶν· οὐδὲν δὲ φυτὸν δύναμιν γνωστικὴν ἢ διακριτικὴν ἔχει· οὐδὲν ἄρα φυτὸν, ζῷον· τὴν γὰρ ἀποφατικὴν τὴν ἐν τῷ α' συλλογισμῷ συμπέρασμα οὖσαν τοῦ προσυλλογισμοῦ, οὐ παραλαμβανόμεθα ἐν τῷ συνθέτῳ συλλογισμῷ· συντιθέντες γὰρ τοὺς συλλογισμοὺς τῶν προσυλλογισμῶν τὰ συμπεράσματα παραλιμπάνομεν· ὡς ἐπὶ τοῦ σωκράτους ζῷον· τὸ ζῷον ἔμψυχον· τὸ ἔμψυχον σῶμα· τὸ σῶμα οὐσία· σωκράτης ἄρα οὐσία· δυνατὸν δὲ καὶ ἐκ τρίτου καὶ δευτέρου εἰ μερικὸν εἴη τὸ ὀφεῖλον διὰ τοῦ προσυλλογισμοῦ ἀποδείκνυσθαι· ἔστω γὰρ πάλιν προκείμενον δεῖξαι ὅτι

οὐ πᾶν

τὸ δὲ ἁπλῶς ὑπάρχειν· ὡς φαμὲν τὸ φιλοσοφεῖν ἀνθρώπῳ ὑπάρχειν· καίτοι οὐ πᾶς ἄνθρωπος φιλοσοφεῖ· ἀλλ' ὅτι τινὶ ὑπάρχει.

» ΕΙ μὲν οὖν τὸ ά τῷ β ὑπάρχει, μὴ παντὶ δὲ, καθ' οὗ τὸ β', οὔτ' εἰ παντὶ τῷ γ' τὸ β', οὔτ' εἰ μόνον
» τινὶ ὑπάρχει, ἀνάγκη τὸ ά οὐχ ὅτι οὐ παντὶ, ἀλλ' οὐδ' ὑπάρχειν τῷ γ'.

Τουτέστιν ἐὰν ἡ μείζων πρότασις ἡ ά β' μερικὴ ᾖ· κἄν τε καθόλου ᾖ ἡ ἐλάττων ἡ β' γ'· κἄν τε μερική· ἐνδέχεται τὸ α μηδενὶ ὑπάρχειν τῷ γ'· ὡς ἐφ' ὧν εἰρήκαμεν παραδειγμάτων· ὅσον οὖν ἀπὸ τούτων ἔδειξεν ὅπερ ἤδη εἰρήκαμεν τὴν μείζονα πρότασιν, ὁμολογουμένως καθόλου καταφατικὴν λαμβάνειν· ἀλλὰ προϊὼν ἐπὶ τῆς ἀσυλλογίστου συζυγίας οὐκέτι τοῦτο λαμβάνει· ὡς ἤδη εἰρήκαμεν.

» ΕΙ δὲ καθ' οὗ ἂν τὸ β' λέγηται ἀληθῶς, τούτῳ παντὶ τὸ ά ὑπάρχει· συμβήσεται τὸ ά, καθ' οὗ παν-
» τὸς τὸ β' λέγεται, κατὰ τούτου παντὸς λέγεσθαι.

Τὴν συλλογιστικὴν ἐκτίθεται συζυγίαν· ὅτι εἰ τὸ β' παντὶ τῷ γ' ὑπάρχει· προκειμένου τοῦ καὶ τὸ ά παντὶ τῷ β' ὑπάρχειν· συνάγεται ὅτι τὸ ά παντὶ τῷ γ' ὑπάρξει· τὸ οὖν καθ' οὗ ἂν τὸ β' λέγηται ἀληθῶς, ἀντὶ τοῦ κατὰ παντὸς ἀκουστέον· ἑξῆς γοῦν φησι συμβήσεται τὸ ά καθ' οὗ παντὶ τῷ β' λέγεσθαι.

» ΕΙ μέντοι τὸ ά λέγεται καθ' οὗ ἂν τὸ β' λέγηται κατὰ παντὸς, οὐδὲν κωλύει τῷ γ' ὑπάρχειν τὸ
» β'· μὴ παντὶ δὲ τὸ α, ἢ ὅλως μὴ ὑπάρχειν.

Τὴν ἀσυλλόγιστον ἀναλαμβάνει συζυγίαν· ὑπερβατῶς δὲ ἔχει ἡ λέξις· εἰ μέντοι τὸ ά λέγεται κατὰ παντὸς καθ' οὗ τὸ β λέγεται· εἰ οὖν οὕτως ἔχοιεν ὥστε τὴν ἐλάττονα πρότασιν ἀπροσδιόριστον εἶναι· ἐνδέχεταί φησι τὸ ά ποτὲ μὲν οὐ παντὶ τῷ γ'· ποτὲ δὲ οὐδενὶ ὅλως ὑπάρχειν· καὶ σκόπει ἐκ τούτων ὅτι εἰ ὁμολογημένως τὴν μείζονα καθολικὴν καταφατικὴν ἐλάμβανεν, οὐκ εἶχε χώραν λέγειν ὅτι ἐνδέχεται τὸ α μηδενὶ τῷ γ' ὑπάρχειν· τῆς γὰρ μείζονος καθόλου καταφατικῆς οὔσης· τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς· ἀνάγκη πᾶσα καὶ τὸ συμπέρασμα μερικὸν καταφατικὸν εἶναι· πῶς οὖν φησιν ὅτι ἐνδέχεται τὸ ά τῷ γ' ὅλως μὴ ὑπάρχειν.

» ΕΝ δὴ τοῖς φησιν ὅροις, δῆλον ὅτι τὸ καθ' οὗ τὸ β' παντὸς, τὸ ά λέγεσθαι, τοῦτ' ἔστι καθ' ὅσων τὸ β'
» λέγεται, κατὰ πάντων λέγεσθαι καὶ τὸ ά.

Τὸ λέγειν φησὶ καθ' οὗ παντὶ τὸ β' λέγεται· τοῦτο σημαίνει ὅτι καθ' ὅσων τὸ β' λέγεται, κατὰ πάντων τούτων καὶ τὸ ά λέγεται.

» ΚΑΙ εἰ μὲν κατὰ παντὸς τὸ β', καὶ τὸ ά οὕτως· εἰ δὲ μὴ κατὰ παντὸς, οὐκ ἀνάγκη τὸ ά ὑπάρ-
» χειν κατὰ παντός.

Τουτέστιν ἡ ἐλάττων καθόλου καταφατικὴ ᾖ· καὶ τὸ συμπέρασμα τοιοῦτον· οἷον, εἰ τὸ β' παντὶ τῷ γ'· καὶ τὸ ά παντὶ τῷ γ'· εἰ δὲ τὸ β' μὴ κατὰ παντὸς ὑπάρχει τοῦ γ'· οὐκ ἀνάγκη τὸ ά παντὶ τῷ γ' ὑπάρχειν· ἀλλ' ἐνδέχεται καὶ μὴ ὑπάρχειν.

» ΟΥ δεῖ δὲ οἴεσθαι παρὰ τὸ ἐκτίθεσθαι συμβαίνειν τι ἄτοπον· οὐδὲν προσχρώμεθα τῷ, τόδε τι εἶναι,
» ἀλλ' ὥσπερ ὁ γεωμέτρης τὴν ποδιαίαν καὶ εὐθεῖαν τήνδε εἶναι καὶ ἀπλατῆ λέγει οὐκ οὔσας.

Ἐπειδὴ διὰ παντὸς τοῦ βιβλίου διὰ τῆς τῶν στοιχείων ἐκθέσεως, τὴν διδασκαλίαν ἐποιήσατο· ἵνα μή τις ὑπονοήσῃ ὅτι ἡ τῶν στοιχείων θέσις αἰτία ἐστὶ, τοῦ συλλογιστικὰς εἶναι τινὰς τῶν συμπλοκῶν ἢ ἀσυλλογίστους· αὐτὸ τοῦτο διδάσκει, ὅτι οὐ περὶ τὴν ἔκθεσιν τῶν στοιχείων τὰ συμβαίνοντα συμβέβηκε· καὶ τί λέγω τῶν στοιχείων· ὅπου γε οὐδὲ περὶ τὴν τῶν παραληφθέντων ὅρων φύσιν· οὐ διὰ τῶν συμβαινόντων συμβέβηκεν· ἀλλ' ὥσπερ ὁ γεωμέτρης σαφηνείας ἕνεκεν τοῖς μανθάνουσιν ἐκτίθεται εὐθεῖάν τινα· καὶ ταύτην ἀξιοῖ ἀπλατῆ εἶναι οὐκ οὖσαν ἀπλατῆ· ἢ ἄπειρον εἶναι οὐκ οὖσαν, ἄπειρον· ὁμοίως καὶ κύκλον γράφει· οὐκ ὄντα κύκλον· καὶ διάμετρον· καὶ κέντρον· καὶ τὰ λοιπὰ ἃ μεταλαμβάνει· καὶ οὐ περὶ τὰ ἐκτεθειμένα συμβαίνει τὰ ὑποδεικνύμενα· ἀλλὰ περὶ τὰ νοούμενα· οἷον τὸ ἀπλατῆ εἶναι τὴν εὐθεῖαν· κἂν ἡ ἐκκειμένη μὴ ᾖ ἀπλατής· καὶ περὶ τὸ τοῦ κύκλου κέντρον· καὶ τὴν διάμετρον· κἂν τὰ ἐκκείμενα μὴ οὕτως ἔχῃ· τῆς δὲ διδασκαλίας ἕνεκεν μόνης ἐκτίθεται τὰ τοιαῦτα· διότι οἱ εἰσαγόμενοι δέονται τῆς δι' αἰσθήσεως ὁδηγίας μήπω τοῖς νοητοῖς εἴδεσι καθ' αὑτὰ ἐπιβάλλειν δυνάμενοι· οὕτω φησὶ καὶ ἡμεῖς τοῖς στοιχείοις ἐχρησάμεθα, καὶ τοῖς ὅροις εἰς σαφήνειαν τῆς διδασκαλίας· οὐ περὶ ταῦτα ἀποδείξαντες τὰ ἀποδεδειγμένα· ἀλλὰ περὶ τὴν συμπλοκὴν τοῦ καθόλου καὶ τοῦ μερικοῦ καταφατικοῦ καὶ ἀποφατικοῦ· ἄνευ γὰρ τῆς τούτων τοιᾶσδε ἢ τοιᾶσδε συνθέσεως, οὐδὲν ἐδείκνυτο· οὕτω γοῦν ἐλέγομεν ὅτι εἰ τὸ ά παντὶ τῷ β' ὑπάρχει· παντὰ πᾶσι τοῖς μέρεσιν αὐτοῦ ὑπάρχει· καὶ εἰ τὸ β' τῷ γ' ὑπάρχει ἢ παντὶ ἢ τινὶ μέρος ὂν αὐτοῦ τοῦ β τὸ γ'· ὥστε καὶ τὸ ά παντὶ ἢ τινὶ τῷ γ' ὑπάρξει· καὶ οὕτως ἡ ἀπόδειξις πάντων ἐκ τούτων ἐγένετο ἡ ἀπόδειξις οὐκ ἐκ τῶν κειμένων.

» ΑΛΛ' οὐχ οὕτω χρῆται ὡς ἐκ τούτων συλλογιζόμενος.

Οὐχ οὕτω χρῆταί φησι τοῖς ἐκκειμένοις ὡς εἶχε φύσεως· οὐδὲ γὰρ ἀπλατὴς ἡ ἐκτεθεῖσα εὐθεῖα· οὐδὲ ποδιαία· οὕτως οὖν οὐδὲ ἡμεῖς ἐκ τῆς φύσεως τῶν ἐκτεθέντων στοιχείων ἢ τῶν ὅρων ἀπεδείξαμεν· ἀλλὰ καὶ πόθεν ἐπήγαγεν.

γαθὸν, τουτέστιν ὅτι πᾶν ἀγαθὸν ἐστὶν ἡ ἡδονή. ὅτι γένος τῶν ἀγαθῶν. ὥστε φησὶν ἐπισκοπεῖν δεῖ τί βουλόμεθα συμπεράνασθαι. εἰ μὲν γὰρ ὅτι ἡ ἡδονή τι ἀγαθόν ἐστιν, ἐν τῷ μείζονι ἄκρῳ τὸ ἀγαθὸν θετέον. οἷον ἡ ἡδονὴ φυσική ἐστιν ἐνέργεια. πᾶσα φυσικὴ ἐνέργεια, ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἀγαθόν. εἰ δὲ ὅτι ἁπλῶς ἀγαθόν ἐστιν ἡ ἡδονή. τουτέστιν ὅτι τὸ ἀγαθόν. μετὰ τοῦ ἄρθρου θετέον τὸ μείζονα. παρατίθεται δὲ ὁ ἀλέξανδρος, χαριέστατόν τι παράδειγμα. δεικνὺς ὅτι ὅλον καὶ παντὶ ἐξαλλαγὴν ποιεῖ ἡ παρὰ μικρὸν τῶν ὅρων θέσις. λέγει γὰρ οὕτως. εἰ οὐδέν ἐστιν, οὐδὲ νύξ ἐστιν. εἰ μὴ νύξ ἐστιν, ἡμέρα ἐστίν. εἰ ἄρα οὐδέν ἐστιν, ἡμέρα ἐστί. καὶ ὅρα πῶς βραχεῖα ἐναλλαγὴ τοσαύτην ἐναλλαγὴν ἐποίησεν. τὸ γὰρ οὐδὲ νύξ ἐστι, δέον οὕτω λαβεῖν καὶ ἐν τῇ μείζονι προτάσει. οὕτω γὰρ ἂν ψευδὴς ἐγένετο ἡ μείζων πρότασις. εἰ οὐδὲ νύξ ἐστιν, ἡμέρα ἐστί. τοῦτο γὰρ ψευδές. ἀληθὲς δὲ τὸ εἰ οὐδὲ νύξ ἐστιν οὐδὲ ἡμέρα ἐστί. καὶ συνήγετο. εἰ οὐδέν ἐστιν, οὐδὲ ἡμέρα ἐστίν. ἀντὶ τοίνυν τοῦ εἰπεῖν εἰ οὐδὲ νύξ ἐστιν, εἶπεν εἰ μὴ νύξ ἐστι. καὶ οὕτω λοιπὸν ἔσχε χώραν τὸ ἐπαγαγεῖν ἡμέρα ἐστίν.

ΟΥΚ ἔστι δὲ παντὸς οὔτ᾽ εἶναι οὔτ᾽ εἰπεῖν. ὅτι ᾧ τὸ β᾽ ὑπάρχει, τούτῳ παντὶ τὸ α᾽ ὑπάρχει, καὶ τὸ εἰπεῖν, ᾧ παντὶ τῷ β᾽ ὑπάρχει, καὶ τὸ α᾽ ὑπάρχει παντί. οὐδὲν γὰρ κωλύει τὸ β᾽ τῷ γ᾽ ὑπάρχειν, μὴ παντὶ δέ, οἷον ἔστω τὸ μὲν β᾽, καλόν τι. τὸ γ᾽, λευκόν. εἰ δή τινι λευκῷ ὑπάρχει καλόν τι, ἀληθὲς εἰπεῖν ὅτι λευκῷ ὑπάρχει καλόν. ἀλλ᾽ οὐ παντὶ ἴσως.

Ε᾽ πολλάκις τῶν ἀρχαιοτέρων τινὲς ἢ καὶ οἱ προσδιαλεγόμενοι, οὐ τὰς δύο προτάσεις τοῦ συλλογισμοῦ λέγουσιν ὡς καὶ ἔμπροσθεν εἴρηται. ἀλλ᾽ ἔστιν ὅτε τὴν ἐλάττονα μόνην εἰπόντες, εὐθὺς ἐπάγουσι τὸ συμπέρασμα. διδάσκει ἡμᾶς πῶς καὶ τούτους ἀναλύσομεν τοὺς συλλογισμούς. καὶ πῶς μὲν ἔχοντες, ὀρθῶς ἔχουσι. πῶς δὲ οὐκ ὀρθῶς. ἔστωσαν δὲ οἱ τρεῖς ὅροι τοῦ συλλογισμοῦ. οἱ α᾽ β᾽ γ᾽. μείζων μὲν ὁ α᾽. ἐλάττων δὲ ὁ γ᾽. μέσος δὲ β᾽. ἐὰν οὖν φησὶν οὕτω τις εἴπῃ· ὅτι ᾧ τὸ β᾽ ὑπάρχει παντὶ, τούτῳ καὶ τὸ α᾽ ὑπάρχει παντί. οἷον τῷ γ᾽. συλλογιστικὸς οὗτος ὁ λόγος. ἔστι δὲ ἐλάττων μὲν πρότασις, ἡ β γ. συμπέρασμα δὲ, ἡ α γ. ἡ δὲ μείζων ἥτις καὶ παραλέλειπται ἡ α᾽ β᾽. ἐὰν δὲ οὕτω τις εἴπῃ φησίν. ὅτι ᾧ τὸ β᾽ ὑπάρχει, τούτῳ παντὶ τὸ α᾽ ὑπάρχει, παραλογίζεται. καὶ τὸ β᾽ ὑπάρχει τῷ γ᾽. ἐνδέχεται γὰρ τὸ α᾽. οὐ μόνον παντὶ τῷ γ᾽ ὑπάρχειν. ἀλλ᾽ ἔστιν ὅτε καὶ οὐδενί. τοῦτο δὲ συμβαίνει διὰ τὸ ἀπροσδιόριστον εἰλῆφθαι τὴν β γ᾽ πρότασιν. λέγω δὴ τὴν ἐλάττονα. τὰς δὲ ἀπροσδιορίστους ταῖς μερικαῖς ἰσοδυναμεῖν. ἔστω γὰρ τὸ μὲν α᾽ λευκόν. τὸ δὲ β᾽ πτηνόν. τὸ δὲ γ᾽ ζῷον. ἀληθὲς δὲ εἰπεῖν ὅτι τὸ πτηνὸν ὑπάρχει τῷ ζῴῳ. τινὶ γὰρ ζῴῳ ὑπάρχει. αἱ δὲ ἀπροσδιόριστοι ἰσοδυναμοῦσι μερικαῖς. οὐκέτι δὲ ἀληθὲς εἰπεῖν, ὅτι τὸ λευκὸν παντὶ ζῴῳ ὑπάρχει. τινὶ γὰρ ὑπάρχει. οἷον τῷ κύκνῳ. εἰ δὲ ληφθείη μέρος τοῦ ζῴου. ᾧ μὴ ὑπάρχει τὸ λευκὸν οἷον τῷ κόρακι. τούτῳ πτηνὸν μὲν ὑπάρχει. λευκὸν δὲ οὐχ ὑπάρξει. τὰ μὲν οὖν λεγόμενα ταῦτά ἐστιν. οὐ μόνον δὲ ὅτε οὕτω φαμὲν ὅτι ᾧ τὸ β᾽ ὑπάρχει, τούτῳ παντὶ τὸ α᾽ ὑπάρχει. ἐνδέχεται γὰρ τὸ α᾽ ποτὲ μὲν τινὶ ποτὲ δὲ μὴ παντὶ τῷ γ᾽. ποτὲ δὲ μηδενί. ἀλλὰ κἂν οὕτως εἴπωμεν, ὅτι ᾧ τὸ β᾽ παντὶ, τούτῳ καὶ τὸ α᾽ παντί. οὐδὲ γὰρ οὕτως ἀεὶ ἀληθές. τὸ ᾧ τὸ β᾽ παντὶ, τούτῳ καὶ τὸ α᾽ παντί. ἐνδέχεται γὰρ καὶ μηδενί. εἰ γὰρ ἡ α᾽ β᾽ ἀποφατικὴ ληφθείη. τὸ μὲν β᾽ παντὶ τῷ γ᾽ ὑπάρξει τὸ δὲ α᾽ οὐδενί. ἔστω γὰρ τὸ μὲν α᾽ ἄψυχον. τὸ δὲ β᾽ ζῷον. τὸ δὲ γ᾽ πτηνόν. τὸ μὲν οὖν β᾽ παντὶ τῷ γ᾽ ὑπάρξει. τὸ δὲ α᾽ οὐδενί. ἢ δή ποτε ἐνδέχεται. οἷον εἰ ἀντὶ τοῦ ἀψύχου τὸ ἔμψυχον λάβοι. καὶ ἐπὶ τῆς ἑτέρας συμπλοκῆς τὸ αὐτὸ ἐνδέχεται. εἰ γὰρ λάβοι λευκόν. ἄλογον. κύκνον. ᾧ γὰρ ὑπάρχει τὸ ἄλογον οἷον, κύκνῳ, τούτῳ παντὶ ὑπάρχει τὸ λευκόν. ἀλλ᾽ αἱ συλλογιστικαὶ συζυγίαι, οὐκ ἐπί τινος μὲν ὕλης ἀληθεῖς ἦσαν, ἐπί τινος δὲ οὔ. ἀλλ᾽ ἐπὶ πάσης. τοῦτο γὰρ τοῖς ἀσυλλογίστοις ὑπῆρχε. τὸ δὲ ἐπί τινος μὲν ὕλης ἀληθεύειν, ἐπί τινος δὲ ψεύδεσθαι. ὡς εἶναι δηλονότι καὶ ὅτι ἀληθεύον. ἐπεὶ καὶ ἐκ ψευδῶν προτάσεων δυνατὸν ἦν ἀληθές τι συνάγειν διὰ τὴν παραλαμβανομένην ὕλην. ἐπὶ τούτοις ἔλεγεν ὁ φιλόσοφος. ὅτι μήποτε ὁ ἀριστοτέλης οὐδὲν ἕτερον διὰ τῶν νῦν παραδιδομένων θέλει διδάξαι, ἢ ὅπερ φθάσας ἐδίδαξεν, ὅτι ἀδύνατόν ἐστιν ἐν πρώτῳ σχήματι καθολικὸν συναχθῆναι συμπέρασμα καταφατικόν. εἰ μὴ πάντως καθολικὴ εἴη ἡ ἐλάττων. τὴν γὰρ μείζονα πρόδηλον ὡς ἀνάγκη ἀεὶ καθολικὴν εἶναι. τούτου οὖν ὑποκειμένου. λέγω δὴ τοῦ καθολικὴν εἶναι τὴν μείζονα. εἰ μὲν καὶ ἡ ἐλάττων καθολικὴ ληφθῇ, πάντως καθολικὸν ἔσται καὶ τὸ συμπέρασμα. εἰ δὲ ἀπροσδιόριστος, οὐ πάντως. ἀλλ᾽ εἰ τοῦτο ἔλεγε, πρῶτον μὲν περιττὸν, περὶ τούτου νῦν λέγειν περὶ οὗ ἱκανῶς ἐν τῷ περὶ γενέσεως τῶν συλλογισμῶν ἐδίδαξε. νῦν δὲ περὶ ἀναλύσεως οὐ περὶ γενέσεως συλλογισμῶν διδάξαι βούλεται. ἔπειτα εἴδη τὴν μείζονα ὡς ὁμολογουμένην καθόλου καταφατικὴν λαμβάνει. οὐκέτι ἀληθεύει ἐπὶ τῆς ἀπροσδιορίστου λέγων ὅτι ἐνδέχεται ᾧ τὸ β᾽ ὑπάρχει, τούτῳ μηδενὶ ὑπάρχειν τὸ α᾽. εἰ γὰρ τὸ μὲν α᾽ παντὶ τῷ β᾽ τὸ δὲ β᾽ ὑπάρχει τῷ γ᾽ τουτέστι τινί. πάντως καὶ τὸ α᾽ τινὶ τῷ γ᾽ ὑπάρξει. οὐδέποτε δὲ οὐδενί. ἀδύνατον γὰρ ἐκ δύο καταφατικῶν, ἀποφατικὸν συναχθῆναι συμπέρασμα. ὅσον οὖν ἐμὲ εἰδέναι, οὐ φαίνεται ὑγιῶς ἔχειν τὸ προκείμενον χωρίον. τὴν λέξιν δὲ ὅμως ἐπισκεψώμεθα. Οὐκ ἔστι δὲ παντὸν οὔτε εἶναι, οὔτε εἰπεῖν ὅτι ᾧ τὸ β᾽ ὑπάρχει, τούτῳ παντὶ τὸ α᾽ ὑπάρχει. Τουτέστιν οὔτε κατὰ τὴν τῶν πραγμάτων ὑπόστασιν, οὔτε κατὰ τὴν τῶν λόγων προφορὰν ταυτόν ἐστι τὸ ὑπάρχειν καὶ ἁπλῶς καὶ ἀπροσδιορίστως, καὶ παντὶ ὑπάρχειν. κἂν γὰρ μὴ παντὶ ὑπάρχει, λέγοιο

πάρχειν ἤ τινί τι δεῖξαι βουλόμεθα καὶ ὅτι μὴ ὑπάρχειν, ἀλλ᾽ ᾧ μὲν ἁπλῶς ὑπάρχει τὸ κατηγορούμενον· καθολικὸν δεῖ τιθέναι καὶ τὸν μέσον ὅρον. ᾧ δὲ πῆ, καὶ ὁ μέσος ὅρος μερικώτερος ἔσται. οἷον φησὶν ὃ τὸ ἀγαθὸν ἐπιστητὸν ἁπλῶς δεῖξαι θελήσομεν. καὶ πάλιν ὃ μὴ ἁπλῶς ὅτι ἐπιστητόν. ἀλλ᾽ ὅτι ἀγαθὸν ἐπιστητόν. ἔστω γὰρ μέσος ὅρος δι᾽ οὗ δείκνυται τὸ πρόβλημα, τὸ ὄν. δῆλον οὖν ὅτι ἐπὶ μὲν τοῦ προτέρου τὸ ἁπλῶς ὂν μέσον τίθεσθαι. ἐπὶ δὲ τοῦ δευτέρου, τὸ τί ὄν. οἷον τὸ ἀγαθὸν ὄν ἐστι. τὸ ὂν ἐπιστητόν ἐστιν ὅτι ὄν. τὸ ἀγαθὸν ἄρα ἐπιστητόν ἐστιν ὅτι ὄν. ἐπὶ δὲ τοῦ δευτέρου, ἔστω μέσον τὸ τί ὄν. οἷον τὸ ὠφέλιμον. ἢ αἱρετόν. ἢ ἐφετόν. ἤ τις τοιοῦτον ἕτερον. τὸ ἀγαθὸν ὠφέλιμον. τὸ ὠφέλιμον ἐπιστητὸν ὅτι ἀγαθόν. τὸ ἀγαθὸν ἄρα ἐπιστητὸν ὅτι ἀγαθόν. τὸ γὰρ αἱρετὸν καὶ ὠφέλιμον, οὐχ ἁπλῶς ὄντα, ἀλλὰ ποιὰ ὄντα. ἴδωμεν δὲ τὴν λέξιν.

ΕΣΤΩ γὰρ τὸ μὲν α ἐπιστήμη, ὅτι τί ὄν. ἐφ᾽ ᾧ δὲ β ὄν τι. τὸ δὲ ἐφ᾽ ᾧ γ ἀγαθόν. ἀληθὲς δὴ τὸ α τοῦ β κατηγορεῖν. ἦν γὰρ ἐπιστήμη τοῦ τινὸς ὄντος. ὅτι τί ὄν. ἀλλὰ καὶ τὸ β τοῦ γ. τὸ γὰρ ἐφ᾽ ᾧ γ ὄν τι. ὥστε καὶ τὸ α τοῦ γ. ἔσται ἄρα ἐπιστήμη τοῦ ἀγαθοῦ ὅτι τί ἀγαθόν.

ῥᾶον τοῦ πῆ οὐ τοῦ ἁπλῶς ὑπόδειγμα τίθησιν. οἷον τὸ ἀγαθόν. τί ὄν. τοῦ τινὸς ὄντος ἐπιστήμη ἐστὶν ὅτι τί ὄν. τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστὶν ὅτι τί ὄν. ἐθήκαμεν δὲ ἤδη ἐπὶ ὅρων τὰς προτάσεις.

ΗΝ γὰρ τὸ τί ὂν τῆς ἰδίας οὐσίας σημεῖον.

οἷον τὸ ὠφέλιμον. ἢ τὸ αἱρετὸν τῆς ἰδιαζούσης τοῦ ἀγαθοῦ οὐσίας δηλωτικόν ἐστι. τὸ δὲ ὂν ἁπλῶς οὐ τῆς ἰδίας οὐσίας κατηγορεῖ. ἀλλὰ τῆς κοινῆς.

ΕΙ δὲ τὸ ὂν μέσον ἐτέθη, καὶ πρὸς τῷ ἄκρῳ τὸ ὂν ἁπλῶς, καὶ μὴ τὸ τί ὂν ἐλέγετο, οὐκ ἂν ἦν συλλογισμός, ὅτι ἐστὶν ἐπιστήμη τοῦ ἀγαθοῦ ὅτι ἀγαθόν, ἀλλ᾽ ὅτι ὄν. οἷον ἐφ᾽ ᾧ α ἐπιστήμη ὅτι ὄν. ἐφ᾽ ᾧ τὸ β ὄν. ἐφ᾽ ᾧ γ ἀγαθόν. φανερὸν οὖν ὅτι ἐν τοῖς ἐν μέρει συλλογισμοῖς, οὕτω ληπτέον τοὺς ὅρους.

ἐν τῷ μέσῳ ὅρῳ φησὶ μὴ τὸ τί ὂν τιθῇ. ἀλλ᾽ ἁπλῶς τὸ ὄν. καὶ πρὸς τῷ μείζονι ὅρῳ μὴ τὸ κατά τι ἐπιστητόν, ἀλλὰ τὸ ἁπλῶς ἐπιστητόν. ᾗ ὄν ἐστι. καὶ τὸ συμπέρασμα τοιοῦτον ἔσται ἁπλῶς καὶ οὐ πῆ. οἷον ὅτι τὸ ἀγαθὸν ἐπιστητόν. οὐχ ᾗ ἀγαθὸν ἀλλ᾽ ἁπλῶς ᾗ ὄν.

ΔΕΙ δὲ καὶ μεταλαμβάνειν ἃ τὸ αὐτὸ δύναται ὀνόματα ἀντ᾽ ὀνομάτων, καὶ λόγους ἀντὶ λόγων, καὶ ὄνομα καὶ λόγον.

τὶ ἄλλο τι παράδειγμα μεταβαίνει. ἐπειδὴ γὰρ πρὸς τοῖς ἄλλοις καὶ τῆς τῶν λεγομένων σαφηνείας ἀντιποιούμεθα. ἐν ὅσοις εὑρίσκονται πλείονες ὅροι τὸ αὐτὸ δηλοῦντες, δεῖ ἀντιλαμβάνειν ἐκ τῶν ἀσαφεστέρων τοὺς σαφεστέρους, καὶ ἀντὶ ὀνόματος δὲ ἔνθα ἂν δέῃ. ἀντιμεταληπτέον λόγον, καὶ ἀντὶ λόγου λόγον. καὶ ἀντὶ λόγου ὄνομα. πολλάκις γὰρ ἡ μετάληψις σαφέστερον ὃ βουλόμεθα δεῖξαι παρίστησιν. οἷον ὃ τὴν ἀρετὴν αὐτοπραγίαν τῆς ἅπαι εἶναι τῶν μορίων τῆς ψυχῆς, δύναται σαφέστερόν τινα λόγον μεταλαβόντας εἰπεῖν. προσήκουσαν ἐνέργειαν ἑκάστου τῶν τῆς ψυχῆς μορίων. λόγος γὰρ ἀντὶ λόγου μετάληψις. πάλιν ἀντὶ τοῦ εἰπεῖν. ὅτι ὁ ἄνθρωπος οὐκ ἔστιν ὅπερ ζῶον ἀντὶ τοῦ ὅπερ ζῶον λόγου ὄντος. μεταληπτέον τὸ ὄνομα σαφέστερον. ὅτι ὁ ἄνθρωπος οὐκ ἔστι γένος. τὸ γὰρ ὅπερ ζῶον γενικὸν ζῶον σημαίνει. ἢ ἀντὶ τοῦ εἰπεῖν Σωκράτης ζῶον πεζὸν, δίπουν. ὀρθοπετὲς ἐπιστημονικόν. πλατυώνυχον. λεκτέον ὄνομα. Σωκράτης ἄνθρωπός ἐστι. ἢ ἔμπαλιν. ἀντὶ τοῦ ὀνόματος τὸν λόγον. ὃ σαφέστερόν ἐστι πρὸς τὸ προκείμενον πρόβλημα. ἀλλὰ καὶ ἀντὶ ὀνόματος, ὄνομα. οἷον ἀντὶ τοῦ εἰπεῖν, ἡ δικαιοσύνη λυσιτελής, λέγειν ὅτι ἡ δικαιοσύνη συμφέρον ἢ ἀγαθὸν ἢ ὠφέλιμον.

ΚΑΙ ἀεὶ ἀντὶ τοῦ λόγου, τοὔνομα λαμβάνειν. ῥᾴων γὰρ ἡ τῶν ὅρων ἔκθεσις. οἷον, εἰ μηδὲν διαφέρει εἰπεῖν τὸ ὑποληπτὸν τοῦ δοξαστοῦ μὴ εἶναι γένος, ἢ μὴ εἶναι ὅπερ ὑποληπτόν τι, τὸ δοξαστόν. ταὐτὸν γὰρ τὸ σημαινόμενον, ἀντὶ τοῦ λόγου τοῦ λεχθέντος, τὸ ὑποληπτὸν καὶ τὸ δοξαστὸν ὅρους θετέον.

ἀρέσθαι φησὶ χρὴ μάλιστα ὀνόματα ἀντὶ τῶν λόγων λαμβάνειν. ῥᾳδία γὰρ ἡμῖν ἔσται φησὶν ἡ τῶν ὅρων ἔκθεσις. μάλιστα ὡς τὸ περὶ τῆς εὐπορίας τῶν προτάσεων πρόβλημα. ῥᾶον εὑρίσκειν τὰ τοῖς ὅροις παρακολουθοῦντα, ἢ τὰ ὅλοις λόγοις. καὶ ὅλως ὃ ταὐτὸν δύναται τὸ ὄνομα τῷ λόγῳ. ἐν μὲν τῇ ἐκθέσει τοῖς ὅροις χρησόμεθα. ἐν δὲ τῇ συμπλοκῇ τῶν προτάσεων τοῖς λόγοις. ὡς τοῦτο γὰρ ἡμῖν συνώσει. ὥσπερ ἐφ᾽ ὃ ἐξέθετο παραδείγματος. οἷον ὅτι τὸ δοξαστὸν ὅπερ ὑποληπτὸν οὐκ ἔστιν. ἢ τοῦ δοξαστοῦ τὸ ὑποληπτόν, οὐκ ἔστι γένος. ἀμφότεροι μὲν γὰρ οἱ λόγοι τὸ αὐτὸ δύνανται. ἐν δὲ τῇ ἐκθέσει οὐ δεῖ τοὺς λόγους ἐκτίθεσθαι. ἀλλὰ τοὺς ὅρους μόνους. τὸ δοξαστόν φημι. καὶ τὸ ὑποληπτόν.

ΕΠΙ δὲ οὐ ταὐτόν ἐστι τὸ εἶναι τὴν ἡδονὴν ἀγαθόν. καὶ τὸ εἶναι τὴν ἡδονὴν τὸ ἀγαθόν, οὐχ ὁμοίως θετέον τοὺς ὅρους. ἀλλ᾽ εἰ μὲν ἐστὶν ὁ συλλογισμὸς ὅτι ἡ ἡδονὴ τὸ ἀγαθόν, ὅρον θετέον τὸ ἀγαθόν. εἰ δ᾽ ὅτι ἀγαθόν, ἀγαθόν. οὕτω δὲ καὶ ἐπὶ τῶν ἄλλων.

ἄλλο πάλιν θεώρημα παραδίδωσιν. ὅτι οὐ δεῖ μηδὲν οἴεσθαι τὸ παρὰ μικρὸν ἐκθέσθαι τοὺς ὅρους. ὅπερ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγεν. οἷον μετὰ ἄρθρου καὶ ἐκτὸς ἄρθρου. ὅλῳ γὰρ καὶ παντὶ διαλάττει ποιεῖν τοὺς ὅρους προσκείμενον τὸ ἄρθρον ἢ μὴ προσκείμενον. οἷον εἴ τις εἴποι. ὅτι ἡ ἡδονὴ τὸ ἀγαθόν ἐστι. τὸ μὲν γὰρ λέγειν ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι. τοῦτο σημαίνει ὅτι ἀγαθόν ἐστιν ἡ ἡδονή. τὸ δὲ λέγειν ὅτι ἡ ἡδονὴ τὸ

ἐν ὅρῳ τῷ κατηγορουμένῳ δύο κατηγορίας συμπλέκειν. ἢ καὶ ἐν τῇ ὅλῃ προτάσει συμπλέκειν. ἵνα τὸν μὲν τῶν ὅρων ἐξ ἄλλης κατηγορίας λάβωμεν τὸν δὲ ἐξ ἄλλης. οἷον ὁ βαδίζων ὑγιαίνει. οὐκ ἀεὶ δὲ δύνασθαι συμπλέκεσθαι. αἱ γὰρ κατηγορίαι πολλάκις ἑκάστη μὲν ἰδίᾳ κατηγορεῖσθαι τινὸς δύνανται. συμπεπλεγμέναι δὲ οὐκέτι. φημὶ γὰρ οὕτω. σωκράτης ἀγαθόν ἐστι. σωκράτης ἰατρός ἐστιν. οὐ πάντως δὲ καὶ συμπλέξαντι ἀληθὲς εἰπεῖν ἰατρὸς ἀγαθός ἐστι. ἐνδέχεται γὰρ ὡς μὲν ἄνθρωπον ἀγαθόν. ὡς δὲ ἰατρὸν κακὸν εἶναι. ἀλλ᾽ οὐδὲ τὰ συμπεπλεγμένα ὡς κατηγορούμενα πάντως καὶ ἰδίᾳ. ἐνδέχεται γὰρ εἰπεῖν τινὰ ὅτι ἀγαθὸς ἰατρός. οὐ μὴν ὅτι καὶ ἁπλῶς ἀγαθός.

» ΟΜΟΙΩΣ δὲ καὶ τὸ μὴ ὑπάρχειν.

Τ ουτέστιν ἐπὶ τῶν ἀποφατικῶν προτάσεων.

» ΕΠΙΣΚΕΠΤΕΟΝ δὲ ταῦτα καὶ διοριστέον βέλτιον.

Η° ὡς μέλλων περὶ τούτων διορίζεσθαι ταῦτά φησι. ποῖαι μὲν τῶν κατηγοριῶν ἰδίᾳ κατηγορεῖσθαι δύνανται οὐ μὴν συμπεπλεγμέναι. ποῖαι δὲ καὶ συμπλέκεσθαι δύνανται. ἢ ἡμῖν τοῦτο ποιεῖν παρακελεύεται ἵν᾽ ὦμεν προπαρεσκευασμένοι, καὶ τούτῳ.

» ΤΟ δὲ ἐπαναδιπλούμενον ἐν ταῖς προτάσεσι πρὸς τῷ πρώτῳ ἄκρῳ δὲ θετέον. οὐ πρὸς τὸ μέσον.
» λέγω δὲ οἷον εἰ γένοιτο συλλογισμὸς ὅτι τῆς δικαιοσύνης ἐστὶν ἐπιστήμη ὅτι ἀγαθὸν, τὸ ὅτι ἀγαθὸν ἢ ᾗ ἀγα-
» θὸν, πρὸς τῷ ἄκρῳ θετέον. ἔστω γὰρ τὸ α ἐπιστήμη ὅτι ἀγαθόν. ἐφ᾽ ᾧ δὲ τὸ β ὅτι ἀγαθὸν, ἐφ᾽ ᾧ δὲ τὸ γ, δι-
» καιοσύνη. τὸ δὴ α ἀληθὲς τοῦ β κατηγορῆσαι. τοῦ γὰρ ἀγαθοῦ ἐστιν ἐπιστήμη ὅτι ἀγαθόν. ἀλλὰ καὶ τὸ
» β τοῦ γ. ἡ γὰρ δικαιοσύνη ὅπερ ἀγαθόν. οὕτω μὲν οὖν γίνεται ἀνάλυσις. εἰ δὲ πρὸς τῷ β τεθείη, τὸ ὅτι
» ἀγαθὸν, οὐκ ἔσται. τὸ μὲν γὰρ α κατὰ τοῦ β ἀληθὲς ἔσται. τὸ δὲ β κατὰ τοῦ γ οὐκ ἀληθὲς ἔσται. τὸ γὰρ ἀγα-
» θὸν ὅτι ἀγαθὸν κατηγορεῖν τῆς δικαιοσύνης ψεῦδος, καὶ οὐ συνετόν.

Λ° ἄλλο ὅτι πάλιν παραδίδωσι θεώρημα. ἐπειδὴ γὰρ εὑρίσκομεν πολλάκις ἐν τοῖς παρὰ τοῖς ἀρχαιοτέροις κειμένοις λόγοις, ὅρους τινὰς δὶς παραλαμβανομένους ἐν τῇ αὐτῇ προτάσει καὶ ἐν τῷ συμπεράσματι τὸν ὅρον κείμενον. διδάσκει ἡμᾶς ἐν τούτοις πῶς δεῖ καὶ τοὺς τοιούτους ἀναλύειν συλλογισμούς. καὶ ποίᾳ τῶν προτάσεων συντακτέον τὸν ἐπαναδιπλούμενον ὅρον. ἐπαναδίπλωσις δέ ἐστιν ὅπερ εἶπον, ἡ τοῦ αὐτοῦ ὅρου δὶς ἐν τῇ αὐτῇ προτάσει παράληψις ὃς καὶ ἐν τῷ συμπεράσματι πάντως εὑρίσκεται. οἷόν τι λέγω. ἔστω δεδειγμένον ὅτι τῆς δικαιοσύνης ἐπιστήμη ἐστὶν ὅτι ἀγαθόν. ἔστι μὲν γὰρ ἁπλῶς δικαιοσύνης ἐπιστήμην εἶναι. ὅτι ἐστὶ τῆς κατ᾽ ἀξίαν ἑκάστῳ ἀπονεμητική. ἔστι δὲ καὶ ἐπιστήμην περὶ αὐτῆς ἔχειν. ὅτι ὠφέλιμος ἡ ἀρετὴ ἢ τοιοῦτον ἄλλο ὡς ἔχει καὶ ὁ νῦν λόγος. τὸ οὖν ὅτι ἀγαθὸν, οὐ τῇ ἐλάττονί φησι προτάσει συντακτέον. ἀλλὰ τῇ μείζονι κατὰ τὸν κατηγορούμενον ὅρον. τουτέστι τὸν μείζονα. καὶ τοῦτο εἰκότως. ὅτι καὶ ἐν τῷ συμπεράσματι πρὸς τῷ κατηγορουμένῳ ὅρῳ κεῖται. οἷον, ἡ δικαιοσύνη ἀγαθόν ἐστι. τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστὶν ὅτι ἀγαθόν. τῆς δικαιοσύνης ἄρα ἐπιστήμη ἐστὶ, τουτέστι καθὸ ἀγαθόν. εἰ γὰρ μὴ οὕτω τεθείη φησὶν ὁ ἐπαναδιπλούμενος ὅρος, ἀλλὰ πρὸς τῇ ἐλάττονι οἷον ἡ δικαιοσύνη ἀγαθὸν, ἀσύστατον ἔσται τὸ λεγόμενον καὶ ψεῦδος. ὅταν γὰρ εἴπωμεν ἡ δικαιοσύνη ἀγαθὸν ὅτι ἀγαθόν. εἰ μὲν οὖν τοῦτο λέγομεν ὅτι ἀγαθόν ἐστι δι᾽ ὅτι ἀγαθόν ἐστι, γελοῖον καὶ ἀσύνετον τὸ λεγόμενον. ὥσπερ εἰ ἐλέγομεν σωκράτης ἄνθρωπός ἐστιν ὅτι ἄνθρωπός ἐστιν. εἰ δὲ μὴ οὕτω φαμὲν τὸ ὅτι ἀγαθόν. ἀλλ᾽ ἀντὶ τοῦ ὅπερ τὸ ἀγαθὸν ὅτι ἀγαθόν ἐστιν. ἡ δικαιοσύνη οὐ τὸ τυχὸν ἀλλὰ τὸ ὅπερ ἀγαθὸν, ψευδὴς ὁ λόγος. οὐ γάρ ἐστι τὸ γενικὸν ἀγαθὸν δικαιοσύνη. ἔστι γὰρ καὶ ἄλλα ἀγαθά. σωφροσύνη. ὑγίεια. φρόνησις. μόνως οὖν ἐν τῷ μείζονι ὅρῳ θετέον τὸν ἐπαναδιπλούμενον ὅρον.

» ΟΜΟΙΩΣ δὲ καὶ εἰ τὸ ὑγιεινὸν δειχθείη. ὅτι ἐπιστητόν ἐστιν ᾗ ἀγαθόν.

Ε° τερον ὑπόδειγμα τὸ ὑγιαίνειν ἀγαθόν. τὸ ἀγαθὸν ἐπιστητόν ἐστιν ὅτι ἀγαθόν. τὸ ὑγιαίνειν ἄρα ἐπιστητόν ἐστιν ὅτι ἀγαθόν.

» Η τραγέλαφος ᾗ μὴ ὄν.

Τ ρίτον ὑπόδειγμα ὁ τραγέλαφος μὴ ὄν. τὸ μὴ ὂν δοξαστὸν ᾗ μὴ ὄν. ὁ τραγέλαφος ἄρα δοξαστός ἐστιν ᾗ μὴ ὄν. παραλέλειπται τὸ δοξαστόν.

» Η Ο ἄνθρωπος φθαρτὸν ᾗ αἰσθητόν. ἐν ἅπασι γὰρ τοῖς ἐπὶ κατηγορουμένοις πρὸς τῷ ἄκρῳ τὴν
» ἐπαναδίπλωσιν θετέον.

Ο° ἄνθρωπος, αἰσθητόν. τὸ αἰσθητὸν φθαρτὸν ᾗ αἰσθητόν. ὁ ἄνθρωπος ἄρα φθαρτὸς ᾗ αἰσθητός. καὶ ἐπὶ πάντων ὁ αὐτὸς τρόπος.

» ΟΥΧ ἡ αὐτὴ δὲ θέσις τῶν ὅρων ὅταν ἁπλῶς τι συλλογισθῇ. καὶ ὅταν τόδε τι, ἢ πῇ, ἢ πῶς, λέγω
» δὲ οἷον ὅταν τὸ ἀγαθὸν ἐπιστητὸν δειχθῇ, καὶ ὅταν ἐπιστητὸν ὅτι ἀγαθόν. ἀλλ᾽ εἰ μὲν ἁπλῶς ἐπιστητὸν
» δέδεικται, μέσον θετέον τὸ ὄν, εἰ δ᾽ ὅτι ἀγαθὸν, τό τι ὄν.

Π άλιν ἐπὶ ἕτερον μεταβαίνει. πολλάκις φησὶ βουλόμεθα δεῖξαι ὅτι τόδε τῷδε ὑπάρχει. οἷον ὅτι ὁ ἄνθρωπος ἐπιστητός ἐστι. πολλάκις δὲ οὐχ ἁπλῶς ὅτι τὸ ἐπιστητὸν αὐτῷ ὑπάρχει δεῖξαι βουλόμεθα. ἀλλὰ καθὸ λογικός ἐστιν, ἢ καθὸ φιλόσοφος. οὐ τὸν αὐτόν φησι δεῖ τιθέναι μέσον ὅρον ὅταν ἁπλῶς τι ὑ-

ὅτι γένεσις· ἡ ἄρα ἡδονὴ οὐκ ἔστι γένεσις. ἐν τούτοις γὰρ αἱ μὲν προτάσεις κατὰ γενικὴν πτῶσιν προῆλθον. τὸ δὲ συμπέρασμα κατ' εὐθεῖαν. ἢ πάλιν ὅτι γέλωτος μέν ἐστι σημεῖον. σημεῖον δὲ οὐκ ἔστι σημεῖον. ὥστε οὐ σημεῖον ὁ γέλως. ὑποδείγματος εἵνεκεν ἐκτίθεται τοὺς ὅρους. οὐ μὴν τὰ πράγματα ἐξετάζων. δι' ὃ οὐκ ἀκριβολογητέον περὶ τὰ πράγματα. ἔστι γὰρ ὁ γέλως σημεῖον ποιᾶς διαθέσεως τῆς ψυχῆς. οἷον ἡδονῆς καὶ διαχύσεως. ἔστι δὲ καὶ σημείου σημεῖον. ὡς τοῦ πυρσοῦ ὁ καπνός. ὁ μὲν γὰρ πυρσός, σημεῖον τοῦ πολέμου. ὁ δὲ καπνός, τοῦ πυρσοῦ. καὶ ἡ ἐν τῷ τείχει δὲ ἡ τότε γινομένη αἰθάλη προσεχῶς τοῦ καπνοῦ ἐστι σημεῖον. ἀλλ' οὐδὲ σημεῖον ἄν εἴη γέλωτος. ὃ γὰρ λέγει τις ὅτι τὸ σεσηρέναι τὰ χείλη ἢ ποιὸν ἀποτελεῖν ψόφον. οὐ σημεῖά ἐστι ταῦτα γέλωτος, ἀλλ' ὕλη γέλωτος. ἐκ τούτων γὰρ συνέστηκεν. ὥστε οὐκ ἐξεταστέον ἐν τούτοις τὰ πράγματα.

» ΟΜΟΙΩΣ δὲ κἀν τοῖς ἄλλοις, ἐν ὅσοις ἀνασκευάζεται τὸ πρόβλημα, τὸ λέγεσθαί πως πρὸς αὐτό, τὸ γένος. πάλιν ὅτι ὁ καιρὸς οὐκ ἔστι χρόνος δέων. θεῷ γὰρ καιρὸς μέν ἐστι. χρόνος δ' οὐκ ἔστι δέων. διὰ τὸ μηδὲν εἶναι θεῷ ὠφέλιμον. ὅρους μὲν γὰρ θετέον, καιρὸν καὶ χρόνον δέοντα, καὶ θεόν. τὴν δὲ πρότασιν ληπτέον, κατὰ τὴν τοῦ ὀνόματος πτῶσιν.

Τουτέστι καὶ ἐν τοῖς ἄλλοις σχήμασιν ἐν οἷς ἀποφατικὸν συνάγεται συμπέρασμα. γένος δέ, τὸν ἐν δευτέρῳ σχήματι μέσον ὅρον ἐκάλεσεν. διότι καθολικώτερός ἐστιν ἀμφοτέρων τῶν ἄκρων. οἷον γενέσεως, οὐδεμιᾶ γενέσει. γένεσις πάσῃ ἡδονῇ. οὐδεμιᾶ ἄρα ἡδονῇ γένεσίς ἐστι. πάλιν ὅτι οὐκ ἔστιν ὁ καιρὸς χρόνος δέων. τινὲς γὰρ οὕτως ὁρίζονται τὸν καιρόν. ὅτι ἔστι χρόνος δέων. ἀνασκευάζεται γὰρ τὸν τρόπον τοῦτον ἐν τρίτῳ σχήματι. θεῷ καιρός ἐστι. πάντα γὰρ κατὰ τὸν καιρὸν ποιεῖ. θεῷ χρόνος δέων οὐκ ἔστιν. ὁ μὲν γὰρ δέων χρόνος ἐστὶ καθ' ὃν ὠφελεῖται ὁ τούτου μετέχων. οὐδὲν δὲ θεῷ ὠφέλιμον. ἄρα καιρὸς οὐκ ἔστι χρόνος δέων. τὸ σχῆμα τρίτον. καὶ αἱ μὲν προτάσεις κατὰ δοτικήν, τὸ δὲ συμπέρασμα κατ' εὐθεῖαν. δῆλον δὲ καὶ ἐντεῦθεν ὅτι οὐ τῆς ἀκριβείας τῶν πραγμάτων καταγίνεται, ἀλλὰ τοῦ ὑποδείγματος θεῖναι. δῆλον γὰρ ὥσπερ ἐστὶ θεῷ καιρὸς οὐ πρὸς αὐτόν, ἀλλὰ πρὸς τὰ ὑπ' αὐτοῦ γινόμενα. οὕτω καὶ δέων χρόνος ἐστὶ πρὸς ἐκεῖνα.

» ΑΠΛΩΣ γὰρ τοῦτο λέγομεν κατὰ πάντων. ὅτι τοὺς μὲν ὅρους ἀεὶ θετέον κατὰ τὰς κλήσεις τῶν ὀνομάτων, οἷον ἄνθρωπος ἢ ἀγαθὸν ἢ ἐναντία. οὐκ ἀνθρώπου ἢ ἀγαθοῦ ἢ ἐναντίων. τὰς δὲ προτάσεις ληπτέον κατὰ τὰς ἑκάστου πτώσεις.

Ο βούλεται ἐν τούτοις εἰπεῖν τοῦτό ἐστιν. ὅτι ἐν μὲν τῇ ἐκθέσει τῶν ὅρων ἐν αἷς ζητοῦμεν τὰ ὑπάρχοντα καὶ τὰ ἑπόμενα, κατ' εὐθεῖαν δεῖ πτῶσιν ἐκτίθεσθαι τοὺς ὅρους. ἐπειδὰν μέντοι συμπλέκωμεν ἀλλήλοις. ἵνα τὰς τοῦ συλλογισμοῦ προτάσεις ποιήσωμεν. κατὰ τινα τῶν τοῦ ὀνόματος πτώσεων. καὶ οὐ μόνον κατὰ τὴν εὐθεῖαν. τὸ γὰρ κατὰ τὰς κλήσεις τῶν ὀνομάτων. ἀντὶ τοῦ κατὰ τὰς εὐθείας. αὗται γὰρ δὴ καθ' ἃς ἕκαστος κέκληται.

» Η γὰρ ὅτι τούτῳ, οἷον τὸ ἴσον, ἢ ὅτι τούτου, οἷον τὸ διπλάσιον. ἢ ὅτι τοῦτο, οἷον τὸ τύπτον, ἢ τὸ ὁρῶν, ἢ ὅτι οὗτος. οἷον ἄνθρωπος ζῷον.

Υ πόδειγμα τῶν προτάσεων. γενικῆς μέν, τὸ διπλάσιον ἡμίσεώς ἐστι διπλάσιον. δοτικῆς, τὸ ἴσον ἴσῳ ἴσον. αἰτιατικῆς, τὸ τύπτον τυπτόμενον τύπτει. τὸ ὁρῶν, ὁρώμενον ὁρᾷ. ἀλλὰ καὶ κατ' εὐθεῖαν φησὶν ὁ ἄνθρωπος ζῷον.

» Η ὅπως ἄλλως πίπτει τοὔνομα κατὰ τὴν πρότασιν.

Καίτοι τὰς πέντε ἐξέθετο πτώσεις χωρὶς τῆς κλητικῆς. οὐ γὰρ πρόσφορος τῷ ἀποφαντικῷ λόγῳ. πῶς οὖν φησιν ἢ ὅπως ἄλλως πίπτει τοὔνομα, μήποτε οὖν ἐπειδὴ πολλάκις καὶ ῥήμασι χρώμεθα ἐν τοῖς ὑποκειμένοις ὅροις. οἷον τὸ φιλοσοφεῖν ἀγαθόν ἐστι. διὰ τοῦτο εἶπε τὸ ἢ ὅπως ἄλλως πίπτει τοὔνομα. καὶ γὰρ ταῦτα ὀνόματά εἰσι τῶν ῥημάτων. δι' ὃ καὶ μετὰ ἄρθρων λέγεται.

» ΤΟ δὲ ὑπάρχειν τόδε τῷδε, καὶ τὸ ἀληθεύεσθαι τόδε κατὰ τοῦδε ποσαχῶς ληπτέον, ὁσαχῶς αἱ κατηγορίαι διῄρηνται.

Εἰπὼν περὶ τῆς κατὰ τὰς πτώσεις τῶν ὅρων συμπλοκῆς. λέγει νῦν περὶ τῆς ἰδίας αὐτῶν. ὅτι οὐκ ἀεὶ ἐκ τῆς οὐσίας λαμβάνονται, ἀλλὰ καὶ ἐκ τῶν ἄλλων κατηγοριῶν. ἐκ μὲν τῆς οὐσίας, ὁ ἄνθρωπος ζῷον. ἐκ δὲ τοῦ ποιοῦ, ὁ αἰθίοψ μέλας ἐστίν. ἢ τὸ λευκὸν χρῶμά ἐστι. δυνατὸν γὰρ καὶ θάτερον τῶν ὅρων καὶ ἀμφοτέρους ἐκ τῆς αὐτῆς λαμβάνειν κατηγορίας. καὶ ἐπὶ τοῦ ποσοῦ, ὁ ἀριθμὸς διωρισμένον ποσόν ἐστιν. ἢ ὁ ἄνθρωπος τρίπηχύς ἐστι. καὶ ἐκ τοῦ πρός τι. σωκράτης πατήρ ἐστιν. ἢ ὁ πατὴρ αἴτιόν ἐστι. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

» ΚΑΙ ταύτας ἢ πῇ, ἢ ἁπλῶς. ἔτι δὲ ἢ ἁπλᾶς ἢ συμπεπλεγμένας.

Τουτέστιν, ἢ κατά τι τῶν ἰδίων. οἷον, σωκράτης λευκός. ἢ κατὰ γένη. οἷον σωκράτης κέχρωσται. ἢ πεπαίδευται. πᾶσα οὐσία μετὰ ποιότητος. καὶ ἀποφατικῶς, οὐδεμία οὐσία ποιότης ἐστι. καὶ αὗται μὲν ἁπλαῖ ἐκ τῶν συμβεβηκότων κατηγορίαι ἢ πῇ. ἢ ἁπλῶς. συμπεπλεγμέναι δέ, ὡς ὅταν εἴπω σωκράτης βαδίζων μανθάνει. συνέπλεξα γὰρ τῷ ποσῷ τὸ ποιόν. ἢ οὖν τοῦτό φησι τὸ συμπεπλεγμένας ἢ ὅτι ἐν

ἀποδείξει ἐκεῖνο ὅτι οἱ κατηγορούμενοι ὅροι ἐπὶ πλέον εἶναι δηλοῦσι τῶν ὑποκειμένων χωρὶς τῶν ἀντιστρεφόντων. οἱ δὲ καθολικώτεροι περιέχουσιν ἐν ἑαυτοῖς τοὺς μερικωτέρους. ἀνάγκη δήπου πάσα ἐν τῷ πρώτῳ σχήματι ἐν τῷ μέσῳ μὲν ὅρῳ περιέχεσθαι τὸν ἐλάττονα. ἐν τῷ μείζονι δὲ ἀμφοτέρους. οἷον, ὅταν εἴπω· ὁ ἄνθρωπος ζῷον. ἐν τῷ ζῴῳ δῆλον καὶ ὁ ἄνθρωπος ἐμπεριέχεται. καὶ ὅταν εἴπω πᾶν ζῷον ἔμψυχον. ἐν τῷ ἅπαν πᾶν ζῷον καὶ τὸν ἄνθρωπον δηλονότι ἐμπεριείληφε καὶ ἐν τῷ ἐμψύχῳ πᾶν ζῷον ὥστε καὶ πάντα ἄνθρωπον. καὶ τοῦτό ἐστιν αἴτιον τοῦ συνάγεσθαι τὰ ἄκρα. εἰ γὰρ μὴ τοῦτο ἦν· οὐδέποτε ἂν συνάγειν δυνάμεθα τὰ ἄκρα. ἐπεὶ οὖν τοῦτο οὕτως ἔχει. ὅταν εἴπω τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστίν. εἶτα λάβω πάντων ὧν ἐπιστήμη ἐστί, δηλονότι ἐμπεριλαμβάνω καὶ τὸ ἀγαθόν. οὐ γὰρ αὐτὸ μόνον ἁπλῶς τὸ ἀγαθὸν ὅτι ἐπιστητὸν ἦν, ἀλλὰ μετὰ τῶν ἄλλων πάντων ἅπερ ἐστὶν ἐπιστητά. πάντων δὲ ἐστὶν ὧν ἐστιν ἐπιστήμη. ὥστε εἰ μὲν αὐτὸν καθ' αὑτὸν τὸν ἐλάττονα ὅρον ὑποτίθεμεν τῷ μείζονι ἐν τῷ λέγειν οὗ ἐπιστήμη ἐστίν· τῷ ὄντι ἄτοπος ἦν ὁ λόγος. εἰ δὲ καθολικὸν λαβόντες τὸν ὑποκείμενον ὅρον τῷ μείζονι προτάσει συμπεριλαμβάνομεν καὶ τὸν ἐλάττονα ὡς περιεχόμενον ἐν αὐτῷ, οὐ μόνον οὐκ ἄτοπον, ἀλλὰ καὶ ἀναγκαῖον τὸ γινόμενον. τὸ γὰρ ὑποκείμενον ἐμπεριέχεσθαι δεῖ τῷ κατηγορουμένῳ ἐν καταφάσει ἢ ἐν ἀποφάσει. ὅταν γὰρ εἴπω οὐδεὶς ἄνθρωπος ἀθάνατος. ἐν τοῖς μὴ ἀθανάτοις, ἐμπεριέχεται καὶ ὁ ἄνθρωπος. ὅτι μὲν οὖν οὐ τὸν ἐλάττονα μέσον ποιοῦμεν. δῆλον γέγονεν. ὅτι δὲ οὐδὲ ἄλλον ἔξω ἄλλου λαμβάνομεν μέσον, φανερὸν ἐντεῦθεν. οὐδὲ γὰρ ἁπλῶς ἡ ἐπιστήμη μόνον μέσος ἐστὶν ὅρος. ὡς ἂν εἰ ἐλέγομεν ἡ γεωμετρία ἐπιστήμη ἐστίν. ἀλλὰ τὸ εἶναι τινὸς ἐπιστήμην. τοῦ ἀγαθοῦ γὰρ ἔφαμεν ἐπιστήμη ἐστί. τουτέστιν ἔστι περὶ τοῦ ἀγαθοῦ ἐπιστήμη. τὸ οὖν εἶναι τινὸς ἐπιστήμην τοῦτο ἐστὶν ὁ κατηγορούμενος. τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν ἅπαν, ἢ τὸ ἀγαθὸν ἐπιστητὸν εἶναι. τί γὰρ διαφέρει εἰπεῖν τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστί. ἢ ὅτι τὸ ἀγαθὸν ἐπιστητόν ἐστι. ἐσοιδείξει γοῦν μετ' ὀλίγον ὅτι ὅταν ἰσοδυναμῶσιν οἱ ὅροι. δεῖ τὸν ἰσοδυναμοῦντα τὸν σαφέστερον λεγόμενον ἀντιμεταλαμβάνειν. ὥστε τὸ τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστὶν ἴσον ἐστὶ τῷ λέγειν τὸ ἀγαθὸν ἐπιστητόν ἐστιν. ἐπεὶ ἂν λέγωμεν οὗ ἐπιστήμη ἐστίν, οὐχ ἕτερον ἔξω ἑτέρου μέσον μεταλαμβάνομεν ἀλλὰ τὸν αὐτόν. τὸ γὰρ οὗ ἐπιστήμη ἐστί. τὸ ἐπιστητόν ἐστιν. εἷς ἄρα καὶ ὁ αὐτὸς μέσος ἐν ἀμφοτέραις παρελήφθη ταῖς προτάσεσι. κατὰ μὲν δὴ τοῦ ἄκρου κατηγορεῖται τὸ πρῶτον. κατ' ἀλλήλων δὲ οὐ λέγεται. τουτέστι τὸ μὲν συμπέρασμα κατ' εὐθεῖαν προάγεται. αἱ δὲ προτάσεις οὐ κατ' εὐθεῖαν. ὁ μὲν οὖν ἀριστοτέλης εὐθείας μόνης καὶ γενικῆς παραδείγματα παρέθετο. δυνατὸν δὲ τῇ αὐτῇ μεθόδῳ καὶ ἐπὶ τῶν λοιπῶν πτώσεων γυμνάσαι τὸν αὐτὸν λόγον. οἷον τὸν ἀγαθὸν, ἀνάγκη εἶναι δίκαιον. πᾶς δίκαιος ἐπιστήμων ἐστὶ τῶν δικαίων. ὁ ἄρα ἀγαθὸς ἐπιστήμων ἐστὶ τῶν δικαίων. ἢ οὕτως. ὁ ἀγαθὸς δίκαιος. πάντα δίκαιον ἀνάγκη ἐπιστήμονα εἶναι τῶν δικαίων. τὸν ἄρα ἀγαθόν, ἀνάγκη ἐπιστήμονα εἶναι τῶν δικαίων. τῶν γὰρ προτάσεων. ἡ μὲν κατ' εὐθεῖαν ἔκκειται. ἡ δὲ κατ' αἰτιατικήν. καὶ τὰ συμπεράσματα δὲ οὕτως ἔχει. τὸ μὲν οὕτως. τὸ δὲ οὕτως. ἀλλὰ καὶ ἀμφότεραι κατ' αἰτιατικήν. τὸν ἀγαθὸν ἀνάγκη εἶναι δίκαιον. τὸν δίκαιον ἐπιστήμονα δεῖ εἶναι τῶν δικαίων. τὸν ἄρα ἀγαθὸν ἐπιστήμονα δεῖ εἶναι τῶν δικαίων. ἢ ὁ ἀγαθὸς ἐπιστήμων ἐστὶ τῶν δικαίων. ὁμοίως καὶ ἐπὶ δοτικῆς. ταῖς ποιότησιν ὑπάρχει ἐναντιότης. ταῖς ἐναντιότησιν ὑπάρχει τὸ φθείρειν ἀλλήλας. ταῖς ποιότησιν ἄρα ὑπάρχει τὸ φθείρειν ἀλλήλας, ἢ αἱ ποιότητες ἄρα φθαρτικαὶ ἀλλήλων. δῆλον δὲ ὅτι μερικὴ ἡ ἐλάττων. οὐ γὰρ ἐν πάσαις ταῖς ποιότησιν ἡ ἐναντιότης. πάλιν ἡ δικαιοσύνη συμβεβηκός ἐστιν ἀγαθόν. τῷ συμβεβηκότι ἀγαθῷ, ἐναντίον ἐστίν. τῇ ἄρα δικαιοσύνῃ ἐστὶν ἐναντίον. οὐ μόνον δὲ τῇ εὐθείᾳ, συμπλέξαι τινὰ τῶν πλαγίων δυνατόν, ἀλλὰ καὶ πλαγίαν ἄλλῃ πλαγίᾳ. οἷον τῷ σπουδαίῳ, τὸ εὐδαιμονεῖν ἕπεται. τὸν εὐδαιμονοῦντα οὐδεὶς βλάψαι δύναται. τὸν σπουδαῖον ἄρα οὐδεὶς βλάψαι δύναται. ἀλλὰ καὶ τὴν γενικὴν ἑκατέρων τούτων δυνατὸν συμπλέξαι.

Τ Ο Ν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τοῦ μὴ ὑπάρχειν ληπτέον.

τουτέστιν ἐπὶ τῶν ἀποφατικῶν συλλογισμῶν. καὶ γὰρ ἐπὶ τούτων ἀνάγκη τὸν εἰρημένον τρόπον παραλαμβάνεσθαι τὰς προτάσεις.

Ο Υ γὰρ ἀεὶ σημαίνει τὸ μὴ ὑπάρχειν τόδε τῷδε. μὴ εἶναι τόδε τόδε. ἀλλ' ἐνίοτε μὴ εἶναι τόδε τοῦδε. ἢ τόδε τῷδε.

τουτέστιν οὐκ ἀεὶ ἐπὶ τῶν ἀποφατικῶν προτάσεων ὥσπερ οὐδὲ ἐπὶ τῶν καταφατικῶν κατ' εὐθεῖαν συμπλέκονται οἱ ὅροι. τοῦτο δηλαδὴ εἰπεῖν, μὴ εἶναι τόδε τόδε. τουτέστι μὴ εἶναι τὸν ἄνθρωπον ἀθάνατον. ἀλλ' ἐνίοτε καὶ κατὰ ἄλλην πτῶσιν γενικήν. ἢ δοτικὴν καὶ αἰτιατικήν. οἷον τῶν ὁρισμῶν οὐκ ἔστιν ἀπόδειξις. τῆς ἀντιφάσεως. οὐδέν ἐστι μεταξύ. τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον. τὸν ἀγαθὸν οὐδεὶς ἀδικῆσαι δύναται. καὶ ἐπὶ πάντων ὁμοίως.

Ο Ι Ο Ν ὅτι οὐκ ἔστι κινήσεως κίνησις, ἢ γενέσεως γένεσις. ἡδονῆς δὲ ἔστιν. οὐκ ἄρα ἡ ἡδονὴ γένεσις. ἢ πάλιν ὅτι γέλωτος ἐστὶ σημεῖον. σημείου δέ, οὐκ ἔστι σημεῖον. ὥστ' οὐ σημεῖον ὁ γέλως.

ἀλλ' ἐν τοῖς ὑποδείγμασι σαφῆ ποιεῖ τὸν λόγον. ἔστιν οὖν ὁ συλλογισμὸς τοιοῦτος. κινήσεως οὐκ ἔστι κίνησις. ἡδονῆς δὲ ἔστι κίνησις. ἡ ἄρα ἡδονὴ οὐκ ἔστι κίνησις. ὁμοίως γενέσεως οὐκ ἔστι γένεσις. ἡδονῆς δὲ

ἢ τῆς ἀγαθοῦ ἐπιστήμη, ἡ σοφία ἐστίν. ὥστε ἐπὶ πλέον εἶναι τὴν ἐπιστήμην τῆς σοφίας. ὡς εἴ τις ἔλεγε τῶν ἐπιπέδων ἡ γεωμετρία ἐστὶν ἐπιστήμη. εἶτα εἴπῃ τις εἶπε. τῶν ἐπιπέδων γεωμετρία ἐστίν. ἢ τὰ ἐπίπεδα γεωμετρεῖν ἐστι. γεωμετρία ἐπιστήμη ἐστί. τῶν ἐπιπέδων ἄρα ἐπιστήμη ἐστί.

» ΤΟ μὲν δὴ ἀγαθὸν, οὐκ ἔστιν ἐπιστήμη. ἡ δὲ σοφία ἐστὶν ἐπιστήμη.

Ὃ βούλεται λέγειν τοῦτό ἐστιν. ὅτι τὸ μὲν συμπέρασμα κατὰ τὴν γενικὴν προσειλήφεται. οὐ κατ' εὐθεῖαν ὥσπερ καὶ ἡ ἐλάττων πρότασις. οὐ γὰρ συνῆκται ὅτι τὸ ἀγαθὸν ἄρα ἐπιστήμη ἐστί. ἀλλὰ τῆς ἀγαθοῦ ἐστιν ἐπιστήμη. ἡ μέντοι μείζων πρότασις κατ' εὐθεῖαν προσειλήφεται. ἡ σοφία γὰρ ἔφαμεν ἐπιστήμη ἐστίν.

» ΟΤΕ δὲ τὸ μὲν μέσον ἐπὶ τῆς τρίτου λέγεται. τὸ δὲ πρῶτον ἐπὶ τῆς μέσου οὐ λέγεται. οἷον, ἢ τῆς
» ποιοῦ παντός ἐστιν ἐπιστήμη, ἢ ἐναντίου. τὸ δ' ἀγαθὸν καὶ ἐναντίον καὶ ποιόν, συμπέρασμα μὲν, ὅτι τῆς
» ἀγαθοῦ ἐστιν ἐπιστήμη.

Ἀντιστρέφει τὰς προτάσεις. καὶ τὴν μὲν ἐλάττονα κατ' εὐθεῖαν συμπλέκει. τὴν δὲ μείζονα κατὰ γενικήν. καὶ τὸ συμπέρασμα πάλιν κατὰ γενικὴν συνάγει. οἷον τὸ ἀγαθὸν ποιόν ἐστι. τῆς ποιοῦ ἐπιστήμη ἐστί. τῆς ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστίν. ἢ οὕτως. τὸ ἀγαθὸν ἐναντίον ἐστίν. τῷ κακῷ γὰρ ἐναντίον δῆλον ὅτι. τῆς ἐναντίου ἐπιστήμη ἐστί. τῆς ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστίν.

» ΟΥΚ ἔστι δὲ τὸ ἀγαθὸν ἐπιστήμη. οὐδὲ τὸ ποιὸν, οὐδὲ τὸ ἐναντίον, ἀλλὰ τὸ ἀγαθὸν ταῦτα.

Τουτέστιν οὐδὲ τὸ συμπέρασμα κατ' εὐθεῖαν προσειλήφεται. οὐ γὰρ εἴπομεν ὅτι τὸ ἀγαθὸν ἄρα ἐπιστήμη ἐστίν. ἀλλὰ τῆς ἀγαθοῦ, ἀλλ' οὐδὲ ἡ μείζων. οὐ γὰρ εἴπομεν ὅτι τὸ ποιὸν ἐπιστήμη ἐστίν. ἢ τὰ ἐναντία ἐπιστήμη ἐστίν. ἀλλὰ τῆς ποιοῦ καὶ τῶν ἐναντίων ἐπιστήμη ἐστίν. ἡ μέντοι ἐλάττων κατ' εὐθεῖαν προσειλήφεται. τοῦτο γὰρ ἐσήμανεν εἰπὼν ἀλλὰ ἀγαθὸν ταῦτα. οὕτω γὰρ ἐλέγομεν τὸ ἀγαθὸν ποιόν ἐστιν ἢ ἐναντίον.

» ἜΣΤΙ δὲ ὅτε μήτε τὸ πρῶτον κατὰ τῆς μέσου, μήτε τοῦτο κατὰ τῆς τρίτου, τῆς πρώτου κατὰ τῆς
» τρίτου, ὁτὲ μὲν λεγομένου, ὁτὲ δὲ μὴ λεγομένου οἷον ἢ οὗ ἐπιστήμη ἐστίν, ἔστι τούτου γένος. τῆς δ' ἀγαθοῦ
» ἐστιν ἐπιστήμη, συμπέρασμα ὅτι τῆς ἀγαθοῦ ἐστι γένος.

Ἐπειδὴ ἐν ταῖς προλαβοῦσι μίαν μὲν πρότασιν ἐλάμβανεν κατὰ γενικὴν πτῶσιν, μίαν δὲ κατ' εὐθεῖαν. καὶ συνῆγε κατὰ γενικὴν τὸ συμπέρασμα. νῦν ἀμφοτέρας κατὰ γενικὴν συμπλέκει. καὶ συνάγει συμπέρασμα ποτὲ μὲν κατ' εὐθεῖαν ποτὲ δὲ κατὰ γενικήν. τὸ γὰρ τῆς πρώτου κατὰ τῆς τρίτου ὅτε μὲν λεγομένου ὅτε δὲ μὴ λεγομένου. τοῦτο σημαίνει. τουτέστιν τῆς μείζονος κατὰ τῆς ἐλάττονος. εἴπομεν δὲ ὅτι τὸ λεγομένου σημαίνει αὐτῷ τὸ κατ' εὐθεῖαν πτῶσιν ὑπάρχοντος τῆς ἐλάττονος κατηγορεῖσθαι αὐτοῦ τὴν μείζονα. τότε γὰρ λέγεται ὅτι τόδε ἐστὶν ὅπερ τόδε. οἷον, ὅτι ὁ ἄνθρωπος ζῷόν ἐστι. λέγεται γὰρ ζῷον εἶναι, οὐ μὴν ὅταν εἴπω τῶν ἐναντίων ἐπιστήμη ἐστίν. οὐ γὰρ λέγεται κατὰ τῆς ὑποκειμένου ὁ κατηγορούμενος. οὐ γὰρ λέγεται ὅτι ἐπιστήμη ἐστὶ τὰ ἐναντία, ἀλλ' ὅτι ὑπάρχει περὶ αὐτῶν ἐπιστήμη. τὸ δὲ ὑπόδειγμα τοιοῦτον. τῆς ἀγαθοῦ ἐστιν ἐπιστήμη. οὗ ἐπιστήμη ἐστίν, τούτου ἐστὶ γένος. συμπέρασμα, τῆς ἀγαθοῦ ἄρα ἐστὶ γένος. καὶ ἄλλως. σωκράτους πατήρ ἐστιν, οὗ πατήρ ἐστιν, τούτου αἴτιόν ἐστιν. σωκράτους ἄρα αἴτιόν ἐστιν. καὶ αἱ προτάσεις οὖν καὶ τὸ συμπέρασμα, κατὰ γενικὴν συμπεπλεγμέναι εἰσίν.

» ΚΑΤΗΓΟΡΕΙΤΑΙ δὲ οὐδὲν κατ' οὐδενός.

Τουτέστιν οὐδὲν κατ' εὐθεῖαν πτῶσιν προσειλήφεται. καὶ ὅρα πῶς τὸ κατηγορεῖσθαι τὸ κατ' εὐθεῖαν πτῶσιν κατηγορεῖσθαί φησι. δι' ὃ καὶ ἀνωτέρω ἔλεγε τὸ ὡς ἀεὶ κατηγορηθησομένων ἐπὶ τῆς κατ' εὐθεῖαν πτῶσιν προσειληφθησομένων.

» ΕΙ δὲ οὗ ἐστιν ἐπιστήμη, γένος ἐστὶ τοῦτο, τῆς δ' ἀγαθοῦ ἐστιν ἐπιστήμη, συμπέρασμα, ὅτι τὸ ἀγαθὸν
» ἐστὶ γένος. κατὰ μὲν δὴ τῆς ἄκρου κατηγορεῖται τὸ πρῶτον. κατ' ἀλλήλων δὲ οὐ λέγεται.

Εἰπὼν ὅτι ἀμφοτέρων τῶν προτάσεων κατὰ γενικὴν συμπλεκομένων. τὸ συμπέρασμα ποτὲ μὲν κατὰ τὴν γενικὴν ποτὲ δὲ κατ' εὐθεῖαν συνάγεται. δείξας πῶς κατὰ γενικὴν, δείκνυσιν ὅτι καὶ κατ' εὐθεῖαν οὕτως. τῆς ἀγαθοῦ ἐπιστήμη ἐστίν. οὗ ἐπιστήμη ἐστί, τοῦτό ἐστι γένος. τὸ ἄρα ἀγαθὸν γένος ἐστίν. γένος δὲ εἴληφεν ἁπλῶς τὸ καθολικώτερον καὶ πλειόνων περιεκτικόν. τῶν γὰρ καθόλου ἡ ἐπιστήμη κἄν τε γένη ᾖ, κἄν τε εἴδη, κἄν ἄλλως συμβεβηκότα. οἷόν ἐστι καὶ τὸ ἀγαθόν. ἐν πᾶσι γὰρ ἐνθεωρεῖται τοῖς οὖσιν. οὐχ ὡς γένος αὐτῶν. ἀλλ' ὥσπερ καὶ τὸ ὂν ὁμωνύμως αὐτοῖς ἐνυπάρχον κατὰ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἐπιστῆσαι δὲ ἄξιον τοῖς ὑποδείγμασι. μήποτε ὥσπερ κἀπὶ τῶν προτέρων ἐλέγομεν, οὐ τοὺς αὐτοὺς φυλάσσουσι μέσους. ἔχει δὲ οὕτως. τῆς ἀγαθοῦ ἐπιστήμη ἐστίν, οὗ ἐπιστήμη ἐστίν. τούτου ἐστὶ γένος. ἐν μὲν γὰρ τῇ ἐλάττονι προτάσει τὴν ἐπιστήμην ἐλάβομεν τὸν κατηγορούμενον ὅρον. ἐν δὲ τῇ μείζονι οὐκέτι τὸν αὐτὸν ἐφυλάξαμεν. λέγω τὴν ἐπιστήμην. ἀλλὰ φαμὲν, οὗ ἐπιστήμη ἐστίν, ὃ δὲ ἄλλο μέν τί ἐστι τὸ ἐπιστητόν. ἄλλο δὲ ἡ περὶ αὐτοῦ ἐπιστήμη. οὐκ ἄρα τὸν αὐτὸν ἐφυλάξαμεν μέσον. τῆς μὲν γὰρ ἐλάττονος ὅρου τὴν ἐπιστήμην κατηγορήσαμεν. τῷ δὲ μείζονι οὐ τὴν ἐπιστήμην, ἀλλὰ τὸ οὗ ἐστιν ἐπιστήμη ὑπετάξαμεν τοῦτο δέ ἐστι τὸ ἐπιστητόν. ὁμοίως καὶ ἐπὶ πάντων τῶν παραπλησίων. καὶ ὃ τὸ ἐπιστητόν ἐστι τὸ ἀγαθὸν, τουτέστιν ὁ ἐλάττων ὅρος. τὸ ἐπιστητὸν δὲ παράλληλον ὑποκείμενον τῷ μείζονι ὅρῳ. ὁ ἄρα ἐλάττων ὅρος ἐν τῇ μείζονι προτάσει ὑπόκειται τῷ μείζονι ὅπερ ἐστὶν ἀδύνατον. φαμὲν οὖν πρὸς τὸν

φιλοσοφοῦντος, ἡ μᾶς ἀκροᾶσθαι δεῖ. ἐν ἑτέρῳ γὰρ ἐν τῷ δεῖ ἡ εὐθεῖα. οὐδὲν γὰρ ἕτερον, ἢ ἡμᾶς δεῖν ἐστίν. ὅπερ ἐστὶν εὐθείας πτώσεως καὶ ῥήματος. ἐν ᾧ δὲ εὐθεῖα μὴ ἐνθεωρεῖται, οὐκ ἀπαρτίζεται λόγος. αἱ μὲν οὖν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, πάντως κατ' εὐθεῖαν προφέρονται πτῶσιν. αἱ δὲ ἐκ τρίτου προσκατηγορουμένου καὶ αἱ μετὰ τρόπου, ποτὲ μὲν κατ' εὐθεῖαν, ποτὲ δὲ κατὰ πλαγίαν. κατ' εὐθεῖαν μὲν, σωκράτης ἀγαθός ἐστι. κατὰ δὲ τὰς πλαγίας, σωκράτους ἠκροάσατο πλάτων. ἢ μαθητής ἐστι πλάτων. σωκράτει ἐπιβουλεύουσιν ἄλλοι. ἢ ἐχθρός ἐστι. σωκράτην ἀπέκτειναν ἀθηναῖοι. σωκράτης δύναται βαδίζειν. σωκράτους ἐνδέχεται ἀκροᾶσθαι. σωκράτει ἐνδέχεται διαλέγεσθαι. σωκράτη τὸ πλεῖον ἐνδέχεται. ἡ μὲν οὖν διάνοια τῶν ἐνταῦθα παραδιδομένων ἐστὶ τοιαύτη. ὅπως δὲ τοῖς ὑποδείγμασι καθέκαστον χρῆται, τὴν λέξιν ἐξετάζοντες εἰσόμεθα.

» ΤΟ δὲ ὑπάρχειν τὸ πρῶτον τῷ μέσῳ, καὶ τοῦτο τῷ ἄκρῳ, οὐ δεῖ λαμβάνειν, ὡς ἀεὶ κατηγορηθησομένων ἀλλήλων ὁμοίως τό, τε πρῶτον τοῦ μέσου, καὶ τοῦτο τοῦ ἐσχάτου,

Πρῶτον μὲν φησὶ τὸν μείζονα ὅρον. ἄκρον δὲ τὸν ἐλάττονα. κατηγορηθησομένων δέ φησιν ἀντὶ τοῦ κατ' εὐθεῖαν πτῶσιν. ἐν ταύταις γάρ εἰσιν αἱ κυρίως κατηγορίαι. λέγω δὲ τὸ ὑπάρχει τόδε τῷδε. ὁ ἄνθρωπος ζῶόν ἐστι. καὶ οὕτω μὲν ὁ διδάσκαλος. οἶμαι δὲ ἁπλούστερον πᾶσαν κατηγορίαν λέγειν αὐτόν. εἰπὼν γὰρ ὡς ἀεὶ κατηγορηθησομένων ἀλλήλων, ἐπήγαγεν ὁμοίως τὸ πρῶτον τοῦ μέσου. καὶ τοῦτο τοῦ ἐσχάτου. εἰ δὲ τὸ κατηγορηθησόμενον τὸ κατ' εὐθεῖαν ἐκκεῖσθαι αὐτῷ ἐσήμαινε. παρέλκει ἂν τὸ ἐπάγειν ὁμοίως τό, τε πρῶτον τοῦ μέσου καὶ τοῦτο τοῦ ἐσχάτου.

» ΚΑΙ ἐπὶ τοῦ μὴ ὑπάρχειν δὲ ὡσαύτως.

Τουτέστιν ἐπὶ τῶν ἀποφατικῶν προτάσεων. καὶ γὰρ ταύτας ποτὲ μὲν κατ' εὐθεῖαν πτῶσιν προφερόμεθα. ποτὲ δὲ κατά τινα τῶν πλαγίων. οἷον ἄνθρωπος οὐκ ἔστιν ἄψυχον. τῶν ἀτόμων οὐκ ἔστι γένος. τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον. τὸν ἀγαθὸν ἄνδρα οὐδὲν βλάψαι δύναται.

» ΑΛΛ' ὁσαχῶς τὸ εἶναι λέγεται, καὶ τὸ ἀληθὲς εἰπεῖν αὐτὸ τοῦτο, τοσαυταχῶς ἡγεῖσθαι χρὴ σημαίνειν, καὶ τὸ ὑπάρχειν.

Ὁσαχῶς φησὶν ἕκαστον τῶν ὄντων εἶναι λέγεται, τοσαυταχῶς κατηγορεῖν ἄλλο ἄλλου ἐνδέχεται. λέγω δὲ ἕκαστον εἶναι κατὰ τὰς τῶν ὀνομάτων πτώσεις. λέγεται γὰρ σωκράτης ἐστί. σωκράτους ὄντος. σωκράτει εἶναι. ὁσάκις οὖν ἕκαστον εἶναι λέγεσθαι δύναται, καὶ ἀληθῶς εἶναι, τοσαυταχῶς καὶ τὰς προτάσεις συμπλέξαι δύναται. ἢ ἀμφοτέρας ὡσαύτως. ἢ τὴν μὲν οὕτω τὴν δὲ οὕτως.

» ΟΙΟΝ ὅτι τῶν ἐναντίων ἐστὶ μία ἐπιστήμη. ἔστω γὰρ τὸ α τὸ μίαν εἶναι ἐπιστήμην. τὰ δὲ ἐναντία ἀλλήλοις, ἐφ' οὗ β.

Λοιπὸν ἐπὶ ὑποδειγμάτων τὰ εἰρημένα παραδίδωσι. καὶ πρῶτον ὅτι ἐνδέχεται κατὰ γενικὴν πτῶσιν συμπλέκεσθαι τὰς προτάσεις. ὡς ὅταν εἴπω τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη.

» ΤΟ δὴ α τῷ β ὑπάρχει οὐχ ὡς τὰ ἐναντία τῷ, μίαν εἶναι αὐτῶν ἐπιστήμην. ἀλλ' ὅτι ἀληθὲς εἰπεῖν κατ' αὐτῶν μίαν εἶναι ἐπιστήμην.

Τουτέστιν οὐ καθ' εὐθεῖαν ὑπάρχει τῷ β τὸ α. τοῦτο γὰρ σημαίνει αὐτῷ. τὸ οὐχ ὡς τὰ ἐναντία ὡς ἄν τις ἔλεγε τὰ ἐναντία πολέμιά ἐστιν. ἀλλὰ κατὰ γενικήν. τῶν ἐναντίων μία ἐστὶν ἐπιστήμη. εἰπὼν δὲ οὐχ ὡς τὰ ἐναντία, προσέθηκε τὸ μίαν εἶναι αὐτῶν ἐπιστήμην. τί οὖν βούλεται. ἴσως οὖν τοῦτό φησιν. ὅτι τὸ λέγειν μίαν εἶναι αὐτῶν ἐπιστήμην, οὐκ ἔστιν ὡς τὰ ἐναντία. τουτέστι κατ' εὐθεῖαν. ἀλλ' ὅτι ἀληθὲς εἰπεῖν κατ' αὐτῶν τὸ μίαν εἶναι αὐτῶν ἐπιστήμην. τουτέστι κατὰ γενικήν. ἢ ὅτι οὐκ ἔστι τοῖς ἐναντίοις ἐν τούτῳ τὸ εἶναι. ἐν τῷ μίαν εἶναι αὐτῶν ἐπιστήμην. διὸ οὐδὲ κατ' εὐθεῖαν δυνατὸν κεῖσθαι, ὥσπερ σωκράτει τὸ εἶναί ἐστιν ἐν τῷ ἄνθρωπον εἶναι, διὸ φαμὲν, σωκράτους ἄνθρωπός ἐστιν. οὐχ οὕτω δὲ καὶ τὸ μίαν εἶναι τῶν ἐναντίων ἐπιστήμην. διὸ οὐ φαμὲν τὰ ἐναντία ἐστὶν ἐπιστήμη. ἀλλὰ τῶν ἐναντίων.

» ΣΥΜΒΑΙΝΕΙ δὲ ὁτὲ μὲν, ἐπὶ τοῦ μέσου τὸ πρῶτον λέγεσθαι. τὸ δὲ μέσον, ἐπὶ τοῦ τρίτου μὴ λέγεσθαι. οἷον εἰ ἡ σοφία ἐστὶν ἐπιστήμη.

Ἐπειδὴ ὡς ἐπὶ μιᾶς προτάσεως ἐξέθετο ὑπόδειγμα οὐ κατ' εὐθεῖαν πτῶσιν, ἀλλὰ κατὰ γενικὴν συμπεπλεγμένης, διὰ τοῦτο νῦν ἐπ' ἀμφοτέρων τὰ ὑποδείγματα τίθησι. τὸ δὲ λέγεσθαί φησιν ἀντὶ τοῦ κατ' εὐθεῖαν πτῶσιν. αὕτη γάρ ἐστιν ἡ ὀνομαστικὴ πτῶσις καθ' ἣν ἕκαστον εἶναι λέγεται. συμβαίνει οὖν φησὶ ποτὲ μὲν κατ' εὐθεῖαν τὴν μείζονα πρότασιν τίθεσθαι, τὴν δὲ ἐλάττονα κατά τινα τῶν πλαγίων. ἔστι δὲ τὸ ὑπόδειγμα τοιοῦτον. τοῦ ἀγαθοῦ σοφία ἐστίν. ἡ σοφία ἐπιστήμη ἐστί. τοῦ ἀγαθοῦ ἄρα ἐπιστήμη ἐστίν. ἐν τούτῳ γὰρ ἡ μὲν ἐλάττων κατὰ γενικὴν προσενήνεκται πτῶσιν. ἡ δὲ μείζων κατ' εὐθεῖαν. καὶ τὸ συμπέρασμα ὅμοιον τῇ ἐλάττονι.

» ΤΟΥ δ' ἀγαθοῦ ἐστιν ἡ σοφία ἐπιστήμη, συμπέρασμα ὅτι τοῦ ἀγαθοῦ ἐπιστήμη ἐστί.

Τὴν ἐλάττονα πρότασιν θέσθαι βουλόμενος. ἤδη γὰρ ἐξέθετο τὴν μείζονα εἰπὼν ἡ σοφία ἐστὶν ἐπιστήμη. συνέπλεξε τοὺς τρεῖς ὅρους εἰπών. τοῦ ἀγαθοῦ ἡ σοφία ἐπιστήμη ἐστίν. ἐπειδὴ γὰρ τὸ λέγειν τοῦ ἀγαθοῦ σοφία ἐστίν, ἀσαφὲς ἐδόκει εἶναι, τί σημαίνει τὸ σοφίαν εἶναι τοῦ ἀγαθοῦ. βουλόμενος δεῖξαι, εἶπεν ὅτι

ἡ τοῦ

γὰρ ὅτι οὐκ ἄμφω ἐνδεχόμεναι ὦσι, πάντως ἐνδεχόμενον τὸ συμπέρασμα. ὥστε καὶ ἀναγκαίας, ἀναγκαῖον. νῦν οὖν ἐνδεχομένων οὐσῶν ἀμφοτέρων, ἀναγκαῖον συνῆκται ὅ ἀδύνατον. τοῦτο δὲ συνέβη διὰ τὸ τὰς ἕξεις ἅπαντας τῶν μεταληφθέντων παραληφθῆναι.

ΟΥ δεῖ τοὺς ὅρους ἀεὶ ζητεῖν ὀνόματι ἐκτίθεσθαι. πολλάκις γὰρ ἔσονται λόγοι, οἷς οὐ κεῖται ὄνομα. διὸ καὶ χαλεπὸν ἀνάγειν τοὺς τοιούτους συλλογισμούς. ἐνίοτε δὲ καὶ ἀπατᾶσθαι συμβήσεται διὰ τὴν τοιαύτην ζήτησιν. οἷον ὅτι τῶν ἀμέσων ἔσται συλλογισμός. ἔστω γὰρ τὸ α δύο ὀρθαί. τὸ δὲ ἐφ' ᾧ β, τρίγωνον. τὸ δὲ ἐφ' ᾧ γ, ἰσοσκελές. τῷ μὲν οὖν γ, ὑπάρχει τὸ α, διὰ τὸ β. τῷ δὲ β οὐκέτι δι' ἄλλο. καθ' αὑτὸ γὰρ τὸ τρίγωνον ἔχει δύο ὀρθάς. ὥστ' οὐκ ἔσται μέσον τοῦ α, β ἀποδεικτοῦ ὄντος. φανερὸν γὰρ ὅτι τὸ μέσον οὐχ οὕτως ἀεὶ ληπτέον, ὡς τόδε τι. ἀλλ' ἐνίοτε λόγον. ὅπερ συμβαίνει κἀπὶ τοῦ λεχθέντος.

Ἕτερον ἄλλο τι μεταβαίνει ὃ καὶ αὐτὸ δεῖ παρατηρεῖν ἐν τῷ ἀνάγειν τοὺς συλλογισμοὺς εἰς τὰ σχήματα. τῶν γὰρ πραγμάτων, τὰ μὲν ὀνόματι δηλοῦται ὡς ἄνθρωπος. ἵππος. περιπατεῖ. γράφει. καὶ τὰ ἄλλα πάντα ὅσα διὰ μιᾶς λέξεως σημαίνεται. τὰ δὲ οὐ δι' ὀνόματος σημαίνεται. ἀλλὰ διὰ λόγου. πολλὰς γὰρ τῶν φυσικῶν ἰδιοτήτων, ἢ οὐκ ἐδυνήθησαν ἢ οὐκ ἐσπούδασαν οἱ ὀνοματοθετήσαντες δι' ὀνόματος σημῆναι. ἀλλὰ λόγῳ τὴν τούτων ἑρμηνεύομεν φύσιν. οὐ δεῖ οὖν φησι νομίζειν ὅτι πάντη τε καὶ πάντως ὀνόματι δεῖ τοὺς τρεῖς ὅρους τοῦ συλλογισμοῦ σημαίνεσθαι. ἔστι γὰρ ὅτε ὀνόματος μὴ εὐποροῦντες, λόγῳ σημαίνομεν τινὰ ἢ τινας τῶν ὅρων. οἷον εἰ βουληθείημεν δεῖξαι ὅτι τοῦ ἰσοσκελοῦς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί. πρῶτον μὲν οὖν αὐτὸ τὸ κατηγορούμενον. ὅρα πῶς οὐχ ἑνὸς ὄνομά ἐστιν ἀλλὰ λόγος. ζητοῦντες δὲ τὸν μέσον δι' οὗ δεῖ συμπεράναι τὸ πρόβλημα. ἐνταῦθα μὲν εὐποροῦμεν ὀνόματι αὐτὸν ἐκθέσθαι. λέγοντες οὕτως. τὸ ἰσοσκελὲς τρίγωνον, τρίγωνόν ἐστι. παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί. τοῦ ἰσοσκελοῦς ἄρα τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἐὰν δὲ τὴν μείζονα θελήσωμεν κατασκευάσαι πρότασιν τὸ δεῖν ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. οὐκέτι δυνάμεθα ὀνόματι τὸν μέσον ἐκθέσθαι δι' οὗ συνάγεται τὸ συμπέρασμα. ἀλλὰ δεῖ λόγῳ αὐτὸν ἑρμηνεύειν. οἷον ὅτι παντὸς τριγώνου αἱ τρεῖς γωνίαι δύο ταῖς ἐφεξῆς ἴσαι εἰσί. πᾶσαι αἱ δύο ταῖς ἐφεξῆς ἴσαι οὖσαι δυσὶν ὀρθαῖς ἴσαι εἰσί. παντὸς ἄρα τριγώνου αἱ τρεῖς γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσί. ἐὰν οὖν φησι πειρώμεθα πάντη τε καὶ πάντως ὀνόματι ἐκτίθεσθαι τοὺς ὅρους, ἀπάτης ἡμῖν τὸ τοιοῦτον αἴτιον γένοιτο. οἰησόμεθα γὰρ ὅτι ἐνδέχεται τῶν ἀμέσων εἶναι τὸν συλλογισμόν. ὅπερ δέδεικται ἐν τοῖς ἀποδεικτικοῖς ἀδύνατον. πᾶσα γὰρ ἀπόδειξις διά τινος μέσου ὅρου γίνεται. ὅτι γὰρ τοῦ τριγώνου αἱ τρεῖς γωνίαι δύο ὀρθαῖς ἴσαι εἰσίν. ἀποδεικτικὸν μέν ἐστιν ὡς αὐτὴ ἡ περὶ αὐτοῦ δείκνυσιν ἀπόδειξις. ἐὰν οὖν τις οἴοιτο ὅτι δεῖ πάντως ὀνόματος ἐκκεῖσθαι τοὺς ὅρους. μὴ εὑρίσκων ὀνόματι σημαίνειν τὸν μέσον ὅρον δι' οὗ ἡ ἀπόδειξις αὐτοῦ γίνεται. οἰήσεται ἀμέσως ὑπάρχειν τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον. καὶ ἀμέσου ὄντος τοῦ προβλήματος ἀπόδειξιν αὐτοῦ εἶναι. ὅπερ ἐστὶν ἀδύνατον. ὥστε φησὶν οὐ πάντως οἰητέον ὡς δεῖ ὀνόματι ἐκκεῖσθαι τοὺς ὅρους. ἀλλ' ἔστιν ὅτε καὶ διὰ λόγου αὐτοὺς σημαίνειν. διό φησι τοὺς τοιούτους συλλογισμοὺς χαλεπὸν ἀνάγειν ὑπὸ τὰ σχήματα. ἐπειδὴ γὰρ οὐ κεῖται ἐν τῇ συνηθείᾳ τῷ μέσῳ ὄνομα. οὐ πάντως τε εὑρίσκειν λόγον ἑρμηνευτικὸν τῆς φύσεως τῶν πραγμάτων, δυσχερὴς ἡ ἀνάλυσις γίνεται. τὰ μὲν οὖν λεγόμενα ἐν τούτοις ταῦτά ἐστι. τὰ δὲ τῆς λέξεως λοιπὸν δῆλα. τὸ δὲ ὡς τὸ δέ τι ἀντὶ τοῦ ὡς ὄνομα. οἷον, ἄνθρωπος. ἵππος. φιλοσοφεῖ. βαδίζει.

ΤΟ δὲ ὑπάρχειν τὸ πρῶτον τῷ μέσῳ, καὶ τοῦτο τῷ ἄκρῳ, οὐ δεῖ λαμβάνειν, ὡς ἀεὶ κατηγορηθησομένων ἀλλήλων ὁμοίως ἢ τό, τε πρῶτον τοῦ μέσου, καὶ τοῦτο τοῦ ἐσχάτου.

Ἕτερον πάλιν θεώρημα παραδίδωσιν. οὐ δεῖ φησι νομίζειν ὅτι πάντως δεῖ κατ' εὐθεῖαν πτῶσιν τοὺς ὅρους ἐκτίθεσθαι. οἷον ὁ ἄνθρωπος ζῷον. τὸ ζῷον οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. πάντες γὰρ ἐν τούτῳ οἱ ὅροι κατ' εὐθεῖαν πτῶσιν κεῖνται. ἐπειδὴ γὰρ οὐ τῆς φύσεως μόνης τῶν πραγμάτων νομίζομεν. ἀλλὰ καὶ τῆς περὶ τὴν λέξιν εὐκοσμίας. ὥστε ἑλληνικῶς τὰς συντάξεις τοῦ λόγου ἀποδιδόναι καὶ μὴ σολοικισμοῖς ὑποφέρεσθαι δεῖ καὶ τῆς κατὰ τὰς προτάσεις τῶν ὀνομάτων ὀρθῆς χρήσεως φροντίδα ποιεῖσθαι καὶ μὴ ἀρκεῖσθαι μόνον τῷ δηλοῦν ὅτι τό δέ τι νοοῦντες. τῇ δὲ τῆς λέξει ἐχρησάμεθα. ἐπεὶ οὖν σημαίνονται τὰ πράγματα οὐ μόνον ταῖς εὐθείαις ἀλλὰ καὶ ταῖς πλαγίαις πτώσεσιν. ἄλλης γὰρ χρήσεως τοῦ ὑποκειμένου, ἄλλη πτῶσίς ἐστι σημαντική. διὰ τοῦτο πᾶσα ἀνάγκη μὴ μόνον κατ' εὐθεῖαν πτῶσιν ἀλλὰ καὶ κατὰ τὰς πλαγίας τοὺς ὅρους ἐκτίθεσθαι. πολλάκις μὲν οὖν πάντες οἱ ὅροι κατ' εὐθεῖαν πτῶσιν ἔκκεινται. οἷον ὁ σωκράτης φιλόσοφός ἐστι. πᾶς φιλόσοφος ἀγαθός ἐστιν. ὁ σωκράτης ἄρα ἀγαθός ἐστι. πάντες γὰρ οἱ ὅροι κατ' εὐθεῖαν πτῶσιν κεῖνται. ἐνίοτε δέ φησι καὶ ἀμφότεραι αἱ προτάσεις κατὰ πλαγίαν ἔκκεινται πτῶσιν. ἢ ἡ μὲν κατὰ πλαγίαν, ἡ δὲ κατ' εὐθεῖαν. καὶ τὸ συμπέρασμα δὲ ὁμοίως. πολλάκις μὲν κατ' εὐθεῖαν πτῶσιν συνάγεται. πολλάκις δὲ κατὰ πλαγίαν. ἰστέον δὲ ὅτι ὅταν λέγῃ ἢ κατ' εὐθεῖαν ἢ κατά τινα τῶν πλαγίων τοὺς ὅρους ἐκτίθεσθαι. περὶ τοῦ ἐν ταῖς προτάσεσι ὑποκειμένου λέγει. εἰ γὰρ κατηγορούμενα ἀεὶ κατ' εὐθεῖαν τίθενται πτῶσιν. κἂν ποτε πλαγία πτῶσις εὑρεθῇ ἐν κατηγορουμένῳ, πάντως καὶ εὐθεῖα νοεῖται ἔξωθεν. ἢ πάντως διὰ τοῦ ῥήματος. ἅπαν ῥῆμα εὐθείας ἐστὶ πτώσεως πλὴν τοῦ μέλλει καὶ μέλει. οἷον σωκράτους

ὥστε οὐδὲ ἰσοδυναμοῦσι ταῖς μετοχαῖς. οὐ γὰρ ταυτὸν δύναται τὸ τύπτειν τῷ τύπτων ἐστίν. ὥστε οὐ δυ-
νατὸν ἀντὶ τῶν μετοχῶν παραλαμβάνειν τὰ ἀπαρέμφατα. εἰ μὴ ἄρα ὅτι δυνατὸν αὐτοῖς τὸ διὰ ῥημά-
των συνάπτειν. οἷον σωκράτης περιπατεῖν δεῖ. σωκράτη περιπατοῦντα δεῖ εἶναι. οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ λε-
γόμενον. ἢ σωκράτει λείπει τὸ περιπατεῖν. καὶ σωκράτη λείπει τὸ εἶναι αὐτὸν περιπατοῦντα. ἐπ' οὐ-
δεμιᾶς δὲ ἄλλης συντάξεως διὰ τὴν εἰρημένην αἰτίαν. Ελεγε δὲ ἐς τὸ προκείμενον κἀκεῖνο. ὅτι ὅταν
εἴπω ὅτι τὸ ὑγιαίνειν τῷ νοσοῦντι ὑπάρξαι ἐνδέχεται. ἢ ἐνδεχομένως οὐχ ὑπάρχει. οὐχ ᾗ ἄνθρωπός ἐστι
τὸ νοσοῦν ἢ ὅτι οὖν ἄλλο ταύτῃ φημὶ αὐτῷ ἐνδέχεσθαι τὴν ὑγίειαν ὑπάρξαι ἢ μὴ ὑπάρξαι. ἀλλ' ᾗ νο-
σεῖ. καθὸ γὰρ νοσεῖ ταύτῃ ἐνδέχεται αὐτῷ ὑγιαίνειν. καὶ ταύτῃ ἐνδεχομένως οὐχ ὑπάρχει αὐτῷ ἡ ὑγίεια.
εἰ γὰρ μὴ ᾗ νοσεῖ. ἀλλ' ᾗ ἄνθρωπος. τυχὸν ἐστὶν ἢ ἄλλο ὁποιοῦν τὸ τῆς νόσου δεκτικόν. οὐκέτι ἂν ἀληθὲς ἦν
τὸ λέγειν ἐνδέχεσθαι αὐτὸ ὑγιασθῆναι ἢ μὴ ὑγιασθῆναι. ἀλλ' ὑπαρχόντως ὑγιαῖνον ἦν. καὶ τότε ἂν τὸ
ἐναντίον τὴν νόσον ἐνδέχεσθαι αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἐλέγομεν. ᾧ γε ἑκάτερον τῶν ἀντικειμένων, ἐνδέ-
χεται ὑπάρχειν ἢ μὴ ὑπάρχειν. εἰ θάτερον κατ' ἐνέργειαν ὑπάρχει. ᾗ τοῦτο ὑπάρχει. ταύτῃ καὶ τὸ λοιπὸν ἐνδέ-
χεται ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἐφ' ὧν ἄμεσος ἡ ἐναντιότης. ἐν δὲ τοῖς ἐμμέσοις τῶν ἐναντίων. εἰ ἐν τῷ με-
ταξὺ εἴη πρὸς ἑκάτερον τῶν ἄκρων ὁμοίως ἔχει. καὶ τοῦτο πάλιν εἰ τοῦ μεταξὺ μετέχει. οἷον τῷ φαιῷ ἐν-
δέχεται, τὸ λευκὸν ὑπάρχειν. ἐνδέχεται δὲ καὶ τὸ μέλαν. καὶ δῆλον ὅτι οὐχ ᾗ ἱμάτιόν ἐστι τῷ φαιόν. εἰ γὰρ
ᾗ ἱμάτιόν ἐστι, ταύτῃ καὶ ὑπῆρχεν ἤδη τὸ λευκὸν ἢ τὸ μέλαν ἐδύνατο. οὐ μὴν ἐνδέχεσθαι ὑπάρχειν. ᾗ
μέντοι τοῦ φαιοῦ μετέχει. ἐπεὶ τῶν ἄκρων οὐ μετέχει μέν, δύναται δὲ μετέχειν. ταύτῃ λέγεται ἐνδέχε-
σθαι αὐτῷ ὑπάρξαι τὸ λευκὸν ἢ τὸ μέλαν ἢ μὴ ἐνδέχεσθαι. εἰ γὰρ μὴ καθὸ τοῦ φαιοῦ μετέχει. ὑποκείσθω
μὴ ὂν φαιόν. καὶ οὐκέτι ἀληθὲς εἰπεῖν ἐνδέχεσθαι αὐτὸ λευκὸν εἶναι ἢ μέλαν. ἀνάγκη γὰρ πάντα τὸ πεφυ-
κὸς τῶν ἐναντίων μετέχειν θατέρου κατ' ἐνέργειαν. ἢ τῶν μεταξύ τινος, εἰ ἔμμεσα εἴη. ὥστε ὑπαρχόντως
ἂν μέλαν ἦν ἢ λευκόν. ὥστε καὶ ὅταν λέγει ὁ ἀριστοτέλης τὸ ὑγιαίνειν τῷ νοσοῦντι ὑπάρχειν. οὐχ ᾗ ἄν-
θρωπος ἐστὶ τὸ νοσοῦν, ἀλλ' ᾗ νοσοῦν ἦν, ἐνδέχεσθαι αὐτῷ φαμὲν ὑπάρξαι τὸ ὑγιαίνειν ἢ ἐνδεχόμενον
μὴ ὑπάρχειν. ὥστε ἐπεὶ τὸ νοσοῦν ᾗ νοσεῖ εἴληπται. ἐὰν ἀντὶ τοῦ νοσοῦντος μεταλάβω τὸ νοσεῖν, οὐχ
ἕτερόν τι λαμβάνω. κατὰ γὰρ τὸ νοσεῖν ὑπέκειτο τῷ μείζονι. κατ' αὐτὸ οὖν τοῦτο καὶ τοῦ ἐλάττονος κα-
τηγορηθήσεται. ὥστε εἰ καὶ σύνθετον τὸν ὑποκείμενον ἐν τῇ μείζονι ἔλαβον. ἐπειδὴ κατὰ τὸ ἁπλοῦν τὸ
νοσεῖν ἐχαρακτηρίζετο. καὶ ταύτῃ αὐτοῦ, ὁ μείζων κατηγορεῖτο. εὔλογον κατὰ τοῦτο αὐτὸν τοῦ ἐλάττονος
κατηγορεῖσθαι. ὥστε κἄν τις οὕτως εἴπῃ ὅτι τὸ νοσοῦν παντὶ ἀνθρώπῳ ὑπάρχει. οὐ κατὰ τὸ σύνθετον κα-
τηγορῶ αὐτὸν τοῦ ἐλάττονος. ἀλλὰ κατὰ τὸ νοσεῖν καθὸ καὶ ὑπέκειτο τῷ μείζονι. κἄν τε αὐτὸ τὸ ἁ-
πλοῦν μεταλάβω, οὐχ ἕτερόν τινα λαμβάνω ὅρον. ἀλλὰ τὸν αὐτόν. μήποτε δὲ οὐκ ἀληθές ἐστι τὸ λέ-
γειν ὅτι ὅταν εἴπω τὸ ὑγιαίνειν ἐνδέχεσθαι τῷ νοσοῦντι ὑπάρξαι ἢ μὴ ὑπάρξαι. καθὸ νοσεῖ κατηγορῶ αὐ-
τοῦ τὸ ὑγιαίνειν. ὥσπερ γὰρ δέδεικται οὐχ ᾗ ἄνθρωπος ἁπλῶς ἐστι κατηγορεῖτο. δηλονότι οὐδὲ ᾗ νοσεῖ ἁ-
πλῶς. οὐδὲ τοῦ συνθέτου κατὰ τὸ νοσεῖν. ἀλλὰ τοῦ συνθέτου ὡς συνθέτου. τὸ γὰρ νοσοῦν ᾗ νοσοῦν ἐστι τὸ
ὅλον τοῦτο πέφυκε ποτὲ ὑγιαίνειν. οὐδὲ γὰρ ἄλλο ἐστὶ τοῦτο, ἢ ὅτι ἐνδέχεται μετὰ τὸ τὴν νόσον ἀποβα-
λεῖν, ὑγίειαν δέξασθαι. εἰ γὰρ μὴ κατὰ ἄμφω δηλονότι κατὰ τὸ ἁπλοῦν. ἀλλά, ἀδύνατον τὸ νοσεῖν ὑ-
γίειαν δέξασθαι. ὥστε εἰ τοῦ συνθέτου ὡς συνθέτου κατηγορεῖται, αὐτὸν δεῖ καὶ τοῦ ἐλάττονος ὅρου κατη-
γορεῖσθαι. τοῦτο δὲ ἀδύνατον. ταῦτα μὲν οὖν ἤδη τοσοῦτον ἤδη σκεψόμεθα περὶ τούτου καὶ αὖθις.

» ΤΟΥΤΟΥ δὲ μὴ ληφθέντος. οὐ γίνεται συλλογισμός. εἰ μὴ τοῦ ἐνδέχεσθαι. τοῦτο δὲ οὐκ ἀδύνατον.
» ἐνδέχεται γὰρ μηδενὶ ὑπάρχειν ἀνθρώπῳ ὑγίειαν. πάλιν ἐπὶ τοῦ μέσου σχήματος ὁμοίως ἔσται τὸ ψεῦδος.
» τὴν γὰρ ὑγίειαν, νόσῳ μὲν οὐδεμιᾷ. ἀνθρώπῳ δὲ παντὶ ἐνδέχεται ὑπάρχειν. ὥστ' οὐδενὶ ἀνθρώπῳ νόσον.

Α μφοτέρων γὰρ τῶν προτάσεων ἐνδεχομένων οὐσῶν, ἐνδεχόμενον γίνεται τὸ συμπέρασμα καὶ ἀληθές.
καὶ οὐκ ἀναγκαῖον, ψευδὲς ὡς πρότερον.

» ΕΝ δὲ τῷ τρίτῳ σχήματι κατὰ τὸ ἐνδέχεσθαι συμβαίνει τὸ ψεῦδος. καὶ γὰρ ὑγίειαν καὶ νόσον, καὶ
» ἐπιστήμην, καὶ ἄγνοιαν, καὶ ὅλως τὰ ἐναντία, παντὶ τῷ αὐτῷ ἐνδέχεται ὑπάρχειν. ἀλλήλοις δ' ἀ-
» δύνατον.

Ε ἀν τὰς ἕξεις λαβὼν συμπλέξω ἐν γ' σχήματι τὸν συλλογισμόν. συνάγεται ψευδὲς συμπέρασμα. οὐ καθόλου ἀλ-
λὰ κατὰ τὸ ἐνδεχόμενον. οἷον ὑγίειαν ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν. νόσος παντὶ ἀνθρώ-
πῳ ἐνδέχεται ὑπάρχειν, καὶ ὅσον ἐπὶ ταῖς προτάσεσιν ὑγίειαν ἐνδέχεται μηδεμιᾷ νόσῳ ὑπάρχειν. ἀλλ'
οὐκ ἐνδέχεται. ἀλλὰ ἡ ἀνάγκη μὴ ὑπάρχειν κατὰ τὸ ἐνδεχόμενον οὖν ψεῦδος.

» ΤΟΥΤΟ δὲ ἀνομολογούμενον τοῖς προειρημένοις. ὅτε γὰρ τῷ αὐτῷ πλείω ἐνδέχοιτο ὑπάρ-
» χειν, ἐνεδέχετο καὶ ἀλλήλοις. φανερὸν οὖν ὅτι ἐν ἅπασι τούτοις ἡ ἀπάτη γίνεται, παρὰ τὴν
» τῶν ὅρων ἔκθεσιν. μεταληφθέντων γὰρ τῶν κατὰ τὰς ἕξεις, οὐδὲν γίνεται ψεῦδος. δῆλον
» οὖν ὅτι κατὰ τὰς τοιαύτας προτάσεις, ἀεὶ τὸ κατὰ τὴν ἕξιν ἀντὶ τῆς ἕξεως μεταληπτέον καὶ
» θετέον ὅρον.

Τ ὸ τὴν ὑγίειαν ἀδύνατον ὑπάρξαι τῇ νόσῳ, ἀληθὲς μέν, ἐναντίον δὲ τοῖς ἤδη διατεταγμένοις. εἴρηται
γὰρ ὅτι

quando quomodo μηδε-
μιᾷ, cum universale
nihil in 3ª figura
colligatur: Itaque re-
pudio hanc interpretati-
onem, syllogismus insti-
tuo in hunc modum:
Da[ri] Omni homini contingit adesse sanitatem
[...] omni homini contingit adesse morbum
[...]ti. Ergo morbum alicui [...] inesse contingit.

ἐνδέχεται ὑπάρχειν, τουτέστιν ἐξ ἀνάγκης οὐχ ὑπάρχει. τοῦτο δέ ἐστι ψεῦδος. τὸ νοσοῦν παντὶ ἀνθρώπῳ ὑπάρχειν. ὥστε ψευδοῦς οὔσης τῆς μείζονος, ψευδές ἐστι πῶς καὶ τὸ συμπέρασμα. συνάγεται γὰρ τὸ ὑγιαῖνον οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. τὸ αὐτό φησι καὶ ἐπὶ τοῦ δευτέρου σχήματος. λέγω γὰρ οὕτως. ὑγίεια οὐδεμιᾷ νόσῳ ἐξ ἀνάγκης. παντὶ δὲ ἀνθρώπῳ ἐνδεχομένως. καὶ συνάγεται νόσος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. ὅπερ ἐστὶ ψεῦδος. ἐνδέχεται γὰρ ὑπάρχειν παντί. πάλιν δὲ εἰ ἀντὶ τῶν ἕξεων μεταλάβοις τὰ μετειληφότα. ψευδοῦς οὔσης τῆς ἀποφατικῆς, ψευδές ἐστι πῶς καὶ τὸ συμπέρασμα. τὸ γὰρ ὑγιαῖνον οὐκ ἀληθὲς εἰπεῖν ἢ οὐδενὶ νοσοῦντι ἐξ ἀνάγκης ἐνδέχεται ὑπάρχειν ἢ παντί. ὥστε τὸ ψευδὲς συμπέρασμα διὰ ταύτης συνέβη. ἡ δὲ ἀπάτη γίνεται τοῦ εἶναι συλλογισμόν. διὰ τὸ τὰς ἕξεις ἐν τοῖς ὅροις θεῖναι ἀντὶ τῶν μετειληφότων. ἐν μὲν οὖν τῷ πρώτῳ καὶ τῷ δευτέρῳ σχήματι τῶν ἕξεων ἐν τοῖς ὅροις κειμένων κατὰ τὰ Ἀριστοτέλους συνήγετο τὸ ψεῦδος. αὐτὸ γὰρ δοκεῖ τῇ μείζονι ἀναγκαίᾳ οὔσῃ ἕπεσθαι τὸ συμπέρασμα. τῶν περὶ Θεόφραστον οὐχ οὕτως οἰομένων, ἀλλὰ τῇ ἐνδεχομένῃ ὡς εἴρηται. ἐν μέντοι τῷ τρίτῳ σχήματι κατὰ τὰ πᾶσι δοκοῦντα παρὰ τὴν εἰρημένην αἰτίαν, τὸ ψεῦδος συνάγεται. λέγω δὴ τῷ τὰς ἕξεις εἶναι ἐν τοῖς ὅροις. πᾶσι γὰρ δοκεῖ καὶ ἔστιν ἀναγκαῖον τῶν δύο προτάσεων ἐνδεχομένων οὐσῶν, ἐνδεχόμενον εἶναι καὶ τὸ συμπέρασμα. καὶ ἀναγκαίων, ἀναγκαῖον. καὶ ὑπαρχουσῶν, ὑπάρχον εἶναι καὶ τὸ συμπέρασμα. ἀνάγκη γὰρ πάντη τε καὶ πάντως μιᾷ τῶν προτάσεων ἀκολουθῆσαι. οὐ γὰρ ἔξωθεν δεῖ αὐτὸ εἶναι καὶ ἕτερον παντελῶς τῶν προτάσεων μηδεμίαν πρὸς αὐτὰς κοινωνίαν ἔχον. τούτου οὖν ὄντος ἀληθοῦς, ὅρα πῶς ἐν τῷ τρίτῳ σχήματι τῶν μὲν ἕξεων ἐν τοῖς ὅροις κειμένων καὶ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων οὐσῶν, συμπέρασμα οὐκ ἐνδεχόμενον, ἀλλ' ἀναγκαῖον συνάγεται. εἰ μέντοι ἀντὶ τῶν ἕξεων μεταληφθῇ τὰ μετέχοντα, καὶ τὸ συμπέρασμα γίνεται ἐνδεχόμενον, ὡς δῆλον εἶναι τῆς ἀπάτης τὸ αἴτιον ὅτι περὶ τὴν λέξιν γέγονεν. λέγω δὴ τῷ τὰς ἕξεις ἀντὶ τῶν μετεχόντων ἐν τοῖς ὅροις κεῖσθαι. λέγω γὰρ οὕτως. ὑγίειαν παντὶ ἀνθρώπῳ ἐνδέχεται μὴ ὑπάρχειν. νόσον παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν. καὶ διὰ τῶν προτάσεων συνάγεται ὅτι ὑγίεια οὐδεμιᾷ νόσῳ ἐνδέχεται ὑπάρχειν. τοῦτο δέ ἐστι ψεῦδος. ἐξ ἀνάγκης γὰρ οὐχ ὑπάρχει. τὰ μὲν οὖν ἐν τούτοις λεγόμενα ταῦτά ἐστιν. Ἀπορήσειε δ' ἄν τις μήποτε καὶ τὸ κατὰ τὰς ἕξεις μεταλημμένων καὶ οὕτω γίνεταί τις ἀπάτη. ὅταν γὰρ εἴπω τὸ ὑγιαῖνον οὐδενὶ νοσοῦντι ὑπάρχει ἐνδεχομένως. πῶς λαμβάνω τὸ νοσοῦν. εἰ γὰρ τὸ συγκείμενον ἐκ τοῦ νοσοῦντος καὶ τῆς νόσου. οὐκ ἀληθὴς ὁ λόγος. οὐδέποτε γὰρ τῷ νοσοῦντι ὡς νοσοῦντι ὑπάρξει τὸ ὑγιαῖνον. ἀσυνύπαρκτα γὰρ τὰ ἐναντία. οὐκ ἄρα ὡς νοσοῦντι ὑπάρξει, ἀλλ' ὡς ζῴῳ, ἢ ὅτι ἐστὶ τὸ δεκτικὸν νόσου καὶ ὑγιείας. πάλιν ὅταν εἴπω τὸ νοσοῦν παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν. πότερον ᾗ συνθετόν ἐστι τὸ νοσοῦν λέγω αὐτὸ ὑπάρχειν τῷ ἀνθρώπῳ. ἢ καθὸ ἁπλοῦν. λέγω δὴ ᾗ νοσεῖ. πρόδηλον ὅτι ᾗ νοσεῖ. τὸ γὰρ νοσοῦν τῶν καθ' ἕκαστόν τί ἐστιν. οὐδὲν δὲ τῶν καθ' ἕκαστα ὑπάρχειν τινὶ δύναται. δῆλον δὲ ἔσται εἰ καθ' ἕκαστα ληφθῶσιν. οἷον ὁ μίκκαλος. διανοητός ἐστι μίκκαλος. δῆλον γὰρ ὅτι τὸν διανοητὸν μίκκαλον ᾗ διανοητός ἐστι, κατηγορεῖ τοῦ ὑποκειμένου. οὐχ ᾗ διανοητός ἐστι μίκκαλος. αὐτὸς γὰρ ἑαυτοῦ κατηγοροῖτο ἄν. ὁμοίως ἐὰν εἴπω ὁ σωκράτης, νοσῶν ἐστι σωκράτης. οὐχ ᾗ νοσῶν ἐστι σωκράτης ὁ κατηγορούμενος ὅρος ὅλος ὡς ὅλος κατηγορεῖται σωκράτους, ἀλλ' ᾗ νοσεῖ. ταυτὸν γάρ ἐστι τῷ εἰπεῖν ὁ σωκράτης νοσεῖ ἢ νοσῶν ἐστιν. εἰ τοίνυν τοῦτο οὕτως ἔχει, δῆλον ὅτι ὁ μέσος κατ' ἄλλο μὲν αὐτοῦ μέρος ὑπόκειται τῷ μείζονι. κατ' ἄλλο δὲ κατηγορεῖται τοῦ ἐλάττονος. ὅταν γὰρ εἴπω τὸ ὑγιαῖνον οὐδενὶ νοσοῦντι ἐνδέχεται ὑπάρχειν, οὐχ ᾗ νοσεῖ τοῦτό φημι. οὕτω γὰρ ἂν ἐξ ἀνάγκης οὐχ ὑπῆρχεν. οὐδέποτε γὰρ τὸ νοσοῦν ᾗ νοσεῖ ὑγιαίνει. ἀλλ' ᾗ ἄνθρωπός ἐστι τὸ νοσοῦν ἢ ἄλλο τι ζῷον. ὅταν δὲ λέγω πάλιν τὸ νοσοῦν παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν. δηλονότι ᾗ νοσεῖ. οὐχ ᾗ ἕτερόν τί ἐστι τῇ νόσῳ ὑποκείμενον. ὥστε ὁ μέσος οὐχ ὁ αὐτὸς εἴληπται. εἰ δὲ μὴ μόνον ὁ μέσος εἰς τὸ σύνθετον λαμβάνοιτο, ἀλλὰ καὶ ὁ μείζων. ἔτι πλείων ἀποτείνεται ἡ ἀπορία. ἔοικεν οὖν κἂν ἐκ τῶν ἕξεων τὰ μετέχοντα μεταληφθῇ, καὶ τοῦτο ἀπάτης αἴτιον γίνεσθαι. εἴγε ἄλλοις ἐξ ἄλλων ὅροις μεταλαμβάνειν ἀνάγκη. καὶ μὴ ὁ αὐτὸς φυλάττεται μέσος. ὥστε οὐδὲ συμπλοκὴ γίνεται. πρὸς ταῦτα ἀπολογούμενος ὁ φιλόσοφος ἔλεγεν. ὡς δεδειγμένον ἂν ἐν τῷ περὶ ἑρμηνείας, ὡς ὅτι αἱ μετοχαὶ ἰσοδυναμοῦσι τοῖς ῥήμασι. τὸ γὰρ εἰπεῖν σωκράτης περιπατεῖ, ἴσον ἐστὶ τῷ εἰπεῖν σωκράτης περιπατῶν ἐστι. καὶ ἐπὶ πάντων τὸ αὐτό. εἰ οὖν τοῦτο οὕτως ἔχει, δῆλον ὅτι κἂν λαμβάνω ἐν τῷ μέσῳ τὸ νοσοῦν, μετοχὴν ὄν. ἰσοδυναμήσει τοῦτο τῷ νοσεῖν ῥήματι. ὥστε εἰ ἀντιμεταληφθῇ ἀντὶ μετοχῆς τὸ ῥῆμα οὐδὲν ἀδύνατον συμβαίνει διὰ τὸ ἰσοδυναμεῖν ταῦτα ἀλλήλοις ὡς εἴρηται. ὅταν οὖν εἴπω τὸ ὑγιαῖνον οὐδενὶ νοσοῦντι. ἐὰν ἀντιμεταλάβω τὸ νοσοῦν εἰς τὸ νοσεῖν. καὶ εἴπω τὸ νοσεῖν παντὶ ἀνθρώπῳ ὑπάρχει, οὐχ ἕτερον ἀνθ' ἑτέρου ἔλαβον. εἴγε ἰσοδυναμεῖ ἡ μετοχὴ τῷ ῥήματι. πρὸς δὲ τοῦτο ἐκεῖνό ἐστιν εἰπεῖν. ὅτι οὐ παντὶ ῥήματι ἰσοδυναμεῖ ἡ μετοχή. ἀλλὰ μόνοις τοῖς ὁριστικοῖς ἐξ ὧν καὶ τὴν γένεσιν ἔχει. οὐκέτι δὲ τοῖς ἀπαρεμφάτοις. εἴγε τὰ μὲν ἄλλα ῥήματα σημαντικά ἐστιν ἐνεργείας ἢ πάθους μετὰ τοῦ ἐνεργοῦντος ἢ πάσχοντος. ὡς τὸ γράφω. περιπατῶ. τὰ αὐτὰ δὲ ταῦτα καὶ αἱ μετοχαὶ σημαίνουσι. τὰ μέντοι ἀπαρέμφατα, μόνης ἐστὶ τῆς ἐνεργείας ἢ τοῦ πάθους σημαντικά. οὐ μὴν τοῦ μετειληφότος τούτων.

συλλογιζόμενα. ὅτι ὡς ἑπόμενον τὸ ἀναγκαῖον μέν τι συμβαίνει ἐκ τῶν τεθέντων ὅρων καὶ ὁ συλλογισμὸς δὲ ἀναγκαῖος. οἰόμεθα οὖν ὅτι εἴ τι ἀναγκαῖόν ἐστιν, ἤδη καὶ συλλογισμός ἐστι. τὸ δὲ οὐχ οὕτως ἔχει. ἐπὶ πλέον γὰρ τὸ ἀναγκαῖον ὡς δέδεικται. καὶ εἰ μὲν συλλογισμός, πάντως καὶ ἀναγκαῖον. οὐκ εἴ τι δὲ ἀναγκαῖον, τοῦτο ἤδη καὶ συλλογισμός. εἰ δὲ τοῦτο οὕτως ἔχει φησίν. οὐκ ἐὰν τεθέντων τινῶν εἰς ἀναγκαῖον ἑπόμενόν τι, εὐθὺς πειρατέον καὶ ὑπὸ συλλογιστικὸν σχῆμα τὸ τοιοῦτον ἀνάγειν. οὐ γὰρ πάντως συλλελόγισται. ἀλλὰ ποιητέον ταῦτα πρότερον ἅπερ αὐτὸς σαφῶς ἐκτίθεται.

ΟΜΟΙΩΣ δὲ καὶ εἰ μὴ καθόλου εἶεν αἱ προτάσεις. ὁ γὰρ αὐτὸς διορισμὸς τοῦ μέσου. φανερὸν οὖν ὡς ἐν ᾧ λόγῳ μὴ λέγεται τὸ αὐτὸ πλεονάκις, οὐ γίνεται συλλογισμός. οὐ γὰρ εἴληπται μέσον.

ἐπειδὴ ὡς ἐξ ἀμφοτέρων καθολικῶν προτάσεων ὄντων τῶν συλλογισμῶν, ἐποίει τὸν λόγον. ὁ αὐτός φησι λόγος καὶ εἰ μερικαὶ εἶεν αἱ προτάσεις δῆλον δήπου ὅτι οὐκ ἀμφότεραι, ἀλλὰ καθ' ἑκατέραν. εἴτε ἡ καταφατική, εἴτε ἡ ἀποφατική. εἴτε ἡ μείζων εἴτε ἡ ἐλάττων. ὡς ἐπὶ τοῦ β' σχήματος καὶ τοῦ γ'. τῇ γὰρ αὐτῇ μεθόδῳ τὸν μέσον εὑρήσομεν.

ΕΠΕΙ δ' ἔχομεν ποῖον ἐν ἑκάστῳ σχήματι περαίνεται τῶν προβλημάτων. καὶ ἐν τίνι τὸ καθόλου καὶ ἐν ποίῳ τὸ ἐν μέρει, φανερὸν ὅτι οὐκ εἰς ἅπαντα τὰ σχήματα βλεπτέον. ἀλλ' ἑκάστου προβλήματος εἰς τὸ οἰκεῖον. ὅσα δὲ ἐν πλείοσι περαίνεται, τῇ τοῦ μέσου θέσει γνωριοῦμεν τὸ σχῆμα.

συνέχειαν τὴν εἰς τὰ σχήματα ἀνάλυσιν ποιήσασθαι βουλόμενος, ταῦτα προστίθησιν. ἵνα ἀναγαγεῖν ἐπὶ τὰ σχήματα τοὺς συλλογισμοὺς βουλόμενοι εἰς ὡρισμένα βλέπωμεν. ἐπεὶ οὖν δέδεικται φησὶν ἕκαστον πρόβλημα ἐν ποίοις σχήμασι περαίνεται. ὅτι τὸ μὲν καθόλου καταφατικὸν μόνως ἐν τῷ πρώτῳ. τὸ δὲ καθόλου ἀποφατικὸν, ἐν α' καὶ δευτέρῳ. τὸ δὲ μερικὸν ἀποφατικὸν, ἐν α' καὶ β' καὶ γ'. ἐπεὶ οὖν δῆλον ἐν ποίῳ σχήματι ἕκαστον τῶν προβλημάτων περαίνεται. ὅταν βουλώμεθα τὸν προτεθέντα λόγον εἰς σχῆμα συλλογιστικὸν ἀναγαγεῖν, σκοπητέον ποῖόν ἐστι τῶν προβλημάτων τὸ δι' αὐτοῦ δεικνύμενον καὶ οὕτως εἰς τὸ οἰκεῖον ἀνακτέον σχῆμα. ἐπεὶ δὲ διὰ πλειόνων τινὰ δείκνυται σχημάτων τῇ τοῦ μέσου θέσει κριτέον τὸ σχῆμα.

ΠΟΛΛΑΚΙΣ μὲν οὖν ἀπατᾶσθαι συμβαίνει περὶ τοὺς συλλογισμοὺς διὰ τὸ ἀναγκαῖον. ὥσπερ εἴρηται πρότερον. ἐνίοτε δὲ παρὰ τὴν ὁμοιότητα τῆς τῶν ὅρων θέσεως. ὅπερ οὐ χρὴ λανθάνειν ἡμᾶς. οἷον εἰ τὸ α κατὰ τοῦ β' λέγεται. καὶ τὸ β' κατὰ τοῦ γ'. δόξειε γὰρ ἂν οὕτως ἐχόντων τῶν ὅρων εἶναι συλλογισμός. οὐ γίνεται δὲ, οὔτ' ἀναγκαῖον οὐδὲν, οὔτε συλλογισμός. ἔστω γὰρ ἐφ' ᾧ τὸ α, τὸ ἀεὶ εἶναι. ἐφ' ᾧ δὲ β', διανοητὸς Ἀριστομένης. τὸ δὲ ἐφ' ᾧ γ', Ἀριστομένης. ἀληθὲς δὴ τὸ α τῷ β' ὑπάρχειν. ἀεὶ γάρ ἐστι διανοητὸς Ἀριστομένης. ἀλλὰ καὶ τὸ β' τῷ γ'. ὁ γὰρ Ἀριστομένης διανοητὸς Ἀριστομένης ἐστί. τὸ δὲ α τῷ γ' οὐχ ὑπάρχει. φθαρτὸς γάρ ἐστιν ὁ Ἀριστομένης. οὐκ ἄρα ἐγίνετο συλλογισμὸς οὕτως ἐχόντων τῶν ὅρων. ἀλλ' ἔδει καθόλου τὴν α β' ληφθῆναι πρότασιν. τοῦτο δὲ ψεῦδος, τὸ ἀξιοῦν πάντα τὸν διανοητὸν Ἀριστομένην ἀεὶ εἶναι. φθαρτοῦ ὄντος τοῦ Ἀριστομένους.

εἰπὼν πῶς δεῖ τοὺς συλλογισμοὺς ἀναγαγεῖν εἰς τὰ σχήματα, ὅτι πρότερον εἰς τὰς προτάσεις ἐπιβλέποντα. εἶτα εἰς τοὺς ὅρους. καὶ ἐκ τῆς τοῦ μέσου σχέσεως τὸ σχῆμα εὑρίσκειν. οὐ μόνον δὲ ἀλλὰ καὶ ἐκ τοῦ προβλήματος ἐνίοτε. εἰ γὰρ ἡ καθόλου καταφατικὸν καὶ πρὸ τῆς εὑρέσεως τοῦ μέσου. πρόδηλον ὡς ἐπὶ τὸ πρῶτον σχῆμα ἀνάγεται. καὶ ἐπὶ τῶν λοιπῶν ὡς εἴπομεν. νῦν διδάξαι ἡμᾶς βούλεται καὶ εἰς ποῖα ἄλλα ἀποβλέποντας μέλλοντας ἀναλύειν τοὺς συλλογισμούς. πολλὰ γάρ ἐστι δι' ἃ συμβαίνει ἀπατᾶσθαι ἡμᾶς. καὶ νομίζειν συλλογίσασθαι ἀληθοῦς ὄντος τοῦ συναχθέντος. οὐ μὴν κατὰ συλλογισμὸν συναχθέντος. λέγει οὖν τὰς ἀφορμὰς τῆς ἀπάτης ἵνα ὅταν ἐν λόγῳ τινὶ εὕρωμεν τινὰ τούτων τῶν τρόπων ἐπισκοποῦντες, ὡς οὐ συλλογιστικὸς ὁ λόγος, μὴ ἐπιχειρῶμεν ἀνάγειν αὐτὸν ἐπὶ τὰ σχήματα. ἀλλ' ἐλέγχωμεν ὡς ἀσυλλόγιστον. ὅτι μὲν οὖν συμβαίνει ἀπατᾶσθαι καὶ δοκεῖν συλλογισμὸν εἶναι μὴ ὄντα παρὰ τὸ ἀναγκαῖον, ἔφθημεν εἰπόντες. καὶ τὴν αἰτίαν προσθέντες διὰ τὸ ἐπὶ πλέον εἶναι τὸ ἀναγκαῖον ἢ τὸν συλλογισμόν. νῦν δὲ καὶ ἄλλο τι διδάσκει ὅτι γίνεται ἀπάτη παρὰ τὴν ὁμοιότητα τῆς τῶν ὅρων θέσεως. πολλάκις γὰρ τῶν ὅρων συλλογιστικῶς κειμένων, ἀρκεῖν οἰόμεθα τοῦτο εἰς συλλογισμῶν γένεσιν. πρότερον γὰρ ἐπὶ τοῦ ἀναγκαίου καὶ τῶν ὅρων μὴ συλλογιστικῶς κειμένων ἐδόκει συλλογισμὸν γίνεσθαι διὰ τὸ ἀναγκαῖον. ὡς ἐφ' ὧν παρέθετο ὑποδειγμάτων. πολλάκις δὲ οἱ ὅροι συλλογιστικῶς κεῖνται. παραλείπεται δέ τι τῶν παραπεφυλαγμένων εἰς τὴν τῶν συλλογισμῶν γένεσιν. εἶτα ἀληθῶς ὄντος τοῦ συμπεράσματος εἰ οὕτω τύχοι, οἰόμεθα καὶ συλλογιστικῶς αὐτὸ συνῆχθαι. διὰ τὸ ὡς εἴπον συλλογιστικῶς κεῖσθαι τοὺς ὅρους. οἷον εἰ τὸ α ἕπεται τῷ β'. καὶ τὸ β' τῷ γ'. ἤδη καὶ τὸ α τῷ γ' ἕπεσθαι διὰ τὴν τῶν ὅρων θέσιν. τὸ δὲ οὐκ οὕτως ἔχει. ἐπὶ πλείστων γὰρ ἐλέγχεται ψευδὴς ὁ λόγος. λέγω δὲ οὕτω φησίν. ὁ Ἀριστομένης, διανοητός ἐστιν Ἀριστομένης. ἔστι γὰρ τοῦ Ἀριστομένους διάνοια. ὁ διανοητὸς Ἀριστομένης, ἀεί ἐστιν. ἀεὶ γάρ ἐστιν ἡ τοῦ Ἀριστομένους διάνοια. εἰ καὶ ἄλλο τι ἐν ἄλλῳ. καὶ συνάγεται ψεῦδος. ὁ ἄρα Ἀριστομένης, ἀεί ἐστι. καίτοι οἱ ὅροι συλλογιστικῶς κεῖνται καὶ αἱ προτάσεις ἀληθεῖς εἰσιν. ἡ μὲν οὖν δόκησις τοῦ εἶναι συλλογισμὸν παρὰ τὴν θέσιν τῶν ὅρων. ἀλλ' οὐκ ἤρκει τοῦτο μόνον ἀλλὰ καὶ τὸ δεῖν πάντως καθολικὴν εἶναι πρότασιν, ἐνταῦθα δὲ ἄμφω μερικαί εἰσιν. ἀπροσδιόριστοι γάρ. ἐπεὶ οὖν ψευδής ἐστιν ἡ καθόλου πρότασις, διὰ τοῦτο ψευδὲς καὶ τὸ συμπέρασμα. ἐὰν γὰρ οὕτως εἴπω ὁ

τοῖς οὕτω προφερομένοις λόγοις τὸ συνάγειν τι ἀναγκαῖον, δῆλον ἐφ' ὧν μὴ οὕτως ἔχει· φημὶ γὰρ ὅτι τὸ α τοῦ β ἐστὶν ἀδελφός· ἀλλὰ καὶ τὸ γ τοῦ αὐτοῦ β ἐστὶν ἀδελφός· καὶ οὐκ ἔτι ἐξ ἀνάγκης ἕπεται. καὶ τὸ α ἄρα τοῦ γ ἐστὶν ἀδελφός. τοῦτο δὲ, διὰ τὸ τὴν καθόλου πρότασιν ψευδῆ εἶναι τὴν λέγουσαν· πάντες οἱ τοῦ αὐτοῦ ἀδελφοί, καὶ ἀλλήλων εἰσὶν ἀδελφοί. ἐπεὶ οὖν ψευδὴς ἡ καθόλου πρότασις, διὰ τοῦτο οὐδὲ τὸ ἀναγκαῖον συνάγεται. ὅτι δὲ ψευδής, δηλοῖ ἐξ ὑποδείγματος· ἐνδέχεται γὰρ γυναῖκά τινα ἐξ ἀνδρὸς παῖδα ἔχειν· καὶ ἄνδρα τινὰ ἐκ γυναικός τινος παῖδα ἔχειν· καὶ στερέσθαι ἡ μὲν γυνὴ τὸν ἄνδρα, ὁ δὲ ἀνὴρ τὴν γυναῖκα· καὶ συνέρχεσθαι αὐτοὺς καταλειφθέντες εἰς γάμον· καὶ τεκεῖν τούτους υἱόν. δῆλον οὖν ὅτι τῶν ἐξ ἀμφοῖν τεχθείς τις, ἑκατέρου τῶν προγεγεννημένων ἀδελφός ἐστιν· ὁ μὲν ἐκ μητρός· ὁ δὲ ἐκ πατρός· καὶ ὅμως ἀλλήλων οὐκ εἰσὶν ἀδελφοί· οὔτε γὰρ κατὰ μητέρα κοινωνοῦσιν· ἄλλη γὰρ ἑκατέρου μήτηρ· τοῦ μὲν ἡ ζῶσα γυνή· τοῦ δὲ ἡ τελευτήσασα· οὔτε κατὰ πατέρα· καὶ γὰρ οἱ πατέρες διάφοροι, τοῦ μὲν γὰρ ὁ ζῶν δεύτερος τῆς γυναικὸς ἀνήρ· τοῦ δὲ ὁ τελευτήσας πρότερος τῆς αὐτῆς ἀνήρ. γίνεται οὖν ὁ πᾶς συλλογισμὸς ψευδῆ ἔχων τὴν μείζονα πρότασιν τοῦτον τὸν τρόπον. τὸ α καὶ τὸ γ τοῦ αὐτοῦ β ἀδελφοί εἰσι· πάντες οἱ τοῦ αὐτοῦ ἀδελφοὶ καὶ ἀλλήλων εἰσὶν ἀδελφοί· τὸ α ἄρα καὶ γ ἀλλήλων εἰσὶν ἀδελφοί. ψευδοῦς οὖν οὔσης τῆς καθόλου, ψευδὲς καὶ τὸ συμπέρασμα· καίτοι τοῦ σχήματος συλλογιστικοῦ ὄντος. ἐν οἷς ἄρα συνάγεταί τι ἀναγκαῖον, μὴ συλλογιστικῶς πεπλεγμένων τῶν προτάσεων, διὰ τὴν τῶν κειμένων φύσιν συνάγεται· οὐ μὴν ἐκ συλλογισμοῦ· δι' ὅτι ὡς εἶπεν ἐπὶ πλέον ἐστὶ τοῦ συλλογισμοῦ τὸ ἀναγκαῖον· καὶ εἰ μὲν συλλογισμὸς τοῦτο καὶ ἀναγκαῖον· οὐκ εἰ δὲ ἀναγκαῖον, εὐθὺς ἤδη τοῦτο καὶ συλλογισμός. πλεονάσει δὲ καὶ ἄλλοις ὑποδείγμασι κέχρηνται. οἷον, Δίων λέγει ἡμέραν εἶναι· ἀλλὰ καὶ ἡμέρα ἐστί· Δίων ἄρα ἀληθεύει. κἀνταῦθα γὰρ ἀληθὲς μέν τι συνάγεται ἐξ ἀνάγκης διὰ τὰ κείμενα· οὐ μὴν ἐκ συλλογισμοῦ· τὸ γὰρ ἀληθεύει μείζων ὑπάρχων ὅρος, οὐκ εἴληπται ἐν οὐδετέρᾳ τῶν προκειμένων· ἔδει δὲ πάντως ὡς μεμαθήκαμεν τὸν μείζονα ὅρον ἐν τῇ μείζονι εἶναι τῶν προτάσεων· κἀνταῦθα οὖν ἀναγκαῖον μὲν τὸ συναχθέν, οὐ μὴν συλλογισμός· ἡ δὲ ἀνάγκη διὰ τὴν καθόλου πρότασιν τὴν παραλελειμμένην· ἔστι δὲ αὕτη· πᾶς ὁ τὸ εἶναι λέγων ἀληθεύει· ὡς εἶναι τὸν πάντα συλλογισμὸν τοιοῦτον· Δίων λέγει ἡμέραν εἶναι, ἡμέρας οὔσης· πᾶς ὁ τὸ ὂν εἶναι λέγων ἀληθεύει· Δίων ἄρα ἀληθεύει.

» ΕΞ ὧν δ' ἐστὶν ἡ οὐσία ἀναιρουμένων καὶ τὸ ἐκ τούτων φθείρεσθαι.

Ἀντὶ τοῦ ἐπὶ πάντων τῶν μερῶν ἀναιρουμένων ὡς ἡμεῖς εἴπομεν· εἶπεν ἐξ ὧν δ' ἐστὶν ἡ οὐσία ἀναιρουμένων· ἐκ γὰρ τῶν μερῶν τὸ ὅλον· ἡ δὲ ὁλότης ἑκάστου οὐσία ἐστὶν ἑκάστου· πάλιν ἀντὶ τοῦ ἐπὶ πάντων ἀναιρεῖται τὸ ὅλον, εἶπε τὸ ἐκ τούτων· ἐκ γὰρ τῶν μερῶν τὸ ὅλον ὡς εἴπομεν.

» ΤΟΥΤΩΝ γὰρ τεθέντων ἀναγκαῖον μὲν τὸ οὐσίας μέρος εἶναι οὐσίαν· οὐ μὴν συλλελόγισται διὰ τῶν εἰλημμένων· ἀλλ' ἐλλείπουσιν αἱ προτάσεις.

Τὸ συμπέρασμα ὅπερ ἡμεῖς λέγομεν· τὰ ἄρα μέρη τῆς οὐσίας οὐκ εἰσὶν οὐκ οὐσίαι· αὐτὸς φησὶν ἀνάγκη ἄρα τὸ μέρος τῆς οὐσίας οὐσίαν εἶναι· τὸ γὰρ μὴ ὂν οὐκ οὐσία, οὐσία δήπου ἐστίν· ἴσον πάντως γὰρ ἡ κατάφασις ἢ ἡ ἀπόφασις.

» ΠΑΛΙΝ εἰ ἀνθρώπου ὄντος ἀνάγκη ζῷον εἶναι· καὶ ζῴου, οὐσίαν, ἀνθρώπου ὄντος, ἀνάγκη οὐσίαν εἶναι· ἀλλ' οὔπω συλλελόγισται· οὐ γὰρ ἔχουσιν αἱ προτάσεις ὡς εἴπομεν.

Καὶ ἕτερον ὑπόδειγμα τίθησι δι' οὗ δείκνυσιν· ὅτι οὐ πάντως εἰ τεθέντων τινῶν ἕπεταί τι ἐξ ἀνάγκης, ἤδη καὶ τοῦτο συλλογισμός. δέδεικται γὰρ ἐν τοῖς περὶ τῶν τριῶν σχημάτων ὅτι ἀδύνατον ἐκ δύο μερικῶν συλλογισμὸν γενέσθαι· δέδεικται δὲ ὅτι αἱ ἀπροσδιόριστοι ἰσοδυναμοῦσι ταῖς μερικαῖς· ἐν οὖν ταῖς ἐγκειμέναις προτάσεσιν ἀπροσδιορίστοις οὔσι, τὸ ἀναγκαῖον οὐ συλλογιστικῶς συνάγεται· ἀλλὰ διὰ τὴν ὕλην αὐτήν· ἀληθὴς γάρ ἐστιν ἡ καθόλου πρότασις ἐκείνη ἡ λέγουσα· ἐάν τινι ἕπηταί τι ἐξ ἀνάγκης, καὶ ὅσα τῷ ἑπομένῳ ἕπεται, ταῦτα κἀκείνῳ ἐξ ἀνάγκης ἕπεται ᾧ τὸ ἑπόμενον εἵπετο. τοῦτο γὰρ ἐκεῖνό ἐστι τὸ ἐν ταῖς κατηγορίαις εἰρημένον· ὅτι ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται ὡς καθ' ὑποκειμένου, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. ἀλλ' ἐπεὶ οὖν καὶ τούτῳ τῷ λόγῳ ἡ καθόλου πρότασις αἰτία, ἔστιν ὁ ὑγιὴς συλλογισμὸς τοιοῦτος, εἰ τῷ ἀνθρώπῳ ἕπεται τὸ ζῷον καὶ τῷ ζῴῳ ἡ οὐσία· πᾶν δὲ τὸ ἐξ ἀνάγκης ἑπόμενόν τινι, κἀκείνῳ πάντως ἕπεται ᾧ τὸ μέσον εἵπετο· ἀνθρώπου ἄρα ὄντος ἀνάγκη οὐσίαν εἶναι.

» ΑΠΑΤΩΜΕΘΑ δ' ἐν τοῖς τοιούτοις, διὰ τὸ ἀναγκαῖόν τι συμβαίνειν ἐκ τῶν κειμένων, ὅτι καὶ ὁ συλλογισμὸς, ἀναγκαῖόν ἐστιν. ἐπὶ πλέον δὲ τὸ ἀναγκαῖον, ἢ ὁ συλλογισμός· ὁ μὲν γὰρ συλλογισμὸς πᾶς, ἀναγκαῖον· τὸ δ' ἀναγκαῖον οὐ πᾶν συλλογισμός· ὥστ' οὐκ εἴ τι συμβαίνει τεθέντων τινῶν, πειρατέον ἀνάγειν εὐθύς· ἀλλὰ πρῶτον ληπτέον τὰς δύο προτάσεις· εἶθ' οὕτω διαιρετέον εἰς τοὺς ὅρους· μέσον δὲ θετέον τῶν ὅρων, τὸν ἐν ἀμφοτέραις ταῖς προτάσεσι λεγόμενον· ἀνάγκη γὰρ τὸ μέσον ἐν ἀμφοτέραις ὑπάρχειν ταῖς προτάσεσιν, ἐν ἅπασι τοῖς σχήμασιν. ἐὰν μὲν οὖν κατηγορῇ, καὶ κατηγορῆται τὸ μέσον, ἢ αὐτὸ μὲν κατηγορῇ, ἄλλο δ' ἐκείνου ἀπαρνῆται, τὸ πρῶτον ἔσται σχῆμα· ἐὰν δὲ καὶ κατηγορῇ καὶ ἀπαρνῆται ἀπό τινος, τὸ μέσον σχῆμα· ἐὰν δ' ἄλλα ἐκείνου κατηγορῆται, ἢ τὸ μὲν ἀπαρνῆται, τὸ δὲ κατηγορῆται, τὸ ἔσχατον· οὕτω γὰρ εἶχεν ἐν ἑκάστῳ σχήματι τὸ μέσον.

Τὴν αἰτίαν λέγει δι' ἣν ἐν τοῖς οὕτω προφερομένοις λόγοις, ἀπατώμεθα καὶ οἰόμεθα συλλελογίσθαι μὴ συλλογιζόμενοι.

σύγκειται γὰρ ἐκ τῶν προσυλλογισμῶν· ἐξ ὧν δὲ αὐτοὺς τοὺς προσυλλογισμούς. μήποτε δὲ τὰ ἐξ ὧν ἀκουστέον τοὺς φησὶ ὅρους ἐξ ὧν αἱ δύο προτάσεις. ὅτι πρότερον τὰς προτάσεις ζητητέον τοῦ συλλογισμοῦ καὶ μὴ τοὺς ὅρους. εὐχερέστερόν τε γὰρ τὰς προτάσεις εὑρήσομεν ἢ τοὺς ὅρους. καὶ τῇ εὑρέσει τῶν προτάσεων συναναφαίνονται καὶ φησὶ ὅροι ἐξ ὧν αἱ προτάσεις σύγκεινται.

hæc expositio simplicior videtur.

» ΕΙΤΑ σκοπεῖν πότερα ἐν ὅλῳ καὶ πότερα ἐν μέρει. καὶ εἰ μὴ ἄμφω εἰλημμέναι εἶεν, αὐτὸ τιθέντα θάτερον ἐρωτᾶν.

Ο ὐ λέγει ὅτι ποία ἐστὶ καθόλου καὶ ποία μερική. ἀλλὰ ποία μείζων καὶ ποία ἐλάττων. εἶπεν δὲ καθόλου μὲν τὴν μείζονα ἐν μέρει δὲ τὴν ἐλάττονα. διότι ἀεὶ ἐπὶ πλεῖον ἐστὶν ἡ μείζων τῆς ἐλάττονος. καὶ περιέχεται ἐν τῇ μείζονι ἡ ἐλάττων. ὅταν γὰρ εἴπω πᾶς ἄνθρωπος ζῷον. πᾶν ζῷον οὐσία. δῆλον ὅτι ἡ λέγουσα, πᾶν ζῷον οὐσία, ἐπὶ πλεῖον ἐστὶ τῆς ἐλάττονος. λέγω δὴ τὸ ζῷον τοῦ ἀνθρώπου, καὶ ὁ κατηγορούμενος τοῦ ὑποκειμένου. ἐπὶ πλεῖον γὰρ ἡ οὐσία τοῦ ζῴου. ἀλλὰ καὶ ἐν τῷ ἅπαν πᾶν ζῷον οὐσία, ἐμπεριείληπται τῷ ζῴῳ καὶ ἄνθρωπος. καὶ ἐπὶ τῶν ἀποφατικῶν ὁμοίως ἔχει. οἷον πᾶς ἄνθρωπος ζῷον. οὐδὲν ζῷον ἄψυχον. ἐπὶ πλεῖον γὰρ τὸ μὲν ἄψυχον τοῦ ζῴου. τοῦ γὰρ ἀψύχου καὶ τοῦ ἐμψύχου προσεχῶς διαιρουμένου ἐκ τοῦ σώματος. ἐκ τοῦ ἐμψύχου ἔχει τὴν ὑποδιαίρεσιν τὸ ζῷον. ὥστε οὐ τῆς αὐτῆς συστοιχίας τὸ ζῷον καὶ τὸ ἄψυχον ἀλλὰ ἀνωτέρω τὸ ἄψυχον. ἐπὶ πλεῖον οὖν τὸ μὲν ἄψυχον τοῦ ζῴου, τὸ δὲ ζῷον τοῦ ἀνθρώπου. ὁμοίως δὲ καὶ ἐν τῷ οὐδὲν ζῷον ἄψυχον περιέχεται καὶ ὁ ἄνθρωπος.

» ΕΝΙΟΤΕ γὰρ τὴν καθόλου προτείναντες, τὴν ἐν ταύτῃ οὐ λαμβάνουσιν, οὔτε γράφοντες, οὔτ᾽ ἐρωτῶντες.

Ε ν αὐτῇ λέγει τὴν ἐλάττονα. διότι ὡς εἴπον περιέχεται ἡ ἐλάττων ὑπὸ τῆς μείζονος, ὁμοίως ἐπὶ τῶν καταφατικῶν καὶ ἀποφατικῶν. περιέχει γὰρ ἡ λέγουσα. πᾶν ζῷον οὐσία, τὴν λέγουσαν πᾶς ἄνθρωπος ζῷον. καὶ γὰρ ἡ οὐσία τοῦ ζῴου περιεκτική. καὶ τὸ ζῷον τοῦ ἀνθρώπου. ὁμοίως καὶ ἐπὶ τῆς ἀποφάσεως. περιέχει γὰρ ἡ λέγουσα. οὐδὲν ζῷον ἄψυχον. τὴν λέγουσαν πᾶς ἄνθρωπος ζῷον. εἰ γὰρ οὐδὲν ζῷον ἄψυχον, οὐδὲ ἄνθρωπος δῆλον ὅτι.

» Η ταύτας μὲν προτείνουσι, δι᾽ ὧν δ᾽ αὗται περαίνονται, παραλείπουσι. ἄλλα δὲ μάτην ἐρωτῶσι. σκεπτέον δὲ εἴτι περίεργον εἴληπται, καὶ εἴτι τῶν ἀναγκαίων παραλέλειπται, καὶ τὸ μὲν θετέον. τὸ δ᾽ ἀφαιρετέον, ἕως ἂν ἔλθῃ τις ἐπὶ τὰς δύο προτάσεις, ἄνευ γὰρ τούτων, οὐκ ἔστιν ἀναγαγεῖν τοὺς οὕτως ἠρωτημένους λόγους. ἐνίων μὲν οὖν ῥᾴδιον ἰδεῖν τὸ ἐνδεές.

Τ ὰς μερικὰς δηλονότι. ταυτὸν δὲ εἰπεῖν τὰς ἐλάττους. περὶ τούτων γὰρ προσεχῶς εἶπε. Δι᾽ ὧν δὲ αὗται. τουτέστι τὰς καθόλου. ταυτὸν δὲ εἰπεῖν τὰς μείζους. περαίνονται γὰρ αἱ ἐλάττους διὰ τῶν μειζόνων. ἐπεὶ γὰρ πᾶν ζῷον οὐσία. διατοῦτο καὶ πᾶς ἄνθρωπος οὐσία. καὶ ἐπεὶ οὐδὲν ζῷον ἄψυχον. οὐδὲ ἄνθρωπος δῆλον ὅτι.


» ΕΝΙΟΙ δὲ λανθάνουσι καὶ δοκοῦσι συλλογίζεσθαι, διὰ τὸ ἀναγκαῖόν τι συμβαίνειν ἐκ τῶν κειμένων. οἷον εἰ ληφθείη μὴ οὐσίας ἀναιρουμένης, μὴ ἀναιρεῖσθαι οὐσίαν.

Ζ ητήσαι δ᾽ ἄν τις καὶ εἰ ἐκ τῶν κειμένων ἀναγκαῖόν τι συμβαίνῃ, πῶς φησὶν ὅτι δοκοῦσι συλλογίζεσθαι καὶ λανθάνουσιν ὡς συλλογιζόμενοι, οὐ συλλογίζονται δέ. καὶ μὴν αὐτὸς ὁριζόμενος τὸν συλλογισμὸν ἔλεγεν. ὅτι συλλογισμός ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. εἰ οὖν ὁ συλλογισμὸς διὰ τὸ τὰ κείμενα εἶναι ἀναγκαῖόν τι συνάγει. πῶς ἐνταῦθά φησιν ὅτι ἀναγκαῖον μέν τι συμβαίνῃ ἐκ τῶν κειμένων. οὐ μὴν συλλογιστικῶς. λανθάνουσι γάρ φησι καὶ δοκοῦσι συλλογίζεσθαι δῆλον ὅτι μὴ συλλογιζόμενοι. λέγω οὖν, ὅτι διατοῦτο οὐκ ἠρκέσθη ἐν τῷ ὁρισμῷ τῷ εἰπεῖν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. ἀλλ᾽ ἑρμηνεῦσαί τι αὐτῷ συμβαίνει τὸ τῷ ταῦτα εἶναι. ἐπήγαγε γὰρ λέγω δὲ τῷ ταῦτα εἶναι τὸ διὰ ταῦτα συμβαίνειν. τὸ δὲ διὰ ταῦτα συμβαίνειν, τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. ἐνταῦθα οὖν ἔδει ὅπου μὲν ὅρος, ὅπου δὲ πρότασις. διατοῦτο δὲ ὅλως φησὶν ἐν τούτοις συμβαίνει τὸ ἀναγκαῖον. ὅτι ἐπὶ πλεῖον ἐστὶ τὸ ἀναγκαῖον τοῦ συλλογισμοῦ. ὅπου μὲν γὰρ συλλογισμός, τοῦτο καὶ ἀναγκαῖον. οὐκ ὅπου δὲ ἀναγκαῖον τοῦτο καὶ συλλογισμός, ἀμέλει ἐν ταῖς ἀσυλλογίστοις συζυγίαις ἐδείκνυμεν. πολλάκις ἀναγκαῖον τι συμβαῖνον ὅπερ συνέβαινεν οὐ διὰ τὸ συλλογιστικῶς συμπεπλέχθαι τὰς προτάσεις, ἀλλὰ διὰ τὴν ὕλην τὴν παραληφθεῖσαν τὸ ἀναγκαῖον ἔχειν. λέγω δεῖ διὰ τὸ τὴν καθόλου πρότασιν ἀληθῆ εἶναι τὴν λέγουσαν, ὅτι παντός οὖ τινος οὖν ἂν πάντα τὰ μόρια ἀναιρεθῇ. συναναιρεῖται τούτοις καὶ ἡ οὐσία. καὶ ὅπως τοῦτο συμβαίνει ἔφθημεν εἰπόντες ὅτι γὰρ διά τινων καθόλου πρότασιν παραλελημμένην ἕπεται τὸ ἀναγκαῖον ἐν τοῖς τοιούτοις. ὡς καὶ τῷ ἀλεξάνδρῳ δοκεῖ. καὶ οὐ διὰ τὸ συλλογιστικὴν εἶναι τὴν ἀγωγήν. δῆλον ἐκ τῶν ὑποδειγμάτων. τίθησι γ᾽ οὖν πλείονας τοὺς τοιούτους λόγους. οἷον εἰ τῷ α τὸ β ἴσον. καὶ τῷ γ τὸ β ἴσον. καὶ τὸ α ἄρα τῷ γ ἴσον. ἐνταῦθα γὰρ ἀληθὲς μὲν τὸ συμπέρασμα καὶ τοῖς κειμένοις ἠκολούθησεν. ἀλλ᾽ οὐ συλλογιστικῶς, ὅτι γὰρ οὐ συλλογιστικῶς, δῆλον ἐξ ὧν ἀμφότεραί τε αἱ προτάσεις εἰσὶ μερικαὶ ἐν δευτέρῳ σχήματι καταφατικαί. οὕτω δὲ ἐχουσῶν τῶν προτάσεων συλλογισμὸς οὐκ ἐγένετο. πόθεν οὖν τὸ ἀναγκαῖον συνῆκται. φημὶ ὅτι ἀπό τινος καθόλου προτάσεως παραλελημμένης τῆς λεγούσης. πάντα τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα. ὥστε γίνεσθαι ἐκ συλλογισμοῦ τὸν ἀναγκαῖον τοῦτον τὸν τρόπον. τὸ α καὶ τὸ γ τῷ β ἐστὶν ἴσα. πάντα τὰ τῷ αὐτῷ ἴσα. καὶ ἀλλήλοις ἐστὶν ἴσα. τὸ α ἄρα καὶ τὸ γ ἀλλήλοις ἐστὶν ἴσα. ὅτι δὲ ἡ καθόλου πρότασις ἡ παραλελημμένη αἰτία ἐστὶν ἐν

συμβαίνῃ,

συμβαίνῃ

ὡς παραθήκαμεν παραδείγμασιν. ὅσοι δὲ τῶν συλλογισμῶν ἐλλιπῶς εἴρηνται. τοὺς δὲ αὐτοὺς ὅρους ἔχουσιν ἐν τῷ συμπεράσματι οὓς καὶ ἐν ταῖς προτάσεσι παραλήψεσι, τούτοις φησὶ δυσχερὲς ἀναλύεσθαι εἰς τὰ σχήματα. οὐ γὰρ εὐσύνοπτον τὸ παραλελειμμένον. οἷον αὐτὸς παρατίθεται συλλογισμόν. ἔχει δὲ οὕτως ἀναιρουμένης τῆς μὴ οὐσίας, οὐκ ἀναιρεῖται ἡ οὐσία. τῶν μερῶν δὲ ἀναιρουμένων, ἀναιρεῖται τὸ ὅλον. τὰ μέρη ἄρα τῆς οὐσίας, οὐκ ἔστιν οὐκ οὐσία. ἐν γὰρ τῷ συμπεράσματι τοῦ συλλογισμοῦ τούτου οὐδεὶς ἐστὶν ὅρος μὴ ὢν ἐν ταῖς προτάσεσιν. ἀλλ᾽ ἔστιν ἡ μὲν μὴ οὐσία, ἐν τῇ μιᾷ. τὰ δὲ μέρη, ἐν τῇ ἑτέρᾳ. δυσχερὴς οὖν ἐν τοῖς τοιούτοις ἡ ἀνάλυσις. ἐπειδὴ οὐδὲ τὸ παραληφθὲν ῥᾴδιον συνιδεῖν. δύο γὰρ οὐσῶν ἐν τούτῳ προτάσεων ἀσυναπτῶν ἀλλήλαις. οἱ ἐν τῷ συμπεράσματι δύο ὅροι, ἑκάτερος ἐν ἑκατέρᾳ ἐστὶ τῶν προτάσεων. ἔστιν οὖν τὸ παραλελειμμένον ἐν τούτῳ, οὐχ ὅρος ἀλλὰ πρότασις. σκοπὸς δὲ δεῖξαι διὰ τούτων ὅτι τὰ μέρη τῶν οὐσιῶν, οὐσίαι εἰσί. καὶ δείκνυσι τοῦτο οὗτος ὁ συλλογισμὸς, ἐν δευτέρῳ σχήματι. λαμβάνων μέσον ὅρον τὴν οὐσίαν, μείζονα τὴν μὴ οὐσίαν. καὶ ἐλάττονα τὰ μέρη τῆς οὐσίας. καὶ λέγει τρόπον τινὰ οὕτως. τῆς μὴ οὐσίας ἀναιρουμένης, οὐκ ἀναιρεῖται ἡ οὐσία. τὰ μέρη ἄρα τῆς οὐσίας οὐκ ἔστιν οὐκ οὐσίαι. ἀλλ᾽ οὐσίαι δῆλον ὅτι. ὃ γὰρ μὴ ἔστιν οὐκ οὐσία, οὐσία ἐστὶν ἐξ ἀνάγκης. ἀλλ᾽ ἐν τῷ προκειμένῳ οὐκ ἐχρήσατο τῷ αὐτῷ μέσῳ ὅρῳ ἐν τῇ ἐλάττονι προτάσει. ἀλλ᾽ ἔλαβεν ἀντὶ τῆς οὐσίας τὸ ὅλον. εἰπὼν γὰρ τῆς μὴ οὐσίας ἀναιρουμένης, οὐκ ἀναιρεῖται ἡ οὐσία. καὶ δέον εἰπεῖν τῶν μερῶν δὲ ἀναιρουμένων ἀναιρεῖται ἡ



οὐσία. οὕτω μὲν οὐκ εἶπεν, ἀλλ᾽ ὅτι τῶν μερῶν δὲ ἀναιρουμένων ἀναιρεῖται τὸ ὅλον. καὶ ἐχρήσατο ἀντὶ μέσου ὅρου τῆς οὐσίας τῷ ὅλῳ. ὥστε ἐν τῷ αὐτῷ συλλογισμῷ δύο μέσους παραλαμβάνεσθαι, τήν οὐσίαν καὶ τὸ ὅλον. ὅπερ τὴν πλείω ἐποίησε. διατί δὲ οὕτως ἐχρήσατο λέγομεν. ὅτι δύο συλλογισμῶν ὄντων προσυλλογισμοῦ τε καὶ αὐτοῦ τοῦ συλλογισμοῦ, ἐξ ἑκατέρου μία πρότασις ἐλλιπής. παραλελειμμέναι δέ εἰσιν αἱ λοιπαὶ δύο. τοῦ γὰρ συλλογισμοῦ τὴν ἐλάττονα πρότασιν βουλόμενος κατασκευάσαι. τὸ δεῖν ὅτι τῶν μερῶν ἀναιρουμένων ἀναιρεῖται ἡ οὐσία. δείκνυσιν αὐτὴν διὰ προσυλλογισμοῦ. κεχρημένος μέσῳ ὅρῳ, τῷ ὅλῳ. ὥστε εἶναι τὸν προσυλλογισμὸν οὕτω. τῶν μερῶν τῆς οὐσίας ἀναιρουμένων, ἀναιρεῖται τὸ ὅλον. τοῦ ὅλου ἀναιρουμένου ἀναιρεῖται ἡ οὐσία. τὰ μέρη ἄρα τῆς οὐσίας, οὐσίαι εἰσί. τὸ σχῆμα πρῶτον. ἀποκρύψας οὖν ἕνεκεν ἡ συντομίας λαβὼν τοῦ προσυλλογισμοῦ τὴν ἐλάττονα πρότασιν τὴν λέγουσαν τῶν μερῶν ἀναιρουμένων, ἀναιρεῖται τὸ ὅλον. καὶ τοῦ συλλογισμοῦ τὴν μείζονα τὴν λέγουσαν. τῆς μὴ οὐσίας ἀναιρουμένης οὐκ ἀναιρεῖται ἡ οὐσία. οὕτως ἐπήγαγε τὸ συμπέρασμα. ὅτι τὰ μέρη οὐκ ἔστιν οὐκ οὐσίαι. ἐχρήσατο οὖν ἐν τῷ συλλογισμῷ ὅρῳ μέσῳ οὐ τῷ αὐτῷ. ἀλλ᾽ ἐν τῇ μείζονι μὲν τῷ ὄντως μέσῳ. λέγω δὴ τῇ οὐσίᾳ. ἐν δὲ τῇ ἐλάττονι ἀντὶ τῆς οὐσίας τῷ ὅλῳ. ὥστε δυσχερὴς τοῦ τοιούτου τῶν συλλογισμῶν εἰκότως ἡ ἀνάλυσις. μὴ δυναμένων ἡμῶν ἐκ τοῦ συμπεράσματος στοχάσασθαι τὸ παραλελειμμένον τῶν αὐτῶν ὅρων ὑπαρχόντων ἐν τῷ συμπεράσματι. ὅπερ ἦσαν καὶ ἐν ταῖς προτάσεσι. τίθησι μὲν οὖν καὶ ἕτερα εἴδη τῆς τῶν συλλογισμῶν ἀσαφείας. ἀλλ᾽ ἵνα μὴ πάντα ἅμα λέγωμεν. ἕκαστον ἐν τῷ ἰδίῳ τόπῳ θεωρήσομεν.

Συμβήσεται δὲ καὶ τὰ πρότερον εἰρημένα βεβαιοῦσθαι. καὶ φανερώτερα εἶναι ὅτι οὕτως ἔχει διὰ τῶν νῦν λεχθησομένων. δεῖ γὰρ πᾶν τὸ ἀληθὲς αὐτὸ ἑαυτῷ ὁμολογούμενον εἶναι πάντη. ἐὰν φησὶ δείξωμεν ὅτι οἱ ὁπωσοῦν προφερόμενοι συλλογισμοὶ πάντως εἰς τὰ τρία ἀναλύονται σχήματα μόνον, πιστωσόμεθα μᾶλλον τὰ προειρημένα ὅτι ἀνάγκη τρία μόνα εἶναι σχήματα. οὐ γὰρ τὴν τε γένεσιν αὐτῶν παραδιδόντες, δείκνυμεν μόνα εἶναι ταῦτα. καὶ τὴν μέθοδον τῆς τῶν συλλογισμῶν εὑπορίας. ἔτι δὲ καὶ τοὺς γεγενημένους συλλογισμοὺς ἀναλύοντες εὕρωμεν εἰς ταῦτα μόνα ἀναλυομένους. αὐτὴν ἑαυτῇ σύμφωνον εὑρήσομεν τὴν ἀλήθειαν. οὐ μόνον δὲ τὸν περὶ τῶν τριῶν σχημάτων λόγον εὑρήσομεν διὰ τούτων βεβαιούμενον. ἀλλὰ καὶ τὸν περὶ τῶν συλλογιστικῶν συζυγιῶν καὶ τῶν ἀσυλλογίστων. δείξει γὰρ ἐν τούτοις ὅτι ὅσοι ἐξ ἀοριστῶν προτάσεων κατασκευάζουσί τι κατὰ τὴν ἰδίαν φύσιν ἀσυλλόγιστοί εἰσιν. ἑτέρωθεν δὲ ἔχουσι τὸ ἀναγκαῖον. καὶ περὶ τῶν λοιπῶν δὲ καὶ ἐντεῦθεν χύσομεν τὴν πίστιν.

ΡΑΟΝ γὰρ εἰς τὰ μείζω διελεῖν. ἢ εἰς τὰ ἐλάττω. μείζονα δὲ τὰ συγκείμενα, ἢ τὰ ἐξ ὧν σύγκειται. εὐχερέστερον γὰρ τὸ διελεῖν εἰς μεγάλα μόρια, ἢ τὸ εἰς μικρότερα. διό φησι δεῖ ἡμᾶς εἰς τὰ δύο μεγάλα μόρια τοῦ συλλογισμοῦ. λέγω δὴ τὰς συνεκτικὰς αὐτοῦ δύο προτάσεις, τὴν διαίρεσιν ποιεῖσθαι. ἀντίκειται δὲ ἔχει τῷ πλήθει τὸ μέγεθος. ὅταν γὰρ ἡ διαίρεσις εἰς μεγάλα τὰ μεγέθη γίνηται, εἰς ἐλάττονα γίνεται τῷ πλήθει. ὅταν δὲ εἰς πλείονα τῷ πλήθει, εἰς ἐλάττονα τῷ μεγέθει. ἐὰν γὰρ εἰς δύο διέλωμεν τὸ πηχυαῖον ξύλον. καὶ πάλιν ἄλλο πηχυαῖον εἰς τέσσαρα διέλωμεν. δῆλον ὅτι ἐκείνου τὰ μόρια, μεγέθει μὲν μείζονά εἰσι. ἀλλὰ τούτου, πλήθει δὲ ὀλιγώτερα. ῥᾷον δὲ ἡ ἐν ἐκείνῳ διαίρεσις ταύτης. διὰ τοῦτο φησὶν εἰς τὰς δύο προτάσεις τὰς συνεκτικωτάτας διελεῖν, χρὴ εἶναι πρότερον ἅτινά ἐστι τὰ μεγάλα μόρια τοῦ συλλογισμοῦ. καὶ μὴ ἐξ ὧν αὐταὶ συγκεῖνται. λέγει δὲ εἰς τὰς τῶν προσυλλογισμῶν προτάσεις. καὶ γὰρ δυσχερέστερον τὸ τοῦτο καὶ οὐδὲν ἡμᾶς ὀνήσειν εἰς τὸ προκείμενον. τουτέστιν εἰς τὸ ἀναγαγεῖν ὑπὸ τὰ σχήματα τοὺς συλλογισμούς. οὐδὲν γὰρ εἰς τοῦτο δεησόμεθα τῶν προσυλλογισμῶν. συγκείμεναι οὖν φησὶν αὐταὶς τὰς δύο προτάσεις

σύγκειται

οὐδὲ χεται διὰ τῆς διαιρετικῆς μεθόδου ἀποδεῖξαι. εἰ δέ τις λέγει, ὅτι οὐδὲ διὰ τῆς τοῦ ἀριστοτέλους μεθόδου ἐστὶ τὰ γένη ἀποδεῖξαι. ἴστω ὅτι καὶ εἰ μὴ ἀποδεικτικῶς ἐστὶν ἀλλὰ ἀποδεῖξαι. ἀλλ' οὖν γε παραδέδωκεν ἐν τοῖς τοπικοῖς τόπους τινάς, δι' ὧν δυνατὸν διαλεκτικῶς τὴν περὶ τῶν γενῶν πίστιν ποιήσασθαι. οὐδὲν δὲ θαυμαστὸν οὐδέν εἰ ἡ διαιρετικὴ λαμβάνει ὡς ὁμολογούμενα τὰ γένη, ὅταν ἀπὸ τῆς ἐναργείας μαρτυρούμενα ᾖ. οὐδὲ γὰρ αἱ ἀποδεικτικαὶ μέθοδοι ἀποδεῖξαί τι δύνανται μὴ λαβοῦσαί τινα ἐκ τῶν φαινομένων ἀναποδείκτως. ἀρχαὶ γὰρ πάσης ἀποδείξεως αἱ κοιναὶ ἔννοιαι καὶ τὰ ὑπὸ τῆς ἐναργείας μαρτυρούμενα. εἰ γὰρ μὴ ληφθείη τι ὁμολογημένον. ἀλλ' ἀεὶ τὸ ληφθὲν δέοιτο ἀποδείκνυσθαι. ἀναιρεθήσεται ἡ ἀπόδειξις τῆς προόδου ἐπ' ἄπειρον γινομένης. δεήσει γὰρ ἀεὶ τὸ ληφθὲν εἰς ἄλλου ἀπόδειξιν ἀποδειχθῆναι. δέδεικται δὲ ἐν τοῖς ἀποδεικτικοῖς αὐτὸ τοῦτο. ὅτι οὐ πρόϊασιν ἐπ' ἄπειρον αἱ ἀποδείξεις, ἀλλ' ἀρχὰς ἔχουσιν ἀναποδείκτους τὰς κοινὰς ἐννοίας καὶ τὰ ὑπὸ τῆς ἐναργείας μαρτυρούμενα.

ΠΩΣ δὲ ἀνάξομεν τοὺς συλλογισμοὺς εἰς τὰ προειρημένα σχήματα, λεκτέον ἂν εἴη μετὰ ταῦτα. λοιπὸν γὰρ ἔτι τοῦτο τῆς σκέψεως. εἰ γὰρ τήν τε γένεσιν τῶν συλλογισμῶν θεωροῦμεν, καὶ τοῦ εὑρίσκειν ἔχοιμεν δύναμιν, ἔτι δὲ τοὺς γεγενημένους ἀναλύοιμεν εἰς τὰ προειρημένα σχήματα, τέλος ἂν ἔχοι ἡ ἐξ ἀρχῆς ὑπόθεσις. συμβήσεται δ' ἅμα καὶ τὰ πρότερον εἰρημένα ἐπιβεβαιοῦσθαι, καὶ φανερώτερα εἶναι, ὅτι οὕτως ἔχει διὰ τῶν νῦν λεχθησομένων. δεῖ γὰρ πᾶν τὸ ἀληθὲς αὐτὸ ἑαυτῷ ὁμολογούμενον εἶναι πάντῃ. πρῶτον μὲν οὖν δεῖ πειρᾶσθαι τὰς δύο προτάσεις ἐκλαμβάνειν τοῦ συλλογισμοῦ.

Ἤρας ἀπείληφε τὸ δεύτερον τοῦ βιβλίου τμῆμα. τοῦτο δέ ἐστι τὸ περὶ τῆς εὐπορίας τῶν προτάσεων. ἐντεῦθεν λοιπὸν ἐπὶ τὸ τρίτον μεταβέβηκε. τοῦτο δέ ἐστι πῶς ἂν δυναίμεθα τοὺς ἢ παρὰ τοῖς παλαιοτέροις συλλογισμούς. ἢ ὅσους ἡμῖν οἱ προσδιαλεγόμενοι πλέκουσιν, ἀνάγειν εἰς τὰ προειρημένα τρία σχήματα. τούτου γὰρ δειχθέντος φησί. τέλος ἂν ἡμῖν ἔχοι ἡ προκειμένη πραγματεία. εἰ γὰρ τήν τε γένεσιν τῶν συλλογισμῶν μεμαθήκαμεν. ἔτι τε πῶς ἂν ἀνάγειν δυνώμεθα εἰς τὰ προειρημένα σχήματα τοὺς προτιθεμένους συλλογισμούς. τελειοτάτην ἂν ἔχοιμεν τὴν συλλογιστικὴν ἕξιν. δεῖ οὖν φησιν εἰς τὰς προσεχεῖς δύο προτάσεις ἀναγαγεῖν τὸν συλλογισμόν. αὗται γάρ εἰσιν αἱ προσεχῶς τοῦ συμπεράσματος συνακτικαί. ἔπειτα τοὺς ὅρους αὐτῶν σκοπεῖν ἐξ ὧν αὗται συνεστήκασι. πολλάκις δέ φησιν οὔτε οἱ γράφοντες, οὔτε οἱ προσδιαλεγόμενοι τὰς δύο προτείνουσι προτάσεις. ἀλλ' ἔστιν ὅτε τὴν μίαν παραλιμπάνουσι. καὶ ἤτοι τὴν μείζονα. ἢ τὴν ἐλάττονα. καὶ τὴν ἐλάττονα μέν, ὡς ὅταν εἴπω οὕτως. πᾶν ἐκτὸν ἀγαθόν. ἡ ὑγίεια ἄρα ἀγαθόν. ἢ πᾶν κατὰ φύσιν ἀγαθόν. ἡ ἡδονὴ ἄρα ἀγαθόν. ἐνταῦθα γὰρ δῆλον ὅτι ἡ ἐλάττων πρότασις παραλέλειπται ἡ λέγουσα. ἐν μὲν τῷ πρώτῳ συλλογισμῷ ὅτι ἡ ὑγίεια ἐκτόν. ἐν δὲ τῷ δευτέρῳ ὅτι ἡ ἡδονὴ κατὰ φύσιν. δῆλον δὲ γίνεται ἐν τούτοις τὸ παραλελειμμένον ἐκ τοῦ συμπεράσματος. ἐὰν γὰρ εὕρωμεν ὅρον ἐν τῷ συμπεράσματι ὃν ἐν ταῖς προτάσεσιν οὐκ ἔχομεν ὥσπερ ἐν τούτοις τὴν ὑγίειαν ἢ τὴν ἡδονήν, δῆλον ὅτι ἀπό τινος παραλελειμμένης προτάσεώς ἐστιν οὗτος ὁ ὅρος ἐν τῷ συμπεράσματι. γινώσκομεν δὲ ποία ἐστὶν ἡ παραλελειμμένη πότερον μείζων ἢ ἐλάττων. ἐκ τῆς τάξεως τοῦ ἐν τῷ συμπεράσματι καινοτέρου ὅρου. ἐὰν μὲν γὰρ ὁ ὑποκείμενος, ἡ ἐλάττων. ἐὰν δὲ ὁ κατηγορούμενος, ἡ μείζων. ὥσπερ ἐν τούτοις ἐστὶν ἡ ἡδονὴ καὶ ἡ ὑγίεια. ἔχει οὖν οὗτος τὴν τοῦ ὑποκειμένου τάξιν ἐν τῷ συμπεράσματι. ὁ δὲ ὑποκείμενος ἐν τῷ συμπεράσματι, τῆς ἐλάττονός ἐστι προτάσεως. ὥσπερ ὁ κατηγορούμενος τῆς μείζονος. δῆλον οὖν ἄρα ὅτι ἡ ἐλάττων ἐστὶν ἡ παραλελειμμένη. ἐνίοτε δὲ ὡς εἶπον τὴν μείζονα παραλιμπάνουσι καὶ λέγουσι τὴν ἐλάττονα οἷοί εἰσι πάντες οἱ ῥητορικοί. ὁ δεῖνα νύκτωρ πλανᾶται. κλέπτης ἄρα ἐστίν. ὁ δεῖνα καλλωπιστὴς οὐκοῦν καὶ μοιχός. ἔχει γὰρ τὸ συμπέρασμα, τῇ μὲν τὸν κλέπτην. τῇ δὲ τὸν μοιχόν. κατηγοροῦνται δὲ οὗτοι ἐν τῷ συμπεράσματι, οὐκοῦν ἡ μείζων ἐστὶν ἡ παραλελειμμένη. ὁ δεῖνα νύκτωρ πλανᾶται. πᾶς νύκτωρ πλανώμενος κλέπτης ἐστίν. ὁ δεῖνα ἄρα κλέπτης ἐστίν. ὁ δεῖνα καλλωπιστής, πᾶς καλλωπιστὴς μοιχός, ὁ δεῖνα ἄρα μοιχός. ἐνίοτε δέ φασιν οὐ παραλιμπάνουσι πρότασιν, περιττὰ δὲ τιθέασιν. ἢ καὶ παραλιμπάνουσι μέν τινα, καὶ ἄλλα δὲ τιθέασι περιττά, καὶ δεῖ συνορᾶν ὅτι μὲν παραλέλειπται. καὶ τοῦτο προστιθέναι, τί δὲ περιττὸν εἴρηται καὶ τοῦτο ἀφαιρεῖσθαι. ἕως οὗ καταντήσωμεν εἰς τὰς δύο προτάσεις. καὶ ὅπως μὲν παραλιμπάνουσιν ἐνίοτε μίαν τῶν προτάσεων, ὡς εἴπομεν ἤδη. προστιθέασι δὲ περιττά, ὡς ἐὰν εἴπω ἡ ἡδονὴ κατὰ φύσιν. ἡ ἡδονὴ λεία ἐνέργεια. ἡ ἡδονὴ ἀνενόχλητος ζωή. πᾶν τὸ κατὰ φύσιν ἀγαθόν. ἐν τούτοις γὰρ μόνον χρειῶδες πρὸς τὸ συμπέρασμα τὸ ἡ ἡδονὴ κατὰ φύσιν. τὰ δὲ ἄλλα περιττὰ καὶ μάτην παρείληπται. εἰ μὴ δι' ἄλλην τινὰ αἰτίαν τῶν προειρημένων τι παραληφθείη ἢ δι' ἀδολεσχίαν ἢ δι' ἄλλο τι. συμβαίνει οὖν ὅτι καὶ προστιθέασι περιττά. καὶ τῶν ἀναγκαίων τι παραλιμπάνουσιν. οἷον ὡς εἴπομεν ἤδη τὴν μείζονα πρότασιν. ἤτοι τὴν ἐλάττονα. τινὲς μὲν οὖν φησι τῶν προτεινομένων συλλογισμῶν ἐλλειπτικῶς εἰρημένοι, ῥᾳδίαν ἔχουσι τὴν εἰς τὰ σχήματα ἀνάλυσιν. τινὲς δὲ δυσχερεστέραν. ὅσοι μὲν γάρ φησιν ὅρον τινὰ ἔχουσιν ἐν τῷ συμπεράσματι ὃν ἐν ταῖς προτάσεσιν οὐ παρειλήφασιν, εὐχερέστερον ἀνάγονται ὑπὲρ τὰ σχήματα. δυνατὸν γὰρ ἐκ τοῦ ὅρου τούτου ῥᾷστα ἰδεῖν τὸ παραλελειμμένον. ὥσπερ ἐν

Rhetoras omittunt maiorem.

ΚΑΙ γὰρ τὴν ἄλλην ὁδὸν ποιοῦνται πᾶσαν. οὐδὲ τὰς ἐνδεχομένας εὐπορίας ὑπολαμβάνοντες ὑπάρχειν.

Τὴν ἄλλην ὁδὸν τουτέστι τὴν λοιπήν. λέγω δὲ τὴν μέχρι τῶν ἀτόμων διαίρεσιν. διαιροῦσι γὰρ τὸ ζῶον, εἰς τὸ λογικὸν καὶ ἄλογον. τὸ λογικὸν, εἰς θνητὸν καὶ ἀθάνατον. τὸ θνητὸν, εἰς ὑπόπουν καὶ ἄπουν. τὸ ὑπόπουν εἰς δίποουν καὶ πολύπουν, μέχρις οὗ καταντήσωσιν εἰς ἄτομον. κεῖται γὰρ τὸ δίπουν ἀδιαίρετον. πᾶσαν οὖν ταύτην τὴν ὁδὸν ποιοῦνται μὴ συνορῶντες. μηδὲ ἐκ ποίων εὐπορῆσαι δυνατὸν εἰς ἀπόδειξιν τῶν διαφορῶν. ὧν τῇ συμπλοκῇ τὸν ὁρισμὸν ποιῆσαι βούλονται. οἷον ὅτι ὁ ἄνθρωπος λογικός. ἔλαβεν μέσον ὅρον τὸ βουλευτικόν. ὁ ἄνθρωπος βουλευτικός. τὸ βουλευτικὸν λογικόν. ὁ ἄνθρωπος ἄρα λογικός. οὐδὲ τοσοῦτον οὖν συνιδεῖν δύναται τις ὃ ἂν μέσος ὅρος ὁ συνάψαι τοὺς ἄκρους δυνάμενος.

ΦΑΝΕΡΟΝ δ' ὅτι οὔτ' ἀνασκευάσαι ταύτῃ τῇ μεθόδῳ ἐστὶν, οὔτε περὶ συμβεβηκότος τι, ἢ ἰδίου συλλογίσασθαι, οὔτε περὶ γένους. οὔτε ἐν οἷς ἀγνοεῖται, τὸ, πότερον ὡδὶ, ἢ ὡδὶ ἔχει. οἷον ἆρ' ἡ διάμετρος σύμμετρος, ἢ ἀσύμμετρος. ἐὰν γὰρ λάβῃ ὅτι πᾶν μῆκος ἢ σύμμετρον ἢ ἀσύμμετρον. ἡ δὲ διάμετρος μῆκος, συλλελόγισται. ὅτι ἡ ἀσύμμετρος ἢ σύμμετρος ἡ διάμετρος. εἰ δὲ λήψεται ἀσύμμετρον, ὃ ἔδει συλλογίσασθαι, λήψεται. οὐκ ἄρα ἐστὶ δεῖξαι. ἡ μὲν γὰρ ὁδὸς, αὕτη. διὰ ταύτης δ' οὐκ ἔστι δεῖξαι τὸ ἀσύμμετρον ἢ σύμμετρον ἐφ' οὗ τὸ α΄ μῆκος τὸ β΄ ἡ σύμμετρος ἢ ἀσύμμετρος διάμετρος, γ΄. φανερὸν οὖν ὅτι οὔτε πρὸς πᾶσαν σκέψιν ἁρμόζει τῆς ζητήσεως ὁ τρόπος, οὔτ' ἐν οἷς μάλιστα δοκεῖ πρέπειν, ἐν τούτοις ἐστὶ χρήσιμος. ἐκ τίνων μὲν οὖν αἱ ἀποδείξεις γίνονται, καὶ πῶς, καὶ εἰς ποῖα, βλεπτέον καθ' ἕκαστον πρόβλημα, φανερὸν ἐκ τῶν εἰρημένων.

Ὅτι μὲν οὖν ἄχρηστος εἰς τὸ συλλογίσασθαι ἡ διαιρετικὴ μέθοδος, εἴρηται. ὅτι δὲ ὅλως καὶ οὐ δυνατὸν συλλογίσασθαι δι' αὐτῆς. δῆλον ὅτι φησὶ μόνα τὰ καταφατικὰ δυνατὸν οὐ διὰ ταύτης δεικνύναι. καὶ οὐδὲ πάντα. ἀλλὰ μόνον τὸ καθόλου. ἀποφατικὸν δὲ οὐδέν. ἡ γὰρ ἡ διαίρεσις γίνεται τῶν γενῶν κατὰ τὰς ἰδίας αὐτῶν διαφοράς. αὗται δὲ αἱ διαφοραὶ τοιαίδε συμπλεκόμεναι ἀποτελοῦσι τὰ εἴδη. δῆλον δὲ ὅτι περὶ μόνων τῶν ὑπαρχόντων τοῖς πράγμασιν. εἰ δέ τις εἴποι ἀλλὰ δύναμαι καὶ ἀποφατικὸν ποιῆσαι συμπέρασμα λέγων οὕτως. ὁ ἄνθρωπος ζῶον. πᾶν ζῶον ἢ λογικὸν ἢ ἄλογον, ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος. ἀλλὰ μὴν λογικός ἐστιν, οὐκ ἄλογος ἄρα. τὰ αὐτὰ πάλιν καὶ πρὸς τοῦτον ἐροῦμεν, ὅτι τοῦτο οὐ κατεσκεύασεν. ἀλλ' αἰτήματι. τὸ γὰρ ὅλως ἔμφασιν ἔχον ἀποδείξεως τὸ ἢ λογικὸς ἢ ἄλογός ἐστι. τοῦτο δὲ καταφατικόν ἐστι τὸ συμπέρασμα. ὅτι δὲ οὐδὲ τὸ μερικὸν καταφατικὸν δυνατὸν διὰ τῆς μεθόδου ταύτης συναχθῆναι, δῆλον ἐντεῦθεν. διαιροῦσι γὰρ τὸν μέσον ὅρον εἰς πάσας τὰς διαφοράς. ὥστε πάντα ἄνθρωπον ἀνάγκη ἢ λογικὸν εἶναι ἢ ἄλογον. ἢ θνητὸν ἢ ἀθάνατον. ἀεὶ οὖν τὸ καθόλου συνάγουσι. καὶ ὅτι ὁ σκοπὸς τὰ ἐν τῷ ὅρῳ παραλαμβανόμενα, αὐτῷ ἀποδεῖξαι. ταῦτα δὲ παντὶ τῷ ὁριστῷ ὑπάρχειν ἀνάγκη. οὔτε περὶ συμβεβηκότος φησὶν ἢ ἰδίου. δηλονότι ὡς. ταῦτα μὲν ἐπειδὴ ἐδόθη καὶ κατὰ συμβεβηκὸς ὑπάρχοντα. ἡ δὲ διαίρεσις εἰς τὰ κατ' οὐσίαν ὑπάρχοντα γίνεται. Ἴσως ἀπορήσειεν ἄν τις ὅτι καὶ συμβεβηκότων ἀπόδειξιν δυνατὸν διὰ τῆς διαιρετικῆς γενέσθαι. φήσει γάρ. ὁ ἄνθρωπος κέχρωσται. πᾶν δὲ χρῶμα ἢ λευκὸν ἢ μέλαν. ἢ τι τῶν μεταξύ. φημὶ δὲ πρὸς τοῦτο ὅτι ἡ διαιρετικὴ, εἰ καί ἐστι τῶν δέκα κατηγοριῶν ἀπὸ τῶν γενικωτάτων ἀρξαμένη διαιρεῖ μέχρι τῶν εἰδικωτάτων. οὐ μὴν ἔργον αὐτῆς ὁρᾶν τι τῶν συμβεβηκότων τίνι οὐσίᾳ ὑπάρχει. ὥστε τὸ λαβεῖν ὅτι ὁ ἄνθρωπος κέχρωσται. οὐ διαιρετικῆς ἔργον. οὔτε γὰρ ἐλαμβάνομεν ὅτι ὁ ἄνθρωπος ζῶον. τοῦτο ἐκ τῆς διαιρέσεως εἶχε τοῦ ζώου εἰς τὰ εἰδικώτατα εἴδη. Οὔτε περὶ γένους φησίν. ἀεὶ γὰρ τὸ γένος ἡ διαίρεσις ὁμολογούμενον λαμβάνει. δέδεικται δὲ ὡς καὶ εἴδη εἴπομεν ἐν τοῖς ἀποδεικτικοῖς ὁ Ἀριστοτέλης. ὅτι ἀδύνατον γένους ἀπόδειξιν γενέσθαι. λέγω δὲ ὅτι τόδε τοῦδε γένος. Οὔτε ἐν οἷς ἀγνοεῖται πότερον ὡδὶ ἢ ὡδὶ ἔχει. ἐν τούτοις δοκεῖ δεικνύναι φησὶν ἐν οἷς ὁμολογεῖται τὸ συμπέρασμα. ἐπειδὴ γὰρ ὁμολογεῖται ὅτι ὁ ἄνθρωπος λογικὸς, διὰ τοῦτο προβαίνει αὐτοῖς ὁ λόγος λέγουσιν. ἀλλὰ μὴν οὐκ ἄλογος, λογικὸς ἄρα. ἐπεὶ ἐν οἷς ἀμφίβολον ποῖον. πότε δεῖ τῶν ἀντιδιῃρημένων κατηγορῆσαι τοῦ ὑποκειμένου, ἐλέγχεται ἡ διαιρετικὴ ἀποδεῖξαι μὴ δυναμένη ὡς αὐτὴ τῆς διαμέτρου καὶ τῆς πλευρᾶς ἔχει. ὅτι μὲν γὰρ ἀνάγκη σύμμετρον ἢ ἀσύμμετρον εἶναι δείκνυσιν. εἴγε ἡ διάμετρος καὶ ἡ πλευρὰ μεγέθη. πᾶν δὲ μέγεθος ἢ σύμμετρος τινὶ μεγέθει ἐστὶν ἢ ἀσύμμετρος. καὶ ἡ διάμετρος ἄρα τῇ πλευρᾷ ἢ σύμμετρος ἔσται ἢ ἀσύμμετρος. πότερον δὲ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος, οὐκέτι ἔχει δεικνύναι. ἀμφίβολον γὰρ τοῦτο ὥστε ὅσον ἐπὶ τῇ διαιρετικῇ μεθόδῳ οὐ δυνατὸν δεῖξαι εἴτε σύμμετρος ἡ διάμετρος εἴτε ἀσύμμετρος. Ἡ μὲν γὰρ ὁδὸς αὕτη. διὰ ταύτης δὲ οὐκ ἔστι. ἡ μέθοδός φησιν ἡ διαιρετικὴ αὕτη ἐστί. τὸ λαμβάνειν τὸ προκείμενον ἢ τόδε εἶναι ἢ τόδε. διὰ ταύτης δὲ τῆς ὁδοῦ, ἀδύνατον δεῖξαι ὅτι τόδε τί ἐστιν. Φανερὸν οὖν ὅτι οὔτε πρὸς πᾶσαν σκέψιν ἁρμόζει τῆς ζητήσεως ὁ τρόπος. οὔτε ἐν οἷς μάλιστα δοκεῖ πρέπειν. ἐν τούτοις ἐστὶ χρήσιμος. Δέδεικται γὰρ ὅτι οὔτε πρὸς τὸ δεῖξαι τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα. ἢ τὰ ἴδια χρησιμεύσει. καὶ ὅτι τῶν προβλημάτων μόνον τὸ καθόλου καταφατικὸν δοκεῖ δεικνύναι. καὶ ὅτι τοὺς ὁρισμοὺς ἐπαγγελλομένη δεικνύναι. τούτους μὲν, οὐ δείκνυσιν, ἀλλ' αἰτεῖται. ἄλλο δέ τι δείκνυσιν ὃ μὴ βούλεται. καὶ ὅτι οὐδὲ περὶ γενῶν, ὅτι τόδε τοῦδε γένος

δύο λαβεῖν καθόλου. ἵνα δὲ ἀναχθῇ εἰς τὸ πρῶτον σχῆμα, ἔδει τὴν ἐλάττονα ἀντιστρέψαι καταφατικὴν οὖσαν. ἀντιστρεφομένη δὲ μερικὴ ἐγένετο, καὶ οὕτω πάλιν ὁ μὲν μέσος τὴν ἑαυτοῦ τάξιν ἀπολαμβάνει. ἡ δὲ ἐλάττων μερικὴ γινομένη, μερικὸν ἐποίει καὶ τὸ συμπέρασμα. ἐν μὲν οὖν ταῖς συλλογιστικαῖς φησι μεθόδοις ὡς ἤδη εἴρηται, ἐπὶ πλεῖον ἐστὶν ὁ μείζων ὅρος τοῦ μέσου. ἐν δὲ τῇ διαιρετικῇ μεθόδῳ ἀνάπαλιν τὸν μέσον ὅρον ἐπὶ πλεῖον λαμβάνουσι τοῦ μείζονος. βουλόμενοι γὰρ δεῖξαι ὅτι ὁ ἄνθρωπος λογικός ἐστι, λαμβάνουσι μέσον ὅρον τὸ ζῷον. δῆλον ὅτι τοῦ μὲν ἀνθρώπου ἐλάττονος ὄντος, τοῦ δὲ λογικοῦ μείζονος, ἐπὶ πλεῖον δὲ τὸ ζῷον τοῦ λογικοῦ, ἀλλὰ τοῦτο μὲν τὸ συμπέρασμα ὃ καὶ προτίθενται ὡς αὐτὸς εἶπεν, οὐκ ἀποδεικνύουσιν, ἀλλ' αἰτοῦσιν. ὃ δὲ κατασκευάζουσι, τὸ ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος, οὐκ ἔστιν ἐπὶ πλεῖον τοῦ μέσου ὅρου τοῦ ζῴου, ἀλλ' ἐπίσης. τὸ γὰρ ζῷον ἢ λογικὸν ἢ ἄλογον. ἀλλ' ἐπειδὴ οὐ τοῦτο προτίθενται, ἀλλ' ὅτι δὴ ὁ ἄνθρωπος λογικός, διὰ τοῦτο εἶπεν ἐπὶ πλεῖον λαμβάνειν αὐτοὺς τὸν μέσον τοῦ μείζονος, ὡς πρὸς τὸν σκοπὸν ὃν προέθεντο, οὐ πρὸς συμπλοκὴν αὐτὴν τοῦ συλλογισμοῦ. ἐν γὰρ τῷ συλλογισμῷ ἐξετάζοντες ἀεὶ λαμβάνουσι τὸν μείζονα τῷ μέσῳ. ἄγε διαιροῦσιν αὐτὸν εἰς τὰς οὐσιώδεις αὐτοῦ διαφορὰς, καὶ ταύταις πάσαις ὡς ἐν μείζονι ὅρῳ χρῶνται. ἀλλ' ἐπεὶ πρόκειται μίαν τῶν διαφορῶν δεῖξαι τῷ ὑποκειμένῳ ὅρῳ ὑπάρχουσαν, μείζων δὲ ἐστὶν ὅρος ὁ ἐν τῷ συμπεράσματι κατηγορούμενος, διὰ τοῦτό φησιν ἐπὶ πλεῖον αὐτοὺς λαμβάνειν τὸν μέσον τοῦ μείζονος.

ΕΣΤΩ γὰρ τὸ ζῷον μὲν ἐφ' οὗ α, τὸ δὲ θνητὸν, ἐφ' οὗ β, καὶ τὸ ἀθάνατον, ἐφ' οὗ γ.

Τὰ παραδείγματα τῶν εἰρημένων λαμβάνει λέγων, ὅτι τε οἱ διὰ τῆς διαιρετικῆς συλλογιζόμενοι ὃ μὲν προτίθενται, οὐ δεικνύουσιν, ἀλλ' αἰτοῦσιν, ἄλλο δέ τι συμπεραίνουσι, καὶ ὅτι τὸν μέσον ὅρον ἐπὶ πλεῖον λαμβάνουσι τοῦ μείζονος. τὸ δ' ὅτι ἐστὶν ὁ ἄνθρωπος, α ἐστὶν ὅτι ἐστὶ ζῷον. τὸ α ἢ β ἐστὶν ἢ γ, τουτέστιν ἢ θνητὸν, ἢ ἀθάνατον. τὸ δ' ἄρα ἢ γ ἐστὶν ἢ β, τουτέστιν ὁ ἄνθρωπος ἢ θνητὸν ἢ ἀθάνατον. ὥστε μέσον μὲν τὸ ζῷον, μείζων δὲ ὅρος τὸ θνητόν. ὃ βούλονται ὑπάρχον δεῖξαι τῷ ἀνθρώπῳ, καὶ δῆλον ὅτι τοῦτο μὲν οὐκ ἔδειξαν, ἀλλὰ ἄλλο τι. ἢ γὰρ θνητὸν εἶναι τὸν ἄνθρωπον ἢ ἀθάνατον.

Ο δὲ ἄνθρωπος, οὗ τὸν ὅρον δεῖ λαβεῖν, ἐφ' οὗ τὸ δ. ἅπαν δὴ ζῷον λαμβάνει, ἢ θνητὸν ἢ ἀθάνατον. τοῦτο δὲ ἐστὶν ὃ ἂν ᾖ α, ἅπαν εἶναι ἢ β ἢ γ.

Τουτέστι τὸν ὁρισμόν. εἶπε γὰρ ἤδη ὅτι ἐνόμιζον οἱ τῇ διαιρετικῇ χρησάμενοι, μάλιστα τοὺς ὁρισμοὺς δι' αὐτῆς δύνασθαι ἀποδεικνύναι. διαιροῦνται γὰρ ἀεὶ τὸ γένος εἰς τὰς οἰκείας διαφορὰς, καὶ ἀφορίζόμενοι καθ' ἑκάστην διαίρεσιν τὴν συστατικὴν τοῦ ἀνθρώπου διαφορὰν, οὕτω ταύτας μετὰ τοῦ γένους συμπλέξαντες, ἀποδεικνύναι τὸν ὁρισμὸν ᾤοντο.

ΠΑΛΙΝ τὸν ἄνθρωπον ἀεὶ διαιρούμενος τίθεται ζῷον εἶναι. ὥστε κατὰ τοῦ δ τὸ α λαμβάνει ὑπάρχειν. ὁ μὲν οὖν συλλογισμὸς, ἐστὶν ὅτι τὸ δ, ἢ β ἢ γ ἅπαν ἔσται. ὥστε τὸν ἄνθρωπον ἢ θνητὸν μὲν ἢ ἀθάνατον ἀναγκαῖον εἶναι. ζῷον δὲ θνητὸν μόνον, οὐκ ἀναγκαῖον εἶναι, ἀλλ' αἰτεῖται. τοῦτο δὲ ἦν ὃ ἔδει συλλογίσασθαι. καὶ πάλιν θέμενος τὸ μὲν α ζῷον θνητόν, ἐφ' οὗ δὲ τὸ β ὑπόπουν, ἐφ' οὗ δὲ τὸ γ ἄπουν. τὸν δὲ ἄνθρωπον, τὸ δ, ὡσαύτως λαμβάνει. τὸ μὲν α ἢ τὸ ἐν τῷ β, ἢ ἐν τῷ γ εἶναι. ἅπαν γὰρ ζῷον θνητὸν, ἢ ὑπόπουν ἢ ἄπουν ἐστί. κατὰ δὲ τοῦ δ, τὸ α. τὸν γὰρ ἄνθρωπον ζῷον θνητὸν εἶναι ἔλαβεν. ὥσθ' ὑπόπουν μὲν ἢ ἄπουν εἶναι ζῷον, ἀνάγκη τὸν ἄνθρωπον. ὑπόπουν δ' οὐκ ἀνάγκη, ἀλλὰ λαμβάνει. τοῦτο δ' ἦν ὃ ἔδει πάλιν δεῖξαι. καὶ τοῦτον δὴ τὸν τρόπον ἀεὶ διαιρουμένοις, τὸ μὲν καθόλου συμβαίνει αὐτοῖς μέσον λαμβάνειν.

Α ἐν φησι πρότερον κατὰ τὴν διαίρεσιν τὸν ἄνθρωπον ζῷον εἶναι λαμβάνει, καὶ συλλογίζεταί τι τῶν ἀπὸ τῆς διαιρέσεως αὐτοῦ εἶναι, οἷον ὁ ἄνθρωπος ζῷον. πᾶν ζῷον, ἢ λογικὸν ἢ ἄλογον. ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος. ἀλλὰ μὴν οὐκ ἄλογος. λογικὸς ἄρα. πάλιν ὁ ἄνθρωπος ζῷον. πᾶν ζῷον ἢ θνητὸν ἢ ἀθάνατον. ὁ ἄνθρωπος ἄρα ἢ θνητὸς ἢ ἀθάνατος. ἀλλὰ μὴν οὐκ ἀθάνατος. θνητὸς ἄρα. καὶ οὕτως ἐπὶ πασῶν τῶν τοῦ ζῴου διαφορῶν ποιεῖται. ὥστε ὃ μὲν οὐ προτίθεται συλλογίζεται, τὸ ἢ τόδε ἢ τόδε ἐστίν. ὃ δὲ προτίθεται αἰτεῖται, τὸ λογικὸν εἶναι ἢ θνητόν. οὐ γὰρ δείκνυσιν ἀλλ' ὡς ὁμολογούμενον λαμβάνει.

ΚΑΘ' οὗ δὲ δεῖ δεῖξαι καὶ τὰς διαφορὰς ἄκρα.

Τουτέστι τὸν ἄνθρωπον καὶ τὰς διαφορὰς ἄκρα. λαμβάνει γὰρ τὸν ἄνθρωπον ἐλάττονα ὅρον. τὸ δὲ θνητὸν καὶ ἀθάνατον, ἢ ὑπόπουν καὶ ἄπουν μείζονα.

ΤΕΛΟΣ δὲ, ὅτι τοῦτό ἐστιν ἄνθρωπος, ἢ ὅτι ποτ' ἂν ᾖ τὸ ζητούμενον, οὐδὲν λέγουσι σαφὲς ὥστε ἀναγκαῖον εἶναι.

Οὕτω φησὶν ἑκάστην τῶν διαφορῶν οὐ δείξαντες, ἀλλ' αἰτήσαντες, τέλος οὐδὲν ἂν προέθεντο δεῖξαι δεικνύουσι. προτίθενται μὲν γὰρ τοὺς ὁρισμοὺς τῶν πραγμάτων ἀποδεῖξαι. καὶ οἴονται εἰ ἑκάστην τῶν ἐν τῷ ὁρισμῷ διαφορῶν δείξωσιν ὑπάρχουσαν, ὅτι καὶ οὗτός ἐστιν ὁρισμὸς ἀνθρώπου δεδειχέναι. τοῦτο δὲ οὐκ ἀναγκαῖον. δέδεικται γὰρ ὡς εἴπομεν ὅτι οὐ τὰ κατηγορούμενα πρὸς ἰδίαν, ταῦτα καὶ ἅμα κατηγορεῖσθαι δύνανται. ὥστε εἰ καὶ τῶν διαφορῶν ἑκάστην ἦσαν δεδειχότες, οὐ δήπου καὶ τὸν ὁρισμὸν ἀπέδειξαν.

γὰρ περὶ τῆς διαμέτρου· πότερον σύμμετρος τῇ πλευρᾷ, ἢ ἀσύμμετρος. τὸ μὴ σύμμετρον, ἢ ἀσύμμετρον εἶναι· τοῦτο συλλογίζεται. καὶ τοῦτο οὐκ αὐτὴ καθ' αὑτό. τὸ μέντοι εἶναι ἀσύμμετρον αἰτήσει. ἐρεῖ γὰρ οὕτως. ἡ διάμετρος καὶ ἡ πλευρά, μεγέθη. πᾶν μέγεθος ἢ σύμμετρον μεγέθει τινί, ἢ ἀσύμμετρον. ἡ διάμετρος ἄρα τῇ πλευρᾷ, ἢ σύμμετρος ἢ ἀσύμμετρος. ἀλλὰ μὴν οὐ σύμμετρος. ἵνα συναγάγῃ τὸ αἰτηκάμενον. μικρὸν δέ φησι μόριον εἶναι τῆς μεθόδου τῆς συλλογιστικῆς τὴν διαιρετικήν, ὅτι κυρίως ἀπόδειξις γίνεται διὰ τῶν ὁρισμῶν. οἱ δὲ ὁρισμοὶ γίνονται οὐκ ἄνευ τῆς διαιρετικῆς. ὥστε μόριον βραχὺ τῆς ἀποδεικτικῆς ἐστιν ἡ διαιρετική. καὶ ἄλλως. μικρὸν μόριόν φησιν αὐτὴν εἶναι τῆς παραδεδομένης μεθόδου, ὅτι οὐ καὶ συγχωρήσωμεν δι' αὐτῆς, οὐκ ἀποδείκνυται τὸ καθόλου καταφατικόν· οὐδὲν γὰρ τῶν λοιπῶν δειχθήσεται. καὶ ὅτι οὐδὲ τῶν συμβεβηκότων τι. οὐδὲ τῶν ἰδίων ὡς δείξει. ἀλλὰ μόνον τὰ κατ' οὐσίαν ὑπάρχοντα.

» Ὃ μὲν γὰρ ἔδει δεῖξαι, αἰτεῖται.

Β δεῖ γὰρ δεῖξαι ὅτι λογικὸς ὁ ἄνθρωπος. τοῦτο οὖν αἰτεῖται λέγουσα. ἀλλὰ μὴν οὐκ ἄλογος. πόθεν γὰρ δῆλον οὐδὲ τῶν ἀμφιβόλων. τὸ ἀλλὰ μὴν τὸ δέ τι.

» ΣΥΛΛΟΓΙΖΕΤΑΙ δὲ ἀεί τι τῶν ἄνωθεν.

Α ὖ φησι τὸ συμπέρασμα τὸ ἐν τούτοις καθολικώτερόν ἐστι τοῦ προκειμένου. τὸ γὰρ ἄνωθεν ἀντὶ τοῦ καθολικώτερον. δέον πρόκειται δεῖξαι ὅτι λογικός. καὶ τοῦτο μὲν αἰτεῖται. δείκνυσι δὲ τὸ τούτου καθολικώτερον. ὅτι ἢ λογικὸς ἢ ἄλογος.

» ΠΡΩΤΟΝ δ' αὐτὸ τοῦτο ἐλελήθει τοὺς χρωμένους αὐτῇ πάντας. καὶ πείθειν ἐπεχείρουν, ὡς ὄν-
» τος δυνατοῦ περὶ οὐσίας ἀπόδειξιν γενέσθαι. καὶ τοῦ τί ἐστιν.

Ε γὰρ ὥς φησι μέγα ἐφρόνουν. ὡς δυνάμενοι διὰ τῆς διαιρετικῆς μεθόδου τοὺς ὁρισμοὺς ἀποδεικνύναι, ἐν τούτοις μάλιστα ἐλέγχονται. ἀγνοοῦντες αὐτὸ τοῦτο ὅτι ἀδύνατόν ἐστιν ἀπόδειξιν γενέσθαι ὁρισμῶν καὶ γενῶν. δείκνυσι γὰρ αὐτὸς ἐν τῇ ἀποδεικτικῇ ὅτι ἀδύνατόν ἐστιν ὁρισμοῦ καὶ γένους ἀπόδειξιν γενέσθαι. ὅτι δὲ αὐτοὶ ὡς δυνατὸν πείθειν τοὺς ἄλλους ἐπεχείρουν. ἐπεὶ γὰρ ἡ τοῦ γένους διαίρεσιν κατὰ τὰς οἰκείας διαφορὰς γίνεται. πᾶς δὲ ὁρισμὸς ἐκ γένους ἐστὶ καὶ διαφορῶν. ἐνόμιζον, ἐπειδὴν ἑκάστην τῶν διαφορῶν δείξωσιν ὑπάρχουσαν τῷ εἴδει. καὶ συμπλέξαντες ταύτας μετὰ τοῦ γένους δύνασθαι κατηγορεῖν αὐτοῦ. ἔλεγον γὰρ ὁ ἄνθρωπος ζῷον. τὸ δὲ ζῷον, ἢ λογικὸν ἢ ἄλογον. καὶ ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος. ἀλλὰ μὴν οὐκ ἄλογος. λογικὸς ἄρα. πάλιν ἐπειδὴ τὸ ζῷον ἢ θνητόν, ἢ ἀθάνατον. οὐκ ἀθάνατος δὲ ὁ ἄνθρωπος. θνητὸς ἄρα. εἶτα ἃ κατὰ μέρος ἐδόκουν ἀποδεικνύναι, ταῦτα συμπλέξαντες μετὰ καὶ τοῦ γένους, ἐνόμιζον δύνασθαι κατηγορεῖν. καὶ οὕτως ἀποδεικνύναι τοὺς ὁρισμούς. δέδεικται δὲ ἐν τῷ περὶ ἑρμηνείας ὅτι οὐ τὰ κατηγορούμενα κατὰ μέρος πάντως δύναται καὶ ἅμα κατηγορεῖσθαι.

» ΩΣΤΕ οὔτε ὅ, τι ἐνδέχεται συλλογίσασθαι διαιρουμένους ἐφαίνετο, οὔτε ὅτι οὕτως ἐνδέχεται
» ὥσπερ εἰρήκαμεν.

Ο ὔτε φησὶ τὴν παραδεδομένην μέθοδον παρ' ἡμῶν ὑπέστησαν. οὔτε ὅτι οὐκ ἐνεχώρει συλλογίσασθαι διὰ τῆς διαιρετικῆς μεθόδου. τί γὰρ ἦν συλλογίσασθαι τὸ ὅτι ὁ ἄνθρωπος ἢ λογικὸς ἢ ἄλογος. αὐτὸ μὲν τοῦτο ἠγνόουν. ἐνόμιζον δὲ ὅτι τὸ λογικὸν εἶναι συνελογίζοντο.

» ΕΝ μὲν οὖν ταῖς ἀποδείξεσιν ὅταν δέῃ τι συλλογίσασθαι ὑπάρχειν, δεῖ τὸ μέσον δι' οὗ γίνεται ὁ
» συλλογισμός, καὶ ἧττον ἀεὶ εἶναι καὶ μὴ καθόλου τοῦ πρώτου τῶν ἄκρων. ἡ δὲ διαίρεσις, τοὐναντίον βού-
» λεται. τὸ γὰρ καθόλου λαμβάνει μέσον.

Δ είξας ὅτι ἡ διαιρετικὴ μέθοδος ἄχρηστος εἰς συλλογισμόν. καὶ ὅτι οὐδ' ὅλως καὶ συλλογίζεται, ἀσθενὴς ἐστι συλλογισμός. δι' ὅτι ὁ μὲν προτίθεται οὐκ ἀποδείκνυσιν ἀλλ' αἰτεῖται. ἄλλο δέ τι κατασκευάζει. νῦν πάλιν βούλεται δεῖξαι ὅτι καὶ ἡ μέθοδος ἡ ἀγωγὴ τῶν διὰ τῆς διαιρετικῆς συλλογιζομένων. καὶ ἐναντίως ἔχουσα τῇ κατὰ τὰ ἀλήθειαν συλλογιστικῇ μεθόδῳ. ἐν μὲν γὰρ τοῖς κυρίως συλλογισμοῖς ὁ μέσος ὅρος δι' οὗ συνάπτονται οἱ ἄκροι. μερικώτερός ἐστι τοῦ μείζονος ὅρου. καὶ τοῦτο εἰκότως. εἰ γὰρ τὸν μείζονα τοῦ ἐλάττονος δεῖξαι βουλόμεθα κατηγορούμενον καταφατικῶς ἢ ἀποφατικῶς. τοῦτο δὲ δείκνυμεν διὰ τοῦ μέσου δι' ἑαυτοῦ συνάπτοντος τοὺς ἄκρους. δεῖ δῆλον ὅτι τὸν μὲν μέσον τοῦ ἐλάττονος ἐπιπλέον εἶναι. ἵνα καὶ κατηγορῆται αὐτοῦ. τὸν δὲ μείζονα, τοῦ μέσου. εἰ δὲ λέγοι τις ὅτι ἀλλ' ἐν δευτέρῳ σχήματι ὁ μέσος ἀμφοτέρων ἐστὶ μείζων. ἐν δὲ τῷ τρίτῳ ἐλάττων. ἴσως ὅτι διὰ τοῦτο καὶ ἀτελεῖς φαμὲν τοὺς ἐν δευτέρῳ καὶ τρίτῳ συλλογισμούς. δι' ὅτι οὕτως ἐχόντων τῶν μέσων, οὐ φαίνεται ἐν αὐτοῖς τὸ ἀναγκαῖον τοῦ συμπεράσματος. δι' ὃ δεόμεθα τῆς ἀντιστροφῆς ἵνα διὰ ταύτης ἀναχθῶσιν εἰς τὸ α' σχῆμα. καὶ πάλιν ὁ μέσος τὴν ἑαυτοῦ τάξιν ἀπολάβῃ. διὸ ἐν μὲν τῷ β' σχήματι καταφατικὸν οὐδέποτε συνήγετο συμπέρασμα. ἵνα δὲ γένηται καταφατικὸν συμπέρασμα, ἔδει ἀμφοτέρας λαβεῖν καταφατικάς. ἵνα δὲ ἀναγάγωμεν εἰς τὸ α' σχῆμα, ἔδει τὴν μείζονα ἀντιστρέψαι. ἀντιστρεφομένη δὲ ἡ μείζων μερικὴ γίνεται. καὶ διὰ τοῦτο ἀσυλλόγιστος ἐποίει τὸ σχῆμα. ἐπειδὴ δεῖ ὡς καὶ ἐνταῦθά φησι τὴν μείζονα ἐπὶ πλεῖον εἶναι τῆς ἐλάττονος. ἐν δὲ τῷ γ' σχήματι, οὐδέποτε καθόλου. ἐπειδὴ ἵνα τὸ καθόλου συναχθῇ. δεῖ τὰς

» ἀλλ' εἰς ὀλίγα καὶ ὡρισμένα.

Γ καὶ μὴ εἰς πάντα φησὶν ἀπογραψάμενοι ἀορίστως βλέπωμεν· ἀλλ' εἰρήκαμεν εἰς τίνα χρὴ βλέπειν, κατασκευαστικὸν μὲν βουλομένους συναγαγεῖν, ὅτι εἰς τὰ κατηγορούμενα καὶ τὰ ὑποκείμενα· ἀποφατικὸν δὲ καὶ εἰς τὰ ἀλλότρια· καὶ τὸ μὲν καθόλου καταφατικὸν βουλομένους κατασκευάσαι, εἴ τι τῶν γ' καὶ ζ' ταὐτόν· τὸ δὲ ἀποφατικόν, εἴ τι τῶν δ' καὶ ζ'· καὶ ἐπὶ τῶν ἄλλων ὡς εἴρηται. ἀρχὰς δὲ τῶν συλλογισμῶν φησι τὰς προτάσεις ὧν περὶ τῆς εὐπορίας ἐδίδαξεν.

» ΚΑΘ' ἕκαστον δὲ ἐκλέγειν τῶν ὄντων, οἷον, περὶ ἀγαθοῦ ἢ ἐπιστήμης. ἴδιαι δὲ καθ' ἑκάστην εἰσὶν, αἱ πλεῖσται. διὸ τὰς μὲν ἀρχὰς τὰς περὶ ἕκαστον, ἐμπειρίας ἐστὶ παραδοῦναι. λέγω δ' οἷον, τὴν ἀστρολογικὴν μὲν ἐμπειρίαν, τῆς ἀστρολογικῆς ἐπιστήμης. ληφθέντων γὰρ ἱκανῶς τῶν φαινομένων, οὕτως εὑρέθησαν αἱ ἀστρολογικαὶ ἀποδείξεις. ὁμοίως δὲ καὶ περὶ ἄλλην ὁποιανοῦν, ἔχει τέχνην τε καὶ ἐπιστήμην. ὥστ' ἐὰν ληφθῇ τὰ ὑπάρχοντα περὶ ἕκαστον, ἡμέτερον ἤδη τὰς ἀποδείξεις ἑτοίμως ἐμφανίζειν. εἰ γὰρ μηδὲν κατὰ τὴν ἱστορίαν παραλειφθείη τῶν ἀκριβῶς καὶ ἀληθῶς ὑπαρχόντων τοῖς πράγμασιν, ἕξομεν περὶ παντὸς οὗ μὲν ἔστιν ἀπόδειξις ταύτην εὑρεῖν καὶ ἀποδεικνύναι. οὗ δὲ μὴ πέφυκεν ἀπόδειξις, τοῦτο ποιεῖν φανερόν.

Δ ἅ φησι τὰς ἐκλογὰς ποιεῖσθαι ἑκάστου πράγματος ἰδίας καὶ μὴ κοινῶς. οἷον, τῆς ἀγαθοῦ ἀεὶ μέρος καὶ ἰδιαζόντως. περὶ ἡδονῆς, ὁμοίως. αἱ γὰρ πλεῖσται φησὶ τῶν προτιθεμένων ἡμῖν εἰς αὐτοσκέψιν πραγμάτων ἐκλογαί, τῶν τε ὑπαρχόντων καὶ οἷς ὑπάρχει, καὶ τῶν ἀλλοτρίων, ἰδιάζουσαί εἰσι καθ' ἑκάστην ἐπιστήμην. οἷον, ὅταν ἀστρονομούμενον ᾖ τὸ θεώρημα περὶ οὗ δεῖ ἀποδεῖξαι, ἀστρονομίας ἴδιον τὸ ἐκλέξαι τὰ τοῖς προκειμένοις ὑπάρχοντα καὶ οἷς ὑπάρχει. ὅταν γεωμετρικόν, γεωμετρίας. ὅταν φυσικόν, φυσικῆς. καὶ ἐπὶ τῶν ἄλλων. διό φησι δεῖ τὸν ἀποδεικτικόν, ὅταν αὐτῷ τι προστεθῇ εἰς ἀπόδειξιν, αὐτὸν περὶ τῶν κατὰ μέρος τεχνῶν ἢ ἐπιστημῶν, τὰ τοῖς προτιθεμένοις ἑπόμενα, καὶ οἷς ἕπεται. εἰ γὰρ ἐκεῖναι φασὶν ἐκ τῆς πείρας εἰδότες ταῦτα ἡμῖν παραδώσουσι μηδὲν παραλείπουσαι, ἡμῶν λοιπὸν τὸ προκείμενον συλλογίσασθαι. ἢ ἀσυλλόγιστον δεῖξαι. πολλὰ γὰρ ἐστιν ἃ ἀποδεῖξαι ἀδύνατον. οὔτε γὰρ τῶν ὁρισμῶν ἐστιν ἀπόδειξις, ὡς δέδεικται ἐν τοῖς ἀποδεικτικοῖς. οὔτε τῶν καθολικωτάτων γενῶν. οὐδὲν γὰρ ἔστιν αὐτῶν κατηγορῆσαι. οὔτε δὲ τῶν καθ' ἕκαστα. κατ' οὐδενὸς γὰρ ταῦτα κατηγορεῖται. εἶπε δὲ αἱ πλεῖσται, ὅτι εἰσὶν ἐκλογαὶ πάσαις ἐπιστήμαις, λέγω δὲ τὰ ἀξιώματα καὶ κοιναὶ ἔννοιαι. οἷον ὅτι ἐπὶ παντὸς ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις. ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα. ὅτι ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, τὰ καταλειπόμενα ἴσα γίνεται καὶ ὅσα τοιαῦτα.

» ΚΑΘΟΛΟΥ μὲν οὖν ὃν δεῖ τρόπον τὰς προτάσεις ἐκλέγειν, εἴρηται σχεδόν. δι' ἀκριβείας δὲ διεληλύθαμεν ἐν τῇ πραγματείᾳ τῇ περὶ τὴν διαλεκτικήν.

Ε ἐνταῦθα μὲν ὁλοσχερέστερον φησὶ παραδεδώκαμεν τὴν μέθοδον τῆς εὐπορίας τῶν προτάσεων. μερικώτερον δὲ καὶ ἀκριβέστερον ἐν τοῖς τόποις, περὶ τούτων διειλήφαμεν. ταύτην γάρ φησι διαλεκτικὴν πραγματείαν. ἐκεῖ γὰρ παραδεδώκαμεν τόπους τοὺς εἰς ἕκαστον ἡμῖν χρησιμεύοντας πρόβλημα.

» ΟΤΙ δὲ ἡ διὰ τῶν γενῶν διαίρεσις, μικρόν τι μόριόν ἐστι τῆς εἰρημένης μεθόδου, ῥᾴδιον ἰδεῖν. ἔστι γὰρ ἡ διαίρεσις, οἷον ἀσθενὴς συλλογισμός.

Β βούλεται διὰ τούτων ἐξυμνῆσαι τὴν παρ' αὐτοῦ παραδιδομένην μέθοδον. οὐδεὶς γάρ φησι τῶν πρὸ ἡμῶν ταύτην ἠπίστατο. ἀλλ' ἐκέχρηντο πάντες τῇ διαιρετικῇ μεθόδῳ. καὶ διὰ ταύτης ἐνόμιζον δεῖν ἀποδεικνύναι. αἰνίττεσθαι δέ φασιν αὐτὸν εἰς Πλάτωνα. φαίνεται δὲ ὁ Πλάτων ἐξυμνῶν μὲν τὴν διαιρετικὴν μέθοδον. καὶ μάλιστα τὴν κατὰ ἀντίφασιν γινομένην ὡς ἀφυκτοτάτην οὖσαν. οὐ μέντοι γε ταύτην ἀποδεικτικὴν εἶναι λέγει. σαφῶς γὰρ οἶδε διαφορὰν διαιρετικῆς καὶ ἀποδεικτικῆς. τέσσαρας γάρ φησι μεθόδους εἶναι κατὰ φιλοσοφίαν ὄργανα τῆς διαλεκτικῆς. διαιρετικήν. ὁριστικήν. ἀποδεικτικήν. καὶ ἀναλυτικήν. ἴσως οὖν εἴς τινας ἄλλους αἰνίττεται τὴν διαιρετικήν, ἀποδεικτικὴν νομίζοντας. τί οὖν φησιν ὅτι μάλιστα μὲν οὐδέν ἐστιν ἀποδεῖξαι διὰ τῆς διαιρετικῆς μεθόδου. ἔπειτα καὶ ἃ ἀποδεικνύουσιν. αὐτὴ μὲν καθ' αὑτὴν οὐκ ἀποδείκνυσι. βοηθουμένη δὲ ὑπὸ τῆς παρ' ἡμῶν παραδιδομένης μεθόδου. διὸ ἀσθενῆ συλλογισμὸν αὐτὴν ἐκάλεσεν. ὅτι τε δεῖται πάντως τῆς μεθόδου ταύτης. καὶ ὅτι ὡς αὐτός φησιν. ὃ μὲν προτίθεται δεῖξαι οὐκ ἀποδείκνυσιν. ἀλλὰ ἄλλο περὶ τούτου. αὐτὸ δὲ ἐκεῖνο ἀσυλλογίστως αἰτεῖται. οἷον βούλεται δεῖξαι ὅτι ὁ ἄνθρωπος λογικός ἐστι. πρῶτον μὲν λαμβάνει τὸ γένος ὁμολογούμενον. ἀναποδείκτως γὰρ τὸ γένος λαμβάνει. εἶτα διαιρεῖ εἰς τὰς οἰκείας διαφορὰς ὥστε τὸ λογικὸν καὶ τὸ ἄλογον. καὶ συλλογίζεται οὕτως. ἐπειδὴ ὁ ἄνθρωπος, ζῷον. πᾶν ζῷον, ἢ λογικὸν ἢ ἄλογον. καὶ ὁ ἄνθρωπος ἄρα ἢ λογικὸς ἢ ἄλογος. ἀλλὰ μὴν οὐκ ἄλογος. λογικὸς ἄρα. ἐνταῦθα τοίνυν τὸ μὲν ἢ λογικὸν εἶναι ἢ ἄλογον τὸν ἄνθρωπον. ὅπερ οὐ προέκειτο δεῖξαι. τοῦτο συνελογίσατο. καὶ ταῦτα οὐ δι' ἑαυτὴν καθ' αὑτὴν ἡ διαιρετική. ἀλλὰ τὸ πρῶτον παραλαμβάνουσα σχῆμα. ὃ δὲ προὔθετο δεῖξαι. λέγω δὴ ὅτι ὁ λογικός. τοῦτο οὐ συνελογίσατο. ἀλλ' ὡς ἀξίωμα ἔλαβεν. ἔλαβε γὰρ ὡς ὁμολογούμενον ὅτι οὐκ ἄλογος. καὶ συλλογίσασθαι τοῦτο ἡ διαιρετικὴ οὐ δύναται, καὶ ὅτι φησὶν ὡς ἀξίωμα λαμβάνει τοῦτο. δῆλον ἐπὶ τῶν ἀμφιβόλων. ζητεῖται

ἰατρῷ· καὶ πλατωνικῷ· καὶ φιλοσόφῳ, καὶ μυρίοις ἄλλοις. εἰ δέ τις εἴποι ὅτι οὐδὲ τῷ γελαστικῷ μόνον ὁ ἄνθρωπος ὑπάρχει· ὑπάρχει γὰρ καὶ τὸ ζῶον καὶ τὸ λογιστικὸν καὶ τὰ ἐπάνω. λέγω ὅτι οὐ καλῶς φησιν οὗτος. ἐν γὰρ τῷ ἀνθρώπῳ πάντα περιέχεται τὰ ἐπάνω. ὅτι γὰρ οὐκ ἔρρωται κατὰ τὴν ἔννοιαν τοῦ φιλοσόφου ἡ λέξις ἣν λέγουσι· μόνοις δὲ ληφθείη τοῖς ἢ τὸ ε ὑπάρχειν· καὶ ἐντεῦθεν δῆλον. βούλεται γάρ τι ἴδιον εἶναι ἐν τοῖς η. ὥστε καὶ ἀντιστρέφειν πρὸς τὸ ε. τὸ οὖν μόνοις τοῖς η τὸ ε ὑπάρχειν, πότερον πᾶσι τοῖς ὑπὸ τὸ η λέγει· ἢ τῷ ἰδίῳ. εἰ μὲν οὖν πᾶσιν, ἀεὶ τοῦτο ὑπάρχει τοῖς η τὸ μόνοις αὐτοῖς ὑπάρχειν τὸ ε. πάντα γὰρ ἐλήφθησαν οἷς ἕπεται τὸ ε ὥστε ἄλλοις οὐ δύναται ὑπάρξαι. πῶς οὖν φησιν ἐξ ὑποθέσεως δεῖν λαβεῖν τὸ ἀεὶ ὑπάρχον. εἰ δὲ τῷ ἰδίῳ, ψευδὴς ὁ λόγος. οὐ γὰρ μόνῳ τῷ ἰδίῳ ὑπάρχει τὸ η ἀλλὰ καὶ ἄλλοις πολλοῖς. καὶ μάλιστα οἷς κατ' οὐσίαν ἕπεται. ὥστε κάλλιον ἦν εἰπεῖν μόνον δὲ ληφθείη τοῖς η τὸ ε ὑπάρχειν.

» ΤΟΝ αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἀναγκαίων, καὶ τῶν ἐνδεχομένων. ἡ γὰρ αὐτὴ σκέψις, καὶ διὰ
» τῶν αὐτῶν ὅρων ἔσται τῇ τάξει, τοῦ τε ἐνδέχεσθαι, καὶ τοῦ ὑπάρχειν ὁ συλλογισμός.

Ἐπειδὴ ὡς ἐπὶ ὑπαρχουσῶν προτάσεων ἐγύμνασε τὸν λόγον. ὅσα φησὶν εἴρηται περὶ τῶν ὑπαρχουσῶν, ταῦτα καὶ περὶ τῶν ἀναγκαίων καὶ περὶ τῶν ἐνδεχομένων λέγειν ἔχομεν. οὕτω γὰρ δεῖ τὰς περικλάσεις αὐτῶν ποιεῖσθαι καὶ τὰς ἐπιβλέψεις καθ' ἕκαστον πρόβλημα. ἐπισημειουμένους τὶ μὲν ἀναγκαίως ὑπάρχει. τὶ δὲ ἐνδεχομένως. τοσοῦτον γὰρ μόνον διοίσει τοῦ ἐνδεχομένου τὸ ὑπάρχον. τὸ πρότερον εἶναι κατὰ τὴν τάξιν τὸ ὑπάρχον. διὰ τὸ τὸ μὲν ἐκβεβηκέναι. τὸ δὲ μέλλειν. οὕτω γὰρ τῶν ἐκλεγομένων συνάξομεν. ἐκ μὲν τῶν ἀναγκαίων προτάσεων, ἀναγκαῖον. ἐκ δὲ τῶν ἐνδεχομένων, ἐνδεχόμενον.

» ΛΗΠΤΕΟΝ δὲ ἐπὶ τῶν ἐνδεχομένων καὶ τὰ μὴ ὑπάρχοντα, δυνατὰ δὲ ὑπάρχειν. δέδεικται
» γὰρ ὅτι καὶ διὰ τούτων, γίνεται ὁ τοῦ ἐνδέχεσθαι συλλογισμός.

Ἐπειδὴ λέγεται ἐνδεχόμενον καὶ ὃ ὑπάρχει μὲν ἤδη, ἐνδεχομένως δὲ ὑπάρχει καὶ οὐκ ἀναγκαίως. λέγεται δὲ ἐνδεχόμενον καὶ ὃ μήπω μὲν ὑπάρχει δύναται δὲ ὑπάρξαι. ὅπερ καὶ κυρίως ἐστὶν ἐνδεχόμενον. ἐκεῖνο γὰρ ὑπάρχον ἦν. εἰς τὰς ἐνδεχομένας φησὶ προτάσεις παραληπτέον. καὶ τοῦτο τὸ ἐνδεχόμενον ὅπερ ὡς εἶπον καὶ κυρίως ἐστὶν ἐνδεχόμενον.

» ΟΜΟΙΩΣ δὲ ἕξει καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν.

Τουτέστι τῶν λοιπῶν τρόπων. τοῦ σαφῶς. τοῦ καλῶς. τοῦ ὠφελίμως. τοῦ ἐπαινετῶς. καὶ τῶν τοιούτων. ἐλέγετο γὰρ ἐν τῷ περὶ ἑρμηνείας ἀπείρους εἶναι τρόπους. περιέχεσθαι μέντοι ἐν τοῖς τρισίν. καὶ αὕτη οὖν φησι μέθοδος τῆς εὐπορίας καὶ ἐπὶ τούτων.

» ΦΑΝΕΡΟΝ οὖν ἐκ τῶν εἰρημένων, ὅτι οὐ μόνον ἐγχωρεῖ διὰ ταύτης τῆς ὁδοῦ γίνεσθαι πάν-
» τας τοὺς συλλογισμούς, ἀλλὰ καὶ ὅτι δι' ἄλλης ἀδύνατον. ἅπας μὲν γὰρ συλλογισμὸς δέδεικται διά
» τινος τῶν προειρημένων σχημάτων γινόμενος. ταῦτα δὲ οὐκ ἐγχωρεῖ δι' ἄλλων συσταθῆναι, πλὴν διὰ
» τῶν ἑπομένων. καὶ οἷς ἕπεται ἕκαστον. ἐκ τούτων γὰρ αἱ προτάσεις, καὶ ἡ τοῦ μέσου λῆψις. ὥστ' οὐδὲ
» συλλογισμὸν ἐγχωρεῖ γίνεσθαι δι' ἄλλων.

Ἐξυμνεῖ τὴν παρ' αὐτοῦ εὑρημένην τῆς εὐπορίας μέθοδον. ὅτι οὐδὲ οἷόν τε δι' ἄλλης ἢ διὰ ταύτης εἰς πάντα συλλογισμὸν εὐπορεῖν προτάσεων. δείξει μὲν γὰρ μετ' ὀλίγον. ὅτι καὶ ἥτις ἐπινοεῖται τοῖς παλαιοῖς ἄλλη μέθοδος, ἄχρηστος ἐστὶν εἰς ἀπόδειξιν. καὶ νῦν δὲ συντόμως τοῦτο κατασκευάζει. εἰ γὰρ δέδεικται ὅτι πάντες οἱ συλλογισμοὶ ὑπὸ τὰ τρία ἀνάγονται σχήματα. δέδεικται δὲ ὅτι πάντα τὰ προβλήματα ἐν τοῖς τρισὶ σχήμασιν εἰς τὴν παραδεδομένην μέθοδον ἄγει. ἔοικεν μηδὲ εἶναι ἄλλη τις μέθοδος τῆς εὐπορίας τῶν προτάσεων παρὰ ταύτην.

» Η ΜΕΝ οὖν ὁδὸς κατὰ πάντων, ἡ αὐτή. καὶ περὶ φιλοσοφίαν καὶ περὶ τέχνην ὁποιανοῦν καὶ
» μάθημα. δεῖ γὰρ τὰ ὑπάρχοντα, καὶ οἷς ὑπάρχει περὶ ἕκαστον ἀθρεῖν. καὶ τούτων ὡς πλείστων εὐπορεῖν.
» καὶ ταῦτα διὰ τῶν τριῶν ὅρων σκοπεῖν. ἀνασκευάζοντα μὲν ὡδί, κατασκευάζοντα δέ, ὡδί. καὶ κατὰ
» τὰ μὲν ἀλήθειαν ἐκ τῶν κατὰ ἀλήθειαν διαγεγραμμένων ὑπάρχειν. εἰς δὲ τοὺς διαλεκτικοὺς συλλο-
» γισμούς, ἐκ τῶν κατὰ δόξαν προτάσεων. αἱ δ' ἀρχαὶ τῶν συλλογισμῶν καθόλου μὲν εἴρηνται ὃν τρό-
» πον τε ἔχουσι, καὶ ὃν τρόπον δεῖ θηρεύειν αὐτάς.

Ἐπειδὴ συλλογίζονται. οὐ μόνον οἱ λογικὰς ἐπιτηδεύοντες τέχνας. ἀλλὰ καὶ περὶ βαναύσους. ὡς εἴπομεν ἄλλοτε. καὶ ἁπλῶς πάντες ἐκ κοινῶν ἐννοιῶν συλλογίζεσθαι πεφύκασιν. εἰ καὶ τὴν μέθοδον ἀγνοοῦσιν. εἰπὼν οὖν περὶ φιλοσοφίαν, ἐσήμανε τοὺς ὄντως συλλογιζομένους καὶ ἐπιστημονικῶς. φιλοσοφίας γὰρ ἴδιον ὄργανον ἡ λογική. διὰ δὲ τοῦ εἰπεῖν καὶ τέχνην ὁποιανοῦν, τὰς λοιπὰς ἐδήλωσεν εἴτε λογικάς, εἴτε καὶ βαναύσους. τὸ δὲ καὶ μάθημα ἴσως καθολικώτερόν ἐστι τῶν ἄλλων. εἰπὼν γὰρ περὶ φιλοσοφίαν καὶ τέχνην ὁποιανοῦν. ἐπὶ τὸ καθόλου ἀνήγαγε τὸν λόγον, λέγων ἁπλῶς καὶ περὶ πᾶν μάθημα χρησιμεύσειν ἡμῖν συλλογιζομένοις ἡ παραδιδομένη μέθοδος.

» ΟΠΩΣ μὴ βλέπωμεν εἰς ἅπαντα τὰ λεγόμενα, μηδὲ εἰς ταὐτὰ κατασκευάζοντες καὶ ἀνασκευά-
» ζοντες. μηδὲ κατασκευάζοντες τί τι κατὰ παντὸς ἢ τινός. καὶ ἀνασκευάζοντες ἀπὸ παντὸς ἢ τινός.

οὐ τοῖς ἐξ ἀρχῆς, ἀλλὰ τοῖς ὕστερον. ὃ δὲ λέγει τοῦτό ἐστι. τὸ δεόμενον ἀποδείξεως ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς, ἡ πρόσληψίς ἐστιν ὅπερ ἤδη καὶ ἔσω εἶπεν. τὴν γὰρ πρόσληψιν βουλόμενος σημᾶναι. εἶπε τὸ ἐν τοῖς ὑποκειμένοις οὐκ ἐν τοῖς ἐξ ἀρχῆς τὸ ἡγούμενον καὶ τὸ ἑπόμενον. τοῦτο τὸ ἡγούμενον ὑποκείμενον εἶπεν, ὑποκείμενον δὲ ἐξ ἀρχῆς. λέγομεν γὰρ εἰ ἄνθρωπος καὶ ζῷον. τὸ δὲ ἀλλὰ μὴν ἄνθρωπος ὅπερ ἐστὶν ἡ πρόσληψις, καὶ τοῦτό φησιν ὑποκείμενον. ὑποκείμενον δὲ τὸ κατὰ τὴν μετάληψιν περὶ ὅ φησι γενέσθαι τὴν ζήτησιν. τοῦτο γάρ ἐστι τὸ δεόμενον ἀποδείξεως.

» Ο ΔΕ τρόπος ὁ αὐτὸς τῆς ἐπιβλέψεως.

K αἱ ἐπὶ τούτων φησὶ τῶν συλλογισμῶν τῇ αὐτῇ μεθόδῳ χρηστέον τῆς εὐπορίας τῶν προτάσεων. ἐν γὰρ ἐδείξαμεν ἀμφοτέροις ὅτι πάντες οἱ ὑποθετικοὶ δέονται κατηγορικοῦ συλλογισμοῦ προσκτιλάσσειν. οἱ μὲν δι᾽ ἀδυνάτου κατηγορικῶς τὸ ψεῦδος ἡμῶν συλλογιζομένων. οἱ δὲ λοιποὶ τῆς προσλήψεως κατηγορικῶς δεικνυμένης. οἱ δὲ κατηγορικοὶ πάντες εἰς ταύτην ἀνήγοντο τὴν μέθοδον. δῆλον ἄρα ὅτι καὶ οἱ ὑποθετικοὶ ὑπ᾽ αὐτὴν ἀναχθήσονται. Ἀπορεῖ δὲ ἐν τούτοις ὁ Ἀλέξανδρος περὶ τῶν λεγομένων παρὰ τῷ Θεοφράστῳ δι᾽ ὅλου ὑποθετικῶν. οὐ γὰρ δέονται οὗτοι κατηγορικοῦ συλλογισμοῦ. ὥστε οὐδὲν χρησιμεύσει πρὸς τούτους ἡ παραδιδομένη μέθοδος. δι᾽ ὅλου δὲ ὑποθετικοὺς ἐκάλει ὁ Θεόφραστος, τοὺς καὶ τὰς προτάσεις καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως λαμβάνοντας. οἷον εἰ τὸ α καὶ τὸ β. εἰ δὲ τὸ β καὶ τὸ γ. εἰ τὸ α ἄρα καὶ τὸ γ. σκόπει γὰρ ὅτι καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως εἴληπται. φασὶν οὖν πρὸς τοῦτο. ὅτι οὐδὲ ὅλως εἰσὶ συλλογισμοὶ οἱ δι᾽ ὅλου ὑποθετικοί. ἀκολουθίαν γὰρ μόνην σημαίνουσιν. ὥστε ἡ μέθοδος κοινή ἐστιν ἐπὶ πάντων τῶν συλλογισμῶν. ἔλεγε δὲ ὁ Θεόφραστος. ὅτι δύνανται καὶ οὗτοι ὑπὸ τὰ τρία σχήματα ἀνάγεσθαι. ὅταν γὰρ εἴπωμεν. εἰ τὸ α καὶ τὸ β. εἰ τὸ β καὶ τὸ γ. εἶτα συμπεράνωμεν. εἰ τὸ α ἄρα καὶ τὸ γ. ἀναλογεῖ τὸ μὲν α ἐλάττονι ὅρῳ καὶ ὑποκειμένῳ. τὸ δὲ β μέσῳ. κατηγορουμένῳ μὲν τοῦ α. ὑποκειμένῳ δὲ τῷ γ ὅπερ ἀναλογεῖ μείζονι ὅρῳ. ὥστε καὶ οὕτως ἔσται τὸ πρῶτον σχῆμα. γίνεται πάλιν τὸ δεύτερον. ὅταν οὕτως εἴπω. εἰ τὸ α καὶ τὸ β. εἰ μὴ τὸ γ οὐδὲ τὸ β. εἰ μὴ τὸ α ἄρα οὐδὲ τὸ γ. ὁμοίως καὶ τὸ τρίτον οὕτως. εἰ μὴ τὸ β οὐδὲ τὸ α. εἰ τὸ β καὶ τὸ γ. εἰ μὴ τὸ α ἄρα οὐδὲ τι τῶν γ. δυνατὸν δὲ καὶ κατηγορικὰς λαβεῖν ἀμφοτέρας. κἀκεῖνο δὲ ἔστιν εἰπεῖν. ὅτι εἰ ἐξ ὑποθέσεως τὸ συμπέρασμα εἴληπται καὶ οὐκ ἐξ ἀνάγκης. ἐπειδὴ καὶ τῶν προτάσεων ἑκάστη. δῆλον ἄρα ὅτι εἰ ἐθελήσωμεν ἀνάγκην ἐπιθεῖναι τῷ λόγῳ. ἵνα τῷ ὄντι καὶ συλλογισμὸς γίνηται. δεῖ ἑκάστην τῶν προτάσεων κατηγορικῶς ἀποδεῖξαι. εἴρηται γὰρ ἡμῖν ἐν τοῖς περὶ τῶν ὑποθετικῶν. ὅτι πολλάκις μόνον τὸ συνημμένον κατασκευῆς δεῖται ἢ ἡ πρόσληψις. πολλάκις δὲ καὶ ἀμφότερα. ὥστε εἰ δεῖ καὶ τούτους τῷ ὄντι συλλογισμοὺς γενέσθαι. ὑπὸ τὴν αὐτὴν πεσοῦνται τῆς εὐπορίας τῶν προτάσεων μέθοδον. τοῦ συνημμένου καθ᾽ ἑκάστην πρότασιν κατασκευασθέντος. εἰ ἄδηλον ἢ ἡ τῆς προσλήψεως ἀλλὰ μὴν τὸ ἐξ ἀμφοτέρων.

» ΕΥΡΙΣΚΕσθαι δὲ δεῖ, καὶ διελεῖν ποσαχῶς αἱ ἐξ ὑποθέσεως. δείκνυνται μὲν οὖν ἕκαστον τῶν
» προβλημάτων, οὕτως.

T αὐτὸ λέγει ὅπερ φθάσαντες ἐπεποιήσαμεν εἰπόντες ποσαχῶς λέγονται οἱ ὑποθετικοί.

» ΕΣΤΙ δὲ καὶ ἄλλον τρόπον ἔνια συλλογίσασθαι τούτων. οἷον τὰ καθόλου διὰ τῆς τῶν κατὰ
» μέρος ἐπιβλέψεως ἐξ ὑποθέσεως.

Δ υνατόν φησιν ἔνια τῶν προβλημάτων. λέγω δὲ τὰ καθόλου, καὶ ἄλλως συλλογίσασθαι. λέγω δὴ ἐξ ὧν περὶ καὶ τὰ μερικὰ συνελογισάμεθα. τὸ μὲν καθόλου καταφατικόν, διὰ τῶν γ η. διὰ τούτων γὰρ τὸ μερικὸν καταφατικὸν ἐδείκνυτο. τὸ δὲ καθόλου ἀποφατικόν, διὰ τῶν δ η. διὰ τούτων γὰρ τὸ μερικὸν ἀποφατικὸν ἐδείκνυτο. πῶς οὖν διὰ τούτων τὰ καθόλου συλλογισόμεθα. οὐχ ὡς ἁπλῶς φησιν, ἀλλ᾽ ὡς ἐξ ὑποθέσεως. ἐξ ὑποθέσεως δὲ λέγεται. οὐχ ὅτι ὑποθετικῶς. ἀλλ᾽ ὅτι καθ᾽ ὑπόθεσιν λαμβανόντων ἡμῶν τι. τί οὖν τοῦτό ἐστιν, ἔλεγεν ἐξ ἀρχῆς. ὅτι οὐ μόνον τὰ κατ᾽ οὐσίαν τοῖς πράγμασιν ὑπάρχοντα δεῖ ἐκλέγεσθαι καὶ ἀπογράφεσθαι ἀλλὰ καὶ τὰ ἴδια. ἐὰν οὖν ὑποθώμεθα ἐν τοῖς ὑποκειμένοις τῷ ε. λέγω δὴ τοῖς η εἶναί τι ἴδιον. ἐπειδὴ τὸ ἴδιον ἀντιστρέφει πρὸς τὸ οὗ ἐστιν ἴδιον. εἰ τὸ ε τῷ η παντί. καὶ τὸ η τῷ ε παντί. ἐπεὶ οὖν τὸ μὲν α παντὶ τῷ γ. παντὸς δὲ ἔπειν τῷ η. τὸ δὲ η παντὶ τῷ ε. καὶ τὸ α παντὶ τῷ ε ὑπάρξει. πάλιν εἰ τὸ α οὐδενὶ τῷ δ. παντὸς δὲ ἔπειν τῷ η. τὸ δὲ η παντὶ τῷ ε. καὶ τὸ α οὐδενὶ τῷ ε. τὸ αὐτὸ δῆλον ὅτι ποιοῦσι καὶ οἱ ὁρισμοὶ ἀντιστρέφοντες πρὸς τὸ ὁριστόν.

» ΕΙ γὰρ τὰ γ καὶ τὰ η ταυτὰ εἴη, μόνοις δὲ λαμβάνοιτο τοῖς η τὸ ε ὑπάρχειν, παντὶ ἂν τῷ ε τὸ α ὑπάρ-
» χοι. καὶ πάλιν εἰ τὰ δ καὶ τὰ η ταυτά. μόνον δὲ τῶν η τὸ ε κατηγοροῖτο, ὅτι οὐδενὶ τῷ ε τὸ α ὑπάρξει.
» φανερὸν οὖν ὅτι καὶ οὕτως ἐπιβλεπτέον.

Δ εῖ τῇ ἐννοίᾳ προσέχειν τοῦ φιλοσόφου. καὶ οὕτω τὸ ῥητὸν νοήσαι. οὐ γὰρ ἀκριβῶς κατὰ τὴν λέξιν εἴρηται. βούλεται γὰρ εἰπεῖν ὅτι εἴ τι ἴδιον ὑπάρχει ἐν τοῖς η ὥστε μόνον τὸ ε αὐτῷ ὑπάρχειν. ἔσται διὰ τὴν ἀντιστροφὴν ὡς ἑπόμενον τὸ α παντὶ τῷ ε. εἰ γὰρ εἴη τὸ μὲν ε ἄνθρωπος. τὸ δὲ η γελαστικόν. μόνον μὲν ὁ ἄνθρωπος ὑπάρχει τῷ γελαστικῷ. οὐ μέντοι μόνῳ τῷ γελαστικῷ. ὑπάρχει γὰρ καὶ τῷ λογικῷ θνητῷ. καὶ τῷ ὀρθοπεριπατητικῷ.

παντὶ τῷ α, συνάγεται πάλιν ἐν πρώτῳ σχήματι τὸ β τινὶ τῷ ε. ἀλλ' ὑπέκειτο οὐδενί. ψεῦδος ἄρα τὸ τινὶ τῷ ε τὸ α. οὐκοῦν οὐδενί. δέδεικται οὖν διὰ τούτων, ὅτι ἀντιστρέφουσιν ἀμφότεραι αἱ δείξεις. ἥ τε κατηγορική, καὶ ἡ δι' ἀδυνάτου. καὶ διὰ τῆς αὐτῆς μεθόδου. λέγω δὴ τῆς εὐπορίας τῶν προτάσεων, ἀμφότεραι προέρχονται.

» ὉΜΟΙΩΣ δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Ἐπειδὴ ἐπὶ μόνης ὡς ἐπὶ τῆς καθόλου ἀποφατικῆς τὸν λόγον ἐγύμνασε τῶν ἀντιστροφῶν. τὰ αὐτά φησι καὶ ἐπὶ τῶν λοιπῶν προβλημάτων συμβαίνει.

» ἘΝ ἅπασι γὰρ ἀνάγκη κοινόν τινα λαβεῖν ὅρον ἄλλον τῶν ὑποκειμένων, πρὸς ὃν ἔσται τοῦ ψεύδους ὁ συλλογισμός. ὥστ' ἀντιστραφείσης ταύτης τῆς προτάσεως, τῆς δ' ἑτέρας ὁμοίως ἐχούσης, δεικτικὸς ἔσται συλλογισμὸς, διὰ τῶν αὐτῶν ὅρων. διαφέρει γὰρ ὁ δεικτικὸς τοῦ εἰς τὸ ἀδύνατον. ὅτι ἐν μὲν τῷ δεικτικῷ κατ' ἀλήθειαν ἀμφότεραι τίθενται αἱ προτάσεις. ἐν δὲ τῷ εἰς τὸ ἀδύνατον, ψευδὴς ἡ μία.

Ἐν πᾶσί φησι τοῖς δι' ἀδυνάτου συλλογισμοῖς, δεῖ κοινόν τινα ὅρον ἕτερον ὄντα παρ' ἀμφοτέρους τοὺς ἄκρους λαβεῖν. τούτοις γὰρ ἐσήμανε διὰ τοῦ ἄλλον τῶν ὑποκειμένων. οὗτοι γὰρ ἐξ ἀρχῆς ὑπόκεινται περὶ ὧν ἡ σκέψις τὸ α καὶ τὸ ε. κοινὸν δὲ λέγει, οὐχὶ ἀντὶ τοῦ μέσου κοινωνίαν ἔχοντα πρὸς ἑκάτερον. καὶ δι' ἑαυτοῦ τοὺς ἄκρους συνδέοντα. ἀλλὰ κοινόν φησιν ἐν τῇ ἐπ' εὐθείας δείξει παραλαμβανόμενον τὸν αὐτὸν. καὶ ἐν τῇ δι' ἀδυνάτου. ἐπειδὴ γὰρ εἶπεν ὅτι ἐκ τῶν αὐτῶν ὅρων ἀμφότεραι αἱ ἀποδείξεις, τοῦτο θέλει ἀποδεῖξαι. ἢ οὖν οἱ ἐξ ἀρχῆς ὑποκείμενοι ὅροι. λέγω δὴ οἱ τοῦ προβλήματος ὅτε α καὶ ὁ ε περὶ ὧν ἡ σκέψις. οἱ αὐτοὶ ἐν ἀμφοτέροις. δεῖ δὲ καὶ ἕτερόν τινα περὶ τούτοις ἐν ἀμφοτέραις ταῖς ἀποδείξεσιν. εὑρίσκεσθαι τὸν αὐτὸν σαφὲς ὡς ἐκ τῶν αὐτῶν ὅρων ἀμφότεραι αἱ ἀποδείξεις περαίνονται. ὅτι οὖν κοινός τις ὁ περὶ τοὺς ὑποκειμένους ὅρος ἐν ἀμφοτέραις λαμβάνεται, δείκνυσι. καὶ γὰρ ἐν ταῖς προκειμέναις δείξεσι τῇ ἐπ' εὐθείας καὶ τῇ δι' ἀδυνάτου, ἐστὶ κοινὸς ὅρος τὸ β. οὗτος γὰρ ἐπὶ μὲν τῆς ἐπ' εὐθείας δείξεως ἀληθῶς ἀπεφάσκετο τοῦ ε. καὶ ἐποίει τὴν ἐλάττονα πρότασιν. ἐπὶ δὲ τῆς δι' ἀδυνάτου ψευδῶς κατεφάσκετο τὸ β τοῦ ε ἐν συμπεράσματι. πρὸς τοῦτο οὖν φησι κοινὸν ὅρον τὸ ψεῦδος γίνεται συμπέρασμα. συνήγετο γὰρ ψευδῶς ὅτι τὸ β τινὶ τῷ ε. ταύτης οὖν φησι τῆς ψευδοῦς προτάσεως ἥτις ἦν τῆς δι' ἀδυνάτου ἀπαγωγῆς συμπέρασμα ἀντιληφθείσης. τουτέστιν εἰς τὴν ἀληθῆ μεταληφθείσης οἷον, ἀντὶ τοῦ λέγειν ὅτι τὸ β τινὶ τῷ ε ἵνα λάβωμεν ὅτι οὐδενὶ ὅπερ καὶ ἐξ ἀρχῆς ὑπέκειτο. τῆς δὲ ἑτέρας προτάσεως φυλαττομένης δηλονότι τῆς πρὸς τὸν μείζονα ὅρον τοῦ μέσου. τῆς ὅτι παντὶ τῷ α τὸ β ὑπάρχει, οὕτω φησὶν ἔσται δεικτικῶς ὁ δι' ἀδυνάτου συλλογισμός. τὸ γὰρ β, παντὶ μὲν τῷ α. οὐδενὶ δὲ τῷ ε. οὐκοῦν καὶ τὸ α οὐδενὶ τῷ ε ὑπάρξει.

» ΤΑΥΤΑ μὲν οὖν ἔσται μᾶλλον φανερὰ διὰ τῶν ἑπομένων, ὅταν περὶ τοῦ ἀδυνάτου λέγωμεν. νῦν δὲ τοσοῦτον ἡμῖν ἔσται δῆλον, ὅτι εἰς ταῦτα βλεπτέον, δεικτικῶς τε βουλομένοις συλλογίζεσθαι, καὶ εἰς τὸ ἀδύνατον ἀγαγεῖν.

Ἐπειδὴ εἶπε τίνι διαφέρει ὁ δεικτικὸς τοῦ ἀδυνάτου. ταῦτά φησιν ἐν τοῖς ἑξῆς ἀκριβέστερον εἰσόμεθα. λέγει δὲ ἐν τῷ δευτέρῳ λόγῳ. ἐκεῖ γὰρ ἀκριβέστερον διεξέρχεται περὶ τῆς τούτων διακρίσεως. λέγει γὰρ ἐκεῖ ὅτι διαφέρει ὁ ἐπ' εὐθείας τοῦ δι' ἀδυνάτου τῷ τε εἰρημένῳ τρόπῳ. ὅτι ὁ μὲν ἀμφοτέρας τὰς προτάσεις ἀληθεῖς λαμβάνει. ὁ δὲ τὴν ἑτέραν ψευδῆ.

» ἘΝ δὲ τοῖς ἄλλοις συλλογισμοῖς, τοῖς ἐξ ὑποθέσεως. οἷον, ὅσοι κατὰ μετάληψιν ἢ κατὰ ποιότητα, ἐν τοῖς ὑποκειμένοις οὐκ ἐν τοῖς ἐξ ἀρχῆς, ἀλλ' ἐν τοῖς μεταλαμβανομένοις ἔσται ἡ σκέψις.

Ἐν τοῖς ἄλλοις δηλονότι τοῖς ἐξ ὑποθέσεως. ἐπειδὴ γὰρ ἔδειξεν ὅτι οἱ κατηγορικοὶ συλλογισμοὶ καὶ οἱ δι' ἀδυνάτου, διὰ ταύτης τῆς μεθόδου περαίνονται. νῦν φησιν ὅτι καὶ οἱ ἄλλοι ὑποθετικοὶ συλλογισμοὶ ὅσοι κέχρηνται τῇ μεταλήψει διὰ τούτων δείκνυνται. ἐν τούτοις γάρ φησιν ἡ μετάληψις δεῖται τῆς δείξεως. οὐ δείκνυται δὲ ἄλλως ἢ κατηγορικῶς. οἱ δὲ κατηγορικοὶ διὰ τούτων ἐδείχθησαν. οὐκοῦν καὶ οὗτοι διὰ ταύτης δειχθήσονται τῆς μεθόδου. οὐκ ἀντιδιαιρεῖ δὲ τὴν μετάληψιν τῇ ποιότητι. καθολικώτερον γὰρ ἡ μετάληψις. τὸ δὲ καθόλου, οὐκ ἀντιδιαιρεῖται πρὸς τὸ μέρος. ὥστε τὸ ἢ κατὰ ποιότητα, ἀντὶ τοῦ καὶ κατὰ ποιότητα. εἴπομεν δὲ ἤδη ὅτι ὅπερ οἱ στωϊκοὶ πρόσληψιν ἐκάλουν, τοῦτο οἱ περιπατητικοὶ, μετάληψιν ἔλεγον. πάντες μὲν οὖν οἱ ὑποθετικοὶ, κατὰ μετάληψίν εἰσι. κατὰ ποιότητα δὲ ἐκεῖνοι λέγονται ὅσοι ἐκ τοῦ μᾶλλον ἐπιχειροῦσιν ἢ ἐκ τοῦ ἧττον. ἢ ἐκ τοῦ ὁμοίου. εἰσὶ δὲ οἱ μὲν ἐκ τοῦ μᾶλλον ἀνασκευαστικοί. οἱ δὲ ἐκ τοῦ ἧττον κατασκευαστικοί. οἱ δὲ ἐκ τοῦ ὁμοίου πρὸς ἑκάτερα ἐπιτηδείως ἔχουσιν. οἷον, ἐκ τοῦ μᾶλλον. εἰ ἡ ὑγίεια μᾶλλον ἀγαθὸν ἢ ὁ πλοῦτος. οὐκ ἀγαθὸν δὲ πάντως ἡ ὑγίεια, οὐδὲ ὁ πλοῦτος ἄρα. ἐκ δὲ τοῦ ἧττον, εἰ ἡ ὑγίεια ἧττον ἀγαθὸν δοκοῦσα εἶναι τῆς ἀρετῆς ὅμως ἀγαθόν ἐστι, καὶ ἡ ἀρετὴ ἄρα ἀγαθόν. ἐκ δὲ τοῦ ὁμοίου κατασκευάζομεν οὕτως. εἰ ὁμοίως ἡ ἰσχὺς καὶ τὸ κάλλος σώματός εἰσιν ἀρεταί. ἀγαθὸν δὲ ἡ ἰσχύς. καὶ τὸ κάλλος ἄρα. πάλιν ἀνασκευάζομεν εἰ ὁμοίως ἄμφω σώματος. οὐκ ἀγαθὸν δὲ ἡ ἰσχύς. οὐδὲ τὸ κάλλος ἄρα. ἐν τοῖς οὖν κατὰ μετάληψίν φησι συλλογισμοῖς καὶ κατὰ ποιότητα. οὐ γὰρ ἐπειδὴ πάντες κατὰ μετάληψιν, ἤδη πάντες καὶ κατὰ ποιότητα. ἡ ζήτησις ἐν τοῖς ὑποκειμένοις γίνεται. ὑποκειμένοις δὲ,

οὐ τοῖς

ὅπερ ἐστὶν ἀδύνατον. ψευδὴς ἄρα ἡ ὑπόθεσις ὅτι τὸ α οὐ παντὶ τῷ ε. ἀληθὲς ἄρα τὸ παντί. ὁμοίως καὶ τὸ μερικὸν ἀποφατικὸν ἐδείκνυτο, παντὸς ὄντος τοῦ δ καὶ τοῦ η. πάλιν οὖν δείξωμεν τοῖς αὐτοῖς ὅροις. καὶ διὰ τοῦ ἀδυνάτου. λέγω γὰρ ὅτι τὸ α οὐ παντὶ τῷ ε ὑπάρχει. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί. ἐπεὶ οὖν παντὶ τῷ ε τὸ α. τὸ δὲ ε παντὶ τῷ η. καὶ τὸ α ἄρα παντὶ τῷ η. ὑπέκειτο δὲ καὶ οὐδενί, ὅπερ ἀδύνατον. τὸ γὰρ α οὐδενὶ τῷ δ. παντὶ δὲ τὸ δ τῷ η. οὐκοῦν οὐδὲ τῷ η οὐδενὶ τὸ α. ψεῦδος οὖν τὸ παντὶ τῷ ε τὸ α. οὐκοῦν ἀληθὲς τὸ οὐ παντί. δυνατὸν δὲ καὶ ἐν δευτέρῳ σχήματι καὶ ἐν τρίτῳ εἰς τὸ ἀδύνατον ἀπαγαγεῖν. ἐν μὲν δευτέρῳ, ἐὰν τὸ α παντὶ τῷ ε. τῷ δὲ η οὐδενί. καὶ τὸ ε ἄρα τῷ η οὐδενί. ὑπέκειτο δὲ καὶ παντί. ἐν δὲ γ. ἐπεὶ τὸ α τῷ ε παντί. τὸ δὲ η τινὶ τῶν ε. καὶ τὸ α ἄρα τινὶ τῶν η. ὑπέκειτο δὲ καὶ οὐδενί.

ΕΚ τίνων ἐπιχειρεῖν καὶ ὡς ἐπίσταται ἑκάτερον.

ἤδη εἴπομεν ὅτι καὶ ἐπὶ τῶν ἀμφοτέρων.

ΚΑΙ καθ' ἕκαστον πρόβλημα ἡ αὐτὴ σκέψις. δεικτικῶς τε βουλομένοις συλλογίσασθαι, καὶ εἰς τὸ ἀδύνατον ἀναγαγεῖν. ἐκ γὰρ τῶν αὐτῶν ὅρων ἀμφότεραι αἱ ἀποδείξεις.

βούλεται δεῖξαι ὅτι ἀντιστρέφουσιν ἀλλήλαις αἱ δείξεις αὗται. ὃ γὰρ διὰ τοῦ ἀδυνάτου δείκνυται, τοῦτο διὰ τῶν αὐτῶν ὅρων καὶ δεικτικῶς. καὶ ὃ δεικτικῶς, τοῦτο διὰ τῶν αὐτῶν ὅρων καὶ διὰ τοῦ ἀδυνάτου. ἐπειδὴ οὖν ἐξέθετο τὴν διὰ τοῦ ἀδυνάτου. βούλεται τὸ αὐτὸ καὶ διὰ τῶν αὐτῶν καὶ δεικτικῶς δεῖξαι.

ΟΙΟΝ εἰ δέδεικται μηδενὶ ὑπάρχειν τῷ ε τὸ α. ὅτι συμβαίνει καὶ τὸ β τινὶ τῷ ε ὑπάρχειν, ὅπερ ἀδύνατον· ἐὰν ληφθῇ τῷ μὲν ε μηδενί, τῷ δὲ α παντὶ ὑπάρχειν, τὸ β. φανερὸν ὅτι οὐδενὶ τῷ ε τὸ α ὑπάρχει.

ἐπὶ τὴν καθόλου φησὶν ἀποφατικὴν ἐδείξαμεν δι' ἀδυνάτου. ὑποθέμενοι τὸ ἀντικείμενον. καὶ τούτῳ δὲ προσθέντες ἀδύνατόν τι ἠκολουθοῦμεν. λέγω δὲ τὸ β τινὶ τῶν ε ὑπάρχειν. οὐδενὶ ὑπάρχει. ἐκ δὲ τοῦ ψευδοῦς συμπεράσματος τὸ ἀληθὲς μετελάβομεν. λέγω δὲ ὅτι τὸ β οὐδενὶ τῶν ε. εἶτα προσθῶμεν τὴν ἑτέραν πρότασιν. ἥτις καὶ ἐν τῇ δι' ἀδυνάτου ὑπῆρχε, τὴν ὅτι τὸ β παντὶ τῷ α συνάγεται δεικτικῶς ἐν δευτέρῳ σχήματι, ὅτι τὸ α οὐδενὶ τῷ ε. ἀναλαμβάνει οὖν τὰ εἰρημένα, ἵνα δείξῃ ἀντιστρεφούσας ἀλλήλαις τήν τε ἐπ' εὐθείας, καὶ τὴν δι' ἀδυνάτου δεῖξιν. ἀπορήσειε δ' ἄν τις ἐν τούτοις εἰκότως. πῶς φησιν ἀντιστρέφειν ἀλλήλαις τήν τε δι' ἀδυνάτου καὶ τὴν ἐπ' εὐθείας δεῖξιν. δέδεικται γὰρ ἐν τῷ περὶ τῶν τελείων σχημάτων λόγῳ ὅτι ὁ τέταρτος τρόπος τοῦ δευτέρου σχήματος. καὶ ὁ ε τοῦ τρίτου μόνας τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἐδείκνυντο. τῇ δὲ ἐπ' εὐθείας οὐκέτι. ὁποτέραν γὰρ τῶν προτάσεων ἀντιστρέψαντές τις βουληθείη, ἵνα ἐπ' εὐθείας ποιήσηται τὴν δεῖξιν, ἀσυλλόγιστον ποιεῖ τὴν συμπλοκὴν τῶν προτάσεων. ἐὰν δὲ τοῦ δ' τρόπου τοῦ β σχήματος οὐδὲ ἀντιστρέψαι ἔστι τὴν ἐλάττονα. μερικὴ γὰρ ἐστὶν ἀποφατική. ἥτις πρὸς οὐδεμίαν ἀντιστρέφει. πῶς οὖν ἐνταῦθά φησιν ὅτι πάντα τὰ δι' ἀδυνάτου δεικνύμενα, καὶ ἐπ' εὐθείας δείκνυται. καὶ τὰ ἐπ' εὐθείας δι' ἀδυνάτου. φημὶ οὖν πρὸς ταῦτα. ὅτι πρῶτον μὲν οὐ περὶ τρόπων τῶν σχημάτων ἐνταῦθα ὁ λόγος. ἀλλὰ περὶ τῶν προβλημάτων πάντων τοῦ καθόλου. τοῦ μερικοῦ. τοῦ καταφατικοῦ. τοῦ ἀποφατικοῦ. ὅτι τούτων ἕκαστον καὶ ἐπ' εὐθείας δείκνυται. καὶ διὰ τοῦ ἀδυνάτου. οὐ μὴν ὅτι καὶ καθ' ἕκαστον τρόπον τῶν σχημάτων. ἔπειτα δὲ οὐδὲ ἐπὶ τῶν τρόπων ψευδὴς ἐστὶν ὁ λόγος. ἀναμανθάνομεν γὰρ διατί ἔλεγε μὴ δύνασθαι ἐπὶ τῶν εἰρημένων, δύο τρόπων τὴν ἐπ' εὐθείας δεῖξιν γίνεσθαι. δῆλον δή που ὅτι καὶ φθάσαντες εἴπομεν. ὅτι τὴν μὲν τῶν προτάσεων οὐκ ἔστιν ἀντιστρέψαι. αἱ δὲ ἄλλαι ἀντιστρεφόμεναι ἀσυλλόγιστον ἐποίουν τὸ σχῆμα. τί δὲ ὅλως τῶν ἀντιστροφῶν ἐδέησεν. αὐτὸς ἐν τῷ περὶ αὐτῶν λόγῳ σαφῶς εἶπεν. ἐπεὶ γὰρ ἀτελεῖς εἰσὶν οἱ ἐν τῷ β καὶ γ σχήματι συλλογισμοί. δεόμεθά φησι τῶν ἀντιστροφῶν, οὐ πρὸς τὸ ποιῆσαι τὸ ἀναγκαῖον ἐν τούτοις τοῖς σχήμασιν. ἀλλ' ἵνα φαινόμενον γένηται τὸ ἀναγκαῖον. οὐ γὰρ ἡ ἀντιστροφή ἐστιν ἡ τὴν ἀνάγκην τοῖς συλλογισμοῖς τούτοις ποιοῦσα. αὐτὰ γὰρ καθ' αὑτὰ τὰ σχήματα ἔχει τὸ ἀναγκαῖον. ἀλλὰ μὴ φαινόμενον, τοῦτο, φανερὸν ποιεῖ καὶ ἡ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγή. ταύτῃ γὰρ καὶ ἀτελῆ λέγονται εἶναι τὰ σχήματα τὸ β καὶ τὸ γ. διότι μὴ προφανῆ τὴν ἀνάγκην ἔχουσιν. ὥστε εἰ μὴ ποιοῦσι τὸ ἀναγκαῖον δι' ἀντιστροφῆς, ἀλλὰ μόνον δεικνύουσιν. ἐνδέχεται δή που καὶ ἐπὶ τῶν εἰρημένων δύο τρόπων ἐπ' εὐθείας συλλογίσασθαι. ἀλλ' ἐπειδὴ τὸ ἀναγκαῖον μὴ φαίνεται. μήτε δὲ δι' ἀντιστροφῆς τῶν προτάσεων ἐνδέχεται τοῦτο δεῖξαι. διὰ τοῦτο μόνως διὰ τοῦ ἀδυνάτου δείκνυσθαι τοὺς τρόπους ἐκείνους φησίν. διὰ τοῦτο γὰρ φαίνεται αὐτῶν τὸ ἀναγκαῖον. ὥστε καὶ ἐπὶ τῶν τρόπων πάντων, ἀληθές ἐστι τὸ κατὰ τὸ αὐτὸ καὶ ἐπ' εὐθείας καὶ διὰ τοῦ ἀδυνάτου δείκνυσθαι. καὶ ὅτι καθόλου ἀντιστρέφουσι πρὸς ἀλλήλας. ἥ τε δι' ἀδυνάτου καὶ ἡ ἐπ' εὐθείας δεῖξις.

ΠΑΛΙΝ εἰ δεικτικῶς συλλελόγισται τὸ α τῷ ε μηδενὶ ὑπάρχειν. ὑποθεμένοις ὑπάρχειν τινί, διὰ τοῦ ἀδυνάτου δειχθήσεται οὐδενὶ ὑπάρχον.

ἀντιστρέψας πρὸς τὴν δι' ἀδυνάτου δεῖξιν τὴν δεικτικήν. νῦν πρὸς τὴν δεικτικὴν ἀντιστρέφει τὴν δι' ἀδυνάτου. εἰ γὰρ δέδεικται δεικτικῶς καὶ διὰ τοῦ β σχήματος ὅτι τὸ α οὐδενὶ τῷ ε. ἐὰν τὸ ἀντικείμενον τούτου λάβωμεν τὸ τινί, δείκνυμεν πάλιν τὸ αὐτὸ καὶ δι' ἀδυνάτου. εἰ γὰρ τινὶ τῶν ε τὸ α. τὸ δὲ β

τως. τὸ γὰρ μὴ ἐνδέχεσθαι τῷ β καὶ τὸ η τῷ αὐτῷ ὑπάρχειν, οὐδὲν διαφέρει, ἢ τὸ η τῶν θ τινὶ εἶναι. νῦν δὲ ἄπειρον. ἢ τὸ β τῶν θ τι εἶναι. ὅτι γὰρ τοῦτο ψεῦδος δῆλον. δυνατὸν γὰρ μηδενὶ μὲν τῷ αὐτῷ δύνασθαι τὸ β καὶ τὸ η ὑπάρχειν. μηδὲ τῶν θ εἶναι τὸ β. εἰ γὰρ λάβομεν, τὸ μὲν ε γένος. τὸ δὲ β καὶ η ἀντιδιῃρημένα εἴδη. οἷον τὸ μὲν ε ζῶον. τὸ δὲ β ἄνθρωπον. τὸ η ἵππον. ἄνθρωπον μὲν καὶ ἵππον, οὐκ ἐγχωρεῖ τῷ αὐτῷ ὑπάρχειν. οὐδενὶ μέντοι τῶν θ. λέγω δὴ τῶν ἀλλοτρίων τοῦ ζώου ὁ ἄνθρωπος ὑπάρξει. ζῶον γὰρ καὶ ὁ ἄνθρωπος. ὡσαύτως ἔχει καὶ ἐπὶ τῶν ἐναντίων. οἷον ἐὰν λάβωμεν, τὸ μὲν ε χρῶμα. τὸ δὲ β λευκὸν τὸ η μέλαν. τῷ αὐτῷ μὲν οὖν τὸ β καὶ τὸ η οὐκ ἐγχωρεῖ ὑπάρξαι. οὐδενὶ μέντοι τῶν θ. ταυτὸν ἔσται τὸ β. ἐπεὶ ἦν ἀλλότρια τοῦ ε. χρῶμα γὰρ καὶ αὐτό. ἐὰν μέντοι λάβωμεν τὸ η καὶ τὸ θ ταυτόν. ἀληθεύσει ὁ λόγος. εἰ γὰρ οὐδενὶ τῷ η τὸ α. ἐπειδὴ οὐδὲ τὸ β οὐδενὶ τῷ η. οὐδὲ τὸ η ἄρα οὐδενὶ τῷ α. ὥστε ἀλλότριον τὸ α τοῦ η. τὰ δὲ ἀλλότρια τοῦ α, τὰ θ ἦν. ὥστε ταυτόν τι ἔσται τὸ η τινὶ τῶν θ.

ΣΥΜΒΑΙΝΕΙ δὴ τοῖς οὕτως ἐπισκοποῦσι προσεπιβλέπειν ἄλλην ὁδὸν τῆς ἀναγκαίας, διὰ τὸ λανθάνειν ποτὲ τὴν ταυτότητα τῶν β καὶ τῶν θ.

Ενόμισαν φησὶν οἱ ταῦτα λέγοντες, ἄλλην ὁδὸν τῆς ἀποδείξεως εὑρηκέναι τῶν προτάσεων. τὴν διὰ τῶν ἐναντίων. ἀγνοήσαντες ὅτι ἐν αὐτοῖς τούτοις οἷς λέγουσιν, ἡ ἡμετέρα πάλιν ἀναφαίνεται μέθοδος. ὥστε διὰ ταύτην. καὶ μὴ διὰ τὴν παρὰ τούτων λεγομένην συμβαίνειν τὸ συμπέρασμα. ὥστε οἱ διὰ ταύτης τῆς μεθόδου, συνάγεσθαί τι νομίσαντες. πλάνῃ τῆς ἀναγκαίας βαδίζουσι. διά τινος κύκλου. ἐπὶ τὴν ἡμετέραν ἐπαναγόμενοι μέθοδον. δεῖ δὲ πάλιν, ἀντὶ β θ τὸ δὲ η. λαμβάνειν.

ΤΟΝ αὐτὸν δὲ τρόπον ἔχουσι καὶ οἱ εἰς τὸ ἀδύνατον ἀπάγοντες συλλογισμοὶ, τοῖς δεικτικοῖς. καὶ γὰρ οὗτοι γίνονται διὰ τῶν ἑπομένων. καὶ οἷς ἕπεται ἑκάτερον. καὶ ἡ αὐτὴ ἐπίσκεψις ἐπ' ἀμφοῖν. ὃ γὰρ δείκνυται δεικτικῶς, καὶ διὰ τοῦ ἀδυνάτου ἔστι συλλογίσασθαι. καὶ διὰ τῶν αὐτῶν ὅρων. καὶ ὃ δι' ἀδυνάτου, καὶ δεικτικῶς.

Ου μόνον φησὶ κατηγορικῶς διὰ τῆς μεθόδου ταύτης εὐπορήσομεν συλλογίζεσθαι, ἀλλὰ καὶ εἰς τὴν δι' ἀδυνάτου δεῖξιν αἱ αὐταὶ χρησιμεύσουσιν ἡμῖν μέθοδοι. τὸ γὰρ αὐτὸ πρόβλημα διὰ τῶν αὐτῶν ὅρων. κατηγορικῶς τε ἅμα καὶ δι' ἀδυνάτου συλλογιούμεθα. καὶ ἀνάπαλιν. ὃ διὰ τοῦ ἀδυνάτου ἐδείξαμεν, τοῦτο διὰ τῶν αὐτῶν ὅρων κατηγορικῶς ἕξομεν συλλογίσασθαι. ὅπως δὲ τοῦτο ἔσται, ἐπάγει.

ΟΙΟΝ ὅτι τὸ α οὐδενὶ τῷ ε ὑπάρχει. κείσθω γὰρ τινὶ ὑπάρχειν. οὐκοῦν, ἐπεὶ τὸ β παντὶ τῷ α, τὸ δὲ α τινὶ τῷ ε, τὸ β τινὶ τῷ ε ὑπάρξει. ἀλλ' οὐδενὶ ὑπῆρχεν.

Εστω φησὶ δι' ἀδυνάτου δεῖξαι τὴν καθόλου ἀποφατικήν. εἰλήφθω οὖν πάλιν τι τῶν ἑπομένων τῷ α, τουτέστι τὸ β. καὶ τῶν ἀλλοτρίων τοῦ ε, τουτέστι τὸ θ. ταυτὸ ὑπάρχον, προσέρχεται οὖν ἡ δεῖξις οὕτως. ἐπεὶ τὸ β ταυτὸν τῷ θ. τὸ δὲ β παντὶ τῷ α. καὶ τὸ θ τῷ α παντί. τὸ δὲ ε οὐδενί. τούτων οὖν ὄντων λέγω ὅτι τὸ α τῷ ε οὐδενὶ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ τινί. οὐκοῦν ἐπεὶ τὸ μὲν β παντὶ τῷ α. τὸ δὲ α τινὶ τῶν ε. συνάγεται ὅτι τὸ β τινὶ τῶν ε. ὑπέκειτο δὲ καὶ οὐδενί. ὅπερ ἀδύνατον. τὸ γὰρ β ταυτὸ τινὶ ἦν τῶν θ. ὅπερ ἦν ἀλλότρια τοῦ ε. ἡ τοίνυν τῇ ὑποθέσει τῇ λεγούσῃ ὑπάρχειν τὸ α τινὶ τῶν ε. ἀδύνατόν τι ἠκολούθησεν. τὸ, τὸ αὐτὸ τῷ αὐτῷ τὸ β τῷ ε καὶ οὐδενὶ καὶ τινὶ ὑπάρχειν. ψεῦδος ἄρα τὸ τινὶ τῶν ε τὸ αὐτὸ ὑπάρχειν, ἀληθὲς δὲ τὸ μηδενί.


ΠΑΛΙΝ ὅτι τινὶ ὑπάρχει. εἰ γὰρ μηδενὶ τῷ ε τὸ α. τὸ δὲ ε παντὶ τῷ η, οὐδενὶ τῷ η ὑπάρξει τὸ α. ἀλλὰ παντὶ ὑπῆρχεν.

Ομοίως φησὶν ἕξει καὶ ἐπὶ τῆς μερικῆς καταφατικῆς. ταῖς γὰρ αὐταῖς μεθόδοις δείξομεν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. καὶ τοῦτο τὸ πρόβλημα διὰ τοῦ λαμβάνειν τινὰ τῶν οἷς, ἀμφότεροι ἕπονται οἱ ὅροι. λέγω δὲ τῶν γ καὶ τῶν η ταυτὰ ἀλλήλοις ὄντα. δείκνυμεν οὖν πάλιν διὰ τοῦ ἀδυνάτου οὕτως. λέγω γὰρ ὅτι τὸ α τινὶ τῶν ε ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενί. ἐπεὶ οὖν τὸ α οὐδενὶ τῷ ε. τὸ δὲ ε παντὶ τῷ η. καὶ τὸ α ἄρα οὐδενὶ τῶν η. ἀλλ' ὑπέκειτο καὶ παντί, ὅπερ ἀδύνατον. τοῦ γὰρ γ καθόλου παντὸς ἦν τὸ α. οὗ ὅπερ ταυτὸν τῷ η. ὥστε καὶ τὸ η παντὶ ὑπάρχει τὸ α. ψευδὴς ἄρα ἡ ὑπόθεσις ἡ λέγουσα. οὐδενὶ τῷ ε τὸ α. οὐκοῦν ἀληθὲς ἡ τινί, ὅπερ ἔδει δεῖξαι.

ΟΜΟΙΩΣ δὲ καὶ ἐπὶ τῶν ἄλλων προβλημάτων. ἀεὶ γὰρ ἔσται ἐν ἅπασιν ἡ διὰ τοῦ ἀδυνάτου δεῖξις.

Τουτέστιν, τοῦ τε καθόλου καταφατικοῦ. καὶ τοῦ μερικοῦ ἀποφατικοῦ. δείξομεν οὖν καὶ ἐπὶ τούτων. ἐδείκνυμεν οὖν τὸ καθόλου καταφατικόν. λαμβάνοντες τὸ γ καὶ τὸ ζ ταυτόν. ἔσται οὖν διὰ τῶν αὐτῶν ὅρων, τὸ αὐτὸ καὶ δι' ἀδυνάτου δεῖξαι. λέγω γὰρ ὅτι τὸ α παντὶ τῷ ε ὑπάρχει. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐ παντί. ἐπεὶ οὖν τὸ α οὐ παντὶ τῷ ε. τὸ δὲ ζ παντὶ τῷ ε. συνάγεται ἐν τρίτῳ σχήματι. τὸ α οὐ παντὶ τῷ ζ. ὑπέκειτο δὲ καὶ παντί, ὅπερ ἀδύνατον. κατὰ παντὸς γὰρ τοῦ γ τὸ α. τὸ δὲ γ ταυτὸν ἦν τῷ ζ. ὥστε καὶ τὸ α κατὰ παντὸς τοῦ ζ. ἔστι δὲ καὶ ἐν δευτέρῳ σχήματι τὸ αὐτὸ συναγαγεῖν. ἐπεὶ γὰρ τὸ α οὐ παντὶ τῷ ε ὡς ἡ ὑπόθεσις. ἦν δὲ καὶ παντὶ τῷ ζ τὸ α. ταυτὸν γὰρ τὸ γ τῷ ζ. τῷ δὲ γ παντὶ τῷ α. ὥστε συνάγεται τὸ ζ οὐ παντὶ τῷ ε. ὑπέκειτο δὲ καὶ παντί.

μᾶς πάντα ἐν τούτοις τὰ ἕτερα ἢ τὰ ἐναντία. οὐδὲν γὰρ συμβάλλεται εἰς τὸ προκείμενον, τὸ γνῶναι ταῦτα. ὥστε καὶ τὰ ταύτην τὴν γραφὴν ὡς πόρισμα ἔσται τοῦτο συνημμένον. ποῖα ὄντα ἕτερα ἢ τὰ ἐναντία φέρε εἰπεῖν. εἰ δὲ ἐλάβομεν τὸ γ καὶ τὸ ζ ταυτὸν, ἔσται τὸ δ τῷ ζ ἐναντίον ἢ ἕτερον. ἐπειδὴ καὶ τῷ γ ἀλλότριον. πάλιν εἰ τὸ γ καὶ τὸ θ ταυτὸν, τὸ δ καὶ τὸ θ ἕτερα ἔσονται ἢ ἐναντία. εἰ γὰρ τὸ μὲν α παντὶ τῷ γ τουτέστι τῷ θ. τὸ δὲ δ οὐδενὶ τῶν α. οὐδὲ τῶν θ ἄρα οὐδενὶ τὸ δ. τὰ ἄρα δ θ ἢ ἐναντία ἢ ἀλλότρια ἀλλήλων. εἰ δὲ τὸ γ ἢ ταυτὸν ἢ τὸ μὲν γ τοῦ θ ἢ ἕτερα. ἐστὶν ἢ ἐναντίον. τῷ δὲ ἢ τῷ δ. καὶ ἐπὶ τῶν λοιπῶν κατὰ τὴν αὐτὴν μέθοδον. δοκεῖ δὲ ἡ ἑτέρα γραφὴ προσφυεστέρα εἶναι ἐν τῷ προκειμένῳ θεωρήματι. καὶ τῇ ἐπαγομένῃ λέξει. λέγω δὲ καὶ οὐχ ὁποῖα ἕτερα ἢ ἐναντία. ἵνα ἡ συνέχεια αὕτη, δῆλον ἢ ἐκ τῶν εἰρημένων γέγονεν τὸ ποῖα. ἐν ταῖς ἀπογεγραμμέναις καθ' ἕκαστον πρόβλημα δεῖ λαμβάνειν τὰ αὐτά. οὐ γὰρ δεῖ λαμβάνειν ποῖα ἕτερα ἢ ἐναντία. καὶ ὅτι τοῦτο βούλεται σημαίνειν. δῆλον ἐκ τῶν ἐπαγομένων εὐθέως, τί γάρ φησι.





» ΠΡΩΤΟΝ μὲν ὅτι τοῦ μέσου χάριν ἡ ἐπίβλεψις. τὸ δὲ μέσον οὐχ ἕτερον, ἀλλὰ ταυτὸν δεῖ λα-
» βεῖν. εἶτα ἐν ὅσοις συμβαίνει γίνεσθαι συλλογισμὸν τῷ ληφθῆναι ἐναντία, ἢ μὴ ἐνδεχόμενα τῷ αὐτῷ
» ὑπάρχειν, εἰς τοὺς προειρημένους ἅπαντας ἀναχθήσεται τρόπους. οἷον εἰ τὸ β καὶ τὸ ζ ἐναντία, ἢ μὴ ἐνδε-
» χόμενα τῷ αὐτῷ ὑπάρχειν, ἔσται μὲν γὰρ τούτων ληφθέντων συλλογισμός. ὅτι οὐδενὶ τῷ ε τὸ α ὑπάρ-
» χει. ἀλλ' οὐκ ἐξ αὐτῶν. ἀλλὰ ἐκ τοῦ προειρημένου τρόπου.


Ὅτι φησὶν οὐ δεῖ ζητεῖν ποῖα ἐν ταῖς ἀπογεγραμμέναις ἕτερά ἐστιν, ἀλλὰ ποῖα τὰ αὐτά, δῆλον. βουλόμεθα γὰρ τὸν μέσον ὅρον εὑρεῖν. δι' οὗ μέσου χρείαν τινὰ ἔχοντες πρὸς ἑκάτερον τῶν ὅρων ἢ ἀποφατικῶς ἢ καταφατικῶς, δυνησόμεθα τὸν ἄκρον τοῦ ἄκρου ἢ κατηγορῆσαι ἢ ἀποφῆσαι. εἰ τοίνυν ἡ μὲν ζήτησις τοῦ μέσου ἕνεκεν γίνεται. καὶ ἐπισκοποῦμεν τίνα δεῖ ἐκ τῶν ἀπογεγραμμένων λαβεῖν μέσον ὅρον. δεῖ δὲ τὸν μέσον ἕνα εἶναι καὶ τὸν αὐτόν. δῆλον ἄρα ὅτι ποῖα τὰ αὐτὰ ἐν ταῖς ἀπογεγραμμέναις ἐν ἑκατέρῳ τῶν ἄκρων ὅρων δεῖ ζητεῖν. καὶ οὐ ποῖα ἕτερα ἢ ἐναντία. ἐπεὶ δύο ληψόμεθα μέσους καὶ οὐχ ἕνα. καὶ οὕτω δύο ποιήσωμεν προτάσεις μηδὲν ἀλλήλαις κοινωνούσας. οἷον, τὸ β παντὶ τῷ α καὶ τὸ ζ παντὶ τῷ ε. εἰ δὲ ποτέ φησι συμβαίνει ἐκ τῆς τοιαύτης λήψεως συλλογισμὸν γενέσθαι, τοῦτο γίνεται οὐχ ἁπλῶς. ἐπειδὴ ἐναντία ἐλάβομεν. ὅσον γὰρ ἐκ τούτου, δύο ἀπηρτημέναι προτάσεις ἐγένοντο. ἀλλ' ὅτι συμβαίνει εἰς τὴν παρ' ἡμῶν παραδεδομένην μέθοδον λεληθότως ἐμπίπτειν. ἀκούομεν δὲ πῶς.

» ΤΟ γὰρ β τῷ μὲν α παντὶ, τῷ δὲ ε, οὐδενὶ ὑπάρξει, ὥστ' ἀνάγκη ταυτὸ εἶναι τὸ β τινὶ τῷ θ.

Ἐπεὶ γὰρ τὸ β παντὶ τῷ α ὑπάρχει. ἐναντίον δὲ τὸ β τῷ ζ. ἢ ἕτερον. καὶ διὰ τοῦτο οὐδενὶ τῷ ζ τὸ β. ἔστι δὲ τοῦ ζ μέρους τὸ ε. καὶ τῷ ε ἄρα οὐδενὶ ὑπάρξει τὸ β. ἀλλὰ μὴν ἔχομεν ἀπογεγραμμένα τὰ ἀλλότρια τοῦ ε. ταυτὰ δὲ ἦν τὰ θ. τὸ ἄρα β ταυτόν τινι ἔσται τῶν θ. ὥστε πάλιν διὰ τὴν ἡμετέραν μέθοδον τὸ συμπέρασμα, λέγομεν γὰρ τὸ καθόλου ἀποφατικὸν συνάγεσθαι. λαμβανομένων ἢ τῶν δ καὶ ζ τῶν αὐτῶν. ἢ τῶν β καὶ θ.

» ΠΑΛΙΝ εἰ τὸ β καὶ τὸ η μὴ ἐγχωρεῖ τῷ αὐτῷ παρεῖναι, ὅτι τινὶ τῷ ε οὐχ ὑπάρξει τὸ α. καὶ γὰρ οὕ-
» τω τὸ μέσον ἔσται σχῆμα. τὸ γὰρ β τῷ μὲν α παντὶ, τῷ δὲ η οὐδενὶ ὑπάρξει. ὥστ' ἀνάγκη τὸ β ταυτόν τι-
» νι εἶναι τῶν θ. τὸ γὰρ μὴ ἐνδέχεσθαι τὸ β καὶ τὸ η τῷ αὐτῷ ὑπάρχειν, οὐδὲν διαφέρει, ἢ τὸ β τῷ θ τινὶ
» ταυτὸν εἶναι. πάντα γὰρ εἴληπται ἐν τῷ θ. τὰ μὴ ἐνδεχόμενα τῷ ε ὑπάρχειν. Φανερὸν οὖν ὅτι ἐξ αὐ-
» τῶν μὲν τούτων τῶν ἐπιβλέψεων οὐδεὶς γίνεται συλλογισμός. εἰ δὲ τὸ β καὶ τὸ ζ ἐναντία, ταυτόν τι-
» νι τὸ β τῷ θ. καὶ τὸν συλλογισμὸν γίνεσθαι διὰ τούτων.

Δείξας ὅτι ἐν οἷς καὶ συνάγεται τὸ καθόλου ἀποφατικὸν ἐναντίων τινῶν ληφθέντων ἢ μὴ ἐνδεχομένων τῷ αὐτῷ ὑπάρχειν. οὐ διὰ τὴν τῶν ἐναντίων λῆψιν συνάγεται ἀλλὰ διὰ τὸ ἐμπίπτειν εἰς τὴν παρ' αὐτοῦ παραδιδομένην μέθοδον. τὸ αὐτὸ τοῦτο δείκνυσι καὶ ἐπὶ τοῦ μερικοῦ ἀποφατικοῦ. συνάγεται δὲ καὶ ἐκ τῶν ἐναντίων οὕτως. ἐπεὶ τὸ β παντὶ μὲν τῷ α. οὐδενὶ δὲ τῷ η. καὶ τὸ α οὐδενὶ τῶν η. τὸ δὲ η τινὶ τῷ ε. καὶ τὸ α ἄρα οὐ παντὶ τῷ ε. πάλιν οὖν φησιν ἀγνοοῦσιν ἐν τούτοις, ὅτι εἰς τὴν παρ' ἡμῶν παραδιδομένην μέθοδον ἐμπίπτουσιν. οὐδὲν γὰρ ἄλλο φησὶ λέγουσιν λαμβάνοντες τὸ β καὶ τὸ η. μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν. ἢ ὅτι τὸ β τινὶ ταυτόν ἐστι τῶν θ. εἰ γὰρ τὸ β οὐδενὶ τῶν η. τὸ δὲ η μέρος τοῦ ε. πάντα δὲ τὰ τοῦ ε, ἀλλότρια ἐλάβομεν ἐν τοῖς θ. ἔσται ἄρα ταυτόν τινι τῶν θ τὸ β. ὥστε πάλιν διὰ τὴν ἡμετέραν μέθοδον γέγονε τὸ συμπέρασμα. καὶ ταῦτα μὲν ὁ φιλόσοφος. ἔοικε δὲ ὁ πλεονάζειν ἐν τούτοις. ἢ διὰ τὸ ἤδη παραδοῦναι τὴν μέθοδον, ἀδιαφόρως ἐνταῦθα χρήσασθαι. ἔδει γὰρ αὐτὸν εἰπεῖν ὡς



τοὺς ὅρους λαμβάνειν, ἐκέλευσεν. τὰ δὲ προσεχῶς ὑποκείμενα τινί, τὰ καθολικώτατά ἐστι τῶν οἷς ἕπεται. οὐ γὰρ ὁμοίως ἔχει τὰ οἷς ἕπεταί τι, καὶ τὰ ἑπόμενα αὐτῷ. τὰ μὲν γὰρ προσεχῶς ἑπόμενα, τὰ μερικώτατά ἐστι τῶν ἑπομένων. τὰ δὲ προσεχῶς ὑποκείμενα, ταῦτα δέ ἐστι τὰ οἷς ἕπεται, τὰ καθολικώτατά ἐστι τῶν οἷς ἕπεται. τουτέστι τῶν ὑποκειμένων. οἷον ζώῳ προσεχῶς ἕπεται τὸ ἔμψυχον. καὶ ἔστι μερικώτερον σώματός τε καὶ οὐσίας. ἑπόμενον τῷ ζώῳ, ἕπεται δὲ προσεχῶς τὸ ζῷον τῷ λογικῷ. καὶ ἔστι τοῦτο καθολικώτερον τῶν λοιπῶν οἷς ἕπεται. οἷον ἀνθρώπου, Σωκράτους. τούτων οὖν οὕτω διατεταγμένων ἐν τῇ λήψει τῶν μέσων ὅρων λέγων δεῖν ὡς ἐνδέχεται τὰ καθολικώτατα λαμβάνειν, ἔδει μόνον ἐπὶ τῶν κατηγορουμένων τουτέστι τῶν ἑπομένων τοῖς ὅροις τοῦτο ποιεῖν. τὸ γὰρ ζ τοῦ ε προσεχῶς κατηγορεῖται. καὶ ἦν μερικώτερον τῶν κατηγορουμένων. πῶς οὖν λαμβάνει καθολικώτερα αὐτοῦ τὸ κζ. ἐπὶ δὲ τῶν ὑποκειμένων ὑπόκειται τὸ α, τῷ γ. ὃ τὰ προσεχῶς ὑποκείμενα ἐλαμβάνετο. τοῦτο δέ ἐστι τὰ καθολικώτατα τῶν ὑποκειμένων. τοῦ γ ἄρα οὐδέν ἐστι καθολικώτερον. πῶς οὖν λαμβάνει αὐτοῦ καθολικώτερον τὸ κγ. λέγω οὖν ὅτι ἐν μὲν τῇ ἐκθέσει τὰ προσεχέστατα ἐλάμβανεν. ἵνα τὰ ἑκάστῳ τοιοῦτον ἐστι λάβῃ κατηγορούμενά τε καὶ ὑποκείμενα. καὶ μὴ τὰ δι' ἄλλο. τοῦ γὰρ λογικοῦ διὰ τὸ ζῷον κατηγορεῖται τὸ ἔμψυχον. καὶ τῷ ζώῳ διὰ τὸ λογικὸν ὑπόκειται ἄνθρωπος. ἐν μέντοι τῇ ἐκθέσει τοῦ μέσου ἀξιῶν εἰς τὰ καθολικώτατα ἀποβλέπειν ὡς οἷόν τε, ὑποδείγματος μόνον ἕνεκεν καὶ σαφηνείας. ὡς μερικωτέρῳ τῷ γ ἐχρήσατο. ἵνα διδάξῃ μὴ εἰς μόνα τὰ ἀπογεγραμμένα προσέχειν ἐκλεγομένους τὸν μέσον. ἀλλ' ἐπιβλέπειν ὅ τί ἐστι τῶν ὑποκειμένων καθολικώτερον. καὶ ὡς ἐνδέχεται τούτῳ μέσῳ κατὰ τὴν παραδεδομένην μέθοδον χρήσασθαι τοῦτο λαμβάνειν.

» ΔΗΛΟΝ δὲ καὶ ὅτι διὰ τῶν τριῶν ὅρων καὶ τῶν δύο προτάσεων ἡ σκέψις. καὶ διὰ τῶν προειρημένων σχημάτων οἱ συλλογισμοὶ πάντες.

Βούλεται ὁ φιλόσοφος καὶ διὰ τῶν δεδειγμένων ἐν τῷ τμήματι τούτῳ, λέγω δὲ τὸ περὶ τῆς εὐπορίας τῶν προτάσεων, δεῖξαι ὅτι πᾶσα ἀνάγκη πάντα συλλογισμὸν διὰ μόνων τριῶν ὅρων γίνεσθαι. καὶ διὰ τῶν προειρημένων τριῶν σχημάτων. καὶ ἄλλως ἀδύνατον. ὃ γὰρ καλῶς ἀνήπται ἡ τῶν ἑπομένων τοῖς ὅροις, καὶ οἷς ἕπονται ἐκλογή. ἔτι τε καὶ τὰ ἀλλότρια αὐτῶν. ἐπὶ ἑκάστου τῶν προβλημάτων, ἔδει τούτων τι ταυτὸν εὑρεθῆναι. οἷον ἐπὶ μὲν τοῦ καθόλου καταφατικοῦ. τὰ οἷς ἕπεται ὁ κατηγορούμενος. καὶ τὰ τῷ ὑποκειμένῳ ἑπόμενα. καὶ ἐπὶ τῶν ἄλλων ὡς δέδεικται, ἐχόντων ἡμῶν δύο μὲν ὅρους τοὺς περὶ ὧν ὁ λόγος. τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον. λαμβανόντων δὲ καὶ ἕτερον τινὰ ὅσα. ἦν ἦν τοῦ μὲν κατηγορουμένου ὑποκείμενος. τοῦ δὲ ὑποκειμένου κατηγορούμενος. τρεῖς ἀνάγκη μόνους τοὺς ὅρους γίνεσθαι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων τῶν προβλημάτων ὁμοίως. οὕτω μὲν οὖν τρεῖς μόνοι οἱ εἰς τὸν συλλογισμὸν παραλαμβανόμενοι ὅροι. ὅτι δὲ τρία μόνα τὰ σχήματα. καὶ διὰ τῶν ἐντεῦθεν πάλιν δεικνυμένων, φανερόν. ἐδείκνυτο γὰρ τὸ μὲν καθόλου καταφατικὸν διὰ τοῦ α. καὶ διὰ τοῦ β. τὸ δὲ μερικὸν καταφατικὸν διὰ τοῦ τρίτου. καὶ διὰ τοῦ α. τὸ δὲ μερικὸν ἀποφατικὸν διὰ τοῦ τρίτου σχήματος. καὶ διὰ τοῦ α. ταῦτα μέν ἐστι τὰ διὰ τούτων τῶν ἀριστοτέλει δεικνύμενα. σαφῆ δὲ καὶ τὰ τῆς λέξεως.

» ΔΕΙΚΝΥΤΑΙ γὰρ ὑπάρχειν μὲν παντὶ τῷ ε τὸ α ὅταν τὸ γ τῷ ζ ταυτόν τι ληφθῇ. τοῦτο δὲ ἔσται τὸ μέσον.

Τοῦτο ποῖον, δῆλον ὅτι τὸ γ καὶ τὸ ζ. ταυτὸν γὰρ ταῦτα. μέσον δέ φησι, τουτέστι μέσος ὅρος. δι' ὃ ἐπάγει.

» ἌΚΡΑ δὲ τὸ α καὶ ε. γίνεται οὖν τὸ πρῶτον σχῆμα. τινὶ δέ, ὅταν τὸ γ καὶ τὸ η ληφθῇ ταυτόν. τοῦτο δὲ τὸ ἔσχατον σχῆμα. μέσον γὰρ τὸ η γίνεται. μηδενὶ δέ, ὅταν τὸ δ καὶ τὸ ζ ταυτόν. οὕτω δὲ καὶ τὸ πρῶτον σχῆμα, καὶ τὸ μέσον. τὸ μὲν πρῶτον, ὅτι οὐδενὶ τῷ ζ ὑπάρχει τὸ α. εἴπερ ἀντιστρέφει τὸ στερητικόν. τὸ δὲ ζ παντὶ τῷ ε. τὸ δὲ μέσον, ὅτι τὸ δ, τῷ μὲν α, οὐδενὶ τῷ δὲ ε, παντὶ ὑπάρχει. τινὶ δὲ μὴ ὑπάρχειν, ὅταν τὸ δ καὶ τὸ η ταυτὸν ᾖ. τοῦτο δὲ τὸ ἔσχατον σχῆμα. τὸ μὲν γὰρ α, οὐδενὶ τῷ η ὑπάρξει. τὸ δὲ ε, παντὶ τῷ η.

Τουτέστιν ἄκροι ὅροι ὅτε μείζων καὶ ὁ ἔσχατος. τοῦτο δὲ ἔσται τὸ ἔσχατον σχῆμα. μέσον δὲ τὸ η. ἐπειδὴ τὸ γ καὶ τὸ η ταυτόν. τοῦτο δέ ἐστι μέσον, δῆλον ὅτι οὐδὲν διαφέρει τὸ γ εἰπεῖν ἢ τὸ η μέσον. ταυτὸν γὰρ ἄμφω.

» ΦΑΝΕΡΟΝ οὖν ὅτι διὰ τῶν προειρημένων σχημάτων οἱ συλλογισμοὶ πάντες. καὶ ὅτι οὐκ ἐκλεκτέον ὅσα πᾶσιν ἕπεται. διὰ τὸ μηδένα γίνεσθαι συλλογισμὸν ἐξ αὐτῶν. κατασκευάζειν μὲν γὰρ ὅλως, οὐκ ἦν ἐκ τῶν ἑπομένων. ἀποστερεῖν δ' οὐκ ἐνδέχεται. διὰ τῶν πᾶσιν ἑπομένων. δεῖ γὰρ τῷ μὲν ὑπάρχειν, τῷ δὲ μὴ ὑπάρχειν.

Ἐκ τῆς γενομένης ἀπογραφῆς τῶν ἑπομένων τοῖς ὅροις. καὶ οἷς αὐτοὶ ἕπονται. καὶ τῶν ἀλλοτρίων αὐτῶν ἐννέα γινομένων συζυγιῶν ὡς ἐδείξαμεν. αἱ μὲν ἓξ χρησιμεύουσιν ἡμῖν εἰς ἐπίσκεψιν τῶν προτάσεων. ἃς καὶ παραδέδωκεν ἤδη. αἱ δὲ τρεῖς ἄχρηστοι εἰσίν. ἃς νῦν ἐκτίθεται. καὶ τὰς αἰτίας ἀποδίδωσι δι' ἃς εἰσὶν ἄχρηστοι. τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα ἄχρηστά φησι, δι' ὅτι οὔτε κατασκευάζειν ἀνασκευάζειν ἐστὶ διὰ τούτων. κατασκευάζειν μὲν οὖν οὐκ ἔστιν. δι' ὅτι ἐν β σχήματι ποιοῦσιν ἐκ δύο καταφατικῶν συζυγίαν ἥτις ἦν ἀσυλλόγιστος. τὸ γὰρ β καὶ ζ ὅπερ ἐστὶ ταυτόν, τῷ α καὶ τῷ ε παντὶ ἀνάγκη ὑπάρχειν.

κόν, ἀλλ' οὐκ ἄλλο ἐστὶν. ἀλλὰ διὰ τοῦ ἀντιστρέψαι τὸ συναγόμενον ἐκ τούτων συμπέρασμα. τοῦτο γὰρ ἐστὶ τὸ ἀντεστραμμένος ἔσται ὁ συλλογισμός. εἰ γὰρ τὸ β' παντὶ τῷ α. παντὸς δὲ τὸ β' τῷ η, καὶ τὸ η παντὶ τῷ α. πάλιν ἐπειδὴ τὸ ε' παντὶ τῷ η. τὸ δὲ η παντὸς τῷ β'. καὶ τὸ ε' ἄρα παντὶ τῷ β'. τὸ δὲ β' παντὶ τῷ γ'. καὶ τὸ ε' ἄρα παντὶ τῷ α. ἀλλ' οὐ τοῦτο ἦν τὸ προκείμενον. εἰ τὸ ε' παντὶ τῷ α' ὑπάρχει διὰ τούτων. ἀλλ' εἰ τὸ α' τινὶ τῷ ε' ὑπάρχει. ἡ γὰρ καθόλου καταφατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει. δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἕκαστον εἰς τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα βλέπειν. οἷον τοῦ μὲν ε'. μᾶλλον εἰς τὸ κζ'. ἢ εἰς τὸ ζ' μόνον. τοῦ δὲ α', εἰς τὸ κγ'. ἢ εἰς τὸ γ' μόνον. τὸ διὰ τούτων προκείμενον τοῦ τὸ ἐστὶ. δεῖ φησι λαμβάνοντας ἡμᾶς τὰ ἑπόμενα τῶν ὅρων καὶ οἷς αὐτὰ ἕπεται, μὴ μόνον τὰ προσεχῆ λαμβάνειν, ἀλλὰ καὶ τὰ πορρωτέρω. διὰ γὰρ τούτων πλειόνων προτάσεων εὐπορήσαι δυνησόμεθα πρὸς κατασκευὴν τοῦ προκειμένου. οἷον, ὅτι ὁ ἄνθρωπος οὐσία βουλόμενοι δεῖξαι καὶ λαβόντες τὸ ἑπόμενον τῷ ἀνθρώπῳ τὸ ζῷον. δείκνυμεν διὰ τούτου ὁ ἄνθρωπος ζῷον. τὸ ζῷον οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. ἐὰν οὖν καὶ τὰ τῷ ἑπομένῳ ἑπόμενα λάβωμεν. λέγω δὲ τὰ τοῦ ζῴου καθολικώτερα. ὅτι εὐπορώτερος ὁ λόγος γενήσεται. οἷον τὸ ἔμψυχον τὸ σῶμα. κατασκευάσομεν γὰρ καὶ διὰ τούτων ὅτι ὁ ἄνθρωπος οὐσία λέγοντες οὕτως. ὁ ἄνθρωπος ἔμψυχον. τὸ ἔμψυχον οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. καὶ ἐπὶ τοῦ σώματος ὁμοίως. ὥστε ὅσῳ ἂν καθολικώτερα μάθωμεν τοσοῦτον πλειόνων εὐπορήσομεν προτάσεων. ὁμοίως ἕξει καὶ ἐπὶ τῶν οἷς ἕπεται. ἕπεται γὰρ τῇ οὐσίᾳ προσεχῶς μὲν τὸ σῶμα. εἶτα τὸ ἔμψυχον. εἶτα τὸ ζῷον καὶ ἐπὶ πάντων ὁμοίως. Ἀλλὰ ζητητέον πῶς ἀνωτέρω εἰπὼν ὅτι οὐ δεῖ λαμβάνειν ἡμᾶς εἰ μὴ μόνα τὰ προσεχῶς ἑπόμενα καὶ οἷς ἕπεται. τὰ δὲ πορρωτέρω οὔ. διότι περιέχεται ἐν τούτοις. νῦν τὸ ἐναντίον λέγει ἀντικρυς. ὅτι καὶ τὰ πορρωτέρω ληπτέον. λέγομεν οὖν πρὸς τοῦτο, ὅτι ἐκεῖ μὲν λέγων ὅπως δεῖ τὴν ἀπογραφὴν τούτων ποιεῖσθαι, ἔλεγεν ὅτι τὰ προσεχῶς μόνον τὰ ἑπόμενα ἢ οἷς ἕπεται δεῖ ἀπογράφεσθαι. τὰ δὲ πορρωτέρω οὔ. ἵνα μὴ πολλὰ ἀπογράφεσθαι ἀναγκαζόμεθα. ἔχομεν γάρ φησι διὰ τούτων καὶ τὰ λοιπά. διὰ γὰρ τοῦ λαβεῖν ὡς ἑπόμενον τῷ ἀνθρώπῳ τὸ ζῷον. ἔχομεν καὶ ὅσα τῷ ζῴῳ ἕπεται. ὥστε ἐκεῖ μὲν οὐκ ἔλεγε δεῖν ἀπογράφεσθαι ταῦτα ὡς ὁμολογουμένως δι' ἐκείνων ἐνυπάρχοντα. ἐνταῦθα μέντοι ἐπειδὴ περὶ ἄλλων τὴν κατασκευὴν ὁ λόγος. τοῦτο δέ ἐστι τῆς λήψεως τοῦ μέσου ὅρου, διὰ τοῦτό φησι δεῖν παραλαμβάνειν καὶ ταῦτα. δεῖ γὰρ ἐπιβλέπειν εἰ ἐνδέχεται διὰ τῶν καθολικωτάτων συνάγειν τὸ προκείμενον καὶ τούτων τὰ ταυτότητα λαμβάνειν. ἵνα εὐπορίαν τῇ ἀποδείξει ποιήσωμεν διὰ πλειόνων τὸ αὐτὸ συλλογιζόμενοι. ὅσα γὰρ διὰ τῶν καθολικωτάτων συνάγομεν τὸ συμπέρασμα, πλειόνων εὐποροῦμεν μέσων. τὸ αὐτὸ γὰρ καὶ διὰ τῶν μερικωτέρων συνάγειν δυνατόν. εἰ δέ τι διὰ τῶν μερικωτέρων συνάγοιτο, οὐ πάντως καὶ διὰ τῶν καθολικωτέρων συναχθήσεται. οἷον, εἰ μὲν γὰρ διὰ τοῦ σώματος μέσου συνάγω ὅτι ὁ ἄνθρωπος οὐσία, πάντως καὶ διὰ τῶν ὑπὸ τὸ σῶμα αὐτὸ συνάγειν δύναμαι. οἷον, τοῦ ἐμψύχου. τοῦ ζῴου. τοῦ λογικοῦ. εἰ δὲ μέντοι διὰ μερικωτέρου συνάγοιτο, οὐ πάντως καὶ διὰ τοῦ καθολικωτέρου τὸ αὐτὸ συναχθήσεται. οἷον τὸ τὸν ἄνθρωπον λογικὸν εἶναι διὰ τοῦ φιλοσοφεῖν. ὁ ἄνθρωπος φιλοσοφεῖ. τὸ φιλοσοφοῦν λόγῳ χρῆται. τοῦτο δὲ λογικόν. ὁ ἄνθρωπος ἄρα λογικός. οὐκέτι δὲ τὸ αὐτὸ συνάγειν δύναμαι. διὰ τῶν τοῦ φιλοσοφεῖν καθολικωτέρων. οἷον τῆς ἕξεως, ἢ διαθέσεως, ἢ ποιότητος. οὔτε γὰρ τὸ ἕξεως τινὸς ἢ ποιότητος μετέχον, ἤδη καὶ λόγῳ χρῆται. εἴ γε καὶ ὄνομα ἐστὶν ἕξιν ἔχειν.

ΟΙ'ΟΝ τοῦ μὲν ε' μᾶλλον εἰς τὸ κζ'. ἢ εἰς τὸ ζ' μόνον. Τὰ ἑπόμενα τῷ ε'. τὰ ἐφ' ὧν τὸ ζ' ἦν. λαμβάνει οὖν καὶ τῷ ζ' ἑπόμενον τὸ κζ'. τουτέστι καθολικώτερον αὐτοῦ. ὡς τῷ ζῴῳ τὸ ἔμψυχον. δεῖ οὖν φησιν εἰς τὸ κζ' μᾶλλον ἀποβλέπειν, ἢ εἰς τὸ ζ' μόνον. τουτέστιν εἰς τὸ τῷ ἑπομένῳ ἑπόμενον. οἷον εἰς ἔμψυχον. ἢ εἰς ζῷον. τοῦτο δὲ δῆλον ὅτι παρὰ δεῖ εἰ ὁμοίως ἐνδέχεται τὸ αὐτὸ καὶ διὰ τοῦ μερικωτέρου καὶ διὰ τοῦ καθολικωτέρου συναγαγεῖν. προκριτέον γὰρ τὸ καθολικώτερον. καλῶς δὲ τὸ ἑπόμενον τῷ ζ' καὶ κζ' λέγει. διὰ τὸ περιέχεσθαι τὸ μερικώτερον ἐν τῷ καθολικωτέρῳ. ὡς ἐν τῷ ἐμψύχῳ τὸ ζῷον.

ΤΟΥ δὲ α' εἰς τὸ κγ'. ἢ εἰς τὸ γ' μόνον. εἰ μὲν γὰρ τῷ κζ' ὑπάρχει τὸ α', καὶ τῷ ζ' καὶ τῷ ε' ὑπάρχει. εἰ δὲ τούτῳ μὴ ἕπεται, ἐγχωρεῖ τῷ ζ' ἕπεσθαι. ὁμοίως δὲ καὶ ἐφ' ὧν αὐτὸ ἀκολουθεῖ, σκεπτέον. εἰ μὲν γὰρ τοῖς πρώτοις, καὶ τοῖς ὑπ' ἐκεῖνα ἕπεται. εἰ δὲ μὴ τούτοις, ἀλλὰ τοῖς ὑπὸ ταῦτα ἐγχωρεῖ.

Πάλιν τὰ οἷς τὸ α' ἕπετο τὰ ἐφ' ὧν τὸ γ' ἦν. λαμβάνει οὖν πάλιν τὸ κγ' ὡς καθολικώτερα τοῦ γ'. διὸ καὶ κγ' αὐτὸ καλεῖ. ὡς περιέχον ἐν ἑαυτῷ τὸ γ'. περιέχεται γὰρ τὰ μερικώτερα ὑπὸ τῶν καθολικωτέρων. ἐπιβλέπειν οὖν δεῖ εἰ ἐνδέχεται διὰ τοῦ κγ' συλλογίσασθαι μᾶλλον. ἢ διὰ τοῦ γ' μόνον. ἔλαβε δὲ ἐν τούτοις. τοῦ μὲν ε' τὰ ἑπόμενα τοῦ δὲ α' οἷς ἕπεται. ἐπειδὴ διὰ τούτων ἐδείκνυτο τὸ καθόλου καταφατικόν. ἐπὶ ἑνὸς τῶν προβλημάτων ὡς ἐπὶ παραδείγματος γυμνάζων τὸν λόγον. Ἐκεῖνο δὲ ἐπιστῆσαι ἄξιον. ὅτι ἐν τῇ ἐκθέσει τῶν ὑπαρχόντων τοῖς ὅροις, ἔλεγε δεῖν ὥσπερ ἐπὶ τῶν ἑπομένων, ὅτι οὐ δεῖ καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα λαμβάνειν. ἀλλὰ τὰ τῷ α' ὡς α' ἑπόμενα. τουτέστι τὰ προσεχῶς αὐτῶν καθολικώτερα. οὕτω δὲ καὶ ἐν τῇ λήψει τῶν οἷς ἕπετο τὸ α' καὶ τὸ ε'. τὰ οἷς τὸ α' ὡς α' ἕπεται λαμβάνειν. εἰ δὲ ἄλλοις τισὶ οἷς κἀκεῖνα ἕπετο, οὐκέτι. ἐκεῖνα γὰρ ἐκλέγειν παρεκελεύετο τὰ ἴδια τῶν προκειμένων ὅρων ἀπλῶς τε καὶ καθ' αὑτό. ὥστε τὰ προσεχῶς ὑποκείμενα

ἐν μὲν τῷ τρίτῳ, τὸ ά παντὶ τῷ γ΄, τουτέστι τῷ ή. παντὸς γὰρ τὸ γ΄ τῷ ή. τὸ δὲ έ παντὶ τῷ ή. τὸ ά ἄρα τινὶ τῶν έ. τὸ γὰρ σχῆμα τρίτον. εἰ δέ γε τὸ έ ἢ ἀντιστρέψας εἴποις τὸ ή τινὶ τῶν έ. ποιεῖ τὸ ά σχῆμα τοσαῦται καὶ αἱ συλλογιστικαὶ συζυγίαι. καὶ οὕτως ἔχουσαι. συνελόντι δὲ τὸ μὲν καθόλου καταφατικὸν, διὰ μιᾶς μόνης συζυγίας συνάγεται, τῆς γζ. τὸ δὲ καθόλου ἀποφατικὸν, διὰ δύο τῆς τε δζ. καὶ τῆς βθ. τὸ δὲ μερικὸν καταφατικὸν, διὰ τριῶν καθ᾽ αὑτὸ μὲν διὰ δύο τῆς τε βή. καὶ γή. διὰ τὸ καθόλου δὲ, καὶ τῆς γζ. τὸ δὲ μερικὸν ἀποφατικὸν, διὰ μιᾶς τῆς δή. καὶ διὰ τῆς δζ. δι᾽ ἧς καὶ τὸ καθόλου ἀποφατικὸν συνάγεται.

» ΜΑΛΛΟΝ δ᾽ ἴσως φανερὸν ἔσται τῶν λεγομένων ἕκαστον. ἔστω γὰρ τὰ μὲν ἑπόμενα, τῷ ά.
» ἐφ᾽ ὧν τὸ β΄. οἷς δὲ αὐτὸ ἕπεται ἐφ᾽ ὧν γ΄. ἃ δὲ μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν ἐφ᾽ ὧν δ΄. πάλιν δὲ τῷ έ, τὰ
» μὲν ὑπάρχοντα, ἐφ᾽ οἷς ζ. οἷς δ᾽ αὐτὸ ἕπεται, ἐφ᾽ οἷς ή. ἃ δὲ μὴ ἐνδέχεται, αὐτῷ ὑπάρχειν ἐφ᾽ οἷς θ.

Ε΄ πειδὴ τὰ παραδείγματα σαφήνειαν ἐργάζεται τῇ διδασκαλίᾳ, βούλεται διὰ παραδειγμάτων τὰ εἰρημένα πιστώσασθαι. παραδειγμάτων δὲ τῶν διὰ τῶν στοιχείων. δυνατὸν γὰρ λοιπὸν τὰς ὕλας πρὸς τὰ στοιχεῖα ἁρμόσαι. λέγω δὲ αὐτοὺς τοὺς ὅρους. σαφὲς δὲ καὶ τὸ τοῦ παραδείγματος. ἤδη δὲ εἶπεν καὶ ἐφ᾽ ὧν λαμβάνει τὸ ά καὶ τὸ β΄. καὶ τὰ λοιπὰ στοιχεῖα. ὅτε ἐξετίθεμεν τὸ διάγραμμα.

» ΕΙ μὲν οὖν ταὐτόν τι ἔσται τῶν γ΄ τινὶ τῶν ζ. ἀνάγκη τὸ ά παντὶ τῷ έ ὑπάρχειν. τὸ μὲν γὰρ ζ παν
» τὶ τῷ έ. τῷ δὲ γ΄, παντὶ τὸ ά. ὥστε παντὶ τῷ έ τὸ ά.

Ε ἰ τὰ αὐτά φησιν εἴη, τίσι οἷς ἕπεται ὁ κατηγορούμενος. λέγω δὴ τὸ ά. καὶ τὰ ἑπόμενα τῷ ὑποκειμένῳ. λέγω δὴ τῷ έ, συνάγεται τὸ καθόλου καταφατικόν. ἐπειδὴ γὰρ τὸ ά παντὶ τῷ γ΄. τὸ δὲ γ΄ παντὸς τῷ ζ. τὸ ά ἄρα παντὶ τῷ ζ. τὸ δὲ ζ παντὶ τῷ έ. τὸ ἄρα παντὶ τῷ έ.

» ΕΙ δὲ τὸ γ΄ καὶ τὸ ή ταὐτὸν, ἀνάγκη τινὶ τῷ έ, τὸ ά ὑπάρχειν. τῷ μὲν γὰρ γ΄, τὸ ά. τῷ δὲ ή, τὸ έ παν
» τὶ ἀκολουθεῖ.

Τ ουτέστι τὰς οἷς ἕπεται καὶ ὁ ὑποκείμενος καὶ ὁ κατηγορούμενος. συνάγεται ἐκ τούτων τὸ μερικὸν καταφατικὸν ἐν τρίτῳ σχήματι. καὶ εἴπομεν ὅπως.

» ΕΙ δὲ τὸ ζ καὶ τὸ δ΄ ταὐτὸν, οὐδενὶ τῷ έ τὸ ά ὑπάρξει ἐκ προσυλλογισμοῦ. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ
» στερητικόν. καὶ τὸ ζ τῷ δ΄ ταὐτὸν, οὐδενὶ τῶν ζ ὑπάρξει τὸ ά. τὸ δὲ ζ παντὶ τῷ έ.

Ε ἰ τὰ ἑπόμενά φησι τῷ ὑποκειμένῳ. καὶ τὰ ἀλλότρια τοῦ κατηγορουμένου ταὐτὰ εἴη, συνάγεται τὸ καθόλου ἀποφατικὸν ἐκ προσυλλογισμοῦ. εἰ γὰρ τὸ δ΄ φησὶν οὐδενὶ τῷ ά. καὶ τὸ ά οὐδενὶ τῷ δ΄. τὸ δὲ δ΄ παντὸς τῷ ζ. καὶ τὸ ά ἄρα οὐδενὶ τῷ ζ. οὗτος ὁ προσυλλογισμός. ἐπεὶ οὖν τὸ ά οὐδενὶ τῷ ζ. τὸ δὲ ζ παντὶ τῷ έ. τὸ ἄρα ά οὐδενὶ τῷ έ. καὶ δῆλον ὅτι οὐκ ἔστιν οὗτος κυρίως συλλογισμός. τὸ γὰρ δ΄ καὶ ζ εἷς ἐστιν ὅρος καὶ οὐ δύο. Ἔπεται δὲ ὅλως καὶ συλλογισμὸς οὗτος. καὶ τὰ ἄλλα ἅπαντα διὰ προσυλλογισμοῦ δείκνυται. τὴν γὰρ αὐτὴν ἔχουσιν ἀγωγήν. οἷον τὸ καθόλου καταφατικόν. εἰ τὸ ά παντὶ τῷ γ΄. τὸ δὲ γ΄ παντὸς τῷ ζ. καὶ τὸ ά ἄρα, παντὶ τῷ ζ. ὥστε καὶ οὕτως ὁμοίως προσυλλογισμός. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως καὶ οὐ μόνον ἐπὶ τοῦ καθόλου ἀποφατικοῦ. Μήποτε οὖν ὑποδείγματος χάριν ἐπὶ τούτου εἶπε τὸ ἐκ προσυλλογισμοῦ. διδοὺς ἡμῖν καὶ ἐπὶ τῶν λοιπῶν τὸ αὐτὸ πρὸς ὑπακούειν. οὐ κυρίως δὲ, οὐδὲ συλλογισμὸν δεῖ καλεῖν τὸ τοιοῦτον. εἰ γὰρ τὸ δ΄ ταὐτόν ἐστι τῷ ζ. εἷς ἐστιν ὅρος. ὥστε οὐδὲ πρότασιν ποιεῖ τὸ δζ. εἰ μὴ οὕτω ληφθῇ ταὐτόν, ὡς ἐξισάζον. οἷον εἰ τὸ γελαστικόν τις αὐτὸ λέγοι καὶ τὸν ἄνθρωπον. ἐπὶ γὰρ τῶν τοιούτων ἀδύνατον τὸ ἕτερον κατηγορεῖν τὸ ἕτερον.

» ΠΑΛΙΝ εἰ τὸ β΄ καὶ τὸ θ ταὐτὸν, οὐδενὶ τῷ έ, τὸ ά ὑπάρξει. τὸ γὰρ β΄ τῷ μὲν ά παντί. τὸ δ᾽ ἐφ᾽ ᾧ τὸ
» έ, οὐδενὶ ὑπάρξει. ταὐτὸ γὰρ ἦν τῷ θ τὸ β΄. τὸ δὲ θ οὐδενὶ τῷ έ ὑπῆρχεν.

Ε ἴπομεν ὅτι τὸ καθόλου ἀποφατικὸν δείκνυται. οὐ μόνον τὰ ἀλλότρια τοῦ κατηγορουμένου καὶ τὰ ἑπόμενα τοῦ ὑποκειμένου λαμβανόντων ἡμῶν, ἀλλὰ καὶ ἔμπαλιν. τοῦ μὲν κατηγορουμένου τὰ ἑπόμενα. τοῦ δὲ ὑποκειμένου τὰ ἀλλότρια. τοῦτο οὖν ἐστιν ὃ δείκνυσι διὰ τούτων. εἴπομεν δὲ καὶ ἡμεῖς αὐτοῦ πως.

» ΕΙ δὲ τὸ δ΄ καὶ τὸ ή ταὐτὸν, τὸ ά τινὶ τῷ έ οὐχ ὑπάρξει. τῷ γὰρ ή, οὐχ ὑπάρξει τὸ ά. ὅτι οὐδὲ τῷ δ΄.
» τὸ δὲ ή ἐστιν ὑπὸ τὸ έ. ὥστε τινὶ τῷ έ οὐχ ὑπάρξει τὸ ά.

Τ ουτέστιν ἐὰν λάβωμεν τὰ τοῦ κατηγορουμένου ἀλλότρια. καὶ οἷς ἕπεται τὸ ὑποκείμενον, συνάγομεν τὸ μερικὸν ἀποφατικόν. εἴπομεν δὲ πῶς.

» ΕΙ δὲ τὸ ή καὶ τὸ β΄ ταὐτὸν, ἀντεστραμμένος ἔσται ὁ συλλογισμός. τὸ μὲν γὰρ έ τῷ ά ὑπάρξει παντί.
» τὸ γὰρ β΄ τῷ ά. τὸ δὲ έ, τῷ β΄ ταὐτὸ γὰρ ἦν τῷ ή. τὸ δὲ ά τῷ έ παντὶ μὲν οὐκ ἀνάγκη ὑπάρχειν. τινὶ δ᾽ ἀ
» νάγκη. διὰ τὸ ἀντιστρέφειν τὴν καθόλου κατηγορίαν τῇ κατὰ μέρος. Φανερὸν οὖν ὅτι εἰς τὰ προειρημένα βλεπτέον, ἑκατέρου καθ᾽ ἕκαστον πρόβλημα. διὰ τούτων γὰρ ἅπαντες οἱ συλλογισμοί. δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἕκαστον εἰς τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα ἐπιβλέπειν.

Η΄ δη μὲν ἔλαβε πάντα τὰ προβλήματα διὰ ταύτης τῆς ἐκθέσεως τῶν ὅρων. πάλιν δὲ διὰ τούτων δείκνυσιν, ὅτι τὸ μερικὸν καταφατικὸν καὶ ἄλλως δυνατὸν συναγαγεῖν. ἐάν φησιν εὑρεθῇ τι ταὐτὸν τῶν τε ἑπομένων τῷ κατηγορουμένῳ. καὶ οἷς ἕπεται τὸ ὑποκείμενον. δείκνυμεν γάρ φησι καὶ οὕτω τὸ μερικὸν καταφατι

ἑπόμενα τῷ ὑποκειμένῳ λέγω τῷ ε. τὸ δ' ἢ τὰ οἷς ἕπεται. τὸ δὲ θ τὰ ἀλλότρια αὐτοῦ. δεῖ οὖν ἤδη βλέπειν. ἔστι ταυτὸν ἔστιν ἔν τινι τῶν πρὸς τῷ α. καὶ ἔν τινι τῶν πρὸς τὸ ε. συμπλεκόμενα οὖν τὰ πρὸς τῷ α τοῖς πρὸς τῷ ε ποιεῖ συζυγίας ἐννέα τριῶν γὰρ ὄντων τῶν κειμένων πρὸς τῷ α ἑπομένων, οἷς ἕπεται ἀλλοτρίων. ὁμοίως δὲ καὶ τῶν πρὸς τῷ ε. τὰ τρία τοῖς τρισὶ συμπλεκόμενα, ποιεῖ συζυγίας ἐννέα. ἢ γὰρ τὸ β τῷ ζ ταυτὸν εὑρίσκεται. ἢ τὸ β τῷ θ. ἢ τῷ β τῷ η. πάλιν τὸ δ. ἐν ἑνὶ τῶν ζ η θ ταυτὸν εὑρισκόμενον, ποιεῖ ἑτέρας τρεῖς. καὶ πάλιν τὸ γ πῇ αὐτοῖς, τὰς λοιπὰς τρεῖς. καὶ ἄλλως. ἐπειδὴ δεῖ τῶν ἀπογεγραμμένων ἔν τε τῷ ὑποκειμένῳ ὅρῳ καὶ ἐν τῷ κατηγορουμένῳ λαβεῖν τι ταυτόν. ἵνα δι' αὐτοῦ μέσου συνάψωμεν τοὺς ἄκρους. λέγω δὴ τὸ α ε. ἢ διαστήσωμεν, ἀνάγκη πᾶσα ἀλλήλων λαμβάνειν ἢ τὰ ἀμφοτέροις ἑπόμενα ταὐτά. ἢ οἷς ἀμφότεροι ἕπονται. ἢ τὰ ἀμφοτέρων ἀλλότρια. ἢ τὰ τῷ μὲν ὑποκειμένῳ ἑπόμενα οἷς δὲ ἕπεται ὁ κατηγορούμενος. ἢ ἔμπαλιν. ἢ τὰ τοῦ μὲν κατηγορουμένου ἀλλότρια, ἑπόμενα δὲ τῷ ὑποκειμένῳ. ἢ ἀνάπαλιν ἢ τὰ οἷς ἕπεται ὁ κατηγορούμενος, τὰ δὲ τοῦ ὑποκειμένου ἀλλότρια ἢ ἀνάπαλιν. καὶ οὐκ ἔστι παρ' αὐτά. γίνονται οὖν συζυγίαι ὑποκείμεναι. ἡ τοῦ βζ γη δθ γζ ηβ δζ βθ. δη γθ. ἐννέα οὖν γινομένων συζυγιῶν αἱ μὲν ἓξ συνίστανται. καὶ ποιοῦσι συλλογισμόν. αἱ δὲ λοιπαὶ τρεῖς ἀσύστατοι καὶ ἀσυλλόγιστοί εἰσιν. ἀσύστατοι μέν, ὅτι λαμβάνουσι τὰ αὐτά. ἡ βζ. καὶ ἡ δθ. καὶ ἡ γθ. αἱ δὲ λοιπαὶ ποιοῦσι συλλογισμόν. ἡ μὲν οὖν βζ, ἀσύστατος. γίνεται γὰρ τὸ δεύτερον σχῆμα ἐκ δύο καταφατικῶν. τὸ γὰρ β τῷ α παντί. τὸ δὲ β τῷ ζ ταυτόν. καὶ τὸ β ἄρα τῷ α παντί. ἀλλὰ μὴν καὶ τῷ ε παντί, ἀσύστατος ἄρα ἡ συζυγία. δύο γὰρ καταφατικαὶ ἐν δευτέρῳ σχήματι. ἀλλὰ κἂν τὴν βα ἀντιστρέψῃς, μερικὴ γίνεται ἡ μείζων ἐν πρώτῳ. καὶ οὕτως ἀσυλλόγιστος. τὸ γὰρ α τῷ β τινί. τουτέστι τῷ ζ. τὸ δὲ ζ τῷ ε παντί μία μὲν οὖν αὕτη ἀσυλλόγιστος συζυγία. δευτέρα δὲ ἡ δθ. τουτέστιν ἡ τὰ ἀμφότερα τῶν ὅρων ἀλλότρια λαμβάνουσα. δύο γὰρ γίνονται ἀποφατικαί. τρίτη ἐπὶ τούτοις ἀσυλλόγιστος. ἡ γθ. τουτέστιν ἡ τὰ οἷς ἕπεται ὁ α κατηγορούμενος. καὶ τὰ ἀλλότρια τοῦ ε τοῦ ὑποκειμένου τὰ αὐτὰ λαμβάνουσα. τὸ γὰρ α παντὶ τῷ γ. τουτέστι τῷ θ. ταυτὸν γὰρ τὸ γ τῷ θ. τὸ δὲ θ οὐδενὶ τῷ ε. ὥστε ἡ ἐλάττων ἐν πρώτῳ ἀποφατική. ἀλλὰ κἂν τρίτον γίνηται τὸ σχῆμα. τῆς τάξεως τῶν ὅρων ἀντιστραφείσης. συνάγει μὲν μερικὸν ἀποφατικόν. ὅτι τὸ ε οὐ παντὶ τῷ α. οὐκέτι δὲ ἀντιστρέψαι δυνάμεθα τὸ συμπέρασμα. ἵνα τὸ προκείμενον συναγάγωμεν. διὰ τὸ πρὸς μηδεμίαν πρότασιν ἀντιστρέφειν τὴν μερικὴν ἀποφατικήν. περὶ μὲν οὖν τῶν ἀσυλλογίστων ταῦτα. περὶ δὲ τῶν συλλογιστικῶν λέγομεν. ἡ μὲν οὖν βθ. τὸ καθόλου ἀποφατικὸν συνάγει, ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι. ἐν μὲν οὖν δευτέρῳ οὕτως. ἐπεὶ γὰρ τὸ β τῷ θ ταυτόν. τὸ δὲ β παντὶ τῷ α. καὶ τὸ θ παντὶ τῷ α. οὐδενὶ δὲ τῷ ε. καὶ τὸ ε ἄρα οὐδενὶ τῶν α. εἶτα ἀντιστραφέντος τοῦ συμπεράσματος, οὐδὲ τὸ α οὐδενὶ τῶν ε. συνάγεται δὲ τὸ αὐτὸ καὶ ἐν πρώτῳ σχήματι, διὰ δύο ἀντιστροφῶν. ἐπεὶ γὰρ τὸ θ οὐδενὶ τῶν ε. οὐδὲ τὸ ε οὐδενὶ τῶν θ. τὸ δὲ θ τῷ α παντί. καὶ τὸ ε ἄρα οὐδενὶ τῶν α. ὥστε οὐδὲ τὸ α οὐδενὶ τῶν ε. μήποτε δὲ καὶ ἐνταῦθα μόνου δεῖ λέγειν τοῦ συμπεράσματος τὴν ἀντιστροφὴν γίνεσθαι. ἐπεὶ γὰρ ἀλλότριόν ἐστι τὸ θ τοῦ ε. δυνατὸν αὐτόθεν λέγειν ὅτι τὸ ε οὐδενὶ τῶν θ. οὐδὲ γὰρ ἀναγκαῖον ἀπὸ τοῦ θ ἄρξασθαι. ἡ δὲ βη συζυγία συνάγει τὸ μερικὸν καταφατικόν. διὰ τοῦ α καὶ τοῦ γ σχήματος. ἐπεὶ γὰρ τὸ β τῷ α παντί. καὶ τὸ α τῷ β τινί, ταυτὸν δὲ τὸ β τῷ η. τὸ α ἄρα τινὶ τῶν ε. οὕτω μὲν οὖν ἐν τρίτῳ. ἐν δὲ τῷ α δι' ἀντιστροφῆς τοῦ συμπεράσματος. ἐπεὶ γὰρ τὸ ε τῷ η παντί. τὸ δὲ η τῷ α παντί. ταυτὸν γάρ ἐστι τῷ β. ὅπερ παντὶ τῷ α ὑπάρχει. πάλιν ἡ μὲν δζ τὸ καθόλου συνάγει ἀποφατικὸν ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι. ἐπεὶ γὰρ τῷ δ τῷ ζ ταυτόν. οὐδενὶ δὲ τῶν α τὸ δ. καὶ τὸ ζ ἄρα οὐδενὶ τῶν α. τὸ δὲ ε παντί. τὸ α ἄρα οὐδενὶ τῶν ε. ἐν δὲ τῷ πρώτῳ δι' ἀντιστροφῆς τῆς μείζονος. ἐπεὶ γὰρ τὸ ζ οὐδενὶ τῷ α. οὐδὲ τὸ α οὐδενὶ τῷ ζ. τὸ δὲ ζ παντὶ τῷ ε. τὸ α ἄρα οὐδενὶ τῶν ε. δυνατὸν δὲ πάλιν μηδὲ ἀντιστροφῆς δεῖσθαι. ἐπεὶ γὰρ ἀλλότριόν ἐστι τὸ δ τοῦ α. καὶ τὸ α δῆλον ὅτι ἀλλότριόν ἐστι τοῦ ε. ὥστε δυνατὸν εὐθὺς εἰπεῖν. τὸ α οὐδενὶ τῶν δ τουτέστι τῶν ζ. δυνατὸν δὲ ἐνταῦθα τῇ συζυγίᾳ καὶ τὸ μερικὸν ἀποφατικὸν συναγαγεῖν. ἐν τρίτῳ σχήματι, τὴν ἐλάττονα πρότασιν ἀντιστρέψαντας. ἐπεὶ γὰρ τὸ ζ παντὶ τῷ ε. καὶ τὸ ε τινὶ τῶν ζ ὑπάρχει. τὸ δὲ α οὐδενὶ τῶν ζ. ταυτὸν γὰρ τὸ δ τῷ ζ. οὐδενὶ δὲ τῶν δ τὸ α. ὥστε τὸ α οὐ παντὶ τῷ ε. γίνεται γὰρ τὸ τρίτον, ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος. καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος. ἡ δὲ ηδ συνάγει τὸ μερικὸν ἀποφατικὸν ἐν τρίτῳ σχήματι. καὶ ἐν πρώτῳ τῆς ἐλάττονος ἀντιστραφείσης. ἐν μὲν γὰρ τῷ γ, οὕτως. ἐπεὶ τὸ α οὐδενὶ τῶν δ. τὸ δὲ δ τῷ η ταυτόν. καὶ τὸ η οὐδενὶ τῶν α. τὸ δὲ ε παντὶ τοῦ η. τὸ ἄρα α, οὐ παντὶ τῷ ε. καὶ ἐν τῷ α οὕτως. ἐπεὶ τὸ ε παντὶ τῷ η. καὶ τὸ η τινὶ τῶν ε. τὸ δὲ α οὐδενὶ τῶν η. ταυτὸν γὰρ τὸ δ. καὶ τὸ α ἄρα, οὐ παντὶ τῷ ε. πάλιν ἡ μὲν γζ τὸ καθόλου καταφατικὸν συνάγει. ἐπεὶ γὰρ τὸ γ τῷ ζ ταυτόν. τὸ δὲ α παντὶ τῷ γ. καὶ τὸ α ἄρα παντὶ τῷ ζ ὑπάρχει. τὸ δὲ ζ παντὶ τῷ ε. καὶ τὸ α ἄρα παντὶ τῷ ε. δῆλον δὲ ὅτι δυνατὸν ἐν τούτῳ καὶ τὸ μερικὸν καταφατικὸν συναγαγεῖν ἐν τρίτῳ σχήματι ἀντιστρεφομένης τῆς ἐλάττονος. ἐπεὶ γὰρ τὸ ζ παντὶ τῷ ε. καὶ τὸ ε τινὶ τῶν ζ. τὸ δὲ α παντὶ τῷ ζ. τὸ ἄρα α τινὶ τῶν ε. ἄλλαι ἐὰν αἱ δύο συλλογιστικαὶ ἡ γη συνάγουσι μερικὸν καταφατικόν. ἔν τε τῷ τρίτῳ σχήματι. καὶ ἐν τῷ πρώτῳ δι' ἀντιστροφῆς τῆς ἐλάττονος.

ἐν μὲν

λογισμός. τὸ γὰρ ἀγαθὸν οὐδενὶ ἀλυσιτελεῖ. ταὐτὸν δὲ ἔστω ἡ τἀγαθόν, οὐδεμιᾷ ἀπονοίᾳ. ἡδονὴ πάσῃ ἀπονοίᾳ. τὸ ἀγαθὸν ἄρα οὐ πάσῃ ἡδονῇ. τὸ σχῆμα δεύτερον. ἀντιστρέψας δὲ τὴν ἐλάττονα. λέγω δὲ τὴν καταφατικήν, ποιήσεις τὸ πρῶτον σχῆμα.

» ΤΟΥ μὲν κατασκευαζομένου, βλεπτέον εἰς τὰ ὑποκείμενα, καθ' ὧν αὐτὸ τυγχάνει λεγόμενον. οὗ
» δὲ δεῖ κατηγορεῖσθαι, ὅσα τούτῳ ἕπεται. ἂν γάρ τι τούτων ᾖ ταὐτόν, ἀνάγκη θάτερον θατέρῳ ὑπάρ
» χειν. ἦν δὲ μὴ ὅτι παντὶ ἀλλ' ὅτι τινὶ οἷς ἕπεται ἑκάτερον. εἰ γάρ τι τούτων, ταὐτὸν ᾖ, ἀνάγκη τινὶ
» ὑπάρχειν. ὅταν δὲ μηδενὶ δέῃ ὑπάρχειν. ᾧ μὲν οὐ δεῖ ὑπάρχειν, εἰς τὰ ἑπόμενα. ὃ δὲ δεῖ μὴ ὑπάρχειν εἰς
» ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι ἢ ἀνάπαλιν. ᾧ μὲν δεῖ μὴ ὑπάρχειν ἢ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι. ὃ
» δὲ ὑπάρχειν, εἰς τὰ ἑπόμενα. τούτων γὰρ ὄντων τῶν αὐτῶν ὁποτερωνοῦν οὐδενὶ ἐνδέχεται θατέρῳ θάτε
» ρον ὑπάρχειν. γίνεται γὰρ ὁτὲ μὲν, ὁ ἐν τῷ πρώτῳ σχήματι συλλογισμός. ὁτὲ δὲ ὁ ἐν τῷ μέσῳ. ἐὰν
» δὲ τινὶ μὴ ὑπάρχειν, ᾧ μὲν δεῖ ὑπάρχειν οἷς ἕπεται. ὃ δὲ, μὴ ὑπάρχειν, ἃ μὴ δυνατὸν αὐτῷ ὑπάρχειν.
» εἰ γάρ τι τούτων εἴη ταὐτόν, ἀνάγκη τινὶ μὴ ὑπάρχειν.

Τοῦ μὲν κατασκευαζομένου λέγει. τοῦ κατηγορουμένου ὅρου. οὗ δὲ, δεῖ κατηγορεῖσθαι, τοῦ ὑποκειμένου. ἵνα δὲ σαφέστερόν τι τὸν λόγον ποιήσωμεν. καὶ τελείως ἐκθώμεθα τὸ διάγραμμα. ἐπ' αὐτῶν ψιλῶν τῶν στοιχείων αὐτὸ ἐκθησόμεθα, ἵνα μάθωμεν πόσαι γίνονται συμπλοκαί. καὶ ποῖαι μὲν δύνανται σύστασιν ἔχειν. ποῖαι δὲ οὔ. ἔστω οὖν τὸ μὲν α΄, ὁ κατηγορούμενος ὅρος. τὸ δὲ ε΄ ὁ ὑποκείμενος. τὸ δὲ β΄ τὰ τῷ κατηγορουμένῳ ἑπόμενα. τὸ δὲ γ΄ τὰ οἷς ἕπεται. τὸ δὲ δ΄ τὰ ἀλλότρια αὐτοῦ. ὁμοίως τὸ μὲν ζ΄ τὰ

ΑΣΥΣΤΑΤΟΣ.



Δέδεικται γὰρ διὰ πολλῶν ὅτι ἀνάγκη πᾶσα ὡς ἂν ἔχῃ τὸ συμπέρασμα, οὕτω καὶ τὰς προτάσεις ἔχειν, ἢ ἀμφοτέρας, ἢ τὴν ἑτέραν. ἔχεις δὲ ἐντεῦθεν τὴν αἰτίαν, δι' ἣν περὶ εὐπορίας συλλογισμῶν κεφάλαιον, οὔτε ἐν τοῖς τοπικοῖς παρέθετο. πῶς ἂν διαλεκτικῶν προτάσεων εὐπορήσομεν. οὔτε ἐν τοῖς ἀποδεικτικοῖς. πῶς ἂν εὐπορήσωμεν ἀποδεικτικῶν προτάσεων, οὔτε ἐν τοῖς σοφιστικοῖς. ἀλλ' ἐν τούτοις ἐκθέμενος πῶς ἂν πρὸς πᾶν εἶδος συλλογισμοῦ προτάσεων εὐπορήσομεν. διὰ τοῦτο γοῦν οὐ μόνον τὰ καθ' αὑτὸ ὑπάρχοντα ἐκτίθεσθαι ἡμᾶς προσέταξεν. ἀλλὰ καὶ τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα. καὶ τὰ ὡς ἐπὶ τὸ πολύ. καὶ τὰ ἀλλότρια. ἵνα ἔχωμεν ὕλην πρὸς πάντα συλλογισμὸν ἐκκείμενον, δῆλον ὅτι. εἰ μὲν ἀποδεικτικῶς συλλογίσασθαι βουληθῶμεν. ἐκ τῶν ὁρισμῶν καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τὰς προτάσεις ἐκλεγόμεθα. εἰ δὲ διαλεκτικῶς. λαμβάνομεν τὰ ὡς ἐπὶ τὸ πολὺ ὑπάρχοντα καὶ τὰ κατὰ δόξαν. εἰ δὲ σοφιστικῶς τὰ κατὰ συμβεβηκὸς κατηγορούμενα. καὶ γὰρ τὰ ὁμώνυμα ἐξ ὧν μάλιστα οἱ σοφιστικοὶ συλλογισμοί, συμβέβηκε τοιαῦτα εἶναι. καὶ τὰ ἀλλότρια δὲ συνοίσει εἰς τοῦτο. ἵνα μὴ τὸ ὄν, ὡς ὂν κατηγορῆται. μάλιστα δὲ τὰ ἀλλότρια παρέθετο, ὡς συνοίσοντα εἰς τοὺς ἀποφατικοὺς συλλογισμούς.

» ἜΤΙ τὰ πᾶσιν ἑπόμενα, οὐκ ἐκλεκτέον. οὐ γὰρ ἔσται συλλογισμὸς ἐξ αὐτῶν. δι' ἣν δὲ αἰτίαν, ἐν τοῖς
» ἑπομένοις ἔσται δῆλον.

Οὐ τοῦτό φησιν ὅτι οὐ δεῖ ἐκλέγειν τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα καὶ ἀπογράφεσθαι. δεῖ γὰρ ἀλλ' ὅτι εἰς τὸ χρήσασθαι μέσῳ ὅρῳ οὐκ ἐκλεκτέον τὰ ἀμφοτέροις ἅμα ἑπόμενα εἰ τὰ αὐτὰ εἴη. δείκνυσι γὰρ ἐφεξῆς, ὅτι ἐκ τούτων οὐ δυνατὸν συλλογίσασθαι ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν γινομένης τῆς συμπλοκῆς. δοκεῖ δὲ τοῦτο παρέλκειν ἐνταῦθα. ἐπειδὴ πῶς τὸ πῶς ἐκλεκτέον τὰ ὑπάρχοντα τοῖς ὅροις παραδίδωσι. καὶ οἷς αὐτοὶ ἕπονται. οὐ μέντοι πῶς αὐτοῖς χρηστέον. καὶ ὅτι οὐκ αὕτη μόνη ἐστὶν ἡ ἐκλογὴ ἄχρηστος. ἀλλὰ καὶ ἄλλαι δύο. ὅτε λαμβάνουσι τὰ ἀμφοτέροις ἀλλότρια. καὶ ἢ τὰ ὑποκείμενα μὲν τοῦ κατηγορουμένου. ἀλλότρια δὲ τοῦ ὑποκειμένου. αὐτὸς δὲ ταύτης μόνης ἐμνήσθη ἐνταῦθα.

» ΚΑΤΑΣΚΕΥΑΖΕΙΝ μὲν οὖν βουλομένοις κατά τινος ὅλου.

Εἰπὼν ὅπως δεῖ τὴν ἐκλογὴν ποιεῖσθαι τῶν ἑπομένων τοῖς ὅροις καὶ οἷς αὐτοὶ ἕπονται. ἔτι τε καὶ τῶν ἀλλοτρίων. ἐντεῦθεν φησὶν ὅπως δυνατὸν ἐκ τῶν ἀπογεγραμμένων ἕκαστον τῶν προβλημάτων κατασκευάζειν, τό τε καθόλου καὶ τὸ μερικόν. καὶ τὸ καταφατικὸν καὶ τὸ ἀποφατικόν. εἰ μὲν γὰρ τὸ καθόλου καταφατικὸν βουλόμεθά φησι κατασκευάσαι, ζητητέον εἴ τι τῶν ὑποκειμένων τῷ κατηγορουμένῳ ὅρῳ, τουτέστιν οἷς ἕπεται. καὶ τῶν ἑπομένων τῷ ὑποκειμένῳ. τουτέστι τῶν κατηγορουμένων αὐτοῦ ταὐτόν ἐστιν. καὶ ἐὰν ἐν τούτοις εὕρωμέν τι ταὐτόν, κατασκευάσομεν τὸ καθόλου καταφατικόν. οἷον ἐν τοῖς ὑποκειμένοις τῷ κατηγορουμένῳ. λέγω δὲ τῷ ἀγαθῷ ἐστὶ τὸ κατὰ φύσιν. πάλιν ἐν τοῖς ἑπομένοις τουτέστι κατηγορουμένοις τῇ ἡδονῇ ἐστὶ τὸ κατὰ φύσιν. συλλογιζόμεθα οὖν οὕτως. εἰ τὸ ἀγαθὸν παντὶ τῷ κατὰ φύσιν. ὑπόκειται γὰρ αὐτῷ. τοῦτο δὲ τὸ κατὰ φύσιν ταὐτόν ἐστι τῷ ἑπομένῳ τῇ ἡδονῇ. λέγω δὲ τὸ κατὰ φύσιν ὀρεκτῷ. τὸ ἀγαθὸν ἄρα παντὶ τῷ κατὰ φύσιν ὀρεκτῷ ὑπάρχει. ὅπερ τῆς ἡδονῆς κατηγορεῖται. τοῦτο δὲ πάσῃ ἡδονῇ ὑπάρχει. καὶ τὸ ἀγαθὸν ἄρα πάσῃ ἡδονῇ. οὕτω μὲν οὖν τὸ καθόλου. ἐὰν δὲ τὸ μερικὸν καταφατικὸν ζητῶμεν κατασκευάσαι. ἴδωμεν εἴ τι τῶν ὑποκειμένων, τῷ τε ὑποκειμένῳ καὶ τῷ κατηγορουμένῳ. τῷ ἀγαθῷ λέγω καὶ τῇ ἡδονῇ, ταὐτόν ἐστι. καὶ ἐὰν εὕρωμεν ὥσπερ ἔχομεν ἐν τούτοις τὸν κατ' ἀρετὴν βίον, τῇ αὐτῇ μεθόδῳ συνάξομεν τὸ μερικὸν καταφατικόν. διὰ τοῦ τρίτου σχήματος. ἀντιστρέψαντες δὲ τὴν ἐλάττονα πρότασιν, διὰ τοῦ α. ἐὰν δὲ τὸ καθόλου ἀποφατικὸν ζητῶμεν κατασκευάσαι. ἴδωμεν, εἴ τι τῶν ἀλλοτρίων τοῦ κατηγορουμένου. καὶ τῶν ἑπομένων τῷ ὑποκειμένῳ ταὐτόν ἐστιν. ὥσπερ ἐν τούτοις ἔχομεν τὸ ἀτελὲς καὶ τὴν κίνησιν. καὶ γὰρ πᾶσα κίνησις ἀτελής. πάλιν γὰρ ἐνταῦθα ἐπειδὴ τὸ ἀγαθὸν οὐδενὶ ἀτελεῖ. ταὐτὸν δὲ εἰπεῖν κινήσει. καὶ κίνησις δὲ πᾶσα ἡδονή. τὸ ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ. καὶ ἀνάπαλιν δὲ ποιήσαντές φησι τὸ αὐτὸ κατασκευάσαι δυνάμεθα. ἐὰν εὕρωμέν τι τῶν μὲν τοῦ ὑποκειμένου ἀλλοτρίων. τῶν δὲ τοῦ κατηγορουμένου ἑπομένων ταὐτόν. συνάξομεν γὰρ οὕτως ἐν δευτέρῳ σχήματι τὸ καθόλου ἀποφατικόν. ἔστω γὰρ ἀλλότριον τῆς ἡδονῆς τὸ ξ. ἑπόμενον δὲ τῷ ἀγαθῷ τὸ ν. ἐπειδὴ οὖν τὸ ξ οὐδεμιᾷ ἡδονῇ. ταὐτὸν δὲ τὸ ξ τῷ ν. τὸ ν ἄρα οὐδεμιᾷ ἡδονῇ. ἔστι δὲ καὶ παντὶ ἀγαθῷ. ἕπεται γὰρ αὐτῷ. τὸ ἀγαθὸν ἄρα οὐδεμιᾷ ἡδονῇ. δυνάμεθα δὲ τὸ αὐτὸ τοῦτο καὶ ἐν πρώτῳ σχήματι ποιῆσαι ἀντιστρέψαντες τήν τε ἀποφατικὴν πρότασιν καὶ τὸ συμπέρασμα. ἐπεὶ γὰρ τὸ ξ οὐδεμιᾷ ἡδονῇ. καὶ ἡδονὴ οὐδενὶ τῷ ξ. ταὐτὸν δὲ εἰπεῖν τῷ ν. τὸ δὲ ν παντὶ ἀγαθῷ. ἡ ἡδονὴ ἄρα οὐδενὶ ἀγαθῷ. ὥστε καὶ ἀντιστρέφει. ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ. ἐὰν δὲ τὸ μερικὸν ἀποφατικὸν ζητῶμεν. ἴδωμεν εἴ τι ἐστὶ ταὐτὸν τῶν ἀλλοτρίων τοῦ κατηγορουμένου καὶ τῶν ὑποκειμένων τοῦ ὑποκειμένου τουτέστιν οἷς ἕπεται. ὥσπερ ἐνταῦθα τὸ ἀλυσιτελές. καὶ ἡ ἀφιλοπονία. ἀπονία γάρ ἐστιν ἡ ἀφιλοπονία. ἢ καὶ ἁπλῶς εἴ τι εὕρωμεν ἐν τούτοις ταὐτόν. γίνεται δὲ ἐν τρίτῳ σχήματι ὁ συλλο-

ἀδιορίστως ἐκθέμεθα ἀκολουθεῖν πάσῃ ὑγιείᾳ ἡδονήν· μὴ μέντοι πάσαις. καὶ πάσῃ ἡδονῇ κίνησιν· μὴ μέντοι πάσαις κίνησιν. οὕτω γὰρ καὶ εἰώθαμεν τὰς προτάσεις ποιεῖσθαι πρὸς τοὺς συνδιαλεγομένους.

ΚΑΙ γὰρ ἄχρηστον θάτερον καὶ ἀδύνατον. οἷον πάντα ἄνθρωπον εἶναι πᾶν ζῶον. ἢ δικαιοσύνην, ἅπαν ἀγαθόν.

Καὶ διὰ τοῦτο δῆλον ὅτι ἄχρηστον καὶ ἀδύνατον. οὐδεὶς γὰρ προτείνει εἰ ἡ ψυχὴ πᾶν ἀθάνατόν ἐστιν. ἀλλ' ἁπλῶς ἀθάνατον. ποῖον δὲ θάτερον, τὸ τῷ κατηγορουμένῳ τὸν προσδιορισμὸν τὸν καθόλου συντάττειν.

ἈΛΛ' ᾧ ἕπεται ἐπ' ἐκείνου τῷ παντὶ λέγεται.

Τουτέστι τῷ ὑποκειμένῳ. τοῦτο γάρ ἐστιν ᾧ ἕπεται τὸ ἑπόμενον. τὸ γὰρ ἑπόμενον τουτέστι τὸ κατηγορούμενον ὡς καθολικώτερον.

ὍΤΑΝ δ' ὑπό τινος περιέχηται τὸ ὑποκείμενον, οὗ τὰ ἑπόμενα δεῖ λαβεῖν. τὰ μὲν τῷ καθόλου ἑπόμενα ἢ μὴ ἑπόμενα, οὐκ ἐκλεκτέον ἐν τούτοις. εἴληπται γὰρ ἐν ἐκείνοις. ὅσα γὰρ ζώῳ, καὶ ἀνθρώπῳ ἕπεται, καὶ ὅσα μὴ ὑπάρχει ὡσαύτως.

Ὑποκείμενον ἐνταῦθα λέγει οὐ πάντως τὸν ὑποκείμενον ὅρον. ἀλλ' ἁπλῶς τὸν προκείμενον. ᾧ δεῖ ζητῆσαι τὰ ἑπόμενα. ὁποῖος ἂν ᾖ εἴτε ὁ κατηγορούμενος, εἴτε ὁ ὑποκείμενος. Τί οὖν φησιν. ὅταν τινὶ ὅρῳ λαμβάνειν βουλώμεθα τὰ ἑπόμενα μὴ λάβωμεν καὶ τὰ τούτοις ἑπόμενα. ἐν γὰρ τοῖς πρώτοις ἔχομεν καὶ τὰ δεύτερα. οἷον, εἰ ζητοῦμεν τί ἕπεται τῷ ἀνθρώπῳ. εἶτα εὕρομεν ὅτι τὸ ζῶον. μὴ ζητήσωμεν καὶ τῷ ζώῳ ἑπόμενα. ἐν γὰρ τῷ λαβεῖν τὸ ζῶον, ἔχομεν δυνάμει καὶ τὰ τούτῳ ἑπόμενα. οἷον τὸ ἔμψυχον, τὸ αἰσθητικόν. τὸ σῶμα, τὴν οὐσίαν καὶ τὰ ὅμοια. ταῦτα μὲν τὰ τῷ καθόλου ἑπόμενα. τουτέστι τῷ ἑπομένῳ ᾧ ἐξεθέμεθα. τὰ γὰρ ἑπόμενα καθολικώτερά ἐστι τῶν οἷς ἕπεται. δι' ὃ κατηγορεῖται αὐτῶν. Καὶ ὅσα μὴ ὑπάρχει ὡσαύτως. Ὥσπερ φησὶν οὐ δεῖ λαμβάνειν τὰ τῷ ἑπομένῳ ἑπόμενα. οὕτως οὐ δεῖ λαμβάνειν οὐδὲ τὰ τῷ ἑπομένῳ ἀλλότρια. ὅσα γάρ ἐστιν ἀλλότρια τοῦ γένους. ταῦτα καὶ τοῦ εἴδους ἐξ ἀνάγκης. ὥστε ὡς ὁμολογούμενον τοῦτο οὐ δεῖ λαβεῖν.

ΤΑ δὲ περὶ ἕκαστον ἴδια ληπτέον. ἔστι γὰρ ἄττα τῷ εἴδει ἴδια παρὰ τὸ γένος. ἀνάγκη γὰρ τοῖς ἑτέροις εἴδεσιν, ἴδια ἄττα ὑπάρχειν.

Τὰ περὶ ἕκαστον ἴδια, τουτέστι τὰ περὶ ἕκαστον τῶν ὅρων τῶν προκειμένων ἡμῖν ἰδίως ἀλλότρια. ταῦτα δεῖ λαβεῖν. πρόκειται ἡμῖν ὅρος ὁ ἄνθρωπος, μὴ λάβωμεν τὰ ὡς ζώου ἀλλότρια. ἐν γὰρ τῷ λαβεῖν τὸ ζῶον ὡς ἑπόμενον, ἔχομεν ὁμολογημένον. ὅτι καὶ τὰ ἀλλότρια τοῦ ζώου καὶ τοῦ ἀνθρώπου ἐστὶν ἀλλότρια. λάβωμεν οὖν τὰ ἰδίως τοῦ ἀνθρώπου ἀλλότρια. οἷον τὸ ἄλογον. τὸ τετράπουν. καὶ τὰ ὅμοια. ἔχουσι γάρ φησι τὰ εἴδη ἰδιάζοντα ἀλλότρια. ἅπερ οὐκ ἔστι τοῦ γένους ἀλλότρια. τοῦ γὰρ ἀνθρώπου ἀλλότριον, τὸ ἄλογον τὸ τετράπουν οὐ μέντοι τοῦ γένους. ὅτι δὲ τοῦτο ἀνάγκη οὕτως ἔχειν. λέγω δὲ τὸ εἶναι ἀλλότριά τινα τῶν εἰδῶν, ἅπερ τῶν γενῶν οὐκ ἔστιν ἀλλότρια, ἐναργῶς κατεσκεύασεν εἰπών. ἀνάγκη γὰρ τοῖς ἑτέροις εἴδεσιν ἴδια ἄττα ὑπάρχειν. εἰ οὖν ἀντιδιαιροῦνταί φησιν ἀλλήλοις τὰ εἴδη. ἕτερά ἐστιν ἀλλήλων. πᾶσα δὲ ἀνάγκη ἔχειν τι ἕκαστον ὅπερ ἐστὶν ἀλλότριον τοῦ ἑτέρου. οἷον ὁ ἄνθρωπος, τοῦ ἵππου καὶ ἔμπαλιν. ταῦτα μέντοι ἅπερ ἔχουσι τὰ ἀντιδιαιρούμενα εἴδη ἀλλότρια ἀλλήλων, τοῦ γένους οὐκ ἔστιν ἀλλότρια. οὐδὲν γὰρ τῶν ὑπαρχόντων τοῖς εἴδεσιν ἀλλότριόν ἐστι τοῦ γένους.

ΟΥΔΕ δὴ τὸ καθόλου ἐκλεκτέον οἷς ἕπεται τὸ περιεχόμενον. οἷον ζώῳ, οἷς ἕπεται ἄνθρωπος. ἀνάγκη μὲν γὰρ εἰ ἀνθρώπῳ ἀκολουθεῖ τὸ ζῶον. καὶ τούτοις ἅπασιν ἀκολουθεῖν.

Ἵνα σαφεστέραν ποιήσωμεν τὴν λέξιν. δεῖ προσθέντας τι μικρὸν, οὕτως ἀναγνῶναι. οὐδὲ δὴ τῷ καθόλου ἐκλεκτέον ὡς ὑποκείμενα. οἷς ἕπεται τὸ περιεχόμενον. ὃ δὲ λέγει τοῦτό ἐστιν. ἐὰν φησὶ τοῦ ζώου προκειμένου ἡμῖν ζητῶμεν τίνι ἕπεται τὸ ζῶον. οὐ δεῖ λέγειν ὅτι τῷ φιλοσόφῳ ἢ τῷ σιμῷ. οὐ γὰρ δεῖ ταῦτα λαμβάνειν ὡς ὑποκείμενα τοῦ ζώου. ἀλλὰ δεῖ λέγειν ὅτι τῷ ἀνθρώπῳ ἕπεται. τούτῳ γὰρ προσεχῶς ἕπεται τὸ ζῶον. λαβόντων δὲ ἡμῶν ὅτι τῷ ἀνθρώπῳ ἕπεται. ἐξ ἀνάγκης συμπέρασμα εἴληπται τῷ ἀνθρώπῳ καὶ τὰ ὑπ' αὐτοῦ περιεχόμενα. λέγω δὴ τὸ σιμὸν καὶ τὸ φιλόσοφον καὶ τὰ ὅμοια. ὥσπερ οὖν ὅτε ἐζήτει τὰ ἑπόμενα τῷ πράγματι ἔλεγεν. ὅτι οὐ δεῖ λαμβάνειν καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα. οὕτω φησὶν οὐδὲ τὰ οἷς ἕπεται ζητοῦντα δεῖ λαβεῖν καὶ οἷς ταῦτα ἕπεται. ἔχομεν γὰρ αὐτὰ δυνάμει ἐν αὐτοῖς.

ΟΙΚΕΙΟΤΕΡΑ δὲ ταῦτα τῆς τοῦ ἀνθρώπου ἐκλογῆς. ληπτέον δὲ καὶ τὰ ὡς ἐπὶ τὸ πολὺ ἑπόμενα, καὶ οἷς ἕπεται. τῶν γὰρ ὡς ἐπὶ τὸ πολὺ προβλημάτων, καὶ ὁ συλλογισμὸς ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ προτάσεων ἢ πασῶν ἢ τινῶν.

Φανερὸν δ' ἂν τὸ μὲν τίσιν ὁ ἄνθρωπος ἕπεται. καὶ οὐ τίσι τὸ ζῶον. τότε ταῦτα ἑκάτερον ἔδει λαμβάνειν, προσεχῶς γὰρ περιέχει ὁ ἄνθρωπος τὸ φιλόσοφον. καὶ τὸ σιμὸν καὶ τὰ ὅμοια. ὥσπερ τὸ ζῶον προσεχῶς μὲν τὸν ἄνθρωπον, διὰ τοῦτο δὲ καὶ ἐκεῖνα.

ΟΜΟΙΟΝ γὰρ ἑκάστου τὸ συμπέρασμα ταῖς ἀρχαῖς.

Τῷ ἀνθρώπῳ ἕπεται τὸ ζῷον, τὸ λογικόν. ἕπεται δὲ ὁ ἄνθρωπος τῷ φιλοσόφῳ. τῷ γραμματικῷ. ἢ τῷ σιμῷ. ἢ τῷ σωκράτει. ἢ τῷ πλάτωνι.

» ΚΑΙ ὅσα μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν.

Ὅτι οὐχ ὑπάρχει τῷ ἀνθρώπῳ, τὸ ἀθάνατον. τὸ ἄλογον. τὸ πτερωτὸν καὶ τὰ ὅμοια.

» ΟΙΣ δ' αὐτὸ μὴ ἐνδέχεται, οὐκ ἐκληπτέον. διὰ τὸ ἀντιστρέφειν τὸ στερητικόν.

Οὐκ ἐκληπτέον φησὶ τίσιν ὁ ἄνθρωπος οὐχ ἕπεται. ὁ ἄνθρωπος εἴη τὸ προκείμενον εἰς σκέψιν. ἐν γὰρ τῷ λαβεῖν τίνα αὐτῷ οὐχ ἕπεται. ἔχομεν καὶ τίσιν αὐτὸς οὐχ ἕπεται. ἀντιστρέφει γὰρ πρὸς ἑαυτὴν ἡ καθόλου ἀποφατική. ᾧ γὰρ οὐδενὶ ἀνθρώπῳ ἕπεται τὸ ἄλογον ἢ τὸ ἀθάνατον. οὐδὲ ἄρα οὐδενὶ τούτων ἕπεται ὁ ἄνθρωπος ἐξ ἀνάγκης.

» ΔΙΑΙΡΕΤΕΟΝ δὲ καὶ τῶν ἑπομένων ὅσα τε ἐν τῷ τί ἐστι, καὶ ὅσα ἴδια, καὶ ὅσα συμβεβη-
» κότα κατηγορεῖται.

Εἰπὼν δεῖν ἐκλέγεσθαι τοὺς ὁρισμοὺς. καὶ τὰ ἴδια τοῦ πράγματος. καὶ τὰ ἑπόμενα αὐτῷ. διαίρεσιν νῦν τῶν ἑπομένων ποιεῖται. τῶν γὰρ ἑπομένων φησί. τὰ μέν ἐστιν οὐσιώδη. τὰ δὲ ἀνουσιώδη. καὶ τῶν ἀνουσιωδῶν. τὰ μὲν ἴδια. τὰ δὲ συμβεβηκότα. καὶ ταῦτα οὖν ἐκλεκτέον, καὶ σημειωτέον. ἕπεται γὰρ τῷ αἰθίοπι. τὸ ζῷον, τὸ γελαστικόν. τὸ μέλαν. ἀλλὰ τὸ μὲν ζῷον καθ' αὑτὸ καὶ οὐσιωδῶς. τὸ δὲ μέλαν κατὰ συμβεβηκός. τὸ δὲ γελαστικὸν ὡς ἴδιον. καὶ αὕτη δὲ τῶν ἰδίων ἐμνήσθη. ἀλλ' ἐκεῖ μὲν, ὡς ἀντιδιαστέλλων αὐτὰ τοῖς καθ' αὑτὸ ὑπάρχουσι. λέγω δὴ τοῖς οὐσιώδεσιν. ἐνταῦθα δὲ, ὡς τοῖς συμβεβηκόσιν ἀντιδιαστέλλων.

» ΚΑΙ τούτων, ποῖα δοξαστικῶς. καὶ ποῖα κατ' ἀλήθειαν.

Κατὰ ἀλήθειαν μὲν οὖν, ἕπεται τῇ ἡδονῇ ἡ κίνησις. καὶ τὸ ἐφετόν. κατὰ δόξαν δὲ, τὸ κατὰ φύσιν. οὐ γὰρ πᾶσα ἡδονὴ κατὰ φύσιν. ἡ οὖν τῶν ψωριώντων ἐκ τοῦ κνήθεσθαι ἡδονὴ οὐ κατὰ φύσιν. οὐδὲ μέντοι ἡ ῥᾳστώνη κατ' ἀλήθειαν ἕπεται τῇ ἡδονῇ ἀλλὰ κατὰ δόξαν. οὐ γὰρ πᾶσα ἡδονὴ ῥᾳστώνην ποιεῖ ἢ τὸ ἀνενόχλητον. οὐδὲ γὰρ ἡ τῶν ψωριώντων. ἀλλ' οὐδὲ ἡ αἰσχρὰ ἡδονή. αὕτη γὰρ μᾶλλον τὴν δυσχέρειαν. καὶ τὰς ἐκ τῶν παθῶν ὀχλήσεις. πάλιν ταῖς δὲ καὶ κατηγορίαις, ὡς εἴπομεν. κατὰ δόξαν μὲν ἕπεται τὸ ἓν καὶ τὸ ὄν. ἢ τὸ πάντα ἐξ ὕδατος εἶναι. ἢ πυρός. ἢ ἀέρος. οὐ μέντοι κατ' ἀλήθειαν.

» ΟΣΩ μὲν γὰρ ἂν πλειόνων τοιούτων εὐπορῇ τις, θᾶττον ἐντεύξεται συμπεράσματι. ὅσῳ δ' ἂν ἀλη-
» θεστέρων, μᾶλλον ἀποδείξει.

Τοιούτων, τουτέστιν ἡγουμένων καὶ ἑπομένων καὶ τῶν ἄλλων, ἅπερ εἴπομεν δὲ καὶ ταῦτα. Ὅσῳ δ' ἂν ἀλη-
» θέστερα. Τοσούτῳ μᾶλλον καὶ ἀποδείκνυμεν.

» ΔΕΙ δ' ἐκλέγειν, μὴ τὰ τινὶ ἑπόμενα. ἀλλ' ὅσα ὅλῳ τῷ πράγματι ἕπεται. οἷον μὴ τί τινι ἀν-
» θρώπῳ. ἀλλὰ τί παντὶ ἀνθρώπῳ ἕπεται. διὰ γὰρ τῶν καθόλου προτάσεων ὁ συλλογισμός.

Ἕπεται γὰρ τινὶ ἀνθρώπῳ, ὡς τῷ αἰθίοπι τὸ μέλαν. οὐ μέντοι παντί. καὶ τινὶ ἀνθρώπῳ τὸ ἐξαδάκτυλον. καὶ τινὶ ἡδονῇ τὸ κατὰ φύσιν. οὐ μέντοι πάσῃ. οὐ γὰρ δὴ καὶ τῇ τῶν κνησιώντων. τὸ παντὶ οὖν ἑπόμενόν φησιν ἐκλεκτέον. ἐπειδὴ τὰ ἑπόμενα κατηγορεῖται τούτων οἷς ἕπεται. δεῖ δὲ τὰ καθόλου κατηγορεῖσθαι. ἐπειδὴ καὶ καθολικῶν προτάσεων εἰς τοὺς συλλογισμοὺς δεόμεθα.

» ΑΔΙΟΡΙΣΤΟΥ μὲν γὰρ ὄντος, ἄδηλον εἰ καθόλου ἡ πρότασις. διωρισμένου δὲ, φανερόν.

Ὅτι οὐ μόνον οὐ δεῖ τὰ τινὶ ἀνθρώπῳ ἑπόμενα ἐκτίθεσθαι. ἀλλ' οὐδὲν ἀπροσδιόριστον ἐκτίθεσθαι τοῦτο τὸ ὑποκείμενον καὶ οὕτω τὰ ἑπόμενα αὐτῷ ζητεῖν. οἷον, ἄνθρωπος. ἀλλὰ πᾶς ἄνθρωπος. αἱ γὰρ ἀπροσδιόριστοι, ὡς ἐν τῷ περὶ ἑρμηνείας εἴρηται. ταῖς μερικαῖς ἰσοδυναμοῦσιν.

» ΟΜΟΙΩΣ δ' ἐκλεκτέον καὶ οἷς αὐτὸ ἕπεται ὅλοις διὰ τὴν εἰρημένην αἰτίαν.

Ὥσπερ, φησὶ τὰ ἑπόμενα τοῖς ὅροις καθολικὰ δεῖ λαμβάνειν. τουτέστι τὰ ὅλοις τοῖς ὑπὸ τὸν ὅρον κατηγορούμενα. οἷον πᾶσι τοῖς ὑπὸ τὸ ἀγαθόν. ἢ τὴν ἡδονὴν, οὕτω καὶ ὅταν λαμβάνωμεν τὰ οἷς, ἕπεται οὕτω δεῖ λαμβάνειν, ὡς πᾶσιν αὐτοῖς ἑπόμενα. οἷον πάσῃ εὐδαιμονίᾳ τὸ ἀγαθὸν καὶ πάσῃ ὑγείᾳ τὴν ἡδονήν. ἐὰν δὲ λάβωμεν ὡς ἑπόμενον ἀγαθὸν τῇ ἡδονῇ, οὐ καθόλου ἐλάβομεν. οὐ γὰρ πάσης ἡδονῆς τὸ ἀγαθὸν κατηγορεῖται. οὐ γὰρ δὴ καὶ τῆς τῶν κιναίδων καὶ τῶν ψωριώντων. καὶ τοῦτο οὖν καθόλου δεῖ λαμβάνειν διὰ τὴν αὐτὴν αἰτίαν, ἵνα καθολικὰς ποιῶμεν τὰς προτάσεις.

» ΑΥΤΟ δὲ τὸ ἑπόμενον, οὐ ληπτέον ὅλον ἕπεσθαι. λέγω δ' οἷον ἀνθρώπῳ πᾶν ζῷον. ἢ μουσι-
» κῇ πᾶσαν ἐπιστήμην.

Οὐ γὰρ δεῖ λέγειν ὅτι τῇ ἡδονῇ πᾶσα κίνησις ἕπεται. ἢ τῇ ὑγείᾳ πᾶσα ἡδονὴ, ἢ τῇ εὐεξίᾳ πᾶν ἀγαθόν. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστίν. ἢ τὸ ἐν τῷ περὶ ἑρμηνείας εἰρημένον. ὅτι τὸν προσδιορισμὸν οὐ δεῖ τῷ κατηγορουμένῳ συντάττειν. ἀλλὰ τῷ ὑποκειμένῳ. οὐ γὰρ δεῖ λέγειν ὅτι ἡ εὐεξία πᾶν ἀγαθόν ἐστιν. ἀλλὰ ἀνάπαλιν πᾶσα εὐεξία ἀγαθόν. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

» ΑΛΛ' ἁπλῶς μόνον ἀκολουθεῖν καθάπερ καὶ προτεινόμεθα

Ῥηθητικῷ ἀντὶ τοῦ ἐνεργητικοῦ ἐχρήσατο. βούλεται γὰρ εἰπεῖν ὅτι προτείνομεν. τί οὖν φησιν. ὅτι ἁπλῶς καὶ


ἀγαθὸν
Α

Ἀσυλλόγιστοι ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν.

ἡδονὴ
Ε

Τὰ ἀγαθῷ ἑπόμενα. αἱρετόν. διωκτόν. ἀγαθόν. λυσιτελές. συμφέρον.

Τὰ τῇ ἡδονῇ ἑπόμενα. κίνησις τελεία. ἐνέργεια κατὰ φύσιν. αἱρετόν. ἀνεμπόδιστος ζωή. τὸ κατὰ φύσιν ὀρεκτόν. τὸ ἀρεστόν. τὸ ἀνενόχλητον.



Ἀλλότρια. ἀτελές. φευκτόν. βλαβερόν. ἀσύμφορον. ζημιῶδες. κακόν. ἀλυσιτελές.

Ἀλλότρια. νόσος. φόβος. πόνος. ἀπορία. παρὰ φύσιν κίνησις. λύπη.

Οἷς ἕπεται. εὐδαιμονία. ἀρετὴ κατὰ φύσιν. εὐεξία. πλοῦτος. σωματικὸν ἀγαθόν. τὰ ἐκτὸς τὰ κατὰ φύσιν. ὁ κατ' ἀρετὴν βίος.

Οἷς ἕπεται ἡδονή. εὐπορία. εὐδοξία. ὑγίεια. εὐτεκνία. ὁ κατ' ἀρετὴν βίος. ἄπονος ζωή.

Ἔστιν οὖν τὸ μὲν ἐφ' ᾧ α τὸ ἀγαθόν, τουτέστιν ὁ κατηγορούμενος ὅρος. τὰ δὲ ἐφ' ᾧ β, τὰ ἑπόμενα αὐτῷ. ἅπερ ἐστὶν αὐτοῦ καθολικώτερα καὶ κατηγορεῖται αὐτοῦ. τὰ δὲ ἐφ' ᾧ τὸ γ, οἷς τὸ ἀγαθὸν ἕπεται. ἔστιν οὖν αὐτῶν καθολικώτερον τὸ ἀγαθὸν καὶ κατηγορεῖται αὐτῶν. τὰ δὲ ἐφ' ᾧ τὸ δ, τὰ ἀλλότρια τοῦ ἀγαθοῦ. ὧν καὶ αὐτὸ ἀποφάσκεται. καὶ αὐτὰ αὐτοῦ. πάλιν τὸ μὲν ἐφ' ᾧ ε ἡ ἡδονή. τουτέστιν ὁ ὑποκείμενος ὅρος ἐν τῷ προβλήματι. τὰ δὲ ἐφ' ᾧ τὸ ζ τὰ ἑπόμενα αὐτῇ. τὰ δὲ ἐφ' ᾧ τὸ η οἷς αὐτὸς ἕπεται. τὰ δὲ ἐφ' ᾧ τὸ θ, τὰ ἀλλότρια αὐτοῦ. ἐκεῖνο δὲ ἐπισημειώσασθαι ἀναγκαῖον. ὅτι ἐπειδὴ πολλά ἐστιν ἐξισάζοντα ὥσπερ τὸ ἀγαθὸν καὶ τὸ ἐφετόν. δῆλον δήπου ἐν τούτοις θάτερον θατέρῳ ἕπεσθαι ἂν λέγοιτο. καὶ γὰρ τὸ ἀγαθὸν ἐφετόν. καὶ τὸ ἐφετὸν ἀγαθόν. ἐν οὖν τοῖς τοιούτοις οὐδὲν διαφέρει πρὸς τὸ προκείμενον λαμβάνειν τὸ ἑπόμενον. εἰ μὲν γὰρ τὸ προκείμενον ἐν τῇ σκέψει εἴη τὸ ἀγαθόν, ληψόμεθα ὡς ἑπόμενον αὐτῷ τὸ ἐφετόν. εἰ δὲ τὸ ἐφετὸν εἴη τὸ προκείμενον, ὡς ἑπόμενον αὐτῷ τὸ ἀγαθὸν ληψόμεθα. καὶ οὕτως ἐπὶ τῶν ἄλλων πάντων. Ὑποτιθέμενος αὐτὸ πρῶτον. Τουτέστι τὸν προκείμενον ἡμῖν ἐν τῷ προβλήματι ὅρον. τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον. Καὶ τοὺς ὁρισμούς τε καὶ ὅσα ἴδια τοῦ πράγματός ἐστιν. Ἔστι γὰρ ὅτε καὶ τῶν ὁρισμῶν εἰς τὰς ἀποδείξεις δεόμεθα. τὰ δὲ ἴδια. οἷον τὸ γελαστικὸν τοῦ ἀνθρώπου. τὸ πλατυώνυχον. τὸ ὀρθοπεριπατητικόν. τὸ μόνον τῶν ζώων χερσὶ κεχρῆσθαι. ταῦτα δὲ ἅτε ἴδια ὄντα καὶ ἀντιστρέφοντα. καὶ ὡς ἑπόμενα δύναται εἶναι τοῦ ἀνθρώπου. καὶ ὅσοις αὐτὸς ἕπεται.

ΕΙΤΑ μετὰ ταῦτα καὶ ὅσα ἕπεται τῷ πράγματι. καὶ πάλιν οἷς τὸ πρᾶγμα αὐτὰ ἀκολουθεῖ. ἄυ τὸ

οὐ κατὰ συμβεβηκὸς, ἀληθέστερον λέγων. τῶν γὰρ κατηγοριῶν φησιν ἐν ἑκάσταις. αἱ μέν εἰσι κατὰ φύσιν. αἱ δὲ παρὰ φύσιν. αἱ δὲ κατὰ συμβεβηκός. καὶ κατὰ φύσιν μὲν, ὡς ὅταν ἢ τὰ καθολικώτερα τῶν μερικωτέρων κατηγορῶμεν, ὡς τὸν ἄνθρωπον, Καλλίου. καὶ τὸ χρῶμα λευκοῦ. ἢ τὰ συμβεβηκότα τῶν οὐσιῶν, ὡς ὅταν λέγωμεν ὁ σωκράτης φιλόσοφός ἐστιν ἢ σιμός. παρὰ φύσιν δὲ, ὡς ὅταν τὰς οὐσίας τῶν συμβεβηκότων κατηγορῶμεν. ἢ ἐνταῦθα εἴτε κατὰ συμβεβηκός. ὡς ὅταν εἴπω ὅτι τὸ προσιὸν φαλακρὸν, σωκράτης ἐστί. κατὰ συμβεβηκὸς δὲ, ὡς ὅταν συμβεβηκὸς συμβεβηκότος κατηγορῶμεν. ὡς ὅταν εἴπωμεν. ὅτι τὸ φαλακρὸν ἐκεῖνο, φιλόσοφός ἐστι. συμβέβηκε γὰρ τῷ φαλακρῷ φιλοσόφῳ εἶναι.

» ΟΤΙ δὲ καὶ ἐπὶ τὸ ἄνω πορευομένοις ἵσταταί ποτε, πάλιν ἐροῦμεν. νῦν δὲ ἔστω τοῦτο κείμενον.

Ω' ὥσπερ φησὶν ἐπὶ τὸ κάτω πορευόμενοι, ἐπειδὰν ἔλθωμεν εἰς τὰ μερικώτατα, οὐκέτι ἔχομεν κατὰ τίνος αὐτὰ κατηγορήσομεν. ἀλλὰ μένουσι μόνως ὑποκείμενα, ὡσαύτως καὶ ἐπὶ τὸ ἄνω ἀνιόντες, τουτέστιν ἐπὶ τὰ καθολικώτερα, ἐμπίπτομεν εἴς τινα. ὧν οὐκέτι καθολικώτερα εὑρεῖν δυνάμεθα. ὥστε κατηγορεῖν αὐτὰ κατὰ τούτων. ἀλλὰ μένουσι ταῦτα μόνως κατηγορούμενα. ταῦτα δέ εἰσιν αἱ δέκα κατηγορίαι. τοῦτο οὖν φησιν ὅτι οὕτως ἔχει, λέγω δὴ ὅτι ἔστι τινὰ καθολικώτατα μὴ ἔχοντα ἐπέκεινα ἑαυτῶν. ἄλλα τινὰ, δείξομεν ἐν ἑτέροις. ἔδειξε γὰρ ἐν τῇ ἀποδεικτικῇ ὅτι οὐκ ἐπ' ἄπειρον πρόεισιν αἱ κατηγορίαι, ἀλλ' ἀνάγκη ἵστασθαι καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω. νῦν δὲ τοῦτο ὡς ὁμολογημένον εἰλήφθω φησί.

» ΚΑΤΑ μὲν οὖν τούτων, οὐκ ἔστιν ἀποδεῖξαι κατηγορούμενον ἕτερον. πλὴν εἰ μὴ κατὰ δόξαν.
» ἀλλὰ ταῦτα, κατ' ἄλλων. οὐδὲ τὰ καθ' ἕκαστα κατ' ἄλλων, ἀλλ' ἕτερα κατ' ἐκείνων. τὰ δὲ μεταξὺ, δῆλον ὡς ἀμφοτέρως ἐνδέχεται. καὶ γὰρ καὶ αὐτὰ, κατ' ἄλλων. καὶ ἄλλα κατὰ τούτων λεχθήσεται.

Α' ληθῶς μέν φησιν οὐδέν ἐστι τῶν δέκα κατηγοριῶν κατηγορούμενον. πλὴν εἰ μὴ δόξα τις κεκράτηκεν οὐκ ἀληθὴς παρά τισιν. ἐδόκει μὲν γάρ τισι τὸ ὂν ὡς γένος κατηγορεῖσθαι τῶν δέκα κατηγοριῶν. ἐδείχθη δὲ τοῦτο ἐν κατηγορίαις οὐκ ἀληθὲς ὄν. ἀλλ' ὅτι ὁμώνυμός ἐστι φωνὴ τὸ ὂν εἰς διάφορα σημαινόμενα διαιρουμένη. πάλιν καὶ τὸ ἓν, τινὲς ἐδόξασαν αὐτῶν κατηγορεῖσθαι. ὅπερ οὐδὲ αὐτὸ γένος ἐστίν. ἀλλ' ὥσπερ καὶ τὸ ὄν. ἀλλὰ καὶ οἱ ἕν τι τῶν στοιχείων ἀρχὴν ὑποτιθέμενοι. ἢ τὸ πῦρ ἢ ἄλλό τι παρὰ ταῦτα. τοῦτο γὰρ δῆλον. ὅτι ὡς γένος τῶν δέκα κατηγοριῶν κατηγορήσουσιν.

» ΚΑΙ σχεδὸν οἱ λόγοι καὶ αἱ σκέψεις εἰσὶ μάλιστα περὶ τούτων.

Ε ἰκότως. οἱ γὰρ συλλογισμοὶ καὶ αἱ ἀποδείξεις ζητοῦσί τι τινὸς κατηγορεῖται. ἢ οὐ κατηγορεῖται. οἷον τῆς ψυχῆς τὸ ἀθάνατον κατηγορεῖται ἢ οὔ. τὰ τοίνυν γενικώτατα ἅτε ἄλλα μὴ ἔχοντα ἑαυτῶν κατηγορούμενα, οὐδεμίαν τοιαύτην ζήτησιν ἔχει. τὰ δὲ μερικώτατα. πάλιν ἅπερ ἐστὶ τὰ αἰσθητά. ἐπειδὴ μόνως ὑπόκειται, ὁμοίως οὐδὲν ἔχει τοιοῦτο ζήτημα. τὰ δὲ μέσα. ἐπειδὴ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι πέφυκε, ταῦτα ἔχει τὴν ζήτησιν. τί τινος ἢ κατηγορεῖται ἢ οὐ κατηγορεῖται.

» ΔΕΙ δὲ τὰς προτάσεις τὰς περὶ ἕκαστον τούτων, οὕτως ἐκλαμβάνειν. ὑποτιθέμενον αὐτὸ πρῶτον,
» καὶ τοὺς ὁρισμοὺς καὶ ὅσα ἴδια τοῦ πράγματός ἐστι.

Ε ἰπὼν περὶ τίνων αἱ ἀποδείξεις καὶ τὰ προβλήματα, ὅτι περὶ τῶν μεταξὺ ἃ πέφυκε κατηγορεῖσθαί τε τινῶν καὶ ὑποκεῖσθαι ἀλλήλοις, ἐντεῦθεν λοιπόν. τὰς μεθόδους ἡμῖν παραδίδωσι τῆς εὑρέσεως τῶν προτάσεων τοῦ προτεθέντος προβλήματος. διό φησιν. ὅταν βουλώμεθά τι ὑπάρχον ἢ μὴ ὑπάρχον κατασκευάσαι. ἐκτίθεσθαι πρῶτον αὐτὸν τὸν κατηγορούμενον ὅρον καὶ τὸν ὑποκείμενον. οἷον ζητοῦμεν δεῖξαι. ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι. σημειωτέον τότε ἀγαθὸν καὶ τὴν ἡδονὴν αὐτὰ ζητητέον. καὶ σημειωτέον τὸ τί ἑκατέρῳ αὐτῶν ἕπεται. οἷον ὅτι τῷ μὲν ἀγαθῷ τὸ ὠφέλιμον καὶ τὸ αἱρετόν. καὶ τὰ ἄλλα τὰ ἐν τῷ διαγράμματι. τῇ δὲ ἡδονῇ ἡ κίνησις. ἡ ἐνέργεια ἡ κατὰ φύσιν καὶ τὰ λοιπά. πάλιν φησὶν ἐκλεκτέον καὶ οἷς ἕπεται ἑκάτερον τούτων. οἷον τὸ μὲν ἀγαθὸν ἕπεται, τῇ εὐδαιμονίᾳ καὶ τοῖς λοιποῖς. ἡ δὲ ἡδονὴ τῇ ὑγείᾳ καὶ τοῖς λοιποῖς. δῆλον δὲ ὅτι τὰ μὲν ἑπόμενά τινι, ἢ ἐπὶ πλεῖόν ἐστιν, ἢ ἐξισάζει. ἕπεται γὰρ τῷ ἀνθρώπῳ. καὶ τὸ ζῷον ἐπὶ πλέον. καὶ τὸ γελαστικὸν ἐπίσης. ὥστε ἐν κατηγορουμένοις τετάξεται. τὰ δὲ οἷς ἕπεται ἢ ἐπίσης ἢ ἐπ' ἔλαττον. καὶ γὰρ καὶ τῷ γελαστικῷ ἐπίσης ὄντι ἕπεται. καὶ τῷ φιλοσόφῳ ἢ γραμματικῷ ἐπ' ἔλαττον ὄντι. ὥστε καὶ τὰ οἷς, ἕπεταί τι ἐν ὑποκειμένου μοίρᾳ αὐτῷ τετάξεται. ἔτι φησὶν ἐκλεκτέον. καὶ τὰ τῶν τούτων ἀλλότρια. οἷον τοῦ μὲν ἀγαθοῦ τὸ ἀπλέες. τὸ φευκτόν. τῆς δὲ ἡδονῆς, ἡ νόσος. ὁ πόνος, ταῦτα γὰρ οὕτως ἐκλεξαμένοις, ῥᾳδία ἔσται ἡ τῶν προτάσεων εὕρεσις. ὡς ἐν τοῖς ἑξῆς δειχθήσεται. ἐκθέμενοι οὖν ἡμεῖς ὡς ἐπὶ τούτων τῶν ὅρων. λέγω δὴ τοῦ ἀγαθοῦ καὶ τῆς ἡδονῆς. χαρακτῆρα τοῦ διαγράμματος, τὴν λέξιν αὐτὴν ἐπισκεψόμεθα.

ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΩΝ ΠΡΟΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΠΩΣ δ' εὐπορήσομεν αὐτοὶ πρὸς τὸ τιθέμενον ἀεὶ συλλογισμῶν, καὶ διὰ ποίας ὁδοῦ ληψόμεθα τὰς περὶ ἕκαστον ἀρχάς, νῦν ἤδη λεκτέον. οὐ μόνον γὰρ ἴσως δεῖ θεωρεῖν τὴν γένεσιν τῶν συλλογισμῶν, ἀλλὰ καὶ τὴν δύναμιν ἔχειν τοῦ ποιεῖν.

Πέρας ἔχει τὸ πρῶτον τοῦ βιβλίου τμῆμα, ἐν ᾧ περὶ τῆς γενέσεως τῶν συλλογισμῶν ἡμῖν διελέχθη. νῦν λοιπὸν τοῦ β' μέρους ἄρχεται, ἐν ᾧ διδάσκει πῶς ἄν τι ἐπὶ προβλήματος ἡμῖν τιθεμένου, εὐπορῆσαι προτάσεων τῶν κατασκευαζουσῶν τὸ τεθέν. οἷον εἴ τις ἡμῖν προβάλλοιτο πόθεν δῆλον, ὅτι ἡ ψυχὴ ἀθάνατος. τίνι χρησάμενοι μεθόδῳ προτάσεις εὑρεῖν δυνησόμεθα, ἃς συμπλέξαντες ἀλλήλαις τὸ προκείμενον κατασκευάσομεν. ἐπιστήμονος γάρ ἐστι, μὴ μόνον τὰ εἴδη τῶν ὑποβεβλημένων αὐτῷ πραγμάτων ἐπίστασθαι, ἀλλὰ καὶ τὴν ὕλην τὴν ἐπιτηδείαν εἰς καταδοχὴν τῶν τοιούτων εἰδῶν ἐκλέγεσθαι. οἷον ὁ ναυπηγὸς τὰ ἐπιτήδεια εἰς κατασκευὴν τοῦ πλοίου ξύλα· καὶ ὁ οἰκοδόμος τοὺς ἐπιτηδείους εἰς οἰκοδομίαν λίθους, καὶ ἐπὶ πάντων ὡσαύτως. οὕτως οὖν καὶ ὁ Ἀριστοτέλης, τὰ εἴδη τῶν συλλογισμῶν ἡμῖν παραδούς· εἴδη δὲ τῶν συλλογισμῶν τὰ συμπεράσματα· καὶ εἰπὼν ποῖον ἐν ἑκάστῳ συλλογισμῷ γίνεται τὸ συμπέρασμα ἔν τε τοῖς ἁπλοῖς καὶ ἐν τοῖς μικτοῖς· νῦν λοιπὸν διδάσκει πῶς τὰς εἰς ἕκαστον συμπέρασμα προτάσεις εὑρεῖν δυνησόμεθα. ὕλη δὲ τῶν συλλογισμῶν αἱ προτάσεις. πρὶν δὲ τὴν μέθοδον ἡμῖν ταύτην παραδοῦναι, ζητεῖ πρότερον περὶ ὧν ὅλως πεφύκαμεν συλλογίζεσθαι. διχῇ γάρ φησι τῶν πραγμάτων διῃρημένων· καὶ τῶν μὲν καθολικωτάτων ὄντων ἀεὶ κατὰ ἄλλων κατηγορουμένων, μηδέποτε δὲ ὑποκειμένων ἄλλοις εἰς κατηγορίαν· οἷά ἐστι τὰ γενικώτατα· λέγω δὲ αἱ δέκα κατηγορίαι· τῶν δὲ μηδέποτε κατ' ἄλλου κατηγορουμένων κυρίως, ἀεὶ δὲ ὑποκειμένων· οἷά ἐστι τὰ μερικὰ καὶ ἄτομα πάντα· τῶν δὲ μέσως ἐχόντων, καὶ ποτὲ μὲν κατηγορουμένων τινῶν, ποτὲ δὲ ὑποκειμένων ἄλλοις εἰς κατηγορίαν· ζητητέον περὶ τίνων οἱ συλλογισμοὶ καὶ αἱ σκέψεις ἡμῖν εἰσι. δῆλον δὲ ὡς σχεδὸν περὶ μόνα τὰ μέσα. εἰ γὰρ ὁ συλλογισμὸς βούλεται ζητεῖν τι κατά τινος ἢ ἀπό τινος ὑπάρχον, τὰ δὲ γενικώτατα οὐκ ἔχουσιν ἑαυτῶν ἕτερα κατηγορούμενα, δῆλον ὅτι οὐχ ἕξει τις περὶ τούτων συλλογίσασθαι. αἱ γὰρ περί τινων σκέψεις πότερον τόδε τῷδε ὑπάρχει ἢ οὐχ ὑπάρχει· οἷον τῇ ψυχῇ ἀθανασία ἢ οὔ. ὥστε καὶ τὰ περὶ τῶν γενικωτάτων προβλήματα, ὅπερ ἐστί, περὶ τούτων ἂν εἴη· οἷον εἰ ἡ οὐσία τυχὸν γέγονεν, ἢ ἀγένητός ἐστιν. ὥστε εἰ μηδέν ἐστι τῶν καθολικωτάτων γενῶν κατηγορούμενον, ἐπεὶ μηδὲν καθολικώτερον, οὐδὲ πρόβλημα ἂν εἴη περὶ ἐκείνων οὐδὲ συλλογισμός. πλὴν ἀπορίας περὶ τούτων γίνεται πρόβλημα. ποῖα δὲ καὶ πῶς, αὐτὸ διδάξει. ἀλλὰ μέντοι ὅτι ἑτέροις ὑπάρχει ἢ οὐχ ὑπάρχει, δυνατὸν συλλογίσασθαι. περὶ δὲ τῶν καθ' ἕκαστα, ὁμοίως οὐδεὶς συλλογίζεται· οἷόν τι ὑπάρχει ἢ οὐχ ὑπάρχει Σωκράτει ἢ Πλάτωνι. αἰσθητὰ γὰρ ταῦτα· τὰ δὲ αἰσθητά, αἰσθήσει ληπτά, οὐ λόγῳ. εἰ γάρ τις περὶ Σωκράτους παραβαίη ἀποδεικνύναι ὅτι λευκὸς ἢ σιμός, πρὸς τῷ μὴ ἔχειν ὕλην ἐπιτηδείαν εἰς συλλογισμοῦ γένεσιν, καὶ ἀσαφέστερον ποιήσει τὸ πρᾶγμα τῆς δι' αἰσθήσεως ἀντιλήψεως. ὥστε τὰ προβλήματα καὶ οἱ συλλογισμοί, ὡς ἐπίπαν περὶ τῶν μεταξὺ γίνονται. Τὰς περὶ ἕκαστον ἀρχάς. Τουτέστι τὰς προτάσεις τὰς περὶ ἕκαστον πρόβλημα.

ΑΠΑΝΤΩΝ δὴ τῶν ὄντων, τὰ μέν ἐστι τοιαῦτα, ὥστε κατὰ μηδενὸς ἄλλου κατηγορεῖσθαι, ἀληθῶς καθόλου. οἷον, Κλέων καὶ Καλλίας. καὶ τὸ καθ' ἕκαστον καὶ αἰσθητόν. κατὰ δὲ τούτων, ἄλλα. καὶ γὰρ ἄνθρωπος καὶ ζῷον ἑκάτερον τούτων ἐστί. τὰ δὲ αὐτὰ μὲν, κατ' ἄλλων κατηγορεῖται. κατὰ τούτων δέ, ἄλλα πρότερον οὐ κατηγορεῖται. τὰ δὲ καὶ αὐτά, ἄλλων. καὶ αὐτῶν ἕτερα. οἷον ἄνθρωπος Καλλίου. καὶ ἀνθρώπου ζῷον. ὅτι μὲν οὖν ἔνια τῶν ὄντων κατ' οὐδενὸς πέφυκε λέγεσθαι, δῆλον. τῶν γὰρ αἰσθητῶν σχεδὸν ἕκαστόν ἐστι τοιοῦτον.

Οὐδὲν γὰρ τῶν μερικῶν πέφυκε κατ' ἄλλου κατηγορεῖσθαι πλὴν κατὰ συμβεβηκός, ὡς ἐφεξῆς λέξομεν. καὶ τοῦτο οὐ καθόλου ἀλλὰ μερικῶς. ἐὰν γὰρ εἴπω ὅτι πᾶς ἄνθρωπος Σωκράτης ἐστὶν ἢ Πλάτων, δῆλον ὅτι ψευδὴς ἡ τοιαύτη κατηγορία. προσέθηκε δὲ καὶ τὸ αἰσθητόν, διότι πάντα τὰ αἰσθητά, μερικά ἐστι. καὶ αὐτὰ μὲν ὑπόκειται ἄλλοις εἰς κατηγορίαν, καὶ τοῖς καθόλου καὶ τοῖς συμβεβηκόσιν. αὐτὰ δὲ ἄλλων οὐ κατηγορεῖται, εἰ μὴ ἢ παρὰ φύσιν, ὡς ὅταν εἴπω, τὸ φαλακρὸν τοῦτο Σωκράτης ἐστίν. ἢ κατὰ συμβεβηκός, ὡς ὅταν εἴπω, τὸ φαλακρὸν τοῦτο φιλόσοφός ἐστι.

ΩΣΤΕ μὴ κατηγορεῖσθαι κατὰ μηδενός, πλὴν ὡς κατὰ συμβεβηκός. φαμὲν γάρ ποτε τὸ λευκὸν ἐκεῖνο Σωκράτην εἶναι, καὶ τὸ προσιόν, Καλλίαν.

Οὐδέν φησι τῶν μερικῶν κατ' ἄλλου κατηγορεῖται, εἰ μὴ κατὰ συμβεβηκός, ὡς ὅταν λέγωμεν ὅτι τὸ φαλακρὸν ἐκεῖνο, Σωκράτης ἐστίν. ἰστέον ὅτι ἐν τῇ φυσικῇ ταύτην τὴν κατηγορίαν παρὰ φύσιν εἶπεν εἶναι

τοῦ μερικοῦ. ἐὰν τε γὰρ δείξω ὅτι οὐδενὶ ἢ οὐ παντὶ, ἀνῄρηκα ὅτι παντί. πάλιν τὸ καθόλου ἀποφατικὸν, κατασκευάζεται μὲν μόνως δι' ἑαυτοῦ. ἀνασκευάζεται δὲ διὰ τοῦ καθόλου καταφατικοῦ, καὶ διὰ τοῦ μερικοῦ. ἐὰν γὰρ δείξω ὅτι ἢ παντὶ ἢ τινὶ ἀνῄρηκα τὸ οὐδενί. τὸ δὲ μερικὸν ἀποφατικὸν ἀνασκευάζεται διὰ μόνου τοῦ καθόλου καταφατικοῦ. κατασκευάζεται δὲ ἐν πᾶσι τοῖς σχήμασι. καὶ διὰ πλειόνων τρόπων. ὥστε τὸ μὲν καθόλου καταφατικὸν. πρὸς μὲν κατασκευὴν, δυσχερὲς δι' ἑνὸς μὲν γὰρ τρόπου καὶ σχήματος κατασκευάζεται. πρὸς ἀνασκευὴν δὲ εὔχερος, διότι καὶ τῷ καθόλου ἀποφατικῷ καὶ τῷ μερικῷ ἀναιρεῖται. ὃν τὸ μὲν καθόλου ἐν δύο σχήμασι δείκνυται. ἅπαξ μὲν ἐν τῷ α'. δὶς δὲ ἐν τῷ β'. τὸ δὲ μερικὸν ἀποφατικὸν, ἐν πᾶσι τοῖς σχήμασι. καὶ ἐν μὲν τῷ α', ἅπαξ. ἐν δὲ τῷ β', δίς. ἐν δὲ τῷ τρίτῳ τρίς. ὁμοίως τὸ καθόλου ἀποφατικὸν, μᾶλλον μὲν εὔχερὲς κατασκευάσαι, ἧττον δὲ ἀνασκευάσαι. διὰ τὰς αὐτὰς αἰτίας. τρίτην ἔχει τάξιν τὸ μερικὸν καταφατικόν. καὶ τετάρτην, τὸ μερικὸν ἀποφατικόν.

» ΚΑΙ γὰρ ἐὰν μηδενί. καὶ ἐὰν τινὶ μὴ ὑπάρχει ἀνῄρηται. τούτων δὲ τὸ μὲν, τινὶ μὴ, ἐν ἅπασι τοῖς σχή-
» μασι δείκνυται. τὸ δὲ μηδενὶ, ἐν τοῖς δυσί.

Δῆλον ὅτι τὸ καθόλου καταφατικόν. τοῦτο γάρ ἐστι τὸ δι' ἀμφοτέρων τῶν ἀποφατικῶν ἀναιρούμενον. καὶ τοῦ καθόλου καὶ τοῦ μερικοῦ.

» ΤΟΝ αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν στερητικῶν.

Τὸν αὐτὸν τρόπον τὸ μὲν καθόλου πρὸς κατασκευὴν μὲν δυσχερέστερον τοῦ μερικοῦ, πρὸς ἀνασκευὴν δὲ εὐχερέστερον.

» ΚΑΙ γὰρ εἰ παντὶ καὶ εἰ τινὶ, ἀνῄρηται τὸ ἐξ ἀρχῆς. τοῦτο δ' ἐὰν ἐν δύο σχήμασιν. ἐπὶ δὲ τῶν ἐν μέ-
» ρει μοναχῶς. ἢ παντὶ ἢ μηδενὶ δείξαντα ὑπάρχειν κατασκευάζοντι δὲ ῥᾴω τὰ ἐν μέρει. καὶ γὰρ ἐν πλείο-
» σι σχήμασι καὶ διὰ πλειόνων πτώσεων.

Τουτέστι τὸ καθόλου ἀποφατικόν. τοῦτο γὰρ δι' ἀμφοτέρων τῶν καταφατικῶν ἀναιρεῖται. καὶ τοῦ καθόλου. καὶ τοῦ μερικοῦ. καὶ τοῦτο βουλόμενος σημαίνειν. λέγω δὴ τὸ καθόλου ἀποφατικὸν, ἐπήγαγε. τοῦτο δὲ ἐὰν ἐν δυσὶ σχήμασι.


» ΟΛΩΣ τε, οὐδὲ λανθάνειν. ὅτι ἀνασκευάσαι μὲν δι' ἀλλήλων ἐστὶ καὶ τὸ καθόλου διὰ τῶν ἐν μέ-
» ρει. καὶ ταῦτα διὰ τῶν καθόλου, κατασκευάσαι δ' οὐκ ἔστι διὰ τῶν κατὰ μέρος τὰ καθόλου. δι' ἐκείνων
» δὲ ταῦτά ἐστιν.


Ὅτι φησὶ μᾶλλον τῶν καθόλου τὰ μερικά. δυνατὸν κατασκευάσαι. ἀνασκευάσαι δὲ δυσχερέστερον, καὶ τῷ λόγῳ, πρόδηλόν ἐστι. ὅτι τὰ μὲν μερικὰ κατασκευάζεται καὶ δι' ἑαυτῶν καὶ διὰ τῶν καθόλου. δι' ἑαυτῶν μὲν, ὡς ὅταν δείξω ὅτι τὶ ζῷον, ἄνθρωπος. καὶ οὐ πᾶν ζῷον ἄνθρωπος. διὰ τῶν καθόλου δὲ, ὡς ὅταν δείξω ὅτι πᾶς ἄνθρωπος ζῷον. ὁ γὰρ πᾶς. δηλονότι καὶ τίς. καὶ πάλιν ὅταν δείξω ὅτι οὐδεὶς λίθος ἄνθρωπος. δῆλον ὅτι καὶ οὐ πᾶς. ἀναιρεῖται γὰρ πολλάκις πῶς λαμβανέται ἡ μερικὴ ἀποφατική. κατασκευάζεται μὲν διχῶς τὰ μερικά. ἀνασκευάζεται δὲ μόνως διὰ τῶν καθόλου. τὸ μὲν τὶς, διὰ τοῦ οὐδείς. καὶ τὸ οὐ πᾶς, διὰ τοῦ πᾶς. τὰ μέντοι καθόλου, κατασκευάζεται μὲν μόνως δι' ἑαυτῶν. ἀνασκευάζεται δὲ καὶ δι' ἑαυτῶν, καὶ διὰ τῶν μερικῶν. τὸ μὲν πᾶς, διὰ τοῦ οὐδεὶς καὶ οὐ πᾶς. τὸ δὲ οὐδεὶς, διὰ τοῦ πᾶς καὶ τίς.

» ΑΜΑ δὲ δηλονότι καὶ τὸ ἀνασκευάζειν ἐστὶ τοῦ κατασκευάζειν ῥᾷον. πῶς μὲν οὖν γίνεται πᾶς
» συλλογισμὸς, καὶ διὰ πόσων ὅρων καὶ προτάσεων καὶ πῶς ἐχουσῶν πρὸς ἀλλήλας. ἔτι δὲ ποῖον πρό-
» βλημα ἐν ἑκάστῳ σχήματι, καὶ ποῖον ἐν πλείοσι καὶ ποῖον ἐν ἐλάττοσι δείκνυται δῆλον ἐκ τῶν εἰ-
» ρημένων.

Οὐ καθόλου δὲ ἐκλαβεῖν τοῦτο, ἐπεὶ ψευδὴς ἔσται ὁ λόγος. τὰ γὰρ μερικὰ μᾶλλον κατασκευάζεται. ἢ ἀνασκευάζεται, ὡς δέδεικται. ὥστε ἐπὶ τῶν καθόλου, τοῦτο ἀληθεύει μόνον.

μὴ ἐπιπᾶσι ἐν τούτοις τὰ ἕτερα ἢ τὰ ἐναντία. οὐδὲν γὰρ συμβάλλεται εἰς τὸ προκείμενον, τὸ γινώσκειν ταῦτα. ὥστε κατὰ ταύτην τὴν γραφὴν ὡς πόρισμα ἔσται τοῦτο συνημμένον. ποῖα ὄντα ἕτερα ἢ τὰ ἐναντία φέρε εἰπεῖν. εἰ δὲ ἐλάβομεν τὸ γ΄ καὶ τὸ ζ΄ ταυτὸν, ἔσται τὸ δ τῷ ζ΄ ἐναντίον ἢ ἕτερον. ἐπειδὴ καὶ τῷ γ΄ ἀλλότριον. πάλιν εἰ τὸ γ΄ καὶ τὸ θ΄ ταυτὸν, τὸ δ καὶ τὸ θ ἕτερα ἔσονται ἢ ἐναντία. εἰ γὰρ τὸ μὲν α παντὶ τῷ γ΄ τουτέστι τῷ θ΄. τὸ δὲ δ οὐδενὶ τῶν α. οὐδὲ τῶν θ΄ ἄρα οὐδενὶ τὸ δ. τὰ ἄρα δ θ΄ ἢ ἐναντία ἢ ἀλλότρια ἀλλήλων. εἰ δὲ τὸ γ΄ ἢ ταυτὸν ἢ τὸ μὲν γ΄ τῷ θ΄ ἢ ἕτερα. ἔστιν ἢ ἐναντίον. τῷ δὲ ἢ τῷ δ. καὶ ἐπὶ τῶν λοιπῶν κατὰ τὴν αὐτὴν μέθοδον. δοκεῖ δὲ ἡ ἑτέρα γραφὴ προσφυεστέρα εἶναι ἐν τῷ προκειμένῳ θεωρήματι. καὶ τῇ ἐπαγομένῃ λέξει. λέγω δὲ καὶ οὐχ ὅπως ἕτερα ἢ ἐναντία. ἵνα ἡ συνέχεια αὕτη, δῆλον ἢ ἐκ τῶν εἰρημένων γέγονεν τὸ πᾶσι. ἐν τοῖς ἀπογεγραμμένοις καθ᾿ ἕκαστον πρόβλημα δεῖ λαμβάνειν τὰ αὐτά. οὐ γὰρ δεῖ λαμβάνειν πάσι ἕτερα ἢ ἐναντία. καὶ ὅτι τοῦτο βούλεται σημαίνειν. δῆλον ἐκ τῶν ἐπαγομένων ῥήσεων, τί γάρ φησι.





» ΠΡΩΤΟΝ μὲν ὅτι τοῦ μέσου χάριν ἡ ἐπίβλεψις. τὸ δὲ μέσον οὐχ ἕτερον, ἀλλὰ ταυτὸν δεῖ λαβεῖν. εἶτα ἐν ὅσοις συμβαίνει γίνεσθαι συλλογισμὸν τῷ ληφθῆναι ἐναντία, ἢ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν, εἰς τοὺς προειρημένους ἅπαντας ἀναχθήσονται τρόπους. οἷον εἰ τὸ β΄ καὶ τὸ ζ΄ ἐναντία, ἢ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν, ἔσται μὲν γὰρ τούτων ληφθέντων συλλογισμός. ὅτι οὐδενὶ τῶν ε τὸ α΄ ὑπάρχει. ἀλλ᾿ οὐκ ἐξ αὐτῶν. ἀλλὰ ἐκ τῶν προειρημένων τρόπων.


Ὅτι φησὶν οὐ δεῖ ζητεῖν πάσι ἐν τοῖς ἀπογεγραμμένοις ἕτερα εἶναι, ἀλλὰ πάσι τὰ αὐτά, δῆλον. βουλόμεθα γὰρ τὸν μέσον ὅρον εὑρεῖν. δι᾿ οὗ μέσου σχέσιν τινὰ ἔχοντος πρὸς ἑκάτερον τῶν ὅρων ἢ ἀποφατικῶς ἢ καταφατικῶς, δυνησόμεθα τὸν ἄκρον τοῦ ἄκρου ἢ κατηγορῆσαι ἢ ἀποφῆσαι. εἰ τοίνυν ἡ μὲν ζήτησις τοῦ μέσου ἕνεκεν γίνεται. καὶ ἐπισκοποῦμεν τίνα δεῖ ἐκ τῶν ἀπογεγραμμένων λαβεῖν μέσον ὅρον. δεῖ δὲ τὸν μέσον ἕνα εἶναι καὶ τὸν αὐτόν. δῆλον ἄρα ὅτι πάσι τὰ αὐτὰ ἐν τοῖς ἀπογεγραμμένοις ἐν ἑκατέρῳ τῶν ἄκρων ὅρων δεῖ ζητεῖν. καὶ οὐ πάσι ἕτερα ἢ ἐναντία. ἐπεὶ δύο ληψόμεθα μέσους καὶ οὐχ ἕνα. καὶ οὕτω δύο ποιήσωμεν προτάσεις μηδὲν ἀλλήλαις κοινωνούσας. οἷον, τὸ β΄ παντὶ τῷ α΄ καὶ τὸ ζ΄ παντὶ τῷ ε΄. εἰ δὲ ποτέ φησι συμβαίνει ἐκ τῆς τοιαύτης λήψεως συλλογισμὸν γενέσθαι, τοῦτο γίνεται οὐχ ἁπλῶς. ἐπειδὴ ἐναντία ἐλάβομεν. οὐδὲν γὰρ ἐκ τούτου, δύο ἀπηρτημένων προτάσεων γένοιτο. ἀλλ᾿ ὅτι συμβαίνει εἰς τὴν παρ᾿ ἡμῶν παραδιδομένην μέθοδον λεληθότως ἐμπίπτειν. ἄπιμεν δὲ πῶς.

» ΤΟ γὰρ β΄ τῷ μὲν α΄ παντὶ, τῷ δὲ ε΄, οὐδενὶ ὑπάρξει, ὥστ᾿ ἀνάγκη ταυτὸ εἶναι τὸ β΄ τινὶ τῷ θ΄.

Ἐπεὶ γὰρ τὸ β΄ παντὶ τῷ α΄ ὑπάρχει. ἐναντίον δὲ τὸ β΄ τῷ ζ΄. ἢ ἕτερον. καὶ διὰ τοῦτο οὐδενὶ τῷ ζ΄ τὸ β΄. ἔστιν δὲ τῆς ζ΄ μερίδος τὸ ε΄. καὶ τῶν ε΄ ἄρα οὐδενὶ ὑπάρξει τὸ β΄. ἀλλὰ μὴν ἔχομεν ἀπογεγραμμένα τὰ ἀλλότρια τοῦ ε΄. ταῦτα δὲ ἦν τὰ θ΄. τὸ ἄρα β΄ ταυτὸν τινὶ ἔσται τῶν θ΄. ὥστε πάλιν διὰ τὴν ἡμετέραν μέθοδον τὸ συμπέρασμα, λέγομεν γὰρ τὸ καθόλου ἀποφατικὸν συνάγεσθαι. λαμβανομένων ἢ τῶν δ καὶ ζ΄ τῶν αὐτῶν ἢ τῶν β΄ καὶ θ΄.

» ΠΑΛΙΝ εἰ τὸ β΄ καὶ τὸ η΄ μὴ ἐγχωρεῖ τῷ αὐτῷ παρεῖναι, ὅτι τινὶ τῷ ε΄ οὐχ ὑπάρξει τὸ α΄. καὶ γὰρ οὕτω τὸ μέσον ἔσται σχῆμα. τὸ γὰρ β τῷ μὲν α΄ παντὶ, τῷ δὲ η΄ οὐδενὶ ὑπάρξει. ὥστ᾿ ἀνάγκη τὸ β΄ ταυτόν τινι εἶναι τῶν θ΄. τὸ γὰρ μὴ ἐνδέχεσθαι τὸ β΄ καὶ τὸ η΄ τῷ αὐτῷ ὑπάρχειν, οὐδὲν διαφέρει, ἢ τὸ β΄ τῷ θ΄ τινὶ ταυτὸν εἶναι. πάντα γὰρ εἴληπται ἐν τῷ θ΄. τὰ μὴ ἐνδεχόμενα τῷ ε΄ ὑπάρχειν. Φανερὸν οὖν ὅτι ἐξ αὐτῶν μὲν τούτων τῶν ἐπιβλέψεων οὐδεὶς γίνεται συλλογισμός. εἰ δὲ τὸ β΄ καὶ τὸ ζ΄ ἐναντία, ταυτόν τι τὸ β΄ τῷ θ΄. καὶ τὸν συλλογισμὸν γίνεσθαι διὰ τούτων.

Δείξας ὅτι ἐν οἷς καὶ συνάγεται τὸ καθόλου ἀποφατικὸν ἐναντίων τινῶν ληφθέντων ἢ μὴ ἐνδεχομένων τῷ αὐτῷ ὑπάρχειν. οὐ διὰ τὴν τῶν ἐναντίων λῆψιν συνάγεται ἀλλὰ διὰ τὸ ἐμπίπτειν εἰς τὴν παρ᾿ αὐτοῦ παραδιδομένην μέθοδον. τὸ αὐτὸ τοῦτο δείκνυσι καὶ ἐπὶ τῆς μερικῆς ἀποφατικῆς συναχθείσης δὲ καὶ ἐκ τῶν ἐναντίων οὕτως. ἐπεὶ τὸ β΄ παντὶ μὲν τῷ α΄. οὐδενὶ δὲ τῷ η΄. καὶ τὸ α΄ οὐδενὶ τῶν η΄. τὸ δὲ η΄ τινὶ τῷ ε΄. καὶ τὸ α΄ ἄρα οὐ παντὶ τῷ ε΄. πάλιν οὖν φησιν ἀγνοοῦσιν ἐν τούτοις, ὅτι εἰς τὴν παρ᾿ ἡμῶν παραδιδομένην μέθοδον ἐμπίπτουσιν. οὐδὲν γὰρ ἄλλο φησὶ λέγουσιν λαμβάνοντες τὸ β΄ καὶ τὸ η΄. μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν. ἢ ὅτι τὸ β΄ τινὶ ταυτόν ἐστι τῶν θ΄. εἰ γὰρ τὸ β΄ οὐδενὶ τῶν η΄. τὸ δὲ η΄ μέρος τοῦ ε΄. πάντα δὲ τὰ τοῦ ε΄, ἀλλότρια ἐλάβομεν ἐν τοῖς θ΄. ἔσται ἄρα ταυτὸν τινὶ τῶν θ΄ τὸ β΄. ὥστε πάλιν διὰ τὴν ἡμετέραν μέθοδον γέγονε τὸ συμπέρασμα. καὶ ταῦτα μὲν ὁ φιλόσοφος. ἔοικε δὲ ὁ πεπλανῆσθαι ἐν τούτοις. ἢ διὰ τὸ ἤδη παραδεδωκέναι τὴν μέθοδον, ἀδιαφόρως ἐνταῦθα χρήσασθαι. ἔδει γὰρ αὐτὸν εἰπεῖν ὅτι




κεῖται δὲ ὡς ἄπειν ἡ συζυγία ἀσυλλόγιστος ἦν. ἀνασκευάζειν δὲ οὐκ ἔστι διὰ τούτων. ὅτι δεῖ τὸν ἀνασκευάζοντα συλλογισμὸν τὴν ἑτέραν τῶν προτάσεων ἀποφατικὴν ἔχειν. αὗται δὲ ἄμφω εἰσὶ καταφατικαί. καὶ πάλιν, ἐὰν λάβωμεν τὰ ἀλλότρια ὄντα, πάντα οἷς ἕπεται τὸ κατηγορούμενον. καὶ τὰ ἀλλότρια τοῦ ὑποκειμένου. τουτέστι τὰ γδ, γίνεται ἐν πρώτῳ σχήματι ὁ συλλογισμὸς τὴν ἐλάττονα πρότασιν ἔχων, ἀποφατικήν. ἀσυλλόγιστος δὲ ἦν καὶ αὕτη ἡ συζυγία. οἷον τὸ α παντὶ τῷ γ, παντὸς δὲ ὅπαν τῷ δ. τὸ δ οὐδενὶ τῷ ε. ὥστε ἡ ἐλάττων ἀποφατική, ἀσυλλόγιστος ἄρα. ἐὰν δὲ τὰ ἄμφω ἀλλότρια λάβωμεν ἢ ἐν προφανὲς κἀνταῦθα τὸ ἄχρηστον. ἄμφω γὰρ γίνεται ἀπόφασις. εἴτε κατὰ τὸ πρῶτον σχῆμα ποιήσαι τις τὸν συλλογισμόν, εἴτε κατὰ τὸ δεύτερον. κατὰ μὲν τὸ α. ἵνα εἴπωμεν οὕτως. τὸ α οὐδενὶ τῷ δ. παντὸς δὲ ὅπαν τῷ θ. καὶ τὸ θ οὐδενὶ τῷ ε. κατὰ δὲ τὸ δεύτερον, τὸ δ καὶ τὸ θ. παντὸς γὰρ ἄμφω. τῷ α καὶ τῷ ε οὐδενί. ὥστε καὶ αὕτη ἀσυλλόγιστος ἡ συζυγία. κατὰ μόνας ἄρα τὰς ἕξ συζυγίας τὰς σκέψεις τῶν προτάσεων ποιητέον.

» ΦΑΝΕΡΟΝ δὲ ὅτι καὶ αἱ ἄλλαι σκέψεις τῶν κατὰ τὰς ἐκλογὰς ἀχρεῖοι πρὸς τὸ ποιεῖν συλ-
» λογισμόν. οἷον, εἰ τὰ ἑπόμενα ἑκατέρῳ ταὐτά ἐστιν, ἢ οἷς ἕπεται τὸ α, καὶ ἃ μὴ ἐνδέχεται τῷ ε, ἢ ὅσα
» πάλιν μὴ ἐγχωρεῖ ἑκατέρῳ ὑπάρχειν. οὐ γὰρ γίνεται συλλογισμὸς διὰ τούτων. εἰ μὲν γὰρ τὰ ἑπόμενα
» ταὐτά. οἷον τὸ β καὶ τὸ ζ. τὸ μέσον γίνεται σχῆμα κατηγορικὰς ἔχον ἀμφοτέρας τὰς προτάσεις. εἰ δ'
» οἷς ἕπεται τὸ α, καὶ ἃ μὴ ἐνδέχεται τῷ ε. οἷον τὸ γ καὶ τὸ θ. τὸ πρῶτον σχῆμα ἔσται στερητικὴν ἔχον τὴν
» πρὸς τὸ ἔλαττον ἄκρον πρότασιν. εἰ δ' ὅσα μὴ ἐνδέχεται ἑκατέρῳ. οἷον τὸ δ καὶ τὸ θ στερητικαὶ ἀμφότε-
» ραι αἱ προτάσεις, ἢ ἐν τῷ πρώτῳ ἢ ἐν τῷ μέσῳ σχήματι. οὕτω δ' οὐδαμῶς ἔσται συλλογισμός.

ε ἐπειδὴ τὴν μίαν συζυγίαν ἐξέθετο τὴν λαμβάνουσαν τὰ ἀμφοτέρας τοὺς ὅρους ἑπόμενα. διὰ τοῦτό φησι καὶ αἱ ἄλλαι παρ' ἃς εἴπομεν ἄχρηστοι, ἢ τὰ ἀμφότερα ἀλλότρια λαμβάνουσα. καὶ τὰ οἷς ἕπεται ὁ κατηγορούμενος. καὶ οἷς μὴ ὑπάρχει ὁ ὑποκείμενος. εἶτα βουλόμενος ταύτας ἐκθέσθαι. λαμβάνει πάλιν τὸν λόγον. καὶ ἄρχεται ἀπὸ τῆς λαμβανούσης τὰ ἀμφοτέρας ἑπόμενα. φησὶ γὰρ εἰ τὰ ἑπόμενα ἑκατέρῳ. εἶτα ἐκθέμενος τὰς τρεῖς συζυγίας. δείκνυσι μετὰ ταῦτα τὰ ἐκ τῶν ὅρων. ἀπὸ τῆς πρώτης ἀρξάμενος ὅτι ἄχρηστοί εἰσιν εἰς τὰς συλλογιστικὰς μεθόδους.

ΔΗΛΟΝ δὲ καὶ ὁποῖα ταὐτὰ ληπτέον τὰ κατὰ τὴν ἐπίσκεψιν. καὶ οὐχ ὁποῖα ἕτερα ἢ ἐναντία. τ ὁ διὰ τούτων προκείμενόν ἐστι δεῖξαι. ὅτι ἀδύνατον ἄλλῃ μεθόδῳ χρήσασθαι εἰς τὴν λῆψιν τῶν προτάσεων πλὴν τῆς παραδεδομένης. λέγω δὲ τῆς διὰ τῶν ἑπομένων καὶ οἷς ἕπεται. καὶ τῶν ἀλλοτρίων. δεῖ ταὐτό τι λαβεῖν ἦν ἀνάγκη καθ' ἕτερον τῶν ὅρων. εἰ γάρ τις φησὶν ἄλλην ἐντεῦθεν δόξαι, πάντως εἰς μίαν τῶν ὑφ' ἡμῶν παραδεδεγμένων συνενεχθήσεται ἀγνοῶν. εἴποι γὰρ ἄν τις ὅτι δυνάμεθα μηδέν, τῶν ἀπογεγραμμένων ταὐτό τι λαβεῖν. ὅτι ἐν πᾶσι τοῖς προβλήμασιν ὡς ἀναγκαῖον ὁ ἀριστοτέλης παραδέδωκε. ἀλλὰ λαβὼν τούτων τινὰ ἐναντία, ἢ ἁπλῶς ἕτερα ἀλλήλων. καὶ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν, τὰ ἀποφατικὰ προβλήματα κατασκευάσαι. οἷον ἔστω τὸ β καὶ τὸ ζ ἐναντία. ἢ μὴ ἐνδεχόμενα τῷ αὐτῷ ὑπάρχειν. κατασκευάζω ἐκ τούτων τὸ καθόλου ἀποφατικὸν οὕτως. ἐπειδὴ τὸ β τῷ α παντί, τῷ δὲ ζ οὐδενί. ἐναντίον γάρ. καὶ τὸ α ἄρα τῷ ζ οὐδενί. τὸ δὲ ζ τῷ ε παντί. καὶ τὸ α ἄρα τῷ ε οὐδενί. ἔστω γὰρ τὸ μὲν β μέλαν. τὸ δὲ α αἰθίοψ. τὸ δὲ ζ λευκόν. τὸ δὲ ε κύκνος. ἐπειδὴ οὖν τὸ μέλαν παντὶ αἰθίοπι ὑπάρχει. οὐδενὶ δὲ λευκῷ τὸ μέλαν. ἐναντίον γάρ. καὶ αἰθίοψ ἄρα οὐδενὶ λευκῷ. τὸ δὲ λευκὸν παντὶ κύκνῳ. καὶ συνάγεται ἄρα ἐκ τούτων ὅτι ὁ αἰθίοψ, οὐδενὶ κύκνῳ. ὁμοίως δὲ δειχθήσεται κἂν μὴ ἐναντία λάβωμεν τὸ β καὶ τὸ ζ. ἀλλ' ἁπλῶς ἀποδιῃρημένα καὶ μὴ δυνάμενα τῷ αὐτῷ ὑπάρξαι. οἷον, εἰ τὸ μὲν β ἄν ἔμψυχον τὸ δὲ α ἄνθρωπος. τὸ δὲ ζ ἄψυχον. τὸ δὲ ε λίθος. τῇ αὐτῇ γὰρ μεθόδῳ συνάγεται ὅτι ὁ ἄνθρωπος οὐδενὶ λίθῳ. οἱ οὖν ταῦτα λέγοντες, φησὶν ἠγνοήκασιν, ὅτι τὸ συμπέρασμα γέγονεν ἐν τούτοις, διὰ τὰς παρ' ἡμῶν εἰρημένας αἰτίας οὐ διὰ τὸ ἐναντίον ληφθῆναι τὸ β τῷ ζ. εἰ γὰρ ἔχομεν πάντα τὰ ἀλλότρια τοῦ τε α καὶ τοῦ ε. τὸ δὲ β οὐδενὶ τῷ ζ ὑπάρχει καὶ διὰ τοῦτο οὐδὲ τῷ ε τὸ β. ἔχομεν δὲ ἐκεῖνα πάντα τὰ τοῦ ε ἀλλότρια. ἔσται ἄρα τὸ β ταὐτὸν τινὶ τῶν ἀλλοτρίων τοῦ ε. ὥστε φησὶν οὐκ ἠδυνήθησαν συνιδεῖν οἱ ταῦτα λέγοντες τὴν ταυτότητα τοῦ β καὶ τοῦ θ. καὶ διὰ τοῦτο ἐνόμισαν ἑτέρᾳ τινὶ μεθόδῳ συνῆχθαι τὸ συμπέρασμα. ἀποδώσομεν δὲ καὶ τὴν λέξιν αὐτὴν τοῦ φιλοσόφου. δῆλον δὲ καὶ ποῖα ταὐτὰ διαληπτέον κατὰ τὴν ἐπίσκεψιν καὶ ποῖα ἕτερα ἢ ἐναντία. διάφορόν φησι φέρεσθαι τὴν γραφὴν τοῦ ῥητοῦ ὁ ἀλέξανδρος. εἶναι γὰρ ἔν τισι τῶν βιβλίων. καὶ οὐχ ὁποῖα ἕτερα ἢ ἐναντία. εἰ μὲν οὖν φέροιτο καὶ ποῖα ἕτερα ἢ ἐναντία. οὕτως ἐξηγητέον. ἐπεὶ δῆλον γέγονεν ἤδη ἐκ τῶν εἰρημένων ποῖα δεῖ λαμβάνειν τὰ αὐτά. ἔσται καὶ τοῦτο δῆλον ποῖά ἐστιν ἐν τούτοις ἕτερα ἢ ἐναντία. ἵνα ὡς τὸ πόρισμά τι ἐκ τῶν εἰρημένων τοῦτο συνάγηται. τὸ μανθάνειν ὁ-



τοὺς ὅρους λαμβάνειν, ἐκέλευσεν. τὰ δὲ προσεχῶς ὑποκείμενα τινί, τὰ καθολικώτατά ἐστι τῶν οἷς ἕπεται. οὐ γὰρ ὁμοίως ἔχει τὰ οἷς ἕπεταί τι, καὶ τὰ ἑπόμενα αὐτῷ. τὰ μὲν γὰρ προσεχῶς ἑπόμενα, τὰ μερικώτατά ἐστι τῶν ἑπομένων. τὰ δὲ προσεχῶς ὑποκείμενα, ταῦτα δέ ἐστι τὰ οἷς ἕπεται, τὰ καθολικώτατά ἐστι τῶν οἷς ἕπεται. τουτέστι τῶν ὑποκειμένων. οἷον ζώῳ προσεχῶς ἕπεται τὸ ἔμψυχον. καὶ ἔστι μερικώτερον σώματός τε καὶ οὐσίας ἑπόμενον τῷ ζώῳ, ἕπεται δὲ προσεχῶς τὸ ζῶον τῷ λογικῷ. καὶ ἔστι τοῦτο καθολικώτερον τῶν λοιπῶν οἷς ἕπεται. οἷον ἀνθρώπου σωκράτους. τούτων οὖν οὕτω διατεταγμένων ἐν τῇ λήψει τῶν μέσων ὅρων λέγων δεῖν ὃ ἐνδέχεται τὰ καθολικώτατα λαμβάνειν, ἔδει μόνον ἐπὶ τῶν κατηγορουμένων τουτέστι τῶν ἑπομένων τοῖς ὅροις τοῦτο ποιεῖν. τὸ γὰρ ζ τοῦ ε προσεχῶς κατηγορεῖται. καὶ ἦν μερικώτερον τῶν κατηγορουμένων. εἰκότως οὖν λαμβάνει καθολικώτερα αὐτοῦ τὸ κζ. ἐπὶ δὲ τῶν ὑποκειμένων ὑπόκειται τὸ α, τῷ γ. ὃ τὰ προσεχῶς ὑποκείμενα ἐλαμβάνετο. τοῦτο δέ ἐστι τὰ καθολικώτατα τῶν ὑποκειμένων. τοῦ γ ἄρα οὐδέν ἐστι καθολικώτερον. πῶς οὖν λαμβάνει αὐτοῦ καθολικώτερον τὸ κγ. λέγω οὖν ὅτι ἐν μὲν τῇ ἐκθέσει τὰ προσεχέστατα ἐλάμβανεν. ἵνα τὰ ἑκάστῳ τοιοῦτον ἐστὶ λάβῃ κατηγορούμενά τε καὶ ὑποκείμενα. καὶ μὴ τὰ δι' ἄλλο. τοῦ γὰρ λογικοῦ διὰ τὸ ζῶον κατηγορεῖται τὸ ἔμψυχον. καὶ τῷ ζώῳ διὰ τὸ λογικὸν ὑπόκειται ἄνθρωπος. ἐν μέντοι τῇ ἐκθέσει τοῦ μέσου ἀξιῶν ἐς τὰ καθολικώτατα ἀποβλέπειν ὃ οἷόν τε, ὑποδείγματος μόνου ἕνεκεν καὶ σαφηνείας. ὡς μερικωτέρῳ τῷ γ ἐχρήσατο. ἵνα διδάξῃ μὴ ἐς μόνα τὰ ἀπογεγραμμένα προσέχειν ἐκλεγομένους τὸν μέσον. ἀλλ' ἐπιβλέπειν ὅ τί ἐστι τῶν ὑποκειμένων καθολικώτερον. καὶ ὃ ἐνδέχεται τοῦτο μέσον κατὰ τὴν παραδεδομένην μέθοδον χρήσασθαι τοῦτο λαμβάνειν.

» ΔΗΛΟΝ δὲ καὶ ὅτι διὰ τῶν τριῶν ὅρων καὶ τῶν δύο προτάσεων ἡ σκέψις. καὶ διὰ τῶν προειρημένων σχημάτων οἱ συλλογισμοὶ πάντες.

Βούλεται ὁ φιλόσοφος καὶ διὰ τῶν δεδειγμένων ἐν τῷ τμήματι τούτῳ, λέγω δὲ τὸ περὶ τῆς εὐπορίας τῶν προτάσεων, δεῖξαι ὅτι πᾶσα ἀνάγκη πάντα συλλογισμὸν διὰ μόνων τριῶν ὅρων γίνεσθαι. καὶ διὰ τῶν προειρημένων τριῶν σχημάτων. καὶ ἄλλως ἀδύνατον. ὃ γὰρ καλῶς ἀλείπτει ἡ τῶν ἑπομένων τοῖς ὅροις, καὶ οἷς ἕπονται ἐκλογή. ἔτι τε καὶ τὰ ἀλλότρια αὐτῶν. ἐπὶ ἑκάστου τῶν προβλημάτων, ἔδει τούτων τι ταυτὸν εὑρεθῆναι. οἷον ἐπὶ μὲν τοῦ καθόλου καταφατικοῦ. τὰ οἷς ἕπεται ὁ κατηγορούμενος. καὶ τὰ τῷ ὑποκειμένῳ ἑπόμενα. καὶ ἐπὶ τῶν ἄλλων ὡς δέδεικται, ἐχόντων ἡμῶν δύο μὲν ὅρους τοὺς περὶ ὧν ὁ λόγος. τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον. λαμβανόντων δὲ καὶ ἕτερον τινὰ ὅστις ἦν τοῦ μὲν κατηγορουμένου ὑποκείμενος. τοῦ δὲ ὑποκειμένου κατηγορούμενος. τρεῖς ἀνάγκη μόνους τοὺς ὅρους γίνεσθαι. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων τῶν προβλημάτων ὁμοίως. οὕτω μὲν οὖν τρεῖς μόνοι εἰς τὸν συλλογισμὸν παραλαμβανόμενοι ὅροι. ὅτι δὲ τρία μόνα τὰ σχήματα. καὶ διὰ τῶν ἐντεῦθεν πάλιν δεικνυμένων, φανερόν. ἐδείκνυτο γὰρ τὸ μὲν καθόλου καταφατικὸν διὰ τοῦ α. καὶ διὰ τοῦ β. τὸ δὲ μερικὸν καταφατικὸν διὰ τοῦ τρίτου. καὶ διὰ τοῦ α. τὸ δὲ μερικὸν ἀποφατικὸν διὰ τοῦ τρίτου σχήματος. καὶ διὰ τοῦ α. ταῦτα μέν ἐστι τὰ διὰ τούτων τῷ ἀριστοτέλει δεικνύμενα. σαφῆ δὲ καὶ τὰ τῆς λέξεως.

» ΔΕΙΚΝΥΤΑΙ γὰρ ὑπάρχειν μὲν παντὶ τῷ ε τὸ α ὅταν τὸ γ τῷ ζ ταυτόν τι ληφθῇ. τοῦτο δὲ ἔσται τὸ μέσον.

Τοῦτο τὸ οἷον, δῆλον ὅτι τὸ γ καὶ τὸ ζ. ταυτὸν γὰρ ταῦτα. μέσον δέ φησι, τουτέστι μέσος ὅρος. δι' ὃ ἐπάγει.

» ΑΚΡΑ δὲ τὸ α καὶ ε. γίνεται οὖν τὸ πρῶτον σχῆμα. τινὶ δέ, ὅταν τὸ γ καὶ τὸ η ληφθῇ ταυτόν. τοῦτο δὲ τὸ ἔσχατον σχῆμα. μέσον γὰρ τὸ η γίνεται. μηδενὶ δέ, ὅταν τὸ δ καὶ τὸ ζ ταυτόν. οὕτω δὲ καὶ τὸ πρῶτον σχῆμα, καὶ τὸ μέσον. τὸ μὲν πρῶτον, ὅτι οὐδενὶ τῷ ζ ὑπάρχει τὸ α. εἴπερ ἀντιστρέφει τὸ στερητικόν. τὸ δὲ ζ παντὶ τῷ ε. τὸ δὲ μέσον, ὅτι τὸ δ, τῷ μὲν α, οὐδενὶ τῷ δὲ ε, παντὶ ὑπάρχει. τινὶ δὲ μὴ ὑπάρχειν, ὅταν τὸ δ καὶ τὸ η ταυτὸν ᾖ. τοῦτο δὲ τὸ ἔσχατον σχῆμα. τὸ μὲν γὰρ α, οὐδενὶ τῷ η ὑπάρξει. τὸ δὲ ε, παντὶ τῷ η.

Τουτέστιν ἄκροι ὅροι ὅτε μείζων καὶ ὁ ἔσχατος. τοῦτο δὲ ἔσται τὸ ἔσχατον σχῆμα. μέσον δὲ τὸ η. ἐπειδὴ τὸ γ καὶ τὸ η ταυτόν. τοῦτο δέ ἐστι μέσον, δῆλον ὅτι οὐδὲν διαφέρει τὸ γ εἰπεῖν ἢ τὸ η μέσον. ταυτὸν γὰρ ἄμφω.

» ΦΑΝΕΡΟΝ οὖν ὅτι διὰ τῶν προειρημένων σχημάτων οἱ συλλογισμοὶ πάντες. καὶ ὅτι οὐκ ἐκλεκτέον ὅσα πᾶσιν ἕπεται. διὰ τὸ μηδένα γίνεσθαι συλλογισμὸν ἐξ αὐτῶν. κατασκευάζειν μὲν γὰρ ὅλως, οὐκ ἦν ἐκ τῶν ἑπομένων. ἀποστερεῖν δ' οὐκ ἐνδέχεται. διὰ τῶν πᾶσιν ἑπομένων. δεῖ γὰρ τῷ μὲν ὑπάρχειν, τῷ δὲ μὴ ὑπάρχειν.

Ἐκ τῆς γενομένης ἀπογραφῆς τῶν ἑπομένων τοῖς ὅροις. καὶ οἷς αὐτοὶ ἕπονται. καὶ τῶν ἀλλοτρίων αὐτῶν ἐννέα γινομένων συζυγιῶν ὡς ἐδείξαμεν. αἱ μὲν ἐξ χρησιμεύουσιν ἡμῖν εἰς τὴν σκέψιν τῶν προτάσεων. ὡς καὶ παραδέδωκεν ἤδη. αἱ δὲ τρεῖς ἄχρηστοι εἰσίν. ὡς νῦν ἐκτίθεται. καὶ τὰς αἰτίας ἀποδίδωσι δι' ἃς εἰσὶν ἄχρηστοι. τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα ἄχρηστά φησι, δι' ὅτι οὔτε κατασκευάζειν οὔτε ἀνασκευάζειν ἐστὶ διὰ τούτων. κατασκευάζειν μὲν οὖν οὐκ ἔστιν. δι' ὅτι ἐν β σχήματι ποιοῦσιν ἐκ δύο καταφατικῶν συζυγίαν ἥτις ἦν ἀσυλλόγιστος. τὸ γὰρ β καὶ ζ ὅτι ἐστὶ ταυτόν, τῷ α καὶ τῷ ε παντὶ ἀνάγκη ὑπάρχειν.

κὸν, ἀλλ' οὐκ αὐτό ἐστιν. ἀλλὰ διὰ τῆς ἀντιστρέψαι τὸ συναγόμενον ἐκ τούτων συμπέρασμα. τοῦτο γάρ ἐστι τὸ ἀντεστραμμένος ἔσται ὁ συλλογισμός. εἰ γὰρ τὸ β' παντὶ τῷ α. παντὸς δὲ τὸ β' τῷ η, καὶ τὸ η παντὶ τῷ α. πάλιν ἐπειδὴ τὸ ε' παντὶ τῷ η. τὸ δὲ η παντὸς τῷ β'. καὶ τὸ ε' ἄρα παντὶ τῷ β'. τὸ δὲ β' παντὶ τῷ γ'. καὶ τὸ ε' ἄρα παντὶ τῷ α. ἀλλ' οὐ τοῦτο ἦν τὸ προκείμενον. εἰ τὸ ε' παντὶ τῷ α' ὑπάρχει διὰ τούτων. ἀλλ' εἰ τὸ α τινὶ τῷ ε' ὑπάρχει. ἡ γὰρ καθόλου καταφατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει. δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἕκαστον εἰς τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα βλέπειν. οἷον τοῦ μὲν ε'. μᾶλλον εἰς τὸ κζ. ἢ εἰς τὸ ζ μόνον. τοῦ δὲ α, εἰς τὸ κγ'. ἢ εἰς τὸ γ' μόνον. τὸ διὰ τούτων προκείμενον τοῦ τὸ ἐστί. δεῖ φησι λαμβάνοντας ἡμᾶς τὰ ἑπόμενα τῶν ὅρων καὶ οἷς αὐτὰ ἕπεται, μὴ μόνον τὰ προσεχῆ λαμβάνειν, ἀλλὰ καὶ τὰ πορρωτέρω. διὰ γὰρ τούτων πλειόνων προτάσεων εὐπορῆσαι δυνησόμεθα πρὸς κατασκευὴν τοῦ προκειμένου. οἷον, ὅτι ὁ ἄνθρωπος οὐσία βουλόμενοι δεῖξαι καὶ λαβόντες τὸ ἑπόμενον τῷ ἀνθρώπῳ τὸ ζῶον. δείκνυμεν διὰ τούτου ὁ ἄνθρωπος ζῶον. τὸ ζῶον οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. ἐὰν οὖν καὶ τὰ τῷ ἑπομένῳ ἑπόμενα λάβωμεν. λέγω δὲ τὰ τοῦ ζώου καθολικώτερα. ὅτι εὐπορώτερος ὁ λόγος γενήσεται. οἷον τὸ ἔμψυχον τὸ σῶμα. κατασκευάσομεν γὰρ καὶ διὰ τούτων ὅτι ὁ ἄνθρωπος οὐσία λέγοντες οὕτως. ὁ ἄνθρωπος ἔμψυχον. τὸ ἔμψυχον οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. καὶ ἐπὶ τοῦ σώματος ὁμοίως. ὥστε ὅσῳ ἂν καθολικώτερα μάθωμεν τοσοῦτον πλειόνων εὐπορήσωμεν προτάσεων. ὁμοίως ἕξει καὶ ἐπὶ τῶν οἷς ἕπεται. ἕπεται γὰρ τῇ οὐσίᾳ προσεχῶς μὲν τὸ σῶμα. εἶτα τὸ ἔμψυχον. εἶτα τὸ ζῶον καὶ ἐπὶ πάντων ὁμοίως. Ἀλλὰ ζητητέον πῶς ἀνωτέρω εἰπὼν ὅτι οὐ δεῖ λαμβάνειν ἡμᾶς εἰ μὴ μόνα τὰ προσεχῶς ἑπόμενα καὶ οἷς ἕπεται· τὰ δὲ πορρωτέρω οὔ. διότι περιέχεται ἐν τούτοις. νῦν τὸ ἐναντίον λέγει ἄντικρυς. ὅτι καὶ τὰ πορρωτέρω ληπτέον. λέγομεν οὖν πρὸς τοῦτο, ὅτι ἐκεῖ μὲν λέγων ὅπως δεῖ τὴν ἀπογραφὴν τούτων ποιεῖσθαι, ἔλεγεν ὅτι τὰ προσεχῶς μόνον τὰ ἑπόμενα ἢ οἷς ἕπεται δεῖ ἀπογράφεσθαι. τὰ δὲ πορρωτέρω οὔ ἵνα μὴ πολλὰ ἀπογράφεσθαι ἀναγκαζόμεθα. ἔχομεν γάρ φησι διὰ τούτων καὶ τὰ λοιπά. διὰ γὰρ τοῦ λαβεῖν ὡς ἑπόμενον τῷ ἀνθρώπῳ τὸ ζῶον. ἔχομεν καὶ ὅσα τῷ ζώῳ ἕπεται. ὥστε ἐκεῖ μὲν οὐκ ἔλεγε δεῖν ἀπογράφεσθαι ταῦτα ὡς ὁμολογουμένως δι' ἐκείνων ἐνυπάρχοντα. ἐνταῦθα μέντοι ἐπειδὴ περὶ αὐτῶν τῆς κατασκευῆς ὁ λόγος. τοῦτο δ' ἐστὶ τῆς λήψεως τοῦ μέσου ὅρου, διὰ τοῦτό φησι δεῖν παραλαμβάνειν καὶ ταῦτα. δεῖ γὰρ ἐπιβλέπειν εἰ ἐνδέχεται διὰ τῶν καθολικωτάτων συνάγειν τὸ προκείμενον καὶ τούτων τὴν παντόθεν λαμβάνειν. ἵνα εὐπορίαν τῇ ἀποδείξει ποιήσωμεν διὰ πλειόνων τὸ αὐτὸ συλλογιζόμενοι. ὅσῳ γὰρ διὰ τῶν καθολικωτάτων συνάγομεν τὸ συμπέρασμα, πλειόνων εὐποροῦμεν μέσων. τὸ αὐτὸ γὰρ καὶ διὰ τῶν μερικωτέρων συνάγειν δυνατόν. εἰ δέ τι διὰ τῶν μερικωτέρων συνάγοιτο, οὐ πάντως καὶ διὰ τῶν καθολικωτέρων συναχθήσεται. οἷον, εἰ μὲν γὰρ διὰ τοῦ σώματος μέσου συνάγω ὅτι ὁ ἄνθρωπος οὐσία, πάντως καὶ διὰ τῶν ὑπὸ τὸ σῶμα αὐτὸ συνάγειν δύναμαι. οἷον, τοῦ ἐμψύχου. τοῦ ζώου. τοῦ λογικοῦ. εἰ δὲ μέντοι διὰ μερικωτέρου συνάγοιτο, οὐ πάντως καὶ διὰ τοῦ καθολικωτέρου τὸ αὐτὸ συναχθήσεται. οἷον τὸ τὸν ἄνθρωπον λογικὸν εἶναι διὰ τοῦ φιλοσοφεῖν. ὁ ἄνθρωπος φιλοσοφεῖ. τὸ φιλοσοφοῦν λόγῳ χρῆται. τοῦτο δὲ λογικόν. ὁ ἄνθρωπος ἄρα λογικός. οὐκέτι δὲ τὸ αὐτὸ συνάγειν δύναμαι διὰ τῶν τοῦ φιλοσοφεῖν καθολικωτέρων. οἷον τῆς ἕξεως, ἢ διαθέσεως, ἢ ποιότητος. οὔτε γὰρ τὸ ἕξεως τινὸς ἢ ποιότητος μετέχον, ἤδη καὶ λόγῳ χρῆται. εἴ γε καὶ ὄνομά ἐστιν ἕξιν ἔχειν.

» ΟἿΟΝ τοῦ μὲν ε' μᾶλλον εἰς τὸ κζ. ἢ εἰς τὸ ζ μόνον. Τὰ ἑπόμενα τῷ ε'. τὰ ἐφ' ὧν τὸ ζ ἦν. λαμβάνεται οὖν καὶ τῷ ζ ἑπόμενον τὸ κζ. τουτέστι καθολικώτερον αὐτοῦ. ὡς τῷ ζώῳ τὸ ἔμψυχον. δεῖ οὖν φησιν εἰς τὸ κζ μᾶλλον ἀποβλέπειν, ἢ εἰς τὸ ζ μόνον. τουτέστιν εἰς τὸ τῷ ἑπομένῳ ἑπόμενον. οἷον εἰς ἔμψυχον. ἢ εἰς ζῶον. τοῦτο δὲ δῆλον ὅτι ποιεῖν δεῖ εἰ ὁμοίως ἐνδέχεται τὸ αὐτὸ καὶ διὰ τοῦ μερικωτέρου καὶ διὰ τοῦ καθολικωτέρου συναγαγεῖν. προχειρότερον γὰρ τὸ καθολικώτερον. καλῶς δὲ τὸ ἑπόμενον τῷ ζ καὶ κζ λέγει. διὰ τὸ περιέχεσθαι τὸ μερικώτερον ἐν τῷ καθολικωτέρῳ. ὡς ἐν τῷ ἐμψύχῳ τὸ ζῶον.

» ΤΟΥ δὲ α εἰς τὸ κγ'. ἢ εἰς τὸ γ' μόνον. εἰ μὲν γὰρ τῷ κζ ὑπάρχει τὸ α, καὶ τῷ ζ καὶ τῷ ε' ὑπάρχει. εἰ δὲ
» τούτῳ μὴ ἕπεται, ἐγχωρεῖ τῷ ζ ἕπεσθαι. ὁμοίως δὲ καὶ ἐφ' ὧν αὐτὸ ἀκολουθεῖ, σκεπτέον. εἰ μὲν γὰρ τοῖς
» πρώτοις, καὶ τοῖς ὑπ' ἐκεῖνα ἕπεται. εἰ δὲ μὴ τούτοις, ἀλλὰ τοῖς ὑπὸ ταῦτα ἐγχωρεῖ.

Πάλιν τὰ οἷς τὸ α ἕπεται τὰ ἐφ' ὧν τὸ γ' ἦν. λαμβάνεται οὖν πάλιν τὸ κγ' ὡς καθολικώτερα τοῦ γ'. διὸ καὶ κγ' αὐτὸ καλεῖ. ὡς περιέχον ἐν ἑαυτῷ τὸ γ'. περιέχεται γὰρ τὰ μερικώτερα ὑπὸ τῶν καθολικωτέρων. ἐπιβλέπειν οὖν δεῖ εἰ ἐνδέχεται διὰ τοῦ κγ' συλλογίσασθαι μᾶλλον. ἢ διὰ τοῦ γ' μόνον. ἔλαβε δὲ ἐν τούτοις. τοῦ μὲν ε τὰ ἑπόμενα τοῦ δὲ α οἷς ἕπεται. ἐπειδὴ διὰ τούτων ἐδείκνυτο τὸ καθόλου καταφατικόν. ἐπὶ ἑνὸς τῶν προβλημάτων ὡς ἐπὶ παραδείγματος γυμνάζων τὸν λόγον. Ἐκεῖνο δὲ ἐπιστῆσαι ἄξιον. ὅτι ἐν τῇ ἐκθέσει τῶν ὑπαρχόντων τοῖς ὅροις, ἔλεγε δεῖν ὥσπερ ἐπὶ τῶν ἑπομένων, ὅτι οὐ δεῖ καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα λαμβάνειν. ἀλλὰ τὰ τῷ α ὡς ἂν ἑπόμενα. τουτέστι τὰ προσεχῶς αὐτῶν καθολικώτερα. οὕτω δὲ καὶ ἐν τῇ λήψει τῶν οἷς ἕπεται τὸ α καὶ τὸ ε'. τὰ οἷς τὸ α ὡς ἂν ἕπεται λαμβάνειν. εἰ δ' ἦν ἅπαντα οἷς ἐκεῖνα ἕπεται, οὐκέτι. ἐκεῖνα γὰρ ἐκλέγειν παρεκελεύετο τὰ ἴδια τῶν προκειμένων ὅρων αὐτὰ δή τι καὶ καθ' αὑτόν. ὥστε τὰ προσεχῶς ὑποκείμενα

τοῖς

ἐν μὲν ἐν τῷ τρίτῳ, τὸ ά παντὶ τῷ γ΄, ταυτὸν ἐστι τῷ ή. παντὸς γὰρ τὸ γ΄ τῷ ή. τὸ δὲ έ παντὶ τῷ ή. τὸ ά ἄρα τινὶ τῷ έ. τὸ γὰρ σχῆμα τρίτον. εἰ δέ γε τὸ έ ή ἀντιστρέψας εἴπῃς τὸ ή τινὶ τῷ έ. ποιεῖ τὸ ά σχῆμα. τοσαῦται καὶ αἱ συλλογιστικαὶ συζυγίαι. καὶ οὕτως ἔχουσαι. συνελόντι δὲ τὸ μὲν καθόλου καταφατικὸν, διὰ μιᾶς μόνης συζυγίας συνάγεται, τῆς γζ. τὸ δὲ καθόλου ἀποφατικὸν, διὰ δύο τῆς τε δζ. καὶ τῆς βθ. τὸ δὲ μερικὸν καταφατικὸν, διὰ τριῶν καθ' αὑτὸ μὲν διὰ δύο τῆς τε βή. καὶ γή. διὰ τὸ καθόλου δὲ, καὶ τῆς γζ. τὸ δὲ μερικὸν ἀποφατικὸν, διὰ μιᾶς τῆς δή. καὶ διὰ τῆς δζ. δι' ἧς καὶ τὸ καθόλου ἀποφατικὸν συνάγεται.

ΜΑΛΛΟΝ δ' ἴσως ὧδ' ἔσται τῶν λεγομένων ἕκαστον φανερόν. ἔστω γὰρ τὰ μὲν ἑπόμενα, τῷ ά. ἐφ' ὧν τὸ β΄. οἷς δὲ αὐτὸ ἕπεται ἐφ' ὧν γ΄. ἃ δὲ μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν ἐφ' ὧν δ΄. πάλιν δὲ τῷ έ, τὰ μὲν ὑπάρχοντα, ἐφ' οἷς ζ. οἷς δ' αὐτὸ ἕπεται, ἐφ' οἷς ή. ἃ δὲ μὴ ἐνδέχεται, αὐτῷ ὑπάρχειν ἐφ' οἷς θ.

Ἐπειδὴ τὰ παραδείγματα σαφήνειαν ἐργάζεται τῇ διδασκαλίᾳ, βούλεται διὰ παραδειγμάτων τὰ εἰρημένα πιστώσασθαι. παραδειγμάτων δὲ τῶν διὰ τῶν στοιχείων. δυνατὸν γὰρ λοιπὸν τὰς ὕλας πρὸς τὰ στοιχεῖα ἁρμόσαι. λέγω δὲ αὐτοὺς τοὺς ὅρους. σαφὲς δὲ καὶ τὸ τοῦ παραδείγματος. ἤδη δὲ εἴπομεν καὶ ἐφ' ὧν λαμβάνει τὸ ά καὶ τὸ β΄. καὶ τὰ λοιπὰ στοιχεῖα. ὅτι δεῖ θεῖναι τὸ διάγραμμα.

ΕΙ μὲν οὖν ταυτόν τι ἔσται τῶν γ΄ τινὶ τῶν ζ. ἀνάγκη τὸ ά παντὶ τῷ έ ὑπάρχειν. τὸ μὲν γὰρ ζ παντὶ τῷ έ. τῷ δὲ γ΄, παντὶ τὸ ά. ὥστε παντὶ τῷ έ τὸ ά.

Εἰ τὰ αὐτά φησιν εἴη, ποτὲ οἷς ἕπεται ὁ κατηγορούμενος. λέγω δὴ τὸ ά. καὶ τὰ ἑπόμενα τῷ ὑποκειμένῳ. λέγω δὴ τῷ έ, συνάγεται τὸ καθόλου καταφατικόν. ἐπειδὴ γὰρ τὸ ά παντὶ τῷ γ΄. τὸ δὲ γ΄ ταυτὸν τῷ ζ. τὸ ά ἄρα παντὶ τῷ ζ. τὸ δὲ ζ παντὶ τῷ έ. τὸ ἄρα παντὶ τῷ έ.

ΕΙ δὲ τὸ γ΄ καὶ τὸ ή ταυτὸν, ἀνάγκη τινὶ τῷ έ, τὸ ά ὑπάρχειν. τῷ μὲν γὰρ γ΄, τὸ ά. τῷ δὲ ή, τὸ έ παντὶ ἀκολουθεῖ.

Τουτέστι τὰ οἷς ἕπεται καὶ ὁ ὑποκείμενος καὶ ὁ κατηγορούμενος. συνάγεται ἐκ τούτων τὸ μερικὸν καταφατικὸν ἐν τρίτῳ σχήματι. καὶ εἴπομεν ὅπως.

ΕΙ δὲ τὸ ζ καὶ τὸ δ΄ ταυτὸν, οὐδενὶ τῷ έ τὸ ά ὑπάρξει ἐκ προσυλλογισμοῦ. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ στερητικόν. καὶ τὸ ζ τῷ δ΄ ταυτὸν, οὐδενὶ τῶν ζ ὑπάρξει τὸ ά. τὸ δὲ ζ παντὶ τῷ έ.

Εἰ τὰ ἑπόμενά φησι τῷ ὑποκειμένῳ. καὶ τὰ ἀλλότρια τοῦ κατηγορουμένου ταυτὰ εἴη, συνάγεται τὸ καθόλου ἀποφατικὸν ἐκ προσυλλογισμοῦ. εἰ γὰρ τὸ δ΄ φησὶν οὐδενὶ τῷ ά. καὶ τὸ ά οὐδενὶ τῷ δ΄. τὸ δὲ δ΄ ταυτὸν τῷ ζ. καὶ τὸ ά ἄρα οὐδενὶ τῷ ζ. οὗτος ὁ προσυλλογισμός. ἐπεὶ οὖν τὸ ά οὐδενὶ τῷ ζ. τὸ δὲ ζ παντὶ τῷ έ. τὸ ἄρα ά οὐδενὶ τῷ έ. καὶ δῆλον ὅτι οὐκ ἔστιν οὗτος κυρίως συλλογισμός. τὸ γὰρ δ΄ καὶ ζ εἷς ἐστιν ὅρος καὶ οὐ δύο. Ἐπεί γε ὅλως καὶ συλλογισμὸς οὗτος. καὶ τὰ ἄλλα ἅπαντα διὰ προσυλλογισμοῦ δείκνυται. τὴν γὰρ αὐτὴν ἔχουσιν ἀγωγήν. οἷον τὸ καθόλου καταφατικόν. εἰ τὸ ά παντὶ τῷ γ΄. τὸ δὲ γ΄ ταυτὸν τῷ ζ. καὶ τὸ ά ἄρα, παντὶ τῷ ζ. ὥστε καὶ οὕτως ὁμοίως προσυλλογισμός. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως καὶ οὐ μόνον ἐπὶ τοῦ καθόλου ἀποφατικοῦ. Μήποτε οὖν ὑποδείγματος χάριν ἐπὶ τούτου εἶπε τὸ ἐκ προσυλλογισμοῦ. διδοὺς ἡμῖν καὶ ἐπὶ τῶν λοιπῶν τὸ αὐτὸ πρὸς ὑπακούειν. οὐ κυρίως δὲ, οὐδὲ συλλογισμὸν δεῖ καλεῖν τὸ τοιοῦτον. εἰ γὰρ τὸ δ΄ ταυτόν ἐστι τῷ ζ. εἷς ἐστιν ὅρος. ὥστε οὐδὲ πρότασιν ποιεῖ τὸ δζ. εἰ μὴ οὕτω ληφθῇ ταυτὸν, ὡς ὀξυνάζειν. οἷον εἰ τὸ γελαστικόν τις αὐτὸ λέγοι καὶ τὸ ἄνθρωπον. ἐπὶ γὰρ τῶν τοιούτων ἀδύνατον τὸ ἕτερον κατηγορεῖν τὸ ἕτερον.

ΠΑΛΙΝ εἰ τὸ β΄ καὶ τὸ θ ταυτὸν, οὐδενὶ τῷ έ, τὸ ά ὑπάρξει. τὸ γὰρ β΄ τῷ μὲν ά παντί. τῷ δ' ἐφ' ᾧ τὸ έ, οὐδενὶ ὑπάρξει. ταυτὸ γὰρ ἦν τῷ θ τὸ β΄. τὸ δὲ θ οὐδενὶ τῷ έ ὑπῆρχεν.

Εἴπομεν ὅτι τὸ καθόλου ἀποφατικὸν δείκνυται. οὐ μόνον τὰ ἀλλότρια τοῦ κατηγορουμένου καὶ τὰ ἑπόμενα τοῦ ὑποκειμένου λαμβανόντων ἡμῶν, ἀλλὰ καὶ ἔμπαλιν. τοῦ μὲν κατηγορουμένου τὰ ἑπόμενα. τοῦ δὲ ὑποκειμένου τὰ ἀλλότρια. τοῦτο οὖν ἐστιν ὃ δείκνυσι διὰ τούτων. εἴπομεν δὲ καὶ ἡμεῖς αὐταρκῶς.

ΕΙ δὲ τὸ δ΄ καὶ τὸ ή ταυτὸν, τὸ ά τινὶ τῷ έ οὐχ ὑπάρξει. τῷ γὰρ ή, οὐχ ὑπάρξει τὸ ά. ὅτι οὐδὲ τῷ δ΄. τὸ δὲ ή ἐστὶν ὑπὸ τὸ έ. ὥστε τινὶ τῷ έ οὐχ ὑπάρξει τὸ ά.

Τουτέστιν ἐὰν λάβωμεν τὰ τοῦ κατηγορουμένου ἀλλότρια. καὶ οἷς ἕπεται τὸ ὑποκείμενον, συνάγομεν τὸ μερικὸν ἀποφατικόν. εἴπομεν δὲ πῶς.

ΕΙ δὲ τὸ ή καὶ τὸ β΄ ταυτὸν, ἀντεστραμμένος ἔσται ὁ συλλογισμός. τὸ μὲν γὰρ έ τῷ ά ὑπάρξει παντί. τὸ γὰρ β΄ τῷ ά. τὸ δὲ έ, τῷ β΄. ταυτὸ γὰρ ἦν τῷ ή. τὸ δὲ ά τῷ έ παντὶ μὲν οὐκ ἀνάγκη ὑπάρχειν. τινὶ δ' ἀνάγκη. διὰ τὸ ἀντιστρέφειν τὴν καθόλου κατηγορίαν τῇ κατὰ μέρος. Φανερὸν οὖν ὅτι εἰς τὰ προειρημένα βλεπτέον, ἑκατέρου καθ' ἕκαστον πρόβλημα. διὰ τούτων γὰρ ἅπαντες οἱ συλλογισμοί. δεῖ δὲ καὶ τῶν ἑπομένων καὶ οἷς ἕπεται ἕκαστον εἰς τὰ πρῶτα καὶ τὰ καθόλου μάλιστα ἐπιβλέπειν.

Ἤδη μὲν ἔδειξε πάντα τὰ προβλήματα διὰ ταύτης τῆς ἐκθέσεως τῶν ὅρων. πάλιν δὲ διὰ τούτων δείκνυσιν, ὅτι τὸ μερικὸν καταφατικὸν καὶ ἄλλως δυνατὸν συναγαγεῖν. ἐὰν φησὶν εὕρωμέν τι ταυτὸν τῶν τε ἑπομένων τῷ κατηγορουμένῳ. καὶ οἷς ἕπεται τὸ ὑποκείμενον. δείκνυμεν γάρ φησι καὶ οὕτω τὸ μερικὸν καταφατι-

ἑπόμενα τῷ ὑποκειμένῳ λέγω τῷ ἐ. τὸ ζ ἢ τὰ οἷς ἕπεται. τὸ δὲ θ τὰ ἀλλότρια αὐτοῦ. δεῖ οὖν ἤδη βλέπειν. ἄτι ταυτόν ἐστιν ἔν τινι τῶν πρὸς τῷ ά. καὶ ἔν τινι τῶν πρὸς τὸ ἐ. συμπλεκόμενα οὖν τὰ πρὸς τῷ ά τοῖς πρὸς τῷ ἐ ποιεῖ συζυγίας ἐννέα. τριῶν γὰρ ὄντων τῶν κειμένων πρὸς τῷ ά ἑπομένων, οἷς ἕπεται, ἀλλοτρίων. ὁμοίως δὲ καὶ τῶν πρὸς τῷ ἐ. τὰ τρία τοῖς τρισὶ συμπλεκόμενα, ποιεῖ συζυγίας ἐννέα. ἢ γὰρ τὸ β' τῷ ζ' ταυτὸν εὑρίσκεται. ἢ τὸ β τῷ θ. ἢ τῷ β' τῷ η. πάλιν τὸ δ'. ἐν τῶν ζ η θ ταυτὸν εὑρισκόμενον, ποιεῖ ἑτέρας τρεῖς. καὶ πάλιν τὸ γ' τοῖς αὐτοῖς, τὰς λοιπὰς τρεῖς. καὶ ἄλλως. ἐπειδὴ δεῖ τῶν ἀπογεγραμμένων ἔν τε τῷ ὑποκειμένῳ ὅρῳ καὶ ἐν τῷ κατηγορουμένῳ λαβεῖν τι ταυτόν. ἵνα δι' αὐτοῦ μέσου συνάψωμεν τοὺς ἄκρους. λέγω δὴ τὸ ά ἐ. ἢ διαστήσωμεν, ἀνάγκη πᾶσα ἀλλήλων λαμβάνειν ἢ τὰ ἀμφοτέροις ἑπόμενα τὰ αὐτά. ἢ οἷς ἀμφότεροι ἕπονται. ἢ τὰ ἀμφοτέρων ἀλλότρια. ἢ τὰ τῷ μὲν ὑποκειμένῳ ἑπόμενα οἷς δὲ ἕπεται ὁ κατηγορούμενος. ἢ ἔμπαλιν. ἢ τὰ τοῦ μὲν κατηγορουμένου ἀλλότρια, ἑπόμενα δὲ τῷ ὑποκειμένῳ. ἢ ἀνάπαλιν ἢ τὰ οἷς ἕπεται ὁ κατηγορούμενος, τὰ δὲ τοῦ ὑποκειμένου ἀλλότρια ἢ ἀνάπαλιν. καὶ οὐκ ἔστι παρ' αὐτά. γίνονται οὖν συζυγίαι ὑποκείμεναι. ἡ τοῦ βζ γη δθ γζ ηβ δζ βθ. δη γθ. ἐννέα οὖν γινομένων συζυγιῶν αἱ μὲν ἓξ συνίστανται. καὶ ποιοῦσι συλλογισμόν. αἱ δὲ λοιπαὶ τρεῖς ἀσύστατοι καὶ ἀσυλλόγιστοί εἰσιν. ἀσύστατοι μέν, ὅτι λαμβάνουσι τὰ αὐτά. ἡ βζ. καὶ ἡ δθ. καὶ ἡ γθ αἱ δὲ λοιπαὶ ποιοῦσι συλλογισμόν. ἡ μὲν οὖν βζ, ἀσύστατος. γίνεται γὰρ τὸ δεύτερον σχῆμα ἐκ δύο καταφατικῶν. τὸ γὰρ β' τῷ ά παντί. τὸ δὲ β' τῷ ζ ταυτόν. καὶ τὸ β ἄρα τῷ ά παντί. ἀλλὰ μὴν καὶ τῷ ἐ παντί, ἀσύστατος ἄρα ἡ συζυγία. δύο γὰρ καταφατικαὶ ἐν δευτέρῳ σχήματι. ἀλλὰ κἂν τὴν βά ἀντιστρέψῃς, μερικὴ γίνεται ἡ μείζων ἐν πρώτῳ. καὶ οὕτως ἀσυλλόγιστος. τὸ γὰρ ά τῷ β' τινί. τουτέστιν τῷ ζ'. τὸ δὲ ζ τῷ ἐ παντί. μία μὲν οὖν αὕτη ἀσυλλόγιστος συζυγία. δευτέρα δὲ ἡ δθ. τουτέστιν ἡ τὰ ἀμφότερα τῶν ὅρων ἀλλότρια λαμβάνουσα. δύο γὰρ γίνονται ἀποφατικαί. τρίτη ἤδη τούτοις ἀσυλλόγιστος. ἡ γθ. τουτέστιν ἡ τὰ οἷς ἕπεται ὁ ά κατηγορούμενος. καὶ τὰ ἀλλότρια τοῦ ἐ τοῦ ὑποκειμένου τὰ αὐτὰ λαμβάνουσα. τὸ γὰρ ά παντὶ τῷ γ'. τουτέστιν τῷ θ'. ταυτὸν γὰρ τὸ γ' τῷ θ. τὸ δὲ θ οὐδενὶ τῷ ἐ. ὥστε ἡ ἐλάττων ἐν πρώτῳ ἀποφατική. ἀλλὰ κἂν τρίτον γένηται τὸ σχῆμα τῆς τάξεως τῶν ὅρων ἀντιστραφείσης. συνάγει μὲν μερικὸν ἀποφατικόν. ὅτι τὸ ἐ οὐ παντὶ τῷ ά. οὐκέτι δὲ ἀντιστρέψαι δυνάμεθα τὸ συμπέρασμα. ἵνα τὸ προκείμενον συνάγωμεν. διὰ τὸ πρὸς μηδεμίαν πρότασιν ἀντιστρέφειν τὴν μερικὴν ἀποφατικήν. περὶ μὲν οὖν τῶν ἀσυλλογίστων ταῦτα. περὶ δὲ τῶν συλλογιστικῶν λέγομεν. ἡ μὲν οὖν βθ. τὸ καθόλου ἀποφατικὸν συνάγει, ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι. ἐν μὲν οὖν δευτέρῳ οὕτως. ἐπεὶ γὰρ τὸ β' τῷ θ' ταυτόν. τὸ δὲ β παντὶ τῷ ά. καὶ τὸ θ παντὶ τῷ ά. οὐδενὶ δὲ τῷ ἐ. καὶ τὸ ἐ ἄρα οὐδενὶ τῶν ά. εἶτα ἀντιστραφέντος τοῦ συμπεράσματος, οὐδὲ τὸ ά οὐδενὶ τῶν ἐ. συνάγεται δὲ τὸ αὐτὸ καὶ ἐν πρώτῳ σχήματι, διὰ δύο ἀντιστροφῶν. ἐπεὶ γὰρ τὸ θ οὐδενὶ τῶν ἐ. οὐδὲ τὸ ἐ οὐδενὶ τῶν θ. τὸ δὲ θ τῷ ά παντί. καὶ τὸ ἐ ἄρα οὐδενὶ τῶν ά. ὥστε οὐδὲ τὸ ά οὐδενὶ τῶν ἐ. μήποτε δὲ καὶ ἐνταῦθα οὐ δεῖ λέγειν τοῦ συμπεράσματος τὴν ἀντιστροφὴν γίνεσθαι. ἐπεὶ γὰρ ἀλλότριόν ἐστι τὸ θ τοῦ ἐ. δυνατὸν αὐτόθεν λέγειν ὅτι τὸ ἐ οὐδενὶ τῶν θ. οὐδὲ γὰρ ἀναγκαῖον ἀπὸ τοῦ θ ἄρχεσθαι. ἡ δὲ βη συζυγία συνάγει τὸ μερικὸν καταφατικόν. διὰ τοῦ ά καὶ τοῦ γ' σχήματος. ἐπεὶ γὰρ τὸ β' τῷ ά παντί. καὶ τὸ ά τῷ β' τινί, ταυτὸν δὲ τὸ β' τῷ η. τὸ ά ἄρα τινὶ τῶν ἐ. οὕτω μὲν οὖν ἐν τρίτῳ. ἐν δὲ τῷ ά δι' ἀντιστροφῆς τοῦ συμπεράσματος. ἐπεὶ γὰρ τὸ ἐ τῷ η παντί. τὸ δὲ η τῷ ά παντί. ταυτὸν γάρ ἐστι τῷ β'. ὅπερ παντὶ τῷ ά ὑπάρχει. πάλιν ἡ μὲν δζ τὸ καθόλου συνάγει ἀποφατικὸν ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι. ἐπεὶ γὰρ τῷ δ'. τῷ ζ' ταυτόν. οὐδενὶ δὲ τῶν ά τὸ δ. καὶ τὸ ζ ἄρα οὐδενὶ τῶν ά. τὸ δὲ ἐ παντί. τὸ ἄρα ά οὐδενὶ τῶν ἐ. ἐν δὲ τῷ πρώτῳ δι' ἀντιστροφῆς τῆς μείζονος. ἐπεὶ γὰρ τὸ ζ' οὐδενὶ τῷ ά. οὐδὲ τὸ ά οὐδενὶ τῷ ζ. τὸ δὲ ζ παντὶ τῷ ἐ. τὸ ά ἄρα οὐδενὶ τῶν ἐ. δυνατὸν δὲ πάλιν μηδὲ ἀντιστροφῆς δεῖσθαι. ἐπεὶ γὰρ ἀλλότριόν ἐστι τὸ δ τῷ ά. καὶ τὸ ά δῆλον ὅτι ἀλλότριόν ἐστι τῷ ἐ. ὥστε δυνατὸν εὐθὺς εἰπεῖν. τὸ ά οὐδενὶ τῶν ἐ τουτέστιν τῶν ζ. δυνατὸν δὲ ἐνταῦθα τῇ συζυγίᾳ καὶ τὸ μερικὸν ἀποφατικὸν συναγαγεῖν. ἐν τρίτῳ σχήματι, τὴν ἐλάττονα πρότασιν ἀντιστρέψαντες. ἐπεὶ γὰρ τὸ ζ παντὶ τῷ ἐ. καὶ τὸ ἐ τινὶ τῶν ζ ὑπάρχει. τὸ δὲ ά οὐδενὶ τῶν ζ. ταυτὸν γὰρ τὸ δ τῷ ζ. οὐδενὶ δὲ τῶν δ τὸ ά. ὥστε τὸ ά οὐ παντὶ τῷ ἐ. γίνεται γὰρ τὸ τρίτον, ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος. καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος. ἡ δὲ ηδ συνάγει τὸ μερικὸν ἀποφατικὸν ἐν τρίτῳ σχήματι. καὶ ἐν πρώτῳ τῆς ἐλάττονος ἀντιστραφείσης. ἐν μὲν γὰρ τῷ γ', οὕτως. ἐπεὶ τὸ ά οὐδενὶ τῶν δ. τὸ δὲ δ τῷ η ταυτόν. καὶ τὸ η οὐδενὶ τῶν ά. τὸ δὲ ἐ παντὶ τοῦ η. τὸ ἄρα ά, οὐ παντὶ τῷ ἐ. καὶ ἐν τῷ ά οὕτως. ἐπεὶ τὸ ἐ παντὶ τῷ η. καὶ τὸ η τινὶ τῶν ἐ. τὸ δὲ ά οὐδενὶ τῶν η. ταυτὸν γὰρ τὸ δ. καὶ τὸ ά ἄρα, οὐ παντὶ τῷ ἐ. πάλιν ἡ μὲν γζ τὸ καθόλου καταφατικὸν συνάγει. ἐπεὶ γὰρ τὸ γ' τῷ ζ ταυτόν. τὸ δὲ ά παντὶ τῷ γ'. καὶ τὸ ά ἄρα παντὶ τῷ ζ ὑπάρχει. τὸ δὲ ζ παντὶ τῷ ἐ. καὶ τὸ ά ἄρα παντὶ τῷ ἐ. δῆλον δὲ ὅτι δυνατὸν ἐν ταύτῃ καὶ τὸ μερικὸν καταφατικὸν συναγαγεῖν ἐν τρίτῳ σχήματι ἀντιστρεφομένης τῆς ἐλάττονος. ἐπεὶ γὰρ τὸ ζ παντὶ τῷ ἐ. καὶ τὸ ἐ τινὶ τῶν ζ. τὸ δὲ ά παντὶ τῷ ζ. τὸ ἄρα ά τινὶ τῶν ἐ. λοιπὴ ἐστὶν αὐτῶν τῶν συλλογιστικῶν ἡ γη ἢ συνάγουσα μερικὸν καταφατικόν. ἔν τε τῷ τρίτῳ σχήματι. καὶ ἐν τῷ πρώτῳ δι' ἀντιστροφῆς τῆς ἐλάττονος.

ἐν μὲν

β ζ ἀσύστατος.
β θ καθ. ἀποφ. ἐν πρ. καὶ δ.
β η μερ. καθ. ἐν πρ. καὶ τρίτῳ.
δ ζ καθ. ἀπ. ἐν α καὶ β. καὶ μερ. ἀπο. ἐν γ.
δ η μερ. ἀπο. ἐν γ. καὶ α.
δ θ ἀσύστατος.
γ ζ καθ. κατα. ἐν α. μερ. καθ. ἐν γ.
γ η μερ. καθ. ἐν α. καὶ γ.
γ θ ἀσύστατος.

λογισμός. τὸ γὰρ ἀγαθὸν οὐδενὶ ἀλυσιτελεῖ. ταυτὸν δ' ἔστω ἔπαν, οὐδεμιᾷ ἀπονίᾳ. ἡδονὴ πάσῃ ἀπονίᾳ. τὸ ἀγαθὸν ἄρα οὐ πάσῃ ἡδονῇ. τὸ σχῆμα δεύτερον. ἀντιστρέψας δὲ τὴν ἐλάττονα. λέγω δὲ τὴν καταφατικὴν, ποιήσεις τὸ πρῶτον σχῆμα.

ΤΟΥ μὲν κατασκευάζοντος, βλεπτέον εἰς τὰ ὑποκείμενα, καθ' ὧν αὐτὸ τυγχάνει λεγόμενον. οὗ δὲ δεῖ κατηγορεῖσθαι, ὅσα τούτῳ ἕπεται. ἂν γάρ τι τούτων ᾖ ταυτὸν, ἀνάγκη θάτερον θατέρῳ ὑπάρχειν. ἢν δὲ μὴ ὅτι παντὶ ἀλλ' ὅτι τινὶ, οἷς ἕπεται ἑκάτερον. εἰ γάρ τι τούτων, ταυτὸν εἴη, ἀνάγκη τινὶ ὑπάρχειν. ὅταν δὲ μηδενὶ δέῃ ὑπάρχειν. ᾧ μὲν οὐ δεῖ ὑπάρχειν, εἰς τὰ ἑπόμενα. ὃ δὲ δεῖ μὴ ὑπάρχειν εἰς ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι· ἢ ἀνάπαλιν. ᾧ μὲν δεῖ μὴ ὑπάρχειν ἃ μὴ ἐνδέχεται αὐτῷ παρεῖναι. ὃ δὲ ὑπάρχειν, εἰς τὰ ἑπόμενα. τούτων γὰρ ὄντων τῶν αὐτῶν ὁποτερωνοῦν οὐδενὶ ἐνδέχεται θατέρῳ θάτερον ὑπάρχειν. γίνεται γὰρ ὁτὲ μὲν, ὁ ἐν τῷ πρώτῳ σχήματι συλλογισμός. ὁτὲ δὲ ὁ ἐν τῷ μέσῳ. ἐὰν δὲ τινὶ μὴ ὑπάρχειν, ᾧ μὲν δεῖ ὑπάρχειν οἷς ἕπεται. ὃ δὲ, μὴ ὑπάρχειν, ἃ μὴ δυνατὸν αὐτῷ ὑπάρχειν. εἰ γάρ τι τούτων εἴη ταυτὸν, ἀνάγκη τινὶ μὴ ὑπάρχειν.

Τ οὗ μὲν κατασκευαζομένου λέγει. τοῦ κατηγορουμένου ὅρου. οὗ δὲ, δεῖ κατηγορεῖσθαι, τοῦ ὑποκειμένου. ἵνα δὲ σαφέστερόν τι τὸν λόγον ποιήσωμεν, καὶ τελείως ἐκθώμεθα τὸ διάγραμμα. ἐπ' αὐτῶν ψιλῶν τῶν στοιχείων αὐτὸ ἐκθησόμεθα, ἵνα μάθωμεν πόσαι γίνονται συμπλοκαί. καὶ πόσαι μὲν δύνανται σύστασιν ἔχειν. πόσαι δὲ οὔ. ἔστω οὖν τὸ μὲν α, ὁ κατηγορούμενος ὅρος. τὸ δὲ ε ὁ ὑποκείμενος. τὸ δὲ β' τὰ τῷ κατηγορουμένῳ ἑπόμενα. τὸ δὲ γ' τὰ οἷς ἕπεται. τὸ δὲ δ' τὰ ἀλλότρια αὐτοῦ. ὁμοίως τὸ μὲν ζ' τὰ

ΑΣΥΣΤΑΤΟΣ.

Ἑπόμενα τῷ Α. ὠφέλιμον· αἱρετόν· διωκτόν· οἰκεῖον· ἐφετὸν· λυσιτελές· συμφέρον.

Τὰ ἀλλότρια τῷ Α. Ἁπλῶς φευκτόν· βλαβερόν· κακόν· ζημιῶδες· ἀλλότριον· ἀσύμφορον.

Οἷς ἕπεται τὸ Α. εὐδαιμονία· εὐεξία· κατὰ φύσιν. ὁ εὐτυχὴς τέλειος· κατ' ἀρετὴν βίος.



Τὰ ἑπόμενα τῷ Ε. κίνησις· ἐνέργεια κατὰ φύσιν· ἀνεμπόδιστος ζωή· τὸ κατὰ φύσιν ὀρεκτὸν· τὸ ἀνενόχλητον· τὸ αἱρετόν.

Ἀλλότρια τῷ Ε. Νόσος· πόνος· ἀπορία· φόβος· παρὰ φύσιν κίνησις.

Οἷς ἕπεται τὸ Ε. ὑγεία· εὐπορία· εὐδοξία· εὐτυχία· κατ' ἀρετὴν βίος· ἄπονος ζωή.

δέδεικται γὰρ διὰ πολλῶν ὅτι ἀνάγκη πᾶσα ὡς ἂν ἔχῃ τὸ συμπέρασμα, οὕτω καὶ τὰς προτάσεις ἔχειν, ἢ ἀμφοτέρας, ἢ τὴν ἑτέραν. ἔχεις δὲ ἐντεῦθεν τὴν αἰτίαν, δι' ἣν περὶ εὐπορίας συλλογισμῶν κεφάλαιον, οὔτε ἐν τοῖς τοπικοῖς παρέθετο· πῶς ἂν διαλεκτικῶν προτάσεων εὐπορήσομεν· οὔτε ἐν τοῖς ἀποδεικτικοῖς· πῶς ἂν εὐπορήσωμεν ἀποδεικτικῶν προτάσεων, οὔτε ἐν τοῖς σοφιστικοῖς. ἀλλ' ἐνταῦθα ἐν τούτοις ἐκθέμενος πῶς ἂν πρὸς πᾶν εἶδος συλλογισμοῦ προτάσεων εὐπορήσωμεν. διὰ τοῦτο γοῦν οὐ μόνον τὰ καθ' αὑτὸ ὑπάρχοντα ἐκτίθεσθαι ἡμᾶς προσέταξεν· ἀλλὰ καὶ τὰ κατὰ συμβεβηκὸς ὑπάρχοντα· καὶ τὰ ὡς ἐπὶ τὸ πολύ· καὶ τὰ ἀλλότρια· ἵνα ἔχωμεν ὕλην πρὸς πάντα συλλογισμὸν ἐκκείμενον, δῆλον ὅτι. εἰ μὲν ἀποδεικτικῶς συλλογίσασθαι βουληθῶμεν· ἐκ τῶν ὁρισμῶν καὶ τῶν καθ' αὑτὸ ὑπαρχόντων τὰς προτάσεις ἐκλεγόμεθα· εἰ δὲ διαλεκτικῶς· λαμβάνομεν τὰ ὡς ἐπὶ τὸ πολὺ ὑπάρχοντα καὶ τὰ κατὰ δόξαν. εἰ δὲ σοφιστικῶς τὰ κατὰ συμβεβηκὸς κατηγορούμενα. καὶ γὰρ τὰ ὁμώνυμα ἐξ ὧν μάλιστα οἱ σοφιστικοὶ συλλογισμοί, συμβέβηκε τοιαῦτα εἶναι. καὶ τὰ ἀλλότρια δὲ συνοίσει εἰς τοῦτο· ἵνα μὴ τὸ ὄν, ὡς ὂν κατηγορῆται. μάλιστα δὲ τὰ ἀλλότρια παρέθετο, ὡς συνάγονται εἰς τοὺς ἀποφατικοὺς συλλογισμούς.

ΕΤΙ τὰ πᾶσιν ἑπόμενα, οὐκ ἐκλεκτέον· οὐ γὰρ ἔσται συλλογισμὸς ἐξ αὐτῶν· δι' ἣν δὲ αἰτίαν, ἐν τοῖς ἑπομένοις ἔσται δῆλον.

Τοῦτό φησιν ὅτι οὐ δεῖ ἐκλέγειν τὰ ἀμφοτέροις τοῖς ὅροις ἑπόμενα καὶ ἀπογράφεσθαι. δεῖ γὰρ ἀλλ' ὅτι εἰς τὸ χρήσασθαι μέσῳ ὅρῳ οὐκ ἐκλεκτέον τὰ ἀμφοτέροις ἅμα ἑπόμενα εἰ τὰ αὐτὰ ὦν. δείκνυσι γὰρ ἐφεξῆς, ὅτι ἐκ τούτων οὐ δυνατὸν συλλογίσασθαι ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν γινομένης τῆς συμπλοκῆς. δοκεῖ δὲ τοῦτο παρέλκειν ἐνταῦθα· ἐπειδὴ τίνα τὸ πῶς ἐκλεκτέον τὰ ὑπάρχοντα τοῖς ὅροις παραδίδωσι· καὶ οἷς αὐτοὶ ἕπονται· οὐ μέντοι πῶς αὐτοῖς χρηστέον· καὶ ὅτι οὐκ αὐτὴ μόνη ἐστὶν ἡ ἐκλογὴ ἄχρηστος· ἀλλὰ καὶ ἄλλαι δύο· ὅτι λαμβάνουσα τὰ ἀμφοτέρων ἀλλότρια· καὶ ἢ τὰ ὑποκείμενα μὲν τοῦ κατηγορουμένου· ἀλλότρια δὲ τοῦ ὑποκειμένου. αὐτὸς δὲ ταύτης μόνης ἐμνήσθη ἐνταῦθα.

ΚΑΤΑΣΚΕΥΑΖΕΙΝ μὲν οὖν βουλομένοις κατά τινος ὅλου.

Εἰπὼν ὅπως δεῖ τὴν ἐκλογὴν ποιεῖσθαι τῶν ἑπομένων τοῖς ὅροις καὶ οἷς αὐτοὶ ἕπονται· ἔτι τε καὶ τῶν ἀλλοτρίων. ἐντεῦθεν φησὶν ὅπως δυνατὸν ἐκ τῶν ἀπογεγραμμένων ἕκαστον τῶν προβλημάτων κατασκευάζειν, τό τε καθόλου καὶ τὸ μερικόν. καὶ τὸ καταφατικὸν καὶ τὸ ἀποφατικόν. εἰ μὲν γὰρ τὸ καθόλου καταφατικὸν βουλόμεθά φησι κατασκευάσαι, ζητητέον εἴ τι τῶν ὑποκειμένων τῷ κατηγορουμένῳ ὅρῳ, τουτέστιν οἷς ἕπεται· καὶ τῶν ἑπομένων τῷ ὑποκειμένῳ· τουτέστι τῶν κατηγορουμένων αὐτοῦ ταὐτόν ἐστι. καὶ ἐὰν ἐν τούτοις εὕρωμέν τι ταὐτόν, κατασκευάσωμεν τὸ καθόλου καταφατικόν. οἷον ἐν τοῖς ὑποκειμένοις τῷ κατηγορουμένῳ· λέγω δὴ τῷ ἀγαθῷ ἐστι τὸ κατὰ φύσιν· πάλιν ἐν τοῖς ἑπομένοις τουτέστι κατηγορουμένοις τῇ ἡδονῇ ἐστι τὸ κατὰ φύσιν· συλλογιζόμεθα οὖν οὕτως· εἰ τὸ ἀγαθὸν παντὶ τῷ κατὰ φύσιν· ὑπόκειται γὰρ αὐτῷ· τοῦτο δὲ τὸ κατὰ φύσιν ταὐτόν ἐστι τῷ ἑπομένῳ τῇ ἡδονῇ· λέγω δὴ τῷ κατὰ φύσιν ὀρεκτῷ· τὸ ἀγαθὸν ἄρα παντὶ τῷ κατὰ φύσιν ὀρεκτῷ ὑπάρχει· ὅπερ τῆς ἡδονῆς κατηγορεῖται· τοῦτο δὲ πάσῃ ἡδονῇ ὑπάρχει· καὶ τὸ ἀγαθὸν ἄρα πάσῃ ἡδονῇ. οὕτω μὲν οὖν τὸ καθόλου. ἐὰν δὲ τὸ μερικὸν καταφατικὸν ζητῶμεν κατασκευάσαι· ἴδωμεν εἴ τι τῶν ὑποκειμένων, τῷ τε ὑποκειμένῳ καὶ τῷ κατηγορουμένῳ· τῷ ἀγαθῷ λέγω καὶ τῇ ἡδονῇ, ταὐτόν ἐστι. καὶ ἐὰν εὕρωμεν ὥσπερ ἔχομεν ἐν τούτοις τὸν κατ' ἀρετὴν βίον, τῇ αὐτῇ μεθόδῳ συνάξομεν τὸ μερικὸν καταφατικόν. διὰ τοῦ τρίτου σχήματος. ἀντιστρέψαντες δὲ τὴν ἐλάττονα πρότασιν, διὰ τοῦ α. ἐὰν δὲ τὸ καθόλου ἀποφατικὸν ζητῶμεν κατασκευάσαι· ἴδωμεν, εἴ τι τῶν ἀλλοτρίων τοῦ κατηγορουμένου· καὶ τῶν ἑπομένων τῷ ὑποκειμένῳ ταὐτόν ἐστιν· ὥσπερ ἐν τούτοις ἔχομεν τὸ ἀτελὲς καὶ τὴν κίνησιν. καὶ γὰρ πᾶσα κίνησις ἀτελής· πάλιν γὰρ ἐνταῦθα ἐπειδὴ τὸ ἀγαθὸν οὐδενὶ ἀτελεῖ· ταὐτὸν δὲ εἰπεῖν κινήσει· καὶ κίνησις δὲ πᾶσα ἡδονή· τὸ ἀγαθὸν οὐδεμίᾳ ἡδονῇ. καὶ ἀνάπαλιν δὲ ποιήσαντές φησι τὸ αὐτὸ κατασκευάσαι δυνάμεθα· ἐὰν εὕρωμέν τι τῶν μὲν τοῦ ὑποκειμένου ἀλλοτρίων· τῶν δὲ τοῦ κατηγορουμένου ἑπομένων ταὐτόν· συνάξομεν γὰρ οὕτως ἐν δευτέρῳ σχήματι τὸ καθόλου ἀποφατικόν· ἔστω γὰρ ἀλλότριον τῆς ἡδονῆς τὸ ξ· ἑπόμενον δὲ τῷ ἀγαθῷ τὸ ν· ἐπειδὴ οὖν τὸ ξ οὐδεμιᾷ ἡδονῇ· ταὐτὸν δὲ τὸ ξ τῷ ν· τὸ ν ἄρα οὐδεμιᾷ ἡδονῇ· ἔστι δὲ καὶ παντὶ ἀγαθῷ· ἕπεται γὰρ αὐτῷ· τὸ ἀγαθὸν ἄρα οὐδεμιᾷ ἡδονῇ· δυνάμεθα δὲ τὸ αὐτὸ τοῦτο καὶ ἐν πρώτῳ σχήματι ποιῆσαι ἀντιστρέψαντες τήν τε ἀποφατικὴν πρότασιν καὶ τὸ συμπέρασμα. ἐπεὶ γὰρ τὸ ξ οὐδεμιᾷ ἡδονῇ· καὶ ἡδονὴ οὐδενὶ τῷ ξ· ταὐτὸν δὲ εἰπεῖν τῷ ν· τὸ δὲ ν παντὶ ἀγαθῷ· ἡ ἡδονὴ ἄρα οὐδενὶ ἀγαθῷ· ὥστε καὶ ἀντιστρέφει· ἀγαθὸν οὐδεμιᾷ ἡδονῇ. ἐὰν δὲ τὸ μερικὸν ἀποφατικὸν ζητῶμεν· ἴδωμεν εἴ τι ἐστὶ ταὐτὸν τῶν ἀλλοτρίων τοῦ κατηγορουμένου καὶ τῶν ὑποκειμένων τοῦ ὑποκειμένου τουτέστιν οἷς ἕπεται· ὥσπερ ἐνταῦθα τὸ ἀλυσιτελές· καὶ ἡ ἀφερεπονία· ἀπονία γάρ ἐστιν ἡ ἀφερεπονία· ἢ καὶ ἁπλῶς ἅπερ εὕρομεν ἐν τούτοις ταὐτόν. γίνεται δὲ ἐν τρίτῳ σχήματι ὁ συλλο-

ἀδιορίστως ἐλθόμεθα ἀκολουθεῖν πάσῃ ὑγιείᾳ ἡδονήν. μὴ μέντοι πάσαις· καὶ πάσῃ τινὶ ἡδονῇ κίνησιν· μὴ μέντοι πάσαις κίνησιν. οὕτω γὰρ καὶ εἰώθαμεν τὰς προτάσεις ποιεῖσθαι πρὸς τοὺς συνδιαλεγομένους.

» ΚΑΙ γὰρ ἄχρηστον θάτερον καὶ ἀδύνατον. οἷον πάντα ἄνθρωπον εἶναι πᾶν ζῷον. ἢ δικαιοσύνην,
» ἅπαν ἀγαθόν.

Καὶ διὰ τοῦτο δῆλον ὅτι ἄχρηστον καὶ ἀδύνατον. οὐδεὶς γὰρ προτείνει ἢ ἡ ψυχὴ πᾶν ἀθάνατόν ἐστιν. ἀλλ' ἁπλῶς ἀθάνατον. ποῖον δὲ θάτερον, τὸ τῷ κατηγορουμένῳ τὸν προσδιορισμὸν τὸν καθόλου συμπλέκειν.

» ΑΛΛ' ᾧ ἕπεται ἐπ' ἐκείνου τῷ παντὶ λέγεται.

Τουτέστι τῷ ὑποκειμένῳ. τοῦτο γάρ ἐστιν ᾧ ἕπεται τὸ ἑπόμενον. τὸ γὰρ ἑπόμενον τουτέστι τὸ κατηγορούμενον ὡς καθολικώτερον.

» ὍΤΑΝ δ' ὑπό τινος περιέχηται τὸ ὑποκείμενον, ᾧ τὰ ἑπόμενα δεῖ λαβεῖν. τὰ μὲν τῷ καθόλου
» ἑπόμενα ἢ μὴ ἑπόμενα, οὐκ ἐκλεκτέον ἐν τούτοις. εἴληπται γὰρ ἐν ἐκείνοις. ὅσα γὰρ ζῴῳ, καὶ ἀνθρώπῳ
» ἕπεται, καὶ ὅσα μὴ ὑπάρχει ὡσαύτως.

Ὑποκείμενον ἐνταῦθα λέγει οὐ πάντως τὸν ὑποκείμενον ὅρον. ἀλλ' ἁπλῶς τὸν προκείμενον, ᾧ δεῖ ζητῆσαι τὰ ἑπόμενα. ὁποῖος ἂν ᾖ εἴτε ὁ κατηγορούμενος, εἴτε ὁ ὑποκείμενος. Τί οὖν φησιν. ὅταν περὶ ὅρου λαμβάνειν βουλώμεθα τὰ ἑπόμενα μὴ λάβωμεν καὶ τὰ τούτοις ἑπόμενα. ἐν γὰρ τοῖς πρώτοις ἔχομεν καὶ τὰ δεύτερα. οἷον, ἂν ζητῶμεν τί ἕπεται τῷ ἀνθρώπῳ. εἶτα εὕρωμεν ὅτι τὸ ζῷον. μὴ ζητήσωμεν καὶ τῷ ζῴῳ ἑπόμενα. ἐν γὰρ τῷ λαβεῖν τὸ ζῷον, ἔχομεν δυνάμει καὶ τὰ τούτῳ ἑπόμενα. οἷον τὸ ἔμψυχον, τὸ αἰσθητικόν. τὸ σῶμα, τὴν οὐσίαν καὶ τὰ ὅμοια. ταῦτα μὲν τὰ τῷ καθόλου ἑπόμενα. τουτέστι τῷ ἑπομένῳ
» ᾧ ἐξετιθέμεθα. τὰ γὰρ ἑπόμενα καθολικώτερά ἐστι τῶν οἷς ἕπεται. δι' ὃ κατηγορεῖται αὐτῶν. Καὶ ὅσα
» μὴ ὑπάρχει ὡσαύτως. Ὥσπερ φησὶν οὐ δεῖ λαμβάνειν τὰ τῷ ἑπομένῳ ἑπόμενα. οὕτως οὐ δεῖ λαμβάνειν οὐδὲ τὰ τῷ ἑπομένῳ ἀλλότρια. ὅσα γάρ ἐστιν ἀλλότρια τοῦ γένους, ταῦτα καὶ τοῦ εἴδους ἐξ ἀνάγκης. ὥστε ὡς ὁμολογούμενον τοῦτο οὐ δεῖ λαβεῖν.

» ΤΑ δὲ περὶ ἕκαστον ἴδια ληπτέον. ἔστι γὰρ ἄττα τῷ εἴδει ἴδια παρὰ τὸ γένος. ἀνάγκη γὰρ τοῖς ἑτέ
» ροις εἴδεσιν, ἴδια ἄττα ὑπάρχειν.

Τὰ περὶ ἕκαστον ἴδια, τουτέστι τὰ περὶ ἕκαστον τῶν ὅρων τῶν προκειμένων ἡμῖν ἰδίως ἀλλότρια. ταῦτα δεῖ λαβεῖν. πρόκειται ἡμῖν ὅρος ὁ ἄνθρωπος, μὴ λάβωμεν τὰ ὡς ζῴου ἀλλότρια. ἐν γὰρ τῷ λαβεῖν τὸ ζῷον ὡς ἑπόμενον, ἔχομεν ὡμολογημένον. ὅτι καὶ τὰ ἀλλότρια τοῦ ζῴου καὶ τοῦ ἀνθρώπου ἐστὶν ἀλλότρια. λάβωμεν οὖν τὰ ἰδίως τοῦ ἀνθρώπου ἀλλότρια. οἷον τὸ ἄλογον. τὸ τετράπουν. καὶ τὰ ὅμοια. ἔχουσι γάρ φησι τὰ εἴδη ἰδιάζοντα ἀλλότρια. ἅπερ οὐκ ἔστι τοῦ γένους ἀλλότρια. τοῦ γὰρ ἀνθρώπου ἀλλότριον, τὸ ἄλογον τὸ τετράπουν. οὐ μέντοι τοῦ γένους. ὅτι δὲ τοῦτο ἀνάγκη οὕτως ἔχειν. λέγω δὲ τὸ εἶναι ἀλλότριά τινα τῶν εἰδῶν, ἅπερ τῶν γενῶν οὐκ ἔστιν ἀλλότρια, ἐναργῶς κατεσκεύασεν εἰπών. ἀνάγκη γὰρ τοῖς ἑτέροις εἴδεσιν ἴδια ἄττα ὑπάρχειν. ᾧ οὖν ἀντιδιαιροῦνταί φησιν ἀλλήλοις τὰ εἴδη. ἕτερα ἔσται ἀλλήλων. πᾶσα δὲ ἀνάγκη ἔχειν τι ἕκαστον ὅπερ ἐστὶν ἀλλότριον τοῦ ἑτέρου. οἷον ὁ ἄνθρωπος, τοῦ ἵππου καὶ ἔμπαλιν. ταῦτα μέντοι ἅπερ ἔχουσι τὰ ἀντιδιαιρούμενα εἴδη ἀλλότρια ἀλλήλων, τοῦ γένους οὐκ ἔστιν ἀλλότρια. οὐδὲν γὰρ τῶν ὑπαρχόντων τοῖς εἴδεσιν ἀλλότριόν ἐστι τοῦ γένους.

» ΟΥΔΕ δὴ τὸ καθόλου ἐκλεκτέον οἷς ἕπεται τὸ περιεχόμενον. οἷον ζῴῳ, οἷς ἕπεται ἄνθρωπος.
» ἀνάγκη μὲν γὰρ εἰ ἀνθρώπῳ ἀκολουθεῖ τὸ ζῷον. καὶ τούτοις ἅπασιν ἀκολουθεῖν.

Ἵνα σαφέστερον ποιήσωμεν τὴν λέξιν. δεῖ προσθέντας τι μικρόν, οὕτως ἀναγνῶναι. οὐδὲ δὴ τῷ καθόλου ἐκλεκτέον ὡς ὑποκείμενα. οἷς ἕπεται τὸ περιεχόμενον. ὃ δὲ λέγει τοῦτό ἐστιν. ἐάν φησι τοῦ ζῴου προκειμένου ἡμῖν ζητῶμεν τίνι ἕπεται τὸ ζῷον. οὐ δεῖ λέγειν ὅτι τῷ φιλοσόφῳ ἢ τῷ σιμῷ. οὐ γὰρ δεῖ ταῦτα λαμβάνειν ὡς ὑποκείμενα τοῦ ζῴου. ἀλλὰ δεῖ λέγειν ὅτι τῷ ἀνθρώπῳ ἕπεται. τούτῳ γὰρ προσεχῶς ἕπεται τὸ ζῷον. λαβόντων δὲ ἡμῶν ὅτι τῷ ἀνθρώπῳ ἕπεται. ἐξ ἀνάγκης συμπέρασμα εἴληπται τῷ ἀνθρώπῳ καὶ τὰ ὑπ' αὐτοῦ περιεχόμενα. λέγω δὴ τὸ σιμὸν καὶ τὸ φιλόσοφον καὶ τὰ ὅμοια. ὥσπερ οὖν ὅτε ἐζήτει τὰ ἑπόμενα τῷ πράγματι ἔλεγεν. ὅτι οὐ δεῖ λαμβάνειν καὶ τὰ τοῖς ἑπομένοις ἑπόμενα. οὕτω φησὶν οὐδὲ τὰ οἷς ἕπεται ζητοῦντα δεῖ λαβεῖν καὶ οἷς ταῦτα ἕπεται. ἔχομεν γὰρ αὐτὰ δυνάμει ἐν αὐτοῖς.

» ΟΙΚΕΙΟΤΕΡΑ δὲ ταῦτα τῆς τοῦ ἀνθρώπου ἐκλογῆς. ληπτέον δὲ καὶ τὰ ὡς ἐπὶ τὸ πολὺ ἑ
» πόμενα, καὶ οἷς ἕπεται. τῶν γὰρ ὡς ἐπὶ τὸ πολὺ προβλημάτων, καὶ ὁ συλλογισμὸς ἐκ τῶν ὡς ἐπὶ τὸ πο
» λὺ προτάσεων ἢ πασῶν ἢ τινῶν.

Φησὶν δ' ἂν τὸ μὲν τισὶν ὁ ἄνθρωπος ἕπεται. καὶ οὐ τισὶ τὸ ζῷον. τότε ταῦτα οἰκειότερον ἔδει λαμβάνειν, προσεχῶς γὰρ περιέχει ὁ ἄνθρωπος τὸ φιλόσοφον. καὶ τὸ σιμὸν καὶ τὰ ὅμοια. ὥσπερ τὸ ζῷον προσεχῶς μὲν τὸν ἄνθρωπον, διὰ τοῦτον δὲ καὶ ἐκεῖνα.

» ΟΜΟΙΟΝ γὰρ ἑκάστου τὸ συμπέρασμα ταῖς ἀρχαῖς.

Τῷ ἀνθρώπῳ ἕπεται τὸ ζῶον, τὸ λογικόν. ἕπεται δὲ ὁ ἄνθρωπος τῷ φιλοσόφῳ. τῷ γραμματικῷ ἢ τῷ σιμῷ. ἢ τῷ σωκράτει. ἢ τῷ πλάτωνι.

» ΚΑΙ ὅσα μὴ ἐνδέχεται αὐτῷ ὑπάρχειν.

Ὅτι οὐχ ὑπάρχει τῷ ἀνθρώπῳ, τὸ ἀθάνατον. τὸ ἄλογον. τὸ πτερωτὸν καὶ τὰ ὅμοια.

» ΟΙ͂Σ δ' αὐτὸ μὴ ἐνδέχεται, οὐκ ἐκληπτέον. διὰ τὸ ἀντιστρέφειν τὸ στερητικόν.

Οὐκ ἐκλεκτέον φησὶ τίσιν ὁ ἄνθρωπος οὐχ ἕπεται. ὃ ἄνθρωπος ἂν τὸ προκείμενον εἰς σκέψιν. ἐν γὰρ τῷ λαβεῖν τίνα αὐτῷ οὐχ ἕπεται. ἔχομεν καὶ τίσιν αὐτὸς οὐχ ἕπεται. ἀντιστρέφει γὰρ πρὸς ἑαυτὴν ἡ καθόλου ἀποφατική. εἰ γὰρ οὐδενὶ ἀνθρώπῳ ἕπεται τὸ ἄλογον ἢ τὸ ἀθάνατον. οὐδὲ ἄρα οὐδενὶ τούτων ἕπεται ὁ ἄνθρωπος ἐξ ἀνάγκης.

» ΔΙΑΙΡΕΤΕΟΝ δὲ καὶ τῶν ἑπομένων ὅσα τε ἐν τῷ τί ἐστι, καὶ ὅσα ἴδια, καὶ ὅσα συμβεβη-
» κότα κατηγορεῖται.

Εἰπὼν δεῖν ἐκλέγεσθαι τοὺς ὁρισμοὺς. καὶ τὰ ἴδια τοῦ πράγματος. καὶ τὰ ἑπόμενα αὐτῷ. διαίρεσιν νῦν τῶν ἑπομένων ποιεῖται. τῶν γὰρ ἑπομένων φησί. τὰ μὲν ἐστὶν οὐσιώδη. τὰ δὲ ἀνουσιώδη. καὶ τῶν ἀνουσιωδῶν. τὰ μὲν ἴδια. τὰ δὲ συμβεβηκότα. καὶ ταῦτα οὖν ἐκλεκτέον, καὶ σημειωτέον. ἕπεται γὰρ τῷ αἰθίοπι. τὸ ζῶον, τὸ γελαστικόν. τὸ μέλαν. ἀλλὰ τὸ μὲν ζῶον καθ' αὑτὸ καὶ οὐσιωδῶς. τὸ δὲ μέλαν κατὰ τὸ συμβεβηκός. τὸ δὲ γελαστικὸν ὡς ἴδιον. καὶ νῦν δὲ τῶν ἰδίων ἐμνήσθη. ἀλλ' ἐκεῖ μὲν, ὡς ἀντιδιαστέλλων αὐτὰ τοῖς καθ' αὑτὸ ὑπάρχουσι. λέγω δὴ τοῖς οὐσιώδεσιν. ἐνταῦθα δὲ, ὡς τοῖς συμβεβηκόσιν ἀντιδιαστέλλων.

» ΚΑΙ τούτων, ποῖα δοξαστικῶς. καὶ ποῖα κατ' ἀλήθειαν.

Κατὰ ἀλήθειαν μὲν οὖν, ἕπεται τῇ ἡδονῇ ἡ κίνησις. καὶ τὸ ὀρεκτόν. κατὰ δόξαν δὲ, τὸ κατὰ φύσιν. οὐ γὰρ πᾶσα ἡδονὴ κατὰ φύσιν. ἡ οὖν τῶν ψωριώντων ἐκ τοῦ κνήθεσθαι ἡδονὴ οὐ κατὰ φύσιν. οὐδὲ μέντοι ἡ ῥαστώνη κατ' ἀλήθειαν ἕπεται τῇ ἡδονῇ ἀλλὰ κατὰ δόξαν. οὐ γὰρ πᾶσα ἡδονὴ ῥαστώνην ποιεῖ ἢ τὸ ἀνενόχλητον. οὐδὲ γὰρ ἡ τῶν ψωριώντων. ἀλλ' οὐδὲ ἡ αἰσχρὰ ἡδονή. ἐπιτείνει γὰρ μᾶλλον τὴν δυσχέρειαν. καὶ τὰς ἐκ τῶν παθῶν ὀχλήσεις. πάλιν τοῖς δὲ καὶ κατηγορίαις, ὡς εἴπομεν. κατὰ δόξαν μὲν ἕπεται τὸ ἓν καὶ τὸ ὄν. ἢ τὸ πάντα ἐξ ὕδατος εἶναι. ἢ πυρός. ἢ ἀέρος. οὐ μέντοι κατ' ἀλήθειαν.

» ὍΣΩ μὲν γὰρ ἂν πλειόνων τοιούτων εὐπορῇ τις, θᾶττον ἐντεύξεται συμπεράσματος. ὅσῳ δ' ἂν ἀλη-
» θεστέρων, μᾶλλον ἀποδείξει.

Τοιούτων, τουτέστιν ἡγουμένων καὶ ἑπομένων καὶ τῶν ἄλλων, ἅπερ εἴπομεν δὲ καὶ ταῦτα. Ὅσῳ δ' ἂν ἀληθεστέρων· Τοσούτῳ μᾶλλον καὶ ἀποδείκνυμεν.

» ΔΕΙ δὲ ἐκλέγειν, μὴ τὰ τινὶ ἑπόμενα. ἀλλ' ὅσα ὅλῳ τῷ πράγματι ἕπεται. οἷον μὴ τί τινι ἀν-
» θρώπῳ. ἀλλά τι παντὶ ἀνθρώπῳ ἕπεται. διὰ γὰρ τῶν καθόλου προτάσεων ὁ συλλογισμός.

Ἕπεται γὰρ τινὶ ἀνθρώπῳ, ὡς τῷ αἰθίοπι τὸ μέλαν. οὐ μέντοι παντί. καὶ τινὶ ἀνθρώπῳ τὸ ἑξαδάκτυλον. καὶ τινὶ ἡδονῇ τὸ κατὰ φύσιν. οὐ μέντοι πάσῃ. οὐ γὰρ δὴ καὶ τῇ τῶν κνησιώντων. τὸ παντὶ οὖν ἑπόμενόν φησιν ἐκλεκτέον. ἐπειδὴ τὰ ἑπόμενα κατηγορεῖται τούτων οἷς ἕπεται. δεῖ δὲ τὰ καθόλου κατηγορεῖσθαι. ἐπειδὴ καὶ καθολικῶν προτάσεων εἰς τοὺς συλλογισμοὺς δεόμεθα.

» ΑΔΙΟΡΙΣΤΟΥ μὲν γὰρ ὄντος, ἄδηλον εἰ καθόλου ἡ πρότασις. διωρισμένου δὲ, φανερόν.

Ὅτι οὐ μόνον οὐ δεῖ τὰ τινὶ ἀνθρώπῳ ἑπόμενα ἐκτίθεσθαι. ἀλλ' οὐδὲν ἀπροσδιόριστον ἐκτίθεσθαι τοῦτο τὸ ὑποκείμενον καὶ οὕτω τὰ ἑπόμενα αὐτῷ ζητεῖν. οἷον, ἄνθρωπος. ἀλλὰ πᾶς ἄνθρωπος. αἱ γὰρ ἀπροσδιόριστοι, ὡς ἐν τῷ περὶ ἑρμηνείας εἴρηται. ταῖς μερικαῖς ἰσοδυναμοῦσι.

» ΟΜΟΙΩΣ δ' ἐκλεκτέον καὶ οἷς αὐτὸ ἕπεται ὅλοις διὰ τὴν εἰρημένην αἰτίαν.

Ὥσπερ, φησὶ τὰ ἑπόμενα τοῖς ὅροις καθολικὰ δεῖ λαμβάνειν. τουτέστιν τὰ ὅλοις τοῖς ὑπὸ τὸν ὅρον κατηγορούμενα. οἷον πᾶσι τοῖς ὑπὸ τὸ ἀγαθόν. ἢ τὴν ἡδονὴν, οὕτω καὶ ὅταν λαμβάνωμεν τὰ οἷς, ἕπεται οὕτω δεῖ λαμβάνειν, ὡς πᾶσιν αὐτοῖς ἑπόμενα. οἷον πάσῃ εὐδαιμονίᾳ τὸ ἀγαθὸν καὶ πάσῃ ὑγιείᾳ τὴν ἡδονήν. ἐὰν δὲ λάβωμεν ὡς ἑπόμενον ἀγαθὸν τῇ ἡδονῇ, οὐ καθόλου ἐλάβομεν. οὐ γὰρ πάσης ἡδονῆς τὸ ἀγαθὸν κατηγορεῖται. οὐ γὰρ δὴ καὶ τῆς τῶν κιναίδων καὶ τῶν ψωριώντων. καὶ τοῦτο οὖν καθόλου δεῖ λαμβάνειν διὰ τὴν αὐτὴν αἰτίαν, ἵνα καθολικὰς ποιῶμεν τὰς προτάσεις.

» ΑΥΤΟ δὲ τὸ ἑπόμενον, οὐ ληπτέον ὅλον ἕπεσθαι. λέγω δ' οἷον ἀνθρώπῳ πᾶν ζῶον. ἢ μουσι-
» κῇ πᾶσαν ἐπιστήμην.

Οὐ γὰρ δεῖ λέγειν ὅτι τῇ ἡδονῇ πᾶσα κίνησις ἕπεται. ἢ τῇ ὑγιείᾳ πᾶσα ἡδονή, ἢ τῇ εὐεξίᾳ πᾶν ἀγαθόν. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστίν. ἢ τὸ ἐν τῷ περὶ ἑρμηνείας εἰρημένον. ὅτι τὸν προσδιορισμὸν οὐ δεῖ τῷ κατηγορουμένῳ συντάττειν. ἀλλὰ τῷ ὑποκειμένῳ. οὐ γὰρ δεῖ λέγειν ὅτι ἡ εὐεξία πᾶν ἀγαθόν ἐστιν. ἀλλὰ ἀνάπαλιν πᾶσα εὐεξία ἀγαθόν. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

» ΑΛΛ' ἁπλῶς μόνον ἀκολουθεῖν καθάπερ καὶ προτεινόμεθα.


Ἀντὶ τοῦ ...τικῷ ἀντὶ ἐνεργητικοῦ ἐχρήσατο. βούλεται γὰρ εἰπεῖν ὅτι προτείνομεν. τί οὖν φησιν. ὅτι ἁπλῶς καὶ

ἀγαθὸν ἡδονὴ

Α. Ἀσυλλόγιστον ἐν δευτέρῳ σχήματι ἐκ δύο καταφατικῶν. Ε

Τὰ ἀγαθῷ ἑπόμενα αἱρετὸν· δίωκτον· ἀκίνδυνον· λυσιτελὲς· συμφέρον.

Τὰ τῇ ἡδονῇ ἑπόμενα κίνησις πλάσις· ἐνέργεια κατὰ φύσιν· αἱρετὸν· ἀνεμπόδιστος ζωή· τὸ κατὰ φύσιν ὀρεκτόν· τὸ ἄριστον· τὸ ἀνενόχλητον



Ἀλλότριον· ἀτελὲς· φευκτόν· βλαβερόν· ἀσύμφορον· ζημιῶδες· κακόν· ἀλυσιτελές.

Ἀλλότριον· νόσος· φόβος· πόνος· ἀπορία· παρὰ φύσιν κίνησις· λύπη.

Οἷς ἕπεται· εὐδαιμονία· ἀρετὴ κατὰ φύσιν· εὐεξία· πλοῦτος· σωματικὸν ἀγαθόν· τὰ ἐκτὸς τὰ κατὰ φύσιν ὁ κατ' ἀρετὴν βίος.

Οἷς ἕπεται ἡδονή· εὐπορία· εὐδοξία· ὑγεία· εὐτυχία· ὁ κατ' ἀρετὴν βίος· ἄπονος ζωή.

Ἔστιν οὖν τὸ μὲν ἐφ' ᾧ α τὸ ἀγαθόν, τουτέστιν ὁ κατηγορούμενος ὅρος. τὸ δὲ ἐφ' ᾧ β', τὰ ἑπόμενα αὐτῷ. ἅπερ ἐστὶν αὐτοῦ καθολικώτερα καὶ κατηγορεῖται αὐτοῦ. τὰ δὲ ἐφ' ᾧ τὸ γ', οἷς τὸ ἀγαθὸν ἕπεται. ἔστιν οὖν αὐτῶν καθολικώτερον τὸ ἀγαθὸν καὶ κατηγορεῖται αὐτῶν. τὰ δὲ ἐφ' ᾧ τὸ δ, τὰ ἀλλότρια τοῦ ἀγαθοῦ. ἃ καὶ αὐτὸ ἀποφάσκεται. καὶ αὐτὰ αὐτοῦ. πάλιν τὸ μὲν ἐφ' ᾧ ε ἡ ἡδονή. τουτέστιν ὁ ὑποκείμενος ὅρος ἐν τῷ προβλήματι. τὰ δὲ ἐφ' ᾧ τὸ ζ τὰ ἑπόμενα αὐτῇ. τὰ δὲ ἐφ' ᾧ τὸ η οἷς αὐτὸ ἕπεται. τὰ δὲ ἐφ' ᾧ τὸ θ, τὰ ἀλλότρια αὐτοῦ. ἐκεῖνο δὲ ἐνταῦθα σημειώσασθαι ἀναγκαῖον. ὅτι ἐπειδὴ πολλά ἐστιν ἐξισάζοντα ὥσπερ τὸ ἀγαθὸν καὶ τὸ ἐφετόν. δῆλον δήπου ἐν τούτοις θάτερον θατέρῳ ἕπεσθαι ἂν λέγοιτο. καὶ γὰρ τὸ ἀγαθὸν ἐφετόν. καὶ τὸ ἐφετὸν ἀγαθόν. ἐν οὖν τοῖς τοιούτοις οὐδὲν διαφέρει πρὸς τὸ προκείμενον λαμβάνειν τὸ ἑπόμενον. εἰ μὲν γὰρ τὸ προκείμενον ἐν τῷ σκέψει εἴη τὸ ἀγαθόν, ληψόμεθα ὡς ἑπόμενον αὐτῷ τὸ ἐφετόν. εἰ δὲ τὸ ἐφετὸν εἴη τὸ προκείμενον, ὡς ἑπόμενον αὐτῷ τὸ ἀγαθὸν ληψόμεθα. καὶ οὕτως ἐπὶ τῶν ἄλλων πάντων. Ὑποτιθέμενος αὐτὸ πρῶτον. Τουτέστι τὸν προκείμενον ἡμῖν ἐν τῷ προβλήματι ὅρον. τίν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον. Καὶ τοὺς ὁρισμούς τε καὶ ὅσα ἴδια τοῦ πράγματός ἐστιν. Ἔστι γὰρ ὅτι καὶ τῶν ὁρισμῶν εἰς τὰς ἀποδείξεις δεόμεθα. τὰ δὲ ἴδια. οἷον τὸ γελαστικὸν τοῦ ἀνθρώπου. τὸ πλατυώνυχον. τὸ ὀρθοπεριπατητικόν. τὸ μόνον τῶν ζώων χερσὶ κεχρῆσθαι. ταῦτα δὲ ἅτε ἴδια ὄντα καὶ ἀντιστρέφοντα. καὶ ὡς ἑπόμενα δύναται εἶναι τοῦ ἀνθρώπου. καὶ οἷς αὐτὸς ἕπεται. ΕΙΤΑ μετὰ ταῦτα καὶ ὅσα ἕπεται τῷ πράγματι. καὶ πάλιν οἷς τὸ πρᾶγμα αὐτὰ ἀκολουθεῖ. ἀν τὸ

οὐ κατὰ συμβεβηκὸς, ἀληθέστερον λέγων. τῶν γὰρ κατηγοριῶν φησιν ἐν ἑκάστῃ αἱ μέν εἰσι κατὰ φύσιν. αἱ δὲ παρὰ φύσιν. αἱ δὲ κατὰ συμβεβηκός. καὶ κατὰ φύσιν μὲν, ὡς ὅταν ἢ τὰ καθολικώτερα τῶν μερικωτέρων κατηγορῶμεν, ὡς τὸν ἄνθρωπον, Καλλίου. καὶ τὸ χρῶμα λευκοῦ. ἢ τὰ συμβεβηκότα τῶν οὐσιῶν, ὡς ὅταν λέγωμεν ὁ σωκράτης φιλόσοφός ἐστιν ἢ σιμός. παρὰ φύσιν δὲ, ὡς ὅταν τὰς οὐσίας τῶν συμβεβηκότων κατηγορῶμεν. ἣν ἐνταῦθα εἶπε κατὰ συμβεβηκός. ὡς ὅταν εἴπω ὅτι τὸ προσιὸν φαλακρὸν, σωκράτης ἐστί. κατὰ συμβεβηκὸς δὲ, ὡς ὅταν συμβεβηκὸς συμβεβηκότος κατηγορῶμεν. ὡς ὅταν εἴπωμεν ὅτι τὸ φαλακρὸν ἐκεῖνο, φιλόσοφός ἐστι. συμβέβηκε γὰρ τῷ φαλακρῷ φιλοσόφῳ εἶναι.

ΟΤΙ δὲ καὶ ἐπὶ τὸ ἄνω πορευομένοις ἵσταταί ποτε, πάλιν ἐροῦμεν. νῦν δὲ ἔστω τοῦτο κείμενον.

ἐπεὶ φησὶν ἐπὶ τὸ κάτω πορευόμενοι, ἐπειδὰν ἔλθωμεν εἰς τὰ μερικώτατα, οὐκέτι ἔχομεν κατὰ τίνος αὐτὰ κατηγορήσομεν. ἀλλὰ μένουσι μόνως ὑποκείμενα, ὡσαύτως καὶ ἐπὶ τὸ ἄνω ἀνιόντες, τουτέστιν ἐπὶ τὰ καθολικώτερα, ἐμπίπτομεν εἴς τινα. ὧν οὐκέτι καθολικώτερα εὑρεῖν δυνάμεθα. ὥστε κατηγορεῖν αὐτὰ κατὰ τούτων. ἀλλὰ μένουσι ταῦτα μόνως κατηγορούμενα. ταῦτα δέ εἰσιν αἱ δέκα κατηγορίαι. τοῦτο οὖν φησιν ὅτι οὕτως ἔχει, λέγω δὴ ὅτι ἔστι τινὰ καθολικώτατα μὴ ἔχοντα ἐπέκεινα ἑαυτῶν. ἄλλα τινὰ, δείξομεν ἐν ἑτέροις. ἔδειξε γὰρ ἐν τῇ ἀποδεικτικῇ ὅτι οὐκ ἐπ' ἄπειρον πρόϊασιν αἱ κατηγορίαι, ἀλλ' ἀνάγκη ἵστασθαι καὶ ἐπὶ τὸ ἄνω καὶ ἐπὶ τὸ κάτω. νῦν δὲ τοῦτο ὡς ὁμολογημένον εἰλῆφθαι φησί.

ΚΑΤΑ μὲν οὖν τούτων, οὐκ ἔστιν ἀποδεῖξαι κατηγορούμενον ἕτερον. πλὴν εἰ μὴ κατὰ δόξαν. ἀλλὰ ταῦτα, κατ' ἄλλων. οὐδὲ τὰ καθ' ἕκαστα κατ' ἄλλων, ἀλλ' ἕτερα κατ' ἐκείνων. τὰ δὲ μεταξὺ, δῆλον ὡς ἀμφοτέρως ἐνδέχεται. καὶ γὰρ καὶ αὐτὰ, κατ' ἄλλων. καὶ ἄλλα κατὰ τούτων λεχθήσεται.

ἀληθῶς μέν φησιν οὐδέν ἐστι τῶν δέκα κατηγοριῶν κατηγορούμενον. πλὴν εἰ μὴ δόξα τις κεκράτηκεν οὐκ ἀληθὴς παρά τισιν. ἐδόκουν γάρ τισι τὸ ὂν ὡς γένος κατηγορεῖσθαι τῶν δέκα κατηγοριῶν. ἐδείχθη δὲ τοῦτο ἐν κατηγορίαις οὐκ ἀληθὲς ὄν. ἀλλ' ὅτι ὁμώνυμός ἐστι φωνὴ τὸ ὂν εἰς διάφορα σημαινόμενα διαιρουμένη. πάλιν καὶ τὸ ἓν, τινὲς ἐδόξασαν αὐτῶν κατηγορεῖσθαι. ὅτι οὐδὲ αὐτὸ γένος ἐστίν. ἀλλ' ὥσπερ καὶ τὸ ὄν. ἀλλὰ καὶ οἱ ἔν τι τῶν στοιχείων ἀρχὴν ὑποτιθέμενοι. ἢ τὸ πῦρ ἢ ἄλλό τι παρὰ ταῦτα. τοῦτο γὰρ δῆλον. ὅτι ὡς γένος τῶν δέκα κατηγοριῶν κατηγορήσουσιν.

ΚΑΙ σχεδὸν οἱ λόγοι καὶ αἱ σκέψεις εἰσὶ μάλιστα περὶ τούτων.

εἰκότως. οἱ γὰρ συλλογισμοὶ καὶ αἱ ἀποδείξεις ζητοῦσί τι τίνος κατηγορεῖται. ἢ οὐ κατηγορεῖται. οἷον τῆς ψυχῆς τὸ ἀθάνατον κατηγορεῖται ἢ οὔ. τὰ τοίνυν γενικώτατα ἅτε ἄλλα μὴ ἔχοντα ἑαυτῶν κατηγορούμενα, οὐδεμίαν τοιαύτην ζήτησιν ἔχει. τὰ δὲ μερικώτατα. πάλιν ἅτε ἐστὶ τὰ αἰσθητά. ἐπειδὴ μόνως ὑπόκειται, ὁμοίως οὐδὲν ἔχει τοιοῦτο ζήτημα. τὰ δὲ μέσα. ἐπειδὴ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι πέφυκε, ταῦτα ἔχει τὴν ζήτησιν. τί τίνος ἢ κατηγορεῖται ἢ οὐ κατηγορεῖται.

ΔΕΙ δὲ τὰς προτάσεις τὰς περὶ ἕκαστον τούτων, οὕτως ἐκλαμβάνειν. ὑποτιθέμενον αὐτὸ πρῶτον, καὶ τοὺς ὁρισμοὺς καὶ ὅσα ἴδια τοῦ πράγματός ἐστι.

εἰπὼν περὶ τίνων αἱ ἀποδείξεις καὶ τὰ προβλήματα, ὅτι περὶ τῶν μεταξὺ ἃ πέφυκε κατηγορεῖσθαί τε τίνων καὶ ὑποκεῖσθαι ἀλλήλοις, ἐντεῦθεν λοιπόν. τὰς μεθόδους ἡμῖν παραδίδωσι τῆς εὑρέσεως τῶν προτάσεων τοῦ προτεθέντος προβλήματος. διό φησιν. ὅταν βουλόμεθά τι ὑπάρχον ἢ μὴ ὑπάρχον κατασκευάσαι. ἐκτίθεσθαι πρῶτον αὐτὸν τὸν κατηγορούμενον ὅρον καὶ τὸν ὑποκείμενον. οἷον ζητοῦμεν δεῖξαι. ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι. σημειωτέον τό τε ἀγαθὸν καὶ τὴν ἡδονὴν. εἶτα ζητητέον. καὶ σημειωτέον τὸ τί ἑκατέρῳ αὐτῶν ἕπεται. οἷον ὅτι τῷ μὲν ἀγαθῷ τὸ ὠφέλιμον καὶ τὸ αἱρετόν. καὶ τὰ ἄλλα τὰ ἐν τῷ διαγράμματι. τῇ δὲ ἡδονῇ ἡ κίνησις. ἡ ἐνέργεια ἡ κατὰ φύσιν καὶ τὰ λοιπά. πάλιν φησὶν ἐκλεκτέον καὶ οἷς ἕπεται ἑκάτερον τούτων. οἷον τὸ μὲν ἀγαθὸν ἕπεται, τῇ εὐδαιμονίᾳ καὶ ταῖς λοιπαῖς. ἡ δὲ ἡδονὴ τῇ ὑγείᾳ καὶ ταῖς λοιπαῖς. δῆλον δὲ ὅτι τὰ μὲν ἑπόμενά τινι, ἢ ἐπὶ πλέον ἐστίν, ἢ ἐξισάζει. ἕπεται γὰρ τῷ ἀνθρώπῳ. καὶ τὸ ζῷον ἐπὶ πλέον. καὶ τὸ γελαστικὸν ἐπίσης. ὥστε ἐν κατηγορουμένοις τετάξεται. τὰ δὲ οἷς ἕπεται. ἢ ἐπίσης ἢ ἐπ' ἔλαττον. καὶ γὰρ καὶ τῷ γελαστικῷ ἐπίσης ὄντι ἕπεται. καὶ τῷ φιλοσόφῳ ἢ γραμματικῷ ἐπ' ἔλαττον ὄντι. ὥστε καὶ τὰ οἷς, ἕπεταί τι ἐν ὑποκειμένου μοίρᾳ αὐτῷ τετάξεται. ἔτι φησὶν ἐκλεκτέον. καὶ τὰ τῶν τούτων ἀλλότρια. οἷον τοῦ μὲν ἀγαθοῦ τὸ ἀπλοῦν. τὸ φευκτόν. τῆς δὲ ἡδονῆς, ἡ νόσος. ὁ πόνος, ταῦτα γὰρ οὕτως ἐκλεξαμένοις, ῥᾳδία ἔσται ἡ τῶν προτάσεων εὕρεσις. ὡς ἐν τοῖς ἑξῆς διαχθήσεται. ἐκθέμενοι οὖν ἡμεῖς ὡς ἐπὶ τούτων τῶν ὅρων. λέγω δὴ τοῦ ἀγαθοῦ καὶ τῆς ἡδονῆς. χαρακτῆρα τοῦ διαγράμματος, τὴν λέξιν αὐτὴν ἐπισκεψόμεθα.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΠΩΣ δὲ εὐπορήσομεν αὐτοὶ πρὸς τὸ τιθέμενον ἀεὶ συλλογισμῶν, καὶ διὰ ποίας ὁδοῦ ληψόμεθα τὰς περὶ ἕκαστον ἀρχὰς, νυνὶ λεκτέον. οὐ μόνον γὰρ ἴσως δεῖ θεωρεῖν τὴν γένεσιν τῶν συλλογισμῶν, ἀλλὰ καὶ τὴν δύναμιν ἔχειν τοῦ ποιεῖν.

Πέρας ἔχει τὸ πρῶτον τοῦ βιβλίου τμῆμα. ἐν ᾧ περὶ τῆς γενέσεως τῶν συλλογισμῶν ἡμῖν διελέχθη. νῦν λοιπὸν τοῦ β΄ μέρους ἄρχεται ἐν ᾧ διδάσκει πῶς ἐάν τι ἐπὶ προβλήματος ἡμῖν τιθεμένου, εὐπορῆσαι προτάσεων τῶν κατασκευαζουσῶν τοῦτο. οἷον εἴ τις ἡμῖν προβάλλοιτο πόθεν δῆλον, ὅτι ἡ ψυχὴ ἀθάνατος. τινὶ χρησάμενοι μεθόδῳ προτάσεις εὑρεῖν δυνησόμεθα. ἃς συμπλέξαντες ἀλλήλαις τὸ προκείμενον κατασκευάσομεν. ὥσπερ γὰρ ὁ τεχνίτης δεῖ, μὴ μόνον τὰ εἴδη τῶν ὑποβεβλημένων αὐτῷ πραγμάτων ἐπίστασθαι. ἀλλὰ καὶ τὴν ὕλην τὴν ἐπιτηδείαν εἰς κατασκευὴν τῶν τοιούτων εἰδῶν ἐκλέγεσθαι. διὸ ὁ ναυπηγὸς τὰ ἐπιτήδεια εἰς κατασκευὴν τοῦ πλοίου ξύλα. καὶ ὁ οἰκοδόμος τοὺς ἐπιτηδείους εἰς οἰκοδομίαν λίθους, καὶ ἐπὶ πάντων ὡσαύτως. οὕτως οὖν καὶ ὁ ἀριστοτέλης, τὰ εἴδη τῶν συλλογισμῶν ἡμῖν παραδούς. εἴδη δὲ τῶν συλλογισμῶν τὰ συμπεράσματα. καὶ ὁποῖον ποῖον ἐν ἑκάστῳ συλλογισμῷ γίνεται τὸ συμπέρασμα ἔν τε ταῖς ἁπλαῖς καὶ ἐν ταῖς μικταῖς. νῦν λοιπὸν διδάσκει πῶς τὰς εἰς ἕκαστον συμπέρασμα προτάσεις εὑρεῖν δυνησόμεθα. ὕλη δὲ τῶν συλλογισμῶν αἱ προτάσεις. πρὶν δὲ τὴν μέθοδον ἡμῖν ταύτην παραδοῦναι, ζητεῖ πρότερον περὶ ὧν ὅλως πεφύκαμεν συλλογίζεσθαι. διχῇ γάρ φησι τῶν πραγμάτων διῃρημένων. καὶ τῶν μὲν καθολικωτάτων ὄντων ἀεὶ κατὰ ἄλλων κατηγορουμένων, μηδέποτε δὲ ὑποκειμένων ἄλλοις εἰς κατηγορίαν. οἷά ἐστι τὰ γενικώτατα. λέγω δὲ αἱ δέκα κατηγορίαι. τῶν δὲ μηδέποτε κατ᾽ ἄλλου κατηγορουμένων κυρίως, ἀεὶ δὲ ὑποκειμένων. οἷά ἐστι τὰ μερικὰ καὶ ἄτομα πάντα. τῶν δὲ μέσως ἐχόντων. καὶ ποτὲ μὲν κατηγορουμένων τινῶν, ποτὲ δὲ ὑποκειμένων ἄλλοις εἰς κατηγορίαν. ζητητέον περὶ τίνων οἱ συλλογισμοὶ καὶ αἱ σκέψεις ἡμῖν εἰσι. δῆλον δὲ ὡς σχεδὸν περὶ μόνα τὰ μέσα. εἰ γὰρ ὁ συλλογισμὸς βούλεται ζητεῖν τι κατά τινος ἢ ἀπό τινος ὑπάρχον. τὰ δὲ γενικώτατα οὐκ ἔχουσιν ἑαυτῶν ἕτερα κατηγορούμενα, δῆλον ὅτι οὐχ ἕξει τις περὶ τούτων συλλογίσασθαι. αἱ γὰρ περί τινων σκέψεις πότερον τόδε τῷδε ὑπάρχει ἢ οὐχ ὑπάρχει. οἷον τῇ ψυχῇ ἀθανασία. ἢ οὔ. ὥστε καὶ τὰ περὶ τῶν γενικωτάτων προβλήματα, εἴπερ ἐστὶ, περὶ τούτων εἴη ἄν. οἷον εἰ ἡ οὐσία τυχὸν γέγονεν, ἢ ἀγέννητός ἐστιν. ὥστε εἰ μηδέν ἐστι τῶν καθολικωτάτων γενῶν κατηγορούμενον. ἐπεὶ μηδὲν καθολικώτερον. οὐδὲ πρόβλημα εἴη ἂν περὶ ἐκείνων οὐδὲ συλλογισμός. πλὴν σπανίως περὶ τούτων γίνεται πρόβλημα. ποῖα δὲ καὶ πῶς, αὐτὸ διδάξει. ἀλλὰ μέντοι ὅτι ἑτέροις ὑπάρχει ἢ οὐχ ὑπάρχει δυνατὸν συλλογίσασθαι. περὶ δὲ τῶν καθ᾽ ἕκαστα, ὁμοίως οὐδεὶς συλλογίζεται. εἰ ὅτι τι ὑπάρχει ἢ οὐχ ὑπάρχει σωκράτει ἢ πλάτωνι. αἰσθητὰ γὰρ ταῦτα. τὰ δὲ αἰσθητὰ, αἰσθήσει ληπτά, οὐ λόγῳ. εἰ γάρ τις περὶ σωκράτους παραβαίη ἀποδεικνύναι ὅτι λευκὸς ἢ σιμός. πρὸς τῷ μὴ ἔχειν ὕλην ἐπιτηδείαν εἰς συλλογισμοῦ γένεσιν. καὶ ἀσαφέστερον ποιήσει τὸ πρᾶγμα τῆς δι᾽ αἰσθήσεως ἀντιλήψεως. ὥστε τὰ προβλήματα καὶ οἱ συλλογισμοὶ, ὡς ἐπίπαν περὶ τῶν μεταξὺ γίνονται. Τὰς περὶ ἕκαστον ἀρχάς. Τουτέστι τὰς προτάσεις τὰς περὶ ἕκαστον πρόβλημα.

ΑΠΑΝΤΩΝ δὴ τῶν ὄντων, τὰ μέν ἐστι τοιαῦτα, ὥστε κατὰ μηδενὸς ἄλλου κατηγορεῖσθαι, ἀληθῶς καθόλου. οἷον, Κλέων καὶ Καλλίας. καὶ τὸ καθ᾽ ἕκαστον καὶ αἰσθητόν. κατὰ δὲ τούτων, ἄλλα. καὶ γὰρ ἄνθρωπος καὶ ζῶον ἑκάτερον τούτων ἐστί. τὰ δὲ αὐτὰ μὲν, κατ᾽ ἄλλων κατηγορεῖται. κατὰ τούτων δὲ, ἄλλα πρότερον οὐ κατηγορεῖται. τὰ δὲ καὶ αὐτὰ, ἄλλων. καὶ αὐτῶν ἕτερα. οἷον ἄνθρωπος Καλλίου. καὶ ἀνθρώπου ζῶον. ὅτι μὲν οὖν ἔνια τῶν ὄντων κατ᾽ οὐδενὸς πέφυκε λέγεσθαι, δῆλον. τῶν γὰρ αἰσθητῶν σχεδὸν ἕκαστόν ἐστι τοιοῦτον.

Οὐδὲν γὰρ τῶν μερικῶν πέφυκε κατ᾽ ἄλλου κατηγορεῖσθαι πλὴν κατὰ συμβεβηκὸς ὡς ἐφεξῆς λέξομεν. καὶ τοῦτο οὐ καθόλου ἀλλὰ μερικῶς. ἐὰν γὰρ εἴπω ὅτι πᾶς ἄνθρωπος σωκράτης ἐστὶν ἢ πλάτων. δῆλον ὅτι ψευδὴς ἡ τοιαύτη κατηγορία. προσέθηκε δὲ καὶ τὸ αἰσθητόν. διότι πάντα τὰ αἰσθητὰ, μερικά ἐστι. καὶ αὐτὰ μὲν ὑπόκειται ἄλλοις εἰς κατηγορίαν. καὶ τοῖς καθόλου καὶ τοῖς συμβεβηκόσιν. αὐτὰ δὲ ἄλλων οὐ κατηγορεῖται. εἰ μὴ ἢ παρὰ φύσιν. ὡς ὅταν εἴπω. τὸ φαλακρὸν τοῦτο σωκράτης ἐστίν. ἢ κατὰ συμβεβηκός. ὡς ὅταν εἴπω. τὸ φαλακρὸν τοῦτο φιλόσοφός ἐστιν.

ΩΣΤΕ μὴ κατηγορεῖσθαι κατὰ μηδενός. πλὴν ὡς κατὰ συμβεβηκός. φαμὲν γὰρ ποτὲ τὸ λευκὸν ἐκεῖνο σωκράτην εἶναι. καὶ τὸ προσιὸν, Καλλίαν.

Οὐδὲν φησὶ τῶν μερικῶν κατ᾽ ἄλλου κατηγορεῖται. εἰ μὴ κατὰ συμβεβηκὸς ὡς ὅταν λέγωμεν. ὅτι τὸ φαλακρὸν ἐκεῖνο, σωκράτης ἐστίν. Ἰστέον ὅτι ἐν τῇ φυσικῇ ταύτην τὴν κατηγορίαν παρὰ φύσιν εἶπεν εἶναι

τοῦ μερικοῦ· ἐάν τε γὰρ δείξω ὅτι οὐδενὶ ἢ οὐ παντὶ ἀνεῖλον ὅτι παντί. πάλιν τὸ καθόλου ἀποφατικὸν, κατασκευάζεται μὲν μόνως δι᾽ ἑαυτοῦ· ἀνασκευάζεται δὲ διὰ τοῦ καθόλου καταφατικοῦ, καὶ διὰ τοῦ μερικοῦ· ἐὰν γὰρ δείξω ὅτι ἢ παντὶ ἢ τινὶ ἀνεῖλον τὸ οὐδενί. τὸ δὲ μερικὸν ἀποφατικὸν ἀνασκευάζεται διὰ μόνου τοῦ καθόλου καταφατικοῦ. κατασκευάζεται δὲ ἐν πᾶσι τοῖς σχήμασι· καὶ διὰ πλειόνων τρόπων. ὥστε τὸ μὲν καθόλου καταφατικὸν· πρὸς μὲν κατασκευὴν, δυσχερὲς δι᾽ ἑνὸς μὲν γὰρ τρόπου καὶ σχήματος κατασκευάζεται· πρὸς ἀνασκευὴν δὲ εὐχερὲς, διότι καὶ τῷ καθόλου ἀποφατικῷ καὶ τῷ μερικῷ ἀναιρεῖται. ὧν τὸ μὲν καθόλου ἐν δύο σχήμασι δείκνυται. ἅπαξ μὲν ἐν τῷ α΄. δὶς δὲ ἐν τῷ β΄. τὸ δὲ μερικὸν ἀποφατικὸν, ἐν πᾶσι τοῖς σχήμασι· καὶ ἐν μὲν τῷ α΄, ἅπαξ· ἐν δὲ τῷ β΄, δίς· ἐν δὲ τῷ τρίτῳ τρίς. ὁμοίως τὸ καθόλου ἀποφατικὸν, μᾶλλον μὲν εὐχερὲς κατασκευάσαι, ἧττον δὲ ἀνασκευάσαι· διὰ τὰς αὐτὰς αἰτίας. τρίτην ἔχει τάξιν τὸ μερικὸν καταφατικόν· καὶ τετάρτην, τὸ μερικὸν ἀποφατικόν.

» ΚΑΙ γὰρ τὸ μηδενὶ· καὶ τὸ τινὶ μὴ ὑπάρχειν ἀνῄρηται· τούτων δὲ τὸ μὲν, τινὶ μὴ, ἐν ἅπασι τοῖς σχή-
» μασι δείκνυται. τὸ δὲ μηδενὶ, ἐν τοῖς δυσί.

Δῆλον ὅτι τὸ καθόλου καταφατικόν. τοῦτο γάρ ἐστι τὸ δι᾽ ἀμφοτέρων τῶν ἀποφατικῶν ἀναιρούμενον· καὶ τοῦ καθόλου καὶ τοῦ μερικοῦ.

» ΤΟΝ αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν στερητικῶν.

Τὸν αὐτὸν τρόπον τὸ μὲν καθόλου πρὸς κατασκευὴν μὲν δυσχερέστερον τοῦ μερικοῦ, πρὸς ἀνασκευὴν δὲ εὐχερέστερον.

» ΚΑΙ γὰρ ὃ παντὶ καὶ ὃ τινὶ, ἀνῄρηται τὸ ἐξ ἀρχῆς· τοῦτο δὲ ἦν ἐν δύο σχήμασιν· ἐπὶ δὲ τῶν ἐν μέ-
» ρει μοναχῶς· ἢ παντὶ ἢ μηδενὶ δείξαντα ὑπάρχειν κατασκευάζοντι δὲ ῥᾴω τὰ ἐν μέρει· καὶ γὰρ ἐν πλείο-
» σι σχήμασι καὶ διὰ πλειόνων πτώσεων.

Τουτέστι τὸ καθόλου ἀποφατικόν· τοῦτο γὰρ δι᾽ ἀμφοτέρων τῶν καταφατικῶν ἀναιρεῖται· καὶ τοῦ καθόλου· καὶ τοῦ μερικοῦ· καὶ τοῦτο βουλόμενος σημῆναι· λέγω δὴ τὸ καθόλου ἀποφατικὸν, ἐπήγαγε. τοῦτο δὲ ἦν ἐν δυσὶ σχήμασιν.

» ΟΛΩΣ τε, οὐ δεῖ λανθάνειν· ὅτι ἀνασκευάσαι μὲν δι᾽ ἀλλήλων ἐστὶ καὶ τὰ καθόλου διὰ τῶν ἐν μέ-
» ρει· καὶ ταῦτα διὰ τῶν καθόλου, κατασκευάσαι δὲ οὐκ ἔστι διὰ τῶν κατὰ μέρος τὰ καθόλου. δι᾽ ἐκείνων
» δὲ ταῦτά ἐστιν.

Ὅτι φησὶ μᾶλλον τῶν καθόλου τὰ μερικά· δυνατὸν κατασκευάσαι· ἀνασκευάσαι δὲ δυσχερέστερον, καὶ νῦν λόγῳ, πρόδηλόν ἐστιν· ὅτι τὰ μὲν μερικὰ κατασκευάζεται καὶ δι᾽ ἑαυτῶν καὶ διὰ τῶν καθόλου· δι᾽ ἑαυτῶν μὲν, ὡς ὅταν δείξω ὅτι τὸ ζῷον, ἄνθρωπος· καὶ οὐ πᾶν ζῷον ἄνθρωπος· διὰ τῶν καθόλου δὲ, ὡς ὅταν δείξω ὅτι πᾶς ἄνθρωπος ζῷον· ὁ γὰρ πᾶς· δηλονότι καὶ τις. καὶ πάλιν ὅταν δείξω ὅτι οὐδεὶς λίθος ἄνθρωπος. δῆλον ὅτι καὶ οὐ πᾶς· εἴρηται γὰρ πολλάκις πῶς λαμβάνεται ἡ μερικὴ ἀποφατική. κατασκευάζεται μὲν διχῶς τὰ μερικά· ἀνασκευάζεται δὲ μόνως διὰ τῶν καθόλου. τὸ μὲν τις, διὰ τοῦ οὐδείς· καὶ τὸ οὐ πᾶς, διὰ τοῦ πᾶς· τὰ μέντοι καθόλου, κατασκευάζεται μὲν μόνως δι᾽ ἑαυτῶν. ἀνασκευάζεται δὲ καὶ δι᾽ ἑαυτῶν, καὶ διὰ τῶν μερικῶν· τὸ μὲν πᾶς, διὰ τοῦ οὐδεὶς καὶ οὐ πᾶς. τὸ δὲ οὐδεὶς, διὰ τοῦ πᾶς καὶ τις.

» ΑΜΑ δὲ δηλονότι καὶ τὸ ἀνασκευάζειν ἐστὶ τοῦ κατασκευάζειν ῥᾷον. πῶς μὲν οὖν γίνεται πᾶς
» συλλογισμὸς, καὶ διὰ πόσων ὅρων καὶ προτάσεων καὶ πῶς ἐχουσῶν πρὸς ἀλλήλας· ἔτι δὲ ποῖον πρό-
» βλημα ἐν ἑκάστῳ σχήματι, καὶ ποῖον ἐν πλείοσι καὶ ποῖον ἐν ἐλάττοσι δείκνυται δῆλον ἐκ τῶν εἰ-
» ρημένων.

Οὐ καθόλου δὲ ἐκλαβεῖν τοῦτο, ἐπεὶ ψευδής ἔσται ὁ λόγος· τὰ γὰρ μερικὰ μᾶλλον κατασκευάζεται· ἢ ἀνασκευάζεται, ὡς δέδεικται· ὥστε ἐπὶ τῶν καθόλου, τοῦτο ἀληθεύει μόνον.

συλλογισμόν. εἰ ἄγνοι ἡμᾶς ἐκλαθεῖν τοῦτο, ὡς ἐπὶ δύο προτάσεων γυμναζομένου τοῦ λόγου. δύο γὰρ οὐσῶν προτάσεων, ἐὰν εἰς τὸ μέσον παρεμπέσῃ ὅρος, τῷ ἑτέρῳ διαστήματι αἴτιος γίνεται τοῦ ποιῆσαι συμπέρασμα. οἷον, τὸ β γ. μέσον γὰρ τοῦ α β τεθὲν τὸ ε. ἐποίησε τοῦ α πρὸς τὸ β συμπέρασμα. ὃ δὲ πρὸς τὸ ἓν μόνον διάστημα, ὃ ποιεῖ συμπέρασμα. πρὸς τὸ ἕτερον ποιήσει, δῆλον ὅτι ἐπεὶ ἐὰν μὴ ὡς ἐπὶ δύο προτάσεων λάβωμεν ἀλλ᾽ ὡς ἐπὶ πλειόνων, ψεῦδος ἔσται ὁ λόγος. ἐκκείσθωσαν γὰρ πάλιν τεσσάρων ὅρων τῶν α β γ δ τρεῖς προτάσεις. παρεμπιπτέτω δὲ τὸ ε μεταξὺ τοῦ β γ. δῆλον ἄρα ὅτι ἐν ἑνὶ μὲν διαστήματι, αἴτιος γίνεται ὁ παρεμπεσὼν τοῦ ποιῆσαι συμπέρασμα τὸ ζ γ. πρὸς δὲ τὰ λοιπὰ διαστήματα, ὃ ποιήσει. λέγω δὴ τὸ α β. καὶ γ δ. ὁμοίως δὲ ἐπὶ πλειόνων ὃ ποιήσει. ἐὰν ὦσι πλείονα τὰ διαστήματα.

» ΩΣΤΕ πολὺ πλείω τὰ συμπεράσματα καὶ τῶν ὅρων ἔσται καὶ τῶν προτάσεων.

Ἐὰν γὰρ ὑπόκεινται ἐξ ἀρχῆς τέσσαρες ὅροι, δῆλον ὅτι προτάσεις μὲν τρεῖς εἰσι. συμπεράσματα δὲ γ. τοῦ α πρὸς τὸ γ. καὶ τοῦ β πρὸς τὸ δ. καὶ τοῦ α πάλιν πρὸς τὸ δ. ἐὰν προστεθῇ ἕτερος ὅρος. οἷον, τὸ ε. προστίθενται ἄλλα τρία συμπεράσματα. τοῦ α πρὸς ε. καὶ τοῦ β πρὸς τὸ γ. καὶ τοῦ ε πρὸς τὸ δ, ὡς γίνεσθαι πάντα τὰ συμπεράσματα ἕξ. εἰσὶ δὲ οἱ πάντες ὅροι ε. προτάσεις δὲ δ. πλείω ἄρα τὰ συμπεράσματα καὶ τῶν ὅρων καὶ τῶν προτάσεων. καὶ ὅσῳ προστίθεμεν ὅρους, τοσούτῳ αὔξομεν τὰ συμπεράσματα. ἕκτου γ᾽ οὖν ὅρου προστεθέντος, γίνονται συμπεράσματα δέκα. ἑβδόμου ιε. ὥστε ἅμα τῶν προτάσεων τε καὶ τῶν ὅρων πλείω εἶναι. ὅροι μὲν γὰρ ἑπτά. προτάσεις δὲ ἕξ. ὡς γίνεσθαι τὰ πάντα ιγ. συμπεράσματα δὲ ιε. καὶ οὕτως ἀεὶ προστιθεμένου ὅρου, αὔξεται τῶν συμπερασμάτων ὁ ἀριθμός. πλείονα δὲ δηλονότι τὰ συμπεράσματα λέγομεν, τῶν μόνως προτάσεων. τῶν μήποτε μὲν συμπερασμάτων. ποτὲ δὲ ὡς προτάσεων λαμβανομένων. πρὸς γὰρ τὴν κατασκευὴν τοῦ β συμπεράσματος, τὸ προσλαβὸν συμπέρασμα πρότασις γίνεται. οἷον συμπεράναντες τὸ α πρὸς τὸ γ. εἰ βουλόμεθα πάλιν τὸ α πρὸς τὸ δ συμπερᾶναι, λαμβάνομεν πρότασιν τὴν α γ. ἥτις ἦν πρὸ τούτου συμπέρασμα. καὶ τὴν γ δ. πάλιν ἐὰν πρὸς τὸ ε τὸ α βουλώμεθα συμπερᾶναι, λαμβάνομεν τὴν α δ πρότασιν. ἥτις ἦν συμπέρασμα. καὶ τὴν δε. καὶ οὕτως ἐπὶ πάντων προτάσεων γινομένων. ἀλλ᾽ ἀεὶ ἥμισυ. δεῖ γὰρ καθ᾽ ἕκαστον συμπέρασμα, προτάσεις δύο λαμβάνειν. ἀλλ᾽ ὁ ἀριστοτέλης ὡς ἁπλῶς τῶν μόνως προτάσεων πλείω λέγει εἶναι τὰ συμπεράσματα.



» ΕΠΕΙ δ᾽ ἔχομεν περὶ ὧν οἱ συλλογισμοί, καὶ ποῖον ἐν ἑκάστῳ σχήματι.

Δῆλον ὅτι περὶ τῶν προβλημάτων. καὶ ποῖον ἐν ἑκάστῳ σχήματι. τουτέστι συμπέρασμα. ὅτι ἐν μὲν τῷ α πάντα. καὶ τὸ καθόλου. καὶ τὸ μερικόν. καὶ τὸ καταφατικόν. καὶ ἀποφατικόν.

» ΚΑΙ ποσαχῶς δείκνυται.

Ὅτι τὸ μὲν καθόλου καταφατικὸν καὶ ἐν τῷ πρώτῳ μόνῳ καὶ ἐν ἑνὶ τρόπῳ. τὸ δὲ καθόλου ἀποφατικὸν καὶ ἐν τῷ α καὶ ἐν τῷ β. καὶ ἐν μὲν τῷ πρώτῳ ἅπαξ. ἐν δὲ τῷ τρίτῳ, δίς. τὸ δὲ μερικὸν ἀποφατικόν, ἐν τοῖς τρισὶ σχήμασι. καὶ ἐν μὲν τῷ α ἅπαξ. ἐν δὲ τῷ β δίς. ἐν δὲ τῷ, τρίς.

» ΦΑΝΕΡΟΝ ἡμῖν δὲ καὶ ποῖον πρόβλημα χαλεπόν. καὶ ποῖον εὐεπιχείρητον. τὸ μὲν γὰρ ἐν
» πλείοσι σχήμασι καὶ διὰ πλειόνων πτώσεων περαινόμενον, ῥᾷον. τὸ δ᾽ ἐν ἐλάττοσι καὶ δι᾽ ἐλαττόνων, δυσ
» επιχειρητότερον. τὸ μὲν οὖν καταφατικὸν τὸ καθόλου, διὰ τοῦ πρώτου σχήματος δείκνυται μόνου. καὶ
» τούτου μοναχῶς. τὸ δὲ στερητικόν, διὰ τοῦ α καὶ διὰ τοῦ μέσου. καὶ διὰ μὲν τοῦ α, μοναχῶς, διὰ δὲ τοῦ
» μέσου, διχῶς. τὸ δ᾽ ἐν μέρει καταφατικόν, διὰ τοῦ α καὶ διὰ τοῦ ἐσχάτου. μοναχῶς μὲν διὰ τοῦ α. τριχῶς
» δὲ διὰ τοῦ ἐσχάτου. τὸ δὲ στερητικὸν τὸ κατὰ μέρος, ἐν ἅπασι τοῖς σχήμασι δείκνυται. πλὴν ἐν μὲν τῷ
» πρώτῳ, ἅπαξ. ἐν δὲ τῷ μέσῳ καὶ τῷ ἐσχάτῳ, ἐν τῷ μὲν διχῶς. ἐν τῷ δέ, τριχῶς. φανερὸν οὖν ὅτι τὸ κα
» θόλου κατηγορικόν, κατασκευάσαι μέν, χαλεπώτατον. ἀνασκευάσαι δέ, ῥᾷον. ὅλως δ᾽ ἐστὶν ἀναιροῦν
» τι μὲν τὰ καθόλου τῶν ἐν μέρει, ῥᾷστον.

Σκοπὸς διὰ τούτων τὸ δεῖξαι ποῖον τῶν προβλημάτων δυνατὸν ῥᾷστον κατασκευάσαι. καὶ ποῖον οὔ. καὶ ποῖον εἰς τὸ ἀνασκευάσαι ῥᾴδιον. καὶ ποῖον οὔ. φησὶν οὖν ὅτι τὰ ἐν πλείοσι σχήμασι δεικνύμενα καὶ διὰ πλειόνων τρόπων, ταῦτα κατασκευάσαι μὲν εὐχερές. ταῦτα δέ ἐστι τὰ μερικά. διότι φησὶ τὰ μερικὰ κατασκευάσαι βουλόμενοι. καὶ δι᾽ αὐτῶν καὶ διὰ τῶν καθόλου κατασκευάζομεν. ἀνασκευάζομεν δὲ διὰ μόνων τῶν καθόλου. ἐάν τε γὰρ δείξω ὅτι τινί. καὶ πάλιν ὅτι παντί, τὸ μερικὸν κατεσκεύασα καταφατικόν. ἀνασκευάζω δὲ αὐτὸ μόνον διὰ μόνου τοῦ καθόλου ἀποφατικοῦ. τὸ δὲ καθόλου καταφατικὸν κατασκευάζεται μὲν μόνως δι᾽ ἑαυτοῦ. ἀνασκευάζεται δὲ διὰ τοῦ καθόλου ἀποφατικοῦ. καὶ διὰ

Δ ῆλον ὅτι πότε ἐστὶ τὸ διὰ προσυλλογισμοῦ. ὅταν τὰς προτάσεις κατασκευάζοντες ἄλλοθεν ἀγωγῇ συλλογιστικῇ χρησώμεθα. οἷον πόθεν ὅτι τὸ δίκαιον καλόν. λέγομεν οὕτως. τὸ δίκαιον τάξεως αἴτιον. τὸ τάξεως αἴτιον, καλόν. τὸ δίκαιον ἄρα καλόν. τὸ δὲ διὰ πλειόνων μέσων ὅταν σύνθετον ποιῶμεν τὸν λόγον, τάσσοντες μεταξὺ τοῦ δικαίου καὶ τοῦ καλοῦ, τὸ τάξεως αἴτιον. καὶ πάλιν τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ τὸ ἐφετόν. καὶ τὰ ἐφεξῆς πάσας τὰς προτάσεις συνυφαίνομεν, ὡς ἤδη εἴπομεν. τὸ δὲ μὴ συνεχῶν. τουτέστιν ὅταν οἱ παραλαμβανόμενοι ὅροι ἔξωθεν μὴ συνεχεῖς ὦσιν ἀλλήλοις. οἷον, παρελήφθησαν εἰς τὴν κατασκευὴν τοῦ, ὅτι τὸ δίκαιον ἀγαθόν. δύο ὅροι τὸ τάξεως αἴτιον, καὶ τὸ ἐφετόν. ἀλλ' οὗτοι οὐκ ἐφεξῆς ἀλλήλοις ἐτέθησαν. ἀλλὰ παρ' ἑκάτερα τοῦ μέσου ὅρου. λέγω δὴ τοῦ καλοῦ. πλὴν ὅτι ἐπὶ τῶν ἔξωθεν παρεμπιπτόντων ὅρων μὴ κατὰ συνέχειαν τιθεμένων εἴπομεν. ταῦτα καὶ ἐπὶ τῶν κατὰ συνέχειαν τιθεμένων ἀπαραλλάκτως ἀκολουθεῖ. ἀλλ' ὡς τοῦτο μᾶλλον ἀμφίβολον τέθεικεν ὁ ἀριστοτέλης. τίθενται δὲ τῶν παρεμπιπτόντων ἔξωθεν ὅρων ἐφεξῆς οἱ τοιοῦτοι. ὡς ὅταν ὅτι τὸ καλὸν ἀγαθόν. διὰ μέσου τοῦ ἐφετοῦ, καὶ τοῦ συμφέροντος κατασκευάζωμεν. τούτους γὰρ ἐφεξῆς τάττομεν. τὸ καλὸν, ἐφετόν. τὸ ἐφετὸν, συμφέρον. τὸ συμφέρον, ἀγαθόν.

» Η γὰρ ἔξωθεν ἢ εἰς τὸ μέσον τεθήσεται ὁ παρεμπίπτων ὅρος. ἀμφοτέρως δὲ συμβαίνει ἐν ἐλάττω
» εἶναι τὰ διαστήματα τῶν ὅρων.

Ε ἀν ἔχωμεν τρεῖς ὅρους ἐκκειμένους τοὺς α β γ. δεόμεθα ἄλλου τινὸς ὅρου, πάσα ἀνάγκη τοῦτον ἔξωθεν τούτων τίθεσθαι, ἢ πρὸ τοῦ α λέγω ἢ μετὰ τὸ γ. ἢ μεταξύ. ἢ τοῦ α β. ἢ τοῦ β γ.

» ΑΙ δὲ προτάσεις ἴσαι τοῖς διαστήμασιν, οἱ μὲν τοι αἱ μὲν ἀεὶ ἄρτιαι ἔσονται. οἱ δὲ, περιττοί. ἀλλ' ἐναλ-
» λάξ. ὅταν μὲν αἱ προτάσεις ἄρτιαι, περιττοὶ οἱ ὅροι. ὅταν δὲ οἱ ὅροι ἄρτιοι, περιτταὶ αἱ προτάσεις.

Ι σμεν ὅτι κατὰ ἄλλην μὲν διαίρεσιν πρότασις, τὸ αὐτό. κατὰ ἄλλην δὲ, διάστημα καλεῖται. ὡς πόθεν ποι. ἐπειδὴ οὖν ταυτὸν τῷ ὑποκειμένῳ, δηλονότι καὶ ἰσάριθμος.

» ΑΜΑ γὰρ τῷ ὅρῳ μία προστίθεται πρότασις, ἂν ὁποθενοῦν προστεθῇ ὁ ὅρος. ὥστ' ἐπεὶ αἱ μὲν
» ἄρτιαι. οἱ δὲ περιττοὶ ἦσαν, ἀνάγκη παραλλάττειν τῆς αὐτῆς προσθέσεως γινομένης. τὰ δὲ συμπεράσμα-
» τα, οὐκέτι τὴν αὐτὴν ἕξει τάξιν. οὔτε πρὸς τοὺς ὅρους, οὔτε πρὸς τὰς προτάσεις. ἑνὸς γὰρ ὅρου προστιθεμέ-
» νου, συμπεράσματα προστεθήσεται ἐν ἐλάττω τῶν προϋπαρχόντων ὅρων.

Κ ατασκευή τοῦ ὅτι ἀνάγκη τοὺς ὅρους ταῖς προτάσεσιν ἐνηλλαγμένως ἔχειν κατὰ τὸ ἄρτιον καὶ τὸ περιττόν. ἂν γὰρ τοῖς προκειμένοις ὅροις φησὶν, ἕτερος ὅρος προστεθῇ, ἐξ ἀνάγκης εὐθὺς καὶ ἑτέρα προστίθεται πρότασις. ἀνάγκη πᾶσα τῆς αὐτῆς προσθέσεως γινομένης τοῖς τε ὅροις καὶ ταῖς προτάσεσιν. ἐναλλάττειν τούτοις κατὰ τὸ ἄρτιον, καὶ τὸ περιττόν. ἔστωσαν γὰρ τρεῖς ὅροι, δύο δὲ προτάσεις. ὥστε αἱ μὲν προτάσεις ἄρτιαι. οἱ δὲ ὅροι περιττοί. προστεθῇ ἕτερος καὶ διὰ τοῦτο πρότασις ἑτέρα. ὥστε γεγόνασιν ἐναλλάξ. αἱ μὲν προτάσεις περιτταί. τρεῖς γάρ, οἱ δὲ ὅροι ἄρτιοι. τέσσαρες γάρ.

» ΠΡΟΣ μόνον γὰρ τὸν ἔσχατον ὅρον οὐ ποιεῖ συμπέρασμα. πρὸς δὲ τοὺς ἄλλους πάντας. οἷον εἰ τῷ α
» β γ πρόσκειται τὸ δ, εὐθὺς καὶ συμπεράσματα δύο πρόσκειται. τό, τε πρὸς τὸ α καὶ τὸ πρὸς τὸ β. ὁ-
» μοίως δὲ κἀπὶ τῶν ἄλλων.

Υ ποτιθέμενος ἔξωθεν προστιθέμενον τὸν ὅρον, τοῦτο λέγει. ὅτι ἑνὸς ὅρου προστεθέντος, ἀνάγκη ἐν ἔλαττω τῶν ὑπαρχόντων ὅρων προστίθεσθαι συμπέρασμα. δῆλον ἐντεῦθεν. δίχα γὰρ μόνου τοῦ ἐσχάτου μεθ' ὃν κεῖται ὁ προστεθείς. εἴτε ἐν ἀρχῇ εἴτε ἐν τῷ τέλει. ἐπὶ πρὸς τοὺς ἄλλους πάντας ποιεῖ συμπεράσματα. ὑποκείσθωσαν γὰρ τέσσαρες οἱ α β γ δ. εἶτα προστιθέσθω ὁ ε. δῆλον ἄρα ὅτι δυνατὸν συμπλέκεσθαι πρὸς αὐτὸν πάντας τοὺς ἄλλους. δίχα τοῦ ἐσχάτου λέγω δὴ τοῦ δ.





» ΚΑΝ γὰρ εἰς τὸ μέσον δὲ παρεμπίπτῃ, τὸν αὐτὸν τρόπον. πρὸς ἕνα γὰρ μόνον οὐ ποιήσει συλ-
» λογισμόν.

Υ ποθέμενος ἔξωθεν προστιθέμενον τὸν ὅρον, νῦν φησιν ὅτι κἂν εἰς τὸ μέσον προστεθῇ, τὸ αὐτὸ πάλιν συμβήσεται. τουτέστιν ἐν ἐλάττω τῶν προκειμένων ὅρων συμβήσεται συμπεράσματα. ἂν γὰρ τὸ ε μεταξὺ τῶν ἄλλων προστεθῇ. οἷον τοῦ β γ, πάλιν ἔσται τρία τὰ προστιθέμενα συμπεράσματα. τοῦ α πρὸς τὸ ε. καὶ τοῦ β πρὸς τὸ γ. καὶ τοῦ ε πρὸς τὸ δ. τούτων δὲ οὐδὲν ἦν ἐξ ἀρχῆς. ἀλλὰ τοῦ α πρὸς τὸ γ. καὶ τοῦ β πρὸς τὸ δ. καὶ τοῦ γ πρὸς τὸ ε. ἐπειδὴ δὲ φησὶν ὁ ἀριστοτέλης ὅτι πρὸς ἕνα γὰρ μόνον οὐ ποιεῖ συλλογισμόν.

ἢ καὶ τὰ ὁμολογηθέντα ἀνατίθεται. διόπερ ἵνα λάθωμεν αὐτόν, λαβόντες τὴν προτέραν πρότασιν. ὅτι ἡ ἡδονὴ ἐφετόν. μακρὸν κατατείνομεν περὶ τοῦ ἐφετοῦ λόγον. τί δήποτέ ἐστι τὸ ἐφετόν. καὶ ποσαχῶς λέγεται. καὶ μυρία ἄλλα τοιαῦτα. βουλόμενοι κρύψαι τὴν ἀκολουθίαν τοῦ συλλογισμοῦ. ἵνα ἐκκρούσαντες τῆς πρώτης προτάσεως. μετὰ πολλὰ καὶ τὴν ἑτέραν ἐρωτῶμεν. ἡ πᾶσα ἔφεσις ἀγαθοῦ ἔφεσις. καὶ λαβόντες τοῦτο, συνάπτομεν τὰς προτάσεις, καὶ ἀποφαινόμεθα τὸ συμπέρασμα. τοῦτο οὖν ἐστιν ὅ φησιν ἢ κρύψεως. τουτέστιν ἀποκρύψασθαι βουλόμενοι τὴν ἀκολουθίαν τοῦ συλλογισμοῦ, ἔξωθέν τισι πολλάκις κεχρήμεθα. τὸ δὲ ἢ ἄλλου τινὸς τῶν τοιούτων χάριν. τουτέστι μήκους λόγων καὶ ἀναπληρώσεως. ἢ χάριτός τινος ἵνα μὴ ξηρὸς ἢ ὁ λόγος. καὶ μάλιστα ὅταν πρὸς ἰδιώτην διαλεγώμεθα ἢ ἐπίδειξιν ὁρᾷ. ὡς ὅταν εἰπόντες τὸ δίκαιον καλόν. τὸ καλὸν ἀγαθόν, ἀποτείνωμεν περὶ τοῦ καλοῦ μακρὸν λόγον.

» ΕΙ δὲ μὴ γίνεται ἐκ τῶν γ΄ δ΄ μηδὲν συμπέρασμα, μάτην τὰ ἄλλα εἰλῆφθαι συμβαίνει. καὶ μὴ τοῦ
» ἐξ ἀρχῆς, εἶναι τὸν συλλογισμὸν ὥστε φανερόν, ὅτι πᾶσα ἀπόδειξις καὶ πᾶς συλλογισμός, ἔσται διὰ τριῶν
» ὅρων μόνων. τούτου δ᾽ ὄντος φανεροῦ, δῆλον ὡς καὶ ἐκ δύο προτάσεων καὶ οὐ πλειόνων. οἱ γὰρ τρεῖς ὅροι,
» δύο προτάσεις.

T αὕτης ἕνεκεν τῆς λέξεως ἐπισημαντέον αὐτήν. δῆλον γὰρ ὅτι περὶ τῶν ά β΄ ὁ λόγος. ὑποθέμενος γὰρ ἀμφότερα τὰ ά β΄ συνάγοντα τὸ έ. τὰ πρὸ μικροῦ εἰπών. εἰ δὲ ἐκ τῶν ά β΄ μὴ τὸ έ. ἀλλ᾽ ἄλλο γίνεται συμπέρασμα, ἀκόλουθον ἦν ἐπαγαγεῖν. εἰ δὲ μὴ γίνεται ἐκ τῶν ά β΄ μηδὲν συμπέρασμα. ἔχει δὲ ἡ λέξις γ΄ δ΄. ὥστε δῆλον ὅτι ἡμάρτηται.

» ΕΙ ΜΗ προσλαμβάνοιτό τι. καθάπερ ἐν τοῖς ἐξ ἀρχῆς ἐλέχθη, πρὸς τὴν τελείωσιν τῶν συλλογισμῶν.

T τουτέστιν εἰ μὴ δι᾽ ἐπαγωγῆς ἢ διὰ προσυλλογισμοῦ τὰς προτάσεις κατασκευάσομεν.

» ΦΑΝΕΡΟΝ οὖν ὡς ἐν ᾧ λόγῳ συλλογιστικῷ μὴ ἄρτιαί εἰσιν αἱ προτάσεις, δι᾽ ὧν γίνεται τὸ
» συμπέρασμα τὸ κύριον, ἔνια γὰρ τῶν ἄνωθεν συμπερασμάτων ἀναγκαῖον εἶναι προτάσεις, οὗτος ὁ
» λόγος ἢ οὐ συλλελόγισται ἢ πλείω τῶν ἀναγκαίων ἠρώτηκε πρὸς τὴν θέσιν.

E ἰδεδείχεται ὅτι αἱ συνεκτικώταται τοῦ συλλογισμοῦ προτάσεις δύο εἰσί. τῶν γὰρ πρὸ συλλογισμῶν δηλονότι τὰ συμπεράσματα, προτάσεις τοῦ προκειμένου συλλογισμοῦ γίνονται. ἀνάγκη ἄρα ἐν ᾧ συλλογισμῷ πλείους εἰσὶ τῶν δύο προτάσεις. τοῦτον ἢ μηδὲ ὅλως εἶναι συλλογισμόν. οἷον εἰ λέγοιμι ὁ ἵππος ζῷον. ὁ κύων τετράπους. ὁ ἄνθρωπος δίπους. ἢ πλείω τῶν ἀναγκαίων καὶ συνεκτικωτάτων τοῦ προκειμένου συλλογιζόμενος εἴρηται περὶ τοῦ προσδιαλεγομένου οἷον ἢ βουλόμενος δεῖξαι ὅτι ὁ ἄνθρωπος οὐσία, εἴπω ὅτι ὁ ἄνθρωπος γελαστικόν. τὸ γελαστικόν, ζῷον. τὸ ζῷον, οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. δῆλον γὰρ ὅτι περιττὴ ἡ τοῦ γελαστικοῦ πρόσθεσις. ἤρκει γὰρ ζῷον εἰπόντι δεῖξαι αὐτόθεν ὅτι οὐσία.

» ΚΑΤΑ μὲν οὖν τὰς κυρίας προτάσεις λαμβανομένων τῶν συλλογισμῶν, ἅπας ἔσται συλλογισμός, ἐκ προτάσεων μὲν ἀρτίων, ἐξ ὅρων δὲ περιττῶν. ἑνὶ γὰρ πλείους οἱ ὅροι τῶν προτάσεων.

T ὁ προκείμενον διὰ τούτων δεῖξαι ὅπως ἔχουσι πρὸς ἀλλήλας κατὰ ἀριθμὸν οἵ τε ὅροι καὶ αἱ προτάσεις καὶ τὰ συμπεράσματα. φησὶν οὖν ὅτι ἐὰν τὰς κυριωτάτας λάβωμεν τοῦ συλλογισμοῦ προτάσεις. αἱ μὲν προτάσεις ἄρτιαι ἔσονται. οἱ δὲ ὅροι περιττοί. τουτέστι δύο μὲν αἱ προτάσεις. τρεῖς δὲ οἱ ὅροι.

» ΤΑ δὲ συμπεράσματα, ἡμίση τῶν προτάσεων.

T ουτέστιν ἓν ἐστὶ τούτων τὸ συμπέρασμα. τῶν γὰρ προτάσεων δύο οὐσῶν τὸ ἥμισυ τούτων ἓν δηλονότι. ἐὰν δὲ διὰ προσυλλογισμῶν κατασκευάζωμεν, συνθετὸς ὁ συλλογισμός. τουτέστιν ἐὰν τῶν πρὸ συλλογισμῶν τὰ συμπεράσματα ἀλλήλοις συνάψαντες, οὕτω προάγωμεν τὸν λόγον. οἷον, τὸ δίκαιον τάξεως αἴτιον. τὸ τάξεως αἴτιον, καλόν. τὸ καλόν, ἐφετόν. τὸ ἐφετόν, ἀγαθόν. τὸ δίκαιον ἄρα ἀγαθόν. ὁμοίως φησὶν οἱ μὲν ὅροι ἑνὶ πλείους εἰσὶ τῶν προτάσεων. οὐκέτι δὲ πάντως. οἱ μὲν ὅροι περιττοί. ἄρτιαι δὲ αἱ προτάσεις. καὶ ὅλως δὲ ἀντικειμένως ἔχουσι. τῶν γὰρ ὅρων περιττῶν ὄντων, αἱ προτάσεις ἄρτιαί εἰσι καὶ ἐναλλάξ. τὸ δὲ συμπέρασμά φησιν ἐν τούτοις, οὐκέτι τὴν αὐτὴν ἔχει τάξιν. οὐ γὰρ ἡμίση ἐστὶ τῶν προτάσεων. ἀλλὰ πολλῷ πλείονα καὶ τῶν ὅρων καὶ τῶν προτάσεων. τοῖς γὰρ ἐξ ἀρχῆς φησι συμπεράσμασιν ὑποκειμένοις. ἑνὶ ἐλάττω τῶν ὑπαρχόντων ὅρων προστίθεται συμπεράσματα. ὃ δὲ λέγει τοῦτό ἐστιν. ἐὰν ὦσι τρεῖς ὅροι. τὸ ά. τὸ β΄. τὸ γ΄, ἓν ποιοῦσι συμπέρασμα τοῦ ά πρὸς τὸ γ΄. ἐὰν προστεθῇ ἕτερος ὅρος. οἷον, τὸ δ΄. τῶν προϋπαρχόντων ὅρων ὄντων δὲ τριῶν. τὸ ά. τὸ β΄. τὸ γ΄. ἑνὶ ἐλάττω ἕτερα προστίθεται συμπεράσματα. τουτέστι δύο. ὥστε εἶναι τὰ πάντα τρία συμπεράσματα. ἦν δὲ ἐξ ἀρχῆς τὸ ά πρὸς τὸ γ΄. γίνεται νῦν καὶ τοῦ β΄ πρὸς τὸ δ΄. καὶ τοῦ ά πρὸς τὸ δ΄. ἡ αὐτὴ ἀκολουθία ἐπὶ πάντων ἀεὶ τῶν προσυλλογισμῶν.

» ΟΤΑΝ δὲ διὰ προσυλλογισμῶν περαίνηται, ἢ διὰ πλειόνων μέσων μὴ συνεχῶν. οἷον τὸ ά β΄.
» διὰ τῶν γ΄ δ΄. τὸ μὲν πλῆθος τῶν ὅρων ὡσαύτως ἑνὶ ὑπερέξει τὰς προτάσεις.

α β΄ προτάσεις τὸ ε συνάγουσιν, ἔχομεν τὸ ζητούμενον. ὅτι ἐκ δύο προτάσεων μόνων γίνεται ὁ συλλογισμός. αἱ δὲ γ΄ δ΄. εἰ μὲν καὶ αὗται τὸ ε συνάγουσιν. ἐν ἔσται καὶ τὸ αὐτὸ συμπέρασμα διὰ πλειόνων συλλογισμῶν περαινόμενον. ὥστε πάλιν πλείους οἱ συλλογισμοί. εἰ δὲ αἱ γ΄ δ΄ τῶν α β΄ θάτερον συνάγουσι. διὰ προσυλλογισμῶν ἔσται δεδειγμένον τὸ ε. πρὸς συλλογισμοῦ γὰρ αἱ γ΄ δ΄ προτάσεις συνάγουσαι μίαν τῶν α β΄ προτάσεων. ἐξ ὧν τὸ ε συνήχθη. εἰ δὲ ἄλλό τι συνάγουσιν αἱ γ΄ δ΄ προτάσεις, οὐ μόνον πλείους οἱ συλλογισμοί. ἀλλὰ καὶ ἀσυνάπτοι ἀλλήλοις. ἄλλος γὰρ συλλογισμὸς ὁ διὰ τῶν α β΄ συνάγων τὸ ε. καὶ ἄλλος ὁ διὰ τῶν γ΄ δ΄ ἕτερόν τι συνάγων φέρε εἰπεῖν τὸ ζ. οὕτω μὲν οὖν εἰ ὑποθώμεθα τὰ μὲν α β΄ συνάγοντα τὸ ε. τὸ δὲ γ΄ δ΄ ἢ αὐτὸ τὸ ε ἢ τῶν α β΄ θάτερον. ἢ ἄλλό τι παρὰ ταῦτα. ὁμοίως δὲ κἂν ὑποθώμεθα τὸ α β΄ συνάγον ἢ τῶν γ΄ δ΄ θάτερον. ἢ ἄλλό τι παρὰ ταῦτα, ἀδιάφορος δείκνυται ὁ λόγος. εἰ μὲν γὰρ ἄλλό τι παρὰ ταῦτα συνάγοιεν αἱ α β΄ γ΄ δ΄ καὶ αὗται ἄλλο παρὰ τὰ κείμενα καὶ πλείους οἱ συλλογισμοί. καὶ οὐ τοῦ προκειμένου. πρόκειται δὲ τὸ ε συμπέρασμα. εἰ δὲ τῶν α β΄ θάτερον. διὰ προσυλλογισμῶν ἄλλό τι πάλιν καὶ οὐ τὸ προκείμενον δείξομεν. προσυλλογισμὸς γὰρ τὸ γ΄ δ΄ τοῦ α β΄ συνάγοντος, ἄλλό τι τῶν προκειμένων. εἰ δὲ τὸ α β΄ τῶν γ΄ δ΄ τι συνάγοι. τὰ δὲ γ΄ δ΄ εἰ τὸ μὲν ε πάλιν διὰ προσυλλογισμῶν περαίνομεν, ἔχομεν τὸ ζητούμενον ὅτι αἱ κύριαι προτάσεις αἱ συνάγουσαι τὸ ε, δύο εἰσὶν αἱ γ΄ δ΄. εἰ δὲ εἰ τῶν α β΄ θάτερον. ἢ ἄλλό τι παρὰ ταῦτα ὁμοίως καὶ πλείους οἱ συλλογισμοὶ καὶ οὐ τοῦ προκειμένου. ὥστε πανταχόθεν δέδεικται ὅτι ἀνάγκη διὰ δύο μόνων προτάσεων τῶν κυριωτάτων, πάντα συλλογισμὸν γίνεσθαι.

ΟΥΚΟΥΝ ἀνάγκη τι αὐτῶν ἄλλο πρὸς ἄλλο εἰλῆφθαι. τὸ μὲν, ὡς ὅλον. τὸ δὲ ὡς μέρος. τοῦτο γὰρ δέδεικται πρότερον. ὅτι ὄντος συλλογισμοῦ, ἀναγκαῖον οὕτω τινὰς ἔχειν τῶν ὅρων. ἐχέτω οὖν τὸ α οὕτως πρὸς τὸ β΄. ἔστιν ἄρα τι ἐξ αὐτῶν συμπέρασμα. οὐκοῦν ἤτοι τὸ ε ἢ τῶν γ΄ δ΄ θάτερον. ἢ ἄλλό τι παρὰ ταῦτα. καὶ εἰ μὲν τὸ ε ἐκ τῶν α β΄ μόνων ἂν εἴη ὁ συλλογισμός. τὸ δὲ γ΄ δ΄. εἰ μὲν ἔχει οὕτως ὥστ᾽ εἶναι τὸ μὲν, ὡς ὅλον. τὸ δὲ ὡς μέρος, ἔσται τι καὶ ἐξ ἐκείνων. καὶ ἤτοι τὸ ε. ἢ τῶν α β΄ θάτερον. ἢ ἄλλό τι παρὰ ταῦτα.

ἐπὶ τοῦ τὴν μὲν περιέχειν τῶν προτάσεων. τὴν δὲ περιέχεσθαι. περιέχει δὲ καὶ ἡ μείζων. ἡ δὲ ἐλάττων περιέχεται. ἐὰν γὰρ εἴπω ὅτι οὐσία παντὶ ζώῳ. ζῷον παντὶ ἀνθρώπῳ. δῆλον ὅτι περιεκτικωτέρα τε καὶ καθολικωτέρα ἡ μείζων ἡ λέγουσα οὐσία παντὶ ζώῳ. ἔχει γὰρ τὸν μείζονα ὅρον τὴν οὐσίαν. ὃς περιέχει καὶ τὸ ζῷον καὶ τὸν ἄνθρωπον.

ΚΑΙ εἰ τὸ μὲν ε. ἢ τῶν α β΄ θάτερον, ἢ πλείους ἔσονται οἱ συλλογισμοί. ἢ ὡς ἐνδέχεται ταυτὸ διὰ πλειόνων ὅρων περαίνεσθαι συμβαίνει. εἰ δ᾽ ἄλλό τι παρὰ ταῦτα. πλείους ἔσονται. καὶ ἀσύναπτοι οἱ συλλογισμοὶ πρὸς ἀλλήλους.

πλείους μὲν οὖν γίνονται ἐὰν τῶν α β΄ θάτερον. διότι καὶ τὰ συμπεράσματα, ἕτερα. τὸ δὲ ἢ ὡς ἐνδέχεται τὸ αὐτὸ διὰ πλειόνων ὅρων περαίνεσθαι ἐὰν τὸ ε συνάγουσι, σημαίνει δὲ αὐτὸ τοῦτο τάς τε διὰ διαφόρων μέσων τὸ αὐτὸ συναγούσας προτάσεις. καὶ τὰς διὰ διαφόρων μὲν μέσων, διὰ πλειόνων δὲ σχημάτων ὁμοίως τὸ αὐτὸ συναγούσας συμπέρασμα. ὅτι δὲ καὶ ἐν τοῖς τοιούτοις πλείονες οἱ συλλογισμοὶ ἄπορον οὐδέν.

ΕΙ δὲ μὴ οὕτως ἔχει τὸ γ΄ πρὸς τὸ δ΄ ὥστε ποιεῖν συλλογισμόν, μάτην ἔσται εἰλημμένα.

ἐπισημαντέον τῇ λέξει. ὑποθέμενος γὰρ ἐπὶ τῶν γ΄ δ΄ προτάσεων πάσας τὰς ἄλλας ὑποθέσεις. ἢ γὰρ ἔχουσί φησι σχέσιν πρὸς ἀλλήλας ἢ οὐκ ἔχουσι. καὶ εἰ μὲν ἔχουσιν ἢ τὸ ε συνάγουσιν. ἢ τῶν α β΄ θάτερον. ἢ ἄλλο τι παρὰ ταῦτα. ταῦτα οὖν πάντα ὑπέθετο. νῦν δὲ ὑποτίθεται. ὅτι εἰ μὴ ἔχουσι σχέσιν, οὐδὲ συμπεραίνουσί τι. ἐπισημειωσάμενοι δὲ τοῦτο. ὅτι ὑποκάτω καὶ τὰς λοιπὰς ὑποθέσεις ἐπὶ τοῦ α β΄ γυμνάζων. μόνον γὰρ γυμνάζων τὸ α β΄, τὸ ε πῶς ὑπέθετο. ἐπάγει μὴ γίνεσθαι ἐκ τῶν γ΄ δ΄ μηδὲν συμπέρασμα. δέον εἰπεῖν ἐκ τῶν α β΄. ἤδη γὰρ ἐνταῦθα ὑπέθετο τὸ γ΄ δ΄ μηδὲν συμπεραίνειν. δῆλον ἄρα ὅτι γραφικὸν ἐνταῦθα ἐστὶ τὸ σφάλμα. πάντα γὰρ τὰ βιβλία, οὕτως ἔχουσιν.

ΕΙ μὴ ἐπαγωγῆς ἢ κρύψεως, ἤ τινος ἄλλου τῶν τοιούτων χάριν. εἰ δὲ ἐκ τῶν α β΄ μὴ τὸ ε. ἀλλ᾽ ἄλλό τι γίνεται συμπέρασμα. ἐκ δὲ τῶν γ΄ δ΄ ἢ τούτων θάτερον, ἢ ἄλλο παρὰ ταῦτα, πλείους τε οἱ συλλογισμοὶ γίνονται. καὶ οὐ τοῦ ὑποκειμένου. ὑπέκειτο γὰρ εἶναι τοῦ ε τὸν συλλογισμόν.

ἐὰν φησι τῶν α β΄ σχέσιν ἐχουσῶν πρὸς ἀλλήλας. καὶ διὰ τοῦτο συναγουσῶν τι συμπέρασμα, αἱ γ΄ δ΄ προτάσεις ἄσχετοι ὦσι, μάτην εἰλημμέναι ἔσονται. εἰ μὴ φησιν ἐπαγωγῆς ἢ κρύψεως ἕνεκα παρελήφθησαν. ἐπαγωγῆς μέντοι ἀντὶ τῆς καθ᾽ ἕκαστα ἐπαγωγῆς. ὥσπερ καὶ ἀνωτέρω λαβόντες. ὅτι πᾶσα τέχνη ὠφέλιμος τῷ βίῳ καὶ χαλκευτικὴ καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τὸ δὲ κρύψεως, τουτέστιν ὅταν βουλώμεθα τοὺς σοφιστὰς συλλογίσασθαί τι. φέρε εἰπεῖν ὅτι ἡ ἡδονὴ ἀγαθόν ἐστι. προτείνομεν αὐτοῖς. ὅτι οὐ δοκεῖ σοι ἡ ἡδονὴ ἐφετὸν εἶναι. εἶτα αὐτὴν λαβόντες τὴν πρότασιν ἐὰν εὐθὺς ἑτέραν ἐπαγάγωμεν λέγοντες. τί δὲ οὐχὶ τὸ ἐφετὸν ἀγαθὸν συναισθόμενος τοῦ συμπεράσματος, οὐ συγχωρεῖ τῇ προτάσει.

ἢ καὶ τὰ

τὸ γ΄ καὶ τὸ δ΄.

» Ἢ διὰ τῶν α΄ β΄ καὶ α΄ γ΄. καὶ β΄ γ΄. πλείω γὰρ μέσα τῶν αὐτῶν, οὐδὲν εἶναι κωλύει. τούτων δὲ ὄν-
» των, οὐχ εἷς, ἀλλὰ πλείους εἰσὶν οἱ συλλογισμοί.

Τοῦτο παράδειγμα τοῦ ἐν διαφόροις τοῖς σχήμασιν τὸ αὐτὸ συμπέρασμα δείκνυσθαι. ἐπειδὴ ὡς εἴπομεν τὸ αὐτὸ μερικὸν ἀποφατικὸν δείκνυται ἐν τοῖς τρισὶ σχήμασι. οἷον, τὸ λευκὸν οὐ παντὶ ἀνθρώπῳ ἐν τῷ α΄ οὕτως. λευκὸν οὐδενὶ ἀϊδίῳ. ἀΐδιον τινὶ ἀνθρώπῳ. καὶ συνάγεται λευκὸν οὐ παντὶ ἀνθρώπῳ. καὶ ἐν τῷ β΄, ἀΐδιον οὐδενὶ λευκῷ. ἀΐδιον τινὶ ἀνθρώπῳ. καὶ λευκὸν οὐ παντὶ ἀνθρώπῳ. καὶ ἐν τῷ γ΄. λευκὸν οὐδενὶ ἀϊδίῳ. ἄνθρωπος τινὶ ἀϊδίῳ. καὶ λευκὸν οὐ παντὶ ἀνθρώπῳ. ἡ γὰρ μείζων ἐν τῷ πρώτῳ σχήματι ἀντιστρεφομένη, ποιεῖ τὸ δεύτερον. λέγω δὴ ἡ ἀποφατική. ἐπειδὴ γὰρ λευκὸν οὐδενὶ ἀϊδίῳ. καὶ ἀΐδιον οὐδενὶ λευκῷ γίνεται οὖν τὸ δεύτερον. ἐὰν δὲ τὴν ἐλάττω τοῦ πρώτου ἀντιστρέψωμεν. λέγω δὴ τὴν καταφατικήν, γίνεται τὸ γ΄ σχῆμα. εἰ γὰρ ἀΐδιον τινὶ ἀνθρώπῳ. καὶ ἄνθρωπος τινὶ ἀϊδίῳ. ὅρα οὖν πῶς διὰ τῆς τῶν στοιχείων ἐναλλαγῆς τοῦτο ἐσήμανε. τὸ μὲν γὰρ α΄ β΄. τὸ πρῶτον σχῆμα δηλοῖ. ἔστι δὲ τὸ μὲν α΄ ἡ ἐλάττων καταφατικὴ πρότασις. τὸ δὲ β΄ ἡ μείζων καὶ ἀποφατική. ἐπειδὴ οὖν ἐν τῷ β΄ φυλάττομεν τὴν ἐλάττονα. ἀντιστρέφομεν δὲ τὴν μείζονα. διατοῦτο τὸ β΄ διὰ τοῦ α΄ γ΄ ἐδήλωσε. φυλάξας μὲν τὸ α΄, ἀμείψας δὲ τὸ β΄. πάλιν ἐπειδὴ ἐν τῷ γ΄ φυλάττομεν τὴν μείζονα. ἀντιστρέφομεν δὲ τὴν ἐλάττονα. διατοῦτο καὶ αὐτὸς ἐφύλαξε μὲν τὸ β΄. ἤμειψε δὲ τὸ α΄ εἰς τὸ γ΄. τὸ γὰρ β΄ γ΄ τὸ τρίτον σημαίνει σχῆμα.

» Ἢ πάλιν ὅταν ἑκάτερον τῶν α΄ β΄ διὰ συλλογισμοῦ ληφθῇ, οἷον τὸ α΄ διὰ τῶν δ΄ ε΄. καὶ πάλιν τὸ β΄.
» διὰ τῶν ζ΄ θ΄.

Τουτέστιν ὅταν αἱ παραλαμβανόμεναι δύο προτάσεις προσυλλογισμῶν δέωνται. ἐδείκνυμεν γὰρ ὅτι τὸ δίκαιον καλόν. διὰ τοῦ ὅτι τὸ δίκαιον ἐπαινετόν. καὶ τὸ ἐπαινετὸν καλόν. καὶ ὅτι τὸ καλὸν ἀγαθὸν δι᾽ ὧν ἐδείξαμεν, τὰς τῶν προσυλλογισμῶν οὖν προτάσεις αὐτῷ σημαίνει τὸ δ΄ ε΄ καὶ τὸ ζ΄ θ΄.

» Ἢ τὸ μὲν ἐπαγωγῇ. τὸ δὲ, συλλογισμῷ. ἀλλὰ καὶ οὕτως πλείους οἱ συλλογισμοί.

Πολλάκις φησὶν ἡ μὲν τῶν προτάσεων συλλογισμοῦ δεῖται πρὸς κατασκευήν. ἡ δὲ ἑτέρα ἐπαγωγῆς. οἷον βουλόμεθα δεῖξαι ὅτι ἡ ἰατρικὴ χρήσιμος τῷ βίῳ. καὶ λέγομεν οὕτως. ἡ ἰατρικὴ τέχνη. πᾶσα τέχνη χρήσιμος τῷ βίῳ. ἡ ἰατρικὴ ἄρα χρήσιμος τῷ βίῳ. τούτων τῶν προτάσεων τὴν μὲν διὰ συλλογισμοῦ κατασκευάζομεν. ὅτι ἡ ἰατρικὴ τέχνη. ἰατρικὴ μέθοδός ἐστιν ὁδοποιητική. πᾶσα μέθοδος ὁδοποιητικὴ τέχνη ἐστί. ἡ ἰατρικὴ ἄρα τέχνη ἐστί. τὴν δὲ λέγουσαν ὅτι πᾶσα τέχνη χρήσιμος τῷ βίῳ, μόνως δι᾽ ἐπαγωγῆς κατασκευάζομεν. δείξαντες ὅτι πᾶσαι αἱ κατὰ μέρος τέχναι χρήσιμοι τῷ βίῳ.

» ΠΛΕΙΩ γὰρ τὰ συμπεράσματά ἐστιν. οἷον τό, τε α΄ καὶ τὸ β΄ καὶ τὸ γ΄.

Ὅταν γὰρ δῆλον ὅτι διὰ προσυλλογισμοῦ τὴν α΄ πρότασιν κατασκευάζωμεν συμπέρασμα ποιοῦμεν τὸ α΄. ὁμοίως καὶ ἐπὶ τῆς β΄ προτάσεως. ἐκ δὲ τούτων τῶν συμπερασμάτων τοῦ α΄ καὶ τοῦ β΄ προτάσεων γινομένων συμπεραίνομεν τὸ γ΄. Ἰστέον δὲ ὅτι ἀντὶ τοῦ ε΄ τὸ γ΄ ἐνταῦθα παρέλαβεν. ἔδει γὰρ εἰπεῖν τὸ ε΄ εἶναι τοῦ β΄ συμπέρασμα.

γ pro ε.

» ΕΙ Δ᾽ οὖν μὴ πλείους ἀλλ᾽ εἷς, οὕτω μὲν ἐνδέχεται γίνεσθαι διὰ πλειόνων τὸ αὐτὸ συμπέρασμα.
» ὡς δὲ τὸ γ΄ διὰ τῶν α΄ β΄, ἀδύνατον.

Βούλεται εἰπεῖν τοῦτό ἐστιν. ὅτι ὁ διὰ πλειόνων ὅρων δεικνύμενος συλλογισμὸς εἷς λέγοιτο οὐ προσυλλογισμῶν φημὶ, οὕτως ἂν λέγοιτο εἷς ὡς σύνθετος. ὡς μέντοι ἁπλοῦς, οὐδαμῶς. πάλιν δὲ τὸ γ΄ ἀντὶ τοῦ ε΄ παρέλαβεν.

» ΕΣΤΩ γὰρ τὸ ε΄ συμπεπερασμένον ἐκ τῶν α΄ β΄ γ΄ δ΄.

Τὸ προκείμενον ἦν δεῖξαι ὅτι διὰ δύο μόνων προτάσεων τῶν προσεχῶν καὶ κυρίων τοῦ συμπεράσματος γίνεται ὁ συλλογισμὸς καὶ οὐ πλειόνων. δείκνυσιν οὖν τοῦτο διὰ τούτων. εἰ γὰρ ἐγχωρεῖ φησιν, ὑποκείσθω διὰ τῶν α΄ β΄ γ΄ δ΄ γινόμενος συλλογισμός. τουτέστι διὰ δ΄ προτάσεων. ἕκαστον γὰρ στοιχεῖον ὡς πρότασιν λαμβάνει. καὶ περαινέτωσαν αἱ προτάσεις αὗται τὸ ε΄. ἐπειδὴ οὖν φησι δέδεικται. ὅτι αἱ ποιοῦσαι τὸν συλλογισμὸν προτάσεις, ἔχουσι τινὰς πρὸς ἀλλήλας σχέσεις. διελὼν εἰς δύο τὰς τέσσαρας ταύτας προτάσεις, περὶ ἑκατέρου τμήματος ἐρωτήσαι μι. αἱ γὰρ α΄ β΄ προτάσεις ἢ ἔχουσι σχέσιν πρὸς ἑαυτὰς ἢ οὐκ ἔχουσι. καὶ εἰ μὲν οὐκ ἔχουσι, μάταιαι ἔσονται παρειλημμέναι. δεῖ γὰρ τὰς τοῦ συλλογισμοῦ προτάσεις, σχέσιν ἔχειν πρὸς ἀλλήλας. ὥστε αὗται σχέσιν μὴ ἔχουσαι, οὐ ποιοῦσι συλλογισμόν. εἰ δὲ ἔχουσι σχέσιν πρὸς ἀλλήλας. ἤτοι τὸ ε΄ τὸ προκείμενον ἡμῖν ἐξ ἀρχῆς συμπεραίνουσιν, ἢ τῶν γ΄ δ΄ προτάσεων θάτερον. ἢ ἄλλό τι παρὰ ταῦτα. πάλιν αἱ γ΄ δ΄ προτάσεις ἢ ἔχουσι πρὸς ἀλλήλας σχέσιν. ἢ οὐκ ἔχουσι, καὶ εἰ μὲν μὴ ἔχουσιν ἅτε μηδὲν συμπεραίνουσαι, μάταιαι ἔσονται εἰλημμέναι. εἰ δὲ ἔχουσιν, ἢ ποιοῦσι τὸ ε΄ συνάγουσιν. ἢ τῶν α΄ β΄ θάτερον. ἢ ἄλλό τι παρὰ ταῦτα. τούτων οὕτως ἐξ ἀνάγκης ἐχόντων. εἰ μὲν αἱ

διότι ἐλλείπει ἔξωθεν πρότασις δὲ πλείων δεῖξαι τοῦ δεικνυμένου. δυνάμει μέντοι ἐν ἔστιν ἡ ἐλλείπουσα πρότασις ἐν τῷ συλλογισμῷ. ἐλλείπει μὲν γὰρ ὅτι τὸ αὐτοκίνητον, ἀεικίνητον. τὸ ἀεικίνητον δὲ ἐξ ἀνάγκης ἀθάνατον. δυνάμει μέντοι ἐν τῷ αὐτοκινήτῳ ἐστὶ καὶ τὸ ἀεικίνητον. πᾶν γὰρ αὐτοκίνητον ἀεικίνητόν ἐστι.

» ΔΗΛΟΝ δὲ καὶ ὅτι πᾶσα ἀπόδειξις, ἔσται διὰ τριῶν ὅρων, καὶ οὐ πλειόνων. ἐὰν μὴ δι' ἄλλων τὸ
» αὐτὸ συμπέρασμα γίνηται.

Τ ὸ προκείμενον δῆλον. βούλεται γὰρ δεῖξαι ὅτι πᾶς συλλογισμὸς διὰ τριῶν ὅρων μόνων καὶ οὐ πλειόνων γίνεται. βουλόμεθα γὰρ ἐν τῷ συλλογίζεσθαι τί ὑπάρχον ἢ μὴ ὑπάρχον δεικνύναι. ἔχομεν οὖν τούτους δύο ὅρους. δείκνυμεν δὲ τὴν τούτων σχέσιν πρὸς ἀλλήλους, διά τινος ἀλλοτρίου ὅρου, σχέσιν ἔχοντος πρὸς ἀμφοτέρους, καὶ δι' ἑαυτοῦ ἢ συνάγοντος, ἢ διιστῶντος τοὺς ἄκρους. ὥστε τριῶν ὅρων μόνων χρεία ἡμῖν ἐν τῷ συλλογισμῷ. εἰ μή φησι δι' ἄλλων καὶ ἄλλων τὸ αὐτὸ συμπέρασμα γίνηται. τουτέστιν εἰ μὴ διαφόροις αὐτὸ χρήσεσιν τὸ αὐτὸ βουλόμεθα κατασκευάσαι. τότε γὰρ κεχρήμεθα ἄλλῳ τινὶ μέσῳ ὅρῳ. οἷον βουλόμενος ὁ Πλάτων κατασκευάσαι ὅτι ἀθάνατος ἡ ψυχή. ποτὲ μὲν κατασκευάζει διὰ τοῦ μέσου τοῦ ἀεικινήτου. ὥσπερ ἐν τῷ Φαίδρῳ. ποτὲ δὲ διὰ τοῦ αὐτῷ τῷ εἶναι ζωῆς αὐτὴν φέρειν τοῖς σώμασιν ὡς ἐν τῷ Φαίδωνι. ποτὲ δὲ διὰ τοῦ ὑπὸ τῆς ἰδίας κακίας μὴ φθείρεσθαι ὡς ἐν τῷ Κρατύλῳ. πᾶν γὰρ τὸ φθειρόμενον ὑπὸ τῆς ἰδίας φθείρεται κακίας. ἡ δὲ ψυχὴ ὑπὸ τῆς ἰδίας κακίας οὐ φθείρεται. ἡ ψυχὴ ἄρα οὐ φθείρεται τὸ σχῆμα β'. πάλιν ὅτι ἄνθρωπος οὐσία κατασκευάζομεν. ποτὲ μὲν διὰ μέσου τοῦ ζώου, ποτὲ δὲ διὰ μέσου τοῦ ἐμψύχου. πᾶς ἄνθρωπος ζῶον. πᾶν ζῶον οὐσία. πᾶς ἄρα ἄνθρωπος οὐσία. καὶ ἐπὶ τοῦ ἑτέρου ὁμοίως. ὅταν δὲ τοῦτο κατασκευάζομεν, ἐν μὲν συνάγομεν συμπέρασμα οὐχ ἕνα μέντοι συλλογισμόν. διαφόρους γὰρ τοὺς μέσους παρελήφαμεν. καὶ διαφόρους διὰ τοῦτο προτάσεις. οὐδὲ γὰρ ταὐτόν ἐστι τὸ εἰπεῖν ὅτι ὁ ἄνθρωπος ἔμψυχος, τῷ εἰπεῖν ὅτι ὁ ἄνθρωπος ζῶον. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὥστε πλείονές εἰσιν οἱ συλλογισμοί. ὁμοίως δέ φησι καὶ ἐὰν τῷ αὐτῷ μὲν μέσῳ ὅρῳ χρησώμεθα μὴ τὴν αὐτὴν μέντοι σχέσιν ἔχοντι πρὸς τὸ ἄκρον. τὸ αὐτὸ μὲν πάλιν συμπεραινόμεθα δι' ἄλλων μέντοι καὶ ἄλλων. καὶ πάλιν διὰ τοῦτο οὐχ εἷς ὁ συλλογισμός. ἀλλὰ πλείους. διὰ τὴν διάφορον τοῦ μέσου σχέσιν. αὐτὸς γάρ ἐστιν ὁ τὸ κῦρος ἔχων ἐν τοῖς συλλογισμοῖς. οἷον ὅταν τὸ μερικὸν ἀποφατικὸν δεικνύωμεν. καὶ διὰ τοῦ πρώτου καὶ διὰ τοῦ δευτέρου καὶ διὰ τοῦ τρίτου σχήματος. καὶ ἐνταῦθα γὰρ ἓν μὲν τὸ συμπέρασμα. πλείονες δὲ οἱ συλλογισμοί. κἂν διὰ προσυλλογισμῶν δὲ κατασκευάζηται ὁ συλλογισμός, οὐδὲν ἧττον πλείους οἱ συλλογισμοί. ἐπεὶ καὶ τὰ συμπεράσματα ἐνταῦθα πλείονα. ἀεὶ γὰρ τὸ συμπερανθὲν ἐν τῷ πρώτῳ συλλογισμῷ, τοῦ ἐφεξῆς ποιούμεθα πρότασιν. οἷον ὡς ὅταν βουλώμεθα δεῖξαι ὅτι τὸ δίκαιον ἀγαθόν ἐστι διὰ μέσου τοῦ καλοῦ οὕτως. τὸ δίκαιον, καλόν. τὸ καλόν, ἀγαθόν. τὸ δίκαιον ἄρα ἀγαθόν. τοῦτον οὖν τὸν συλλογισμὸν κατασκευάζομεν διὰ προσυλλογισμῶν. πόθεν γὰρ ὅτι τὸ δίκαιον καλόν. τὸ δίκαιον ἐπαινετόν. οὐδεὶς γὰρ ἐπαινεῖ τοὺς ἀδίκους, ἀλλὰ τοὺς δικαίους, καὶ αὐτοὶ οἱ τὰ ἄδικα πράττοντες. τὸ ἐπαινετὸν καλόν. τὸ δίκαιον ἄρα καλόν. πόθεν δὲ ὅτι τὸ καλὸν ἀγαθόν. λέγομεν πάλιν οὕτως τὸ δίκαιον, καλόν. τὸ καλόν, ἐφετόν. ἐπιστρέφει γὰρ εἰς ἑαυτὸ τὸ καλόν. καὶ ἐραστὰς ἑαυτοῦ ποιεῖ. ὅθεν ἔχει καὶ τοὔνομα. ὡς καλοῦν πάντα πρὸς ἑαυτό. καὶ καλεῖται καλὸν ἀγαθόν. πόθεν ὅτι τὸ ἐφετόν, ἀγαθόν. τὸ ἐφετόν, συμφέρον. οὐδεὶς γὰρ τῶν βλαπτόντων ἐφίεται. τὸ ἐφετὸν ἄρα ἀγαθόν. πόθεν τὸ δίκαιον ὅτι ἀγαθόν. τὸ δίκαιον ἐφετόν. τὸ ἐφετὸν συμφέρον. οὐδεὶς γὰρ τῶν βλαπτόντων ἐφίεται. τὸ δίκαιον ἄρα συμφέρον. τὸ δίκαιον συμφέρον. τὸ συμφέρον ἀγαθόν. τὸ δίκαιον ἄρα ἀγαθόν. ὥστε κἂν διὰ προσυλλογισμῶν περαίνωμεν, πλείονές εἰσιν οἱ συλλογισμοί. εἰ μέντοι μὴ διὰ προσυλλογισμῶν περαίνομεν. ἀλλ' αὐτὰ τὰ συμπεράσματα ἀποσιωπῶντες, ἕνα ποιοῦμεν συλλογισμόν. οἷον, τὸ δίκαιον ἐπαινετόν. τὸ ἐπαινετὸν καλόν. τὸ καλόν, ἐφετόν. τὸ ἐφετόν, συμφέρον. τὸ συμφέρον, ἀγαθόν. τὸ δίκαιον ἄρα ἀγαθόν. οὗτός φησιν ὁ συλλογισμός, διὰ πλειόνων μὲν ὅρων περαίνεται. σύνθετος μέντοι ἐστὶ καὶ οὐχ ἁπλοῦς. περὶ δὲ τῶν ἁπλῶν ὁ λόγος. ὅτι ἀνάγκη διὰ τριῶν καὶ μόνων ὅρων περαίνεσθαι. ὃ ποτε κἀνταῦθα οἱ προσεχῶς ὅροι, καὶ τὸ κῦρος ἔχοντες τρεῖς εἰσιν οἱ καὶ τὸ προκείμενον κατασκευάσαντες. τὸ δίκαιον. τὸ συμφέρον. τὸ ἀγαθόν.

» ΟΙΟΝ τὸ ε διά τε τῶν α β καὶ τῶν γ δ.

Τ οῦτο παράδειγμά ἐστι τοῦ δι' ἄλλου καὶ ἄλλου μέσου περαινομένου συμπεράσματος. ὡς τὸν ἄνθρωπον εἶναι οὐσίαν. διά τε τοῦ ζώου. καὶ διὰ τοῦ ἐμψύχου. καὶ τὴν ψυχὴν διά τε τοῦ ἀεικινήτου. καὶ τοῦ αὐτοκινήτου. λαμβάνει δὲ τὸ μὲν ε συμπέρασμα. τὸ δὲ α καὶ β δύο προτάσεις. καὶ πάλιν ἑτέρας δύο

[Marginal notes, handwritten:] χρίτωνι — καλὸν unde dicitur.

γωνίαι ἴσαι ἡμικυκλίου δὲ γωνίαι. ἡ α γ. β δ. ἴσαι ἀλλήλαις ἔσονται. λαμβάνομεν γὰρ ἐνταῦθα οὐ τὰς ἰσοσκελοῦς τὰς γωνίας. ἀλλὰ τῶν ἡμικυκλίων τῶν τεμνομένων διὰ τῶν α β εὐθειῶν τῶν ἠγμένων διὰ τοῦ κέντρου. ἔχει οὖν τινας ὅτι τοῦ ἡμικυκλίου ἴσαι εἰσὶν αἱ γωνίαι. ἐπειδὴ ἡ βάσις τοῦ τριγώνου τμῆμά τι τοῦ κύκλου ἀποτέμνει. παντὸς δὲ τμήματος κύκλου ἴσαι εἰσὶν αἱ γωνίαι. ἴσαι ἄρα εἰσὶ καὶ αἱ γ δ τοῦ τμήματος γωνίαι. οὐκοῦν ἴση μὲν ἡ α γ τῇ β δ γωνίᾳ. τουτέστι τοῦ ἡμικυκλίου. ἴσαι δὲ καὶ αἱ τοῦ τμήματος ἡ γ καὶ ἡ δ. ἐὰν δὲ ἀπὸ ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα γίνεται. ἀφαιρεθεισῶν ἄρα ἐκ τῶν α γ καὶ α δ γωνιῶν. ἴσων οὐσῶν αἱ γ καὶ δ ἴσαι οὖσαι. τὰ καταλειφθέντα ἴσα ἐπάνοσαι. λέγω δὴ τὴν ε καὶ τὴν ζ γωνίαν. αὗται δ᾽ εἰσὶ τοῦ ἰσοπλεύρου γωνίαι. οὕτως οὖν ὁ γεωμέτρης πανταχοῦ τὴν καθόλου λαμβάνει πρότασιν. εἰ δὲ ταύτης, οὐκ ἂν συνελογίσατο. ὃ γὰρ εἶπεν ὅτι ἴση ἐστὶν ἡ α γ γωνία τῇ β δ. μὴ εἰπὼν ὅτι παντὶ ἡμικυκλίου ἴσαι εἰσὶν αἱ γωνίαι, οὐ συνελογίζετο. ἀλλὰ τὸ ἀμφίβολον ὡς ὁμολογούμενον καὶ ἐλάμβανεν. ὁμοίως δὲ καὶ τὴν γ καὶ δ ἔλεγεν ἴσας εἶναι. μὴ προστιθεὶς ὅτι καὶ παντὶ τμήματος ἴσαι εἰσὶν αἱ γωνίαι, αἴτημα ἦν καὶ οὐ συλλογισμὸς τὸ λεγόμενον. καὶ πάλιν ὃ ἔλεγεν. ἐπειδὴ ἀφέλομεν ἀπὸ τῶν α γ καὶ β δ γωνιῶν τὴν γ καὶ τὴν δ. ἀνάγκη τὰς καταλειπομένας ε καὶ ζ ἴσας εἶναι. μὴ προστιθεὶς ὅτι ἀπὸ δὲ τῶν ἴσων ἴσα ἀφαιρεθέντα, τὰ καταλειπόμενά ἐστιν ἴσα. ὅτι οὐκ ἂν γένοιτο συλλογισμὸς δίχα καθολικῆς προτάσεως.

ΟΤΙ τὸ μὲν καθόλου, ἐξ ἁπάντων τῶν ὅρων καθόλου δείκνυται.

Οὐδέποτε γὰρ γίνεται συμπέρασμα καθόλου, μὴ πασῶν τῶν προτάσεων καθόλου οὐσῶν.

ΤΟ δ᾽ ἐν μέρει. καὶ οὕτω κἀκείνως. ὥστε ἂν μὲν ᾖ τὸ συμπέρασμα καθόλου, καὶ τοὺς ὅρους ἀνάγκη καθόλου εἶναι. ἐὰν δὲ οἱ ὅροι καθόλου, ἐνδέχεται τὸ συμπέρασμα μὴ εἶναι καθόλου.

Δύναται γὰρ μερικὸν συνάγεσθαι συμπέρασμα καὶ μὴ οὐσῶν ἀμφοτέρων τῶν προτάσεων καθόλου. οἷά ἐστι τὰ ἐν τῷ πρώτῳ σχήματι μερικὰ συμπεράσματα. ἐνδέχεται δὲ καὶ τὰς μὲν προτάσεις καθόλου εἶναι. τὸ δὲ συμπέρασμα μερικόν, ὥσπερ τὰ ἐν τῷ τρίτῳ σχήματι.

ΔΗΛΟΝ δὲ καὶ ὅτι ἐν ἅπαντι συλλογισμῷ, ἢ ἀμφοτέρας ἢ τὴν ἑτέραν πρότασιν ὁμοίαν ἀνάγκη γίνεσθαι τῷ συμπεράσματι. λέγω δ᾽ οὐ μόνον τῷ καταφατικὴν εἶναι ἢ στερητικήν, ἀλλὰ τῷ ἀναγκαίαν ἢ ὑπάρχουσαν. ἢ ἐνδεχομένην.

Ἐὰν γὰρ ᾖ καταφατικὸν τὸ συμπέρασμα, ἀνάγκη ἀμφοτέρας εἶναι καταφατικάς. ἐὰν ἀποφατικόν, τὴν ἑτέραν. ἐὰν ἀναγκαῖον. ἢ ἐνδεχόμενον. ἢ ὑπάρχον. ἀμφοτέρας, ἢ τὴν ἑτέραν.

ΕΠΙΣΚΕψασθαι δὲ δεῖ καὶ τὰς ἄλλας κατηγορίας.

Οἷον ἐὰν ἔνδοξον ᾖ τὸ συμπέρασμα ἀληθές, ἀνάγκη ἢ ἀμφοτέρας ἢ τὴν μίαν εἶναι ὁμοίαν. ἐὰν δυνατὸν ἢ τὴν μίαν, ἢ τὰς ἀμφοτέρας ὁμοίας, καὶ ἐὰν ψευδὲς καὶ ἐπὶ πάντων τῶν τοιούτων. πλὴν διαλλάττει μόνον. ἐπὶ τε τοῦ ἀληθοῦς καὶ ἐπὶ τοῦ δήλου. δυνατὸν ἀληθὲς συμπέρασμα ἐκ ψευδῶν προτάσεων συμπεραίνεσθαι. οἷον ἐὰν εἴπω ὅτι ὁ ἄνθρωπος ποιότης. ἡ ποιότης οὐσία. συνάγεται ὅτι ὁ ἄνθρωπος οὐσία. καὶ ἔστιν ἀληθές. αἱ μέντοι προτάσεις ἀμφότεραι εἰσὶ ψευδεῖς. καὶ ἐπὶ τοῦ δήλου δὲ ἁπάντως ἀνάγκη καὶ τὰς προτάσεις δήλας εἶναι. οἷον ἔστιν δῆλον ὅτι ἔστιν ἔκλειψις. ἐὰν οὖν δέοι τοῦτο συλλογίσασθαι, λέγω οὕτως. ἡ σελήνη μὴ ἔχουσα οἰκεῖον τὸ φῶς ἐμπίπτει εἰς τὸ σκίασμα τῆς γῆς. πᾶν τὸ ἐμπίπτον εἰς τὸ σκίασμα τῆς γῆς ὃ μὴ ἔχει οἰκεῖον φῶς, ἐκλιμπάνει. ἡ σελήνη ἄρα ἐκλιμπάνει. εἰσὶ δὲ ἐν τούτῳ τῷ συλλογισμῷ αἱ μὲν προτάσεις ἄδηλαι τοῖς μὴ δι᾽ ἀστρονομίας ἠγμένοις. τὸ μέντοι συμπέρασμα δῆλον. τῇ αἰσθήσει γὰρ ἔχει τὸ πιστόν. φασὶ δὲ ὅτι οὐ πάντως οὐδὲ τὸ ἄδηλον συμπέρασμα. ἀδήλους ἔχει τὰς προτάσεις. εἰ γὰρ δύναιτο ἄδηλον δι᾽ ἀδήλων δείκνυσθαι. πῶς ἂν εἴη δεδειγμένον. ζητητέον δὲ τούτου παράδειγμα.

ΦΑΝΕΡΟΝ ΔΕ καὶ ἁπλῶς, πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός. καὶ πότε δυνατός, καὶ πότε τέλειος. καὶ ὅτι συλλογισμοῦ ὄντος, ἀναγκαῖον ἔχειν τοὺς ὅρους κατά τινα τῶν εἰρημένων τρόπων. [illegible]

Δῆλον ὅτι τέλειοι μὲν οἱ ἐν πρώτῳ σχήματι. ἀτελεῖς δὲ οἱ ἐν δευτέρῳ καὶ τρίτῳ. διότι δέονται ἀντιστροφῆς. οὓς διὰ τοῦ δυνατοῦ συμπαίνει. δυνάμει γὰρ ἔχουσι τὴν τελειότητα καὶ οὐκ ἐνεργείᾳ. ἐὰν δὲ προσκέηται ἔν τισιν ἀντιγράφοις τὸ ἀτελές, τὸ μὲν ἀτελὲς νοήσωμεν ὁμοίως καὶ ἐπὶ τῶν ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι. ἐπειδὴ καὶ αὐτὸς ἀτελεῖς αὐτοὺς ἐκάλεσεν. δυνατοὺς δὲ λέγομεν συλλογισμοὺς τοὺς δεομένους ἔξωθεν προτάσεως εἰς πλήρωσιν τοῦ δηλουμένου. οἷόν τι λέγω. βουλόμενος δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατος. λέγω οὕτως. ὅτι ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον ἀθάνατον. ἡ ψυχὴ, ἄρα ἀθάνατος. λέγω τοῦτον τὸν συλλογισμὸν δυνατὸν εἶναι.


παραλαμβάνειν οὐ τὴν μετάληψιν. οὐ γὰρ ἀεί φησιν ἡ μετάληψις μόνη δεῖται κατασκευῆς, ἀλλ' ἔστιν ὅτε καὶ τὸ συνημμένον. καὶ δεῖ καὶ τοῦτο κατηγορικῶς συλλογίσασθαι. μεταλαμβανόμενον οὖν ἀκουστέον ἁπλῶς τὸ κατασκευῆς δεόμενον. εἴτε τὸ συνημμένον εἴη εἴτε ἡ μετάληψις. πρὸς τοῦτο δὲ καλῶς καὶ ὁ Ἀλέξανδρος, ὅτι κακῶς νενομίκασι. πρὸς γὰρ μόνην τὴν μετάληψιν τοῦτο ἀκουστέον. ἐὰν γὰρ τὸ συνημμένον ἄδηλον ᾖ, οὐδὲ ὅλως γενήσεται συλλογισμός. οὐ γὰρ συγχωρήσει ὁ προσδιαλεγόμενος. οἷον εἰ κινεῖταί τι, τοῦτο καὶ ἵπταται. αὐτόθεν ἐνίσταται τῷ συνημμένῳ. καὶ οὐ συγχωρήσει προβαίνειν τὸν συλλογισμόν. ἡ μέντοι μετάληψις ἐστὶν ἐν τοῖς συλλογισμοῖς ἡ ἀεὶ κατασκευῆς δεομένη. οἷον, εἰ ἄνθρωπος καὶ ζῷον. ἀλλὰ μὴν ἄνθρωπος. τοῦτο λοιπὸν κατασκευάσαι δεῖ. πόθεν γὰρ ὅτι ἄνθρωπος. καὶ ὅτι τοῦτο ἀληθές ἐστι, δῆλον καὶ αὐτός. ὅτι τὸ ἐξ ἀρχῆς αἰτεῖται δι' ὁμολογίας. ὅτι εἰ ἄνθρωπος, καὶ ζῷον. ὥστε τὸ μὲν συνημμένον, ὡς ὁμολογημένον λαμβάνει. τὴν δὲ μετάληψιν, ὡς δεομένην κατασκευῆς. τὸ δὲ ἢ τινος ἄλλης ὑποθέσεως. οἷον ὅτι τὸ ἓν ὑπάρχει τῶν ὁμοειδῶν, τοῦτο καὶ πᾶσιν ὅτι καὶ ὁ Ἀριστοτέλης ἐν τῇ περὶ οὐρανοῦ ἐποίησε. λαβὼν γὰρ ὅτι ὁμοειδῆ τὰ στοιχεῖα. ὅτι φησὶν ἐφ' ἑνὸς εὑρίσκομεν. τοῦτο καὶ ἐπὶ πάντων ὁμολογεῖν ἀνάγκη. καὶ οὕτως συλλογίζεται σφαιρικὰ εἶναι πάντα ἐξ ἑνὸς τῆς σελήνης. ἐκ τῶν φαινομένων αὐτῆς τοῦτο συλλογισάμενος. διαφέρει δὲ τοῦτο τῶν ἄλλων. ἐκεῖ μὲν γὰρ ἐν ἑνὶ λαμβάνομεν ἀκολουθοῦν. εἰ ἄνθρωπος, καὶ ζῷον. εἰ μὴ ζῷον, οὐδὲ ἄνθρωπος. ἐνταῦθα δὲ ἐν ἑνὶ πολλά.

ΕΤΙ δὲ ἐν ἅπαντι δεῖ κατηγορικόν τινα τῶν ὅρων εἶναι. καὶ τὸ καθόλου ὑπάρχειν.

Αὐτὰ τὰ νῦν παραδιδόμενα θεωρήματα ἐκ τῶν προαποδεδειγμένων ἀνακεφαλαιοῦνται. ἐκ γὰρ τῶν προειρημένων φησί, δῆλον ἡμῖν ἐστιν. ὅτι δύο ἀποφατικαὶ ἢ δύο μερικαί, οὐδέποτε ποιοῦσι συλλογισμόν.

ΑΝΕΥ γὰρ τοῦ καθόλου, ἢ οὐκ ἔσται συλλογισμός, ἢ οὐ πρὸς τὸ προκείμενον. ἢ τὸ ἐξ ἀρχῆς αἰτήσεται. κείσθω γὰρ τὴν μουσικὴν ἡδονὴν εἶναι σπουδαίαν. εἰ μὲν οὖν ἀξιώσειεν ἡδονὴν εἶναι σπουδαίαν μὴ προσθεὶς τὸ πᾶσαν, οὐκ ἔσται συλλογισμός. εἰ δὲ τινὰ ἡδονήν, εἰ μὲν ἄλλην, οὐδὲν πρὸς τὸ προκείμενον. εἰ δ' αὐτὴν ταύτην, τὸ ἐξ ἀρχῆς λαμβάνει. μᾶλλον δὲ γίνεται φανερὸν ἐν τοῖς διαγράμμασιν. οἷον ὅτι τοῦ ἰσοσκελοῦς ἴσαι αἱ πρὸς τῇ βάσει. ἔστωσαν εἰς τὸ κέντρον ἠγμέναι αἱ α β. εἰ οὖν ἴσην λαμβάνοι τὴν α γ γωνίαν τῇ β δ μὴ ὅλως ἀξιώσας γωνίας ἴσας τὰς τῶν ἡμικυκλίων. καὶ πάλιν τὴν γ τῇ δ μὴ πᾶσαν προσλαβὼν τὴν τοῦ τμήματος. ἔτι δὲ ἀπ' ἴσων οὐσῶν τῶν ὅλων γωνιῶν, καὶ ἴσων ἀφῃρημένων, ἴσας εἶναι τὰς λοιπὰς τὰς ε ζ, τὸ ἐξ ἀρχῆς αἰτήσεται. ἐὰν μὴ λάβῃ ἀπὸ τῶν ἴσων ἴσα ἀφαιρουμένων ἴσα λείπεσθαι. φανερὸν οὖν ὅτι ἐν ἅπαντι δεῖ καθόλου ὑπάρχειν.

Εἰ μὴ ἔχοιεν φησὶν αἱ ἐν τῷ συλλογισμῷ παραλαμβανόμεναι προτάσεις καθολικὴν πρότασιν, ἀσυλλόγιστοι γίνονται. ἐὰν γὰρ βουληθῇς δεῖξαι ὅτι ἡ μουσικὴ ἡδονὴ σπουδαία ἐστίν, εἴποι. ἡ μουσικὴ ἡδονή, ἡδονή ἐστιν. ἡ ἡδονὴ σπουδαία ἐστίν. εἶτα συμπεράνοι, ἀσυλλόγιστος πέπλακε. ἐπειδὴ αἱ ἀδιόριστοι, ἰσοδυναμοῦσι ταῖς μερικαῖς. Ἢ οὐ πρὸς τὸ κείμενον. τοῦτο οὕτως ἐξηγοῦνται. ἐάν φησιν εἴπω ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν, ἐπάγω τινὰ ἡ ἀπὸ τῆς γεωμετρίας ἡδονὴ σπουδαία ἐστίν. εἶτα συμπεράνω τι οὐ τὸ προκείμενον. ἀλλ' ἄλλο ἐποίησα τὸν συλλογισμόν. μερικὴν δὲ φασὶ λέγομεν εἶναι καὶ ταύτην τὴν πρότασιν. ἐπειδὴ οὐ τὴν καθόλου ἡδονὴν παρελάβομεν. ἀλλὰ τὴν γεωμετρικὴν ἢ καὶ τινά. λέγω οὖν πρὸς τοῦτο ὅτι μάλιστα μὲν εἰπόντες ὅτι ἡ μουσικὴ ἡδονή, ἡδονή ἐστιν. εἶτα ἐπαγαγόντες τινὰ ἡ γεωμετρικὴ ἡδονὴ σπουδαία ἐστίν. ἀλλ' ἐποιήσαμεν τὸν μέσον ὅρον ἄλλον. δεῖ δὲ τὸν αὐτὸν εἶναι ἐν ταῖς δύο προτάσεσιν, ἔπειτα εἰπόντες πᾶσα, καθόλου ἐποιήσαμεν τὴν πρότασιν. ᾧ γὰρ ἂν τὸ πᾶς πρόσκειται, καθόλου γίνεται. πρὸς γὰρ τὸν προσδιορισμὸν οὐ τὸν ὅρον τὸ καθόλου. ὡς ὅταν εἴπω πᾶς ἄνθρωπος. διὰ γὰρ τὸ ζῷον οὐ καθόλου ὁ ἄνθρωπος. αὐτὸς δὲ ὑποθέμενος τὰς δύο μερικάς, οὕτω τὰ ἑξῆς προστίθησι. καὶ οὐδὲ τὸ πᾶς ἐχρήσατο. ὥστε ψευδὴς ἡ τούτων ἐξήγησις. σκόπει οὖν μὴ οὕτω μᾶλλον ἀληθεύει, τὶς τὸ ῥητὸν ἐξηγούμενος. ἐάν φησιν εἴπω ὅτι ἡ μουσικὴ ἡδονὴ ἡδονή ἐστιν. εἶτα προσθῶ τὴν ἑτέραν πρότασιν λέγων τὶς ἡδονὴ σπουδαία ἐστί. ταυτὸν δέ ἐστι κἂν ἀπροσδιόριστον εἴπω. ἐπειδὴ τὸ μερικὸν ἀληθεύει ἐπὶ τινος ἡδονῆς. ταύτην τὴν τινὰ ἡδονὴν εἰπὸν σπουδαίαν εἶναι, τινὰ ἔλαβον. εἰ μὲν ἄλλην τινὰ φέρε εἰπεῖν τὴν γεωμετρικήν, οὐδὲν ἔσται πρὸς τὸ προκείμενον. οὐ γὰρ εἰ ἡ γεωμετρικὴ σπουδαία παρὰ τοῦτο καὶ ἡ μουσική. εἰ δὲ εἶπον τινὰ ἡδονὴν εἶναι σπουδαίαν, ταύτην τὴν τινὰ ἐπὶ τῆς μουσικῆς φέρω. ὥσπερ εἰ ἔλεγον. ἡ μουσικὴ ἡδονή, ἡδονή ἐστιν. ἡ μουσικὴ ἡδονὴ σπουδαία ἐστί. τὸ ἐξ ἀρχῆς αἰτοῦμαι. τουτέστι τὸ ζητούμενον, ὁμολογούμενον ἔλαβον. δῆλος δὲ καὶ ὁ αὐτὸς ἐν τοῖς ἐπαγομένοις τοῦτο βουλόμενος. Μᾶλλον δὲ γίνεται φανερὸν ἐν τοῖς διαγράμμασιν. οἷον, ὅτι τοῦ ἰσοσκελοῦς ἴσαι αἱ πρὸς τῇ βάσει. Ὅτι φησὶν ἀνάγκη πάσαις ἐν τοῖς συλλογισμοῖς εἶναί τινα καθόλου πρότασιν. φανερόν ἐστι μᾶλλον ἐν ταῖς γεωμετρικαῖς μεθόδοις. ὅταν γὰρ ὁ γεωμέτρης βούληται δεῖξαι. ὅτι τοῦ ἰσοσκελοῦς τριγώνου ἴσαι εἰσὶν αἱ πρὸς τῇ βάσει γωνίαι. ἐπειδὴ τὸ ἰσοσκελὲς τρίγωνον γίνεται διὰ τῶν ἀγομένων διὰ τοῦ κέντρου εὐθειῶν γινομένης τῆς βάσεως δι' ἑτέρας εὐθείας ἀποτεμνούσης τμῆμά τι τοῦ κύκλου συλλογίζεται οὕτως. ἐπειδὴ παντὸς ἡμικυκλίου αἱ



γωνίαι

τὸ ἀθάνατον καὶ τὴν ψυχήν, γίνεται δῆλον. ἐν γὰρ τῷ συλλογισμῷ τῷ λέγοντι ὅτι ἡ ψυχὴ αὐτοκίνητος· τὸ αὐτοκίνητον ἀεικίνητον· τὸ ἀεικίνητον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος· συνημμέναι εἰσὶν αἱ προτάσεις πρός τι τὸ ἀθάνατον καὶ τὴν ψυχήν. τὸ δὲ λέγειν ὅτι ὁ πρὸς τοῦτο συλλογισμὸς ἐκ τῶν πρὸς τοῦτο προτάσεων, δοκεῖ περιττὸν καὶ ἀδιαφόρητον εἶναι. πᾶς γὰρ συλλογισμὸς τοῦδε πρὸς τόδε ἐστίν. οὐδεὶς γὰρ ἁπλῶς προστίθεται συλλογίσασθαι ψυχὴν ἢ λίθον ἤ τι τοιοῦτον. ἀλλά τι κατά τινος ἢ ἀπό τινος προστίθεται συλλογίσασθαι. ὅπερ αὐτὸς τοῦδε πρὸς τόδε φησίν. εἰ δὲ λέγοιτο ὅτι ἁπλῶς ὅταν προστιθέμεθα τὰ ὑπάρχοντα τινὶ συλλογίσασθαι, οὐχ ὁρισάμεθα δὲ τοῦδε πρὸς τόδε. ἰστέον ὅτι ἡ μὲν πρόθεσις, συλλογισμὸς οὐκ ἔστιν. αὐτὸς δὲ περὶ συλλογισμῶν φησιν. ὅταν δὲ συλλογισμὸς γένηται, πάντως καὶ πάντως τοῦδε πρὸς τόδε γίνεται. εἰ μή τις εἴποι ὅτι ὅταν εἰ ἔστι τι ἢ μὴ ἔστι ζητῶμεν. ἐνταῦθα γὰρ οὐ τί ὑπάρχει ἢ μὴ ὑπάρχει τῷ πράγματι ζητοῦμεν, ἀλλ' αὐτὸ ὅλως εἰ ἔστιν. εἰ μὴ πάλιν τις λέγοι ὅτι κἀνταῦθα τὸ ἔστιν αὐτοῦ κατηγορεῖται. ὥστε ἔστι τοῦδε πρὸς τόδε. τοῦ ἔστι γὰρ πρὸς τὴν ψυχήν. ὥστε οὐδαμῶς δύναται τοῦτο καθαίρεσθαι τὸ ῥητόν. εἰ μὴ ἀντὶ προτάσεως τις αὐτὸ λάβοι. τοῦτο δὲ πάλιν οὐκ ἔσται ἀληθές. περὶ συλλογισμῶν γὰρ αὐτός φησι.

» ΟΓΑΡ αὐτὸς λόγος καὶ εἰ διὰ πλειόνων συνάπτει πρὸς τὸ β', τὸ αὐτὸ γὰρ ἔσται σχῆμα, καὶ ἐπὶ τῶν
» πολλῶν.

Τουτέστι κἂν μὴ διὰ δύο μόνων προτάσεων περαίνεται ὁ συλλογισμὸς, ἀλλὰ διὰ πλειόνων. πάλιν γάρ φησιν εἰ καὶ μὴ ἀμέσως, ἀλλὰ διά τινων ἄλλων πρὸς τὸν μέσον ὅρον τὰ ἄκρα συνάπτει. τοῦτο δὲ γίνεται, ὅταν αἱ παραλαμβανόμεναι προτάσεις, κατασκευῆς δέονται, ὡς ὅταν βουληθεὶς δεῖξαι ὅτι ἡ ἡδονὴ οὐκ ἀγαθόν, δείξω διὰ μέσου τοῦ ἀτελοῦς. ἡ ἡδονὴ ἀτελές. τὸ δὲ ἀτελὲς οὐκ ἀγαθόν. ἡ ἡδονὴ ἄρα οὐκ ἀγαθόν. πόθεν ὅτι ἀτελὲς ἡ ἡδονή. πᾶσα ἡδονὴ κίνησις. ἡ δὲ κίνησις ἀτελής. ἡ ἡδονὴ ἄρα ἀτελής. πόθεν ὅτι τὸ ἀτελὲς οὐκ ἀγαθόν, καὶ τὸ ἀτελὲς ἢ τῶν ἐνδεῶν, ἢ ὃ ἐκπέπτωκεν τῆς αὐτοῦ τελειότητος, ἀτελές ἐστιν. ἑκάτερον δὲ τούτων οὐκ ἀγαθόν. τὸ ἀτελὲς ἄρα οὐκ ἀγαθόν.

» ΟΤΙ μὲν οὖν οἱ δεικτικοὶ περαίνονται πάντες διὰ τῶν προειρημένων σχημάτων, φανερόν. ὅτι δὲ καὶ
» οἱ εἰς τὸ ἀδύνατον, δῆλον ἔσται διὰ τούτων. πάντες γὰρ οἱ διὰ τοῦ ἀδυνάτου περαίνοντες, τὸ μὲν ψεῦδος
» συλλογίζονται. τὸ δ' ἐξ ἀρχῆς ἐξ ὑποθέσεως δεικνύουσιν, ὅταν ἀδύνατόν τι συμβαίνῃ τῆς ἀντιφάσεως
» τεθείσης. οἷον ὅτι ἀσύμμετρος ἡ διάμετρος, διὰ τὸ γίνεσθαι τὰ περιττὰ ἴσα τοῖς ἀρτίοις συμμέτρου τεθεί-
» σης. τὸ μὲν οὖν ἴσα γίνεσθαι τὰ περιττὰ τοῖς ἀρτίοις, συλλογίζονται. τὸ δ' ἀσύμμετρον εἶναι τὴν διάμε-
» τρον, ἐξ ὑποθέσεως δεικνύουσιν. ἐπεὶ ψεῦδος συμβαίνει διὰ τὴν ἀντίφασιν. τοῦτο γὰρ τὸ διὰ τοῦ ἀδυνάτου
» ἦν συλλογίσασθαι τὸ δεῖξαί τι ἀδύνατον διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. ὥστε ἐπεὶ τοῦ ψεύδους γίνεται
» συλλογισμὸς δεικτικὸς ἐν τοῖς εἰς τὸ ἀδύνατον ἀπαγομένοις, τὸ δ' ἐξ ἀρχῆς, ἐξ ὑποθέσεως δείκνυται,
» τοὺς δὲ δεικτικοὺς πρότερον εἴπομεν ὅτι διὰ τούτων περαίνονται τῶν σχημάτων. φανερὸν οὖν ὅτι οἱ
» διὰ τοῦ ἀδυνάτου συλλογισμοὶ, διὰ τούτων ἔσονται τῶν σχημάτων.

Ἐπεὶ μὴ ἔστιν αὐτόθεν τὸ προκείμενον δεῖξαι, τίθεμεν αὐτὸ ὡς ἐν ὑποθέσει. εἶτα τὴν ἀντίφασιν τούτου ἢ τὸ ἐναντίον λαβόντες ἐκ τῶν ἀμέσων ἢ τοῦτο κατηγορικῶς κατασκευάζομεν. ἐπειδὴ πᾶσα ἀνάγκη ἐν τοῖς τοιούτοις τὸ ἕτερον ἀληθεύεσθαι ἢ ψεύδεσθαι. καὶ εὑρηκότες τοῦτο ψεῦδος ἀκολουθοῦν ἅτε δὴ ψευδῶς εἰλημμένῳ. τοῦτο μὲν ἀπαγορεύομεν. τὴν δὲ ἐξ ἀρχῆς ὑπόθεσιν λοιπὸν ἐξ ἀνάγκης τίθεμεν. τοῦτο οὖν ἐστιν ὅ φησιν ὅτι ἀεὶ ἐν τοῖς δι' ἀδυνάτου συλλογισμοῖς τὸ παραληφθὲν ψεῦδος εἰς κατασκευὴν τοῦ ἀδυνάτου. τοῦτό ἐστι τὸ κατηγορικῶς συλλογιζόμενον. οἷόν φησι καὶ ὁ γεωμέτρης ἐποίησεν. βουλόμενος γὰρ δεῖξαι ὅτι ἡ διάμετρος τῇ πλευρᾷ ἀσύμμετρός ἐστι. καὶ τοῦτο μὴ ἔχων ἐξ εὐθείας δεῖξαι φησιν. ὅτι εἰ μὴ τοῦτο πάντως, σύμμετρος ἔσται. ἀλλὰ μὴν εἰ σύμμετρος ἦν, συμβαίνει τὸν αὐτὸν ἀριθμὸν, ἄρτιον εἶναι καὶ περιττόν. ὅτι ἀνάγκη συμβαίνειν τῆς διαμέτρου συμμέτρου τεθείσης. ἐκβάλλει μὲν τοῦτο, εἰσάγει δὲ ἐξ ἀνάγκης, τὴν ἐξ ἀρχῆς ὑπόθεσιν. λέγω δὴ τὴν ὅτι ἀσύμμετρος. εἰ γὰρ ψεῦδος τὸ σύμμετρος, ἀνάγκη τὸ ἀσύμμετρον ἀληθὲς εἶναι. οὐκοῦν εἰ πᾶς δι' ἀδυνάτου ψεῦδος κατηγορικῶς συλλογίζεται. οἱ δὲ κατηγορικοὶ πάντες ὑπὸ τὰ γ' ἀνάγονται σχήματα. δῆλον ὅτι καὶ οἱ δι' ἀδυνάτου ὑπὸ ταῦτα ἀναχθήσονται. εἴπωμεν δὲ ἤδη καὶ περὶ τῶν λοιπῶν ὑποθετικῶν. πῶς καὶ αὐτοὶ ὑπὸ ταῦτα ἀνάγονται.

Ὅταν ἀδύνατόν τι συμβαίνει τῆς ἀντιφάσεως τεθείσης. ἀντίφασιν λέγει τὸ ἕτερον μόριον τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ ἐξ ἀρχῆς ὑποτεθέντι. οἷον, τῷ ἀσυμμέτρῳ τὸ σύμμετρον.

» ΩΣΑΥΤΩΣ δὲ καὶ οἱ ἄλλοι πάντες οἱ ἐξ ὑποθέσεως. ἐν ἅπασι γὰρ ὁ μὲν συλλογισμὸς γίνε-
» ται πρὸς τὸ μεταλαμβανόμενον. τὸ δ' ἐξ ἀρχῆς, περαίνεται δι' ὁμολογίας. ἢ τινὸς ἄλλης ὑποθέσεως.
» εἰ δὲ τοῦτ' ἀληθὲς, πᾶσαν ἀπόδειξιν, καὶ πάντα συλλογισμὸν, ἀνάγκη γίνεσθαι διὰ τῶν τριῶν τῶν εἰρη-
» μένων σχημάτων. τούτου δὲ δειχθέντος δῆλον ὡς ἅπας τε συλλογισμὸς ἐπιτελεῖται διὰ τοῦ α' σχήματος,
» καὶ ἀνάγεται εἰς τοὺς ἐν τούτῳ καθόλου συλλογισμούς.

Καὶ οἱ ἄλλοι φησὶ συλλογισμοὶ, ὑποθετικοὶ ἀνάγονται ἐπὶ τὰ τρία σχήματα. διότι ἐν πᾶσι τούτοις ἡ μετάληψις κατηγορικῶς συλλογίζεται. οἱ δὲ κατηγορικοὶ, ὑπὸ τὰ τρία σχήματά τινες ἐξέλαβον τὸ με-

Voluptas quomodo probetur non esse ἀγαθόν.

δεῖξις· ὡς ἐκ περιόδου τινὸς, καὶ οὐκ ἄλλο δεῖν δεικνύουσα τὸ προκείμενον.

ΤΟΥΤΩΝ γὰρ δειχθέντων, φανερὸν ἔσται καὶ περὶ τῶν εἰς τὸ ἀδύνατον, καὶ ὅλως τῶν ἐξ ὑποθέσεως. εἰ δὴ δέοι τὸ ά κατὰ τοῦ β΄ συλλογίσασθαι ὡς ὑπάρχον, ἢ μὴ ὑπάρχον, ἀνάγκη λαβεῖν τι κατά τινος. εἰ μὲν οὖν τὸ ά κατὰ τοῦ β΄ ληφθείη, τὸ ἐξ ἀρχῆς ἔσται εἰλημμένον.

Ἐπειδὴ εἴπομεν ὅτι πᾶς ὑποθετικὸς συλλογισμὸς δεῖται πρὸς τὸ πληρωθῆναι κατηγορικοῦ συλλογισμοῦ· δηλονότι ὅταν δειχθῇ πᾶς κατηγορικὸς συλλογισμὸς ὑπὸ τὰ τρία σχήματα ἀναγόμενος, δῆλον ἔσται καὶ περὶ τῶν ὑποθετικῶν οὕτως· ὅτι καὶ αὐτοὶ εἰς ταῦτα ἀναχθήσονται· εἴγε δέονται τῶν κατηγορικῶν οἳ τινὲς εἰς ταῦτα ἀνάγονται.

ΕΙ δὲ κατὰ τοῦ γ΄· τὸ δὲ γ΄ κατὰ μηδενός.

Ἵνα γένηται τὸ πρῶτον σχῆμα· εἴγε ἐλήφθη κατά τινος τὸ γ΄.

ΜΗ δ' ἄλλο κατ' ἐκείνου.

Δηλονότι τοῦ γ΄ ἵνα γένηται τὸ τρίτον σχῆμα· εἰ γὰρ ληφθέντος τοῦ ά κατὰ τοῦ γ΄, ἐλήφθη καὶ ἄλλο τι κατὰ τοῦ γ΄, ἐγένετο τὸ γ΄ σχῆμα.

ΜΗΔΕ κατὰ τοῦ ά ἕτερον, οὐδεὶς ἔσται συλλογισμός.

Ἵνα γένηται πάλιν τὸ πρῶτον· ἐλήφαμεν γὰρ τὸ ά κατὰ τοῦ γ΄· εἰ δ' οὖν ληφθῇ καὶ ἄλλο τι κατὰ τοῦ ά, πάλιν γίνεται τὸ πρῶτον σχῆμα· πλὴν ἀνωτέρω μὲν ὡς μέσον ὅρον ἐλάμβανε τὸ γ΄, ἐνταῦθα δὲ τὸ ά· τὸ δὲ β΄ παρῆκεν ὡς δῆλον ὄν· καὶ ὡς διὰ τῶν ἄκρων καὶ τὸ μέσον περιλαβών.

ΤΩ γὰρ ἓν καθ' ἑνὸς ληφθῆναι οὐδὲν συμβαίνει ἐξ ἀνάγκης. ὥστε προσληπτέον καὶ ἑτέραν πρότασιν.

Μίαν πρότασίν φησι διὰ τούτων πάντων εἰλήφαμεν· ὁ δὲ συλλογισμὸς τοὐλάχιστον ἐκ δύο προτάσεών ἐστι· διὰ μιᾶς δὲ προτάσεως, οὐδὲν συμπεραίνεται· συλλογισμὸς γάρ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι.

ΕΑΝ μὲν οὖν ληφθῇ, τὸ ά κατ' ἄλλου.

Ἰδοὺ ἐνταῦθα τὸ β΄ ἐσήμανε σχῆμα· ἐπεὶ γὰρ τὴν μίαν πρότασιν εἶπεν ἐν τῷ λαβεῖν τὸ ά κατὰ τοῦ γ΄, νῦν πάλιν τὸ ά κατ' ἄλλου τινὸς ὑποτίθεται ὅπερ ἐστὶ τὸ β΄ σχῆμα.

Ἢ ἄλλο κατὰ τοῦ ά.

Ἵνα ᾖ τὸ πρῶτον· ἔχομεν γὰρ τὸ ά κατὰ τοῦ γ΄· καὶ νῦν κατὰ τοῦ ά ἕτερον.

Ἢ κατὰ τοῦ γ΄ ἕτερον, εἶναι μὲν συλλογισμὸν οὐδὲν κωλύει. πρὸς μέντοι τὸ β΄ οὐκ ἔσται διὰ τῶν εἰλημμένων.

Ἵνα ᾖ τὸ τρίτον· κατὰ γὰρ τοῦ γ΄ καὶ τὸ ά καὶ ἄλλο τι· πανταχοῦ γὰρ τὸν μέσον ὅρον τὸ ά ἔλαβεν τὸ γ΄· ἔσται οὖν φησι διὰ τούτων συλλογισμός τις· οὐ μέντοι τοῦ προκειμένου· βουλόμεθα γὰρ δεῖξαι ὅτι τὸ ά τῷ β΄ ὑπάρχει· οὐκ ἄλλῳ τινί· ἢ τούτῳ ἄλλο· ἢ ἑτέρῳ ἕτερον.

ΟΥΔ' ὅταν τὸ γ΄ ἑτέρῳ, κἀκεῖνο ἄλλῳ, καὶ τοῦτο ἑτέρῳ, μὴ συνάπτῃ δὲ πρὸς τὸ β΄, οὐδ' οὕτως ἔσται πρὸς τὸ β΄ συλλογισμὸς τοῦ ά. ὅλως γὰρ εἴπομεν ὅτι οὐδεὶς οὐδέποτε ἔσται συλλογισμὸς ἄλλου κατ' ἄλλου μὴ ληφθέντος τινὸς μέσου, ὃ πρὸς ἑκάτερον ἔχει πως ταῖς κατηγορίαις.

Κἂν πλείους φησὶ προτάσεις ἀλλήλαις αὐτὰς συνάψωμεν· μηδεμία δὲ πρότασις ἔχῃ σχέσιν τινὰ πρὸς τὸ β΄· οὐδέποτε ὅτι τὸ ά τῷ β΄ ὑπάρχει κατασκευάσομεν.

Ὁ μὲν γὰρ συλλογισμὸς ἁπλῶς ἐκ προτάσεών ἐστιν. ὁ δὲ πρὸς τόδε συλλογισμὸς, ἐκ τῶν πρὸς τόδε προτάσεων· ὁ δὲ τοῦδε, πρὸς τόδε, διὰ τῶν τοῦδε πρὸς τόδε προτάσεων. ἀδύνατον δὲ πρὸς τὸ β΄ λαβεῖν πρότασιν, μηδὲν μήτε κατηγοροῦντας αὐτῶν, μήτε ἀπαρνουμένους. ἢ πάλιν τοῦ ά πρὸς τὸ β΄ μηδὲν κοινὸν λαμβάνοντας. ἀλλ' ἑκατέρου ἴδια ἄττα κατηγοροῦντας ἢ ἀπαρνουμένους. ὥστε ληπτέον τι μέσον, ἀμφοῖν ὃ συνάψει τὰς κατηγορίας, εἴπερ ἔσται τοῦδε πρὸς τόδε συλλογισμός. εἰ οὖν ἀνάγκη μέν τι λαβεῖν πρὸς ἄμφω κοινόν· τοῦτο δὲ ἐνδέχεται τριχῶς· ἢ γὰρ τὸ ά τοῦ γ΄· καὶ τὸ γ΄ τοῦ β΄ κατηγορήσαντας, ἢ τὸ γ΄ κατ' ἀμφοῖν, ἢ ἄμφω κατὰ τοῦ γ΄· ταῦτα δ' ἐστὶ τὰ εἰρημένα σχήματα. φανερὸν ὅτι πάντα συλλογισμὸν, ἀνάγκη γίνεσθαι διὰ τούτων τινὸς τῶν σχημάτων.

Ὃ μὲν οὖν βούλεται λέγειν, τοῦτό ἐστιν, ὅτι ἁπλῶς μὲν πᾶς συλλογισμὸς διὰ προτάσεων περαίνεται· ἐπεὶ δὲ πρός τι ποιούμεθα τὸν συλλογισμόν· οἷον, εἰ περὶ ψυχῆς βουλόμεθα δεῖξαι ἢ συλλογίσασθαι οὐχ ἀφωρισμένως ὅτι ἀθάνατος ἢ ἀκίνητος, ἢ ἀσώματος ἢ τι τοιοῦτον· ἀλλ' ἁπλῶς καὶ ἀδιορίστως ζητοῦμεν τίνα ποτέ ἐστι τὰ τῇ ψυχῇ ὑπάρχοντα· δεῖ τὰς προτάσεις τὰς παραλαμβανομένας συνάπτειν πρὸς τὴν ψυχήν· ἐπεὶ οὐκ ἔσται περὶ αὐτὴν συλλογισμός· εἰ δὲ ζητοῦμεν εἰ ἡ ψυχὴ ἀθάνατος, δεῖ τὰς προτάσεις συνάπτειν καὶ πρὸς τὴν ψυχὴν καὶ πρὸς τὸ ἀθάνατον· ἄλλως γὰρ οὐκ ἔσται συλλογισμὸς τοῦ ἀθανάτου πρὸς τὴν ψυχήν· εἰ μὴ αἱ προτάσεις τοῦ συλλογισμοῦ καὶ πρὸς τὴν ψυχὴν καὶ πρὸς τὸ ἀθάνατον συνάψαι· καὶ ταῦτα μέν ἐστιν ἃ δοκεῖ λέγειν. ὅτι δὲ ἁπλῶς μὲν ὁ συλλογισμὸς ἐκ προτάσεως· καὶ ὁ τοῦδε πρὸς τόδε συλλογισμός· φέρε εἰπεῖν τοῦ ἀθανάτου πρὸς τὴν ψυχὴν ἐκ τῶν συναπτουσῶν προτάσεων πρὸς τὸ

μένων. ἢ εἰς τὸ μηδέτερον τούτων δεχόμενον. γίνονται οὖν ἐκ τούτων ὡς εἶπον, ἕτεροι δύο τρόποι ὑποθετικοί. τέταρτος μὲν ὁ ἐκ διαζευκτικοῦ τῇ ὑποθέσει τοῦ ἑνὸς ἀναιρῶν τὸ λοιπὸν ἢ τὰ λοιπά. πέμπτος δὲ ὁ ἐκ διαζευκτικοῦ τῇ ἀναιρέσει τοῦ ἑνὸς ἢ τῶν λοιπῶν τὸ καταλειπόμενον εἰσάγων. παράδειγμα. τοῦ μὲν πρώτου, ἡ πλευρὰ τῇ πλευρᾷ, ἢ ἴση ἐστὶν. ἢ μείζων. ἢ ἐλάττων. ἀλλὰ μὴν ἴση ἐστίν. οὐκ ἄρα μείζων. οὐδὲ ἐλάττων. ὁ πέντε ἀριθμὸς ἢ περιττός ἐστιν ἢ ἄρτιος. ἀλλὰ μὴν περιττός. οὐκ ἄρα ἄρτιος. τοῦ δὲ δευτέρου. ἡ διάμετρος τῇ πλευρᾷ. ἢ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος. ἀλλὰ μὴν σύμμετρος οὐκ ἔστιν. ἀσύμμετρος ἄρα. ἡ πλευρὰ τῇ πλευρᾷ. ἢ ἴση ἐστίν. ἢ μείζων. ἢ ἐλάττων. ἀλλὰ μὴν οὔτε μείζων, οὔτε ἐλάττων. ἴση ἄρα. Ἰστέον δὲ ὅτι δυνάμεθα καὶ τὸν τέταρτον τρόπον καὶ τὸν πέμπτον ἐξ ἀποφατικῆς συμπλοκῆς ποιῆσαι. λέγω γὰρ οὕτως, ὅτι ἡ διάμετρος τῇ πλευρᾷ. οὐχὶ καὶ σύμμετρος καὶ ἀσύμμετρος. καὶ ὅτι ἡ γραμμὴ τῇ γραμμῇ. οὐκ ἴση καὶ μείζων καὶ ἐλάττων. λέγω οὖν ὅτι ὅταν οὕτω προφερώμεθα, τὸν τρίτον τρόπον ποιοῦμεν. πλὴν περιττὸν τὸ οὕτω προφέρεσθαι ὅταν ἐξὸν ᾖ διαιρετικῶς προφέρεσθαι. ὥστε διακέκρινται, οἱ ὑποθετικοὶ τρόποι. μάλιστα μὲν τοῖς πράγμασιν ὡς ἤδη διείλομεν. ἔπειτα καὶ τῷ σχήματι τῆς ἀναγωγῆς αὐτῆς καὶ τῆς προφορᾶς. εἰ δὲ τοῦτο οὐδὲν θαυμαστόν. καὶ τὸν τέταρτον καὶ πέμπτον διῃρημένου οὐ πραγματειωδῶς. ἐπειδὰν προφερώμεθα μετὰ συμπλοκῆς ἀποφάσεως. τρίτον λέγειν εἶναι τρόπον. ἐπεὶ δέ φησι καὶ τοὺς δι' ἀδυνάτου συλλογισμοὺς μέρος εἶναι τῶν ἐξ ὑποθέσεως. ἴδωμεν πῶς καὶ τοῦτό φησι. λέγομεν ὅτι καθόλου πᾶς δι' ἀδυνάτου συλλογισμὸς διὰ δύο ὑποθετικῶν περαίνεται καὶ ἑνὸς κατηγορικοῦ. καὶ ὁ μὲν πρῶτος τοῦ ἀδυνάτου τῶν ὑποθετικῶν ἐστὶν ὁ πέμπτος. καὶ ὁ δεύτερος τοῦ ἀδυνάτου, ὁ δεύτερος τῶν ὑποθετικῶν. ἐπειδὴ οὖν πᾶς μὲν δι' ἀδυνάτου, ὑποθετικοῖς χρῆται συλλογισμοῖς. οὐ πᾶς δὲ ὑποθετικὸς δι' ἀδυνάτου. διὰ τοῦτό φησι μέρος εἶναι τῶν ὑποθετικῶν τοὺς δι' ἀδυνάτου. οἷον ὡς ἐπὶ παραδείγματος. βουλόμενος ὁ γεωμέτρης ὅτι ἡ διάμετρος τῇ πλευρᾷ ἀσύμμετρός ἐστι. κέχρηται τῷ δι' ἀδυνάτου συλλογισμῷ οὕτως. ἡ διάμετρός φησι τῇ πλευρᾷ ἢ σύμμετρός ἐστιν ἢ ἀσύμμετρος. ἀλλὰ μὴν οὐ σύμμετρος ὡς δείξω. ἀσύμμετρος ἄρα. ἔστι δὲ οὗτος ὁ πέμπτος τρόπος τῶν ὑποθετικῶν. πόθεν οὖν ὅτι οὐκ ἔστι σύμμετρος. κατασκευάζει τοῦτο διὰ τοῦ δευτέρου τῶν ὑποθετικῶν. ἡ διάμετρος τῇ πλευρᾷ εἰ ἔστι σύμμετρος, ὁ αὐτὸς ἀριθμὸς ἄρτιος ἔσται καὶ περιττός. ἀλλὰ μὴν ὁ αὐτὸς ἀριθμὸς ἄρτιος καὶ περιττὸς οὐκ ἔσται. οὐδὲ ἄρα ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος ἔσται. ταύτην οὖν λοιπὸν τὴν ὑπόθεσιν τὴν ὅτι εἰ ἔστιν ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος, ἀνάγκη τὸν αὐτὸν ἄρτιον εἶναι καὶ περιττόν, διὰ κατηγορικοῦ συλλογισμοῦ κατασκευάζει. ὁμοίως δὲ ἔχουσι καὶ οἱ ἐν τοῖς κατηγορικοῖς συλλογισμοῖς δι' ἀδυνάτου δεικνύμενοι. οἷον ὅσοι ἐν δευτέρῳ σχήματι. ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς. οὗτος γὰρ ἐπειδὴ δι' ἀντιστροφῆς οὐκ ἐδύνατο δειχθῆναι, ἐδείκνυτο διὰ τοῦ ἀδυνάτου. οἷον, ἔστω τὸ α παντὶ μὲν τῷ β ὑπάρχον. οὐ παντὶ δὲ τῷ γ. ἐλέγομεν εἶναι τὸ συμπέρασμα. ὅτι τὸ β οὐ παντὶ τῷ γ ὑπάρχει. καὶ ἐδείκνυμεν τοῦτο διὰ τοῦ ἀδυνάτου οὕτως. τὸ β τῷ γ ἢ παντὶ ὑπάρχει ἢ οὐ παντί. ἀλλὰ μὴν ψεῦδος τὸ παντὶ ὡς δείξω. ἀνάγκη ἄρα οὐ παντί. ταῦτα γὰρ δυνάμει ἐλέγομεν. οὗτος οὖν πάλιν ἐστὶν ὁ πέμπτος τρόπος τῶν ὑποθετικῶν. πόθεν οὖν ὅτι ψεῦδος τὸ παντὶ τῷ γ τὸ β ὑπάρχειν. ἐδείκνυμεν τοῦτο διὰ τοῦ δευτέρου τῶν ὑποθετικῶν. εἰ τὸ β παντὶ τῷ γ ὑπάρχει, τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ καὶ οὐ παντὶ ὑπάρξει. ἀλλὰ μὴν τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ καὶ μὴ παντὶ ὑπάρχειν ἀδύνατον. οὐδὲ ἄρα τὸ β τῷ γ παντὶ ὑπάρξει. πόθεν οὖν ὅτι εἰ τὸ β παντὶ τῷ γ ὑπάρξει ἔσται τινὶ τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ καὶ οὐ παντί. τοῦτο οὖν διὰ κατηγορικοῦ συλλογισμοῦ ἐδείκνυμεν. εἰ τὸ β τῷ γ παντὶ ὑπάρχει ἦν δὲ καὶ τὸ α τῷ β παντί. τὸ ἄρα α παντὶ τῷ γ ὑπάρξει. ὑπέκειτο δὲ καὶ οὐ παντί. τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ παντὶ καὶ οὐ παντί. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὡς πᾶς ὁ διὰ τοῦ ἀδυνάτου συλλογισμὸς ἐκ δύο ἐστὶν ὑποθετικῶν. καὶ ἑνὸς κατηγορικοῦ. καὶ διὰ τοῦτο ὅτι ἐκ δύο ὑποθετικῶν ἐστί. μέρος εἶναι αὐτῶν φησι τοὺς διὰ τοῦ ἀδυνάτου. Ἴσως δέ τις ἀπορήσαι πρὸς ταῦτα. εἰ οἱ διὰ τοῦ ἀδυνάτου μέρος εἰσὶ τῶν ὑποθετικῶν. τινὲς δὲ τῶν κατηγορικῶν διὰ τοῦ ἀδυνάτου ἐδείκνυντο. ἔσονται καὶ τινὲς τῶν κατηγορικῶν μέρος τῶν ὑποθετικῶν. Λέγομεν οὖν πρὸς τοῦτο. ὅτι ὅσοι τῶν κατηγορικῶν διὰ τοῦ ἀδυνάτου ἐδείκνυντο. τὴν μὲν ἀγωγὴν κατηγορικοὶ ἦσαν. καὶ τὸ συμπέρασμα αὐτῶν οἴκοθεν ἔχει τὸ ἀναγκαῖον κἂν μὴ διὰ τοῦ ἀδυνάτου δείκνυται. καὶ διὰ τοῦτο οὐκ ἀναχθήσονται εἰς τοὺς ὑποθετικούς. ἐπειδὴ δὲ ἡμῖν φανερὸν οὐκ ἔχουσι τὸ ἀναγκαῖον, τῇ εἰς ἀδύνατον ἀπαγωγῇ τὸ φύσει αὐτῶν ἀναγκαῖον καὶ ἡμῖν φανεροῦται. αὕτη οὖν ἡ διὰ τοῦ ἀδυνάτου ἀπαγωγὴ ἡ διὰ τὸ ἡμῖν ποιῆσαι προφανὲς τοῦ συλλογισμοῦ τὸ ἀναγκαῖον παραληφθεῖσα. αὕτη ἐστὶ μέρος τῶν ὑποθετικῶν. οὐκ αὐτὸς ὁ κατηγορικὸς συλλογισμός. ὃς τὸ ἀναγκαῖον οὐκ ἐκ τοῦ ἀδυνάτου, ἀλλ' οἴκοθεν κέκτηται. ταῦτα μὲν οὖν περὶ τῶν ὑποθετικῶν συλλογισμῶν. ἴδωμεν δὲ ἄνωθεν καὶ τοῦ φιλοσόφου τὴν λέξιν.

» Ὅτι δὲ ἁπλῶς πᾶς συλλογισμὸς, οὕτως ἕξει, νῦν ἔσται φανερόν. Πᾶς ἄτε κατηγορικὸς δῆλον ὅτι, ἄτε ὑποθετικός. Δεικτικῶς ἢ ἐξ ὑποθέσεως.

Δεικτικῶς τουτέστι κατηγορικῶς. αὐτόθεν γὰρ οὗτοι δεικνύουσι τὸ προκείμενον. διὸ καὶ ἡ μὲν κατηγορικὴ δεῖξις, ἐπ' εὐθείας εἴρηται. ἡ δὲ διὰ τοῦ ἀδυνάτου. ἥτις μέρος ἐστὶ τῶν ἐξ ὑποθέσεως κύκλῳ

ἀγαθός, ἀΐδια ποιεῖ. ὁμοίως ἔχουσι καὶ οἱ τινὸς ὄντος τὶ οὐκ ἔστι κατασκευάζοντες. οἷον εἰ ὁ θεὸς δίκαιος,
ἀγαθός. εἰ ἀγαθός, εἰσὶ τὰ ἐν ᾅδου δικαιωτήρια. εἰ τοῦτο, οὐκ εἰσὶ θνηταὶ αἱ ψυχαὶ τῶν ἀνθρώπων. εἰ ὁ θεὸς
ἄρα ἀγαθός, οὐκ εἰσὶ θνηταὶ αἱ τῶν ἀνθρώπων ψυχαί. ἐπὶ τινὸς μὴ ὄντος τί ἐστιν ἤ τι οὐκ ἔστιν. οἷον, ὡς ἐπὶ
τῶν αὐτῶν. εἰ μὴ ἔστιν ἄδικον τὸ θεῖον. εἰσὶ τὰ ἐν ᾅδου δικαιωτήρια. εἰ τοῦτο, ἀθάνατοι αἱ τῶν ἀνθρώπων
ψυχαὶ καὶ οὐκ εἰσὶ θνηταί. εἰ μὴ ἔστιν ἄρα ἄδικον τὸ θεῖον, ἀθάνατοι εἰσὶν αἱ τῶν ἀνθρώπων ψυχαί. καὶ
οὐκ εἰσὶ θνηταί. σκόπει δὲ ὅτι διὰ πάντων τούτων ὅτι οὐ τὸ εἶναί τι ἁπλῶς ἢ μὴ εἶναι κατασκευάζομεν.
ἀλλ' ὅτι τῷδε ὑποτεθέντι τόδε ἀκολουθεῖ. καὶ ἐπειδὴ οὐδαμοῦ τὸ εἶναι τόδε τι ἢ μὴ εἶναι ἀπεδείξαμεν,
εἰκότως δι' ὅλου ὑποθετικοὶ καλοῦνται. ἐφ' ὧν γὰρ εἶναί τι ἢ μὴ εἶναι κατασκευάζομεν, δεόμεθα πάν-
τως καὶ κατηγορικοῦ συλλογισμοῦ. τῶν οὖν εἶναί τι ἢ μὴ εἶναι δεικνύντων. οἱ μὲν κατηγορικῶς δει-
κνύουσιν. οἱ δὲ ὑποθετικῶς. περὶ μὲν οὖν τῶν κατηγορικῶν συλλογισμῶν ἱκανῶς εἴρηται. περὶ δὲ τῶν ὑπο-
θετικῶν οὕτως εἴπομεν. τῶν τὸ εἶναι ἢ μὴ εἶναι κατασκευαζόντων ὑποθετικῶν, οἱ μὲν ἀκολουθίαν κατασκευάζου-
σιν. οἱ δὲ διάζευξιν. καὶ τῶν ἀκολουθίαν κατασκευαζόντων. οἱ μὲν τῇ θέσει τοῦ ἡγουμένου κατασκευάζουσι τὸ ἑ-
πόμενον. οἱ δὲ τῇ ἀναιρέσει τοῦ ἑπομένου, ἀναιροῦσι καὶ τὸ ἡγούμενον. οἷον εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστι.
ἀλλὰ μὴν ἄνθρωπός ἐστι. καὶ ζῷον ἄρα ἐστί. καὶ ἔστιν οὗτος πρῶτος τρόπος τῶν ὑποθετικῶν. ὁ ἐξ ἀκολουθίας τῇ
θέσει τοῦ ἡγουμένου κατασκευάζων τὸ ἑπόμενον. πάλιν εἰ τὸ προσιὸν ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν. ἀλλὰ μὴν οὐκ
ἔστι ζῷον. οὐδὲ ἄνθρωπος ἄρα ἐστίν. οὗτος δεύτερος τρόπος τῶν ὑποθετικῶν. ὁ ἐξ ἀκολουθίας τῇ ἀναι-
ρέσει τοῦ ἑπομένου, ἀναιρῶν καὶ τὸ ἡγούμενον. τί οὖν οὗτοι διαφέρουσι τῶν δι' ὅλου ὑποθετικῶν; εἰ κἀκεῖ-
νοι ἀκολουθίαν τινὰ κατασκευάζουσι. δείκνυσι γὰρ τινὸς ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστι. καὶ οὐκέτι ἀκολουθίαν λέ-
γονται κατασκευάζειν. λέγω οὖν ὅτι ἐκεῖνοι μὲν τοσοῦτον μόνον τῷδε ὑποτεθέντι ἀκολουθεῖν τὸ δεῖ λέ-
γουσιν. οὗτοι γε καὶ αὐτὴν τὴν ὑπόθεσιν κατασκευάζοντες ἀποφαίνονται. οὐκοῦν καὶ τόδε ἐστίν. οἷον
εἰ ὁ θεὸς ἀγαθός, ἀγαθὰ ποιεῖ. εἰ ἀγαθὰ ποιεῖ, ἀΐδια ποιεῖ. εἰ ὁ θεὸς ἄρα ἀγαθός, ἀΐδια ποιεῖ. σκόπει γὰρ
ὅτι οὐχ ἁπλῶς ἀποφαίνεται ὅτι ἀΐδια ποιεῖ. ἀλλ' εἰ ἀγαθός ἐστιν, ἀΐδια ποιεῖ. ἐπὶ δὲ τῶν τὸ εἶναι ἢ μὴ
εἶναι κατασκευαζόντων, αὐτὴ ἡ τοῦ πράγματος ὕπαρξις κατασκευάζεται. λέγομεν γὰρ εἰ ἀγαθός, ἀΐ-
δια ποιεῖ. εἶτα τὴν πρόσληψιν λαβόντες τὸ ἀλλὰ μὴν ἀγαθός, ἐπάγομεν τὸ ἀΐδια ἄρα ποιεῖ. ἀπο-
φαινόμεθα οὖν ἐν τούτοις ὅτι ἀΐδιά ἐστι τὰ ὑπὸ τοῦ θεοῦ γινόμενα. ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ἄλλων,
κἂν διὰ πλειόνων ὑποθέσεων κατασκευάζωμεν. Πάλιν οὖν λέγω ὅτι τῶν τὸ εἶναι ἢ μὴ εἶναι κατασκευα-
ζόντων συλλογισμῶν. οἱ μὲν ἀκολουθίαν κατασκευάζουσιν. οἱ δὲ διάζευξιν. καὶ τῶν ἀκολουθίαν κατασκευαζόντων. οἱ
ἐν τῇ ὑποθέσει τοῦ ἡγουμένου κατασκευάζουσι τὸ ἑπόμενον. οἱ δὲ τῇ ἀναιρέσει τοῦ ἑπομένου, ἀναιροῦσι καὶ τὸ ἡγού-
μενον. γίνονται οὖν οὗτοι δύο τρόποι ὑποθετικῶν συλλογισμῶν, πρῶτός τε καὶ δεύτερος. τῶν δὲ διάζευξιν κατα-
σκευαζόντων, οἱ μὲν λαμβάνονται ἐπὶ τῶν μὴ ἀντικειμένων. οἱ δὲ ἐπὶ τῶν ἀντικειμένων. καὶ ἐπὶ τῶν ἀντικειμένων. ἢ τῶν
ἐμμέσων. ἢ τῶν ἀμέσων. καὶ τῶν ἐμμέσων, ἢ τῶν ὡρισμένα ἐχόντων τὰ ἔμμεσα, ἢ τῶν ἀόριστα. καὶ ἐπὶ τῶν
ἀμέσων, ἢ τῶν κατὰ τὰ ἐναντία, ἢ τῶν καθ' ἕξιν ἢ στέρησιν. ἢ τῶν κατὰ κατάφασιν καὶ ἀπόφασιν. διά-
ζευξιν δὲ λέγομεν, τὴν ἐν διαιρέσει ὑπόθεσιν. οἷον, εἰ πᾶς ἀριθμός, ἢ ἄρτιός ἐστιν ἢ περιττός. εἰ ἡ ψυχὴ ἢ
θνητή ἐστιν ἢ ἀθάνατος. εἰ ἡ διάμετρος τῇ πλευρᾷ ἢ σύμμετρος, ἢ ἀσύμμετρος. ἔχουσι γὰρ ταῦτα τὸν ἢ δια-
ζευκτικὸν σύνδεσμον. τῶν οὖν κατὰ διάζευξιν ὑποθετικῶν συλλογισμῶν. τῶν ἢ ἐπὶ τῶν μὴ ἀντικειμένων
λαμβανομένων. ἢ ἐπὶ τῶν ἐμμέσων ἀντικειμένων. καὶ ἀόριστα ἐχόντων τὰ ἔμμεσα, οὐ δεῖ τὴν ὑπόθεσιν
κατὰ διαίρεσιν προάγειν. οἷον ὅτι τὸ προσιὸν ἢ ἄνθρωπος. ἢ κύων. ἢ ἵππος. ἢ τι τοιοῦτόν ἐστι. ταῦτα δὲ οὐκ
ἀντικείμενα. ἢ πάλιν ὅτι τὸ προσιὸν ἢ λευκόν ἐστιν. ἢ μέλαν. ἢ φαιόν. ἢ ἐρυθρόν. ἢ τι τοιοῦτον. ταῦτα δὲ
ἔμμεσα ἀντικείμενα, καὶ ἀόριστα. εἰ γὰρ κατὰ διαίρεσιν ποιησόμεθα τὴν ὑπόθεσιν, οὔτε τὴν διαίρεσιν ὑ-
γιᾶ ποιήσομεν. οὐ γὰρ δυνατὸν πᾶσιν ἐπεξελθεῖν ἢ τοῖς μὴ ἀντικειμένοις. ἢ τοῖς ἐμμέσοις καὶ ἀορίστοις ἀν-
τικειμένοις. οὔτε δυνάμεθα ἐν τῷ συμπεράσματι τῇ τοῦ ἑνὸς ἀναιρέσει τὸ λοιπὸν εἰσαγαγεῖν. ἀλλὰ δεῖ
τῇ τῶν λοιπῶν πάντων ἀναιρέσει τὸ καταλειπόμενον συναγαγεῖν. τοῦτο δὲ ἀδύνατον. οὐ γὰρ δυνατὸν
ἐξαριθμήσασθαι πάντα. ἐὰν εἴπω ὅτι τὸ προσιὸν ἢ ἄνθρωπός ἐστιν ἢ ἵππος. ἢ τι τοιοῦτον, ψευδόμεθα.
δυνατὸν γὰρ ἄλλο τι εἶναι. ὁμοίως δὲ καὶ ὅτι τὸ προσιόν, ἢ λευκόν ἐστιν ἢ μέλαν. δυνατὸν γὰρ ἢ φαιὸν ἢ
ὠχρὸν εἶναι. ἀλλὰ καὶ τὸ πᾶσιν ἐπεξελθεῖν ἢ χαλεπὸν ἢ ἀδύνατον. ἀλλ' οὐδὲ ἐν τῷ συμπεράσματι δυ-
νάμεθα εἰπεῖν οὕτως. ἀλλὰ μὴν οὐχ ἵππος, ἄνθρωπος ἄρα. πῶς οὖν δεῖ ποιεῖν. δεῖ μὲν ἀποφάσεως ποιεῖ-
σθαι τὴν διαίρεσιν. τὸ προσιὸν οὐχὶ καὶ ἄνθρωπός ἐστι καὶ ἵππος ἐστίν. ἀληθεύομεν δὲ οὕτω λέγοντες.
εἶτα τῇ ὑποθέσει τοῦ ἑνός, ἀναιρεῖν τὰ λοιπά. ἀλλὰ μὴν ἄνθρωπός ἐστιν. οὐκ ἔστιν ἄρα ἵππος. καὶ ἔστιν
οὗτος τρίτος τρόπος τῶν ὑποθετικῶν. ὁ ἐξ ἀποφατικῆς συμπλοκῆς τῇ ὑποθέσει τοῦ ἑνός, ἀναιρῶν τὰ
λοιπά. ἐὰν δὲ ἢ ἐπὶ τῶν ἀμέσων ἀντικειμένων ποιώμεθα τὴν διαίρεσιν ἢ ἐπὶ τῶν ἐμμέσων, ὡρισμένα δὲ
ἐχόντων τὰ ἔμμεσα, γίνονται δύο τρόποι ὑποθετικῶν συλλογισμῶν. ἀμέσων μὲν, οἷον, ὁ ἀριθμός, ἢ πε-
ριττός ἐστιν, ἢ ἄρτιος. ἢ διάμετρος τῇ πλευρᾷ, ἢ σύμμετρος. ἢ ἀσύμμετρος. ἐμμέσων δὲ ὡρισμένων. ὡς ὅταν
λαβόντες δύο μεγέθη λέγομεν ὅτι τόδε τοῦδε ἢ ἴσον ἐστιν, ἢ μεῖζον. ἢ ἔλαττον. ἢ ἀγαθόν. ἢ κακόν. ἢ οὐδέ-
τερον. τοῦ δὲ οὐδετέρου δυναμένου πάλιν τέμνεσθαι, ἢ εἰς τὸ δεκτικὸν ἀνὰ μέρος ἑκάτερον τῶν ἀντικει-

ἤδη τὸ β΄. ἢ τὴν κατηγορικὴν ἢ τὴν ἀπόφασιν. ἀνάγκη οὖν τοῦτον τὸν κοινὸν ὅρον ἢ τοῦ μὲν κατηγορεῖσθαι τοῦ δὲ ὑποκεῖσθαι, ἢ ἀμφοτέρων κατηγορεῖσθαι, ἢ ἀμφοτέροις ὑποκεῖσθαι. καὶ οὕτω τὰ τρία ἀναφαίνεται σχήματα, οὕτω μέν. οὖν δῆλον ὅτι πᾶς κατηγορικὸς συλλογισμός, εἰς ἓν πάντως τῶν τριῶν ἀνάγεται σχημάτων. οὐ μόνον δὲ οὗτοι φησίν· ἀλλὰ καὶ οἱ ὑποθετικοὶ πάντες, εἰς ταῦτα ἀνάγονται τὰ σχήματα. λέγει δὲ τοῦτο οὐχ ὅτι οἱ ὑποθετικοὶ τὴν αὐτὴν ἀγωγὴν ἔχουσι τῶν ὅρων, ἀλλ᾽ ὅτι λαμβανόντων ἡμῶν τινὰ ὑπόθεσιν, καὶ ἐκ ταύτης τὰ ἑξῆς κατασκευαζόντων. οἷον, εἰ πρόνοιά ἐστιν, ἡ ψυχὴ ἀθάνατός ἐστιν. ἀλλὰ μὴν ἔστι πρόνοια. ἀθάνατος ἄρα ἡ ψυχή. ἀνάγκη τὴν ληφθεῖσαν ὑπόθεσιν ὅτι ἀληθὴς ἀποδεῖξαι. ἤδη οὐ συγχωρήσει τὰ ἑξῆς συμπεραίνειν ὁ προσδιαλεγόμενος. πόθεν γὰρ δῆλον ὅτι πρόνοιά ἐστιν. εἰ τοίνυν βουλόμεθα δεῖξαι ταύτην τὴν ὑπόθεσιν δι᾽ ἑτέρας ὑποθέσεως αὐτὴν δεικνύμεν. ἀνάγκη κἀκείνην ἀποδεῖξαι. καὶ τοῦτο ἤδη τοσοῦτον. ἕως ἂν εἰς ὁμολογημένον τι καταντήσωμεν. ὅτε κατηγορικῶς τὴν πρώτην ὑπόθεσιν δείκνυσιν. οἷον ὥσπερ καὶ ὁ Πλάτων ἐποίησεν ἐν τῷ Φαίδωνι. βουλόμενος γὰρ δεῖξαι τὴν ψυχὴν ἀθάνατον. λαμβάνει δυνάμει ταύτην τὴν ὑπόθεσιν. εἰ αἱ ψυχαὶ ἡμῶν μετὰ θάνατον ἐν ᾅδου, οὐκ ἄρα φθείρονται. ἀλλὰ μὴν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. πόθεν, ὅτι ἐν ᾅδου αἱ ψυχαί. δι᾽ ἑτέρας πάλιν ὑποθέσεως δείκνυσιν. εἰ τὸ ζῶν καὶ τεθνηκὸς ἐξ ἀλλήλων ἐστίν, ἡμῶν αἱ ψυχαὶ ἐν ᾅδου. ἀλλὰ μὴν καὶ τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. πόθεν, ὅτι τὸ ζῶν καὶ τεθνηκὸς ἐξ ἀλλήλων, λοιπὸν εἰς ὁμολογημένον καταντᾷ. καὶ οὕτω κατηγορικῶς τὴν ὑπόθεσιν εἰσάγει. τὸ γὰρ ζῶν καὶ τὸ τεθνηκός, ἐναντία. τὰ δ᾽ ἐναντία, ἐξ ἀλλήλων. ὅτι γὰρ τὰ ἐναντία ἐξ ἀλλήλων, πρόδηλον. καὶ τὸ ζῶν ἄρα καὶ τὸ τεθνηκὸς ἐξ ἀλλήλων. ἐκ γὰρ λευκοῦ μέλαν γίνεται. καὶ ἐκ θερμοῦ, ψυχρόν. καὶ ἤδη τῶν ἄλλων ὁμοίως. ἐπειδὴ οὖν ἀνάγκη τὴν λαμβανομένην ὑπόθεσιν ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς διὰ κατηγορικοῦ συλλογισμοῦ δείκνυσθαι, πᾶς δὲ κατηγορικὸς συλλογισμὸς ὑφ᾽ ἓν πίπτει τῶν τριῶν σχημάτων, εἰκότως ἄρα φησὶ καὶ τοὺς ὑποθετικοὺς συλλογισμούς, ὑπὸ τὰ αὐτὰ συνάγεσθαι σχήματα.

Περὶ τῶν ὑποθετικῶν συλλογισμῶν.

E Ἐπειδὴ δὲ ὁ μὲν Ἀριστοτέλης τοσοῦτον εἰπὼν περὶ τῶν ὑποθετικῶν ἐπαύσατο. καὶ οὐδὲν ἡμᾶς περὶ αὐτῶν ἐδίδαξεν. ἀλλὰ τὴν πᾶσαν σπουδὴν περὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ ἐποιήσατο. ἅτε δὴ τούτων μὲν τελείων ὄντων καὶ μηδενὸς ἔξωθεν δεομένων. τῶν δὲ ὑποθετικῶν δεομένων τῶν κατηγορικῶν. εἴπωμεν ἡμεῖς βραχέα περὶ αὐτῶν. Ἰστέον γὰρ ὅτι πολυστίχους πραγματείας περὶ τούτων κατεβάλλοντο. οἵ τε μαθηταὶ τοῦ Ἀριστοτέλους οἱ περὶ Θεόφραστον καὶ Εὔδημον. καὶ τοὺς ἄλλους. καὶ ἔτι οἱ στωϊκοί. εἴπωμεν τίσιν ὀνόμασιν ἐχρήσαντο ἔν τε τοῖς μέρεσιν αὐτῶν καὶ τοῖς ὅλοις οἱ περιπατητικοί, καὶ στωϊκοί. καὶ ἔτι τὴν διαίρεσιν αὐτῶν. καὶ πόσοι τρόποι ἐκ ταύτης ἡμῖν ὑποθετικῶν συλλογισμῶν ἀναφαίνονται. Ἰστέον οὖν ὅτι ἐφεξῆς τούτων ὄντων ἀλλήλοις πραγμάτων. νοημάτων. φωνῶν. πάλιν δ᾽ αὖ καὶ τούτων ἐφεξῆς ὄντων ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς ὡς γνωσόμεθα. τοῦ ἡγουμένου. τοῦ συνημμένου. τοῦ ἑπομένου. τῆς προσλήψεως τοῦ συμπεράσματος. οἱ μὲν περιπατητικοὶ τῇ κοινῇ συνηθείᾳ κεχρημένοι. τὰ μὲν πράγματα, αὐτὸ τοῦτο πράγματα ὀνομάζουσι. καὶ τὰ νοήματα ὡσαύτως. ὁμοίως δὲ καὶ τὰς φωνάς. ἔτι τε τὸ ἡγούμενον ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς αὐτὸ τοῦτο ἡγούμενον. καὶ τὸ ἑπόμενον ὡσαύτως. οἷον τὸ εἰ ἡμέρα ἐστί. τοῦτο ἡγούμενον. τὸ δὲ ἥλιος ὑπὲρ γῆν, τοῦτο ἑπόμενον. ἕπεται γὰρ τῷ πρώτῳ τὸ δεύτερον. τὸ δὲ ὅλον τοῦτο τὸ εἰ ἡμέρα ἐστὶ ἥλιος ὑπὲρ γῆν ἐστι τοῦτο συνημμένον. διὰ τὸ συνῆφθαι ταῦτα ἀλλήλοις. τὸ δὲ ἀλλὰ μὴν ἡμέρα ἐστὶ τοῦτο οἱ περιπατητικοὶ μετάληψιν καλοῦσι. διὰ τὸ μεταλαμβάνεσθαι ἐκ δευτέρου. ἤδη γὰρ ἐλήφθη ἐν τῷ ἡγουμένῳ. τὸ δὲ ἥλιος ἄρα ὑπὲρ γῆν. τοῦτο συμπέρασμα. οὕτω μὲν οὖν οἱ περιπατητικοί. οἱ δὲ στωϊκοὶ καινοτέραν βαδίζοντες. τὰ μὲν πράγματα τυγχάνοντα ὀνομάζουσι. διότι τῶν πραγμάτων τυχεῖν βουλόμεθα. τὰ δὲ νοήματα ἐκφορικά. διότι ἅπερ ἐν ἑαυτοῖς νοοῦμεν, ταῦτα εἰς τὸ ἔξω προφέρομεν. τὰς δὲ φωνὰς λεκτά. τὸ δὲ ἡγούμενον καὶ αὐτοὶ ἡγούμενον ἐκάλεσαν. κατὰ τοῦτο γὰρ μόνον συμφωνοῦσι τοῖς περιπατητικοῖς. τὸ δὲ ἑπόμενον, λῆγον. τὸ δὲ συνημμένον τροπικόν. διότι τρεπόμεθα ἐκ τοῦ ἡγουμένου εἰς τὸ ἑπόμενον. εἰ ἡμέρα ἐστίν, ὁ ἥλιος ὑπὲρ γῆν ἐστι. τὴν δὲ μετάληψιν, πρόσληψιν. καὶ ἔμεινε τοῦτο ἐν τῇ συνηθείᾳ. τὸ δὲ συμπέρασμα ἐπιφορά. διότι τοῖς ἄλλοις πᾶσιν ἐπιφέρεται. ταῦτα μὲν οὖν τὰ ὀνόματα οἷς κέχρηνται οἱ περιπατητικοὶ καὶ οἱ στωϊκοί. Λάβωμεν δὲ λοιπὸν ἐκ διαιρέσεως τὰ εἴδη τῶν ὑποθετικῶν συλλογισμῶν. καθόλου πᾶς συλλογισμὸς ἢ τὸ ἔστιν ἢ τὸ οὐκ ἔστι δείκνυσιν. ἢ τινὸς ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστιν. ἢ τινὸς μὴ ὄντος τί ἐστιν ἢ τί οὐκ ἔστιν. οἱ μὲν οὖν τινὸς ὄντος ἢ μὴ ὄντος, τί οὐκ ἔστιν ἢ τί ἐστι δεικνύοντες, οὗτοι καλοῦνται διὰ τριῶν καὶ δι᾽ ὅλων ὑποθετικοί. δι᾽ ὅλων μὲν ὅτι πᾶσαι αἱ παραλαμβανόμεναι προτάσεις ὑποθετικαί. διὰ τριῶν δὲ ὅτι τοὐλάχιστον ἔτι οἱ συλλογισμοί, διὰ τριῶν ὑποθέσεων περαίνονται. οἷον, βούλομαι δεῖξαι ὅτι τῇ ὑποθέσει τῇ λεγούσῃ ἀγαθὸν εἶναι τὸν θεόν, ἀκολουθεῖ τὸ ἀΐδιον εἶναι τὸ πᾶν. ἐπειδὴ οὖν δύο ταύτας ὑποθέσεις βούλομαι δεῖξαι ἑπομένας ἀλλήλαις, πᾶσα ἀνάγκη δι᾽ ἑτέρου τοῦτο κατασκευάσαι. ἐπεὶ εἰ αὐτόθεν τοῦτο λάβοιμεν. τὸ ἐν ἀρχῇ πάλιν αἰτησόμεθα. οὐκοῦν χρεία ἡμῖν πλειόνων, ἢ τοὐλάχιστον ἄλλης μιᾶς ὑποθέσεως. δι᾽ ἧς μέσης ταύτας ἀλλήλαις συνάψομεν. οἷον, ἵνα εἴπωμεν οὕτως. εἰ ὁ θεὸς ἀγαθός, ἀγαθοποιεῖ. εἰ ἀγαθοποιεῖ, ἀΐδια ποιεῖ. εἰ ὁ θεὸς ἄρα

τὸ ἡγούμενον, τὸ ἑπόμ[ενον], τὸ συνημμένον). ἡ πρό[σ]ληψις, ἤτοι μετάληψις τ[ὸ] συμπέρασμα.

Si deus bonus est, mun[dus] aeternus est.

ἔσται συλλογισμός· καὶ ποτὲ τοῦ ἐνδέχεσθαι καὶ ποτὲ τοῦ ὑπάρχειν.

Τῆς μείζονος οὔσης μερικῆς καταφατικῆς ἀναγκαίας, τῆς δ' ἐλάττονος καθόλου ἀποφατικῆς ἐνδεχομένης, γίνεται συλλογισμὸς τοῦ ἐνδέχεσθαι μὴ παντί. ἀντιστρεφομένης γὰρ τῆς μερικῆς καταφατικῆς πρὸς ἑαυτήν, γίνεται τὸ πρῶτον σχῆμα· εἰ γὰρ τὸ α τῷ γ τινὶ ἐξ ἀνάγκης, καὶ τὸ γ τινὶ τῷ α ἐξ ἀνάγκης. ἐπεὶ οὖν τὸ μὲν β οὐδενὶ τῷ γ ἐνδέχεται, τὸ δὲ γ τινὶ τῷ α ἐξ ἀνάγκης, τὸ ἄρα β ἐνδέχεται μὴ παντὶ τῷ α. τούτου δὲ τοῦ συμπεράσματος ἀντιστραφέντος, καὶ τὸ α ἐνδέχεται μὴ παντὶ τῷ β. ἀντιστρέφει γὰρ ἡ μερικὴ ἀποφατικὴ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου. εἰ δὲ ἡ ἐλάττων καθόλου ἀποφατικὴ ἀναγκαία εἴη, δῆλον ὅτι τῆς μείζονος μερικῆς οὔσης καταφατικῆς ἐνδεχομένης, οὐκ ἔσται συλλογισμός. ἀνάγεται μὲν γὰρ εἰς τὸ πρῶτον σχῆμα, τῆς μείζονος πάλιν ἀντιστρεφομένης πρὸς ἑαυτήν. εἰ γὰρ τὸ α ἐνδέχεται τινὶ τῷ γ, καὶ τὸ γ τινὶ τῷ α ἐνδέχεται. ἐπεὶ οὖν τὸ μὲν β οὐδενὶ τῷ γ ἐξ ἀνάγκης, τὸ δὲ γ τινὶ τῷ α ἐνδέχεται, συνάγεται μὲν τὸ β μὴ παντὶ τῷ α ὑπάρχειν. οὐκ ἀντιστρεφούσης δὲ τῆς μερικῆς ἀποφατικῆς ὑπαρχούσης, οὐ δυνατὸν ἀντιστρέψαι τὸ συμπέρασμα. ἀντιστρεφομένου γὰρ συνάγεται καὶ τὸ παντὶ καὶ τὸ μηδενί. οἱ δὲ ὅροι τοῦ μὲν παντὶ ὑπάρχειν, ὕπνος, ἵππος, καὶ κοιμώμενος ἄνθρωπος. ὕπνον γὰρ τινὶ ἵππῳ ὑπάρχειν ἐνδέχεται. ἄνθρωπος δὲ κοιμώμενος οὐδενὶ ἵππῳ ἐξ ἀνάγκης. ἀντιστραφείσης οὖν τῆς μείζονος, ἐνδέχεται γὰρ ἵππον τινὶ ὕπνῳ ὑπάρχειν, τουτέστιν ὑπνοῦντι, συνάγεται ὕπνος παντὶ κοιμωμένῳ ἀνθρώπῳ ὑπάρχειν. τοῦ δὲ μηδενί, ἀντὶ τοῦ κοιμωμένου ἀνθρώπου, ἐγρηγορότα ἄνθρωπον λάβωμεν. ὕπνος γὰρ οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ ὑπάρχει. ἀλλὰ κἂν ἡ ἐλάττων εἴη μερικὴ ἀποφατικὴ ἀναγκαία, ἡ δὲ μείζων καθόλου καταφατικὴ ἐνδεχομένη, οὐ γίνεται συλλογισμός. πάλιν γὰρ συνάγεται καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. ὅροι δὲ πάλιν ἀρκέσουσιν οἱ αὐτοί. ὕπνον παντὶ ἵππῳ ὑπάρχειν ἐνδέχεσθαι, καθεύδων ἄνθρωπος, οὐ παντὶ ἵππῳ ἐξ ἀνάγκης. τῆς δὲ μερικῆς οὖν ἀποφατικῆς διὰ τὴν καθόλου ἀποφατικὴν ἀληθευούσης, συνάξεις οὖν ὕπνος καθεύδοντι ἀνθρώπῳ. εἰ δὲ τὸν ἐγρηγορότα λάβωμεν ἄνθρωπον, καὶ τὸ οὐδενὶ συναχθήσεται. Ἴστέον δὲ ὅτι τῶν λοιπῶν ἀσυλλογίστων συζυγιῶν οὐκ ἐμνημόνευσε. λέγω δὴ τῶν ἐξ ἀμφοτέρων μερικῶν ἢ ἀπροσδιορίστων καταφατικῶν τε καὶ ἀποφατικῶν καὶ ἀνομοιοσχημόνων, ὡς ἤδη δήλων ὄντων τούτων.

ΔΗΛΟΝ δὲ ὅτι καὶ πάντες ἀτελεῖς καὶ ὅτι τελειοῦνται διὰ τοῦ α σχήματος.

Οἱ μὲν γὰρ δι' ἀντιστροφῆς τῶν προτάσεων εἰς τοὺς συλλογιστικοὺς τρόπους τοῦ πρώτου σχήματος ἀνάγοιντο· οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. τοῦτο δὲ ἦν ὃ καὶ ἐπὶ τοῦ β σχήματος ἔλεγεν, ὅτι τελειοῦνται διὰ τῶν εἰρημένων σχημάτων, ἀντὶ τοῦ διὰ τοῦ προειρημένου σχήματος, τουτέστι τοῦ πρώτου· τῷ πληθυντικῷ χρησάμενος ἀντὶ τοῦ ἑνικοῦ ὡς ἔθος. καὶ σχημάτων λέγοι εἰς τοὺς συλλογιστικοὺς τρόπους τοῦ πρώτου σχήματος, εἰς οὓς καὶ ἀνάγονται πᾶσαι αἱ συλλογιστικαὶ συζυγίαι καὶ τοῦ δευτέρου καὶ τοῦ τρίτου σχήματος.

ΟΤΙ μὲν οὖν οἱ ἐν τούτοις τοῖς σχήμασι συλλογισμοὶ τελειοῦνται διὰ τῶν ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμῶν καὶ εἰς τούτους ἀνάγονται, δῆλον ἐκ τῶν εἰρημένων. ὅτι δ' ἁπλῶς πᾶς συλλογισμὸς οὕτως ἕξει, νῦν ἔσται φανερόν, ὅταν δειχθῇ πᾶς γινόμενος διὰ τούτων τινὸς τῶν σχημάτων. ἀνάγκη δὴ πᾶσαν ἀπόδειξιν καὶ πάντα συλλογισμὸν ἢ ὑπάρχον τι ἢ μὴ ὑπάρχον δεικνύναι, καὶ τοῦτο ἢ καθόλου ἢ κατὰ μέρος, ἔτι ἢ δεικτικῶς ἢ ἐξ ὑποθέσεως. τοῦ δ' ἐξ ὑποθέσεως μέρος ἐστὶν ὁ διὰ τοῦ ἀδυνάτου. πρῶτον οὖν εἴπωμεν περὶ τῶν δεικτικῶν.

Εἰπὼν περὶ τοῦ ὑπάρχοντος τρόπου, καὶ τοῦ ἀναγκαίου, καὶ τοῦ ἐνδεχομένου καὶ τούτοις μίξας, ἔτι τε ἀναγαγὼν τοὺς ἐκ τοῦ δευτέρου καὶ τρίτου σχήματος συλλογισμοὺς εἰς τοὺς ἐν τῷ πρώτῳ, καὶ τοὺς ἐν τῷ πρώτῳ εἰς τοὺς δύο τοὺς καθόλου, νῦν βούλεται δεῖξαι ὅτι ἀδύνατον γενέσθαι συλλογισμόν, ὁμοίως ὑποθετικόν τε καὶ κατηγορικόν, εἰ μὴ δι' ἑνὸς τῶν τριῶν τούτων σχημάτων. ἵνα δὲ τοῦτο δείξῃ, μεταβαίνει ἐκ τῶν συλλογισμῶν ἐπὶ τὰ συλλογιστὰ ὡς σαφέστερα. καὶ προάγει τὸν λόγον ἐκ διαιρέσεως οὕτως. πᾶν συλλογιστὸν ἢ καθόλου ἐστὶν ἢ κατὰ μέρος. καὶ τοῦτο ἢ καταφατικὸν ἢ ἀποφατικόν, εἶτα καὶ τὸν τρόπον τῆς δείξεως ἐκ διαιρέσεως φησί. πᾶν γὰρ τὸ δεικνύμενόν φησιν ἢ δεικτικῶς δείκνυται, τουτέστι διὰ τῶν κατηγορικῶν προτάσεων, ἢ ἐξ ὑποθέσεως. τούτων οὖν οὕτως ἐχόντων, εἴπωμεν πρῶτον περὶ τῶν δεικτικῶς δεικνυμένων. λαμβάνει δὲ πάλιν τὸ α καὶ τὸ β στοιχεῖα ἀντὶ τῶν συλλογιστῶν. εἰ οὖν φησὶ βουληθῶμεν δεῖξαι ὅτι τὸ α τῷ β ὑπάρχει ἢ οὐχ ὑπάρχει, εἰ μὲν αὐτόθεν τοῦτο λάβωμεν ὅτι οὐχ ὑπάρχει, τὸ ἐν ἀρχῇ αἰτησόμεθα, καὶ τὸ ζητούμενον ὡς ὁμολογημένον ληψόμεθα. ἐπεὶ οὖν ἀνάγκη δι' ἑτέρου ὡς ὁμολογημένου τὸ ζητούμενον κατασκευάσαι, ἐὰν λάβωμεν ὅτι τὸ α τῷ γ ὑπάρχει, ἢ τῷ γ ἕτερον, ἢ τὸ α ἕτερον, ἢ τῷ β τινὶ ἄλλο, οὐδὲν ὁμοίως ἐσόμεθα δεδειχότες. μίαν γὰρ πρότασιν εἰλήφαμεν. ὁ δὲ συλλογισμὸς ἐκ δύο τοὐλάχιστον δεῖ προτάσεων. τεθέντων γάρ τινων, ἕτερον τῶν προκειμένων ἐξ ἀνάγκης συμβαίνει. πάλιν εἰ δύο λάβωμεν προτάσεις, οἷον τὸ α κατὰ τοῦ γ, καὶ τὸ γ κατ' ἄλλου τινός, ἢ καὶ τοῦ α ἄλλο, ἢ ὅσας ἂν λάβωμεν ἄλλας συμπλεκομένας προτάσεις, μὴ συνάπτουσας δὲ πρὸς τὸ β, συλλογισμὸν μὲν ποιήσομεν, οὐ μὴν τοῦ προκειμένου. ἀνάγκη οὖν πᾶσα εἰ δεῖ δειχθῆναι ὅτι τὸ α τῷ β ὑπάρχει ἢ οὐχ ὑπάρχει λαβεῖν τινὰ κοινὸν ὅρον, ὃς συνάψει πρὸς τὸ β, καὶ διαβιβάσει δι' ἑαυτοῦ ἀπὸ τοῦ α

ἡ δὲ καταφατική· τῆς μείζονος ἀποφατικῆς οὔσης δῆλον ὅτι εἰ γὰρ ἡ ἐλάττων ᾖ, ἀσυλλόγιστος γίνεται ἡ συζυγία· ἐὰν μὲν ἡ μείζων καθόλου ᾖ, ὥσπερ εἶχον αἱ ἐξ ἀμφοτέρων καθόλου· κατὰ τὰ αὐτὰ καὶ αὗται ἕξουσιν ἐν πᾶσιν. εἰ δὲ ἡ μείζων μερικὴ εἴη. ἀκούωμεν τὴν λέξιν ὡς ἔχει. Ὁμοίως δὲ καὶ εἰ ὁ μὲν καθόλου τῶν ὅρων, ὁ δὲ ἐν μέρει πρὸς τὸ μέσον. Τουτέστιν εἰ ἡ μὲν τῶν προτάσεων εἴη καθόλου, ἡ δὲ μερική· διὰ γὰρ τῶν ὅρων τὰς προτάσεις ἐδήλωσεν· τῷ γὰρ πρὸς τὸ μέσον τοὺς ἄκρους συμπλέξαι τοῦτο δεδήλωκεν· ἅμα δὲ καὶ τὸ τρίτον ὑπέγραψε σχῆμα· ἐν ᾧ οἱ δύο ἄκροι τοῦ μέσου κατηγοροῦνται. ἐν δευτέρῳ γὰρ ἐν ᾧ ὁ εἷς τῶν δύο κατηγορεῖται· ὡς καὶ πρῶτον ἐν ᾧ ὁ μέσος θατέρῳ μὲν ὑπέκειτο, θατέρου δὲ κατηγορεῖτο.

» ΚΑΙ ὅταν τὸ μὲν, στερητικὸν ληφθῇ ἐνδεχόμενον, τὸ δὲ, καταφατικόν· ἀναγκαῖον δὲ τὸ καταφα-
» τικὸν τοῦ ἐνδέχεσθαι.

Εἰ ἡ μείζων ἐνδεχομένη εἴη μερικὴ ἀποφατική, ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἀναγκαία, τὸ συμπέρασμα γίνεται μερικὸν ἐνδεχόμενον· ὁποῖον ἐγίνετο καὶ ὅτε ἦσαν ἀμφότεραι καθόλου. γίνεται δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· τὸ γὰρ ὁμοίως δεῖ ἔχειν οὐκ ἐπὶ τῶν δείξεων εἶπεν, ἀλλ' ἐπὶ τοῦ συμπεράσματος· τὸ γὰρ α ἐνδεχέσθω μὴ παντὶ τῷ γ ὑπάρχειν· τὸ δὲ β παντὶ τῷ γ ἐξ ἀνάγκης· καὶ συνάγεται τὸ α ἐνδέχεσθαι μὴ παντὶ τῷ β. εἰ γὰρ τοῦτο ψεῦδος παντὶ ἐξ ἀνάγκης· ἀλλὰ μὴν τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης. καὶ τὸ α ἄρα παντὶ τῷ γ ἐξ ἀνάγκης· ἀλλ' ὑπέκειτο μὴ παντὶ ἐνδέχεσθαι. ὅροι· λευκόν· ἄνθρωπος. ζῷον. λευκὸν ἐνδέχεται μὴ παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ζῷον παντὶ ἀνθρώπῳ· καὶ λευκὸν ἐνδέχεται μὴ παντὶ ζῴῳ. εἰ γὰρ τοῦτο ψεῦδος, τὸ παντὶ ἐξ ἀνάγκης ἀληθές· ἀλλὰ καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. καὶ τὸ λευκὸν ἄρα παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ὅπερ ἐστὶ ψεῦδος· ὑπέκειτο γὰρ ἐνδέχεσθαι μὴ παντί. Δυνατὸν δὲ καὶ διὰ τῆς ἐπὶ μέρους ἀντιστροφῆς δεῖξαι τὴν συζυγίαν συλλογιστικήν. ἡ γὰρ μερικὴ ἐνδεχομένη ἀποφατικὴ ἀντιστρέφει εἰς τὴν μερικὴν καταφατικήν· γίνεται τοίνυν ἡ ἀντιστροφὴ τὸν τρόπον τοῦτον. εἰ τὸ α ἐνδέχεται μὴ παντὶ τῷ γ· καὶ τὸ γ τινὶ τῶν α ἐνδέχεται· ἀλλὰ καὶ τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης· καὶ τὸ β ἄρα τινὶ τῶν α ἐνδέχεται· ἀντιστραφείσης οὖν καὶ τοῦ συμπεράσματος εἰς τὴν μερικὴν ἀποφατικὴν ἐνδεχομένην· καὶ τὸ α οὐ παντὶ τῷ β ἐνδέχεται· ὅπερ ἔδει δεῖξαι.

» ΟΤΑΝ δὲ τὸ στερητικὸν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται τοῦ μὴ ὑπάρχειν· ὁ γὰρ αὐτὸς τρόπος
» ἔσται τῆς δείξεως· καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων· ἀνάγκη γὰρ διὰ τοῦ πρώτου σχήματος
» τελειοῦσθαι τοὺς συλλογισμούς· ὥστε καθάπερ ἐν ἐκείνοις καὶ ἐπὶ τούτων ἀναγκαῖον συμπίπτειν.

Ἐάν φησι τὴν στερητικὴν πρότασιν ἀναγκαίαν λάβωμεν, τὴν δὲ καταφατικὴν ἐνδεχομένην. δῆλον ὅτι ἐναντίως τῇ πρὸ ταύτης συζυγίᾳ, τὸ συμπέρασμα γίνεται μερικὸν ἀποφατικὸν ὑπάρχον· ἔστωσαν δὲ ὅροι· ἄνθρωπος μὲν ἐπὶ τοῦ α· περιπατητικὸν δὲ ἐπὶ τοῦ β, ζῷον δὲ ἐπὶ τοῦ γ· ἄνθρωπος μὲν γὰρ, οὐ παντὶ ζῴῳ ἐξ ἀνάγκης· περιπατητικὸν δὲ ἐνδέχεται παντὶ ζῴῳ· καὶ ἄνθρωπος οὐ παντὶ ὑπάρχει περιπατητικῷ· συνάγεται δὲ καὶ ἐνδεχόμενον οὐ τὸ κατὰ τὸν διορισμόν, ἀλλὰ τὸ συμφέχον τῷ ὑπάρχοντι· ὅτι γὰρ οὐ συνάγεται τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον, δῆλον ἐντεῦθεν· εἰ γὰρ τὸ α ἐνδέχεται τινὶ τῶν β ὑπάρχειν· καὶ τὸ β ἐνδέχεται τινὶ τῶν α μὴ ὑπάρχειν· ἀντιστρέφει γὰρ τὰ μερικὰ τοῦ κυρίως ἐνδεχομένου. ὑπάρχει δὲ καὶ τὸ γ παντὶ τῷ β· τὸ ἄρα γ τινὶ τῶν α ἐνδέχεται ὑπάρχειν· εἰ δὲ τοῦτο, καὶ τὸ α τινὶ τῶν γ ἐνδέχεται ὑπάρχειν· ὃ δὲ ἐνδέχεται τινί, ἐνδέχεται καὶ μηδενί. ἐνδέχεται ἄρα τὸ α μηδενὶ τῶν γ ὑπάρχειν· ὃ δὲ ἐνδέχεται μηδενί, ἐνδέχεται καὶ παντί· ἐνδέχεται γὰρ πάντα ἄνθρωπον λούεσθαι· καὶ μὴ λούεσθαι. ἐνδέχεται ἄρα τὸ α παντὶ τῷ γ ὑπάρχειν· ἀλλ' ὑπέκειτο καὶ μὴ παντὶ ἐξ ἀνάγκης· οὐκ ἄρα ἀληθὲς τὸ ἐνδεχομένως τὸ α μὴ παντὶ τῷ β ὑπάρχειν· ὁ δὲ ἀλέξανδρος ἐνταῦθα τὴν μὲν ἀποφατικὴν ἀναγκαίαν καθόλου λαμβάνει· τὴν δὲ ἐνδεχομένην καταφατικὴν ἐπὶ μέρους· τὸ α μηδενὶ τῷ γ ὑπαρχέτω ἐξ ἀνάγκης· οἷον, ἵππος μηδενὶ ἄνθρωπος· τὸ δὲ β τινὶ τῶν γ ἐνδεχέσθω, ὑπάρχειν· οἷον, λευκόν, τινὶ ἵππῳ· συνάξει τὸ α τουτέστι τὸν ἄνθρωπον, μὴ παντὶ λευκῷ ὑπάρχειν· οἷον τῷ ψιμυθίῳ ἢ τῇ χιόνι· καὶ δῆλον ὡς οὐχὶ ἐνδεχομένως, ἀλλ' ἁπλῶς οὐχ ὑπάρξει· τὸ δὲ αἴτιον, τοῦ τοιαῦτα γίνεσθαι τὰ συμπεράσματα· προσέθηκε τὸ καθάπερ ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου, οὕτω καὶ ἐπὶ τούτων διὰ τοῦ πρώτου σχήματος τελειοῦνται οἱ συλλογισμοί· τὸ δὲ ὥστε καθάπερ ἐν ἐκείνοις, καὶ ἐπὶ τούτων ἀναγκαῖον συμπίπτειν· τουτέστιν ὁποῖα ἐν ἐκείνοις ὑπῆρχε τὰ συμπεράσματα, τοιαῦτα καὶ ἐπὶ τούτων συμπίπτειν. ἐπιζητήσειε δ' ἄν τις φησὶν ὁ ἀλέξανδρος εὐκαίρως ἐνταῦθα· τί δή ποτε μὴ καὶ ἐν ταῖς ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης μίξεσιν· οὕτως εἴπε γίνεσθαι ἐν τούτῳ τῷ σχήματι τὰ συμπεράσματα· ὡς καὶ ἐν τῷ πρώτῳ ἐδείκνυντο σχήματι· φησὶν οὖν ὅτι τὰ νῦν λεγόμενα κοινῶς ἐξακούειν δεῖ ἐπὶ πάντων ἁπλῶς· ὡς γὰρ ἐν τῷ πρώτῳ σχήματι ἔχει τὸ συμπέρασμα, οὕτω καὶ ἐν τοῖς ἄλλοις ἑξῆς σχήμασι τοῖς τὴν ὁμοίαν συμπλοκὴν ἔχουσι δεικνυμένοις διὰ τῆς ἀντιστροφῆς.

» ΟΤΑΝ δὲ τὸ στερητικὸν καθόλου ληφθὲν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον, ἐὰν μὲν ἐνδεχόμενον, ἔσ-
» ται συλλογισμὸς διὰ τῆς ἀντιστροφῆς· ἐὰν δὲ ἀναγκαῖον ᾖ, οὐκ ἔσται· δειχθήσεται δὲ τὸν αὐτὸν τρόπον ὃν
» καὶ ἐν τοῖς καθόλου καὶ διὰ τῶν αὐτῶν ὅρων· φανερὸν οὖν καὶ ἐν τούτῳ τῷ σχήματι, πότε καὶ πῶς

ΟΤΕ δ' οὕτως ἔχουσιν αἱ προτάσεις, συμβαίνει τὸ α τῷ γ καὶ ἐνδέχεσθαι τινὶ μὴ ὑπάρχειν καὶ μὴ ὑπάρχειν· ὥστε καὶ τὸ α τῷ β ἀνάγκη τινὶ μὴ ὑπάρχειν.

Αναμιμνήσκει ἡμᾶς τοῦ α σχήματος καὶ τῶν ἐκεῖ δεδειγμένων, ὅτι φησὶν ἐν πρώτῳ σχήματι οὕτως εἶχον αἱ προτάσεις· τουτέστιν ἡ μείζων ἀναγκαία ἦν ἀποφατική, ἡ δὲ ἐλάττων ἐνδεχομένη καταφατικὴ μερική, συνέβαινε τὸ α τῷ γ· οὗτοι γὰρ ἦσαν ἐκεῖ οἱ ἄκροι ὅροι τινὶ μὴ ὑπάρχειν· καὶ ἐνδέχεσθαι μὴ ὑπάρχειν· οὕτως οὖν φησι καὶ ἐνταῦθα· ἐπειδὴ ἀντιστρέψαντες τὴν ἐλάττονα πρότασιν, τοῦτον πάλιν τὸν τρόπον ἐποιήσαμεν τοῦ πρώτου σχήματος· τὸ αὐτὸ πάλιν ἀνάγκη συνάγεσθαι συμπέρασμα ὥστε τὸ α τῷ β· οὗτοι γάρ εἰσιν ἐνταῦθα οἱ ἄκροι· ἢ τινὶ οὐχ ὑπάρξει· καὶ τινὶ ἐνδέχεται μὴ ὑπάρχειν· δῆλον ὅτι τοῦ ἐνδεχομένου οὐκ ὄντος τοῦ κατὰ τὸν διορισμόν· ἀλλὰ τοῦ κατὰ τοῦ ὑπάρχοντος κατηγορουμένου.

ΟΤΑΝ δὲ τὸ στερητικὸν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον· ἐὰν μὲν ἐνδεχόμενον ᾖ, ἔσται συλλογισμὸς μεταληφθείσης τῆς προτάσεως ὥσπερ ἐν τοῖς πρότερον· ἐὰν δ' ἀναγκαῖον, οὐκ ἔσται· καὶ γὰρ παντὶ ἀνάγκη καὶ οὐδενὶ ἐνδέχεται ὑπάρχειν. ὅροι τοῦ παντὶ ὑπάρχειν· ὕπνος· ἵππος· καθεύδων ἄνθρωπος. τοῦ δὲ μηδενί· ὕπνος· ἵππος· ἐγρηγορὼς ἄνθρωπος.

Αν μὲν καταφατικὴν ὑποθέμενος τὴν ἐλάττονα, τὴν δὲ μείζονα ἢ καὶ αὐτὴν καταφατικὴν ἐλάμβανεν· ὡς εἶναι ἐξ ἀμφοτέρων καταφατικῶν τὰς συζυγίας, ἢ ἀποφατικῶν. ἐνταῦθα δὲ τὴν ἐλάττονα ἀποφατικὴν ὑποθέμενος, τὴν μείζονα ἢ ἀποφατικὴν λαμβάνει καὶ αὐτὴν ἢ καταφατικήν. εἰ μὲν οὖν φησιν ἀποφατικὴ οὖσα ἡ ἐλάττων ἐνδεχομένη εἴη, συλλογιστικὴ γίνεται ἡ συζυγία μεταληφθείσης τῆς ἐλάττονος ἀποφατικῆς εἰς τὴν καταφατικὴν καὶ ἀντιστραφείσης πρὸς τὴν μερικήν· καὶ ποιούσης ἢ τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος, ἐὰν ἡ μείζων καταφατικὴ ὑπάρχῃ· ἢ τὸν τέταρτον, ἐὰν ἀποφατική. συνάγουσι δὲ αὗται μερικὸν ἐνδεχόμενον· εἰ δὲ ἡ ἐλάττων ἀποφατικὴ οὖσα ἀναγκαία εἴη, ἀσυλλόγιστος ἔσται ἡ συζυγία· τὸ γὰρ ἴδιον τοῦ τρίτου σχήματος ἀπόλλυσι, τὸ τὴν ἐλάττονα ἔχειν καταφατικήν. συνάγει τοιγαροῦν καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης. τὸ μὲν παντὶ οὕτως· ὕπνος ἐνδέχεται παντὶ ἵππῳ ἢ μηδενὶ ὑπάρχειν· ἵππος οὐδενὶ καθεύδοντι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει· καὶ συνάγεται ὕπνος παντὶ καθεύδοντι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχειν. τὸ δὲ μηδενί· ὕπνος παντὶ μὲν ἵππῳ ἐνδέχεται ὑπάρχειν· ἵππος οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει· καὶ συνάγεται ὕπνος, οὐδενὶ ἐγρηγορότι ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχειν.

ΟΜΟΙΩΣ δὲ ἕξει καὶ εἰ ὁ μὲν καθόλου τῶν ὅρων, ὁ δ' ἐν μέρει πρὸς τὸ μέσον, κατηγορικῶν μὲν γὰρ ὄντων ἀμφοτέρων, τοῦ ἐνδέχεσθαι, οὐ τοῦ ὑπάρχειν, ἔσται συλλογισμός.

Τὰ αὐτὰ πάλιν λεχθήσεται ἃ καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου συλλογισμῶν περί τε τῶν συμπερασμάτων περί τε τῶν δείξεων· καὶ ἐπὶ τῶν ἐχουσῶν τὴν μείζονα καθόλου πρότασιν τὴν δὲ ἐλάττονα μερικὴν συλλογιστικῶν συζυγιῶν· λέγω δὴ ἐχουσῶν τὴν μείζονα ἀποφατικὴν ἢ καταφατικήν, τὴν δὲ ἐλάττονα καταφατικήν· αὗται γάρ εἰσι συλλογιστικαὶ καὶ ἐν τῷ τρίτῳ σχήματι. τοσοῦτον μόνον διαφορὰ τούτων πρὸς τὰς καθόλου συζυγίας· ὅτι ἐκεῖναι μὲν τὴν ἐλάττονα καθόλου ἔχουσαι· πρὸς τὴν μερικὴν εἶχον αὐτὴν ἀντιστρεφομένην· ἐν τούτοις δὲ μερικῆς οὔσης τῆς ἐλάττονος, ἡ ἀντιστροφὴ πρὸς αὐτὴν πάλιν τὴν μερικὴν γίνεται· ἐπὶ δὲ τῶν ἐχουσῶν τὴν ἐλάττονα καθόλου, τὴν δὲ μείζονα μερικήν· δῆλον ὅτι πάλιν συλλογιστικῶν συζυγιῶν· ἀμφοτέρων μὲν οὐσῶν καταφατικῶν· ἡ διαφορὰ αὕτη πρὸς τὰς καθόλου· ὅτι ἐκεῖ μὲν τὴν ἐλάττονα ἀντιστρέφομεν, ἐνταῦθα δὲ τὴν μείζονα· καὶ ἐκεῖ μὲν δείξαντες τὸ συμπέρασμα δι' εὐθείας, ἢ διὰ τοῦ ἀδυνάτου, οὐδενὸς ἄλλου ἐδεόμεθα· ἐνταῦθα δὲ μετὰ τὸ δεῖξαι καὶ τὸ συμπέρασμα ἀντιστρέφομεν· οἷον ἔστω ἡ μείζων ὑπάρχουσα μερική, ἡ δὲ ἐλάττων καθόλου ἐνδεχομένη, καταφατικαὶ ἀμφότεραι· λέγω οὖν οὕτως· τὸ α τινὶ τῷ γ ὑπαρχέτω· τὸ δὲ β παντὶ τῷ γ ἐνδεχέσθω ὑπάρχειν· ἄν τε ἀντιστρέψω τὴν μείζονα πρότασιν· ἐὰν γὰρ ἀντιστρέψω τὴν ἐλάττονα, ἀσυλλόγιστος γίνεται ἡ συζυγία· ἀμφότεραι γὰρ γίνονται μερικαί· ἐπεὶ οὖν τὸ α τινὶ τῷ γ ὑπάρχει· καὶ τὸ γ τινὶ τῷ α· εἰ τοίνυν τὸ μὲν β παντὶ τῷ γ ἐνδέχεται ὑπάρχειν· τὸ δὲ γ τινὶ τῷ α ὑπάρχει· γίνεται τὸ α σχῆμα· τὸ ἄρα β τινὶ τῷ α ἐνδέχεται ὑπάρχειν· ἀλλ' οὐ τοῦτο προέκειτο δεῖξαι· ἀλλ' εἰ τὸ α τινὶ τῷ β ἐνδέχεται ὑπάρχειν. Ἐπεὶ τοίνυν ἀντιστρέφει τὸ μερικὸν καταφατικόν· ἀντιστρέψας τὸ συμπέρασμα· ἔχω τὸ ζητούμενον· εἰ γὰρ τὸ β τινὶ τῷ α ἐνδέχεται ὑπάρχειν· καὶ α τινὶ τῷ β ἐνδέχεται ὑπάρχειν· ὅπερ ἔδει δεῖξαι. καὶ ταῦτα δὲ ἐπειδὴ ὑποθέμεθα τὴν μείζονα ἐνδεχομένην, τὴν δὲ ἐλάττονα ἀναγκαίαν· εἰ δὲ ἀνάπαλιν ὑποθώμεθα τὴν μὲν μείζονα ἀναγκαίαν, τὴν δὲ ἐλάττονα ἐνδεχομένην· μετὰ τὴν ἀντιστροφὴν τῆς μείζονος προτάσεως, οὐκέτι τῇ κατ' εὐθεῖαν δείξει· ἀλλ' ὡς ἐπὶ τῶν καθόλου συζυγιῶν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δείκνυται τὸ β τῷ α ἐνδεχομένως τινὶ ὑπάρχον· τουτέστιν ὁ ἐλάττων τῷ μείζονι· καὶ οὕτω τὸ συμπέρασμα ἀντιστρέψαντες εὑρήσομεν καὶ τὸ α τινὶ τῷ β ἐνδεχομένως ὑπάρχον· τουτέστι τὸν μείζονα τῷ ἐλάττονι. ἔστω μὲν οὖν εἰ ἀμφότεραι καταφατικαὶ εἶεν αἱ προτάσεις. εἰ δὲ ἡ μὲν ἀποφατική·

ἡ δὲ

» ὑπάρχειν καὶ τοῦ μὴ ὑπάρχειν. τοῦ δὲ ἐξ ἀνάγκης μὴ ὑπάρχειν, οὐκ ἔσται συλλογισμός. ὥσπερ δὲ ἐν ταῖς
» ἑτέραις σχήμασιν.

E ληρώσας τὴν μῖξιν τοῦ ἐνδεχομένου πρὸς τὸ ὑπάρχον, νῦν χατιὸν φέρεται ἐπὶ τὴν μῖξιν τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου. ταῦτα δὲ συνάγονται ἐν ταύταις ταῖς συζυγίαις τὰ συμπεράσματα ἃ συνήγοντο καὶ ἐν πρώτῳ σχήματι ἐπὶ ταύτης τῆς μίξεως ὁμοίως ἐχουσῶν τῶν προτάσεων. εἰ μὲν γὰρ ἀμφότεραι κατηγορικαὶ ὦσι, τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον οὐ συνάγεται συμπέρασμα. εἰ δὲ μὲν, εἴη καταφατικὴ ἡ δὲ ἀποφατική, εἰ μὲν ἡ ἐνδεχομένη ἀποφατικὴ εἴη, τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου πάλιν ἔσται τὸ συμπέρασμα. εἰ δὲ τὸ ἀναγκαῖον εἴη ἀποφατικόν, ἐνδεχόμενον γίνεται τὸ συμπέρασμα. οὐ τὸ κατὰ τὸν διορισμόν, ἀλλὰ τὸ συμφέχον τῷ μὴ ὑπάρχοντι.

» ἔΣΤΩΣΑΝ δὴ κατηγορικαὶ πρῶτον οἱ ὅροι. καὶ τὸ μὲν ά, παντὶ τῷ γ' ὑπαρχέτω ἐξ ἀνάγ-
» κης. τὸ δὲ β' παντὶ τῷ γ' ἐνδεχέσθω ὑπάρχειν. ἐπεὶ οὖν τὸ μὲν ά παντὶ τῷ γ' ἐξ ἀνάγκης. τὸ δὲ γ'
» τινὶ τῷ β' ἐνδέχεται. καὶ τὸ α τινὶ τῷ β' ἐνδεχόμενον ἔσται, καὶ οὐχ ὑπάρχον. οὕτω γὰρ συνέλι-
» πτεν ἐπὶ τοῦ πρώτου σχήματος. ὁμοίως δὲ δειχθήσεται, καὶ εἰ τὸ μὲν β' γ' τεθείη ἀναγκαῖον, τὸ δὲ ά
» γ' ἐνδεχόμενον.

F άλιν πρώτας ὑποτίθεται τὰς ἐξ ἀμφοτέρων καταφατικῶν. καὶ ἐν ταύταις πρώτην ὑποτίθεται τὴν ἔχουσαν τὴν μείζονα ἀναγκαίαν, τὴν δὲ ἐλάττονα ἐνδεχομένην. καὶ συνάγει μερικὸν ἐνδεχόμενον συμπέρασμα. ἀντιστραφείσης τῆς ἐλάττονος πρὸς τὴν μερικὴν καὶ ποιούσης τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος. εἰ δὲ καὶ ἐν τούτῳ τῷ σχήματι καὶ ἐν τοῖς ἄλλοις ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ ἐνδεχομένου οὐ βούλεται τῇ κρείττονι τῶν προτάσεων ἕπεσθαι τὸ συμπέρασμα, ἀλλὰ τῇ χείρονι. δῆλον ἄρα ὅτι ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος ὅτι ἔλεγε τῇ μείζονι προτάσει ἕπεσθαι τὸ συμπέρασμα. καὶ τὰς ἐχούσας τὴν μείζονα ἀναγκαίαν ἀναγκαῖον συμπέρασμα συνάγειν, οὐ τὸ κυρίως ἀναγκαῖον ἐβούλετο συνάγεσθαι. ἀλλὰ τὸ ἐξ ὑποθέσεως. ὥσπερ δὲ ἔχει ἡ τὴν μείζονα ἔχουσα ἀναγκαίαν συζυγία κατὰ τὸ συμπέρασμα. οὕτω καὶ ἡ ἀνάπαλιν ἔχουσα. λέγω δὴ ἡ τὴν μείζονα ἐνδεχομένην. ἐν δὲ τῇ δείξει διαφέρουσιν, ὅτι ἡ μὲν ἔχουσα τὴν μείζονα ἐνδεχομένην μετὰ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος τῇ ἐπ' εὐθείας δείκνυται διὰ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός. ἡ δὲ τὴν μείζονα ἔχουσα ἀναγκαίαν. μετὰ τὴν ἀντιστροφὴν τῆς ἐλάττονος τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δείκνυται. τὸ γὰρ ά τῷ γ' παντὶ ἐξ ἀνάγκης ὑπαρχέτω. τὸ δὲ β' τῷ γ' παντὶ ἐνδεχέσθω. οὐκοῦν καὶ τὸ γ' τινὶ τῷ β'. γίνεται οὖν τὸ ά σχῆμα τοῦ μὲν ά τῷ γ' παντὶ ἐξ ἀνάγκης. τοῦ δὲ γ' τῷ β' τινὶ ἐνδεχομένου. συνάγει οὖν φημι τὸ ἐνδέχεται τινί. καὶ τοῦτο δείκνυμι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. εἰ γὰρ ψεῦδος τὸ ἐνδέχεται τινί, ἀληθὲς τὸ ἀνάγκη μηδενί. ἔστω οὖν τὸ ά τῷ β' ἀνάγκη μηδενί. τὸ δὲ β' τῷ γ' ἐνδέχεται παντί. τὸ ά ἄρα τῷ γ' ἐνδέχεται μηδενὶ ὑπάρχειν. τοῦτο γὰρ δέδεικται ἐν τῷ πρώτῳ σχήματι. ἦν δὲ καὶ ἐξ ἀνάγκης παντί, ὅπερ ἀδύνατον. ὅτι ὃ ἐνδέχεται μηδενί, τοῦτο ἐνδέχεται παντί. ὁμοίως δὲ ἔχουσιν αἱ τέσσαρες προτάσεις ἐπὶ ταύτης τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος. πᾶσαι γὰρ αἱ τὴν μείζονα ἔχουσαι ἢ ὑπάρχουσαν ἢ ἀναγκαίαν. τὴν δὲ ἐλάττονα ἐνδεχομένην. διὰ τοῦ ἀδυνάτου δείκνυνται.

» ΠΑΛΙΝ ἔστω τὸ μὲν κατηγορικόν, τὸ δὲ στερητικόν. ἀναγκαῖον δὲ τὸ κατηγορικόν. τὸ μὲν ά
» ἐνδέχεσθαι μηδενὶ τῷ γ' ὑπάρχειν. τὸ δὲ β' παντὶ ὑπαρχέτω ἐξ ἀνάγκης τῷ γ'. ἔσται δὴ πάλιν τὸ
» πρῶτον σχῆμα. τὸ συμπέρασμα ἐνδεχόμενον ἀλλ' οὐχ ὑπάρχον. καὶ ἡ γὰρ στερητικὴ πρότασις ἐνδέχεσθαι
» σημαίνει. φανερὸν οὖν ὅτι τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον. ὅτε γὰρ οὕτως ἔχοιεν αἱ προτάσεις ἐν τῷ
» πρώτῳ σχήματι, καὶ τὸ συμπέρασμα ἦν ἐνδεχόμενον.

N ῦν τὰς ἀνομοιοσχήμονας παραδίδωσι. καὶ πρώτην ὑποτίθεται τὴν ἔχουσαν τὴν μείζονα ἐνδεχομένην ἀποφατικήν, τὴν δὲ ἐλάττονα καταφατικὴν ἀναγκαίαν. καὶ συνάγει αὖ τι ἀντιστραφείσης τῆς ἐλάττονος πρὸς τὴν μερικὴν καταφατικὴν μερικὸν ἀποφατικὸν ἐνδεχόμενον συμπέρασμα. ἡ δὲ δεῖξις διὰ τοῦ κατὰ παντός. καὶ κατὰ μηδενός. αὕτη γάρ ἐστιν ἡ κατ' εὐθεῖαν. εἰ γὰρ τὸ ά ἐνδέχεται μηδενὶ τῶν γ'. πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ οὐχ ὑπάρχει ἐνδεχομένως. ἐν δὲ τῶν μερῶν τοῦ γ' τι τῶν β'. τὸ γὰρ γ' τινὶ τῶν β' ὑπάρχει διὰ τὴν ἀντιστροφήν. τὸ ά ἄρα τινὶ τῶν β' ἐνδεχομένως οὐχ ὑπάρχει.

» ΕΙ ΔΗ στερητικὴ πρότασις ἀναγκαία, καὶ συμπέρασμα ἔσται καὶ ὅτι ἐνδέχεται τινὶ μὴ ὑ-
» πάρχειν, καὶ ὅτι οὐχ ὑπάρχει. κείσθω τὸ τῷ γ' μὴ ὑπάρχειν, ἐξ ἀνάγκης, τὸ δὲ β' παντὶ ἐνδέ-
» χεσθαι. ἀντιστραφέντος οὖν τοῦ β' γ' καταφατικοῦ, τὸ πρῶτον ἔσται σχῆμα. καὶ ἀναγκαία ἡ στε-
» ρητικὴ πρότασις.

T ῆς μείζονος οὔσης ἀναγκαίας ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς ἐνδεχομένης, τοῦ μὴ ὑπάρχειν γίνεται τὸ συμπέρασμα. ἡ δὲ δεῖξις διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος. καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. δέδεικται δὲ ταῦτα πλατύτερον ἐν τῷ πρώτῳ σχήματι.

ΚΑΙ ΕΙ τὸ μὲν ά γ' στερητικὸν. τὸ δὲ β' γ' κατηγορικὸν, ὑπάρχει δ' ὁποτερονοῦν ἀμφοτέρως, ἐνδεχόμενον ἔσται τὸ συμπέρασμα. γίνεται γὰρ πάλιν τὸ πρῶτον σχῆμα. δέδεικται δ' ὅτι τῆς ἑτέρας προτάσεως ἐνδέχεσθαι σημαινούσης ἐν αὐτῷ, καὶ τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον.

Ε εἰρηκὼς τὰς ἐξ ἀμφοτέρων κατηγορικῶν δύο συλλογιστικὰς συζυγίας. νῦν τὰς ἀνομοιοσχήμονας δύο παραδίδωσιν ἅμα. τῆς γὰρ μείζονος φησὶν ἀποφατικῆς οὔσης, τῆς δὲ ἐλάττονος καταφατικῆς, τῆς δ' ὑπαρχούσης ἢ πρὸς τῇ μείζονι τιθεμένης ἢ πρὸς τῇ ἐλάττονι. δύο γίνονται συζυγίαι. συνάγουσι δὲ ἀμφότεροι ἐνδεχόμενον συμπέρασμα. ἀλλ' ἡ μὲν ἔχουσα τὴν μείζονα ἐνδεχομένην τὸ κατὰ τὸν διορισμόν. ἡ δὲ ὑπάρχουσαν τὸ οὐδενὶ ἐξ ἀνάγκης ὡς δέδεικται ἐν πρώτῳ σχήματι. ἡ δὲ δεῖξις ἡ αὐτὴ ἐπ' ἀμφοτέρων ἀντιστρεφομένης τῆς ἐλάττονος προτάσεως πρὸς τὴν μερικὴν καταφατικὴν καὶ ποιούσης τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος.

ΕΙ ΔΕ ἐνδεχόμενον τὸ στερητικὸν τεθείη πρὸς τὸ ἔλαττον ἄκρον, ἢ καὶ ἄμφω τεθείη στερητικά, δι' αὐτῶν μὲν τῶν κειμένων οὐκ ἔσται συλλογισμός. ἀντιστραφέντων δ' ἔσται καθάπερ ἐν τοῖς πρότερον.

Δ ἂν προστεθείη τὸ στερητικὸν ἐνδεχόμενον. εἰ γὰρ ἡ ὑπάρχουσα στερητικὴ εἴη ἡ ἐλάττων, ἀσυλλόγιστος γίνεται ἡ συζυγία μὴ δυναμένη μεταληφθῆναι εἰς καταφατικήν.

ΕΙ ΔΕ ἡ μὲν, καθόλου τῶν προτάσεων, ἡ δὲ ἐν μέρει, κατηγορικῶν μὲν οὐσῶν ἀμφοτέρων, ἢ τῆς μὲν, καθόλου στερητικῆς, τῆς δ' ἐν μέρει καταφατικῆς, ὁ αὐτὸς ἔσται τρόπος τῶν συλλογισμῶν. πάντες γὰρ περαίνονται διὰ τοῦ πρώτου σχήματος. ὥστε φανερὸν ὅτι τοῦ ἐνδέχεσθαι καὶ οὐ τοῦ ὑπάρχειν ἔσται ὁ συλλογισμός.

F παραδοὺς τὰς ἐξ ἀμφοτέρων καθόλου, νῦν τὰς ἐκ τῆς ἑτέρας καθόλου τῆς δὲ ἑτέρας μερικῆς παραδίδωσιν. αὗται οὖν αἱ ἐξ ἀμφοτέρων καταφατικῶν φησὶν. ἢ τῆς μείζονος ἀποφατικῆς καθόλου τιθεμένης διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος συνάγονται εἰς τὸ πρῶτον σχῆμα. αἱ μὲν ἐξ ἀμφοτέρων κατηγορικῶν εἰς τὸν τρίτον τρόπον. αἱ δὲ ἐκ τῆς μείζονος ἀποφατικῆς καθόλου. εἰς τὸν τέταρτον.

ΕΙ ΔΕ ἡ μὲν καταφατικὴ καθόλου, ἡ δὲ στερητικὴ ἐν μέρει, διὰ τοῦ ἀδυνάτου ἔσται ἡ ἀπόδειξις. ὑπαρχέτω γὰρ τὸ μὲν β' παντὶ τῷ γ', τὸ δὲ ά ἐνδεχέσθω τινὶ τῷ γ' μὴ ὑπάρχειν. ἀνάγκη δὴ τὸ ά ἐνδέχεσθαι τινὶ τῷ β' μὴ ὑπάρχειν. εἰ γὰρ παντὶ τῷ β' τὸ ά ὑπάρξει ἐξ ἀνάγκης. τὸ δὲ β' παντὶ τῷ γ' κεῖται ὑπάρχειν. τὸ ά παντὶ τῷ γ' ἐξ ἀνάγκης ὑπάρξει. τοῦτο γὰρ δέδεικται πρότερον. ἀλλ' ὑπέκειτο τινὶ ἐνδέχεσθαι μὴ ὑπάρχειν.

Ε' ἐὰν φησὶν ἡ μὲν ἐλάττων καθόλου ᾖ καταφατική, ἡ δὲ μείζων μερικὴ ἀποφατική, γίνεται μὲν συλλογιστικὴ ἡ συζυγία. οὐ μὴν δι' ἀντιστροφῆς δείκνυται. ἀλλὰ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς. κείσθω γὰρ τὸ μὲν β' παντὶ τῷ γ' ὑπάρχειν. τὸ δὲ ά ἐνδεχέσθω μὴ παντὶ τῷ γ' ὑπάρχειν. συνάγεται ὅτι τὸ ά ἐνδέχεται μὴ παντὶ τῷ β' ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος τὸ ἀντικείμενον ἀληθὲς ἔσται ὅτι ἐξ ἀνάγκης τὸ ά παντὶ τῷ β' ὑπάρχει. ὑπέκειτο δὲ καὶ τὸ β' παντὶ τῷ γ' ὑπάρχειν. τὸ ἄρα ά ἐξ ἀνάγκης παντὶ τῷ γ' ὑπάρχει. γίνεται γὰρ τὸ πρῶτον σχῆμα ἐξ ἀναγκαίας καθόλου καταφατικῆς τῆς μείζονος καὶ ὑπαρχούσης καθόλου καταφατικῆς τῆς ἐλάττονος. ἐφ' ἧς συνήγετο καθόλου καταφατικὸν ἀναγκαῖον συμπέρασμα. ἀλλ' ἀδύνατον παντὶ τῷ γ' ὑπάρχειν ἐξ ἀνάγκης. ὑπέκειτο γὰρ ἐνδέχεσθαι μὴ παντὶ ὑπάρχειν αὐτῷ. τὸ δὲ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποτίθεσθαι ἐξ ἀνάγκης ὑπάρχειν τὸ ά τῷ β'. μήποτε δὲ δυνατὸν καὶ δι' ἀντιστροφῆς δεῖξαι συλλογιστικὴν τὴν συζυγίαν. εἴγε κατ' αὐτὸν ἡ μερικὴ ἀποφατικὴ ἐνδεχομένη ἀντιστρέφει εἰς τὴν μερικὴν καταφατικὴν ἐνδεχομένην. εἰ οὖν τὸ ά ἐνδέχεται μὴ παντὶ τῷ γ' ὑπάρχειν. καὶ τὸ γ' τινὶ τῶν ά ἐνδέχεται ὑπάρχειν. ἀλλὰ μὴν τὸ β' παντὶ τῷ γ' ὑπάρχει. τὸ ά δὲ τινὶ τῶν γ' ἐνδέχεται ὑπάρχειν. οὐκοῦν καὶ τὸ ά ἐνδέχεται παντὶ τῷ γ' ὑπάρχειν. ὅπερ ἔδει δεῖξαι.

ὍΤΑΝ δὲ ἀδιόριστοι ἢ ἐν μέρει ληφθῶσιν ἀμφότεραι, οὐκ ἔσται συλλογισμός. ἀπόδειξις δ' ἡ αὐτὴ ἢ καὶ ἐν τοῖς καθόλου καὶ διὰ τῶν αὐτῶν ὅρων.

Κ καθόλου νῦν λέγει τὰς ἐξ ἀμφοτέρων ἐνδεχομένων ὥσπερ ἔλεγεν δι' ὧν ὅρων ἐδείχθησαν καὶ αἱ δι' ὅλου ἐνδεχόμεναι αἱ δύο ἐπὶ μέρει συζυγίαι οὖσαι ἀσυλλόγιστοι. ὅροι δὲ ὅροι, τοῦ μὲν παντὶ ὑπάρχειν ζῷον. ἄνθρωπος. λευκόν. ζῷον ἐνδέχεται μὴ παντὶ λευκῷ. ἄνθρωπος τινὶ λευκῷ ἐνδέχεται. καὶ συνάγεται ζῷον ἀνάγκη παντὶ ἀνθρώπῳ ὑπάρχειν. τοῦ δὲ μηδενί. ἵππος. ἄνθρωπος. λευκόν. ἵππος, οὐ παντὶ λευκῷ ἐνδεχομένως. ἄνθρωπος τινὶ ἐνδέχεται. καὶ ἵππος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. μήποτε δὲ καὶ ἡ δεῖξις ἡμάρτηται φησὶν ὁ ἀλέξανδρος. καὶ δέον εἶναι ἀπόδειξις δὲ ἡ αὐτὴ ἡ καὶ ἐν τοῖς ἐξ ἀμφοτέρων ἐνδεχομένων. τὸ ἢ καὶ ἐν τοῖς καθόλου μεταγέγραπται.

ἘΑΝ δὲ ἐστὶν ἡ μὲν, ἀναγκαία τῶν προτάσεων. ἡ δὲ, ἐνδεχομένη. κατηγορικῶν μὲν ὄντων τῶν ὅρων, ἀεὶ τοῦ ἐνδέχεσθαι ἔσται συλλογισμός. ὅταν δ' ᾖ τὸ μὲν κατηγορικὸν τὸ δὲ στερητικόν, ἐὰν μὲν ᾖ τὸ καταφατικὸν ἀναγκαῖον, τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν. ἐὰν δὲ τὸ στερητικὸν καὶ τοῦ ἐνδέχεσθαι μὴ

ὑπάρχειν

ΚΑΙ εἰ τὸ μὲν ά ἐνδέχεται μηδενὶ τῷ γ' ὑπάρχειν. τὸ δὲ β' παντὶ τῷ γ' ἐνδέχεται, ἀνάγκη καὶ τὸ ά τινὶ τῷ β' ἐνδέχεσθαι μὴ ὑπάρχειν. ἔσται γὰρ πάλιν τὸ πρῶτον σχῆμα δι' ἀντιστροφῆς.

Δευτέρας τίθησι τὴν ἐκ τῆς μείζονος ἀποφατικῆς καθόλου. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς. συνάγει οὖν καὶ αὕτη μερικὸν ἀποφατικὸν συμπέρασμα. ἀντιστρεφομένης πάλιν τῆς ἐλάττονος προτάσεως καὶ ἀναγομένης εἰς τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος.

ΕΑΝ δὲ ἀμφότεραι στερητικαὶ τεθῶσιν, ἐξ αὐτῶν μὲν τῶν εἰλημμένων, οὐκ ἔσται τὸ ἀναγκαῖον. ἀντιστραφεισῶν δὲ τῶν προτάσεων, ἔσται συλλογισμὸς καθάπερ ἐν τοῖς πρότερον. εἰ γὰρ τὸ ά καὶ τὸ β' ἐνδέχεται τῷ γ' μὴ ὑπάρχειν ἐὰν μεταληφθῇ τὸ ἐνδέχεσθαι μὴ ὑπάρχειν, πάλιν ἔσται τὸ πρῶτον σχῆμα διὰ τῆς ἀντιστροφῆς.

Ἐξ αὐτῶν μὲν φησι μηδὲν συνάγεσθαι συμπέρασμα. διότι ἀμφοτέρων οὐσῶν ἀποφατικῶν ἡ ἐλάττων οὐ σώζει τὸ ἴδιον τοῦ τρίτου σχήματος. μεταλαμβανομένης δὲ τῆς ἐλάττονος εἰς καταφατικὴν. καὶ ἀντιστρεφομένης πρὸς τὴν μερικὴν. ἀνάγεται πάλιν ἡ συζυγία εἰς τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος καὶ συνάγει μερικὸν ἀποφατικὸν ἐνδεχόμενον συμπέρασμα.

ΕΙ ΔΕ ὁ μὲν ᾖ καθόλου τῶν ὅρων, ὁ δὲ ἐν μέρει τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων, ὅνπερ ἐπὶ τοῦ ὑπάρχειν, ἔσται τε καὶ οὐκ ἔσται συλλογισμός. ἐνδεχέσθω γὰρ τὸ μὲν ά παντὶ τῷ γ', τὸ δὲ β', τινὶ τῷ γ' ὑπάρχειν. ἔσται δὴ πάλιν τὸ πρῶτον σχῆμα τῆς ἐν μέρει προτάσεως ἀντιστραφείσης. εἰ γὰρ τὸ ά παντὶ τῷ γ. τὸ δὲ γ' τινὶ τῷ β', τὸ ά τινὶ τῷ β' ἐνδέχεται. καὶ εἰ πρὸς τὸ γ' τεθείη τὸ καθόλου ὡσαύτως. ὁμοίως δὲ καὶ εἰ τὸ μὲν ά γ' εἴη στερητικόν. τὸ δὲ β' γ' καταφατικόν. ἔσται πάλιν τὸ πρῶτον σχῆμα διὰ τῆς ἀντιστροφῆς. εἰ δὲ ἀμφότεραι στερητικαὶ τεθῶσιν. ἡ μὲν, καθόλου. ἡ δ' ἐν μέρει, δι' αὐτῶν μὲν εἰλημμένων, οὐκ ἔσται συλλογισμός. ἀντιστραφεισῶν δὲ, ἔσται. καθάπερ ἐν τοῖς πρότερον. ὅταν δὲ ἀμφότεραι ἀδιόριστοι, ἢ ἐν μέρει ληφθῶσιν, οὐκ ἔσται συλλογισμός. καὶ γὰρ παντὶ ἀνάγκη τὸ ά τῷ β' καὶ μηδενὶ ὑπάρχειν, ὅροι τοῦ ὑπάρχειν. ζῷον. ἄνθρωπος. λευκόν. τοῦ μὴ ὑπάρχειν, ἵππος, ἄνθρωπος, λευκόν. μέσον λευκόν.

Ως αὐχὸν φησιν αἱ ἐξ ἀμφοτέρων ὑπαρχουσῶν προτάσεων συζυγίαι οὕτως ἔχουσιν. καὶ αἱ ἐξ ἀμφοτέρων ἐνδεχομένων, τῆς ἑτέρας μερικῆς οὔσης, τῆς δὲ ἑτέρας καθόλου. πλὴν διαφέρουσιν αὗται πρὸς ἐκείνας. ὅτι ἐν ταῖς ἐνδεχομέναις καὶ ἀμφοτέρων οὐσῶν ἀποφατικῶν γίνεται συλλογισμός, μεταλαμβανομένης τῆς ἐλάττονος ἀποφατικῆς εἰς τὴν καταφατικήν. εἰ δὲ μεταλαμβάνεται ἡ ἐλάττων ἀποφατικὴ εἰς τὴν καταφατικὴν ἐπὶ τῶν ἐνδεχομένων, ἵνα γένηται συλλογιστικὴ ἡ συζυγία. οὐδὲν ἄρα διαφέρουσι πρὸς ἀλλήλας.

ΕΑΝ ΔΕ ἡ μὲν, ὑπάρχειν. ἡ δὲ, ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων, τὸ μὲν συμπέρασμα ἔσται ὅτι ἐνδέχεται. καὶ οὐχ ὅτι ὑπάρχει. συλλογισμὸς δὲ ἔσται τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων ὅνπερ καὶ ἐν τοῖς πρότερον.

Παραδοὺς τὰς τοῦ ἐνδεχομένου αὐτοῦ καθ' αὑτὸ συζυγίας ἐν τρίτῳ σχήματι. νῦν μιγνύει αὐτὸ πρὸς τὸ ὑπάρχον. καὶ φησὶ τὸ μὲν συμπέρασμα οὐδαμῶς ἐν τούτοις εἶναι ὑπάρχον. οὐδὲ γὰρ ἐν πρώτῳ σχήματι ἐπὶ τῆς τοιαύτης μίξεως ὑπάρχον ἐγένετο τὸ συμπέρασμα, ἀλλὰ μόνον ἐνδεχόμενον. οὕτως οὖν καὶ ἐνταῦθα. ἐνδεχόμενον δὲ δῆλον ὅτι οὐκ ἐν πάσαις συζυγίαις τὸ αὐτό. ἀλλ' ὅσαι μὲν ἔχουσι τὴν ὑπάρχουσαν φησι καταφατικὴν, τὸ κατὰ τὸν διορισμὸν συνάγουσιν ἐνδεχόμενον. ὅσαι καὶ ἀποφατικὴν ἔχουσι τὴν ὑπάρχουσαν, αὗται οὐ τὸ κατὰ τὸν διορισμὸν συνάγουσιν ὡς εἴρηται ἡμῖν πλατύτερον ἐν τῷ πρώτῳ σχήματι. συλλογιστικαὶ δὲ γίνονται συζυγίαι αὗται. αἵ τινες καὶ ἐν τῷ πρώτῳ σχήματι ἦσαν, τουτέστι πᾶσαι αἱ ἄλλαι. χωρὶς τῶν ἐχουσῶν τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρχουσαν.

ΕΣΤΩΣΑΝ γὰρ πρῶτον κατηγορικαί. καὶ τὸ μὲν ά παντὶ τῷ γ' ὑπαρχέτω. τὸ δὲ β' παντὶ τῷ γ' ἐνδεχέσθω. ἀντιστραφέντος οὖν τοῦ β' γ', τὸ πρῶτον ἔσται σχῆμα. καὶ τὸ συμπέρασμα ὅτι ἐνδέχεται τὸ ά τινὶ τῷ β' ὑπάρχειν. ὅτι γὰρ ἡ ἑτέρα τῶν προτάσεων ἐν τῷ πρώτῳ σχήματι σημαίνῃ ἐνδέχεσθαι, καὶ τὸ συμπέρασμα ἦν ἐνδεχόμενον.

Πάλιν τὰς ἐξ ἀμφοτέρων καταφατικῶν πρώτας παραδίδωσιν. ἐν τούτοις δὲ πρώτην τὴν ἐκ τῆς μείζονος ὑπαρχούσης, τῆς δὲ ἐλάττονος ἐνδεχομένης. ἣ συνάγειν φησὶν ἐνδεχόμενον συμπέρασμα. τῷ γὰρ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα. δείκνυται δὲ διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος προτάσεως, ἀντιστρεφομένης πρὸς τὴν μερικὴν καταφατικὴν τῆς ἐλάττονος προτάσεως καὶ ποιούσης τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος.

ΟΜΟΙΩΣ δὲ καὶ εἰ τὸ μὲν β' γ' ὑπάρχειν, τὸ δὲ ά γ' ἐνδέχεται ὑπάρχειν.

Υποθέμενος τὴν μείζονα ὑπάρχουσαν τὴν δὲ ἐλάττονα ἐνδεχομένην. νῦν τὸ ἀνάπαλιν ὑποτίθεται. τὴν μείζονα ἐνδεχομένην τὴν δὲ ἐλάττονα ὑπάρχουσαν. συνάγει δὲ καὶ αὕτη τὸ αὐτὸ συμπέρασμα καὶ διὰ τῆς αὐτῆς δείξεως.

» καθόλου καὶ διὰ τῶν ἄλλων ὅρων.

Ἀπήρτισε τῶν ἐξ ἀμφοτέρων καθόλου λόγον. καὶ νῦν τὰς ἐχούσας τὴν στερητικὴν μερικὴν παραδίδωσιν. ὥσπερ δέ φησιν εἶχον αἱ καθόλου. οὕτως ἔχουσι καὶ αὗται. ὥσπερ γὰρ ἐκεῖ ἦσαν συλλογιστικαὶ, αὗται καὶ ἐνταῦθα γίνονται. ὁμοίως καὶ ἀσυλλόγιστοι. εἰ μὲν γὰρ τὸ ἀποφατικὸν ἀναγκαῖον εἴη καθόλου ἐν τῇ μείζονι κείμενον προτάσει. ἀεὶ ποιεῖ συλλογιστικὴν συζυγίαν. καὶ τὸ αὐτὸ συμπέρασμα συνάγει τοῖς καθόλου. λέγω δὴ τὸ ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ ὑπάρχοντι. εἰ δὲ καταφατικὸν εἴη τὸ ἀναγκαῖον, οὐδέποτε γίνεται συλλογιστικὴ συζυγία. διὰ τὸ μεταλαμβάνεσθαι τὴν ἀποφατικὴν ἐνδεχομένην εἰς τὴν καταφατικήν.

» ΟΥΔ᾽ ὅταν ἀμφότεραι ληφθῶσι καταφατικαί. καὶ γὰρ τούτου ἡ ἀπόδειξις ἡ καὶ πρότερον. ὅταν δὲ ἀμφότεραι μὲν στερητικαί. καθόλου δὲ καὶ ἀναγκαία ἡ τὸ μὴ ὑπάρχειν σημαίνουσα, δι᾽ αὐτῶν μὲν τῶν εἰλημμένων, οὐκ ἔσται τὸ ἀναγκαῖον. ἀντιστραφείσης δὲ τῆς κατὰ τὸ ἐνδέχεσθαι, ἔσται συλλογισμός. καθάπερ καὶ πρότερον.

Ὥσπερ φησὶ καὶ ἐν τοῖς καθόλου οὕτω κἂν ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις καταφατικαὶ μὲν οὖσαι, ἀσυλλόγιστοί εἰσιν. ἀποφατικαὶ δὲ, γίνονται συλλογιστικαὶ διὰ τῆς μεταλήψεως τῆς ἐνδεχομένης ἀποφατικῆς. δῆλον ὅτι τῆς καθόλου ἐν τῇ μείζονι προτάσει τιθεμένης. ἐπειδὴ τοῦτο ἴδιόν ἐστι τοῦ δευτέρου σχήματος.

» ΕΑΝ δὲ ἀμφότεραι ἀδιόριστοι ἢ ἐν μέρει τεθῶσιν, οὐκ ἔσται συλλογισμός. ἀπόδειξις δὲ ἡ αὐτὴ καὶ διὰ τῶν αὐτῶν ὅρων. φανερὸν οὖν ἐκ τῶν εἰρημένων. ὅτι τῆς μὲν στερητικῆς καθόλου τιθεμένης καὶ ἀναγκαίας, ἀεὶ γίνονται συλλογισμός, οὐ μόνον τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν, ἀλλὰ καὶ τοῦ μὴ ὑπάρχειν. τῆς δὲ καταφατικῆς, οὐδέποτε. καὶ ὅτι τὸν αὐτὸν τρόπον ἐχόντων ἔν τε ταῖς ἀναγκαίαις καὶ ἐν ταῖς ὑπάρχουσι, γίνεται καὶ οὐ γίνεται συλλογισμός.

Διότι φησὶν οὔτε ἐξ ἀμφοτέρων μερικῶν γίνεται τὸ συμπέρασμα. οὔτε ἐξ ἀμφοτέρων ἀπροσδιορίστων. ἐπειδὴ ἰσοδυναμοῦσι καὶ αὗται ταῖς μερικαῖς.

» ΔΗΛΟΝ δὲ ὅτι καὶ πάντες ἀτελεῖς οἱ συλλογισμοί. καὶ ὅτι τελειοῦνται διὰ τῶν εἰρημένων σχημάτων.

Ἀτελεῖς εἰκότως. οὐδεὶς γὰρ αὐτῶν διὰ τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενὸς δείκνυται, ἀλλὰ δεῖται πάντως τῆς εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῆς. σχημάτων δὲ εἶπεν πληθυντικῶς. οὐχ ὅτι εἰς πλείονα ἀνάγονται σχήματα. πάντες γὰρ εἰς τὸ α ἀνάγονται. ἀλλ᾽ ὅτι ἕκαστος τῶν ἐν δευτέρῳ σχήματι εἰς τὸ πρῶτον σχῆμα τῆς οἰκείας ἀνάγεται μίξεως.

» ΕΝ ΔΕ τῷ τελευταίῳ σχήματι καὶ ἀμφοτέρων ἐνδεχομένων καὶ τῆς ἑτέρας, συλλογισμὸς ἔσται. ὅταν μὲν οὖν ἐνδέχεσθαι σημαίνωσιν αἱ προτάσεις, καὶ τὸ συμπέρασμα ἔσται ἐνδεχόμενον. καὶ ὅταν ἡ μὲν, ἐνδέχεσθαι, ἡ δὲ, ὑπάρχειν. ὅταν δὲ ἡ ἑτέρα τεθῇ ἀναγκαία, ἂν μὲν ᾖ καταφατική, οὐκ ἔσται τὸ συμπέρασμα οὔτε ἀναγκαῖον, οὔτε ὑπάρχον. ἐὰν δὲ ἡ στερητικὴ ᾖ ἀναγκαία, τοῦ μὴ ὑπάρχειν ἔσται συλλογισμός. καθάπερ καὶ ἐν τοῖς πρότερον.

Ἐπλήρωσε τὸ δεύτερον σχῆμα, ἐντεῦθεν δὲ ἄρχεται τοῦ τρίτου. εἶναι οὖν φησιν ἐν τούτῳ τῷ σχήματι συλλογιστικὰς συζυγίας καὶ τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένας. διότι καὶ ἀνομοιοσχημόνων οὐσῶν τῶν προτάσεων καὶ ὁμοιοσχημόνων ἐν τούτῳ τῷ σχήματι συλλογισμὸς γίνεται. μόνην γὰρ δεῖ τὴν ἐλάττονα καταφατικὴν φυλάττειν. τὰ δὲ ἄλλα πάντα ὅπως ἂν ἔχωσιν αἱ προτάσεις, οὐδὲν διαφέρει. συνάγεσθαι δέ φησιν ἐν τούτῳ τῷ σχήματι ἀμφοτέρων μὲν οὐσῶν ἐνδεχομένων. ἢ τῆς μὲν ἐνδεχομένης τῆς δὲ ὑπαρχούσης ἐνδεχόμενον συμπέρασμα. ἐὰν δὲ ἡ μὲν ἀναγκαία εἴη, ἡ δὲ ἐνδεχομένη. ἡ μὲν καταφατικὴ εἴη, ἀναγκαίαν ἐνδεχόμενον πάλιν φησὶ γίνεσθαι τὸ συμπέρασμα. εἰ δὲ ἡ ἀναγκαία ἀποφατικὴ εἴη, τοῦ μὴ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου τοῦ ἰσοδυναμοῦντος αὐτῷ.

» ΛΗΠΤΕΟΝ δὲ καὶ ἐν τούτοις ὁμοίως τὸ ἐν τοῖς συμπεράσμασιν ἐνδεχόμενον.

Τοῦτον καὶ ἐν τοῖς προλαβοῦσιν ἐπεσημήνατο. ὅτι οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἐν τοῖς συμπεράσμασι εἴληπται. ἀλλὰ τὸ ἑπόμενον τῷ ὑπάρχοντι. καὶ κατ᾽ ἄλλου λεγόμενον ἀληθῶς.

» ΕΣΤΩΣΑΝ δὴ πρῶτον ἐνδεχόμεναι. καὶ τὸ α καὶ τὸ β παντὶ τῷ γ ἐνδεχέσθω ὑπάρχειν. ἐπεὶ οὖν ἀντιστρέφει τὸ καταφατικὸν ἐπὶ μέρους. τὸ δὲ β παντὶ τῷ γ ἐνδέχεται, καὶ τὸ γ τινὶ τῷ β ἐνδέχοιτο ἄν. ὥστε εἰ τὸ μὲν α παντὶ τῷ γ ἐνδέχεται, τὸ δὲ γ τινὶ τῷ β, ἀνάγκη καὶ τὸ α τινὶ τῷ β ἐνδέχεσθαι. γίνεται γὰρ τὸ πρῶτον σχῆμα.

Πρώτας τίθησι, τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένας συζυγίας. δεῖ γὰρ προηγεῖσθαι τὰς ἁπλᾶς προτάσεις, τῶν μικτῶν. ἐν τούτοις οὖν πρώτας τὰς καθόλου καταφατικὰς παραδίδωσι. συνάγειν δέ φησιν αὐτὰς ἐνδεχόμενον καταφατικὸν μερικὸν συμπέρασμα. δείκνυσι δὲ τὴν συζυγίαν, ἀντιστρέφων τὴν ἐλάττονα πρότασιν καὶ ἀνάγων εἰς τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος.

Καὶ

τέρως λαβὼν ἀληθευούσας τὰς προτάσεις. εἰ γὰρ παντὶ ζώῳ ἐνδέχεται ὑπάρχειν κίνησιν, οὐκ ἔστι τι ζῶον ἐξ ἀνάγκης κινούμενον. καὶ τὴν ἐγρήγορσιν γὰρ κίνησιν ἔλαβεν ἐξ ἀνάγκης ὑπάρχουσαν τῷ ἐγρηγορότι. εἰ δὲ ἔστι τι ἐγρηγορὸς ὡς ἐξ ἀνάγκης ὑπάρχειν αὐτῷ τὴν κατὰ τὸ ἐγρηγορέναι κίνησιν. ἐν ᾧ γὰρ ἐγρηγορεῖ ἐξ ἀνάγκης ἐγρήγορε. ψευδὴς ἡ μείζων πρότασις ἡ λέγουσα ἐνδέχεσθαι παντὶ ζώῳ τὴν κίνησιν ὑπάρχειν. τινὶ γὰρ ζώῳ ἐξ ἀνάγκης ὑπάρχει, τῷ ἐγρηγορότι. τὸ ἐγρηγορὸς ζῶόν ἐστιν. ὥστε οὐ καλῶς διὰ τούτων τῶν ὅρων τὸ ἐξ ἀνάγκης παντὶ συνήγαγεν.

ΦΑΝΕΡΟΝ οὖν ὅτι οὐδὲ τοῦ μὴ ὑπάρχειν, ἐπεὶ οὕτως ἐχόντων ἀνάγκη ὑπάρχειν, οὐδὲ δὴ τῶν ἀντικειμένων φάσεων. ὥστε οὐδεὶς ἔσται συλλογισμός.

Δείκνυσι διὰ τούτων ὅτι οὐδὲ ὑπάρχον οὐδὲν συνάγεται συμπέρασμα. τὰ μὲν γὰρ καταφατικὰ πάντα ἀναιρεῖται ὑπὸ τῆς ἀναγκαίας ἀποφάσεως. τὰ δὲ ἀποφατικὰ, διὰ τῆς καταφατικῆς ἀναγκαίας. ὥστε οὐδὲ ὑπάρχειν, οὐδὲ συνάγεται. Οὐδὲ δὴ τῶν ἀντικειμένων καταφάσεων. Διττὴ φέρεται ἡ γραφή. ἢ φάσεων ἢ καταφάσεων. εἰ μὲν οὖν φάσεων πρὸς τὸ ἀνωτέρω εἰρημένον ἡ ἀπάντησις τό τε ἀνάγκη παντὶ, καὶ τὸ ἀνάγκη οὐδενί. ἀντίκειται γὰρ ταύταις τῷ μὲν ἀνάγκη παντὶ, ἡ ἐνδέχεται παντί. τῷ δὲ ἀνάγκη οὐδενὶ, ἡ ἐνδέχεται τινί. εἰ μὲν οὖν φάσεων οὕτως. εἰ δὲ καταφάσεων. πρὸς τὸ ὑπάρχον οὐδενὶ, ἀνάγκη οὐδενὶ ἡ ἀπάντησις. ἐπειδὴ γὰρ εὗρεν ὅρους συνάγοντας τὸ ἀνάγκη παντί. καὶ διὰ τοῦτο ἀνεῖλεν τό τε ἀναγκαῖον ἀποφατικὸν καθόλου. καὶ τὸ ὑπάρχον ἐπήγαγεν ὅτι οὐδὲ αἱ ἀντικείμεναι ταύταις ταῖς καταφάσεις συνάγονται. ἀντίκειται δὲ τῷ μὲν ἀνάγκη μηδενὶ ὡς εἴρηται ἡ ἐνδέχεται τινί. τῷ δὲ ὑπάρχει οὐδενὶ, ἡ ὑπάρχει τινί.

ΟΜΟΙΩΣ δὲ δειχθήσεται καὶ ἀνάπαλιν τεθείσης τῆς καταφατικῆς. ἐὰν δὲ ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις, στερητικῶν μὲν οὐσῶν, ἀεὶ γίνεται συλλογισμός. ἀντιστραφείσης τῆς κατὰ τὸ ἐνδέχεσθαι προτάσεως καθάπερ ἐν ταῖς πρότερον. εἰλήφθω γὰρ τὸ α τῷ μὲν β ἐξ ἀνάγκης μὴ ὑπάρχειν. τῷ δὲ γ ἐνδέχεσθαι μὴ ὑπάρχειν. ἀντιστραφεισῶν οὖν τῶν προτάσεων, τὸ μὲν β τῷ α οὐδενὶ ὑπάρξει. τὸ δὲ α παντὶ τῷ γ ἐνδέχεται. γίνεται δὴ τὸ πρῶτον σχῆμα. κἂν εἰ πρὸς τῷ γ τεθῇ τὸ στερητικόν. ὡσαύτως ἐὰν δὲ κατηγορικαὶ τεθῶσιν, οὐκ ἔσται συλλογισμός.

Ἀνωτέρω μὲν ὑποτίθεται τὴν μείζονα ἐνδεχομένην ἀποφατικὴν, τὴν δὲ ἐλάττονα, καταφατικὴν ἀναγκαίαν καθόλου. νῦν δὲ τὸ ἀνάπαλιν ὑποτίθεται. τὴν μὲν ἐλάττονα ἐνδεχομένην ἀποφατικὴν, τὴν δὲ μείζονα ἀναγκαίαν καταφατικήν. καὶ ταύτην οὖν ἀσυλλόγιστόν φησιν εἶναι διὰ τῶν αὐτῶν δείξεων δι' ὧν καὶ τὴν πρὸ ταύτης ἔδειξεν. Ἐὰν δὲ ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις. στερητικῶν μὲν οὐσῶν, ἀεὶ γίνεται συλλογισμὸς ἀντιστραφείσης τῆς κατὰ τὸ ἐνδέχεσθαι προτάσεως. παραδοὺς τὰς ἐξ ἀνομοιοσχήμονας τῶν προτάσεων, νῦν παραδίδωσι τὰς ὁμοιοσχήμονας. πάλιν οὖν φησιν ὅτι ἀμφοτέρων μὲν οὐσῶν ἀποφατικῶν, συλλογιστικαὶ γίνονται συζυγίαι. οὐ διὰ τῶν εἰλημμένων προτάσεων ἀλλὰ διὰ τῆς μεταλήψεως τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικήν. καὶ τὰ συμπεράσματα ταυτὰ συνάγονται ταῖς ἤδη παραδεδομέναις προτάσεσι διὰ τῶν αὐτῶν δείξεων. ἐπειδὴ καὶ μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικὴν αἱ αὐταὶ γίνονται συζυγίαι. εἰ μέντοι ἀμφότεραι ληφθῶσι καταφατικαί, ἀσυλλόγιστοι εἰσὶ πᾶσαι διὰ τὸ μὴ μεταλαμβάνεσθαι τὴν ἐνδεχομένην καταφατικὴν εἰς τὴν ἀποφατικὴν ὡς πολλάκις εἰρήκαμεν.

ΤΟΥ μὲν γὰρ μὴ ὑπάρχειν, ἢ τοῦ ἐξ ἀνάγκης μὴ ὑπάρχειν, φανερὸν ὅτι οὐκ ἔσται, διὰ τὸ μὴ εἰλῆφθαι στερητικὴν πρότασιν. μήτε ἐν τῷ ὑπάρχειν μήτε ἐν τῷ ἐξ ἀνάγκης ὑπάρχειν. ἀλλὰ μὴν οὐδὲ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν. ἐξ ἀνάγκης γὰρ οὕτως ἐχόντων τὸ β τῷ γ οὐχ ὑπάρξει. οἷον εἰ τὸ μὲν α τεθείη λευκόν. ἐφ' ᾧ δὲ τὸ β, κύκνος. τὸ δὲ γ ἄνθρωπος.


Τοῦτό φησιν ὅτι ἀμφοτέρων οὐσῶν καταφατικῶν οὐδὲν συνάγεται συμπέρασμα, δῆλον. οὐ συνάγεται γὰρ ἀποφατικὸν οὐδὲν οὔτε ἀναγκαῖον. οὔτε ὑπάρχον. διὰ τὸ μηδετέραν πρότασιν, ἀποφατικὴν εἰλῆφθαι μήτε τὴν ἀναγκαίαν μήτε τὴν ἐνδεχομένην. ὅτι δὲ φησὶν οὐδὲ ἐνδεχόμενον ἀποφατικὸν συνάγεται, δῆλον. εὑπορήσομεν γὰρ ὅρων τὸ ἀνάγκη μηδενὶ συναγόντων. τούτου δὲ συναχθέντος, ἀναιρεῖται πάντα τὰ ἐνδεχόμενα. οἱ δὲ ὅροι. λευκόν. κύκνος. ἄνθρωπος. λευκὸν γὰρ κύκνῳ μὲν ἐξ ἀνάγκης παντί. ἀνθρώπῳ δὲ ἐνδέχεται οὐδενί. καὶ κύκνος ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ ὑπάρχει.

ΟΥΔΕ ΓΕ τῶν ἀντικειμένων φάσεων ἢ ἀποφάσεων. ἐπεὶ δέδεικται τὸ β τῷ γ ἐξ ἀνάγκης οὐχ ὑπάρχον. οὐκ ἄρα γίνεται συλλογισμὸς ὅλως.

Τοῦ γὰρ ἀνάγκη μηδενὶ διὰ τῶν ὅρων συναχθέντος, πάντα τὰ καταφατικὰ ἀνῄρηται συμπεράσματα. καὶ ἀναγκαῖα καὶ ὑπάρχοντα καὶ ἐνδεχόμενα. ἀποφάσεις γὰρ ἀντικειμένας λέγει τὰς καταφάσεις τῶν προσεχῶς εἰρημένων ἀποφάσεων.

ΟΜΟΙΩΣ δ' ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. ὅταν μὲν γὰρ ᾖ τὸ στερητικὸν καθόλου τε καὶ ἀναγκαῖον, ἀεὶ συλλογισμὸς ἔσται. καὶ τοῦ ἐνδέχεσθαι καὶ τοῦ μὴ ὑπάρχειν. ἀπόδειξις δὲ διὰ τῆς ἀντιστροφῆς. ὅταν δὲ τὸ καταφατικὸν, οὐδέποτε. τὸν αὐτὸν γὰρ τρόπον δειχθήσεται, ὃν καὶ ἐν ταῖς

τρόπος τοῦ πρώτου σχήματος ἐξ ἀμφοτέρων ἀναγκαίων τῆς μείζονος ἀποφατικῆς καθόλου· τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς· καὶ συνάγει τὸ α οὐ παντὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχειν. ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαι παντί. ὅπερ ἀδύνατον. τὸ ἀδύνατον διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ ὑπάρχειν τινὶ συνάγεσθαι ἠκολούθησεν. οὐκοῦν τοῦτο μὲν ψεῦδος, ἀληθὲς δὲ τὸ ὑπάρχον οὐδενὶ ὅπερ ἔδει δεῖξαι.



ΤΟΝ αὐτὸν δὲ τρόπον δειχθήσεται, καὶ εἰ πρὸς τὸ γ τεθείη τὸ στερητικόν.

Παραδοὺς τὴν ἐκ τῆς μείζονος ἀναγκαίας ἀποφατικῆς τῆς δὲ ἐλάττονος ἐνδεχομένης καταφατικῆς· νῦν ἑτέραν συζυγίαν παραδίδωσιν ἐναντίως ἔχουσαν τῇ τάξει τῶν προτάσεων. τουτέστι τὴν μὲν μείζονα καθόλου καταφατικὴν ἐνδεχομένην. τὴν δὲ ἐλάττονα καθόλου ἀποφατικὴν ἀναγκαίαν. ταύτην καὶ αὐτήν φησι τὸ αὐτὸ συνάγειν συμπέρασμα. λέγω δὴ τὸ ὑπάρχειν μηδενί. καὶ τὸ ἐνδέχεσθαι μηδενὶ διὰ τοῦ αὐτοῦ τρόπου τῆς δείξεως. τὸ α παντὶ τῷ β ἐνδέχεται. τῷ δὲ γ ἀνάγκη μηδενί. οὐκοῦν καὶ τὸ γ τῷ α ἀνάγκη μηδενί. τὸ δὲ α τῷ β ἐνδέχεται παντί, λέγω ὅτι καὶ τὸ γ τῷ β ὑπάρχει οὐδενί. ἀλλ' οὐ τοῦτο ἠβουλόμεθα δεῖξαι. ἀλλ' εἰ τὸ β τῷ γ ὑπάρχει οὐδενί. ἐπεὶ τοίνυν ἀντιστρέφει ἡ καθόλου ἀπόφασις. καὶ τὸ α τῷ γ ὑπάρχει οὐδενί. δείξομεν δὲ τοῦτο πάλιν διὰ τοῦ ἀδυνάτου. εἰ γὰρ ψεῦδος ὅτι τὸ β τῷ γ ὑπάρχει οὐδενί. ἀληθὲς τὸ ὑπάρχει τινί. ἐπειδὴ τοίνυν τὸ α ἐνδέχεται παντὶ τῷ β. τὸ δὲ β ὑπάρχει τινὶ τῶν γ. γίνεται τὸ πρῶτον σχῆμα ἐξ ἀμφοτέρων καταφατικῶν τῆς μείζονος καθόλου, τῆς δὲ ἐλάττονος μερικῆς. τὸ ἄρα α τινὶ τῶν γ ἐνδέχεται ὑπάρχειν. ἦν δὲ καὶ ἀνάγκη μηδενὶ ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε. διὰ τὸ ὑποθέσθαι τὸ β τῷ γ ὑπάρχειν τινί. οὐκοῦν ψεῦδος τοῦτο. ἀληθὲς τὸ ὑπάρχον οὐδενί.

ΠΑΛΙΝ ἔστω μὲν κατηγορικὸν ἀναγκαῖον. θάτερον δὲ στερητικὸν καὶ ἐνδεχόμενον. καὶ τὸ α τῷ μὲν β ἐνδεχέσθω μηδενί, τῷ δὲ γ παντὶ ὑπαρχέτω ἐξ ἀνάγκης. οὕτως οὖν ἐχόντων τῶν ὅρων, οὐδεὶς γίνεται συλλογισμός. συμβαίνει γὰρ τὸ β τῷ γ ἐξ ἀνάγκης μὴ ὑπάρχειν. ἔστω γὰρ τὸ μὲν α λευκόν. ἐφ' ᾧ δὲ τὸ β, ἄνθρωπος. ἐφ' ᾧ δὲ τὸ γ, κύκνος, τὸ δὴ λευκόν, κύκνῳ μὲν ἐξ ἀνάγκης ὑπάρχειν, ἀνθρώπῳ δὲ ἐνδέχεται οὐδενί. καὶ ἄνθρωπος οὐδενὶ κύκνῳ ἐξ ἀνάγκης. ὅτι μὲν οὖν τοῦ ἐνδέχεσθαι οὐκ ἔσται συλλογισμός, φανερόν. τὸ γὰρ ἐξ ἀνάγκης, οὐκ ἦν ἐνδεχόμενον. ἀλλὰ μὴν οὐδὲ τοῦ ἀναγκαίου. τὸ γὰρ ἀναγκαῖον, ἢ ἐξ ἀμφοτέρων ἀναγκαίων, ἢ ἐκ τῆς στερητικῆς συνέβαινεν.

Ὑποθέμενος τὴν ἀποφατικὴν ἀναγκαίαν. τὴν δὲ κατηγορικὴν ἐνδεχομένην. καὶ παραδοὺς τὰς γινομένας ἐκ τῶν τοιούτων προτάσεων δύο συζυγίας, νῦν τὸ ἀνάπαλιν ὑποτίθεται τὰς ἐχούσας τὴν μὲν ἀναγκαίαν καταφατικὴν τὴν δὲ ἐνδεχομένην ἀποφατικήν. καὶ φησὶ ταύτας ἀσυλλογίστους εἶναι τὰς συζυγίας διὰ τὸ τὴν ἀποφατικὴν ἐνδεχομένην μεταλαμβάνεσθαι εἰς τὴν καταφατικήν. καὶ ποιεῖν ὁμοιοσχήμονας τὰς συζυγίας. αὗται δὲ ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστοι εἰσί. δείκνυσιν οὖν ταύτας διὰ τῶν ὅρων μηδὲν συμπέρασμα συναγούσας. μήτε ἐνδεχόμενον μήτε ὑπάρχον, μήτε ἀναγκαῖον, οὕτως. λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης ὑπάρχει, ἀνθρώπῳ δὲ ἐνδέχεται μηδενὶ οἷον ἐν τοῖς ἐν ἀλεξανδρείᾳ. καὶ ὅμως κύκνος ἐξ ἀνάγκης μηδενὶ ἀνθρώπῳ. οὕτω μὲν οὖν διὰ τῶν ὅρων τὸ ἀνάγκη μηδενὶ δείκνυσι συναγόμενον καὶ ἐκ τούτου κατασκευάζει ὅτι οὐδὲν συνάγουσιν αἱ τοιαῦται προτάσεις συμπέρασμα. ὅτι μὲν γάρ φησιν ἐνδεχόμενον οὐδὲν συνάγεται, δῆλον ἐξ ὧν ἀναγκαῖον ἀποφατικὸν συνῆκται συμπέρασμα. τὸ δὲ ἀναγκαῖον πάντως τοῦ ἐνδεχομένου ἐστὶν ἀναιρετικόν, ὅτι δὲ οὐδὲ ἀναγκαῖόν φησι συνάγεται. δῆλον ὅτι ἐντεῦθεν. τὸ γὰρ ἀναγκαῖον συμπέρασμα, ἢ ἐξ ἀμφοτέρων ἀναγκαίων προτάσεων συνήγετο. ἢ τῆς ἀποφατικῆς ἀναγκαίας οὔσης. νῦν δὲ οὐδέτερον τούτων.

ΕΤΙ δὲ καὶ ἐγχωρεῖ τούτων κειμένων, τὸ β τῷ γ ὑπάρχειν. οὐδὲν γὰρ κωλύει τὸ μὲν γ ὑπὸ τὸ β εἶναι. τὸ δὲ α τῷ μὲν β παντὶ ἐνδέχεσθαι. τῷ δὲ γ ἐξ ἀνάγκης ὑπάρχειν. οἷον, εἰ τὸ μὲν γ εἴη ἐγρηγορός. τὸ δὲ β, ζῷον. τὸ δὲ ἐφ' ᾧ τὸ α, κίνησις. τῷ μὲν γὰρ ἐγρηγορότι, ἐξ ἀνάγκης κίνησις ἐστί. ζῴῳ δὲ παντὶ ἐνδέχεται. καὶ πᾶν τὸ ἐγρηγορὸς ζῷον.

Δείξας ὅτι ἀναγκαῖον οὐδὲν συνάγεται συμπέρασμα τῷ μήτε ἀμφοτέρας ἀναγκαίας εἶναι μήτε ἀποφατικάς. ἵνα μή τις ὑπολάβῃ ἐπειδὴ ὅλως ἀνωτέρω τὸ ἀνάγκη μηδενὶ διὰ τῶν ὅρων συνήγετο. τοῦτο δὲ ἀεὶ ὡρισμένως συνάγεσθαι. νῦν δείκνυσιν ὅτι τῶν αὐτῶν οὐσῶν προτάσεων. ἐγχωρεῖ ἕνα παρασχεῖν ὅρων τὸ ἐξ ἀνάγκης παντὶ συναγόντων. ὥστε καὶ ταύτῃ πάντα ἀναιρεῖσθαι τὰ ἀναγκαῖα συμπεράσματα. διὰ μὲν γὰρ τοῦ ἀποφατικοῦ καθόλου ἀναιρεῖται πάντα τὰ καταφατικά. διὰ δὲ τοῦ καθόλου καταφατικοῦ πάντα ἀποφατικά. τίθησιν οὖν ὅρους τὸ ἐξ ἀνάγκης παντὶ συνάγοντας τούτοις. κίνησιν. ἐγρήγορσιν. ζῷον. κίνησιν γὰρ παντὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν. ἐγρηγορότι δὲ ἐξ ἀνάγκης παντί. καὶ ὁμοίως ζῷον παντὶ ἐγρηγορότι ἐξ ἀνάγκης. ἐπιστῆσαι δὲ χρὴ τοῖς ὅροις οὐ γὰρ εἰσὶ καλῶς εἰλημμένοι. εἴρηται γὰρ ἡμῖν ἀνωτέρω ὅτι δεῖ κατὰ τὸν αὐτὸν χρόνον ἀληθευούσας λαμβάνεσθαι τὰς προτάσεις. ἐν δὲ τοῖς εἰλημμένοις ὅροις, ἀδύνατον κατὰ τὸν αὐτὸν ἀμφοτέρων

» μηδὲ τῶν προτάσεων οὐκ ἔσται ἀναγκαῖον. ἀντιστραφέντος δὲ τοῦ ἐνδέχεσθαι καθάπερ ἐν τοῖς πρότε
» ρον, ἔσται συλλογισμός.

Πάλιν τὸ ἀντιστραφείσης. ἀντὶ τοῦ μεταληφθείσης φησὶ τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικήν. δεῖ δὲ τὴν ὑπάρχουσαν ἐν τούτοις ἀεὶ μείζονα εἶναι. ἵνα καὶ σώζηται τὸ ἴδιον τοῦ δευτέρου σχήματος. πάλιν δὲ τὰ αὐτὰ συνάγεται συμπεράσματα ἅμα καὶ αὐτόθεν ἀνομοιοσχήμοσιν οὔσαις ταῖς τοιαύταις συζυγίαις.

» ΕΑΝ δὲ ὑπάρχον μὲν ᾖ τὸ στερητικὸν, ἐν μέρει δὲ ληφθῇ, οὐκ ἔσται συλλογισμός. οὔτε καταφα
» τικῆς, οὔτε στερητικῆς οὔσης τῆς ἑτέρας προτάσεως.

Ἐάν φησιν ἡ ὑπάρχουσα στερητικὴ μὲν ληφθῇ μερικὴ δὲ, τῆς ἑτέρας προτάσεως καθόλου καταφατικῆς οὔσης ἐνδεχομένης, ἢ καὶ ἀποφατικῆς οὐδεὶς γίνεται συλλογισμός. καὶ τοῦτο δηλονότι. δεῖ μὲν γὰρ ἀντιστραφῆναι τὴν μερικὴν, ἵνα εἰς τὸ πρῶτον ἀναγάγωμεν σχῆμα τὴν συζυγίαν. οὐκ ἀντιστρέφει δὲ ἡ μερικὴ ἀποφατικὴ ὑπάρχουσα ἐπὶ πάσης ὕλης ὡς ἐδείχθη. καὶ ἀντιστρεφομένη, μερικὴν ἐποίει τὴν μείζονα καὶ ἀσυλλόγιστον διὰ τοῦτο τὴν συζυγίαν. δηλονότι ἄρα οὐδαμῶς ἐν τούτῳ γίνεται συλλογισμός.

» ΑΛΛ᾽ οὐδ᾽ ἂν ἀμφότεραι μερικαὶ ληφθῶσιν ἢ ἀμφότεραι ἀδιόριστοι ἢ καταφατικαὶ, ἢ ἀποφατι
» καὶ ἢ κατὰ μέρος. ἀπόδειξις δὲ ἡ αὐτὴ καὶ διὰ τῶν αὐτῶν ὅρων.


Ὅπως ἄν φησιν ἔχωσι κατὰ τὸ ποιὸν, οὐδαμῶς ἔσται συλλογισμός. ἐπεὶ καὶ ἀπροσδιόριστοι, ταῖς μερικαῖς ἰσοδυναμοῦσι. δείκνυσθαι δὲ ταῦτά φησι διὰ τῶν αὐτῶν ὅρων. ὑγίεια. ζῷον. ἄνθρωπος.

» ΕΑΝ δὲ ἡ μὲν ἐξ ἀνάγκης ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ τῶν προτάσεων, τῆς μὲν στερητικῆς ἀναγ
» καίας οὔσης, ἔσται συλλογισμός. οὐ μόνον ὅτι ἐνδέχεται μὴ ὑπάρχειν. ἀλλὰ καὶ ὅτι οὐχ ὑπάρχει. τῆς
» δὲ καταφατικῆς οὐκ ἔσται.

Πληρώσας τὰς μίξεις τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος τὰς ἐν δευτέρῳ σχήματι, μέτεισιν ἀκολούθως ἐπὶ τὴν μίξιν τοῦ ἐνδεχομένου πρὸς τὸ ἀναγκαῖον τοῦ αὐτοῦ δευτέρου σχήματος καὶ φησίν. ὅτι ἢ μὲν ἡ ἀναγκαία ἀποφατικὴ εἴη εἴτε μείζων οὖσα, εἴτε ἐλάττων. πάντως γίνεται συλλογισμός. τοῦ ἐνδεχομένου. οὐ τοῦ κατὰ τὸν διορισμὸν ἀλλὰ τοῦ κατηγορουμένου κατὰ τοῦ μὴ ὑπάρχοντος. εἰ μέντοι ἡ ἀναγκαία καταφατικὴ εἴη. δῆλον ὅτι ἀποφατικῆς οὔσης τῆς ἐνδεχομένης, ἀσυλλόγιστοι πᾶσαι αἱ τοιαῦται, εἰσὶ συζυγίαι. ἡ δὲ αὐτὴ αἰτία πάλιν. τὸ μεταλαμβάνεσθαι τὴν ἀποφατικὴν ἐνδεχομένην εἰς τὴν καταφατικὴν καὶ διὰ τοῦτο γίνεσθαι ὁμοιοσχήμονας τὰς συζυγίας.

» ΥΠΟΚΕΙΣΘΩ γὰρ τὸ ά τῷ μὲν β΄ μηδενὶ ἐξ ἀνάγκης ὑπάρχειν. τῷ δὲ γ΄ παντὶ ἐνδέχε
» σθαι. ἀντιστραφείσης οὖν τῆς στερητικῆς, οὐδὲ τὸ β΄ τῷ ά μηδενὶ ὑπάρξει. τὸ δὲ ά παντὶ τῷ γ΄ ἐν
» δέχεται. γίνεται δὲ πάλιν διὰ τοῦ πρώτου σχήματος ὁ συλλογισμός. ὥστε τὸ β΄ τῷ γ΄ ἐνδέχεται μηδε
» νὶ ἐνδέχεται μηδενὶ ὑπάρχειν.

Πρώτην τίθησι, τὴν ἐκ τῆς μείζονος καθόλου οὔσης ἀναγκαίας ἀποφατικῆς. τῆς δὲ ἐλάττονος ἐνδεχομένης καταφατικῆς. καὶ συνάγειν φησὶν αὐτὴν τὸ ἐνδέχεσθαι μηδενί. δείκνυσι δὲ αὐτὴν ἀντιστρέφων τὴν μείζονα πρότασιν καὶ ἀνάγων εἰς τὸ πρῶτον σχῆμα. εἰ γὰρ τὸ ά φησὶν ἀνάγκη μηδενὶ τῶν β΄. καὶ τὸ β΄ ἀνάγκη μηδενὶ τῶν ά. τὸ δὲ ά παντὶ τῷ γ΄ ἐνδέχοιτο. γίνεται ἄρα τὸ πρῶτον σχῆμα τῆς μείζονος ἀναγκαίας καθόλου ἀποφατικῆς οὔσης. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης. συνῆγε δὲ αὕτη ἡ συζυγία τῇ εἰς ἀδύνατον ἀπαγωγῇ τὸ ἐνδέχεται μηδενὶ τὸ ἰσοδυναμοῦν τὸ ὑπάρχει μηδενί. μέμνηται δὲ καὶ ἐνταῦθα τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἧς ἐμνήσθη καὶ ἐν τῷ πρώτῳ σχήματι δι᾽ ἧς δείκνυσιν ὑπάρχον εἶναι τὸ συμπέρασμα.




» ΑΜΑ δὲ δῆλον ὅτι, οὐδ᾽ ὑπάρχει τὸ β΄ οὐδενὶ τῷ γ΄. κείσθω γὰρ
» ὑπάρχειν. οὐκοῦν εἰ τὸ ά τῷ β΄ μηδενὶ ἐνδέχεται. τὸ δὲ β΄ ὑπάρ
» χει τινὶ τῷ γ΄, τὸ ά τινὶ τῷ γ΄ οὐκ ἐνδέχεται. ἀλλὰ παντὶ ὑπέκει
» το ἐνδέχεσθαι.


Τουτέστιν οὐ μόνον τὸ ἐνδέχεσθαι μηδενὶ συνάγεται. ἀλλὰ καὶ τὸ ὑπάρχον οὐδενί. δείκνυσιν οὖν τοῦτο τῇ διὰ τοῦ ἀδυνάτου δείξει.

» Κείσθω γὰρ ὑπάρχον. οὐκοῦν εἰ τὸ ά τῷ β΄ μηδενὶ ἐνδέχεται. τὸ δὲ β΄
» ὑπάρχει τινὶ τῷ γ΄. τὸ ά τινὶ τῶν γ΄ οὐκ ἐνδέχεται. ἀλλὰ παντὶ ὑ
» πέκειτο ἐνδέχεσθαι. Εἴπερ φησὶν ἀντιλέγει ὅτι οὐ συνάγει τὸ ὑ
πάρχον οὐδενὶ, δῆλον ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον συναχθήσεται τὸ ὑπάρχειν τινὶ τῶν γ΄ τὸ β΄. εἰ τοίνυν τὸ μὲν ά οὐδενὶ τῷ β΄ ἐξ ἀνάγκης ὑπάρχει. τὸ δὲ β΄ τινὶ τῶν γ΄ ὑπάρχει. γίνεται ὁ τέταρτος

» ΟΜΟΙΩΣ δὲ καὶ εἰ πρὸς τῷ γ τεθείη τὸ στερητικόν.

Ε ἂν ἡ ἐλάττων φησὶ ληφθῇ καθόλου ἀποφατικὴ ὑπάρχουσα· ἡ δὲ μείζων καθόλου καταφατικὴ ἐνδεχομένη, ὁ αὐτὸς γίνεται συλλογισμός, ἀντιστρεφομένης τῆς ἀποφατικῆς ὑπαρχούσης. οἷον τὸ α τῷ β μὲν παντὶ ἐνδεχέσθω ὑπάρχειν. μηδενὶ δὲ τῶν γ ὑπαρχέτω. ἐπεὶ οὖν τὸ α οὐδενὶ τῶν γ ὑπάρχει. οὐδὲ τὸ γ οὐδενὶ τῶν α ὑπάρξει. τὸ δὲ α παντὶ τῷ β ἐνδεχομένως ὑπάρχει. τὸ ἄρα γ ἐνδέχεται μηδενὶ τῶν β ὑπάρχειν. ζητοῦμεν δὲ δεῖξαι ὅτι τὸ β οὐδενὶ τῶν γ ἐνδέχεται. δέδεικται δὲ τὸ ἐναντίον ὅτι τὸ γ οὐδενὶ





τῶν β ἐνδέχεται. καὶ ἐπειδὴ περὶ τοῦ ἐνδέχεσθαι ὁ συλλογισμός. τὸ δὲ ἐνδεχόμενον ἀποφατικὸν οὐκ ἀντιστρέφει πρὸς ἑαυτό. πῶς ἔτι συνάξομεν τὸ ζητούμενον μὴ δυνάμενοι τὸ συμπέρασμα ἀντιστρέψαι. μήποτε οὖν φησιν ὁ ἀλέξανδρος τὸ ἐνδεχόμενον ἔλαβεν οὐ τὸ κατὰ τὸν διορισμόν, ἀλλὰ τὸ κατὰ τοῦ ὑπάρχοντος ἀληθευόμενον. ἐδείχθη γὰρ ἐν τῷ α σχήματι τὸ τοιοῦτον συναγόμενον τῆς μείζονος ἀποφατικῆς ληφθείσης. ἡ δὲ τοιαύτη ἀπόφασις πρὸς ἑαυτὴν ἀντιστρέφει. ὥστε καὶ τὸ συμπέρασμα ἀντιστραφήσεται καθόλου ἀποφατικὸν ὑπάρχον. ὅτι δὲ τοιοῦτον γίνεται τὸ συμπέρασμα, καὶ οὐχὶ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον. καὶ διὰ τῶν ἑξῆς μὲν δῆλον ποιεῖ. προείρηκε δὲ ἀρχόμενος τοῦ δευτέρου σχήματος ἔνθα ἔλεγε δεῖ δὲ καὶ τὸ ἐν τούτοις λαμβάνειν τὸ ἐν τοῖς συμπεράσμασιν ἐνδεχόμενον ὥσπερ ἐν τοῖς πρότερον. τὰς δὲ ἐς τοῦτο κεκινημένας ἀπορίας, ἐν τοῖς ἀλεξάνδρου εὑρήσεις.

» ΕΑΝ δὲ ἀμφότεραι μὲν ὦσιν αἱ στερητικαί, σημαίνῃ δὲ ἡ μὲν, μὴ ὑπάρχειν. ἡ δὲ ἐνδέχεσθαι μὴ
» ὑπάρχειν, δι᾽ αὐτῶν μὲν τῶν εἰλημμένων, οὐδὲν συμβαίνει ἀναγκαῖον. ἀντιστραφείσης δὲ τῆς κατὰ τὸ
» ἐνδέχεσθαι προτάσεως, γίνεται συλλογισμός. ὅτι τὸ β τῷ γ ἐνδέχεται μηδενὶ ὑπάρχειν καθάπερ ἐν
» τοῖς πρότερον. ἔσται γὰρ πάλιν τὸ πρῶτον σχῆμα.

Τ ὸ ἀντιστραφείσης φησί. ἀντὶ τοῦ μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς καταφατικήν. τούτου γὰρ γινομένου γίνονται πάλιν αἱ πρότεραι δύο συλλογιστικαὶ συζυγίαι τὰ αὐτὰ συνάγουσαι συμπεράσματα.

» ΕΑΝ δὲ ἀμφότεραι τεθῶσι κατηγορικαί, οὐκ ἔσται συλλογισμός. ὅροι, τοῦ μὲν ὑπάρχειν, ὑγεία.
» ζῷον. ἄνθρωπος. τοῦ δὲ μὴ ὑπάρχειν, ὑγεία. ἵππος. ἄνθρωπος.

Π αραδοὺς ἐν δευτέρῳ σχήματι τὰς καθόλου συλλογιστικὰς συζυγίας τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος. νῦν φησιν ὅτι πᾶσαι αἱ ὁμοιοσχήμονες καταφατικαὶ οὖσαι. ἀσυλλόγιστοί εἰσιν. εἰκότως. οὐδὲ γὰρ βούλεται λαμβάνεσθαι τὴν ἐνδεχομένην καταφατικὴν εἰς τὴν ἐνδεχομένην ἀποφατικήν, ἵνα ὥσπερ ἐξ ἀμφοτέρων ἀποφατικῶν τῶν προτάσεων μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικὴν γίνεται συλλογισμός. οὕτω δὲ καὶ ἐκ τῆς καταφατικῆς πάλιν εἰς τὴν ἀποφατικὴν ἡ μετάληψις ποιήσει συλλογιστικὴν τὴν συζυγίαν. παρατίθεται οὖν πάλιν ὅρους δι᾽ ὧν δείκνυσι συναγούσας αὐτὰς καὶ τὸ παντὶ καὶ τὸ μηδενί. ὑγίεια παντὶ ζώῳ ἐνδεχομένως ὑπαρχέτω. ἀνθρώπῳ δὲ ὑπαρχέτω παντί. καὶ συνάγεται ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. πάλιν ὑγίεια ἵππῳ μὲν παντὶ ἐνδεχέσθω. ἀνθρώπῳ δὲ ὑπαρχέτω παντί. καὶ ἵππος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης.

» ΤΟΝ αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. ὅταν μὲν γὰρ ᾖ τὸ καταφατι-
» κὸν ὑπάρχον εἴτε καθόλου, εἴτ᾽ ἐν μέρει ληφθέν, οὐδεὶς ἔσται συλλογισμός. τοῦτο δὲ ὁμοίως καὶ διὰ τῶν
» αὐτῶν ὅρων δείκνυται τοῖς πρότερον.

Ε ἰκότως τῆς γὰρ ἀποφατικῆς ἐνδεχομένης οὔσης καὶ διὰ τοῦτο μεταλαμβανομένης εἰς τὴν καταφατικήν, γίνονται ὁμοιοσχήμονες αἱ συζυγίαι. αἱ δὲ τοιαῦται πᾶσαι ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστοί εἰσιν.

» ΟΤΑΝ δὲ τὸ στερητικὸν ἔσται διὰ τῆς ἀντιστροφῆς, ὥσπερ ἐν τοῖς πρότερον.

Δ ῆλον ὅτι καθόλου οὔσης τῆς ἀποφατικῆς ὑπαρχούσης. οὕτω γὰρ ἐχούσης αὐτῆς. καὶ πρὸς τῇ μείζονι προτάσει κειμένης ἀεὶ γίνεται συλλογισμὸς διὰ τῆς ἀντιστροφῆς ἀναγομένης αὐτῆς εἰς τὸ α σχῆμα. ὅπως δὲ ἔχουσιν αἱ συζυγίαι αἱ τὴν ὑπάρχουσαν ἔχουσαι μερικὴν ἀποφατικὴν προϊὼν διδάξει.

» ΠΑΛΙΝ ἐὰν ἄμφω μὲν τὰ διαστήματα στερητικὰ τεθῇ, καθόλου δὲ τὸ μὴ ὑπάρχειν, ἐξ αὐτῶν

μὲν

» Ὅτι μὲν οὖν ὑπάρχειν οὐκ ἐγχωρεῖ, φανερόν· οὐδεὶς γὰρ ἵππος, ἄνθρωπος. ἀλλ' οὐδὲ ἐνδέχεσθαι μὴ ὑπάρχειν. ἀνάγκη γὰρ μηδένα ἵππον ἄνθρωπον εἶναι. τὸ δ' ἀναγκαῖον, οὐκ ἦν ἐνδεχόμενον. οὐκ ἄρα γίνεται συλλογισμός.

Ὅτι μὲν οὖν φησι καταφατικὸν οὐ συνάγεται συμπέρασμα, δῆλον ἐκ τῶν ὅρων. συνῆκται γὰρ ὅτι ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ ἄνθρωπος ὑπάρχει. ὅτι δὲ οὐδὲ ἀποφατικόν, φησὶν ἐνδεχόμενον συμπέρασμα δυνατὸν συναγαγεῖν, δῆλον ἐξ ὧν ἀναγκαῖόν ἐστιν ἀποφατικὸν τὸ συνηγμένον. ὁριζόμενοι δὲ τὸ ἐνδεχόμενον ἐλέγομεν αὐτὸ μὴ εἶναι ἀναγκαῖον.

» Ὁμοίως δὲ δειχθήσεται, καὶ ἀνάπαλιν ὅταν τεθῇ τὸ στερητικόν· κἂν ἀμφότεραι καταφατικαὶ ληφθῶσιν ἢ στερητικαί. διὰ γὰρ τῶν αὐτῶν ὅρων ἔσται ἡ ἀπόδειξις.

Ταῦτα μέν φησιν εἴρηται τῆς μείζονος ἀποφατικῆς οὔσης ἐνδεχομένης, τῆς δὲ ἐλάττονος καταφατικῆς. ἀλλ' ἐπειδὴ κἂν ἀμειφθῇ ἡ τάξις τῶν προτάσεων καὶ ἡ μὲν μείζων ᾖ καταφατικὴ ἡ δὲ ἐλάττων ἀποφατική, καὶ οὕτως ἀσυλλόγιστος ἔσται ἡ συζυγία. ὁμοίως δὲ κἂν ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις. ἐπὶ πασῶν γὰρ τούτων τῶν συζυγιῶν οἱ προσεχῶς εἰρημένοι ὅροι πρὸς τὸ δεῖξαι αὐτὰς ἀσυλλογίστους ἀρκέσουσι, τὸ ἀναγκαῖον ἀποφατικὸν συνάγοντες.

» Καὶ ὅταν ἡ μὲν καθόλου, ἡ δ' ἐν μέρει, ἢ ἀμφότεραι κατὰ μέρος, ἢ ἀδιόριστοι, ἢ ὁσαχῶς ἄλλως ἐνδέχεται μεταλαβεῖν τὰς προτάσεις. ἀεὶ γὰρ ἔσται διὰ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις.


Δείξας πάσας τὰς συζυγίας τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων καθόλου ἐν δευτέρῳ σχήματι ἀσυλλογίστους, νῦν τὰς λοιπὰς πάσας ἐκτίθεται. καί φησιν αὐτὰς ἀσυλλογίστους εἶναι. συνάγουσι γὰρ διὰ τῶν αὐτῶν ὅρων καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης.

» Φανερὸν οὖν ὅτι ἀμφοτέρων τῶν προτάσεων κατὰ τὸ ἐνδέχεσθαι τιθεμένων, οὐδεὶς γίνεται συλλογισμός.

Τοῦτο συμπέρασμά ἐστι τῶν εἰρημένων.

» Εἰ δὲ ἡ μὲν, ὑπάρχειν· ἡ δέ, ἐνδέχεσθαι σημαίνει, τῆς μὲν κατηγορικῆς ὑπάρχειν τεθείσης, τῆς δὲ στερητικῆς ἐνδέχεσθαι, οὐδέποτε ἔσται συλλογισμός, οὔτε καθόλου τῶν ὅρων ὄντων, οὔτ' ἐν μέρει λαμβανομένων. ἀπόδειξις δὲ ἡ αὐτή, ἢ καὶ διὰ τῶν αὐτῶν ὅρων.

Ἐκθέμενος τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένας συζυγίας, νῦν βούλεται περὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ ἐνδεχομένου διαλαβεῖν. φησὶν οὖν ταύτας εἶναι ἀσυλλογίστους συζυγίας ἐπὶ ταύτης τῆς μίξεως ἐν τούτῳ τῷ σχήματι, λέγω δὴ τῷ β΄· ὅσαι καταφατικὴν μὲν ἔχουσι τὴν ὑπάρχουσαν, ἀποφατικὴν δὲ τὴν ἐνδεχομένην. ἐπειδὴ γὰρ μεταλαμβάνεται ἡ ἀποφατικὴ ἐνδεχομένη εἰς τὴν καταφατικήν. μεταληφθείσης δὲ γίνονται ὁμοιοσχήμονες αἱ προτάσεις. ἐν δὲ τῷ δευτέρῳ σχήματι πᾶσαι αἱ ἐξ ὁμοιοσχημόνων προτάσεων συζυγίαι ἀσυλλόγιστοί εἰσιν. ὅτι δέ φησιν ἀσυλλόγιστοί εἰσιν αἱ τοιαῦται συζυγίαι, οἱ αὐτοὶ ὅροι οἱ προσεχῶς εἰρημένοι ἀρκέσουσιν ἡμῖν πρὸς τὸ δεῖξαι αὐτὰς συναγούσας καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης. λευκὸν παντὶ ἵππῳ ὑπαρχέτω. ἀνθρώπῳ δὲ μηδενὶ ἐνδεχέσθω· καὶ συνάγεται ἵππος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. τοῦτο δὲ ἀναιρετικόν ἐστι πάντων τῶν ἐνδεχομένων καὶ τῶν ὑπαρχόντων. ὥσπερ γὰρ ὃ ἐνδέχεται μηδενί, τοῦτο ἐνδέχεται παντί. οὕτω καὶ ὃ ὑπάρχει μηδενί, τοῦτο ὑπάρξαι ποτὲ παντί. τὸ γὰρ ὑπάρχον ἐνδεχόμενόν ἐστιν ἐκβεβηκός. ὃ δὲ ἀνάγκη μηδενί, τοῦτο οὔτε ὑπάρξαι ποτὲ παντί, οὔτε ἐνδέχεσθαι δυνήσεται παντί.



» Ὅταν δὲ ἡ μὲν καταφατικὴ ἐνδέχεσθαι, ἡ δὲ στερητικὴ ὑπάρχειν, ἔσται συλλογισμός. εἰλήφθω γὰρ τὸ α τῷ μὲν β μηδενὶ ὑπάρχειν, τῷ δὲ γ παντὶ ἐνδέχεσθαι. ἀντιστραφέντος οὖν τοῦ στερητικοῦ, τὸ β τῷ α οὐδενὶ ὑπάρξει. τὸ δὲ α παντὶ τῷ γ ἐνδέχεται, γίνεται δὴ συλλογισμός, ὅτι ἐνδέχεται τὸ β μηδενὶ τῷ γ διὰ τοῦ πρώτου σχήματος.

Δείξας ὅτι αἱ τὴν ὑπάρχουσαν καταφατικὴν ἔχουσαι συζυγίαι ἀσυλλόγιστοί εἰσι, νῦν δείκνυσιν ὅτι αἱ ἀνάπαλιν ἔχουσαι κατὰ τοὺς τρόπους συλλογιστικαί εἰσι· τουτέστιν αἱ τὴν ὑπάρχουσαν πρότασιν ἀποφατικὴν ἔχουσαι, τὴν ἐνδεχομένην καταφατικήν. συνάγουσι δὲ αἱ τοιαῦται συζυγίαι ἐνδεχόμενον ἀποφατικὸν συμπέρασμα. οὐ τὸ κατὰ τὸν διορισμόν, ἀλλὰ τὸ συντρέχον τῷ οὐδενὶ ἐξ ἀνάγκης, ὅπερ ἐστὶ τὸ ἥμισυ τοῦ ἐνδεχομένου. καὶ πῶς δείκνυσι τὴν μείζονα ὑπάρχουσαν, τὴν δὲ ἐλάττονα ἐνδεχομένην. τὸ γὰρ α φησὶ τῷ μὲν β μηδενὶ ὑπάρχειν τῷ δὲ γ παντὶ ἐνδέχεσθαι. ἐὰν οὖν ἀντιστρέψωμεν τὴν μείζονα πρότασιν γίνεται τὸ α΄ σχῆμα. εἰ γὰρ τὸ α οὐδενὶ τῶν β ὑπάρχει, οὐδὲ τὸ β οὐδενὶ τῶν α ὑπάρξει. τὸ δὲ α παντὶ τῷ γ ἐνδέχεται. δέδεικται δὲ ἡ τοιαύτη συζυγία ἐν πρώτῳ σχήματι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ τὸ ἢ οὐδενὶ ἐξ ἀνάγκης συνάγουσα, ὅπερ ἦν τὸ ἥμισυ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἵνα μὴ πολλάκις τὰ αὐτὰ λέγωμεν.

θαι. ὑποκείσθω γὰρ συνάγειν ὅτι τὸ β ἐνδέχεται μηδενὶ τῷ γ ὑπάρχειν. τοῦτο γὰρ αὐ συνήγαγεν ἄγε συνῆγεν. δεικνύομεν οὖν τοῦτο ἀδύνατον τῇ δείξει τῇ διὰ τοῦ ἀδυνάτου. εἰ γὰρ ψεῦδος τὸ ἐνδέχεται μηδενὶ τῶν γ τὸ β, ἔσται τὸ οὐκ ἐνδέχεται μηδενὶ ἀληθές. ὅπερ ταυτόν ἐστι τῷ ἀνάγκη τινί. εἰ τοίνυν τὸ α ἐνδέχεται μηδενὶ τῷ β, τὸ δὲ β ἀνάγκη τινὶ τῶν γ, γίνεται τὸ α σχῆμα ἐκ τῆς μείζονος ἐνδεχομένης ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἀναγκαίας μερικῆς καταφατικῆς. συνάγει δὲ τὸ ὅτι τὸ α οὐ παντὶ τῷ γ ἐνδέχεται. ἦν δὲ καὶ παντὶ ἐνδέχεσθαι. καὶ οὐδὲν ἀδύνατον τὸ παντὶ ἐνδεχόμενον ἐνδέχεσθαι μὴ παντί. οὕτω μὲν οὖν οὐ δυνατὸν τῇ δι' ἀδυνάτου δείξει χρήσασθαι. ἰστέον δὲ ὅτι ὁ ἀριστοτέλης τῷ οὐκ ἐνδέχεται μηδενὶ ἰσοδυναμοῦσαν ἔλαβε τὴν ἀνάγκη παντί. ὅπερ ἐπί τινων μὲν ὅρων ἀληθεύει, οὐκ ἐπὶ πάντων δέ. ἀλλ' ἀεὶ τὸ ἀνάγκη τινί. ἀλλὰ ὁ ἀριστοτέλης ἐκ περιουσίας ἐλέγξαι βουλόμενος τὸν λόγον τὸ ἀνάγκη παντὶ ὑπέθετο δεικνὺς ὅτι ἐν ταύτῃ τῇ ὑποθέσει οὐδὲν ἀδύνατον ἀκολουθεῖ. πολλῷ γε μᾶλλον τῷ ἀνάγκη τινί. ἀκολουθεῖ γὰρ τῷ καθόλου τὸ μερικόν. τιθέντος γάρ φησι τοῦ β παντὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν, τουτέστιν ἀνάγκη παντὶ ὑπάρχειν, οὐδὲν ἀδύνατον συμβαίνει. εἰ γὰρ τὸ α οὐδενὶ τῷ β ἐνδέχεται, τὸ δὲ β παντὶ τῷ γ ἀνάγκη ὑπάρχειν, γίνεται τὸ α σχῆμα. καὶ συνάγεται τὸ α ἐνδέχεται μηδενὶ τῶν β. ἦν δὲ καὶ παντὶ ἐνδεχομένως. καὶ οὐδὲν ἀδύνατον.

ὍΛΩΣ δ' εἰ ἔστι συλλογισμός, δῆλον ὅτι τοῦ ἐνδέχεσθαι ἂν εἴη, διὰ τὸ μηδετέραν τῶν προτάσεων εἰλῆφθαι ἐν τῷ ὑπάρχειν. καὶ οὗτος, ἢ καταφατικὸς ἢ στερητικός. οὐδετέρως δ' ἐγχωρεῖ. καταφατικοῦ μὲν γὰρ τεθέντος, δειχθήσεται διὰ τῶν ὅρων, ὅτι οὐκ ἐνδέχεται ὑπάρχειν. στερητικοῦ δέ, ὅτι τὸ συμπέρασμα οὐκ ἐνδεχόμενον, ἀλλ' ἀναγκαῖόν ἐστιν. ἔστω γὰρ τὸ μὲν α λευκόν. τὸ δὲ β, ἄνθρωπος. ἐφ' ᾧ δὲ γ, ἵππος. τὸ δὴ α τὸ λευκόν, ἐνδέχεται τῷ μὲν παντί. τῷ δὲ μηδενὶ ὑπάρχειν, ἀλλὰ τὸ β τῷ γ, οὔτε ὑπάρχειν ἐνδέχεται, οὔτε μὴ ὑπάρχειν.

Νῦν διὰ τῶν ὅρων βούλεται δεῖξαι ἀσυλλογίστους τὰς τοῦ ἐνδεχομένου συζυγίας ἐν δευτέρῳ σχήματι. εἰ γὰρ ὅλως φησὶ συνάγουσί τι συμπέρασμα τοῦ ἐνδεχομένου αἱ προτάσεις ἐν δευτέρῳ σχήματι, ἐνδεχόμενον συνάγουσιν. ἐπεὶ ἀμφότεραί εἰσιν ἐνδεχόμεναι καὶ τοῦτο πᾶσα ἀνάγκη καταφατικὸν εἶναι ἢ ἀποφατικόν. εἰ μὲν οὖν καταφατικόν τις ὑπόθοιτο εἶναι τὸ συμπέρασμα, πρῶτον μὲν ἄλογον τῆς μιᾶς ἀποφατικῆς οὔσης μὴ ἀποφατικὸν εἶναι τὸ συμπέρασμα, ἄγε ἀληθὴς ὁ λόγος ὁ λέγων τῷ χείρονι τῶν προτάσεων ἕπεσθαι τὸ συμπέρασμα. ἔπειτα ἐλέγχεται τοῦτο τῇ τῶν ὅρων παραθέσει. ἐκτίθεται γὰρ ὅρους συνάγοντας τὸ ἀνάγκη μηδενί. λευκὸν γὰρ ἐνδέχεται ἵππῳ μὲν μηδενὶ ὑπάρχειν. ἀνθρώπῳ δὲ παντί. καὶ ὁμοίως ἵππος ἐξ ἀνάγκης οὐδενὶ ἀνθρώπῳ ὑπάρχει. ὅτι μὲν οὖν οὐ γίνεται καταφατικὸν συμπέρασμα, δῆλον ἐξ ὧν διὰ τῶν ὅρων εὑρήκαμεν τὸ ἐξ ἀνάγκης μηδενὶ συναγόμενον. τοῦτο γὰρ ἀναιρετικόν ἐστι πάντων τῶν καταφατικῶν. ὅτι δὲ οὐδὲ ἀποφατικὸν ἐνδεχόμενον συνάγεται, δῆλον ἐξ ὧν τὸ ἀναγκαῖον ἀποφατικὸν διὰ τῶν ὅρων συνήγομεν. τοῦτο γὰρ ἀναιρετικόν ἐστι πασῶν τῶν τοῦ ἐνδεχομένου προτάσεων. ὥστε οὔτε καταφατικόν, οὔτε ἀποφατικὸν ἐνδεχόμενον συνάγεται. οὕτω μὲν οὖν ὁ ἀριστοτέλης διὰ τῶν ὅρων δείξας ἀποφατικὸν καθόλου ἀναγκαῖον συναγόμενον συμπέρασμα, ἀσυλλογίστους δείκνυσι τὰς ἐν τῷ δευτέρῳ σχήματι τοῦ ἐνδεχομένου συζυγίας. οὐ καθὼς ἀεὶ ἔθος ποιήσας. ἀεὶ γὰρ ἐδείκνυεν ἀσυλλογίστους τὰς ἀσυλλογίστους συζυγίας, δεικνὺς αὐτὰς συναγούσας καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ ἐξ ἀνάγκης. ἐνταῦθα δὲ ὅρους παρέθηκε μόνον τὸ ἐξ ἀνάγκης μηδενὶ συνάγοντας. φησὶ δὲ ὁ ἀλέξανδρος ὅτι δυνατὸν καὶ ἐνταῦθα εὐπορῆσαι ὅρων, καὶ τὸ παντὶ ἐξ ἀνάγκης συναγόντων. ἔστωσαν γὰρ ὅροι. λευκόν. ζῷον. καὶ εἶδός τι τῶν ὑπὸ τὸ ζῷον οἷον ἄνθρωπος. λευκὸν μηδενὶ ζῴῳ ἐνδέχεσθαι. λευκὸν παντὶ ἀνθρώπῳ ἐνδέχεσθαι. καὶ συνάγεται ζῷον ἐξ ἀνάγκης παντὶ ἀνθρώπῳ. ταῦτα μὲν οὖν ὁ ἀλέξανδρος βουλόμενος δεῖξαι ὡς δυνατὸν καὶ ταύτας τὰς συζυγίας διὰ τοῦ συνάγειν τὸ παντὶ καὶ μηδενὶ ἐξ ἀνάγκης ἀσυλλογίστους δεικνύναι. οὐκ ἀποδεκτέον δὲ αὐτὸν ἐν τούτῳ. δεῖ γὰρ ὡς πολλάκις εἴρηται ἀμφοτέρας τὰς προτάσεις κατὰ τὸν αὐτὸν χρόνον ἀληθεῖς εἶναι. αἱ δὲ εἰλημμέναι ὑπὸ τοῦ ἀλεξάνδρου προτάσεις ὡς συνάγουσαι τὸ ἐξ ἀνάγκης παντί, οὐ δύνανται κατὰ τὸν αὐτὸν χρόνον ἀμφότεραι ἀληθεῖς εἶναι. εἰ γὰρ τὸ ἐνδέχεσθαι μηδενὶ ζῴῳ τὸ λευκὸν ὑπόκειτο ἀληθὲς εἶναι, ψεῦδος ἂν εἴη τὸ λέγειν ἐνδέχεσθαι παντὶ ἀνθρώπῳ τὸ λευκὸν ὑπάρχειν. ὁ γὰρ ἄνθρωπος ὑπὸ τὸ ζῷόν ἐστιν. εἴρηται δὲ μηδενὶ ζῴῳ ἐνδέχεσθαι τὸ λευκόν. πλὴν αὐτῷ τούτῳ μετὰ πολλὰ καὶ ὁ ἀλέξανδρος ἐπέστησεν ὅτι οὐ δυνατὸν λαβεῖν ὅρους τὸ ἐξ ἀνάγκης καὶ παντὶ ὑπάρχειν καὶ μάλα εἰκότως. πῶς γὰρ ἐγχωρεῖ τὸ ἀνάγκη παντὶ συνάγεσθαι. εἰ γὰρ συνάγοιτο τὸ ἀνάγκη παντί, ἀνάγκη τὸν ἐλάττονα ὅρον εἶδος εἶναι τοῦ μείζονος. ἢ ἄλλως πῶς ἀεὶ ὑπ' αὐτὸν εἶναι. εἰ δὲ τοῦτο, πᾶσα ἦν ἀνάγκη τὸν μέσον ὡς αὖ κατηγορεῖται τοῦ μείζονος. οὕτω κατηγορεῖσθαι καὶ τοῦ ἐλάττονος, ἐπειδὴ παντὸς τοῦ μείζονος κατηγορεῖται. παντὸς δὲ κατηγορουμένου. περιέχει ἐν τῇ κατηγορίᾳ καὶ τὸν ἐλάττονα. ἐν δὲ τῷ δευτέρῳ σχήματι ὁμοιοσχήμονές εἰσιν αἱ προτάσεις. εἰ τοίνυν λάβωμεν εἶδος τοῦ μείζονος ὅρου ὄντα τὸν ἐλάττονα. ψευδῆ πάντως ἀνάγκη λαμβάνειν τὴν ἑτέραν πρότασιν. ψευδὴς δὲ λαμβανομένη αὐτόθεν διὰ τὴν ὕλην καὶ οὐ διὰ τὸ σχῆμα ἔχει τὸ ἀσυλλόγιστον.

μετι ὑπάρχει. καὶ ἔστιν ἀληθὴς ὁ λόγος. δύναμαι δὲ ἐπὶ τούτων τῶν ὅρων ἀντιστρέψας δεῖξαι. καὶ ὅτι σῶμα. παντὶ κινουμένῳ ὑπάρχει. ἀλλὰ τινὶ μὲν ἐξ ἀνάγκης. οἷον τῇ κυκλοφορίᾳ τοῦ οὐρανοῦ. τινὶ δὲ οὐκ ἐξ ἀνάγκης, οἷον τῇ βαδίσει. οὐδὲ γὰρ ἀεὶ συνυπάρχουσιν ἀλλήλοις σῶμα. καὶ βάδισις. δι' ὅπερ οὐκ ἀναγκαία ἐστὶν ἡ συνύπαρξις αὐτῶν. ὥστε οὐ καλῶς τις λαμβάνει ὅτι εἰ μὴ τὸ γ τῷ δ ἐνδέχεται παντί, ἀνάγκη μὴ παντὶ μόνως. δέδεικται γὰρ ὅτι δυνατὸν εὑρεῖν ὅρους τοῦ ὑπάρχειν παντὶ τῷ δ τὸ γ συνάγοντας. εἰ δὲ παντὶ ὑπάρχει, ψεῦδος τὸ λέγειν ὅτι ἀνάγκη μὴ παντὶ μόνως. ἀλλ' ὅτι καὶ ἀνάγκη τινί. ὥστε τὸ ἐνδέχεται παντὶ. δύο ἀντίκειται προτάσεις. ἥτε ἡ ἀνάγκη μὴ παντὶ καὶ ἡ ἀνάγκη τινί. καὶ οὐ δεῖ τὴν ἀνάγκη μὴ παντὶ μόνην παραλαμβάνειν ὡς ἀντικειμένην. ὡσαύτως δὲ καὶ τῷ ἐνδέχεται μηδενὶ αἱ αὐταὶ δύο ἀντίκεινται. καὶ οὐ δεῖ τὴν ἀνάγκη τινὶ μόνην παραλαμβάνειν τοὺς εἰς ἀδύνατόν τι βουλομένους ἀπαγαγεῖν. καὶ τὸ ἀποφατικῶς ἀντικείμενον τὸ οὐκ ἐνδέχεται μηδενὶ ἰσοδυναμεῖ τῷ ἐνδέχεται μηδενί. ἐπισημαινώμεθα δὲ καὶ κατὰ τὴν λέξιν τὰ εἰρημένα. Εἰ οὖν τις ἀξιοῖ

ἐπεὶ οὐκ ἐνδέχεται τὸ γ τῷ δ παντὶ ὑπάρχειν ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν, αὐτὸ ψεῦδος ἂν λαμβάνει. Εἰ ὑποθεμένων ἡμῶν φησὶ τὸ δ τῷ γ ἐνδέχεσθαι παντί, ἀντιστρέψας τις εἴπῃ καὶ τὸ γ τῷ δ ἐνδέχεσθαι παντί. εἰ γὰρ τοῦτο ψεῦδος, τὸ οὐκ ἐνδέχεται παντὶ ἀληθὲς ὅπερ ἐστὶ ταυτὸν τῷ ἀνάγκη μὴ παντὶ μόνον. ψεῦδος ἂν λέγοι ὁ τοιοῦτος. ὅτι γὰρ ψεύδεται, τὴν αἰτίαν ἐπάγει. παντὶ γὰρ ὑπάρχει φησί. τουτέστι δυνατὸν εὑρεῖν ὅρους τὸ παντὶ ὑπάρχειν τῷ δ τὸ γ συνάγοντας. οὐκ οὖν οὐκ ἀληθὲς εἰπεῖν. ὡς ἀνάγκη μὴ παντὶ μόνως. πόθεν δὲ ὅλως ἀληθεύειν κατά τι τὸ ἀνάγκη μὴ παντὶ ὅτι δυνατὸν εὑρεῖν ὅρους τὸ ὑπάρχον παντὶ συνάγοντα. τούτου τὴν αἰτίαν ἐπάγει. ἀλλ' ὅτι φησὶν ἐνίοις ἐξ ἀνάγκης ὑπάρχει, διὰ τοῦτο φαμὲν οὐ παντὶ ἐνδέχεσθαι. ἐφ' ὧν φησὶν ὅρων εὑρίσκομεν κατηγορούμενον παντὸς τοῦ δ τὸ γ. τισὶ μὲν τῶν ὑπὸ τὸ δ ἀναγκαίως ὑπάρχει. τισὶ δὲ οὐκ ἀναγκαίως. ἐπειδὴ τοίνυν μὴ πᾶσιν ἀναγκαίως ὑπάρχει, διὰ τοῦτο ἀληθὲς τὸ λέγειν ὅτι ἀνάγκη μὴ παντί. ὥστε ἐπειδὴ καὶ τισὶν ἀναγκαίως ὑπάρχει, ἀληθεύει καὶ τὸ ἀνάγκη τινί. ὥστε φησὶ τοῦ ἐνδέχεσθαι παντὶ τὰ ἀντικείμενα. ἐπειδὴ τοῦτο ὑποθέσθαι ἐβούλετο, δύο ἐστὶ τὸ ἀνάγκη τινὶ καὶ ἀνάγκη μὴ παντί. ὁμοίως δὲ καὶ τὸ ἐνδέχεσθαι μηδενί.

ΔΗΛΟΝ οὖν ὅτι πρὸς τὸ οὕτως ἐνδεχόμενον καὶ μὴ ἐνδεχόμενον ὡς ἐν ἀρχῇ διωρίσαμεν οὐ μόνον τὸ ἐξ ἀνάγκης τινὶ ὑπάρχειν, ἀλλὰ καὶ τὸ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν ληπτέον. τούτου δὲ ληφθέντος, οὐδὲν συμβαίνει ἀδύνατον. ὥστε οὐ γίνεται συλλογισμός, φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι οὐκ ἀντιστρέφει τὸ στερητικόν.

Συμπέρασμα ἐπιφέρει τῶν εἰρημένων καὶ φησὶ δῆλον εἶναι ἡμῖν ὅτι τοῦ διορισθέντος ἡμῖν ἐξ ἀρχῆς ἐνδεχομένου τοῦ μὴ ὄντος ἀναγκαίου, τεθέντος δέ, οὐδὲν ἀδύνατον ἀκολουθεῖ. ἔστι γὰρ καὶ τὸ κοινοτέρως λεγόμενον ἐνδεχόμενον ὡς πολλάκις εἰρήκαμεν. καὶ τῇ ἀποφάσει τῇ ἐνδέχεται μηδενί. καὶ τῇ καταφάσει τῇ ἐνδέχεται παντί, δύο εἰσὶ καὶ τὰ αὐτὰ ἑκάστῳ τὰ ἀντικείμενα τὸ ἀνάγκη τινὶ καὶ ἀνάγκη μὴ παντί. ὥστε τοὺς κεχρημένους τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἐφ' ἑκατέρας τῶν προτάσεων τούτων, ἀμφότερα δεῖ λαμβάνειν τὰ ἀντικείμενα. ὑποτεθέντος δὲ τοῦ ἀνάγκη μὴ παντί, οὐδὲν ἀδύνατον ἠκολούθει. ὥστε φησὶν οὐ γίνεται συλλογισμός. τουτέστιν οὐδὲν ἀδύνατον συμπέρασμα ἡμῖν ἀκολουθήσει. συλλογισμὸν γὰρ ἐνταῦθα ἐκάλεσε τὸ συμπέρασμα. εἰ δὲ μὴ ἀκολουθεῖ τι ἀδύνατον. οὐδὲ διὰ τούτων ἄρα δειχθήσεται ἀντιστρέφουσα πρὸς ἑαυτὴν ἡ τοῦ ἐνδεχομένου καθόλου ἀπόφασις.

ΤΟΥΤΟΥ δὲ δειχθέντος, κείσθω τὸ α, τῷ μὲν β ἐνδέχεσθαι μηδενί. τῷ δὲ γ, παντί. διὰ μὲν οὖν τῆς ἀντιστροφῆς, οὐ γίνεται συλλογισμός. εἴρηται γὰρ ὅτι οὐκ ἀντιστρέφει ἡ τοιαύτη πρότασις.

Τὰ χρήσιμα αὐτῷ ἐσόμενα πρὸς τὴν διδασκαλίαν τῶν ἐν δευτέρῳ σχήματι προδιδάξας συλλογισμῶν, νῦν ἐπὶ τὰς συζυγίας αὐτῶν μετέρχεται καὶ δείκνυσιν ὅτι οὐκ ἐνδέχεται ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι συλλογισμὸν γενέσθαι. δεῖ γὰρ ἐν τούτῳ τῷ σχήματι ἀνομοιοσχήμονας εἶναι τὰς συλλογιστικὰς προτάσεις. ἐνδεχομένων δὲ ἀμφοτέρων οὐσῶν, ἀδύνατον αὐτὰς ὅπως ἂν ληφθῶσι καὶ ἀνομοιοσχήμονας εἶναι. ἀεὶ τῆς ἀποφατικῆς μεταλαμβανομένης εἰς καταφατικήν. ὑποκείσθω γάρ φησι συζυγία ἐκ τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς. οἷον τὸ α τῷ μὲν β μηδενὶ ἐνδέχεσθαι. τῷ δὲ γ παντί. ταύτην φησὶν οὔτε δι' ἀντιστροφῆς δεῖξαι δυνατὸν ἀνάγοντα εἰς τὸ πρῶτον σχῆμα, οὔτε τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. οὔτε τῇ τῶν ὅρων παραθέσει. καὶ ὅτι μὲν δι' ἀντιστροφῆς οὐ δυνατόν, δῆλον. δέδεικται γὰρ ὅτι ἡ ἀποφατικὴ τοῦ ἐνδεχομένου οὐκ ἀντιστρέφει πρὸς ἑαυτήν.

ἈΛΛ' οὐδὲ διὰ τοῦ ἀδυνάτου. τεθέντος γὰρ τοῦ τὸ παντὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν. οὐδὲν συμβαίνει ψεῦδος. ἐνδέχοιτο γὰρ ἂν τὸ α τῷ γ καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν.

Δεῖξας μὴ δυνάμενον δι' ἀντιστροφῆς ἐν δευτέρῳ σχήματι γενέσθαι συλλογισμόν, νῦν δείκνυσιν ὅτι οὐδὲ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δυνατόν ἐστι συμπέρασμά τι συναγαγεῖν ἐν δευτέρῳ σχήματι. ἔστω γὰρ τὸ α τῷ β ἐνδέχεσθαι μηδενὶ τῷ δὲ γ ἐνδέχεσθαι παντί. ἴδωμεν οὖν εἰ δυνατὸν τῇ εἰς ἀδύνατον δεῖξαι χρήσει

τῶν α ἐνδέχεται. εἰ γὰρ τοῦτο ψεῦδος, ἔσται τὸ ἀντικείμενον ἀληθὲς ὅτι οὐκ ἐνδέχεται μηδενὶ τῶν α τὸ β· ὅπερ ταυτόν ἐστι τῷ ἀνάγκη τινί. ὃ γὰρ οὐκ ἐνδέχεται μηδενί, τοῦτο ἀνάγκη τινί. ἐπεὶ οὖν τὸ β ἐξ ἀνάγκης τινὶ τῶν α ὑπάρχει ὡς ἡ ὑπόθεσις, καὶ τὸ α ἄρα τινὶ τῶν β ἐξ ἀνάγκης ὑπάρξει. ἀντιστρέφει γὰρ ἐν παντὶ τρόπῳ τὰ μερικὰ καταφατικὰ πρὸς ἑαυτά. ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαι μηδενὶ τὸ α τῶν β. τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ ἐνδέχεται μηδενὶ καὶ ἀνάγκη τινί· ὅπερ ἀδύνατον. οὐκ ἄρα τὸ ἀνάγκη τινὶ ἀληθές, τουτέστι τὸ οὐκ ἐνδέχεται μηδενί. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἐνδέχεται μηδενὶ τῶν α τὸ β. οὕτω μὲν οὖν ἡ δοκοῦσα διὰ τοῦ ἀδυνάτου δεῖξις. πῶς οὖν καὶ ταύτην ἐλέγχει ἴδωμεν.

» ΤΟΥΤΟ δ' ἀδύνατον. οὐ γὰρ εἰ μὴ ἐνδέχεται μηδενὶ τῷ α τὸ β, ἀνάγκη ὑπάρχειν τινὶ μόνον, ἀλλὰ καὶ ἐξ ἀνάγκης οὐ παντί. τὸ γὰρ μὴ ἐνδέχεσθαι μηδενί, διχῶς λέγεται· τὸ μὲν, εἰ ἐξ ἀνάγκης τινὶ τῷ α ὑπάρχει· τὸ δέ, εἰ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχει. τὸ γὰρ ἐξ ἀνάγκης τινὶ τῷ α μὴ ὑπάρχον, οὐκ ἀληθὲς εἰπεῖν, ὡς παντὶ ἐνδέχεται μὴ ὑπάρχειν· ὥσπερ οὐδὲ τὸ τινὶ ὑπάρχον ἐξ ἀνάγκης, ὅτι παντὶ ἐνδέχεται ὑπάρχειν.

Ἐκθέμενος ἀνωτέρω τὴν διὰ τοῦ ἀδυνάτου ἀπαγωγήν, ᾗ αὐτὸς ἐχρήσατο πρὸς τὸ δεῖξαι τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην πρὸς ἑαυτὴν ἀντιστρέφουσαν, διὰ τούτων αὐτὴν τὴν δεῖξιν ἐλέγχει ὡς οὐκ οὖσαν ἀληθῆ ἀλλὰ ἀδύνατον. τί οὖν λέγει· οὐ δεῖ φησιν εἰ τῇ ἀνάγκη τινὶ ὑποθέσει ἀδύνατόν τι ἠκολούθησεν, τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ ἐνδέχεται μηδενὶ λέγειν ἀληθὲς εἶναι, καὶ διὰ τοῦτο ἀντιστρέφειν ἀξιοῦν πρὸς ἑαυτὴν τὴν τοῦ ἐνδεχομένου ἀπόφασιν. ἣν γὰρ οὐκ ἐνδέχεται μηδενὶ ἣν ὑποθέμεθα ἵνα δείξωμεν τὸ ἀδύνατον, οὐ μόνον τὴν ἀνάγκη τινὶ περιέχει, ἀλλὰ καὶ τὴν ἀνάγκη μὴ παντί, ὡς ἀνωτέρω δέδεικται. εἰ τοίνυν τῆς οὐκ ἐνδέχεται μηδενὶ ἀμφότεραι αἱ μερικαὶ αἱ ἀναγκαῖαι μέρη εἰσί, περιέχονται γὰρ ὑπ' αὐτῆς, οὐ δεῖ τῷ ἑνὶ μόνῳ μέρει αὐτῆς δεῖξαι τὸ ἀδύνατον ἀκολουθοῦν τῷ ἀνάγκη τινί, ἀλλὰ καὶ τῷ ἀνάγκη μὴ παντί. δεῖ οὖν καὶ ταύτην ὑποθέσθαι καὶ δεῖξαι ἀδύνατόν τι ἀκολουθοῦν, ἵνα τῇ ὅλῃ προτάσει, τῇ οὐκ ἐνδέχεται μηδενί, τουτέστι τοῖς μέρεσιν αὐτῆς ἀποδείξῃς τι ἀκολουθοῦν τὸ ἀδύνατον. τότε γὰρ ἀντιφατικῶς αὐτῇ ἀντικειμένην ἀνάγομεν τὴν ἐνδέχεται μηδενί. ὅλον γὰρ δεῖ δεῖξαι πρὸς ἑαυτὸ τὸ ἐνδεχόμενον ἀντιστρέφον, τουτέστι τὴν ὅλην πρότασιν πρὸς ὅλην ἑαυτὴν καὶ οὐ πρὸς τὸ ἥμισυ. ἀλλὰ μὴν τῇ ἀνάγκη μὴ παντὶ ὑποτεθείσῃ οὐδὲν ἀδύνατον ἀκολουθεῖ· τὴν γὰρ ἀρχὴν οὐδὲ ἀντιστρέφει. δῆλον ἄρα ὅτι οὐκ ἔστι χρησαμένοις τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δεῖξαι τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην πρὸς ἑαυτὴν ἀντιστρέφουσαν. καὶ ἡ μὲν ἔννοια αὕτη. δεῖ δὲ σαφηνίσαι τὴν λέξιν. φησὶν οὖν ὅτι κακῶς ὑποθέμενοι τὸ ἐξ ἀνάγκης τινὶ μόνον ἀντὶ τοῦ οὐκ ἐνδέχεται μηδενί, τούτῳ μόνῳ τὸ ἀδύνατον ἐδείξατε ἀκολουθοῦν. τὸ γὰρ οὐκ ἐνδέχεται μηδενὶ δύο περιέχει, τὸ ἀνάγκη τινί, καὶ τὸ ἀνάγκη μὴ παντί. ἔδει οὖν ὑποθεμένους τὸ ἀνάγκη τινί, ὑποθέσθαι καὶ τὸ ἀνάγκη μὴ παντί. Τὸ γὰρ ἐξ ἀνάγκης φησὶ τινὶ τῷ α μὴ ὑπάρχον οὐκ ἀληθὲς εἰπεῖν ὡς παντὶ ἐνδέχεται μὴ ὑπάρχειν· ὥσπερ οὐδὲ τὸ τινὶ ὑπάρχον ἐξ ἀνάγκης ὅτι παντὶ ἐνδέχεται ὑπάρχειν. Ἐξ ἀναλογίας πῶς δείκνυσιν ὅτι ἐν τῇ οὐκ ἐνδέχεται μηδενί, οὐ μόνον ἡ ἀνάγκη τινὶ περιέχεται, ἀλλὰ καὶ ἡ ἀνάγκη μὴ παντί. ὥσπερ φησὶν ἡ ἀνάγκη τινὶ οὐ περιέχεται ἐν τῇ ἐνδέχεται παντί, ἐπειδὴ ὃ ἐνδέχεται παντί, τοῦτο ἐνδέχεται μηδενί· καὶ ἐπειδὴ ἐν ταύτῃ οὐ περιέχεται, πᾶσα ἀνάγκη ἐν τῇ ἀντιφατικῇ αὐτῇ ἀντικειμένῃ περιέχεσθαι τῇ οὐκ ἐνδέχεσθαι παντί. οὕτω δὴ καὶ ἡ ἀνάγκη μὴ παντὶ ἐπειδὴ μὴ περιέχεται ἐν τῇ ἐνδέχεται μηδενί· ὃ γὰρ ἐνδέχεται μηδενί, ἐνδέχεται παντί· ὃ δὲ ἐνδέχεται παντί, οὐκ ἀληθὲς εἰπεῖν ὡς ἀνάγκη μὴ παντί. εἰ τοίνυν μὴ περιέχεται ἐν τῇ ἐνδέχεται μηδενὶ τὸ ἀνάγκη μὴ παντί, πᾶσα ἀνάγκη ἐν τῷ οὐκ ἐνδέχεται μηδενὶ αὐτὸ περιέχεσθαι. δῆλον ἄρα ὅτι ἡ οὐκ ἐνδέχεται μηδενί, τὸ ἀνάγκη τινὶ καὶ τὸ ἀνάγκη μὴ παντὶ περιέχει. Ἰστέον δὲ ὅτι ἀντὶ τοῦ εἰπεῖν ὅτι οὐκ ἀληθὲς εἰπεῖν ὡς ἐνδέχεται μηδενὶ ὑπάρχειν, εἶπεν ὡς μὴ παντὶ ἐνδέχεται ὑπάρχειν. ἔστι δὲ ἓν καὶ ταὐτό. ὃ γὰρ παντὶ ἐνδέχεται μὴ ὑπάρχειν, ἐνδέχεται μηδενὶ ὑπάρχειν.

» ΕΙ οὖν τις ἀξιοίη, ἐπεὶ οὐκ ἐνδέχεται τὸ γ τῷ δ παντὶ ὑπάρχειν, ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν αὐτό, ψεῦδος ἂν λαμβάνοιτο. παντὶ γὰρ ὑπάρχει εἰ τύχοι. ἀλλ' ὅτι ἐνίοις ἐξ ἀνάγκης ὑπάρχει, διὰ τοῦτό φαμεν, οὐ παντὶ ἐνδέχεσθαι. ὥστε τῷ ἐνδέχεσθαι παντὶ ὑπάρχειν, τό τ' ἐξ ἀνάγκης τινὶ ὑπάρχειν ἀντίκειται καὶ τὸ ἐξ ἀνάγκης τινὶ μὴ ὑπάρχειν. ὁμοίως δὲ καὶ τῷ ἐνδέχεσθαι μηδενί.

Ὃ λέγει τοῦτό ἐστιν. ὥσπερ φησὶν εἴ τις ἀξιώσειεν ἀντιστρέφειν πρὸς ἑαυτὴν τὴν καθόλου καταφατικὴν καὶ λέγει οὕτως· ἐπεὶ τὸ δ παντὶ τῷ γ ἐνδέχεται ὑπάρχειν, καὶ τὸ γ παντὶ τῷ δ ἐνδέχεται ὑπάρχειν. εἶτα τοῦτο ἐγχειροίη κατασκευάζειν οὕτως· εἰ γὰρ ψεῦδος τὸ παντὶ τὸ γ τῷ δ ἐνδέχεσθαι ὑπάρχειν, ἀληθὲς ἄρα τὸ οὐκ ἐνδέχεται παντὶ τῷ δ τὸ γ. εἶτα ἀντὶ τούτου παραλάβοι τὸ ἀνάγκη μὴ παντί μόνον, κακῶς ποιεῖ. διότι ἐνδέχεται ἐπί τινων ὅρων τὸ γ τῷ δ παντὶ ὑπάρχειν· οὕτω δὲ παντὶ ὑπάρχειν ὡς τισὶ μὲν ἐξ ἀνάγκης ὑπάρχειν, τισὶ δὲ ὑπαρχόντως. καὶ διὰ τοῦτο συμβαίνει διὰ τὸ μὴ πᾶσιν ἐξ ἀνάγκης ὑπάρχειν, ἀληθεύειν τὸ ἀνάγκη μὴ παντὶ τῷ δ τὸ γ. διότι δὲ πάλιν καί τισιν ἐξ ἀνάγκης ὑπάρχει, ἀληθεύειν τὸ ἀνάγκη τινί. οἷον ἔστω κινούμενον καὶ σῶμα. λέγοι οὕτως· κινούμενον παντὶ σώ-

ἄχρι αὐ τοῦ πρώτου σχήματος κατὰ τὰ συμπτώματα. οὕτως ἔχουσι καὶ ἐν δευτέρῳ.

» ΠΡΩΤΟΝ οὖν δεικτέον ὅτι οὐκ ἀντιστρέφει τὸ ἐν τῷ ἐνδέχεσθαι στερητικόν. οἷον εἰ τὸ α ἐνδέ-
» χεται μηδενὶ τῷ β, οὐκ ἀνάγκη καὶ τὸ β μηδενὶ τῷ α ἐνδέχεσθαι. κείσθω γὰρ τοῦτο. καὶ ἐνδεχέσθω τὸ
» β μηδενὶ τῷ α ὑπάρχειν.

Ἐνταῦθα δείκνυσι τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην, μὴ ἀντιστρέφουσαν πρὸς ἑαυτήν. δείκνυσι δὲ αὐτὴν διὰ τριῶν ἐπιχειρημάτων. πρῶτον μὲν ἐπ' αὐτῶν τῶν προτάσεων διὰ τῶν καθόλου ἐνθυμήσασθαι τὸν λόγον ὅτι τοῦτο ἀδύνατον εἶναι. ἔπειτα δὲ διὰ τῆς τῶν ὅρων παραθέσεως. παραδειγματικῶς δὲ ἡ τοιαύτη πίστις. καὶ τρίτον ὅτι οὐδ' ὥς τις ὑπολάβοι οὐδὲ διὰ τῆς τοῦ ἀδυνάτου δείξεως δύναται πιστοῦσθαι. ὅτι πρὸς ἑαυτὴν ἀντιστρέφει ἡ τοῦ ἐνδεχομένου καθόλου ἀποφατική. πρῶτον οὖν ἐπ' αὐτῶν τῶν προτάσεων δείκνυσιν οὕτως. οὐκ ἐπειδή τὸ α φησὶν ἐνδέχεται μηδενὶ τῶν β, δύναται ἀντιστρέψαντα εἰπεῖν ὅτι καὶ τὸ β ἐνδέχεται μηδενὶ τῶν α. εἰ γὰρ δυνατόν, ὑποκείσθω ἀντιστρέφειν καὶ τὸ α μηδενὶ τῶν β ἐνδεχομένως. καὶ τὸ β μηδενὶ ἐνδεχέσθω τῶν α. εἰ τοίνυν μηδενὶ τῶν α τῷ β ἐνδέχεται, καὶ παντὶ ἄρα ἐνδέχεται. δέδεικται γὰρ πρὸ τούτου ὅτι πᾶσαι αἱ τοῦ ἐνδεχομένου προτάσεις πρὸς ἑαυτὰς ἀντιστρέφουσι λέγω δὲ αἱ ἀποφατικαὶ πρὸς τὰς καταφατικὰς καὶ ἔμπαλιν. ἐνταῦθα γὰρ περὶ τῆς ἐν ὅροις, τουτέστι τῆς ἁπλῆς ἀντιστροφῆς ἡμῖν ὁ λόγος. εἰ τοίνυν μηδενὶ τῶν α ἐνδέχεται τὸ β ὑπάρχειν, καὶ παντὶ ἄρα ἐνδέχεται. πάλιν εἰ τὸ α οὐδενὶ τῶν β ἐνδέχεται. τοῦτο γὰρ ὑπόκειται ἐξ ἀρχῆς διὰ τὴν αὐτὴν αἰτίαν ἣν εἴπομεν. καὶ παντὶ τῷ β τὸ α ἐνδέχεται. ὥστε συνάγεται ἐκ τούτων ἔπει τὸ β παντὶ τῷ α ἐνδέχεται. καὶ τὸ α παντὶ τῷ β ἐνδέχεσθαι. ἡ ἄρα καθόλου καταφατικὴ ἐνδεχομένη ἀντιστρέφει πρὸς ἑαυτήν. ὅπερ ἀδύνατον. ἐν οὐδενὶ γὰρ τρόπῳ ἡ καθόλου καταφατικὴ ἀντιστρέφει πρὸς ἑαυτήν. ὥστε ἐνταῦθα μὲν τῇ δι' ἀδυνάτου δείξει μὴ δυναμένην ἀντιστρέφειν πρὸς ἑαυτὴν τὴν καθόλου ἀποφατικὴν δείκνυσιν. ἐν δὲ τῇ δευτέρᾳ δείξει οὐχ ἁπλῶς διὰ τοῦ ἀδυνάτου τοῦτο δείκνυσιν, ἀλλὰ τὴν διὰ τοῦ ἀδυνάτου δεῖξιν. δι' ἧς ἄν τις ὑπέλαβε δεικνύναι τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην τοῖς ὅροις ἀντιστρέφειν πρὸς ἑαυτὴν ψευδῆ οὖσαν ἐλέγχει.

» ΟΥΚΟΥΝ ἐπεὶ ἀντιστρέφουσιν αἱ ἐν τῷ ἐνδέχεσθαι καταφάσεις ταῖς ἀποφάσεσι καὶ αἱ
» ἐναντίαι καὶ αἱ ἀντικείμεναι, τὸ δὲ β τῷ α ἐνδέχεται μηδενὶ ὑπάρχειν φανερὸν ὅτι καὶ παντὶ ἐνδέ-
» χοιτο ἂν τὸ β τῷ α ὑπάρχειν. τοῦτο δὲ ψεῦδος. οὐ γὰρ εἰ τόδε τῷδε παντὶ ἐνδέχεται καὶ τόδε παντὶ
» τῷδε ἐνδέχεται, ἀναγκαῖον. ὥστ' οὐκ ἀντιστρέφει τὸ στερητικόν.

Ἐναντίας μέν φησι τήν τε πᾶς καὶ τὴν οὐδείς. καὶ τὴν τὶς καὶ τὴν οὐ πᾶς. ἀντικειμένας δὲ τήν τε οὐδεὶς καὶ τὴν τὶς. καὶ τὴν πᾶς καὶ τὴν οὐ πᾶς. ἀντιστρέφουσιν οὖν αὗται πρὸς ἀλλήλας ἥτε οὐδεὶς πρὸς τὴν οὐ πᾶς. καὶ ἀνάπαλιν. καὶ ἡ τὶς πρὸς τὴν οὐ πᾶς. οὕτω μὲν οὖν αἱ ἐναντίαι. ἀλλὰ δὴ καὶ αἱ ἀντικείμεναι. ἀντιστρέφουσι τοῦτον τὸν τρόπον. ἡ μὲν πᾶς πρὸς τὴν οὐ πᾶς. ἡ δὲ οὐδεὶς πρὸς τὴν τὶς. οὐκέτι δὲ καὶ τὸ ἀνάπαλιν. ἡ τὶς πρὸς τὴν οὐδείς. οὐδὲ γὰρ ἡ οὐ πᾶς πρὸς τὴν πᾶς. εἴρηται γὰρ ἡμῖν ἤδη ἐν τῷ περὶ τούτων λόγῳ ὅτι τὰ μὲν καθόλου ἐπάγει τὰ μερικά. οὐκέτι δὲ καὶ τὰ μερικὰ τὰ καθόλου.

» ΕΤΙ δέ, οὐδὲν κωλύει τὸ μὲν α τῷ β ἐνδέχεσθαι μηδενί. τὸ δὲ β τινὶ τῷ α ἐξ ἀνάγκης μὴ ὑπάρ-
» χειν. οἷον τὸ μὲν λευκὸν παντὶ ἀνθρώπῳ ἐνδέχεται μὴ ὑπάρχειν. καὶ γὰρ ὑπάρχειν. ἄνθρωπον δέ, οὐκ
» ἀληθὲς εἰπεῖν, ὡς ἐνδέχεται μηδενὶ λευκῷ. πολλοῖς γὰρ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ δ' ἀναγκαῖον,
» οὐκ ἦν ἐνδεχόμενον.

Οὗτος ὁ δεύτερος τῆς δείξεως τρόπος ὁ ἐπ' αὐτῶν τῶν ὅρων δεικνὺς ἀδύνατον εἶναι ἀντιστρέφειν πρὸς ἑαυτὴν τὴν ἐνδεχομένην καθόλου ἀποφατικήν. ἔστι δὲ ὡς εἶπον παραδειγματικὴ ἡ δεῖξις. οὐδὲ γάρ φησιν εἰ τὸ α οὐδενὶ τῶν β ἐνδέχεται, καὶ τὸ β οὐδενὶ τῶν α ἐνδέχοιτο ἄν. τοῦτο δὲ ἀδύνατον. τινὶ γὰρ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. οἷον τοῦ α ὄντος λευκοῦ τοῦ δὲ β ἀνθρώπου, τὸ μὲν λευκὸν οὐδενὶ ἀνθρώπῳ ἐνδέχεται. διότι καὶ παντὶ ἐνδέχεται. τοῦτο γὰρ σημαίνει τὸ καὶ γὰρ ὑπάρχει. ἄνθρωπος δὲ οὐκ ἀληθὲς εἰπεῖν ὡς οὐδενὶ λευκῷ ἐνδέχεται. εἰ γὰρ οὐδενὶ ἐνδέχεται καὶ παντὶ ἐνδέχεται ὅπερ ἀδύνατον. τισὶ γὰρ λευκοῖς οὐχ ὑπάρχει. τὸ ἐν κύκνῳ τὸ ἐν χιόνι. ληπτέον δὲ καὶ ἄλλους τοὺς ὅρους λαμβάνοντας κίνησιν καὶ ἄνθρωπον. κίνησιν μὲν γὰρ ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν. ἐπειδὴ καὶ παντί. ἄνθρωπον δὲ ἀδύνατον μηδεμιᾷ κινήσει ὑπάρχειν. εἰ γὰρ ἐνδέχεται μηδεμιᾷ κινήσει ἄνθρωπον, καὶ πάσῃ ἐνδέχεται ὑπάρχειν. τοῦτο δὲ ἀδύνατον. τινὶ γὰρ ἐξ ἀνάγκης οὐχ ὑπάρχει οἷον τῇ κυκλοφορικῇ.

» ΑΛΛΑ μὴν οὐδ' ἐκ τοῦ ἀδυνάτου δειχθήσεται ἀντιστρέφον. οἷον εἴ τις ἀξιώσειεν, ἐπεὶ ψεῦδος
» τὸ ἐνδέχεσθαι μηδενὶ τῷ α τὸ β ὑπάρχειν, ἀληθὲς τὸ μὴ ἐνδέχεσθαι μηδενί. φάσις γὰρ καὶ ἀπόφα-
» σις. εἰ δὲ τοῦτο ἀληθές, καὶ τὸ ἐξ ἀνάγκης τινὶ τῷ α ὑπάρχειν τὸ β. ὥστε καὶ τὸ α τινὶ τῷ β.

Δι' ἧς ἄν τις ὑπονοήσειε δείξεως. λέγω δὲ τῆς διὰ τοῦ ἀδυνάτου τὴν καθόλου ἀποφατικὴν ἐνδεχομένην πρὸς ἑαυτὴν δεῖξαι ἀντιστρέφουσαν πρότασιν. ταύτην αὐτὸς ἐκτίθεται καὶ ἐξελέγχει. ἐκτίθεται οὖν τίνας αὐτὴν τὴν διὰ τὸ ἀδύνατον ἀπαγωγὴν δυνηθῶσι δεικνύναι τὴν ἀποφατικὴν καθόλου ἐνδεχομένην πρὸς ἑαυτὴν ἀντιστρέφουσαν οὕτως. εἰ τὸ α οὐδενὶ τῶν β ἐνδέχεται, λέγω φησὶν ὅτι καὶ τὸ β οὐδενὶ

» ΕΝ δὲ τῷ δευτέρῳ σχήματι ὅταν μὲν ἐνδεχομένας λαμβάνηται ἀμφότεραι αἱ προτάσεις, οὐδεὶς ἔσται συλλογισμός· οὔτε κατηγορικῶν, οὔτε στερητικῶν τιθεμένων, οὔτε καθόλου, οὔτε κατὰ μέρος.

Φ Παραδοὺς ὁ φιλόσοφος τοῦ τε ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου ἰδίᾳ ἑκάστου ἐπὶ τῶν τριῶν σχημάτων τοὺς ἁπλοῦς συλλογισμούς· ἐφεξῆς τούτων ἐξετίθετο τὴν μίξιν ἐπί τε α' καὶ β' καὶ γ' σχήματος· εἶτα μετὰ τοῦτο παραδέδωκεν τοῦ ἐνδεχομένου αὐτοῦ καθ' αὑτὸ ἐν τῷ πρώτῳ σχήματι τοὺς ἁπλοῦς συλλογισμούς. καὶ δέον εὐθέως τὰ λοιπὰ δύο σχήματα τῶν ἁπλῶν συζυγιῶν τοῦ ἐνδεχομένου παραδοῦναι ὥσπερ ἐποίησεν καὶ ἐπὶ τῶν ἄλλων· εἶθ' οὕτως ἐπὶ τὴν μίξιν φανῆναι τοῦ ἐνδεχομένου πρὸς τοὺς ἄλλους δύο τρόπους· οὐχ οὕτως ὁ φιλόσοφος ποιεῖ· ἀλλὰ μετὰ τὸ παραδοῦναι τοῦ ἐνδεχομένου ἐν πρώτῳ σχήματι τὰς ἁπλᾶς συζυγίας, εὐθέως ἐφάπτει ἐπὶ τὴν μίξιν αὐτοῦ τὴν πρὸς τὸ ὑπάρχον καὶ ἀναγκαῖον ἐν πρώτῳ σχήματι· εἶτα λοιπὸν ἐπὶ δευτέρου σχήματος μεταβέβηκεν. τοῦτο δὲ πεποίηκεν, ἐπειδὴ πᾶσαι αἱ ἐν β' σχήματι τοῦ ἐνδεχομένου συζυγίαι ἀσυλλόγιστοί εἰσι. καὶ διὰ τοῦτο ὥσπερ ἀναθεν· οὕτω καὶ νῦν πάσας προτέρας τὰς συλλογιστικὰς παραδούς. λέγω δὲ τὰς ἐν πρώτῳ σχήματι ἁπλᾶς τε καὶ μικτάς· εἶτα οὕτω μεταβὰς ἐπὶ τὸ δεύτερον σχῆμα καὶ δεικνὺς ὡς πᾶσαι ἀσυλλόγιστοί εἰσιν αἱ ἁπλαῖ τοῦ ἐνδεχομένου ἐν τούτῳ προτάσεις. πρὶν δὲ ταύτας ἐκθέσθαι, προλαμβάνει τι λημμάτιον δεικνὺς ὅτι οὐκ ἀντιστρέφει πρὸς ἑαυτὴν τοῦ ἐνδεχομένου ἡ ἀπόφασις ὥσπερ ἐπὶ τῶν ἄλλων τρόπων. ἀλλ' οὐδὲ πρὸς ἄλλην τινά. μεμνήμεθα γὰρ ἡνίκα παρεδίδου τὰς ἀντιστροφὰς τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων· ὅτι ὁμοίως ἑαυταῖς οἱ δύο τρόποι οὗτοι ἀντιστρέφουσιν· ὅτε ἔλεγεν ὅτι αἱ τοῦ ἐνδεχομένου προτάσεις κατὰ μὲν τὰς καταφατικάς, ὁμοίως καὶ αὗται ἀντιστρέφουσιν· κατὰ δὲ τὴν καθόλου ἀποφατικήν, οὐκέτι· οὐ γὰρ πρὸς ἑαυτὴν ἀντιστρέφει ἡ τοῦ ἐνδεχομένου καθόλου ἀπόφασις. τοῦτο δὲ ἔσται φανερὸν ἡνίκα περὶ τοῦ ἐνδεχομένου λέγομεν. ὃ οὖν ἐκεῖ ἐπηγγείλατο, νῦν ἀποδίδωσι. τί τοίνυν φησὶν ἀρχόμενος ὁ φιλόσοφος ἐν τῷ δευτέρῳ σχήματι ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων οὐσῶν· κἄν τε καθόλου ὦσι κἄν τε μερικαί· εἴτε προσδιωρισμέναι, εἴτε ἀπροσδιόριστοι. καὶ αὗται εἴτε καταφατικαί, εἴτε ἀποφατικαί, εἴτε ἀνομοιοσχήμονες· οὐδαμῶς γίνεται συλλογισμός. καὶ ἡ αἰτία δήλη· ἐπειδὴ γὰρ ἐν δευτέρῳ σχήματι ἀνομοιοσχήμονας θέλουσιν εἶναι αἱ συλλογιστικαὶ προτάσεις· ἐάν τε ὁμοιοσχήμονας αὐτὰς λάβωμεν, δι' αὐτὸ τοῦτο ἀσυλλόγιστοι ἔσονται· ἐάν τε ἀνομοιοσχήμονας· ἐπειδὴ δυνατὸν τὴν ἀποφατικὴν εἰς καταφατικὴν μεταλαβεῖν. καὶ πάλιν διὰ τοῦτο γίνονται ὁμοιοσχήμονες· διὰ τοῦτο ὅλως οὐ γίνεται ἐν δευτέρῳ σχήματι ἐξ ἀμφοτέρων ἐνδεχομένων τῶν προτάσεων συλλογισμός.

» ὍΤΑΝ δὲ ἡ μὲν ὑπάρχειν, ἡ δὲ ἐνδέχεσθαι σημαίνῃ, τῆς μὲν καταφατικῆς ὑπάρχειν σημαινούσης, οὐδέποτε ἔσται· τῆς δὲ στερητικῆς τῆς καθόλου, ἀεί.

Φ Φροιμιασάμενος καὶ πρὸ τῆς δείξεως προαναφωνήσας ὅτι αἱ ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι πᾶσαι ἀσυλλόγιστοί εἰσι· νῦν φησι περὶ τῶν ἐχουσῶν τὴν μίαν ἐνδεχομένην τὴν δὲ ἑτέραν ὑπάρχουσαν. καὶ συντόμως διαιρεῖ τάς συλλογιστικάς τε καὶ τὰς ἀσυλλογίστους ταύτῃ. ὅσαι φησὶ τὴν καταφατικὴν πρότασιν ὑπάρχουσαν ἔχουσιν· αὗται πᾶσαι ἀσυλλόγιστοί εἰσι· κἄν γὰρ ἀποφατικὴ εἴη ἡ ἐνδεχομένη· διὰ τὸ πάλιν μεταλαμβάνεσθαι τὴν ἀποφατικὴν τοῦ ἐνδεχομένου εἰς τὴν καταφατικήν· καὶ πάλιν ὁμοιοσχήμονας γίνεσθαι τὰς προτάσεις ἀσυλλόγιστοι αἱ τοιαῦται συζυγίαι. ὅσαι δὲ ἀποφατικὴν ὑπάρχουσαν ἔχουσι, τῆς ἐνδεχομένης ὡς ἔτυχεν ἐχούσης εἴτε ἀποφατικῶς, εἴτε καταφατικῶς πάντως γίνεται συλλογιστικὴ ἡ συζυγία· μένει γὰρ ἡ συζυγία τοιαῦτα· ἀνομοιοσχήμονας ἔχουσα τὰς προτάσεις· διὰ τὸ μήτε τὴν ἀποφατικὴν ὑπάρχουσαν μεταληφθῆναι δύνασθαι εἰς καταφατικήν· μήτε τὴν ἐνδεχομένην ἀποφατικὴν εἰς τὴν καταφατικὴν κατὰ τὰ ἀριστοτέλει δοκοῦντα· ἀλλὰ κἂν ἀποφατικὴ εἴη ἡ ἐνδεχομένη δύνασθαι ταύτην εἰς καταφατικὴν μεταληφθῆναι καὶ ποιεῖν ἀνομοιοσχήμονα τὴν συζυγίαν. δεῖ δὲ τὴν ἀποφατικὴν ὑπάρχουσαν καθόλου εἶναι διὰ τὸ ἀντιστρέφειν πρὸς ἑαυτήν. εἰ γὰρ μερικὴ εἴη, οὐ πάντως ποιεῖ συλλογισμόν· ὡς μαθησόμεθα ἐν τῷ τόπῳ.

» ΤΟΝ αὐτὸν δὲ τρόπον καὶ ὅταν ἡ μὲν, ἐξ ἀνάγκης, ἡ δὲ, ἐνδέχεσθαι λαμβάνηται τῶν προτάσεων. ὅσα γὰρ ἐπὶ τοῦ ὑπάρχοντος καὶ ἐνδεχομένου εἴρηται, ταῦτα καὶ ἐπὶ τούτων ῥηθήσεται. δεῖ δὲ καὶ ἐν τούτοις λαμβάνειν τὸ ἐν τοῖς συμπεράσμασιν ἐνδεχόμενον, ὥσπερ καὶ ἐν τοῖς πρότερον.

Τ Τὰ συμπεράσματά φησι τὰ συναγόμενα ἐν β' σχήματι· ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου πρὸς τὸ ὑπάρχον καὶ τὸ ἀναγκαῖον ἐνδεχόμενα ὄντα· τοιούτου ἐνδεχομένου δεῖ λαμβάνειν ὄντα· οἷον ἦν καὶ τὸ ἐν πρώτῳ σχήματι, ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοὺς ἄλλους δύο τρόπους· δῆλον ὅτι τῶν συζυγιῶν ὁμοίως ἐχουσῶν ἐκείναις τῶν ἐνταῦθα· οἷον ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος· τῆς μείζονος οὔσης ἀποφατικῆς ὑπαρχούσης· τῆς δὲ ἐλάττονος ἐνδεχομένης καταφατικῆς. ὥσπερ καὶ ἐπὶ τοῦ πρώτου σχήματος τὸ οὐδενὶ ἐξ ἀνάγκης δεῖ λαμβάνειν τὸ συναγόμενον ἐπεί ἐστι τὸ ἥμισυ τοῦ ἐνδεχομένου· ἐπὶ δὲ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου ὁμοίως ἐχούσης πάλιν τῆς συζυγίας τὸ ἐνδέχεται μηδενὶ τὸ τοῦ μὴ ὑπάρχοντος κατηγορουμένου. καὶ ἐπὶ τῶν ἄλλων συζυγιῶν ὥσπερ

κῷ ἐξ ἀνάγκης ὑπάρχειν οἷον τῷ ἐν χιόνι. οὕτω μὲν οὖν δέδεικται ὅτι δυνατὸν τὴν μείζονα πρότασιν μερικὴν οὖσαν λαβεῖν ἀναγκαίαν καταφατικήν τε καὶ ἀποφατικήν. ὡσαύτως δὲ καὶ τὴν ἐλάττονα δείξομεν. λέγομεν γὰρ τὸ λευκὸν τινὶ ἀνθρώπῳ. οἷον τῷ σκύθῃ. ἀψύχῳ ἐξ ἀνάγκης ὑπάρχειν οἷον χιόνι. καὶ ἐξ ἀνάγκης μὴ παντὶ ἀψύχῳ ὑπάρχειν. οὐδὲ γὰρ τῷ ἐβένῳ. οὕτω μὲν οὖν ἀμφοτέρας ἀναγκαίας ἐστὶ λαβεῖν καταφατικάς τε καὶ ἀποφατικάς. ὡσαύτως δὲ καὶ ἐνδεχομένας δυνατὸν λαβεῖν. ζῷον γὰρ τινὶ λευκῷ ἐνδέχεται οἷον τῷ ἐν σωκράτει. καὶ οὐ παντὶ ἐνδέχεται. οὐδὲ γὰρ τῷ ἐν ψιμμυθίῳ. καὶ πάλιν λευκὸν τινὶ ἀψύχῳ ἐνδέχεται οἷον λίθῳ. καὶ τινὶ οὐκ ἐνδέχεται, οὐδὲ γὰρ ἐβένῳ, ἢ ἀνθρώπῳ ἐνδέχεται τινί. καὶ οὐκ ἐνδέχεται. σωκράτει τε καὶ αἰθίοπι. ὥστε ὅπως ἂν ληφθῶσιν αἱ προτάσεις αὗται, ἀσυλλόγιστοί εἰσι. καὶ οὐκ ἐνδέχεται ὑπάρχειν. ἀντὶ τοῦ οὐκ ἀνάγκη ὑπάρχειν.

ΦΑΝΕΡΟΝ οὖν ἐκ τῶν εἰρημένων ὅτι ὁμοίως ἐχόντων τῶν ὅρων ἔν τε τῷ ὑπάρχειν καὶ ἐν τοῖς ἀναγκαίοις, γίνεται καὶ οὐ γίνεται συλλογισμός.

Τοῦτο συμπέρασμά ἐστι κοινὸν τῶν προειρημένων μίξεων τοῦ ἐνδεχομένου λέγω πρὸς τὸ ὑπάρχον καὶ τὸ ἀναγκαῖον. παραδίδωσι δὲ ἐκ τῶν εἰρημένων συμπερασμάτων. καὶ τὸ κοινὸν ἀμφοτέρων ταύταις ταῖς μίξεσι πρὸς ἀλλήλας. καὶ τί τὸ διάφορον. κοινὸν οὖν φησιν αὐταῖς ὅτι ὁμοίως ἐπ' ἀμφοτέρων ἐχουσῶν τῶν προτάσεων κατά τε τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸν τρόπον. ἢ συλλογιστικαί εἰσιν. ἢ ἀσυλλόγιστοι. καὶ τὰ αὐτὰ συνάγεται συμπεράσματα ὁμοίως ἐχουσῶν τῶν συζυγιῶν. ἢ γὰρ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου. ἢ ἄλλου τινός. εἰπὼν οὖν τὴν κοινωνίαν ἐπάγει καὶ τὴν διαφοράν.

ΠΛΗΝ κατὰ μὲν τὸ ὑπάρχειν τιθεμένης τῆς στερητικῆς προτάσεως τοῦ ἐνδέχεσθαι ἦν ὁ συλλογισμός. κατὰ δὲ τὸ ἀναγκαῖον τῆς στερητικῆς, καὶ τοῦ ἐνδέχεσθαι καὶ τοῦ μὴ ὑπάρχειν.

Αὕτη φησὶν ἡ διαφορὰ τῶν δύο τούτων μίξεων. ὅτι ἐπὶ μὲν τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου ἐπὶ τῶν ἀνομοιοσχημόνων προτάσεων. ἐὰν ἡ μείζων ᾖ ὑπάρχουσα δηλονότι ἀποφατικὴ οὖσα. ἡ δὲ ἐλάττων καταφατικὴ ἐνδεχομένη, τὸ συμπέρασμα ἐνδεχόμενον συνάγεται. ἐπὶ δὲ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου ὁμοίως πάλιν ἐχουσῶν τῶν προτάσεων τῆς μείζονος ἀναγκαίας ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καταφατικῆς ἐνδεχομένης, τοῦ μὴ ὑπάρχειν συνάγεται συμπέρασμα. καὶ τοῦ μὴ ἐνδέχεσθαι ὑπάρχειν. τὸ κατὰ τοῦ ὑπάρχοντος δῆλον ὅτι κατηγορούμενον. ταῦτα μὲν οὖν οὕτω λέγεται παρ' αὐτοῦ. Ἐπιστῆσαι δὲ χρή. πῶς φησιν ἐνδεχόμενον ἦν τὸ συμπέρασμα ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου ἡνίκα ἡ μείζων ἀποφατικὴ ἦν ὑπάρχουσα. ἡ δὲ ἐλάττων καταφατικὴ ἐνδεχομένη. καίτοι ἀνωτέρω εἶπεν ὅτι ἐπὶ τῆς τοιαύτης μίξεως κατ' αὐτὴν τὴν συζυγίαν οὐ συνάγεται τὸ ἐνδεχόμενον ἀλλὰ τὸ μηδενὶ ἐξ ἀνάγκης. λέγομεν οὖν, ὅπερ κἀκεῖ εἰρήκαμεν. ὅτι τὸ οὐδενὶ ἐξ ἀνάγκης περιεκτικόν ἐστι τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου. ἐπειδὴ οὖν τὸ οὐδενὶ ἐξ ἀνάγκης κατά τι ἐστὶν ἐνδεχόμενον, εἰ καὶ μὴ τὸ κατὰ τὸν διορισμόν. διὰ τοῦτό φησιν ὅτι τοῦ ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα. συνάγεται δὲ τὸ ὑπάρχον ἐπὶ τῆς εἰρημένης συζυγίας τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ ἀναγκαίου. ἐπειδὴ κεχρημένος ἐπὶ ταύτης τῇ εἰς ἀδύνατον ἀπαγωγῇ δι' ἧς ἐβούλετο δεῖξαι ὑπάρχον συναγόμενον τὸ συμπέρασμα. μετέπεσεν εἰς τὴν μίξιν τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου. ἐν ᾗ ἐβούλετο τῇ μείζονι τῶν προτάσεων ἀκολουθεῖν τὸ συμπέρασμα. καὶ ἐκ ταύτης δεῖξαί τι ἀδύνατον συναγόμενον τὸ τὸ β΄ τῷ γ΄ καὶ ἀνάγκη μηδενὶ ἐνδέχεσθαι παντί. ὅπερ ἀδύνατον. ἐπεὶ δὲ μὴ τῇ μείζονι ἀκολουθήσει τὸ συμπέρασμα ἀλλὰ τῇ χείρονι, οὐδὲν ἀδύνατον ἠκολούθησε. συνάγεται γὰρ τὸ β΄ τῷ γ΄ καὶ ὑπάρχειν μὴ παντὶ καὶ ἐνδέχεσθαι παντί. καὶ οὐδὲν ἀδύνατον. οἱ μέντοι περὶ θεόφραστον καὶ ἐπὶ ταύτης τῆς συζυγίας ἐνδεχόμενον λέγουσιν εἶναι τὸ συμπέρασμα. ἵνα καὶ ἐνταῦθα τῇ χείρονι τῶν προτάσεων ἕπηται τὸ συμπέρασμα. καὶ τοῦτο δεικνῦσιν εἰς τὴν ἀδύνατον ἀπαγωγήν, οὕτως. ἔστωσαν γὰρ αἱ προτάσεις οὕτως ὡς εἴπομεν. λέγω ὅτι συνάγουσι τὸ ά τῷ γ΄ ἐνδέχεται μηδενί. εἰ γὰρ τοῦτο ψεῦδος ἔσται ἀληθὲς τὸ οὐκ ἐνδέχεται μηδενὶ ὅπερ ταὐτόν ἐστι τῷ ἀνάγκη τινί. ἐπεὶ οὖν ἀντιστρέφει ἡ μερικὴ καταφατική. καὶ τὸ γ΄ ἄρα τινὶ τῶν ά ἐξ ἀνάγκης ὑπάρχει. ἀλλὰ τοίνυν τὸ μὲν β΄ κεῖται ἐνδέχεσθαι παντὶ τῷ γ΄. τὸ δὲ γ΄ τινὶ τῶν ά ἐξ ἀνάγκης ὑπάρχειν ὑπόκειται. τὸ ἄρα β΄ τινὶ ἐνδέχεται τῶν ά. ἐπεὶ τοίνυν ὑπέκειτο ἐξ ἀρχῆς τὸ ά τῷ β΄ ἐξ ἀνάγκης μηδενί. καὶ τὸ β΄ ἄρα τῷ ά ἐξ ἀνάγκης οὐδενί. ὑπέκειτο δὲ καὶ ἐνδέχεσθαι τινὶ ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ ά τῷ γ΄ οὐκ ἐνδέχεσθαι μηδενὶ ὅπερ ἐστὶ ταὐτὸν τῷ ἀνάγκη τινί. ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ ἐνδέχεται μηδενί. τοῦτο ἄρα ἐστὶ τὸ συναγόμενον. ἔστι δὲ καὶ ἄλλως δεῖξαι τὸ ἀδύνατον. εἰ γὰρ τὸ ά τῷ β΄ ἐξ ἀνάγκης μηδενί. καὶ τὸ β΄ τῷ ά ἐξ ἀνάγκης οὐδενί. τὸ δὲ β΄ τῷ γ΄ ἀνάγκη τινί. τὸ ἄρα β΄ τῷ γ΄ ἀνάγκη μὴ παντί. ἦν δὲ καὶ ἐνδέχεται παντί, ὅπερ ἀδύνατον.

ΔΗΛΟΝ δὲ καὶ ὅτι πάντες ἀτελεῖς οἱ συλλογισμοί. καὶ ὅτι τελειοῦνται διὰ τῶν προειρημένων σχημάτων.

Οὐ γὰρ πάντες ἁπλῶς ἀτελεῖς, ἀλλ' ὅσοι ἔχουσι τὴν ἐλάττονα ἐνδεχομένην. τελειοῦνται δὲ πάντες. τῇ εἰς τὸ ά σχῆμα ἀναγωγῇ. ἢ τῶν ἁπλῶς συλλογισμῶν ἢ τῶν μικτῶν. διὰ τοῦτο γὰρ εἶπε σχημάτων καὶ οὐχὶ σχήματος.

» ΟΤΑΝ δὲ τὸ ἐν μέρει καταφατικὸν ἀναγκαῖον ᾖ τὸ ἐν τῷ στερητικῷ συλλογισμῷ· οἷον τὸ β γ·
» ἢ τὸ καθόλου τὸ ἐν τῷ κατηγορικῷ· οἷον τὸ α β, οὐκ ἔσται τοῦ ὑπάρχειν συλλογισμός· ἀπόδειξις δ' ἡ αὐτὴ ἥ
» καὶ ἐπὶ τῶν προτέρων.

Εἰρηκὼς τὰς τῶν μερικῶν τὰς τὸ ὑπάρχειν συναγούσας συζυγίας, νῦν περὶ τῶν τὸ ἐνδεχόμενον συναγουσῶν διαλέγεται. τί οὖν φησιν ὅτι ὁπηνίκα ἐπὶ τῶν ἀντιφατικῶν συλλογισμῶν ἡ ἐλάττων πρότασις καταφατικὴ οὖσα ἀναγκαία ᾖ, τῆς μείζονος δηλονότι ἐνδεχομένης οὔσης καθόλου ἀποφατικῆς, οὐχ ὑπάρχον ἀλλ' ἐνδεχόμενον συνάγεται τὸ συμπέρασμα. δείκνυται δὲ καθάπερ καὶ ἡ καθόλου συζυγία, καὶ ἡ ὁμοίως αὐτῇ ἔχουσα τῇ ἐπ' εὐθείας δείξει· διὰ μόνου τοῦ κατὰ παντὸς καὶ τοῦ κατὰ μηδενός. ἐπεὶ γὰρ τὸ α τῷ β ἐνδέχεται μηδενί· πάντων ἅμα τῶν μερῶν αὐτοῦ ἐνδεχομένως κεχώρισται. ἓν δὲ τῶν μερῶν τοῦ β ἐπὶ τῶν γ ἐστί· τὸ ἄρα α τινὶ τῶν γ ἐνδεχομένως οὐχ ὑπάρχει. ὁμοίως δέ φησι καὶ ἐπὶ τοῦ κατηγορικοῦ συλλογισμοῦ. τουτέστι τοῦ ἐξ ἀμφοτέρων καταφατικῶν τῶν προτάσεων. εἰ καὶ ἡ καθολικὴ πρότασις ἀναγκαία ᾖ, τουτέστιν ἡ μείζων, οὐχ ὑπάρχον πάλιν, ἀλλ' ἐνδεχόμενον ἔσται τὸ συμπέρασμα. τοῦτο δὲ διὰ τοῦ ἀδυνάτου δείκνυται ὥσπερ καὶ ἐπὶ τῆς καθόλου συζυγίας τῆς ὁμοίως αὐτῇ ἐχούσης. ἔστω γὰρ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης. τὸ δὲ β τινὶ τῶν γ ἐνδεχομένως, συνάγεταί φησιν ὅτι τὸ α τινὶ τῶν γ ἐνδεχομένως. εἰ γὰρ τοῦτο ψεῦδος, ἔσται τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθές, τὸ οὐκ ἐνδέχεταί τινι, ὅπερ ταὐτόν ἐστι τῷ ἀνάγκη μηδενί. ἐπεὶ οὖν τὸ α τῷ μὲν γ ἐξ ἀνάγκης οὐδενί, τῷ δὲ β παντὶ ὑπάρχει, γίνεται τὸ δεύτερον σχῆμα ἐξ ἀμφοτέρων ἀναγκαίων τῆς μείζονος ἀποφατικῆς. καὶ συνάγεται τὸ β ἐξ ἀνάγκης οὐδενὶ τῷ γ. ἦν δὲ καὶ ἐνδέχεται τινὶ, ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ὅτι τὸ α τῷ γ οὐκ ἐνδέχεται τινί. οὐκοῦν ψεῦδος τοῦτο· ἀληθὲς δὲ τὸ ἐνδέχεται τινὶ ὅπερ ἔδει δεῖξαι. φανερὸν δὲ ὅτι καὶ ἐνταῦθα δυνατὸν λέγειν ὅτι τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγεται.

» ΕΑΝ δὲ τὸ μὲν καθόλου τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον ἢ καταφατικὸν ἢ στερητικὸν ἢ ἐνδεχόμε-
» νον, τὸ δ' ἐν μέρει ἀναγκαῖον πρὸς τῷ μείζονι ἄκρῳ οὐκ ἔσται συλλογισμός· ὅροι δὲ τοῦ ὑπάρχειν ἐξ ἀνάγ-
» κης, ζῷον, λευκόν, ἄνθρωπος· τοῦ δὲ μὴ ἐνδέχεσθαι, ζῷον, λευκόν, ἱμάτιον.

Ἐκθέμενος τὰς συζυγίας τὰς ἐκ τῆς ἑτέρας καθόλου, τῆς δὲ ἑτέρας μερικῆς, τὰς ἐχούσας τὴν μείζονα καθόλου, καὶ δείξας ποῖαι μὲν ἐν ταύταις συλλογιστικαὶ ποῖαι δὲ ἀσυλλόγιστοι, νῦν τὰς ἐναντίας ἐχούσας κατὰ τὸ ποιὸν ἐκτίθεται. λέγω δὴ τὴν μὲν μείζονα μερικὴν τὴν δὲ ἐλάττονα καθόλου. καὶ πάσας φησὶ ταύτας ἀσυλλογίστους εἶναι. ἀπόλεσε γὰρ ἡ μείζων τὸ ἴδιον τοῦ πρώτου σχήματος. λέγω δὴ τὸ καθόλου. τὸ δὲ ἢ ἐνδεχόμενον, ἀντὶ τοῦ καὶ ἐνδεχόμενον. πρώτας γὰρ ἐξέθετο ἀσυλλογίστους τὰς ἐχούσας τὴν ἐλάττονα ἐνδεχομένην. συνάγουσιν αὗται καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. τὸ γὰρ ζῷον ἀνθρώπῳ μὲν παντὶ ἐξ ἀνάγκης, ἱματίῳ δὲ οὐδενί. ἐλήφθωσαν δὲ πάλιν καὶ ἄλλοι οἱ ὅροι. ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης. λευκὸν ἐνδέχεται μηδενὶ ἵππῳ ἢ παντί. καὶ ζῷον ἐξ ἀνάγκης παντὶ ἵππῳ. τοῦ δὲ μηδενί· ἀντὶ τοῦ ἵππου λάβωμεν ἱμάτιον. ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης. λευκὸν ἐνδέχεται μηδενὶ ἢ παντὶ ἱματίῳ εἶναι. καὶ ζῷον ἐξ ἀνάγκης οὐδενὶ ἱματίῳ.

» ΟΤΑΝ δὲ ἀναγκαῖον ᾖ τὸ καθόλου, τὸ δ' ἐν μέρει ἐνδεχόμενον, στερητικοῦ μὲν ὄντος τοῦ κα-
» θόλου, τοῦ μὲν ὑπάρχειν ὅροι ζῷον, λευκόν, κόραξ· τοῦ δὲ μὴ ὑπάρχειν, ζῷον, λευκόν, πίττα. κατα-
» φατικοῦ δὲ τοῦ μὲν ὑπάρχειν, ζῷον, λευκόν, κύκνος· τοῦ δὲ μὴ ἐνδέχεσθαι, ζῷον, λευκόν, χιών.

Ἀμείβει διὰ τούτων τὴν τάξιν τῶν τρόπων. τῇ μὲν ἐλάττονι διδοὺς τὸ ἀναγκαῖον. τῇ δὲ μείζονι τὸ ἐνδεχόμενον. αὗται γὰρ πᾶσαι ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιόν, πᾶσαί εἰσιν ἀσυλλόγιστοι. συνάγουσι γὰρ πᾶσαι καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης, διὰ τῶν ὅρων οὓς αὐτὸς ἐκτίθεται.

» ΟΥΔ' ὅταν ἀδιόριστοι ληφθῶσιν αἱ προτάσεις ἢ ἀμφότεραι κατὰ μέρος, οὐδ' οὕτως ἔσται συλλο-
» γισμός· ὅροι δὲ κοινοί· τοῦ μὲν ὑπάρχειν, ζῷον, λευκόν, ἄνθρωπος· τοῦ δὲ μὴ ὑπάρχειν ζῷον, λευκόν,
» ἄψυχον.

Αὗται περιλείπονται ἐν πρώτῳ σχήματι συζυγίαι αἵτινες πᾶσαι ἀσυλλόγιστοί εἰσιν. αἵ τε γὰρ ἐξ ἀμφοτέρων μερικῶν, ἀσυλλόγιστοι τῆς μείζονος οὐκ ἐχούσης τὸ καθόλου. καὶ αἱ ἐξ ἀπροσδιορίστων ἀμφοτέρων. διότι κατὰ τὸν Ἀριστοτέλην ταῖς μερικαῖς ἰσοδυναμοῦσιν αἱ ἀπροσδιόριστοι. εὐπορεῖ δὲ κοινῶν ὅρων ἐπὶ πάντων συναγόντων καὶ τὸ παντὶ καὶ τὸ οὐδενί, ζῷον λευκῷ ὑπαρχέτω ἢ τινὶ ἐξ ἀνάγκης ἢ ἐνδεχομένως. λευκὸν ἀνθρώπῳ ὑπαρχέτω ἢ τινὶ ἐξ ἀνάγκης, ἢ ἐνδεχομένως. καὶ συνάγεται ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. καὶ πάλιν ὁμοίως ἐχουσῶν τῶν προτάσεων. ζῷον οὐδενὶ ἀψύχῳ ἐξ ἀνάγκης.

» ΚΑΙ γὰρ τὸ ζῷον, τινὶ λευκῷ· καὶ τὸ λευκὸν ἀψύχῳ τινί· καὶ ἀναγκαῖον ὑπάρχειν, καὶ οὐκ ἐν-
» δέχεται ὑπάρχειν. καὶ ἐπὶ τοῦ ἐνδέχεσθαι ὁμοίως· ὥστε πρὸς ἅπαντα χρήσιμοι οἱ ὅροι.

Βούλεται διὰ τούτων δεῖξαι ὅπως οἱ ῥηθέντες ὅροι ἁρμόζουσιν ἐπὶ πασῶν ὁμοῦ ὧν ἐξέθετο συζυγιῶν τῶν τε μερικῶν καὶ τῶν ἀπροσδιορίστων. καὶ τοῦτο δείκνυσι διότι φησὶ δυνατὸν ἅπαν τινὶ λευκῷ ἐξ ἀνάγκης ὑπάρχειν· οἷον τῷ ἐν κύκνῳ ἢ τῷ ἐν σκύθῃ. ὥστε δῆλον διὰ τούτων ὅτι δυνατὸν λαβεῖν τὴν μείζονα πρότασιν ἀναγκαίαν καταφατικήν. ὅτι δὲ καὶ ἀποφατικήν, δῆλον. λέγομεν γὰρ τὸ ζῷον μὴ παντὶ λευ-

κῷ ἐξ

ΕΑΝ δὲ πρὸς τῷ ἐλάττονι ἄκρῳ τεθῇ τὸ στερητικὸν, ὅταν μὲν ἐνδέχεσθαι σημαίνῃ, συλλογισμὸς ἔσται διὰ τῆς ἀντιστροφῆς καθάπερ ἐν τοῖς πρότερον.

Υ ποθέμενος ἐν ταῖς προλαβούσαις συζυγίαις τὴν μείζονα ἀποφατικὴν, τὴν δὲ ἐλάττονα καταφατικὴν, νῦν ἀνάπαλιν ὑποτίθεται· καί φησιν ὅτι ἐὰν ἡ ἐλάττων ἀποφατικὴ ᾖ, ὅταν μὲν ἐνδεχομένη ᾖ, τῆς μείζονος δηλονότι ἀναγκαίας οὔσης καὶ ἀδιαφορούσης κατὰ τὸ ποιὸν, γίνεται συλλογισμός· μεταλαμβανομένης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικήν. τὰ δὲ συμπεράσματα τοιαῦτα ἔσται, οἷα καὶ πρότερον ἦσαν ἐν ταῖς ὁμοίαις συζυγίαις· τῆς μὲν ἐλάττονος ἐνδεχομένης ἀποφατικῆς, τῆς δὲ μείζονος ἀναγκαίας ἢ ἀποφατικῆς ἢ καταφατικῆς· μεταληφθείσης τῆς ἐνδεχομένης ἀποφατικῆς εἰς τὴν καταφατικὴν, αἱ αὐταὶ δῆλον ὅτι συζυγίαι πάλιν γίνονται· ὥστε καὶ τὰ αὐτὰ συμπεράσματα καὶ οἱ αὐτοὶ τρόποι τῶν δείξεων ταῖς πρότερον, λέγω δὴ ταῖς ἐχούσαις τὴν μείζονα ἀναγκαίαν ἢ καταφατικὴν ἢ ἀποφατικὴν, τὴν δὲ ἐλάττονα ἐνδεχομένην ἀποφατικήν.

ΟΤΑΝ δὲ μὴ ἐνδέχεσθαι, οὐκ ἔσται.

Ε ἰκότως· εἰ γὰρ ἀναγκαία ἀποφατικὴ γίνεται ἡ ἐλάττων, ἀπόλλυσι τὸ ἴδιον τοῦ πρώτου σχήματος μὴ ἔχουσα τὴν ἐλάττονα καταφατικήν· οὐκέτι γὰρ μεταλαβεῖν τὴν ἀποφατικὴν ἀναγκαίαν δυνατὸν εἰς τὴν καταφατικήν.

ΟΥΔ᾽ ὅταν ἀμφότερα τεθῇ στερητικὰ, μὴ ᾖ δὲ ἐνδεχόμενον τὸ πρὸς τὸ ἔλαττον. ὅροι δὲ οἱ αὐτοί· τοῦ μὲν ὑπάρχειν, λευκὸν, ζῷον, χιών· τοῦ δὲ μὴ ὑπάρχειν, λευκὸν, ζῷον, πίττα.

Α μφοτέρων φησὶ τῶν προτάσεων ἀποφατικῶν λαμβανομένων· ἐὰν μὲν ἡ ἐλάττων ἐνδεχομένη ᾖ, διὰ τὴν αὐτὴν πάλιν αἰτίαν, συλλογιστικὴ γίνεται ἡ συζυγία· μεταλαμβάνεται γὰρ πάλιν ἡ ἀποφατικὴ εἰς τὴν καταφατικήν· ἐὰν δὲ ἀναγκαία ᾖ ἡ ἐλάττων, οὐκέτι. ἐκτίθεται δὲ ὅρους συνάγοντας καὶ τὸ παντὶ, καὶ τὸ οὐδενί· ὥσπερ παρέθετο καὶ ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου. λευκὸν γὰρ χιόνι μὲν ἐξ ἀνάγκης πάσῃ· πίττῃ δὲ οὐδεμιᾷ. ληψόμεθα δὲ ἡμεῖς ὅρους κἀπὶ τούτων κρείττονας· οὓς καὶ ἐν ἐκείνοις εἰλήφαμεν· τοῦ μὲν παντὶ λευκὸν ἐνδέχεται μηδενὶ ἵππῳ· ἵππος οὐδενὶ κύκνῳ ἐξ ἀνάγκης· καὶ λευκὸν ἐξ ἀνάγκης παντὶ κύκνῳ· τοῦ δὲ μηδενὶ, ἀντὶ κύκνου κόρακα λαβόμεν· λευκὸν γὰρ ἐνδέχεται μηδενὶ ἵππῳ· ἵππος οὐδενὶ κόρακι ἐξ ἀνάγκης· καὶ λευκὸν ἐξ ἀνάγκης οὐδενὶ κόρακι.

ΤΟΝ αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. ὅταν μὲν γὰρ ᾖ τὸ στερητικὸν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται τοῦ μὴ ὑπάρχειν· οἷον εἰ τὸ μὲν α μηδενὶ τῷ β ἐνδέχεται ὑπάρχειν, τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται ὑπάρχειν, ἀνάγκη τὸ α τινὶ τῷ γ μὴ ὑπάρχειν· εἰ γὰρ παντὶ ὑπάρχει, τῷ δὲ β μηδενὶ ἐνδέχεται, οὐδὲ τὸ β τῷ α οὐδενὶ ἐνδέχεται ὑπάρχειν· ὥστ᾽ εἰ τὸ α παντὶ τῷ γ ὑπάρχει, τὸ β οὐδενὶ τῷ γ ἐνδέχεται· ἀλλ᾽ ὑπέκειτο τινὶ ἐνδέχεσθαι.

F ληρώσας τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων καθόλου λόγον ἀκολούθως μέτεισιν ἐπὶ τὰς ἐχούσας τὴν ἑτέραν μερικήν· καὶ συντόμως ἔπειν ὅπως αἱ ἔχουσαι καθόλου οὕτως ἔχουσι καὶ αὗται κατά τε τὰ συμπεράσματα καὶ τοὺς τρόπους τῆς δείξεως· καὶ μόνῳ τῷ καθόλου καὶ τῷ μερικῷ διαλλάττουσιν. ἐκτίθεται δὲ τὰς ἀνομοιοσχημόνας συζυγίας πρώτας ἐφ᾽ ὧν καὶ ἡ διαφορὰ τῶν συμπερασμάτων ἐγίνετο· αἱ μὲν γὰρ τὸ ἐνδεχόμενον συνῆγον· αἱ δὲ τὸ ὑπάρχειν· ἵνα κατὰ συνέχειαν πληρώσῃ τὸν περὶ τῶν ἀνομοιοσχημόνων λόγον· πρώτας δὲ ἐκτίθεται τὰς τὸ ὑπάρχον συναγούσας, καί φησιν· ὅτι ὅταν μὲν ᾖ τὸ στερητικὸν ἀναγκαῖον· τουτέστιν ὅταν ἡ μείζων ἀναγκαία ᾖ ἀποφατικὴ καθόλου. ἀνομοιοσχημόνων γὰρ οὐσῶν τῶν προτάσεων ἐν πρώτῳ σχήματι, ἀνάγκη τὴν ἀποφατικὴν μείζονα εἶναι· πάλιν τῆς ἑτέρας οὔσης μερικῆς, τῆς δὲ ἑτέρας καθόλου· τὴν καθόλου ἀνάγκη μείζονα εἶναι. ὥστε τοῦτό φησιν ὅτι ἐπὶ τῶν ἀνομοιοσχημόνων συζυγιῶν τῶν ἐχουσῶν τὴν ἑτέραν μερικήν· ὅταν ἡ μείζων ἀναγκαία δηλονότι ἀποφατικὴ οὖσα καὶ καθόλου· ἡ δὲ ἐλάττων ἐνδεχομένη μερικὴ οὖσα καταφατική· τὸ συμπέρασμα ὑπάρχον ἔσται· καὶ οὐ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ὡς δέδεικται καὶ ἐπὶ τῶν καθόλου συζυγιῶν. ἔστω γὰρ τὸ μὲν α ἐξ ἀνάγκης μηδενὶ τῷ β ὑπάρχειν· τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν. λέγω φησὶ ὅτι τὸ α τινὶ τῷ γ οὐχ ὑπάρχει· εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ ὑπάρχειν παντί· ἐπεὶ οὖν τὸ α τῷ β ἐξ ἀνάγκης οὐδενί· καὶ τὸ β τῷ α ἐξ ἀνάγκης οὐδενί· ἀντιστρέφει γάρ· εἰ τοίνυν τὸ β τῷ α ἐξ ἀνάγκης οὐδενί· τὸ δὲ α τῷ γ ὑπάρχει παντὶ ὡς ἡ ὑπόθεσις· γίνεται ἄρα τὸ πρῶτον σχῆμα τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ ἀναγκαίου· ἐπὶ δὲ τῆς τοιαύτης μίξεως κατὰ ἀριστοτέλην τῇ μείζονι τῶν προτάσεων ἠκολούθησε τὸ συμπέρασμα· τὸ ἄρα β, οὐδενὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχει· ὑπέκειτο δὲ καὶ τινὶ ἐνδέχεσθαι ὑπάρχειν ὅπερ ἀδύνατον, τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ α τῷ γ παντὶ ὑπάρχειν· ψεῦδος ἄρα τοῦτο· οὐκοῦν ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ μὴ παντὶ ὑπάρχειν ὅπερ ἔδει δεῖξαι. ὁμοίως δὲ κἂν τὴν ἐλάττονα ἐνδεχομένην μερικὴν ἀποφατικὴν ὑποθώμεθα· ἵνα ὁμοιοσχήμων γίνηται ἡ συζυγία ἐξ ἀμφοτέρων ἀποφατικῶν· τὸ αὐτὸ πάλιν γίνεται συμπέρασμα· ἐπειδὴ ἡ αὐτὴ πάλιν συζυγία, μεταλαμβανομένης τῆς ἀποφατικῆς μερικῆς εἰς τὴν μερικὴν καταφατικήν.

ράσματα ἢ τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστίν. ἢ τοῦ ἐνδεχομένου τουτέστι τοῦ τῷ ὑπάρχοντι συμφέροντος. ἐν τούτοις ἐπάγει ὅτι κατ' οὐδένα τρόπον τοῦ ἐξ ἀνάγκης μὴ ὑπάρχειν γίνεται ὁ συλλογισμός. οὐδαμῶς ἄρα τὸ ἀναγκαῖον ἔσται συλλογισμός. εἶτα εἰπὼν ὅτι τοῦ ἐξ ἀνάγκης μηδενὶ οὐ γίνεται συλλογισμὸς ἐπειδὴ ἀνωτέρω ἔλεγεν ὅτι τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν, ταυτόν ἐστι τῷ ἐνδεχομένῳ. διὰ τοῦτο ἐν τούτοις ἐπήγαγεν ὅτι ἕτερόν ἐστι τὸ ἐξ ἀνάγκης μὴ ὑπάρχειν καὶ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν. τὸ μὲν γὰρ ἐξ ἀνάγκης μὴ ὑπάρχειν, τὸ μηδαμῇ μηδαμῶς ὑπάρχον σημαίνει ὅπερ καί φαμεν ἐνταῦθα μὴ συνάγεσθαι. τὸ δὲ μὴ ἐξ ἀνάγκης ὑπάρχειν, τὸ ὑπάρχον μὲν, οὐκ ἀναγκαίως δὲ ἀλλ' ἐνδεχομένως ἀποφαινόμενον.

» ΟΤΙ μὲν οὖν καταφατικῶν ὄντων τῶν ὅρων, οὐ γίνεται τὸ συμπέρασμα ἀναγκαῖον, φανερόν. ὑπαρχέτω γὰρ τὸ μὲν α παντὶ τῷ β' ἐξ ἀνάγκης, τὸ δὲ β' ἐνδεχέσθω παντὶ τῷ γ'. ἔσται δὴ συλλογισμὸς ἀτελής. ὅτι ἐνδέχεται τὸ α παντὶ τῷ γ' ὑπάρχειν. ὅτι δὲ ἀτελής, ἐκ τῆς ἀποδείξεως δῆλον. τὸν αὐτὸν γὰρ τρόπον δειχθήσεται, ὅνπερ καὶ ἐπὶ τῶν προτέρων.

E Ἐντεῦθεν λοιπὸν ἐκτίθεται τὰς συζυγίας τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου. καὶ δείκνυσιν ὅτι ἐπ' οὐδεμιᾶς τούτων ἀναγκαῖον συνάγεται συμπέρασμα. ἀλλ' ἐκεῖνο ὅπερ προλαβὼν εἴρηκε. πρότερον δὲ ἐκτίθεται τὴν ἐκ δύο καθόλου καταφατικῶν συζυγίαν. τῆς μὲν μείζονος ἀναγκαίας. τῆς δὲ ἐλάττονος ἐνδεχομένης. καί φησιν ὅτι ἐνδεχόμενον καθόλου καταφατικὸν συνάγεται συμπέρασμα. ἔστω γάρ φησι τὸ α παντὶ τῷ β' ἐξ ἀνάγκης. τὸ δὲ β παντὶ τῷ γ' ἐνδεχομένως. λέγω ὅτι τὸ α παντὶ τῷ γ' ἐνδέχεται. εἰ δὲ τοῦτο ψεῦδος, ἔσται τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς τὸ οὐκ ἐνδέχεται παντί. ὅπερ ταυτόν ἐστι τῷ ἀνάγκη μὴ παντί. ἐπεὶ οὖν τὸ α τῷ μὲν β' παντὶ ἐξ ἀνάγκης ὑπάρχει, τῷ δὲ γ' οὐ παντί. γίνεται τὸ δεύτερον σχῆμα ἐξ ἀμφοτέρων ἀναγκαίων. καὶ συνάγει τὸ β' τῷ γ' ἐξ ἀνάγκης, μὴ παντί. ὑπέκειτο δὲ καὶ παντὶ ἐνδέχεσθαι ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ α τῷ γ' μὴ ἐνδέχεσθαι παντί. οὐκοῦν ψεῦδος τοῦτο. ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ ἐνδέχεται παντὶ ὅπερ ἔδει δεῖξαι. φανερὸν δὲ ὅτι καὶ ἀτελής ἐστιν οὗτος ὁ συλλογισμός. εἴγε διὰ τοῦ ἀδυνάτου δείκνυται. ὅτι τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγει, εἴγε τὸ ἀνάγκη μὴ παντὶ μόνῳ ὑποτεθέντι, τὸ ἀδύνατον ἠκολούθησε.

» ΠΑΛΙΝ τὸ μὲν α ἐνδεχέσθω παντὶ τῷ β' ὑπάρχειν. τὸ δὲ β' παντὶ τῷ γ' ὑπαρχέτω ἐξ ἀνάγκης, ἔσται δὴ συλλογισμὸς, ὅτι τὸ α παντὶ τῷ γ' ἐνδέχεται ὑπάρχειν. ἀλλ' οὐχ ὅτι ὑπάρχει. καὶ τέλειος, ἀλλ' οὐκ ἀτελής. εὐθὺς γὰρ ἐπιτελεῖται διὰ τῶν ἐξ ἀρχῆς προτάσεων.

F Παραδίδωσιν ἐντεῦθεν, τὴν δευτέραν συζυγίαν τὴν ἐκ δύο καθόλου καταφατικῶν. τὴν πρὸς τῇ ἐλάττονι τὸ ἀναγκαῖον ἔχουσαν. καί φησι καὶ ταύτην τὸ ἐνδέχεσθαι παντὶ συνάγειν διὰ τῆς ἐπ' οὐδείας δείξεως. διὸ καὶ τέλειον φησὶ τὸν συλλογισμόν. ἐπεὶ γὰρ τὸ α παντὶ ἐνδέχεται τῷ β', πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει. ἐν δὲ τῶν μερῶν τοῦ β' τὸ γ' ἐστί. τὸ ἄρα α παντὶ τῷ γ' ἐνδεχομένως ὑπάρχει. ἐν τούτῳ δὲ τῷ συμπεράσματι, τὸ κατὰ τὸν διορισμὸν συνάγεται ἐνδεχόμενον.

» ΕΙ δὲ μὴ ὁμοιοσχήμονες εἶεν αἱ προτάσεις, ἔστω πρῶτον ἡ στερητικὴ ἀναγκαία. καὶ τὸ μὲν α μηδενὶ ἐνδεχέσθω τῷ β' ἐξ ἀνάγκης. τὸ δὲ β' παντὶ τῷ γ' ἐνδεχέσθω. ἀνάγκη δὴ τὸ α μηδενὶ τῷ γ' ὑπάρχειν. κείσθω γὰρ ὑπάρχειν, ἢ παντὶ ἢ τινί. τῷ δὲ β' ὑπέκειτο μηδενὶ ἐνδέχεσθαι. ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητικὸν, οὐδὲ τὸ β' τῷ α οὐδενὶ ἐνδέχεται. τὸ δὲ α τῷ γ' παντὶ ἢ τινὶ κεῖται ὑπάρχειν. ὥστε οὐδενὶ ἢ οὐ παντὶ τῷ γ' τὸ β ἐνδέχοιτο ἂν ὑπάρχειν. ὑπέκειτο δὲ παντὶ ἐξ ἀρχῆς ἐνδέχεσθαι.

Δ Διαλεχθεὶς περὶ τῶν ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν νῦν περὶ τῶν ἀνομοιοσχημόνων διαλέγεται συζυγιῶν. καὶ ὥσπερ ἐπὶ τῶν ὁμοιοσχημόνων προτάσεων ὑπετίθετο τὴν ἐκ τῆς μείζονος ἀναγκαίας, οὕτω καὶ ἐπὶ τούτων ποιεῖ. καί φησιν ὅτι ἐὰν ἡ μείζων ἡ ἀναγκαία ἀποφατικὴ καθόλου. ἡ δὲ ἐλάττων καθόλου καταφατικὴ ἐνδεχομένη, τὸ συμπέρασμα γίνεται καθόλου ἀποφατικὸν ὑπάρχον. ἔστω γὰρ τὸ α οὐδενὶ ἐξ ἀνάγκης τῷ β'. τὸ δὲ β' παντὶ ἐνδεχέσθω τῷ γ'. λέγω φησὶν ὅτι τὸ α οὐδενὶ ὑπάρχει τῷ γ'. εἰ γὰρ τοῦτο ψεῦδος, ἔστω τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς τὸ ὑπάρχον τινί. ἢ τὸ ἐναντίον τῷ οὐδενὶ τὸ ὑπάρχει παντί. ἐπεὶ οὖν τὸ μὲν α ἐξ ἀνάγκης οὐδενὶ τῷ β'. οὐδὲ τὸ β' οὐδενὶ τῷ α ἐξ ἀνάγκης ὑπάρχει. ἀλλὰ μὴν καὶ τὸ α παντὶ ἢ τινὶ τῷ γ' ὑπάρχει μόνον. καὶ συνάγεται τὸ β' τῷ γ ἢ οὐδενὶ ἢ οὐ παντὶ ἐξ ἀνάγκης. ὑπέκειτο δὲ καὶ παντὶ ἐνδέχεσθαι. ὅπερ ἀδύνατον. δεῖ δὲ εἰδέναι ὅτι τὸ ἀδύνατον ἠκολούθησεν ἐνταῦθα διὰ τὸ βούλεσθαι τὸν Ἀριστοτέλην ἐπὶ τῆς μίξεως τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος, τῇ μείζονι προτάσει ἀκολουθεῖν τὸ συμπέρασμα. ἐπεὶ ἐὰν τῇ χείρονι ἀκολουθεῖν ὑποθώμεθα ὡς δέδεικται ἀνωτέρω, οὐχ ἕψεταί τι ἀδύνατον. ἔσται γὰρ τὸ β' τῷ γ' ἢ οὐδενὶ ὑπάρχον ἢ οὐ παντί. ὑπέκειτο δὲ καὶ παντὶ ἐνδέχεσθαι. καὶ οὐδὲν ἀδύνατον. καὶ γὰρ οὐδενὶ ὑπάρχει τῷ γ' τὸ β'.

μείζονος καθόλου οὔσης ἐνδεχομένης ἢ ἀποφατικῆς ἢ καταφατικῆς. ἐὰν οὖν οἱ αὐτοὶ ὅροι ληφθῶσι καὶ τῆς ἐλάττονος μερικῆς καταφατικῆς ὑπαρχούσης, δείξουσιν αὐτὴν ἀσυλλόγιστον. συνάξουσι γὰρ καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης. λέγω γὰρ οὕτως· κινούμενον παντὶ λευκῷ ὑπαρχέτω. λευκὸν τινὶ βαδίζοντι ὑπαρχέτω. καὶ συνάγεται κινούμενον παντὶ βαδίζοντι ἐξ ἀνάγκης ὑπάρχει. συνάγεται δὲ πάλιν καὶ τὸ οὐδενὶ οὕτως· κινούμενον παντὶ λευκῷ ἐνδεχέσθω. λευκὸν ὑπαρχέτω τινὶ ἑστῶτι. καὶ συνάγεται κινούμενον οὐδενὶ ἑστῶτι ἐξ ἀνάγκης. ὁμοίως δὲ κἂν ἐνδεχομένη ἡ μερικὴ ὑπάρχῃ τὰ αὐτὰ πάλιν συμβαίνει. ὥστε ὅσοι ἐκ τῶν ὅρων τούτων δειχθήσονται καὶ αὗται ἀσυλλόγιστοι. τί οὖν ἐροῦμεν; ὅτι αὐτὸς εἶπεν ὁ φιλόσοφος ὅτι δεῖ τὴν μείζονα πρότασιν μὴ ὁρίζεσθαι χρόνῳ ὑπὸ τῆς ἐλάττονος. ὡρίζετο δὲ χρόνῳ ὁπηνίκα ὑπερετείνετο ὁ μέσος ὅρος τὸν μείζονα. κἀνταῦθα τοίνυν ὑπερτείνει ὁ μέσος ὅρος τὸν μείζονα. εἰ γὰρ τὸ λευκόν, ὅπερ ἐστὶν ὁ μέσος ὅρος, κατηγορεῖται ἐπὶ τοῦ βαδίζοντος καὶ ἐπὶ τοῦ ἑστῶτος· τὸ δὲ κινούμενον ὁ μείζων, ἐπὶ μόνου τοῦ βαδίζοντος κατηγορεῖται. οὐκέτι δὲ καὶ ἐπὶ τοῦ ἑστῶτος· δῆλον ὅτι ἐπὶ πλεῖόν ἐστιν ὁ μέσος ὅρος τοῦ μείζονος. εἰ δὲ τοῦτο, μερικὴ γίνεται ἡ μείζων πρότασις. μερικῆς δὲ αὐτῆς γινομένης, ἀσυλλόγιστος γίνεται ἡ συζυγία. ὥστε εἰκότως συνήγαγε καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. οὕτω μὲν οὖν καταφατικῆς οὔσης τῆς ἐλάττονος. εἰ μέντοι ἀποφατικὴ ἦν, οὐκέτι ὁρίζεται ὁ μείζων ὑπὸ τῆς ἐλάττονος, ὑπερτείνοντος τοῦ μέσου τὸν μείζονα. εἰ γὰρ λέγομεν τὸ λευκὸν μηδενὶ ὑπάρχειν βαδίζοντι μηδὲ ἑστῶτι, ἐπειδὴ ἀποφάσκεται αὐτῶν καὶ οὐ κατηγορεῖται, διὰ τοῦτο οὐκ ἔσται ἐπὶ πλεῖον τοῦ μείζονος. δῆλον οὖν ὅτι ἡ ἔχουσα τὴν ἐλάττονα μερικὴν ἀποφατικήν· τὴν δὲ μείζονα καθόλου· δι᾽ αὐτὸ τοῦτο τὸ ἔχειν τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν ὑπάρχουσαν· καὶ μόνον ἀσυλλόγιστός ἐστι καὶ οὐ διὰ τὸ ὁρίζεσθαι χρόνῳ τὴν μείζονα. οὐδὲ γὰρ ὁρίζεται ὡς εἴπομεν.

» ΟΤΑΝ δὲ ἡ μὲν ἐξ ἀνάγκης ὑπάρχειν, ἢ μὴ ὑπάρχειν. ἡ δ᾽ ἐνδέχεσθαι σημαίνῃ, τῶν προτάσεων
» ὁ μὲν συλλογισμὸς ἔσται τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων καὶ τέλειος ὅταν πρὸς τῷ ἐλάττονι ἄκρῳ
» τεθῇ τὸ ἀναγκαῖον.

Δ Διαλεχθεὶς περὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος τῆς ἐν πρώτῳ σχήματι· καὶ δείξας ποῖαι μέν εἰσιν αὐτῶν συλλογιστικαί, ποῖαι δὲ ἀσυλλόγιστοι, νῦν τρέπεται ἐπὶ τὴν μίξιν τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου καί φησι· καὶ ἐπὶ τούτων γίνεσθαι συλλογιστικὰς συζυγίας ὡσαύτως ἐχούσης τῆς τάξεως τῶν ὅρων, ὥσπερ εἶχε καὶ ἐπὶ τῆς μίξεως τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος. λέγω δὲ τῆς μὲν μείζονος ἀναγκαίας οὔσης, τῆς δὲ ἐλάττονος ἐνδεχομένης. ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιὸν ἀμφότεραι. κἂν γὰρ ἡ ἐλάττων ᾖ ἀποφατική, οὐδὲν ἧττον συλλογιστικὴ ἔσται ἡ συζυγία, μεταλαμβανομένης αὐτῆς εἰς καταφατικὴν διὰ τὸ ἐνδεχομένην εἶναι. ἐὰν δὲ ἡ μὲν μείζων ἐνδεχομένη ᾖ, ἡ δὲ ἐλάττων ἀναγκαία· τῆς μὲν μείζονος ὁμοίως τὸ ποιὸν ἐστὶν ἀδιάφορον· τῆς δὲ ἐλάττονος οὐκέτι. ἀλλὰ μόνον δεῖ αὐτὴν καταφατικὴν εἶναι ἵνα γένηται συλλογιστική.

» ΤΟ δὲ συμπέρασμα κατηγορικῶν μὲν ὄντων τῶν ὅρων, τοῦ ἐνδέχεσθαι καὶ οὐ τοῦ ὑπάρχειν ἔσται.
» ἀμφοτέρων καθόλου καὶ μὴ καθόλου τιθεμένων. ἐὰν δὲ ᾖ τὸ μὲν καταφατικὸν τὸ δὲ στερητικόν. ὅταν
» μὲν ᾖ τὸ καταφατικὸν ἀναγκαῖον τοῦ ἐνδέχεσθαι, καὶ οὐ τοῦ μὴ ὑπάρχειν. ὅταν δὲ ᾖ τὸ στερητικὸν ἀ-
» ναγκαῖον, καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν, καὶ τοῦ μὴ ὑπάρχειν. καὶ καθόλου, καὶ μὴ καθόλου τῶν
» ὅρων ὄντων.

Ω Ὥσπερ ἐπὶ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ ἐνδεχομένου διάφορα ἐγίνοντο τὰ συμπεράσματα. καὶ ποτὲ μὲν τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου, ποτὲ δὲ ἄλλου τινός, οὕτω καὶ ἐπὶ τούτων φησὶν ὅτι ἐὰν μὲν ὦσιν ἀμφότεραι καταφατικαί, ἢ ἡ μείζων ἐνδεχομένη ἀποφατική, τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα. ὅταν δὲ ἡ μείζων ἀποφατική, ἀναγκαία οὐκέτι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστὶ τὸ συμπέρασμα. ἀλλὰ τοῦ συμβαίνοντος τῷ ὑπάρχοντι. τέλειοι δὲ γίνονται συλλογισμοὶ ἐπὶ πάσης τῆς μίξεως οἱ ἔχοντες τὴν ἀναγκαίαν καταφατικὴν οὖσαν ἐν τῇ ἐλάττονι. τὴν δὲ μείζονα ἀποφατικὴν ἢ καταφατικὴν ἐνδεχομένην. ὁμοίως δὲ ἔχουσι καὶ αἱ μερικαὶ ἐπί τε τῶν συμπερασμάτων καὶ ἐπὶ τῶν τελείων ὡς εἶχον καὶ αἱ καθόλου συζυγίαι.

» ΤΟ ΔΕ ἐνδέχεσθαι ἐν τῷ συμπεράσματι, τὸν αὐτὸν τρόπον ληπτέον, ὅνπερ καὶ ἐν τοῖς
» πρότερον.

Ε Ἐπειδὴ εἶπεν ὅτι ὅταν τὸ στερητικὸν ἀναγκαῖον ᾖ, τὸ συμπέρασμα ἔσται καὶ τοῦ ἐνδέχεσθαι μὴ ὑπάρχειν καὶ τοῦ μὴ ὑπάρχειν. διὰ τοῦτο ἐπήγαγεν ὅτι ἐνδεχόμενον ἐνταῦθα λαμβάνειν δεῖ οὐ τὸ κατὰ τὸν διορισμόν. ἀλλ᾽ ὥσπερ καὶ τὸ πρὶν ἐλαμβάνομεν τὸ συμβαῖνον ἄλλῳ τινί. τουτέστι τῷ ὑπάρχοντι. κατηγορεῖται γὰρ τὸ ἁπλῶς ἐνδεχόμενον καὶ κατὰ τοῦ ὑπάρχοντος.

» ΤΟΥ δ᾽ ἐξ ἀνάγκης μὴ ὑπάρχειν, οὐκ ἔσται συλλογισμός. ἕτερον γὰρ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν καὶ
» τὸ ἐξ ἀνάγκης μὴ ὑπάρχειν. Εἰπὼν ὅτι τὰ συναγόμενα συμπε-

ράσματα

» τος γὰρ τοῦ β γ κατὰ τὸ ἐνδέχεσθαι, γίνεται συλλογισμός.

Τὸ δὲ ἐνταῦθα αἴτιον τοῦ καὶ λυπεῖ. ἔστι γὰρ συμπέρασμα τῶν εἰρημένων. ἔπειδὴ γὰρ ὅτι τῆς ἐλάττονος οὔσης ἐνδεχομένης ἀποφατικῆς, γίνεται καὶ οὕτω συλλογισμός. ἀλλὰ τοῦτο ὅτι δυνατόν ἐστι, διὰ τούτων κατασκευάζει. διὰ τὸ ἀντιστρέφειν τὰς ἀποφατικὰς τοῦ ἐνδεχομένου πρὸς τὰς καταφατικάς. τῆς μὲν οὖν μερικῆς ἀποφατικῆς, εἰς τὴν μερικὴν καταφατικὴν μεταληφθείσης, οὕτως γίνεται ὁ συλλογισμός.

» ΟΤΑΝ δὲ τὸ μὴ ὑπάρχειν λαμβάνῃ ἡ κατὰ μέρος τεθεῖσα πρότασις, οὐκ ἔσται συλλογισμός. ὅροι
» τοῦ μὲν ὑπάρχειν, λευκόν, ζῷον, χιών, τοῦ δὲ μὴ ὑπάρχειν, λευκόν, ζῷον, πίττα. διὰ γὰρ τοῦ ἀδιορίστου λη-
» πτέον τὴν ἀπόδειξιν.

Εἰκότως. οὐκέτι γὰρ ἡ μερικὴ ὑπάρχουσα ἀποφατικὴ μεταλαμβάνεται εἰς τὴν καταφατικήν. δείκνυσι δὲ ταύτην φησὶν ὅτι ἔσται συλλογισμὸς διὰ τοῦ ἀδιορίστου, ὥσπερ ἐν τοῖς ἁπλῶς συλλογισμοῖς ἔλεγε τὰς ἐχούσας τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν ὅτι δείκνυνται αἱ τοιαῦται ἀσυλλόγιστοι. ἐκ τοῦ ἀόριστον ἔχειν τὴν μερικὴν ἀποφατικὴν τὴν ἀλήθειαν. ἐπειδὴ γὰρ ἀληθεύει ἢ δι᾽ ἑαυτήν, ἢ διὰ τὴν καθόλου ἀπόφασιν. ὅταν δὲ δι᾽ ἑαυτὴν ἀληθεύῃ, ὑποδύεται συλλογιστικὴν συζυγίαν, τῷ δύνασθαι μεταλαμβάνεσθαι, εἰς τὴν καταφατικήν. διότι ὁ μὴ παντὶ ὑπάρχειν, τοῦτο τινὶ ὑπάρχει. διὰ τοῦτο ἐκβάλλει αὐτὴν ὡς ἀόριστον. ὅταν δὲ λάβωμεν αὐτὴν διὰ τὴν καθόλου ἀληθεύουσαν, τότε πρόδηλος ἀσυλλόγιστος οὖσα ἐλέγχεται. συνάγει γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενί. οἱ δὲ ὅροι οὓς μὲν αὐτὸς παραλαμβάνει, οὐ πάνυ εἰσὶ προσφυεῖς τοῖς προκειμένοις. διότι τότε λευκὸν τινὶ ζῴῳ ἐξ ἀνάγκης ὑπάρχει ἢ οὐχ ὑπάρχει. καὶ τὸ ζῷον πάλιν τῇ χιόνι ἢ τῇ πίττῃ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. ἔστωσαν οὖν ὅροι τοῦ μὲν παντί. κινούμενον. λευκόν. βαδίζον. κινούμενον ἐνδέχεται παντὶ λευκῷ ὑπάρχειν. λευκὸν ὑπαρχέτω μὴ παντὶ βαδίζοντι. καὶ συνάγεται κινούμενον παντὶ βαδίζοντι ἐξ ἀνάγκης. τοῦ δὲ μηδενί. κινούμενον. λευκόν. ἑστώς. κινούμενον ἐνδέχεται παντὶ λευκῷ. λευκὸν μὴ παντὶ ἑστῶτι ὑπαρχέτω. καὶ συνάγεται κινούμενον οὐδενὶ ἑστῶτι ἐξ ἀνάγκης.

» ΕΑΝ δὲ τὸ καθόλου τεθῇ, πρὸς τὸ ἔλαττον ἄκρον, τὸ δ᾽ ἐν μέρει πρὸς τὸ μεῖζον, ἐάν τε στερητι-
» κόν, ἐάν τε καταφατικόν, ἐάν τε ἐνδεχόμενον, ἐάν τε ὑπάρχον ὁποτερονοῦν, οὐδαμῶς ἔσται συλ-
» λογισμός.

Ἀκόλουθοι ἦσαν αἱ συζυγίαι ἔχουσαι τὴν μείζονα μερικὴν τὴν δὲ ἐλάττονα καθόλου. αὗται δὲ ἀσυλλόγιστοι πᾶσαί εἰσι ὅπως ἂν ἔχωσι τοῦ τε τρόπου καὶ τοῦ ποιοῦ. ὁμοίως δὲ κἂν μερικαὶ ἀμφότεραι ληφθῶσι, κἂν ἀμφότεραι ἀδιόριστοι. ἢ ἡ μὲν μερικὴ ἡ δὲ ἀδιόριστος. καὶ αὗται πάλιν ὅπως ἂν ἔχωσι κατά τε τοὺς τρόπους καὶ τὸ ποιόν, πᾶσαι αὗται ἀσυλλόγιστοί εἰσιν. ἀπόδειξις δὲ τοῦ ἀσυλλογίστους αὐτὰς εἶναι ἡ αὐτὴ ἥπερ καὶ ἐπὶ τῶν ἄλλων ἀσυλλογίστων. αὕτη δέ ἐστιν ἡ παραδειγματική, δείκνυνται γὰρ ὅροι συνάγοντες καὶ τὸ παντὶ καὶ τὸ μηδενί. ἐφ᾽ ὧν δὲ καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνήγετο, αὗται ἀσυλλόγιστοι ἦσαν αἱ συζυγίαι διὰ τὴν ἀοριστίαν. ἔστωσαν οὖν ὅροι πάντων κοινοί. τοῦ μὲν παντί, ἐπιστήμη. κινούμενον. γραμματική. ἐπιστήμη κινουμένῳ τινὶ ἐνδέχεσθαι ὑπάρχειν. ἢ μὴ ὑπάρχειν. κινούμενον παντὶ ἢ μηδενὶ γραμματικῷ ὑπαρχέτω. καὶ συνάγεται ἐπιστήμη παντὶ γραμματικῷ ἐξ ἀνάγκης ὑπάρχειν. τοῦ δὲ μηδενί. ἐπιστήμη. κινούμενον. ἵππος. ἢ ἁπλῶς ἄλογον ζῷον. ἐπιστήμη ἐνδέχεσθαι τινὶ κινουμένῳ ἢ μὴ παντί. κινούμενον ὑπαρχέτω παντὶ ἢ μηδενὶ ἵππῳ. καὶ συνάγεται ἐπιστήμη ἐξ ἀνάγκης οὐδενὶ ἵππῳ. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

» ΟΥΔ᾽ ὅταν ἐν μέρει ἢ ἀδιόριστοι τεθῶσιν αἱ προτάσεις. εἴτ᾽ ἐνδέχεσθαι λαμβάνουσιν, εἴτε ὑπάρχειν.
» εἴτε ἐναλλάξ οὐδ᾽ οὕτως ἔσται συλλογισμός. ἀπόδειξις δ᾽ ἡ αὐτὴ ἡ καὶ ἐπὶ τῶν πρότερον. ὅροι δὲ κοι-
» νοί, τοῦ μὲν ὑπάρχειν ἐξ ἀνάγκης, ζῷον, λευκόν, ἄνθρωπος. τοῦ δὲ μὴ ἐνδέχεσθαι, ζῷον, λευκόν,
» ἱμάτιον.

Ἐπήγαγε τὸ ἐναλλάξ ταῦτα, ἃ μὲν συμπεραίνει πάντα τὰ περὶ τοῦ ἐνδεχομένου λέγοι. λέγοι δὲ τὸ ἐναλλάξ. ὥστε τὴν μὲν εἶναι ὑπάρχουσαν τὴν δὲ ἐνδεχομένην. εἰπὼν γὰρ εἴτε ἐνδέχεσθαι λαμβάνουσαι εἴτε ὑπάρχειν ἐπήγαγε τὸ ἐναλλάξ. ὃ δὲ τὰ προσεχῶς εἰρημένα περαίνει. λέγω δὴ τὴν μίξιν τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου. οὕτως ἀκουστέον τὸ ἐναλλάξ. εἴτε ἐν μέρει εἴτε ἀδιόριστοι εἴτε ἐναλλάξ, ὥστε τὴν μὲν μερικήν, ἡ δὲ ἀδιόριστος.

» ΦΑΝΕΡΟΝ οὖν ὅτι τοῦ μὲν πρὸς τὸ μεῖζον ἄκρον καθόλου τεθέντος, ἀεὶ γίνεται συλλογισμός
» τοῦ δὲ πρὸς τὸ ἔλαττον, οὐδέποτε οὐδενός.

Προσυπακουστέον τὸ ἀεὶ γίνεται συλλογισμός. ἐπεί τοι γε ἐὰν ἡ μὲν μείζων ᾖ καθόλου. ἡ δὲ ἐλάττων ἀποφατικὴ ὑπάρχουσα, οὐ γενήσεται συλλογισμὸς ὡς δέδεικται. ἐζήτηται δὲ ἡμῖν μήποτε οἱ ὅροι οἱ ληφθέντες εἰς τὸ δεῖξαι τὴν συζυγίαν τὴν ἔχουσαν τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν ὑπάρχουσαν. τῆς

Π ληρώσας πάσας τὰς ἐξ ἀμφοτέρων καθόλου συζυγίας τὰς ἐχούσας τὴν μείζονα ἐνδεχομένην, τὴν δὲ ἐλάττονα ὑπάρχουσαν, καὶ τὰς ἀνάπαλιν ἐχούσας, καὶ δείξας τινὲς μὲν εἰσιν ἐν αὐταῖς ἀσυλλόγιστοι, τινὲς δὲ συλλογιστικαί, νῦν τὰς ἐχούσας τὴν ἑτέραν μερικὴν ἐκτίθεται. πρώτας δὲ πάλιν ἐκτίθεται, τὰς ἐχούσας τὴν μείζονα ἐνδεχομένην, τὴν δὲ ἑτέραν ὑπάρχουσαν. καὶ λέγει ὅτι ἐὰν ἡ ἐλάττων καταφατικὴ ᾖ, ἡ δὲ μείζων ἀποφατικὴ ἢ καταφατική, συλλογισμὸς γίνεται. ὥσπερ ἐγένετο καὶ ἐπὶ τῶν τοιούτων καθόλου προτάσεων. τουτέστιν ἐνδεχόμενον ἔσται τὸ συμπέρασμα. δείκνυνται δὲ οὗτοι οἱ συλλογισμοὶ τῇ αὐτῇ δείξει διὰ τοῦ κατὰ παντὸς καὶ μηδενός. εἰ γὰρ τὸ α παντὶ τῷ β ὑπάρχειν ἐνδέχεται. τὸ δὲ β τινὶ τῷ γ ὑπάρχει μόνον. καὶ τὸ ἄρα α τινὶ τῷ γ ἐνδέχεται ὑπάρχειν. ἐπεὶ γὰρ τὸ α ἐνδέχεται παντὶ τῷ β. πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει. τὶ δὲ τῶν γ. μέρος αὐτοῦ ἐστι. τὸ ἄρα α τινὶ τῶν γ ἐνδεχομένως ὑπάρχει. ὁμοίως δὲ ἔχει καὶ ἐπὶ τῆς ἀποφατικῆς. ὅροι δὲ ὑπνοῦν. περιπατοῦν. ζῷον. τὸ ὑπνοῦν παντὶ περιπατητικῷ ἐνδέχεται ὑπάρχειν ἢ μὴ ὑπάρχειν. περιπατητικὸν τινὶ ζῴῳ ὑπάρχει. καὶ συνάγεται τὸ ὑπνοῦν τινὶ ζῴῳ ἐνδέχεσθαι ὑπάρχειν.

" ΟΤΑΝ δὲ καθόλου μὲν ᾖ τὸ πρὸς τὸ μεῖζον ἄκρον, ὑπάρχον δὲ καὶ μὴ ἐνδεχόμενον, θάτερον
" δ' ἐν μέρει καὶ ἐνδεχόμενον ἐάν τε ἀποφατικαὶ, ἐάν τε καταφατικαὶ τεθῶσιν ἀμφότεραι. ἐάν τε ἡ μὲν
" ἀποφατικὴ ἡ δὲ καταφατική, πάντως ἔσται συλλογισμὸς ἀτελής.

Τ ὰς ἐναλλαγμένας τοῖς τρόποις ἐχούσας συζυγίας διὰ τούτων ἐκτίθεται. λέγω δὴ τὰς ἐχούσας τὴν μείζονα ὑπάρχουσαν. τὴν δὲ ἐλάττονα ἐνδεχομένην. καὶ ὥσπερ ἐπὶ τῶν καθόλου συζυγιῶν τὰς οὕτως ἐχούσας πάσας ἔλεγε συλλογιστικὰς εἶναι ὅπως ἂν ἔχοι κατὰ τὸ ποιόν, οὕτως καὶ ἐπὶ τούτων φησί. καὶ ἁπλῶς ἐπὶ ὧν εἶχον συμπεράσματα αἱ καθόλου συζυγίαι. τὰ αὐτὰ ταῦτα ἕξουσι καὶ ὁμοίως ἐκείναις κατὰ τὸ ποιὸν ἔχουσαι μερικαί. ἁπλῶς δὲ ἀτελεῖς αὗται πᾶσαι αἱ συζυγίαι. ὥσπερ καὶ αἱ καθόλου αἱ ὁμοίως αὐταῖς ἔχουσαι. διότι οὐκ ἐκ τοῦ κατὰ παντὸς ἢ τοῦ κατὰ μηδενὸς δείκνυνται. ἀλλὰ δέονται τῆς διὰ τοῦ ἀδυνάτου δείξεως πᾶσαι.

" ΠΛΗΝ αἱ μὲν διὰ τοῦ ἀδυνάτου δειχθήσονται. αἱ δὲ διὰ τῆς ἀντιστροφῆς τῆς τοῦ ἐνδέχεσθαι κα-
" θάπερ ἐν τοῖς πρότερον.

Δ εῖ προσθεῖναι τὸν καὶ σύνδεσμον, καὶ εἰπεῖν οὕτως. αἱ δὲ καὶ διὰ τῆς ἀντιστροφῆς. καὶ γὰρ αἱ διὰ τῆς ἀντιστροφῆς δεικνύμεναι, δέονται καὶ τῆς τοῦ ἀδυνάτου δείξεως. δείκνυνται δὲ διὰ μὲν τοῦ ἀδυνάτου μόνον αἱ ἔχουσαι τὴν ἐλάττονα καταφατικὴν ὥσπερ καὶ ἐπὶ τῶν καθόλου. εἰ γὰρ τὸ α παντὶ ἢ μηδενὶ τῷ β ὑπάρχει. τὸ δὲ β τῷ γ ἐνδέχεται. λέγει φησὶν ὅτι συνάγεται τὸ α τινὶ ἢ μὴ παντὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν. ἐπὶ μὲν τῆς ἐχούσης τὴν μείζονα ἀποφατικὴν τὸ μὴ παντί. ἐπὶ δὲ τῆς ἐχούσης αὐτὴν καταφατικὴν τὸ τινί. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθῆ τὰ ἀντιφατικῶς ἀντικείμενα. ἐπὶ μὲν τῆς καταφατικῆς τὸ ἐξ ἀνάγκης μηδενί. ἐπὶ δὲ τῆς ἀποφατικῆς τὸ παντί. ἀλλ' ἀμφοτέραις ἀδύνατόν τι ἀκολουθεῖ. ἐπὶ μὲν τῆς καταφατικῆς. εἰ γὰρ τὸ α ἐξ ἀνάγκης μηδενὶ τῷ γ κατὰ τὴν ὑπόθεσιν. τὸ δὲ β τῷ γ ὑπάρχει τινί. μεταληψόμεθα γὰρ πάλιν διὰ τὸ ἀσαφὲς τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν. τὸ ἄρα α οὐ παντὶ τῷ β ὑπάρχει. ἦν δὲ καὶ παντὶ ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἠκολούθησε. διὰ τὸ ὑποθέσθαι τὸ α τῷ γ ἐξ ἀνάγκης μηδενί. ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ κατὰ πάντα ἀντικείμενον τὸ ἐνδέχεται τινὶ ὅπερ ἔδει δεῖξαι. Ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀποφατικῆς ἔχει. λέγει γὰρ ὅτι συνάγει τὸ α τῷ γ ἐνδέχεσθαι μὴ παντὶ ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ κατὰ πάντα ἀντικείμενον, τὸ ἀνάγκῃ παντί. ἐπεὶ οὖν τὸ α τῷ γ ἀνάγκῃ παντί. τὸ δὲ β τῷ γ ὑπάρχει τινί. τὸ ἄρα α τῷ γ ὑπάρχει τινί. ἦν δὲ καὶ μηδενὶ ὅπερ ἀδύνατον. ψεῦδος ἄρα τὸ ἀνάγκῃ παντὶ τῷ γ τὸ α. ἀληθὲς δὲ τὸ ἐνδέχεσθαι μὴ παντὶ ὅπερ ἔδει δεῖξαι. καὶ οὗτοι μὲν οἱ διὰ τοῦ ἀδυνάτου μόνου δεικνύμενοι. διὰ δὲ τοῦ ἀδυνάτου καὶ τῆς ἀντιστροφῆς οἱ ἔχοντες τὴν ἐλάττονα ἀποφατικήν. ἀντιστραφείσης γὰρ τῆς ἐλάττονος, οὕτως ἡ διὰ τοῦ ἀδυνάτου γίνεται δεῖξις, ὥσπερ ἐπὶ τῶν πρότερον. Σημειωτέον δὲ πάλιν κἀν τούτοις ὅτι διαστήματα τὰς προτάσεις καλεῖ. ἐπειδὴ ὡς ἐλέγομεν ἐξομοιῶσαι βούλεται τὰ ἐν συλλογισμοῖς τοῖς κατὰ γεωμετρίαν. ὁπότως οὖν ὥσπερ αἱ προτάσεις ἀνάλογον ἔχουσαι ταῖς γραμμαῖς διαστήματα ἐκλήθησαν ὥσπερ καὶ αἱ γραμμαί, οὕτω καὶ οἱ συλλογισμοί, ἀνάλογον ἔχοντες τοῖς σχήμασι. διότι ὥσπερ ἐκεῖνα ἐκ γραμμῶν, οὕτως αὐτοὶ ἐκ τῶν προτάσεων σύγκεινται, σχήματα ἐκλήθησαν.

" ΕΣΤΑΙ δὲ συλλογισμὸς διὰ τῆς ἀντιστροφῆς. καὶ ὅταν ἡ μὲν καθόλου τεθεῖσα πρὸς τὸ ἄκρον
" μεῖζον σημαίνῃ τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν. ἡ δ' ἐν μέρει στερητικὴ οὖσα, τὸ ἐνδέχεσθαι λαμβάνῃ. οἷον εἰ
" τὸ μὲν α παντὶ τῷ β ὑπάρχει ἢ μὴ ὑπάρχει. τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται μὴ ὑπάρχειν. ἀντιστραφέν-

τος

Τὸ ὅπερ ἐστὶν ἀληθές. οὐ τοῦτό φησιν ὅτι ἀληθές ἐστι τὴν ἀποφατικὴν ἐνδεχομένην, τιθέναι ἐνδεχομένην καταφατικήν. τοῦτο γὰρ ψεῦδός ἐστιν, ἀλλὰ τοῦτό φησιν, ὅτι ἀληθές ἐστι δύνασθαι τὴν ἀποφατικὴν εἰς καταφατικὴν μεταληφθῆναι.

» ΕΑΝ δὲ μηδενὶ ὑπάρχειν τεθῇ τὸ β τῷ γ, καὶ μὴ ἐνδέχεσθαι μὴ ὑπάρχειν, οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς. οὔτε στερητικῆς οὔσης, οὔτε καταφατικῆς τῆς α β προτάσεως. ὅροι δὲ κοινοὶ τοῦ μὲν ἐξ ἀνάγκης ὑπάρχειν, λευκόν, ζῷον, χιών· τοῦ δὲ μὴ ἐνδέχεσθαι, λευκόν, ζῷον, πίττα.

Τὰς ἐχούσας τὴν ἐλάττονα ἀποφατικὴν ἐνδεχομένην δείξας, τὴν δὲ μείζονα ὑπάρχουσαν ἢ ἀποφατικὴν ἢ καταφατικήν, νῦν τίθησι τὰς ἐχούσας τὴν ἐλάττονα ἀποφατικὴν ὑπάρχουσαν, τὴν δὲ μείζονα ἐνδεχομένην ἢ καταφατικὴν ἢ ἀποφατικήν. καὶ φησὶν ἀσυλλογίστους εἶναι ταύτας. εἴπομεν γὰρ καὶ κατ' ἀρχὰς ὅτι ἐπὶ μὲν τῶν ἐχουσῶν ἐν τῇ μείζονι τὴν ἐνδεχομένην, δεῖ δὲ καὶ τὸ ποσὸν τῆς μείζονος φυλάξαι καὶ τὸ ποιὸν τῆς ἐλάττονος. ἐπὶ δὲ τῶν ἐχουσῶν τὴν μείζονα ὑπάρχουσαν, μόνον ἀρκεῖ φυλάξαι τὸ ποσὸν τῆς μείζονος. διότι ἡ μὲν ἐνδεχομένη ἀποφατικὴ μεταλαμβάνεται εἰς τὴν καταφατικήν. καὶ ποιεῖ συλλογιστικὴν τὴν συζυγίαν. ἡ δὲ ὑπάρχουσα ἀποφατικὴ οὐ μεταλαμβάνεται εἰς τὴν καταφατικήν. δείκνυσι δὲ ταύτας ἀσυλλογίστους. τῷ καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ συνάγειν. ταύτῃ γὰρ ἐχαρακτηρίζοντο αἱ ἀσυλλόγιστοι. ληψόμεθα δὲ ἡμεῖς ὅροις μᾶλλον ἁρμόζοντας ταῖς προκειμέναις. ὡς γὰρ εἴπομεν ἐστὶν ὅτι ἀδιέστερον αὐτὸς κέχρηται τοῖς ὅροις, ἔστωσαν οὖν τοῦ μὲν τὸ παντὶ συνάγειν ὅροι. λευκὸν περιπατητικόν. κύκνος. λευκὸν παντὶ ἢ μηδενὶ περιπατητικὸν ἐνδεχέσθω. περιπατητικὸν μηδενὶ κύκνῳ ὑπαρχέτω. καὶ συνάγεται λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης. τοῦ δὲ τὸ μηδενὶ συνάγεσθαι τὰ μὲν ἄλλα ὡσαύτως. ἀντὶ δὲ τοῦ κύκνου ἔστω κόραξ. λευκὸν παντὶ ἢ μηδενὶ περιπατητικὸν ἐνδεχέσθω. περιπατητικὸν μηδενὶ κόρακι ὑπαρχέτω. καὶ συνάγεται λευκὸν οὐδενὶ κόρακι ἐξ ἀνάγκης.

» ΦΑΝΕΡΟΝ οὖν ὅτι καθόλου τῶν ὅρων ὄντων, καὶ τῆς μὲν ὑπάρχειν, τῆς δὲ ἐνδέχεσθαι λαμβανομένης τῶν προτάσεων, ὅταν ἡ πρὸς τὸ ἔλαττον ἄκρον ἐνδέχεσθαι λαμβάνηται πρότασις, ἀεὶ γίνεται συλλογισμός.

Εἰκότως. εἴτε καταφατικὴ ἡ ἐλάττων ὅπως ἂν ἔχῃ ἡ μείζων αὐτόθεν καὶ δι' αὐτῶν τῶν προτάσεων ἐγίνετο ὁ συλλογισμός. εἴτε ἀποφατικὴ πάλιν τῆς μείζονος ἀδιαφορούσης κατὰ τὸ ποιόν. μεταλαμβανομένης τῆς ἐλάττονος πάλιν ἐγίνετο συλλογισμός.

» ΠΛΗΝ ὁτὲ μὲν, ἐξ αὐτῶν. ὁτὲ δὲ, ἀντιστραφείσης τῆς προτάσεως.

Τὸ δὲ ἐξ αὐτῶν οὐ τοῦτό φησιν ὅτι τῇ δι' εὐθείας δείξει. πάντες γὰρ ἐδείχθησαν τῇ μεταλήψει τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον. καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. ἀλλ' ὅτι φυλάξαντες τὸ ἴδιον ποιόν. οἷον αἱ ἔχοντες τὴν ἐλάττονα καταφατικήν. οἱ δὲ ἄλλοι οὐ δι' ἑαυτῶν ἐδείχθησαν. ἀλλὰ μεταληφθεισῶν ἐξ ἀποφατικῆς εἰς καταφατικήν. τί οὖν φησὶν οὐχὶ καὶ ἐπ' ἐκείνων πάντων μεταλαμβάνομεν τὸν ἐνδεχόμενον τρόπον εἰς τὸν ὑπάρχοντα ὥσπερ καὶ ἐπὶ τούτων τὴν ἀποφατικὴν εἰς τὴν καταφατικήν. ὥστε οὐδὲ ἐκεῖνοι δι' ἑαυτῶν ἐδείχθησαν. ἀλλὰ φαμὲν ὅτι ὥσπερ οἱ ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμοὶ ἀνάγονται εἰς τὸ πρῶτον σχῆμα. οὐχ ὡς οὐκ ἔχοντες ἀφ' ἑαυτῶν τὸ ἀναγκαῖον. οὐδὲν γὰρ ἧττον καὶ εἰ μὴ ἀνηνέχθησαν εἰς τὸ πρῶτον σχῆμα, εἶχον ἐξ ἀνάγκης τὸ συμπέρασμα ἑπόμενον. ἀλλὰ διὰ τοῦτο καὶ μόνον ἀνήγοντο ὥστε σαφεστέραν ἡμῖν τὴν δεῖξιν διὰ τῶν γνωριμωτέρων γενέσθαι, οὕτω φημὶ καὶ ἐπὶ τῆς μεταλήψεως τοῦ ἐνδεχομένου εἰς τὸ ὑπάρχον ὅτι κἂν μὴ μετεληφθῶσιν αἱ προτάσεις, οὐδὲν ἧττον τὸ συμπέρασμα εἶχον ἑπόμενον. ἀλλ' ἐπειδὴ ἄδηλός τίς ἐστιν ἡ μίξις τοῦ ἀναγκαίου καὶ ἐνδεχομένου, διὰ τοῦτο γνωριμωτέραν ποιῶν τὴν διδασκαλίαν, μετέλαβε τὴν ἐνδεχομένην εἰς τὴν ὑπάρχουσαν. ἐν μέντοι ταῖς ἐχούσαις τὴν ἐλάττονα ἀποφατικήν, οὐχ ἁπλῶς διὰ τὴν σαφήνειαν τῆς διδασκαλίας ἡ μετάληψις γίνεται. ἀλλ' ὅσον φυλαττομένης τῆς ἀποφατικῆς καὶ ὅσον ἐπ' αὐτῇ, ἀσυλλόγιστός ἐστιν ἡ συζυγία. ἐπειδὴ δὲ οὐκ ἀδύνατόν ἐστι μεταλαβεῖν αὐτὴν εἰς τὴν καταφατικήν. μεταλαμβανομένη ποιεῖ τὴν συζυγίαν συλλογιστικήν.

» ΠΟΤΕ δὲ τούτων ἑκάτερος, καὶ διὰ τίνα αἰτίαν, εἰρήκαμεν.

Ὅτι δι' ἑαυτῶν μὲν δείκνυνται ὅταν ἔχωσι τὴν ἐλάττονα καταφατικήν, εἴτε ὑπάρχουσαν, εἴτε ἐνδεχομένην. δι' ἀντιστροφῆς δὲ ὅταν ἡ ἐλάττων ἐστὶν ἀποφατικὴ ἐνδεχομένη. δι' ἣν δὲ αἰτίαν, ὅτι τὸ μὲν συλλογιστικῶν συζυγιῶν χαρακτηριστικὸν ἐν πρώτῳ σχήματι τὸ τὴν ἐλάττονα εἶναι καταφατικήν. καὶ ὅτι ἡ ἀποφατικὴ ἐνδεχομένη κατὰ τὸ τοῦ ἐνδεχομένου πρὸς διορισμόν, δύναται μεταληφθῆναι εἰς καταφατικήν.

» ΕΑΝ δὲ τὸ μὲν, καθόλου τὸ δὲ ἐν μέρει ληφθῇ τῶν διαστημάτων, ὅταν μὲν πρὸς τὸ μεῖζον ἄκρον καθόλου τεθῇ καὶ ἐνδεχόμενον, εἴτε ἀποφατικόν, εἴτε καταφατικόν. τὸ δὲ ἐν μέρει καταφατικὸν ὑπάρχον, ἔσται συλλογισμὸς τέλειος. καθάπερ καὶ καθόλου τῶν ὅρων ὄντων. ἀπόδειξις δὲ ἡ αὐτὴ ἥπερ καὶ πρότερον.

οὐκ ἔτι οὖν πᾶσα ἀνάγκη τὸ ἀντικείμενον τούτῳ ἀληθὲς ἔσται τὸ οὐκ ἀνάγκη τινί. ὅπερ ταυτόν ἐστι τῷ οὐδενὶ ἐξ ἀνάγκης. ἀνάγκη γάρ φησι πᾶσα ὅταν συλλογισμὸν διὰ τοῦ ἀδυνάτου δεικνύωμεν, τὴν ἀντικειμένην φάσιν τουτέστι πρότασιν τῇ ὑποθέσει ᾗ ἀδύνατον ἠκολούθησεν, ταύτην εἶναι ἀληθῆ.

ἜΣΤΙ δὲ ἐκ τῶν ὅρων φανερὸν, ὅτι οὐκ ἔστι τὸ συμπέρασμα ἐνδεχόμενον. ἔστω γὰρ τὸ μὲν ἐφ' ᾧ τὸ α, κόραξ. τὸ δὲ ἐφ' ᾧ τὸ β, διανοούμενον. ἐφ' ᾧ δὲ γ, ἄνθρωπος. οὐδενὶ δὴ τῷ β τὸ α ὑπάρχειν. οὐδὲν γὰρ διανοούμενον κόραξ. τὸ δὲ β παντὶ ἐνδέχεται τῷ γ. παντὶ γὰρ ἀνθρώπῳ ἐνδέχεται τὸ διανοεῖσθαι. ἀλλὰ τὸ α ἐξ ἀνάγκης, οὐδενὶ τῷ γ. οὐκ ἄρα τὸ συμπέρασμα ἐνδεχόμενον.

Ὅροις ἐκτίθεται δι' ὧν δείκνυσιν τέως μὲν ὅτι οὐ συνάγεται τὸ ἐνδέχεται μηδενί. κόρακα. διανοούμενον. ἄνθρωπον. μείζων, κόραξ. ἐλάττων, ἄνθρωπος. κόραξ μὲν γάρ φησι οὐδενὶ διανοουμένῳ ὑπάρχει. διανοούμενον δὲ, ἐνδέχεται παντὶ ἀνθρώπῳ. καὶ συνάγεται κόραξ οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. ὥστε τέως ἔχομεν διὰ τούτων. ὅτι οὐ συνάγεται τὸ ἐνδεχόμενον. διὰ δὲ τῶν ἑξῆς ὅρων, δείκνυσιν ὅτι οὐδὲ ἀναγκαῖόν ἐστιν ἀεὶ τὸ συμπέρασμα. πλὴν ὅτι οὔτε ἐνταῦθα καλῶς ἔλαβε τοὺς ὅρους. ἀναγκαίαν γὰρ ἔλαβε τὴν μείζονα πρότασιν οὐχ ὑπάρχουσαν κυρίως. κόραξ γὰρ οὐδενὶ διανοουμένῳ οὐχ ὑπάρχει μόνον. ἀλλ' ἐξ ἀνάγκης οὐχ ὑπάρχει.

ἈΛΛ' οὐδ' ἀναγκαῖον ἀεί. ἔστω γὰρ τὸ μὲν α κινούμενον. τὸ δὲ β ἐπιστήμη. τὸ δὲ ἐφ' ᾧ γ, ἄνθρωπος. τὸ μὲν οὖν α, οὐδενὶ τῷ β ὑπάρξει. τὸ δὲ β παντὶ τῷ γ ἐνδέχεται. καὶ οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. οὐ γὰρ ἀνάγκη μηδένα κινεῖσθαι ἄνθρωπον. ἀλλ' οὐκ ἀνάγκη τινά. δῆλον οὖν ὅτι τὸ συμπέρασμά ἐστι, τοῦ μηδενὶ ἐξ ἀνάγκης ὑπάρχειν. ληπτέον δὲ βέλτιον τοὺς ὅρους.

Δείξας διὰ τῶν προλαβόντων ὅρων ὅτι οὐκ ἔστιν ἐνδεχόμενον τὸ συμπέρασμα. διὰ τούτων δείκνυσιν ὅτι οὐδὲ ἀναγκαῖον συνάγεται. ἔστω γὰρ κινούμενον μὲν μηδεμιᾷ ἐπιστήμῃ ὑπάρχειν. ἐπιστήμη δὲ ἐνδέχεται παντὶ ἀνθρώπῳ ὑπάρχειν. καὶ συνάγεται κινούμενον μηδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχειν. δῆλον δὲ ὅτι τὴν ἐπιστήμην ἐνταῦθα, ἀντὶ τοῦ ἐπιστήμονος λαμβάνει. ἐπεὶ ἀναγκαία καὶ οὐχ ὑπάρχουσα ἔσται ἡ ἀπόφασις. ὥστε φησὶν ὅτι μήτε ἐνδεχόμενον ἀεὶ ἐστὶ τὸ συμπέρασμα. μήτε ἀεὶ ἀναγκαῖον, ἀλλ' ὡς πολλάκις εἴρηται ὅτι τοῦ οὐδενὶ ἐξ ἀνάγκης ἐστὶν ὡς δέδεικται πρότερον. συναισθόμενος δὲ καὶ αὐτὸς ὅτι οὐκ ἔλαβε καλῶς τοὺς ὅρους, φησὶν ὅτι ληπτέον δὲ κάλλιον τοὺς ὅρους. λάβωμεν δὲ καὶ αὐτοὺς βέλτιον, οὕτως. βαδίζον. ἀλλοιούμενον. ζῷον. λέγω οὖν οὕτως. βαδίζον μηδενὶ ἀλλοιουμένῳ ὑπαρχέτω. ἀλλοιούμενον ἐνδέχεται παντὶ ζῴῳ ὑπάρχειν. καὶ συνάγεται βαδίζον οὐδενὶ ζῴῳ ἐξ ἀνάγκης ὑπάρχειν. οὐ γὰρ ἀληθὲς τὸ μηδενὶ ζῴῳ λέγειν τὸ βαδίζον ἐνδέχεσθαι. ἐπειδὴ ἐφ' ὧν τὸ μηδενὶ ἀληθεύει, ἐπὶ τούτων καὶ τὸ παντὶ ἐνδέχεται. οὐ πάντα δὲ τὰ ζῷα βαδίζει. οὐδὲ γὰρ τὰ ἑρπετά. ὥστε διὰ τοῦτο οὐκ ἀληθεύει ἐπὶ τούτων τὸ ἐπὶ πᾶν μηδενὶ ἐνδέχεσθαι. μόνως ἄρα ἀληθές. τὸ οὐδενὶ ἐξ ἀνάγκης ζῴῳ τὸ βαδίζειν λέγειν ὑπάρχειν. ἀληθὲς γὰρ καὶ ἐπὶ τῶν ἑρπόντων ἐπὶ πᾶν ὅτι οὐδενὶ αὐτῶν ἐξ ἀνάγκης τὸ βαδίζειν ὑπάρχει ὥσπερ ἤδη καὶ πρὸ τούτου εἴπομεν.

ἘΑΝ δὲ τὸ στερητικὸν τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον ἐνδέχεσθαι σημαῖνον, ἐξ αὐτῶν μὲν τῶν εἰλημμένων προτάσεων, οὐδεὶς ἔσται συλλογισμός. ἀντιστραφείσης δὲ τῆς κατὰ τὸ ἐνδέχεσθαι προτάσεως, ἔσται καθάπερ ἐν τοῖς πρότερον. ὑπαρχέτω γὰρ τὸ α παντὶ τῷ β. τὸ δὲ β ἐνδεχέσθω μηδενὶ τῷ γ. οὕτω μὲν οὖν ἐχόντων τῶν ὅρων οὐδὲν ἀναγκαῖον ἔσται. ἐὰν δὲ ἀντιστραφῇ τὸ βγ. καὶ ληφθῇ τὸ β παντὶ τῷ γ ἐνδέχεσθαι, γίνεται συλλογισμὸς, ὥσπερ πρότερον. ὁμοίως γὰρ ἔχουσιν οἱ ὅροι τῇ θέσει. τὸν αὐτὸν δὲ τρόπον καὶ στερητικῶν ὄντων ἀμφοτέρων τῶν διαστημάτων. ἐὰν τὸ μὲν αβ μηδενὶ ὑπάρχειν. τὸ δὲ βγ μηδενὶ ἐνδέχεσθαι σημαίνῃ, δι' αὐτῶν μὲν γὰρ τῶν εἰλημμένων, οὐ γίνεται τὸ ἀναγκαῖον. ἀντιστραφείσης δὲ τῆς κατὰ τὸ ἐνδέχεσθαι προτάσεως, ἔσται συλλογισμός. εἰλήφθω γὰρ τὸ μὲν α μηδενὶ τῷ β ὑπάρχειν. τὸ δὲ β ἐνδεχέσθω, μηδενὶ τῷ γ. διὰ μὲν οὖν τούτων, οὐδὲν ἀναγκαῖον.

Ἐκθέμενος πάσας τὰς συζυγίας τῶν καθόλου συλλογισμῶν τὰς τὴν ἐλάττονα πρότασιν ἐχούσας καταφατικὴν. τὴν δὲ μείζονα ἢ καταφατικὴν ἢ ἀποφατικὴν. ἐπί τε τῶν ἐχουσῶν συζυγιῶν τὴν μείζονα ἐνδεχομένην ἐπί τε τῶν τὴν ἐλάττονα. νῦν τὰς ἐχούσας τὴν ἐλάττονα ἀποφατικὴν τίθησιν. ἐὰν οὖν φησὶν ἡ ἐλάττων ᾖ ἐνδεχομένη ἀποφατική. γίνεται μὲν συλλογισμὸς, πλὴν ἀτελής. οὐ γὰρ διὰ τῶν ἐξ ἀρχῆς ἡμῖν εἰλημμένων. λέγω δὴ ἀποφατικῆς μενούσης τῆς ἐλάττονος. ἀλλὰ μεταλαμβανομένης αὐτῆς εἰς ἐνδεχομένην καταφατικήν. εἰ μὲν οὖν ἡ μείζων καταφατικὴ ὑπάρχουσα. δῆλον ὅτι ἀντιστραφείσης τῆς ἐλάττονος, γενήσεται συμπέρασμα τοιοῦτον. οἷον ἐγίνετο καὶ ἐκ τῶν δύο καταφατικῶν. εἰ δὲ ἀποφατικὴ καὶ ἡ μείζων ἐστὶ, πάλιν ἀντιστραφείσης τῆς ἐλάττονος εἰς τὴν καταφατικὴν τὸ συμπέρασμα ἕξουσιν οἷον καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος καταφατικῆς ἐνδεχομένης. λέγω δὴ τοῦ οὐδενὶ ἐξ ἀνάγκης. καὶ ὅσα ἁπλῶς εἴρηται ἐξ ἐκείνων, ταῦτα καὶ ἐπὶ τούτων λεχθήσεται.

ἘΑΝ δὲ ληφθῇ τὸ β παντὶ τῷ γ ἐνδέχεσθαι ὅπερ ἐστὶν ἀληθές. ἡ δὲ αβ πρότασις ὁμοίως ἔχῃ, πάλιν ὁ αὐτὸς ἔσται συλλογισμός.

ὡς ἰσοδυναμοῦσα αὐτῇ. περιέξει ἄρα ἡ οὐκ ἐνδέχεται παντὶ τὰς δύο τοῦ ἀναγκαίου μερικάς. εἰ γὰρ αἱ δύο μερικαὶ τοῦ ἀναγκαίου μάχονται τῷ ἐνδέχεται παντί. μάχεται δὲ αὐτῷ καὶ ἡ οὐκ ἐνδέχε-ται παντί. περιέξει ἄρα αὕτη τὰς δύο. πάλιν τῶν δύο τούτων λαμβανομένων ἐν τῷ συλλογισμῷ τῆς μὲν ἀνάγκη μὴ παντὶ ὑποτεθείσης, εὑρήκαμεν ἀδύνατόν τι ἀκολουθοῦν, ὥστε τὸ ἀντικείμενον αὐτῇ εἶναι τὸ συναγόμενον. τῇ δὲ ἀνάγκη τινὶ ὑποτεθείσῃ, οὐδὲν ἀδύνατον ἀκολουθεῖ. ὥστε οὐ συνάγεται τὸ ἀντικείμενον αὐτῇ. ὅτι γὰρ οὐδὲν ἀδύνατον αὐτῇ ὑποτεθείσῃ ἀκολουθεῖ, δῆλον. εἰ γὰρ τὸ α ἀνάγκη τῷ γ, τὸ δὲ β παντὶ τῷ γ ὑπάρχει, τὸ ἄρα α τινὶ τῷ β ὑπάρχει. ἦν δὲ καὶ παντί. καὶ οὐδὲν ἀδύνατον τὸ αὐτὸ καὶ παντὶ καὶ τινί. μόνον ἄρα συνάγεται τὸ ἀντικείμενον τοῦ ἀνάγκη μὴ παντί. τὸ δὲ ἀνάγκη μὴ παντὶ ἥμισυ ἦν τοῦ οὐκ ἐνδέχεται παντί. τὸ ἄρα ἀντικείμενον τῷ ἡμίσει τοῦ οὐκ ἐνδέχεται παντὶ ἐστὶ τὸ συναγόμενον. ὥστε καὶ ἐν ταύτῃ τῇ συζυγίᾳ τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγεται. πῶς οὖν οὐκ εἶπεν τοῦτο ὁ ἀριστοτέλης ἐπὶ ταύτης τῆς συζυγίας, ἀλλ' ἐπὶ τῆς στερητικῆς μόνης. τί οὖν πρὸς τοῦτο ἡ-μεῖς. ὅτι ἀκόλουθά τι πεποίηκεν πρὸς ἑαυτόν. ἐπειδὴ γὰρ ὡς ἑπόμενον τὴν μὲν ἀποφατικὴν ἐν-δεχομένην μεταλαμβάνει εἰς τὴν καταφατικήν. τὴν δὲ καταφατικὴν οὐκέτι εἰς τὴν ἀποφα-τικήν. διὰ τοῦτο ἐπὶ μὲν τῆς στερητικῆς. ἐπειδὴ τὸ συμπέρασμα ἀποφατικὸν ἦν ἐνδεχόμενον κα-τὰ τὰς ἐνταῦθα παραλαμβανομένας ἀποφάσεις. λέγω δὲ τὸ ἐνδέχεται μηδενί. καὶ διὰ τοῦτο εὑ-ρίσκομεν αὐτῷ μαχομένας τὰς δύο τοῦ ἀναγκαίου μερικὰς προτάσεις. τὴν μὲν δι' αὐτήν, τὴν δὲ διὰ τὴν ἐνδέχεται παντί. ἐπειδὴ λαμβάνομεν ἰσοδυναμοῦσαν τὴν ἐνδέχεται μηδενὶ τῇ ἐν-δέχεται παντί. ἐπειδὴ οὖν ἐνταῦθα εὑρίσκομεν τὰς δύο τοῦ ἀναγκαίου μερικὰς ἀντικειμένας τῇ ἐνδέχεται μηδενί. καὶ διὰ τοῦτο περιεχομένας ὑπὸ τῆς ἄλλης ἀποφατικῆς τῆς οὐκ ἐνδέχεται μηδε-νί, καὶ εὑρίσκομεν τὸ μὲν ἀντικείμενον μόνον τῆς ἑτέρας τῶν μερικῶν προτάσεων συναγόμενον. δια-τοῦτο ἐλέγομεν τὸ ἥμισυ τοῦ ἐνδεχομένου μόνον συνάγεσθαι. ἐπειδὴ δὲ ἐν τῇ κατηγορικῇ συζυγίᾳ κα-ταφατικὸν ἐνδεχόμενόν ἐστι τὸ συμπέρασμα. οὐ μεταλαμβάνεται δὲ ἡ κατάφασις εἰς τὴν ἀπόφασιν. δῆλον ἄρα ὅτι ἡ μία μόνη τοῦ ἀναγκαίου μερικὴ πρότασις ἀντίκειται τῷ συμπεράσματι, ἡ ἀνάγκη μὴ παντί. ὥστε ἡ οὐκ ἐνδέχεται παντὶ αὐτὴν μόνην περιέχει. τιθεμένης δὲ αὐτῆς, ἀδύνατόν τι ἠκολού-θει. δῆλον ὅτι τὸ ἀντικείμενον αὐτῇ ἔσται ἀληθές. ἔστι δὲ αὕτη οὐχ ἥμισυ τοῦ ἐνδεχομένου, ἀλλ' ὅλον. καὶ ἡ ἀντικειμένη ἄρα αὐτῇ οὐχ ἥμισυ ἔσται τοῦ ἐνδεχομένου. εἰκότως ἄρα ἐπὶ τῆς καταφατικῆς συζυγίας, οὐκ εἶπεν τὸ ἥμισυ συνάγεσθαι τοῦ ἐνδεχομένου. εἰκότως ἄρα ἐπὶ τῆς καταφατικῆς συζυγίας. οὐκ εἶ-πεν τὸ ἥμισυ συνάγεσθαι τοῦ ἐνδεχομένου. τὸ μὲν οὖν βούλημα τοῦ φιλοσόφου ὡς ἐν ἦν διὰ τούτων ἐδηλώσαμεν. ἴδωμεν δὲ καὶ ἐπ' αὐτῆς τῆς λέξεως τὰ εἰρημένα.

» ΜΗ γὰρ ἐνδεχέσθω, τὸ δὲ β τῷ γ κείσθω ὑπάρχειν, καθάπερ πρότερον. ἀνάγκη δὲ τὸ α τινὶ τῷ β
» ὑπάρχειν. γίνεται γὰρ συλλογισμὸς, διὰ τοῦ τρίτου σχήματος. τοῦτο δὲ ἀδύνατον, ὥστ' ἐνδέχοιτο ἂν τὸ α
» μηδενὶ τῷ γ. ψεύδους γὰρ ὑποτεθέντος καὶ οὐκ ἀδυνάτου, ἀδύνατον συμβαίνει.

Ε ἰπὼν τὸ ἐνδέχεσθαι μηδενὶ συνάγεσθαι ποιοῦται εἰς ἀδύνατον ἀπαγωγὴν τὸ εἰρημένον καὶ τίθησι τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ μὴ ἐνδέχεσθαι μηδενί. ἐπειδὴ ἐπὶ παντὸς πράγματος ἢ τὴν κατάφα-σιν ἀνάγκη ἀληθεύειν ἢ τὴν ἀπόφασιν. μεταλαμβάνει δὲ καὶ τὴν ἐλάττονα πρότασιν εἰς ὑπάρχου-σαν. ἀνάγκη δὴ τὸ α τινὶ τῷ β ὑπάρχειν. ἀλλ' ὑπέκειτο καὶ οὐδενὶ ὅπερ ἄτοπον. ψευδὴς ἄρα ἡ ὑπόθε-σις ἡ οὐκ ἐνδέχεται οὐδενί. οὐκοῦν ἡ ἀληθὴς ἀντικειμένη ἡ ἐνδέχεται μηδενί. ὅπερ ἔδει δεῖξαι.

» ΟΥ̓ΤΟΣ οὖν ὁ συλλογισμὸς, οὐκ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου.

Τ ὸ συμπέρασμά φησι τὸ συναχθέν. οὐκ ἔστι τοιούτου ἐνδεχομένου οἷον περὶ ἡμᾶς ἐξ ἀρχῆς διωρισάμεθα. τοῦτο δὲ ἦν. ὃ ἀντιστρέφουσαν εἶχε τὴν μηδενὶ πρὸς τὴν παντί. τοῦτο δὲ τὸ συμπέρασμα, οὐκ ἔστι τοιοῦτον. ὅτι γὰρ οὐ δύναται ἀντιστρέφειν πρὸς τὴν παντί, ἐδείξαμεν ἤδη θέντες τὸ ἀντικείμενον τὸ ἐνδέχεσθαι παντὶ λέγω δὴ τὸ ἀνάγκη παντί. λέγω δὴ τὸ ἀνάγκη μὴ παντί. καὶ μηδὲν εὑρισκόμενον αὐτῷ ἄτοπον ἀκολουθοῦν, ἵνα οὕτω κατασκευάσωμεν τὸ ἀντικείμενον. ὥστε οὐ δύναται συμπεραίνεσθαι τὸ ἀντικείμενον τὸ ἀνάγκη μὴ παντί. ὃ δὲ μὴ συμπεραίνεται. οὐκ ἄρα ἰσοδυναμεῖ ἐνταῦθα τὸ συναχθὲν συμπέρασμα λέγω δὴ τὸ ἐνδέχεται μηδενὶ τῷ ἐνδέχεσθαι παντί. τὸ δὲ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον. ἰσοδυναμούσας ταύτας εἶχε τὰς προτάσεις. οὐκ ἄρα τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἐστὶ τοῦτο τὸ συμπέρασμα.

» ΑΛΛΑ τοῦ μηδενὶ ἐξ ἀνάγκης. αὕτη γάρ ἐστιν ἡ ἀντίφασις τῆς γενομένης ὑποθέσεως. ὑπετέθη γὰρ
» ἐξ ἀνάγκης τὸ α τινὶ τῷ γ ὑπάρχειν. ὁ δὲ διὰ τοῦ ἀδυνάτου συλλογισμὸς, τῆς ἀντικειμένης ἐστὶν ἀπο-
» φάσεως.

Ε ἰπὼν ὅτι οὐκ ἔστι τὸ συμπέρασμα τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου. προστίθησι διὰ τούτων ποίου ἐστὶν ὅτι τοῦ οὐδενὶ ἐξ ἀνάγκης. τίς δὲ ἡ διαφορὰ τοῦ πρὸς τὸ ἐνδέχεται μηδενί, ἐροῦμεν. ὅτι δὲ τοῦτό ἐστι φησὶ τὸ συναγόμενον δῆλον. τῇ γὰρ εἰς ἀδύνατον ἀπαγωγῇ βουλόμενος κατασκευάσαι τὸ ἐνδέχεται μηδενί. καὶ λαβόντα τὸ ἀντικείμενον αὐτῷ τὸ οὐκ ἐνδέχεται μηδενὶ ὅπερ ἐστὶ ταυτὸν τῷ ἀνάγκη τι-νί. εἰς ὃ μετελάβομεν διὰ τὸ σαφές. ὑποθέμενοι οὖν τὸ ἀνάγκη τινί. εὕρομεν ἀδύνατόν τι ἀκολουθοῦν.

τὸ δεῖ τὸ συναγόμενον. νῦν δὲ οὐ περιέχεται ὑπ' αὐτῆς. ἡ δὲ αἰτία δι' ἣν οὐ περιέχεται αὕτη. ἡ γὰρ τῷ ἐνδέχεται μηδενὶ ἀντίκειται ἡ οὐκ ἐνδέχεται μηδενὶ ἰσοδυναμοῦσα τῷ ἐνδέχεται παντί. ἡ δὲ ἐνδέχεται παντί. οὐκ ἀντίκειται τῇ ἀνάγκῃ παντί. οὐκ ἄρα περιέξει ἡ οὐκ ἐνδέχεται οὐδενὶ τὴν ἀνάγκῃ παντὶ ἀντικειμένας ἔχουσα τῷ ἐνδέχεται παντὶ διὰ τὸ ἰσοδυναμεῖν αὐτὴν τὸ ἐνδέχεται μηδενί. ἠκολούθησεν δὲ ὅλως τῇ ἀνάγκῃ παντὶ ἀδύνατον. διότι τῇ καθόλου ἀποφατικῇ δύο μάχονται καταφάσεις. ἥτε καθόλου καὶ ἡ μερική. ἡ μὲν ὡς ἀντιφατικῶς ἀντικειμένη. ἡ δὲ ὡς ἐναντία. διὰ τοῦτο οὖν καὶ τῇ παντὶ τιθείσῃ ἠκολούθησεν τὸ ἀδύνατον. οὐχ ὡς ἀντιφατικῇ. ἀλλ' ὡς ἐναντίᾳ. μόνως ἄρα ἐστὶ τὸ συναγόμενον τὸ ἀντικείμενον τῷ ἀνάγκῃ τινί. ὅπερ ἐστὶ τὸ οὐκ ἀνάγκῃ τινί. ὅπερ ταυτὸν ἐστὶ τῷ οὐδενὶ ἐξ ἀνάγκης. διαφέρει δὲ τὸ οὐδενὶ ἐξ ἀνάγκης τοῦ ἐνδέχεται μηδενί. καὶ διὰ τοῦτό φησιν αὐτὸς ὅτι τὸ ἐνδέχεται μηδενὶ συναγόμενον ἐν τούτῳ τῷ συλλογισμῷ, οὐκ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἀλλὰ τοῦ οὐδενὶ ἐξ ἀνάγκης. ἐπὶ πλέον δὲ ἐστὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης τοῦ ἐνδέχεται μηδενί. καὶ ὅτι τοῦτό ἐστι, δείξομεν αὐτὸ καὶ λογικώτερον, καὶ διὰ παραδειγμάτων. λογικώτερον μὲν δι' αὐτῶν τῶν προτάσεων οὕτως. τῷ ἐνδέχεται μηδενί, ἀντίκειται ἥτε ἀνάγκῃ τινὶ καὶ ἡ ἀνάγκῃ μὴ παντὶ ὡς εἴρηται πολλάκις. ἐφ' ὧν γὰρ ἐκείνη ψεύδεται, αὗται ἀληθεύουσιν. καὶ ἀνάπαλιν. τῷ δὲ οὐκ ἀνάγκῃ τινὶ ὅπερ ταυτόν ἐστι τῷ οὐδενὶ ἐξ ἀνάγκης ἀντίκειται μόνη ἡ ἀνάγκῃ τινί. ὥστε καὶ ἐνταῦθα ἐφ' ὧν ἡ ἑτέρα ψεύδεται, ἡ ἑτέρα ἀληθεύει. καὶ ἔμπαλιν. ἐπεὶ οὖν τῷ ἐνδέχεται μηδενὶ δύο μάχονται προτάσεις τῶν ἀναγκαίων. ἥτε ἀνάγκῃ τινὶ καὶ ἡ ἀνάγκῃ μὴ παντί. τῷ δὲ οὐκ ἀνάγκῃ τινὶ ἥτις ἰσοδυναμεῖ τῷ οὐδενὶ ἐξ ἀνάγκης ἡ ἑτέρα τούτων μόνον ἡ ἀνάγκῃ τινί. ἐφ' ὧν ἄρα αἱ δύο προτάσεις ἥτε ἀνάγκῃ τινὶ καὶ ἀνάγκῃ μὴ παντὶ ἀληθεύουσιν, ἐπὶ τούτων ἡ ἐνδέχεται μηδενὶ ψεύδεται. ἐφ' ὧν δὲ ἡ ἀνάγκῃ τινὶ ἀληθεύει. ἐπὶ τούτων μόνον ἡ οὐκ ἀνάγκῃ τινὶ ψεύδεται ἥτις ἰσοδυναμεῖ τῷ οὐδενὶ ἐξ ἀνάγκης. ἐπ' ἐλαττόνων ἄρα ψεύδεται ἡ οὐκ ἀνάγκῃ τινὶ τοῦ ἐνδέχεται μηδενί. ἐπεὶ δὲ ἐπ' ἐλαττόνων ψεύδεται ἡ οὐκ ἀνάγκῃ τινί, ἐπὶ πλειόνων ἀληθεύει. ὅτι δὲ μόνη ἡ ἀνάγκῃ τινὶ μάχεται τῇ οὐκ ἀνάγκῃ τινὶ οὐκέτι δὲ καὶ ἡ ἀνάγκῃ μὴ παντί, δῆλον ἐξ ὧν καὶ συναληθεύουσιν ἐπί τινων ὅρων. οἷον ὡς ἐπὶ τοῦ περιπατεῖν καὶ τοῦ ζώου. καὶ γὰρ τὸ λέγειν ὅτι οὐκ ἀνάγκῃ τινὶ ζώῳ τὸ περιπατεῖν ὑπάρχειν, ἀληθές. οὐδὲν γὰρ ζῶον ἐξ ἀνάγκης περιπατεῖ. καὶ πάλιν τὸ λέγειν ὅτι ἀνάγκῃ μὴ παντὶ ζώῳ τὸ περιπατεῖν ὑπάρχειν, ἀληθές, διὰ τὰ ἑρπετά. οὐδὲν γὰρ τῶν ἑρπετῶν περιπατεῖ. οὕτω μὲν οὖν κοινῷ λόγῳ δεδείχθω ἐπὶ πλεῖον οὖσα τῆς ἐνδέχεται μηδενὶ ἡ οὐδενὶ ἐξ ἀνάγκης. δειχθήσεται δὲ καὶ τοῖς παραδείγμασι. λέγω δὲ διὰ τῶν ὅρων αὐτῶν πάλιν ἐπὶ τοῦ ζώου καὶ τοῦ περιπατεῖν. τὸ μὲν γὰρ εἰπεῖν οὐδενὶ ἐξ ἀνάγκης ζώῳ τὸ περιπατεῖν ὑπάρχει. ἀληθεύει καὶ ἐπὶ τῶν περιπατούντων ζώων καὶ ἑρπετῶν. οὐκ ἔστι γὰρ ἀναγκαῖον τούτοις περιπατεῖν. τὸ δὲ ἐνδέχεται μηδενὶ ζώῳ περιπατεῖν, οὐκ ἀληθές ἐστιν ἐπὶ πάντων ἀλλ' ἐπὶ τῶν περιπατούντων. ἐπὶ δὲ τῶν ἑρπετῶν, οὐκέτι ἀληθές. διότι ἐφ' ὧν τὸ ἐνδέχεται μηδενὶ ἐπὶ τούτων καὶ τὸ ἐνδέχεται παντὶ ἀληθεύει. ἐπεὶ οὖν τὸ ἐνδέχεται παντὶ ἐπὶ τῶν ἑρπετῶν ψεῦδος, δῆλον ὅτι καὶ τὸ ἐνδέχεται μηδενί. ἐπὶ πλειόνων ἄρα τὸ οὐδενὶ ἐξ ἀνάγκης ἀληθεύει. τοῦ ἐνδέχεται μηδενί. δυνατὸν δὲ καὶ τὴν ἐκ δύο καταφατικῶν συζυγίαν δεῖξαι τῷ αὐτῷ τρόπῳ. μὴ τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον συνάγουσαν. ἀλλὰ καὶ αὐτὴν τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγουσαν. ὑποκείσθω δὲ πρῶτον ἡμῖν τὸ διάγραμμα.

οὐκ ἀνάγκῃ μὴ παντί.		ἀνάγκῃ μὴ παντί.
οὐκ ἀνάγκῃ τινί.	δι' ἑαυτὴν μάχεται.	ἀνάγκῃ τινί.
ἐνδέχεται παντί.	διὰ τὴν ἐνδεχομένην μηδενὶ μάχεται.	οὐκ ἐνδέχεται παντί.
ἐνδέχεται μηδενί.		οὐκ ἐνδέχεται μηδενί.

μάχεται ταῖς δύο.

Εἰ γὰρ τὸ α παντὶ τῷ β ὑπάρχει. τὸ δὲ β παντὶ τῷ γ ἐνδέχεται ὑπάρχειν. τὸ ἄρα α παντὶ τῷ γ ἐνδέχεται ὑπάρχειν. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐκ ἐνδέχεται παντί ὅπερ ἰσοδυναμεῖ τῷ ἀνάγκῃ μὴ παντί. ἐπεὶ οὖν τὸ μὲν α τῷ γ ἀνάγκῃ μὴ παντί. τὸ δὲ β τῷ γ ὑπάρχει παντί. μεταληφθείσης τῆς ἐνδεχομένης. τὸ ἄρα α τῷ β ὑπάρχει οὐ παντί. ἦν δὲ καὶ παντί, τὸ αὐτὸ καὶ παντὶ καὶ οὐ παντί. ὅπερ ἀδύνατον. ψεῦδος ἄρα τὸ οὐκ ἐνδέχεται παντί. ἀληθὲς δὲ τὸ ἐνδέχεται παντὶ ὅπερ ἔδει δεῖξαι. ἔστιν οὖν καὶ ἐνταῦθα ὁμοίως δεῖξαι ὅτι τὸ ἐνδέχεται παντὶ οὐκ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἀλλ' ἥμισυ τούτου. ἐπεὶ γὰρ μάχεται τῷ ἐνδέχεται παντὶ ὡς καταφάσει ἀπόφασις ἡ οὐκ ἐνδέχεται παντί. μάχονται δὲ αὐτῇ καὶ αἱ δύο τῶν ἀναγκαίων μερικαὶ προτάσεις. ἡ μὲν ἀνάγκῃ μὴ παντὶ δι' ἑαυτὴν ὡς κατὰ παντὶ ἀντικειμένη μάχεται δὲ αὐτῇ καὶ ἡ ἀνάγκῃ τινὶ διὰ τὴν ἐνδέχεται μηδενί.

τὸ α ὑπάρχειν ἤτοι οὐκ ἐνδέχεται οὐδενί· παντὶ γὰρ ἦν. ψεῦδος ἄρα τοῦτο, ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ ἐνδέχεται μηδενὶ ὅπερ ἔδει δεῖξαι, διὰ τοῦ ἀδυνάτου ὅτι ἐνδέχεται μηδενὶ συνάγειν. ἐπάγει δὲ τούτοις καί φησιν ὅτι τοῦτο τὸ συμπέρασμα οὐκ ἔστι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου. τουτέστιν οὐκ ἔστι τοῦτο τὸ ἐνδεχόμενον ὃ ὡρισάμεθα ἐξ ἀρχῆς ὅπερ ἐλέγομεν καὶ ἀντιστρέφειν κατὰ τὰς καταφατικὰς καὶ ἀποφατικάς. ἀλλ' ἔστιν τοῦ μηδενὶ ἐξ ἀνάγκης ὅπερ ἥμισύ φησιν εἶναι τοῦ ἐνδεχομένου. ὅπως δὲ ἔχει τοῦτο, δείξομεν ὧδε ἐκθέμενοι ἐν διαγράμματι πάσας τὰς προτάσεις.

οὐκ ἀνάγκη παντί.		ἀνάγκη παντί.
οὐκ ἀνάγκη τινί.		ἀνάγκη τινί.
οὐκ ἀνάγκη μὴ παντί.	δι' ἐναντίων μάχεται.	ἀνάγκη μὴ παντί.
ἐνδέχεται μηδενί.	διὰ τὸ ἐνδέχεσθαι παντὶ μάχεται.	οὐκ ἐνδέχεται μηδενί.
ἐνδέχεται παντί.		οὐκ ἐνδέχεται παντί.

περιέχει τὰς δύο.

Τὴν δὲ ἐνδέχεται μηδενὶ βουλόμενος δεῖξαι συναγομένην. ἔλαβε τὴν ἀντιφατικῶς ἀντικειμένην ταύτῃ τὴν οὐκ ἐνδέχεται οὐδενί, ἵνα δείξας ταύτῃ ἀδύνατόν τι ἀκολουθοῦν συνάξῃ τὴν ἀντιφατικῶς αὐτῇ ἀντικειμένην τὴν ἐνδέχεται μηδενί. ἐπειδὴ δὲ ὡς εἴρηται δείκνυται διὰ τοῦ τρίτου σχήματος ἡ εἰς ἀδύνατον ἀπαγωγὴ λαμβανόντων ἡμῶν ὡς μίαν πρότασιν τοῦ συλλογισμοῦ τὸ ἐξ ὑποθέσεως λαμβανόμενον συμπέρασμα· καὶ τὴν ἐλάττονα πρότασιν ὡς ὑπάρχουσαν μεταλαμβανόντων. ἄδηλον δὲ ἦν ἐν τρίτῳ σχήματι ἐκ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἐνδεχομένου ποιόν τι γίνεται συμπέρασμα· οὔπω γὰρ οὐδὲν εἴρηται περὶ αὐτῶν. διὰ τοῦτο μεταλαμβάνει τὴν οὐκ ἐνδέχεται οὐδενὶ πρότασιν εἰς ἰσοδυναμοῦσαν αὐτῇ τὴν ἀνάγκη τινί. ὃ γὰρ οὐκ ἐνδέχεται οὐδενί, τοῦτο ἀνάγκη τινί. μεταλαμβάνων τοίνυν τὴν οὐκ ἐνδέχεται οὐδενὶ εἰς τὴν ἀνάγκη τινί· καὶ δεικνὺς ταύτῃ τῇ ὑποθέσει ἀδύνατόν τι ἀκολουθοῦν· ὡς ἐδείξαμεν τὸ τὸ α τῷ β καὶ τινὶ καὶ οὐδενὶ ὑπάρχειν. καὶ διὰ τοῦτο ἐλέγχων ὡς ψευδῆ τὴν ὑπόθεσιν τὴν λέγουσαν ἀνάγκη τινὶ τῷ γ τὸ α ὑπάρχειν. δεικνύει δήπουθεν ἀληθῆ προσεχῶς τὴν ἀντικειμένην αὐτῇ τὴν οὐκ ἀνάγκη τινί. καὶ διὰ τοῦτο τὴν ἐνδέχεται μηδενὶ ὅπερ ἐξ ἀρχῆς προὔκειτο δεῖξαι. τοῦτο δέ φησι τὸ ἐνδέχεται μηδενὶ οὐκ ἔστι τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον. ἀλλὰ τὸ ἥμισυ τούτου ὅπερ ἐστὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης. πῶς καὶ τίνα τρόπον. ὅτι τῇ ἐνδέχεται μηδενὶ ἀντίκειται δι' αὐτὴν μὲν ἡ ἀνάγκη τινί· διὰ δὲ τὴν ἐνδέχεται παντὶ ἰσοδυναμοῦσαν αὐτῇ ἡ ἀνάγκη μὴ παντί. ὥστε αἱ δύο μερικαὶ τοῦ ἀναγκαίου προτάσεις, μάχονται τῇ ἐνδέχεται μηδενί. ἀλλ' ἡ μὲν καταφατικὴ ἡ ἀνάγκη τινὶ ὡς ἀντικειμένη αὐτῇ. κατὰ πάντα κατὰ τὸ ποσὸν κατὰ τὸ ποιὸν κατὰ τὸν τρόπον. ἡ δὲ ἀνάγκη μὴ παντί, ἀντίκειται μὲν τῇ ἐνδέχεται παντί. ἐπειδὴ δὲ ἰσοδυναμεῖ ἡ ἐνδέχεται μηδενὶ τῇ ἐνδέχεται παντί. διὰ τοῦτο καὶ ἡ ἀνάγκη μὴ παντὶ μάχεται τῇ ἐνδέχεται μηδενὶ ὥσπερ καὶ ἐν τῷ διαγράμματι πρόκειται. εἰ τοίνυν τῇ μὲν ἐνδέχεται οὐδενὶ ὡς μὲν καταφάσει ἀπόφασις μάχεται ἡ οὐκ ἐνδέχεται οὐδενί. μάχονται δὲ κατά τε ποιὸν καὶ ποσὸν καὶ τρόπον ἀμφότεραι αἱ μερικαὶ τοῦ ἀναγκαίου προτάσεις κατὰ τὸν εἰρημένον τρόπον, δῆλον ἄρα ὅτι ἡ οὐκ ἐνδέχεται οὐδενὶ περιέχει τὰς δύο μερικὰς τοῦ ἀναγκαίου προτάσεις. εἰ τοίνυν τοῦτο οὕτως ἔχει εὑρίσκομεν δὲ τῇ μὲν ἀνάγκη τινὶ ὑποτιθεμένῃ ἀδύνατόν τι ἀκολουθοῦν, τῇ δὲ ἀνάγκη μὴ παντὶ οὐκ ἔστι· δῆλον ἄρα ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον τῇ ἀνάγκη τινὶ μόνως συνάγεται ὅπερ ἐστὶ τὸ οὐκ ἀνάγκη τινί. εἰ τοίνυν αἱ δύο μὲν μερικαὶ τοῦ ἀναγκαίου προτάσεις ὥσπερ εἴπομεν περιέχονται ὑπὸ τῆς οὐκ ἐνδέχεται οὐδενί. τὸ δὲ ἀντικείμενον τῇ ἑτέρᾳ τούτων μόνον συνάγεται δῆλον ἄρα ὅτι τὸ ἥμισυ τοῦ ἀντικειμένου τῇ οὐκ ἐνδέχεται οὐδενὶ τουτέστι τὸ συναγόμενον ὅπερ ἐστὶ τὸ οὐκ ἀνάγκη τινί. τοῦτο γὰρ ἦν ἀντιφατικῶς ἀντικείμενον τῇ ἀνάγκη τινί. ὅπερ μόνῳ ὑποτεθέντι ἀδύνατόν τι ἠκολούθησεν· ὅτι γὰρ τῷ ἀνάγκη μὴ παντὶ ὑποτεθέντι ἀδύνατον οὐκ ἀκολουθεῖ, δῆλον ἐξ αὐτῶν τῶν προτάσεων. εἰ γὰρ τὸ α ἀνάγκη μὴ παντὶ τῷ γ ὑπάρχει. τὸ δὲ β παντὶ τῷ γ ὑπάρχει, τὸ ἄρα α οὐ παντὶ τῷ β ὑπάρχει. ἦν δὲ καὶ οὐδενί. καὶ οὐδὲν ἀδύνατον τὸ αὐτὸ καὶ οὐδενὶ καὶ οὐ παντί. Ζητήσειε δ' ἄν τις τί δή ποτε οὐ μόνον τῇ ἀνάγκη τινὶ τιθεμένῃ ἀδύνατόν τι ἀκολουθεῖ. ἀλλὰ καὶ τῇ ἀνάγκη παντί. εἰ γὰρ τὸ α ἀνάγκη παντὶ τῷ γ. τὸ δὲ β ὑπάρχει παντὶ τῷ γ. τὸ ἄρα α παντὶ τῷ β ὑπάρχει. ἦν δὲ καὶ οὐδενί. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενὶ ὅπερ ἀδύνατον. ὥστε οὐ μόνον τὰ ἀντιφατικῶς ἀντικείμενα συνάγονται διὰ τούτων, ἀλλὰ καὶ τὰ ἐναντία. ὥστε εἰ τῷ παντὶ ἐξ ἀνάγκης ὑποτεθέντι ἀδύνατόν τι ἠκολούθησεν διατί μὴ λέγομεν τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῷ συνάγεσθαι λέγω δὲ τὸ οὐκ ἀνάγκη παντί. φαμὲν οὖν πρὸς τοῦτο ὅτι εἰ περιείχετο ἡ ἀνάγκη παντὶ ὑπὸ τῆς οὐκ ἐνδέχεται οὐδενί. ἐλέγομεν ἂν καὶ τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ ἀνάγκη παντὶ συνάγεσθαι. ἐπειδὴ δὲ καὶ τὸ ἀντικείμενον τῷ οὐκ ἐνδέχεται οὐδενὶ εἶναι τὸ

είας εἰς ἀδύνατον ἀπαγωγῆ. ἡ γὰρ εἰς ἀδύνατον ἀπαγωγὴ ὑποθεμένη τὸ ἀντικείμενον τῷ ἐξ ἀρχῆς, καὶ τοῦτο πρότασιν ποιησαμένη καὶ προσθεῖσα αὐτῇ τῶν ἀληθῶν καὶ ἐξ ἀρχῆς κειμένων προτάσεων, οὕτω δείκνυσι τὸ ἀδύνατον ἑπόμενον ὡς πολλάκις διὰ τῶν προλαβόντων ἐδείξαμεν. ἐνταῦθα δὲ τὴν οὐκ ἐνδέχεται παντὶ οὐκ ἐποίησε μέρος τοῦ συλλογισμοῦ. ἀλλὰ τὰς κειμένας προτάσεις ἀντιστρέψας καὶ μεταλαβὼν εἰς ἀλλήλας καὶ δείξας συναγόμενον τὸ ἐνδέχεσθαι παντὶ τῷ γ΄ τὸ α΄ ὑπάρχειν συνάγεσθαι ἀντίφασιν φησὶ περιπεσούμεθα ὅπερ ἀδύνατον. ἴστεον δὲ ὅτι εἰ καὶ μίαν τῶν προτάσεων μόνην ἀντιστρέψομεν πρὸς τὴν ἑτέραν ὡσαύτως ἀπόχρη τὸ αὐτὸ δεῖξαι ἀδύνατον γινόμενον. εἴτε γὰρ τὴν μείζονα ἐνδεχομένην ποιήσομεν γίνεται ὁ συλλογισμὸς ἐξ ἀμφοτέρων ἐνδεχομένων καταφατικῶν ἐνδεχόμενον καθόλου συνάγων συμπέρασμα. καὶ πάλιν ἡ ἀντίφασις ἀκολουθήσει. εἴτε τὴν ἐλάττονα εἰς ὑπάρχουσαν μεταλάβομεν, γίνεται ὁ συλλογισμὸς ἐκ δύο ὑπαρχουσῶν καθόλου καταφατικῶν ὑπάρχον συνάγων συμπέρασμα καὶ ὁμοίως πάλιν τὸ ἄτοπον ἀκολουθήσει. τὸ αὐτὸ γὰρ τῷ αὐτῷ καὶ παντὶ ἢ ὑπάρχειν ἢ ἐνδέχεται ὑπάρχειν ἢ ἐνδέχεται παντὶ ὅπερ ἀδύνατον.

» ΔΕΙ δὲ λαμβάνειν τὸ παντὶ ὑπάρχειν μὴ κατὰ χρόνον ὁρίσαντας, οἷον νῦν ἢ ἐν τῷδε τῷ χρόνῳ,
» ἀλλ' ἁπλῶς, διὰ τῶν τοιούτων γὰρ προτάσεων, καὶ τοὺς συλλογισμοὺς ποιοῦμεν. ἐπεὶ κατά γε τὸ νῦν
» λαμβανομένης τῆς προτάσεως οὐκ ἔσται συλλογισμός. οὐδὲν γὰρ ἴσως κωλύει ποτὲ παντὶ κινουμένῳ,
» ἄνθρωπον ὑπάρχειν. οἷον εἰ μηδὲν ἄλλο κινοῖτο. τὸ δὲ κινούμενον ἐνδέχεται παντὶ ἵππῳ. ἀλλ' ἄνθρω-
» πος οὐδενὶ ἵππῳ ἐνδέχεται.

Ὃ βούλεται εἰπεῖν τοιοῦτόν ἐστιν. ὅταν λάβωμεν φησὶ καθόλου καταφατικὴν ὑπάρχουσαν πρότασιν, ὥσπερ νῦν λαμβάνομεν τὸ α΄ κατὰ παντὸς τοῦ β΄ κατηγορούμενον, οὐ δεῖ τὸ κατὰ παντὸς ἐν χρόνῳ λαμβάνεσθαι ἀληθεῦον, ἀλλ' ἀεί. ἐπεὶ ἀσυλλόγιστος ἔσται ἡ συζυγία. συνάξει γὰρ καὶ τὸ ἐξ ἀνάγκης οὐδενί, οἷόν τι λέγω. ἐὰν λάβω ἄνθρωπον, καὶ κινούμενον, καὶ ἵππον. τούτοις γὰρ καὶ αὐτὸς κέχρηται τοῖς ὅροις καὶ εἴπω οὕτως ὁ ἄνθρωπος παντὶ κινουμένῳ ὑπάρχει. ὑποκείσθω γὰρ μόνα τὰ κινούμενα ἀνθρώπους εἶναι. κινούμενον παντὶ ἵππῳ ἐνδέχεται ὑπάρχειν. συναχθήσεται ἄνθρωπος ἐξ ἀνάγκης μηδενὶ ἵππῳ ὑπάρχειν. ἐξ ὑπαρχούσης καὶ ἐνδεχομένης προτάσεων καταφατικῶν, ἀναγκαῖον ἀποφατικὸν συμπέρασμα. τοῦτο δὲ φησὶ συμβαίνει διὰ τὸ τὴν μείζονα πρότασιν ἐν χρόνῳ λαμβάνειν ἀληθεύουσαν ὅτε ἄνθρωποι μόνοι ἐκινοῦντο. ὥστε φησὶ παραφυλακτέον τὸ τοιοῦτον ὡς κατὰ χρόνον ἀληθευούσας λαμβάνειν τὰς προτάσεις ἀλλ' ἁπλῶς τουτέστι καθόλου.

» ΕΤΙ ἔστω τὸ μὲν πρῶτον, ζῷον. τὸ δὲ μέσον κινούμενον. τὸ δ' ἔσχατον ἄνθρωπος. αἱ μὲν οὖν προ-
» τάσεις ὁμοίως ἕξουσι. τὸ δὲ συμπέρασμα, ἀναγκαῖον οὐκ ἐνδεχόμενον. ἐξ ἀνάγκης γὰρ ὁ ἄνθρωπος ζῷον.
» φανερὸν οὖν ὅτι τὸ καθόλου, ληπτέον ἁπλῶς καὶ οὐ χρόνῳ διορίζοντας.

Τούτων ὑπαλλάξας τὸν ἐλάττονα ὅρον φυλάξας δὲ τὰς προτάσεις ὡς ἐξ ἀρχῆς κατά τε τὸ ποιὸν καὶ τοὺς τρόπους δείκνυσι συναγόμενον καὶ τὸ παντὶ ἐξ ἀνάγκης. εἰ γὰρ τὸ μὲν ζῷον παντὶ κινουμένῳ ὑπάρχει, εἰ πάλιν τὰ κινούμενα ζῷα μόνον εἴη. κινούμενον δὲ παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν. συνάγεται δῆλον ὅτι ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει. καὶ τὸ μὲν ἀντιφατικῶς ἀντικείμενον τῷ ἐνδέχεσθαι παντί. τῷ ἐξ ἀνάγκης οὐδενί ἐστιν ὅπερ ἔδειξεν ἐν τοῖς πρὸ τούτου ὅροις. ἐπειδὴ δὲ ὅλως διαπόρησεν ὅρων συναγόντων καὶ τὸ ἐξ ἀνάγκης παντί. τούτου χάριν καὶ τοῦτο ἐπήγαγεν. πόθεν δὲ ὅλως διαπόρησεν τὸ ἐξ ἀνάγκης παντὶ συναγαγεῖν. διότι ἔλαβε τὸν ἐλάττονα ὅρον εἶδος ὄντα τοῦ μείζονος. ὥστε δεῖ μήτε τὸν μείζονα ὅρον λαμβάνειν ὁριζόμενον χρόνῳ. μήτε τὸν ἐλάττονα εἶδος ὄντα τοῦ πρώτου ἐπεὶ οὐ συνάξομεν τὸ ἐνδεχόμενον.

» ΠΑΛΙΝ ἔστω στερητικὴ πρότασις καθόλου ἡ α΄ β΄. καὶ εἰλήφθω τὸ μὲν α΄, μηδενὶ τῷ β΄ ὑπάρχειν.
» τὸ δὲ β΄ παντὶ ἐνδεχέσθω ὑπάρχειν τῷ γ΄. τούτων οὖν τεθέντων, ἀνάγκη τὸ α΄ ἐνδέχεσθαι μηδενὶ τῷ
» γ΄ ὑπάρχειν.

Ἐπὶ τῆς ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν. νῦν τίθησι τὴν ἐκ μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης. καὶ συνάγει ἐνδέχεσθαι μηδενὶ τῷ γ΄ τὸ α΄. δείκνυσι δὲ καὶ ταύτην τῇ αὐτῇ δείξει. λέγω δὲ τῇ μεταλήψει. καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ. εἰ τὸ α΄ φησὶ μηδενὶ τῷ β΄ ὑπάρχει. τὸ δὲ β΄ παντὶ τῷ γ΄ ἐνδέχεται ὑπάρχειν. λέγω φησὶν ὅτι καὶ τὸ α΄ οὐδενὶ τῷ γ΄ ἐνδέχεσθαι ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ οὐκ ἐνδέχεται μηδενὶ ὑπάρχειν τὸ α΄ τῷ γ΄. τοῦτο δὲ πάλιν ταυτόν ἐστι τῷ ἀνάγκη τινί. ὃ γὰρ οὐκ ἐνδέχεται μηδενὶ ὑπάρξαι. τοῦτο ἀνάγκη τινὶ ὑπάρχειν. εἰ δὲ καὶ μὴ μεταλαμβάνει. τοῦτο πάλιν αὐτὸς διὰ τῶν προτάσεων. δῆλός ἐστιν ἔξω συμπεραίνειν τοῦτο βουλόμενος. εἰ τοίνυν τὸ μὲν α΄ ἀνάγκη τινὶ τῶν γ΄ ὑπάρχειν. τὸ δὲ β΄ ὑπάρχει παντὶ τῷ γ΄. μεταλαμβανέσθω γὰρ πάλιν ἡ ἐνδεχομένη εἰς τὴν ὑπάρχουσαν διὰ τὸ εἰρημένον. τὸ ἄρα α΄ τινὶ τῷ β΄ ὑπάρξει. ὑπέκειτο δὲ καὶ οὐδενί. τὸ αὐτὸ ἄρα καὶ οὐδενὶ καὶ τινὶ ὅπερ ἀδύνατον. τὸ ἀδύνατον πάλιν ἠκολούθησεν οὐ διὰ τὴν μετάληψιν τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν. εἰ γὰρ καὶ ψευδὴς ἦν, ἀλλ' οὐκ ἀδύνατος. δῆλον ἄρα ἔτι διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ ἀνάγκη τινὶ τῷ γ΄,

χομένης ὡς τὴν ὑπάρχουσαν οὐκ ἀεὶ τὸν ἄπειρον χρόνον οὐδὲ μενούσης τῆς ἐνδεχομένης, ἐνδεχομένη γὰρ γοιτ' ἂν καὶ ὑπάρχουσα. τοῦτο γὰρ οὐ μόνον ἐστὶ ψεῦδος, ἀλλὰ καὶ ἀδύνατον τὴν αὐτὴν ἐνδεχομένην τε ἅμα καὶ ὑπάρχουσαν εἶναι. ἀλλὰ μετελήφθη ἡ πρότασις ἀπὸ μέλλοντος χρόνου εἰς ἐνεστῶτα. ἐπεὶ ἡ μὲν ἐνδεχομένη τὸν μέλλοντα δηλοῖ. ἡ δὲ ὑπάρχουσα τὸν ἐνεστῶτα. τὸ τοίνυν μεταλαβεῖν τὴν ἐνδεχομένην εἰς ὑπάρχουσαν, ὃ καὶ ψεῦδός ἐστι ὅτι ἀντὶ μέλλοντος χρόνου ἐνεστῶτα λαμβάνομεν. οὐ μέντοι τοῦτο ἀδύνατον γίνεσθαι τὸ τὴν ἐνδεχομένην ποτὲ ὑπάρχουσαν γενέσθαι. ἐπεὶ δὲ τῆς αὐτῆς προτάσεως μενούσης αὐτῆς καθόλου καταφατικῆς ὑπαρχούσης καὶ μὴ μεταληφθείσης εἰς ἑτέραν συνήχθη ἐκ τοῦ ὑποθέσθαι ἡμᾶς μὴ ἐνδέχεσθαι παντὶ τῷ γ' τὸ α ὑπάρχειν. ὅτι τὸ α οὐ παντὶ τῷ β' ὑπάρξει. κατὰ δὲ τὸν αὐτὸν χρόνον ἀδύνατον τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ καὶ μὴ παντὶ ὑπάρχειν. ὥστε οὐ μόνον ψεῦδος τὸ τοιοῦτον, ἀλλὰ καὶ ἀδύνατον. ἴδωμεν οὖν πόθεν τὸ ἀδύνατον ἠκολούθησε. δύο ὑποθέσεων κειμένων, μιᾶς μὲν τῆς λεγούσης τὸ α τῷ γ' οὐκ ἐνδέχεται παντί. ἑτέρας δὲ τῆς μεταλαμβανούσης τὴν ἐλάττονα πρότασιν ἐνδεχομένην οὖσαν εἰς ὑπάρχουσαν, πᾶσα ἀνάγκη διὰ τὴν ἑτέραν τούτων ἀκολουθῆσαι τὸ ἄτοπον. ὅτι μὲν οὖν διὰ τὴν μετάληψιν τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν οὐκ ἠκολούθησε τὸ ἀδύνατον, δῆλον. εἰ γὰρ δυνατόν ἐστι τὸ μεταλαβεῖν τὴν ἐνδεχομένην εἰς ὑπάρχουσαν καὶ οὐκ ἀδύνατον. ἐδείχθη δὲ ἐν μικρῷ πρότερον ὅτι οὐδέποτε δυνατῷ ὑποτεθέντι ἀδύνατόν τι ἀκολουθεῖ. διὰ τοῦτο γὰρ καὶ προειλῆφθαι τὸ περὶ τούτου θεώρημα. δῆλον ἄρα ὅτι οὐ διὰ ταύτην τὴν ὑπόθεσιν τὸ ἀδύνατον ἠκολούθησεν. οὐκοῦν λείπεται διὰ τὴν ἑτέραν τὴν τὸ α τῷ γ' οὐκ ἐνδέχεσθαι παντὶ λέγουσαν ὑπάρχειν. εἰ τοίνυν ψευδὴς ἠλέγχθη αὕτη ἡ ὑπόθεσις. δῆλον ὅτι τὸ ἀντικείμενον τούτῳ συνάγεται τὸ ἐνδέχεται παντὶ ὅπερ ἔδει δεῖξαι. ἴδωμεν δὲ καὶ τῆς ἀριστοτελικῆς λέξεως τὴν ἀκολουθίαν. ἔχει γάρ τι καὶ ἀσαφέστερον. ἐκθέμενος τὰς προτάσεις καὶ εἰπὼν ὅτι τὸ ἐνδέχεσθαι παντὶ συνάγεται κατασκευάζει τοῦτο τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ὑποτιθέμενος τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ οὐκ ἐνδέχεται παντί

Τὸ δὲ β' τῷ γ' κείσθω ὑπάρχον. Ὑποθέμενος τὸ ἀντικείμενον τῷ συμπεράσματι. μεταλαμβάνει καὶ τὴν ἐλάττονα πρότασιν τὴν βγ' εἰς τὴν ὑπάρχουσαν ὥσπερ ἤδη εἴπομεν. τοῦτο γὰρ εἰ καὶ ψεῦδός ἐστιν, ἀλλ' οὐκ ἀδύνατον. εἴπομεν δὲ ὅτι καὶ τὸ οὐκ ἐνδέχεται παντὶ τῷ γ τὸ α ὅπερ ἐξ ὑποθέσεως ἔλαβεν. ὃ συναγόμενον μεταλαμβάνει εἰς τὴν ἀνάγκη τινὶ ὡς ἰσοδυναμοῦσαν. καὶ τοῦτο μὲν αὐτόθεν οὐ φαίνεται ὁ ἀριστοτέλης μεταλαμβάνων. ἐκ μέντοι τοῦ συμπεράσματος δῆλον ὅτι τοῦτο βουλόμενος. φησὶ γὰρ συμπεραίνειν τὸ δὴ α οὐ παντὶ τῷ β' ἐνδέχεται. ἀντὶ τοῦ οὐ παντὶ ὑπάρχει. τὸ γὰρ ἐνδεχόμενον ἀντὶ τοῦ ὑπάρχειν ἀπεῖ. καὶ ὅτι τοῦτό ἐστι συνάγων τὸ ἄτοπόν φησιν. ἀλλ' ὑπέκειτο παντὶ ἐνδέχεσθαι ὑπάρχειν. καίτοι μὴν οὐχ ὑπέκειτο τὸ α τῷ β' παντὶ ἐνδέχεσθαι. τὸ ἐνδέχεσθαι ἀντὶ τοῦ ὑπάρχειν φησί. ὅπερ οὖν ἔλεγον δῆλον ὅτι μεταλαμβάνει τὴν οὐκ ἐνδέχεται παντί, εἰς τὴν ἀνάγκη τινί. ἐπεὶ εἰ μὴ μετελάμβανεν, πόθεν δῆλον ἐν τρίτῳ σχήματι ἐκ τῆς μείζονος μερικῆς ἐνδεχομένης τῆς δὲ ἐλάττονος ὑπαρχούσης καταφατικῆς τί ἤμελλεν συνάγεσθαι. οὐδὲν γὰρ εἶπεν περὶ αὐτῶν. περὶ δὲ τῆς μερικῆς τῆς ἀναγκαίας καὶ ὑπαρχούσης εἴρηται. διόπερ εἰς τὸ ὁμολογούμενον ἐξέφυγε. ἀνάγκη ἄρα τὸ α παντὶ τῷ γ' ἐνδέχεσθαι. εἰ γὰρ τῇ ὑποθέσει τῇ λεγούσῃ τὸ οὐκ ἐνδέχεται παντὶ συνάγεσθαι ἠκολούθησε. τι ἀδύνατον τὸ α τῷ β' καὶ παντὶ καὶ μὴ παντὶ ὑπάρχειν ἡ δὲ ὑπόθεσις ἀδύνατον ἀκολουθεῖ, ψευδής ἐστι. δῆλον ὅτι τὸ ἀντικείμενον ἔσται ἀληθὲς τὸ ἐνδέχεσθαι παντὶ ὅπερ ἔδει δεῖξαι. οὐ γὰρ δήπου φησὶ διὰ τὴν μετάληψιν τῆς ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν τὸ ἀδύνατον συνῆκται. ψευδοῦς γὰρ οὔσης τῆς ὑποθέσεως καὶ οὐκ ἀδυνάτου. οὐκ ἄν ποτε ἀδύνατον ἠκολούθησεν ὡς δέδεικται. οὐκ ἄρα διὰ τοῦτο συνέβη τὸ ἀδύνατον.

ΕΓΧΩΡΕΙ δὲ καὶ διὰ τοῦ πρώτου σχήματος ποιῆσαι τὸ ἀδύνατον. θέντας τῷ γ' τὸ β' ὑπάρχειν. εἰ γὰρ τὸ β' παντὶ τῷ γ' ὑπάρχει, τὸ δὲ α παντὶ τῷ β' ἐνδέχεται, καὶ τῷ γ' παντὶ ἂν ἐνδέχοιτο τὸ α. ἀλλ' ὑπέκειτο μὴ παντὶ ἐγχωρεῖν.

Ε' ἑτέρως δείκνυσι τὸ ἀδύνατον ἀκολουθοῦν τῇ λεγούσῃ ὑποθέσει τὸ μὴ ἐνδέχεσθαι παντὶ συνάγειν τὴν προκειμένην πρότασιν. δείκνυσι δὲ τοῦτο λαμβάνων ἑκατέραν τῶν προτάσεων εἰς τὴν ἑτέραν. λέγω δὲ τὴν μὲν μείζονα ὑπάρχουσαν οὖσαν εἰς ἐνδεχομένην. τὴν δὲ ἐλάττονα ἐνδεχομένην οὖσαν εἰς ὑπάρχουσαν. εἰ γὰρ τὸ α παντὶ τῷ β ἐνδέχεται ὑπάρχειν. τὸ δὲ β' παντὶ τῷ γ' ὑπάρχει. συνάγεται συμπέρασμα ὅτι τὸ α παντὶ τῷ γ' ἐνδέχεται ὑπάρχειν. πρὸ μικροῦ τοῦτο γὰρ δέδεικται. ἀλλὰ μὴν ὑπέκειτο μὴ ἐνδέχεσθαι παντὶ ὑπάρχειν τῷ γ' τὸ α ὡς ἡ ὑπόθεσις. τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ ἐνδέχεται παντὶ καὶ οὐκ ἐνδέχεται ὅπερ ἀδύνατον. τοῦ ἀδυνάτου πάλιν ἀκολουθήσαντος οὐ διὰ τὴν τῶν προτάσεων μετάληψιν. αὗται γὰρ ψευδεῖς μὲν ἦσαν οὐ μέντοι ἀδύνατοι. καὶ οὐδὲν δὲ ἀδύνατον τῷ δυνατῷ ἀκολουθεῖ ὡς δέδεικται. ἀλλὰ δῆλον ὅτι διὰ τὸ ὑποθέσθαι μὴ ἐνδέχεσθαι τῷ γ' παντὶ τὸ α ὑπάρχειν. καὶ ἠδύνατο μὲν ὁ φιλόσοφος μεταλαβὼν τὰς πρώτας προτάσεις. αὐτόθεν τὸ ἐνδέχεσθαι παντὶ δεῖξαι συναγούσας. τοῦτο γὰρ καὶ συνῆγον καὶ μὴ δεηθῆναι τῆς εἰς ἄτοπον ἀπαγωγῆς. ὅμως ἐκ περιουσίας ποιῶν ὑπέθετο τὸ ἀντικείμενον καὶ ἤλεγξε τοῦτο ἀδύνατον. ἰστέον δὲ ὅτι οὐκ ἔστιν αὕτη κυ-

Λ αμβάνει δὲ προτάσεις τὸ γδ καὶ δζ. συμπέρασμα δὲ τὸ γζ. ὅπερ οὖν ὥς φησιν οὕτω συμπλακῶσιν ὡς πρὸ ἑπόμενον κατὰ συλλογιστικὴν μέθοδον. ἀνάγκη καὶ τὸ συμπέρασμα ἕπεσθαι. οὕτω δὲ ἕπεται ὡς ἂν ἔχωσιν αἱ προτάσεις. δυνατῶν γὰρ οὐσῶν. πᾶσα ἀνάγκη δυνατὸν εἶναι καὶ τὸ συμπέρασμα. εἰ δὲ ἀναγκαίων πάντως καὶ ἀναγκαῖον.

» ΤΟΥΤΟΥ δὲ δειχθέντος, φανερὸν ὅτι ψεύδους ὑποτεθέντος καὶ μὴ ἀδυνάτου, καὶ τὸ συμ-
» βαῖνον διὰ τὴν ὑπόθεσιν ψεῦδος ἔσται καὶ οὐκ ἀδύνατον. οἷον εἰ τὸ α ψεῦδος μέν ἐστι μὴ μέντοι ἀδύ-
» νατον. ὄντος δὲ τοῦ α τὸ β ἐστί, καὶ τὸ β ἔσται ψεῦδος μὲν, οὐ μέντοι ἀδύνατον. ἐπεὶ γὰρ δέδεικται ὅτι
» εἰ τοῦ α ὄντος, ἔστι τὸ β. καὶ δυνατοῦ ὄντος τοῦ α, ἔσται τὸ β δυνατόν. ὑπόκειται δὲ τὸ α δυνατὸν εἶναι,
» καὶ τὸ β ἄρα ἔσται δυνατόν. εἰ γὰρ ἀδύνατον, ἅμα δυνατὸν ἔσται τὸ αὐτὸ, καὶ ἀδύνατον.

Δ ειχθέντος φησὶν ὅτι πάντως τοῦ ἡγουμένου δυνατοῦ ὄντος πᾶσα ἀνάγκη καὶ τὸ ἑπόμενον δυνατὸν εἶναι ἐάν φησιν ὡς ἐν ὑποθέσει προηγούμενόν τι λάβωμεν ὅπερ ψεῦδος μέν ἐστι διὰ τὸ αὐτὸ τοῦτο κατὰ τὴν ὑπόθεσιν εἰλῆφθαι καὶ τὸ μήπω εἰς ἐνέργειαν ἐκβεβηκέναι. ἀδύνατον δὲ οὐκ ἔστι διὰ τὸ δύνασθαι εἰς ἐνέργειαν ἐκβεβηκέναι. δῆλον ὅτι καὶ τὸ ἑπόμενον τούτῳ ψεῦδος μὲν ἔσται. ἀδύνατον δὲ οὐκ ἔσται. οἷον εἰ καθημένου σωκράτους εἴποιμι ὅτι εἰ βαδίζει σωκράτης ἀνάγκη καὶ κινεῖται. λαμβάνω προηγούμενον μὲν τὸ βαδίζειν σωκράτην ὅπερ ψεῦδος μέν ἐστιν, ὑπόκειται γὰρ καθήμενος. οὐ μέντοι ἀδύνατον. οὐκοῦν καὶ τὸ ἑπόμενον τούτῳ κινεῖσθαι αὐτὸν, ψεῦδος μέν ἐστιν οὐ μὴν δὲ ἀδύνατον. καὶ πάλιν τὸ λέγειν μὴ οὔσης ἡμέρας, εἰ ἡμέρα ἐστὶν ὁ ἥλιος ὑπὲρ γῆν. ὁμοίως καὶ τὸ ἑπόμενον καὶ τὸ ἡγούμενον ψεῦδος μέν. οὐκ ἀδύνατον δέ. εἰ γὰρ πάντως μὲν ἕπεταί φησι τῷ α τῷ β. τὸ δὲ α ἐστὶ δυνατόν. ἀνάγκη πᾶσα καὶ τὸ β εἶναι δυνατόν. εἰ γὰρ ἀδύνατον εἴη τὸ β. ἕπεται δὲ τῷ α τὸ αὐτὸ καὶ δυνατὸν καὶ ἀδύνατον ἔσται. εἰ μὲν γὰρ ἕπεται τῷ α, ἐξ ἀνάγκης δυνατὸν ἔσται, ἔστι δὲ καὶ ἀδύνατον ὡς ἡ ὑπόθεσις τῶν οὕτω βουλομένων. τὸ αὐτὸ ἄρα δυνατὸν καὶ ἀδύνατον ἔσται καὶ ὂν καὶ μὴ ὄν. ὅπερ ἄτοπον. ψεῦδος ἄρα τὸ ὑποτίθεσθαι τῷ δυνατῷ ἀδύνατον ἀκολουθεῖν. οὐκοῦν ἀληθὲς τὸ δυνατὸν ἀκολουθεῖν ὅπερ ἔδει δεῖξαι.

» ΔΙΩΡΙΣΜΕΝΩΝ δὲ τούτων, ὑπαρχέτω τὸ α παντὶ τῷ β. τὸ δὲ β παντὶ τῷ γ ἐνδεχέ-
» σθω. ἀνάγκη οὖν παντὶ τῷ γ τὸ α ἐνδέχεσθαι ὑπάρχειν. μὴ γὰρ ἐνδεχέσθω, τὸ δὲ β παντὶ τῷ γ κείσθω
» ὑπάρχον. τοῦτο δὲ ψεῦδος μὲν οὐ μέντοι ἀδύνατον. εἰ οὖν τὸ μὲν α μὴ ἐνδέχεται παντὶ τῷ γ. τὸ δὲ
» β παντὶ ὑπάρχει τῷ γ, τὸ α οὐ παντὶ τῷ β ἐνδέχεται. γίνεται γὰρ συλλογισμὸς διὰ τοῦ τρίτου σχήμα-
» τος. ἀλλ' ὑπέκειτο παντὶ ἐνδέχεσθαι ὑπάρχειν. ἀνάγκη ἄρα τὸ α παντὶ τῷ γ ἐνδέχεσθαι. ψεύδους γὰρ
» ὑποτεθέντος καὶ οὐκ ἀδυνάτου, τὸ συμβαῖνόν ἐστιν ἀδύνατον.

Λ οιπὸν ἐντεῦθεν τὰς προτάσεις ἡμῖν παραδίδωσι τὰς ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης. καί φησιν ἐνδεχόμενον συνάγεσθαι τὸ συμπέρασμα. παραδίδωσι δὲ πρῶτον τὴν ἐκ δύο καθόλου καταφατικῶν, δείκνυσι δὲ αὐτὴν οὕτως. τὸ α φησὶν ὑπαρχέτω παντὶ τῷ β. τὸ δὲ β ἐνδεχέσθω παντὶ τῷ γ. λέγω φησὶν ὅτι συνάγεται τὸ α παντὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν. εἰ γάρ τις φαίη ψεῦδος εἶναι τοῦτο τὸ συμπέρασμα, δῆλον ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον ἀληθὲς εἶναι δώσει τὸ οὐκ ἐνδέχεται παντί. ὑποκείσθω οὖν τὸ α τῷ γ μὴ ἐνδέχεσθαι παντί. ἐπειδὴ τοίνυν τὸ οὐκ ἐνδέχεται παντὶ ἰσοδυναμεῖ τῷ ἀνάγκη μὴ παντί. ὃ γὰρ οὐκ ἐνδέχεται παντὶ τοῦτο ἀνάγκη μὴ παντί. εἰ γὰρ οὐκ ἐνδέχεται παντὶ ζῴῳ δίποδι εἶναι ἀνάγκη μὴ πᾶν ζῷον δίπουν εἶναι. εἰ τοίνυν ἰσοδυναμεῖ, ὑποκείσθω τὸ α τῷ γ ἐξ ἀνάγκης μὴ παντὶ ὑπάρχειν. πάλιν ἐπειδὴ τὸ β ὑπόκειται παντὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν. ὑποκείσθω τὸ ἐνδεχόμενον ἐκβεβηκὸς καὶ γινόμενον ὑπάρχον. τοῦτο γὰρ εἰ καὶ ψεῦδος, ἀλλ' οὖν οὐκ ἀδύνατον. εἰ τοίνυν τὸ μὲν α ἀνάγκη μὴ παντὶ τῷ γ ὑπάρχειν. τὸ δὲ β παντὶ τῷ γ ὑπάρχειν, γίνεται τὸ γ σχῆμα ἐξ ἀναγκαίας τε καὶ ὑπαρχουσῶν προτάσεων. ἐδείχθη δὲ ὅτι ἐν τρίτῳ σχήματι ὅταν ἡ μὲν μείζων ἀναγκαία ᾖ μερικὴ ἀποφατικὴ ἡ δὲ ἐλάττων καθόλου ὑπάρχουσα καταφατική. μερικὸν ἀποφατικὸν ὑπάρχον συνάγεται τὸ συμπέρασμα. τὸ ἄρα α οὐ παντὶ τῷ β ὑπάρχει. ὑπέκειτο δὲ καὶ παντὶ ὑπάρχειν. τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ παντὶ καὶ οὐ παντὶ ὑπάρχει ὅπερ ἀδύνατον. πόθεν οὖν τὸ ἀδύνατον ἠκολούθησεν. λέγω ὅτι παρὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ α τῷ γ μὴ ἐνδέχεσθαι παντὶ ὑπάρχειν. εἰ τοίνυν τῇ ὑποθέσει ταύτῃ ἀδύνατόν τι ἠκολούθησε. ψεῦδος ἄρα τὸ λέγειν ὅτι τὸ οὐκ ἐνδέχεται παντὶ συνάγεται. εἰ δὲ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντικείμενον τὸ ἐνδέχεσθαι παντὶ ὅπερ ἔδει δεῖξαι. Ἀποροῦσι δέ τινες πρὸς ταύτην τὴν δεῖξιν τοῦ ἀριστοτέλους. ὧν τὴν ἀπορίαν, ἄξιόν ἐστιν ἐπισκέπτεσθαι οὐκ ἀφυῶς ἔχουσαν. φασὶ γὰρ ὅτι οὐδὲν ἀδύνατον συμβαίνει ἐὰν ὑποθώμεθα συνάγεσθαι τὸ α τῷ β μὴ ἐνδέχεσθαι παντί. τί γὰρ συνήγετο ὅτι τὸ α τῷ β οὐ παντὶ ὑπάρχει. ὑπῆρχε δὲ καὶ παντί. τοῦτο δὲ ψεῦδος μέν ἐστι τὸ αὐτὸ καὶ παντὶ καὶ μὴ παντὶ ὑπάρχειν. οὐ μέντοι καὶ ἀδύνατον. εἰ γὰρ τὸ ὑπάρχον τοιοῦτόν ἐστιν ὡς καὶ ποτὲ δύνασθαι μὴ ὑπάρχειν. δυνατὸν ἄρα τὸ παντὶ ὑπάρχειν ποτὲ μὴ παντὶ ὑπάρχειν. ὥσπερ οὖν φασὶ καὶ ὑμᾶς μετελάβετε τὴν ἐνδεχομένην εἰς ὑπάρχουσαν ὅπερ ψεῦδος μέν ἐστιν. οὐ μέντοι ἀδύνατον. τί ἄτοπον εἰ ἐκ προτάσεως ψευδοῦς μὲν οὐκ ἀδυνάτου δὲ. συμπέρασμα συναχθείη ψεῦδος καὶ οὐκ ἀδύνατον. Τί οὖν πρὸς ταῦτα ἡμεῖς λέγομεν. ὅτι ἡ μὲν μετάληψις τῆς ἐνδε-

γὰρ τὸ μὲν ἑπόμενον δυνατόν. τὸ δὲ προηγούμενον ἀδύνατον. ἀδύνατον γὰρ τὸν ἄνθρωπον εἶναι ὄνον ἕπεται δὲ τῷ ὄνον εἶναι τὸ ζῶον εἶναι. καὶ δυνατὸν τὸν ἄνθρωπον ζῶον εἶναι. ὥστε ἀδυνάτῳ δυνατὸν ἕπεται. οὕτω καὶ ὁ ἀριστοτέλης ἐν τῷ β΄ βιβλίῳ δείκνυσι ψευδέσι προτάσεσιν ἀληθὲς συμπέρασμα ἀκολουθοῦν ὡς εἴ τις λέγοι ὅτι ὁ ἄνθρωπος κύων. ὁ κύων ζῶον. ὁ ἄνθρωπος ἄρα ζῶον. ἐν τούτοις δὲ οὐκ ἔχει τὸ κῦρος τοῦ συμπεράσματος ὁ μέσος ὅρος ὥσπερ χρὴ τὰς συλλογιστικὰς ἔχειν προτάσεις, ἀλλὰ διὰ τὴν φύσιν τῶν ἄκρων, τὸ συμπέρασμα συνῆκται. ὀκτὼ δὲ συζυγιῶν ἐκ τοῦ δυνατοῦ καὶ ἀδυνάτου γινομένων καὶ ἑπομένου καὶ προηγουμένου ἀνάγκη προηγουμένου δυνατοῦ ὄντος, τὸ ἑπόμενον ἕπεσθαι. ἢ τὸ δυνατὸν ἢ τὸ ἀδύνατον. πάλιν τοῦ δυνατοῦ ἑπομένου. τὸ προηγούμενον ἢ δυνατὸν ἔσται ἢ ἀδύνατον. καὶ οὕτω μὲν τέσσαρες τοῦ δυνατοῦ ἢ ἑπομένου ἢ προηγουμένου. ἐὰν δὲ πάλιν λάβωμεν τὸ ἀδύνατον ἡγούμενον ἀνάγκη τὸ ἑπόμενον ἢ καὶ αὐτὸ ἀδύνατον εἶναι ἢ δυνατόν. πάλιν ἐὰν λάβωμεν τὸ ἑπόμενον ἀδύνατον εἶναι. τὸ ἡγούμενον ἢ ἀδύνατον ἔσται ἢ δυνατὸν ὀκτὼ οὖν συζυγιῶν γινομένων ὅτι μὲν τοῦ δυνατοῦ ἡγουμένου πάντως τὸ ἑπόμενον δυνατὸν ἔσται καὶ οὐκ ἀδύνατον. δῆλον ἐξ ὧν ὁ ἀριστοτέλης ἔδειξε. δῆλον δὲ ἐκ τούτων καὶ ὅτι τοῦ δυνατοῦ ἑπομένου. ἐγχωρεῖ δυνατὸν εἶναι τὸ προηγούμενον. ἀδυνάτου δὲ τοῦ ἑπομένου ὄντος, οὐκ ἐγχωρεῖ δυνατὸν εἶναι τὸ προηγούμενον. ὥστε ἔχομεν τέσσαρας συζυγίας ἀποδεδειγμένας. ὅτι δὲ ἀδυνάτῳ ἡγουμένῳ δυνατὸν ἕπεσθαι ἐγχωρεῖ. ἡμεῖς ἐδείξαμεν. καὶ ἐκ τούτου δῆλον ὅτι δυνατοῦ ἑπομένου. ἀδύνατον ἐγχωρεῖ προηγούμενον εἶναι. ὥστε ἔχομεν ἓξ συζυγίας. πάλιν ἀδυνάτου προηγουμένου. οὐδὲν θαυμαστὸν ἀδύνατον ἕπεσθαι καὶ ἑπομένου προηγεῖσθαι. ὥστε ἔχομεν τὰς ὀκτὼ συζυγίας.

» ΔΕΙ δὲ λαμβάνειν μὴ μόνον ἐν τῇ γενέσει τὸ δυνατὸν καὶ ἀδύνατον, ἀλλὰ καὶ ἐν τῷ ἀληθεύεσθαι. καὶ ἐν τῷ ὑπάρχειν. καὶ ὁσαχῶς ἄλλως λέγεται τὸ δυνατόν. καὶ ἐν ἅπασι γὰρ ὁμοίως ἕξει.

Δ Δείξας ὅτι τοῦ ἡγουμένου δυνατοῦ ὄντος ἀνάγκη καὶ τὸ ἑπόμενον εἶναι δυνατὸν διὰ τούτων. φησὶν ὅτι ἡ ἀκολούθησις αὕτη οὐ μόνον ἐπὶ τοῦ κυρίως δυνατοῦ ὑπάρχει ὅπερ φησὶ κατὰ τὴν γένεσιν τουτέστι τὸ μήπω ὂν δυνάμενον δὲ ὑπάρχειν. ὅπερ εἰς τὸν αὐτὸν ἔρχεται τῷ κυρίως ἐνδεχομένῳ καὶ τὸ δυνατὸν φύσει. ἀδύνατον δὲ ἐν τῇ γενέσει οἷον τῷ ἐν τῷ βυθῷ ὄστρακον ἀδύνατον γενέσθαι ὁρατόν. ἀδύνατον δὲ οὐ τῇ φύσει. ἀλλὰ τῇ γενέσει. οὐ μόνον οὖν φησιν ἐπὶ τούτων φυλάττεται ἡ ἀκολούθησις αὕτη ἀλλὰ καὶ ἐν τῷ δυνατῷ τῷ κατὰ τὸ ἀληθεύειν τουτέστι τῷ κατὰ τὸ ἀναγκαῖον. εἴπομεν γὰρ πολλάκις ὅτι τὸ δυνατὸν καὶ τὸ ἐνδεχόμενον φέρεται καὶ ἐπὶ τοῦ ἀναγκαίου καὶ ἐπὶ τοῦ ὑπάρχοντος ὡς φαμὲν δυνατὸν τὸν ἥλιον ἐν κύκλῳ γενέσθαι καίτοι ἀναγκαῖον. καὶ τὸν κύκνον δυνατὸν λευκὸν εἶναι καίτοι ὑπάρχει. ἢ γὰρ δυνατὸν πάντως, ἢ οὐ δυνατὸν ἀλλὰ μὴν τὸ οὐ δυνατὸν ψεῦδος. δυνατὸν ἄρα, ἀδύνατον δὲ ἐν τῷ ἀληθεύεσθαι τὸ κυρίως ἀδύνατον. ἐν δὲ τῷ ὑπάρχειν. ὁμοίως φησὶν ἡ ἀκολούθησις τοῦ δυνατοῦ καὶ ἐπὶ τοῦ κατὰ τὸ ἀναγκαῖον καὶ ἐπὶ τοῦ κατὰ τὸ ὑπάρχον ἔσται. ἐπειδὴ δὲ τὸ ἀναγκαῖον ἀεὶ ὡσαύτως ἔχει. καὶ ὁ περὶ αὐτοῦ τι λέγων πάντως ἀληθεύει. διὰ τοῦτο βουλόμενος τὸ κατὰ τὸ ἀναγκαῖον δυνατὸν σημᾶναι, τὸ ἐν τῷ ἀληθεύεσθαι φησί. τὸ δὲ καὶ ὁσαχῶς ἄλλως λέγεται τὸ δυνατὸν προσέθηκεν. ἵνα σημάνῃ τὸ ὡς ἐπὶ τὸ πολύ. τὸ ἐπίσης, τὸ ἐπ' ἔλαττον. διόδωρος δὲ, ἄλλα τινὰ τοῦ ἀδυνάτου σημαινόμενα εἶναί φησι. φησὶ γὰρ δυνατὸν εἶναι ἢ τὸ ἐκβεβηκὸς ἤδη ὅπερ ἔφαμεν ἡμᾶς ὑπάρχον. ἢ τὸ δυνάμενον ἐκβῆναι, μήπω δὲ ἐκβεβηκός. ὁ δὲ φίλων φησὶ δυνατὸν εἶναι ἢ τὸ ἐκβεβηκός, ἢ τὸ δυνάμενον ἐκβῆναι μηδέποτε δὲ ἐκβαῖνον. ὥσπερ λέγομεν αἰσθητὸν εἶναι τὸ ἐν τῷ βυθῷ ὄστρακον. ὁ δὲ ἀριστοτέλης μέσος τούτων χωρίσας τὸ κυρίως τοῦ δυνατοῦ σημαινόμενον ἡμῖν παραδέδωκεν. ὃ μήπω μὲν ἐξέβη δύναται δὲ ἐκβῆναι.

» ΕΤΙ τοῦ ὄντος τοῦ α΄ τὸ β΄ εἶναι οὐχ ὡς ἑνός τινος ὄντος τοῦ α΄ τὸ β΄ ἔσται δεῖ ὑπολαμβάνειν. οὐ γάρ ἐστιν οὐδὲν ἐξ ἀνάγκης ἑνός τινος ὄντος. ἀλλὰ δυοῖν ἐλαχίστοιν.

Ε Ἐπειδὴ οὐχ ὡς ἐπὶ προτάσεων πλειόνων ἐγύμνασε τὸν λόγον, ἀλλ' ὡς ἐπὶ δύο ὅρων ἀντιστρεφόντων πρὸς ἀλλήλους. διὰ τοῦτο ταῦτα ἐπήγαγε λέγων ὅτι οὐχ ὡς ἐπὶ μιᾶς προτάσεως λαμβάνομεν τὴν δεῖξιν ταύτην, ἀλλ' ὡς ἐπὶ συλλογισμοῦ. λαμβάνομεν γὰρ τὸ μὲν α΄ ἀνάλογον ταῖς προτάσεσι. τὸ δὲ β΄ τῷ συμπεράσματι. ἀνάγκη οὖν φησι δυνατῶν οὐσῶν τῶν προτάσεων δυνατὸν εἶναι καὶ τὸ συμπέρασμα. καὶ ἀδύνατον συμπέρασμα. δυνατοῖς ταῖς προτάσεσιν οὐδέποτε ἀκολουθεῖν. οὐ γὰρ ἔσται τι ἐξ ἀνάγκης. ἑνός τινος ὄντος φησὶ τουτέστιν ἑνός τινος ἡγουμένου, οὐδὲν συμπέρασμα ἀκολουθήσει. τί οὖν οὐκ ἀνθρώπου ὄντος ἀνάγκη εἶναι ζῶον. ἀλλ' οὐκ ἐπὶ τούτων φησὶ τῶν ἀκολουθήσεων ἀλλ' ἐπὶ τῶν συλλογιστικῶν ὡς εἶπον. ὅτι μιᾶς προτάσεως οὔσης, οὐκ ἔσται τι συμπέρασμα ἀλλὰ δεῖ τοὐλάχιστον δύο εἶναι τὰς προτάσεις ὡς πολλάκις εἴρηται.

» ΟΙΟΝ ὅταν αἱ προτάσεις οὕτως ἔχωσιν ὡς ἐλέχθη κατὰ τὸν συλλογισμόν. εἰ γὰρ τὸ γ΄ κατὰ τοῦ δ΄, τὸ δὲ δ΄ κατὰ τοῦ ζ, καὶ τὸ γ΄ κατὰ τοῦ ζ΄ ἐξ ἀνάγκης. καὶ εἰ δυνατὸν δ' ἑκάτερον, καὶ τὸ συμπέρασμα ἔσται δυνατόν. ὥσπερ οὖν εἴ τις θείη. τὸ μὲν α΄ τὰς προτάσεις. τὸ δὲ β΄ τὸ συμπέρασμα. συμβαίνοι ἂν οὐ μόνον ἀναγκαίου τοῦ α΄ ὄντος, ἅμα καὶ τὸ β΄ εἶναι ἀναγκαῖον. ἀλλὰ καὶ δυνατοῦ, δυνατόν.

δυνατοῦ ὄντος τὸ β΄ ἀδύνατον εἶναι. ὑποκείσθω οὕτως. ἐπειδὴ τοίνυν τὸ α΄ δυνατόν ἐστι. τὸ δὲ δυνατὸν
οἷον τί ἐστι γενέσθαι. ἐκβαινέτω οὖν εἰς ἐνέργειαν τὸ α. ἐκβὰν δὲ, ἔστι δηλονότι. εἰ τοίνυν τὸ μὲν α΄ ἐστὶ, τὸ
δὲ β΄ ἀκολουθεῖν τῷ α΄ ἐξ ἀνάγκης ὑπόκειται, ἔσται ἄρα τὸ β΄. ἀλλ᾽ ἐπειδὴ τὸ β΄ ἀκολουθεῖν μὲν τῷ α΄ φασὶν
οἱ ἀντιλέγοντες. ἀδύνατον δὲ εἶναι, τὸ ἀδύνατον εἶναι οὐκ ἔστι. τὸ β΄ ἄρα οὐκ ἔστι. ἀλλὰ μὴν ὑπέκειτο καὶ
εἶναι. ἐξ ἀνάγκης γὰρ ἠκολούθησε τῷ α. τὸ αὐτὸ ἄρα ἔστι καὶ οὐκ ἔστιν. ὅπερ ἀδύνατον. δέδεικται ἄρα διὰ
τούτων ὅτι πᾶσα ἀνάγκη τὸ τῷ δυνατῷ ἑπόμενον δυνατὸν εἶναι. οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης ἀποδείκνυσι τὸ
τοιοῦτον. Οἱ δὲ Στωϊκοὶ τῇ δείξει ταύτῃ ἐπιχειρεῖν μὴ δυνάμενοι διὰ παραδειγμάτων τινῶν ἐλέγχειν πει-
ρῶνται τὸν τοῦ φιλοσόφου λόγον. δυνατῷ γὰρ τὸ τῷ δυνατῷ ἑπόμενον, ἀδύνατον εἶναι. λέγω γὰρ ὅτι τὸ εἰ τέθνηκε
Δίων ἀκολουθεῖ τῷ τέθνηκεν οὗτος. τὸ μὲν οὖν τεθνάναι Δίωνα δυνατόν. τὸ δὲ τοῦτον τεθνάναι, ἀδύνατον. ἕπεται
δὲ πάντως τὸ Δίωνα τεθνάναι τῷ τεθνάναι τοῦτον. εἰ μὲν οὖν ἀποθάνοι Δίων πάντως καὶ οὗτος ὁ δεικνύμενος
δηλονότι τέθνηκεν. αὐτὸ δὲ τὸ, τοῦτον τεθνάναι ἀδύνατον. τὸ γὰρ τοῦτο δεικτικὸν ὑπάρχον ὄν τι πρᾶγμα
σημαίνει. τὸ δὲ τεθνάναι μὴ ὄν. τὸ δὲ ὂν, ἀδύνατον μὴ εἶναι. τὸ ἄρα τεθνάναι τοῦτον, ἀδύνατον. τούτῳ δὲ
ἀκολουθεῖ τὸ Δίωνα τεθνάναι. δυνατὸν δηλονότι. ἀδύνατον ἄρα δυνατῷ τινὶ ἀκολουθεῖ. πάλιν εἰ ἔστι
νὺξ, αὕτη ἡμέρα οὐκ ἔστι. τὸ δὲ ταύτην ἡμέραν μὴ εἶναι, ἀδύνατον. ἕπεται ἄρα τῷ εἶναι νύκτα δυνατῷ
ὄντι, τὸ μὴ εἶναι ταύτην ἡμέραν ἀδύνατον ὄν. ταῦτα μὲν οἱ Στωϊκοί. Ἡμεῖς δὲ πρὸς ταῦτα φα-
μὲν ὅτι δεῖ τὸ κυρίως ἑπόμενον, ἐπὶ πλεῖον εἶναι τοῦ ἡγουμένου. ἐὰν δὲ ᾖ ἐπ᾽ ἔλαττον οὐχ ὑγιῶς ἕψεται
τῷ ἡγουμένῳ. οἷον, τῷ ἄνθρωπον εἶναι, ἕπεται ἐξ ἀνάγκης τὸ ζῷον εἶναι. κυρίως ἄρα ἑπόμενον τὸ ζῷον
διότι καὶ ἐπὶ πλεῖον. πάντως γὰρ ἕπεται τῷ ἄνθρωπον εἶναι. ὁμοίως καὶ τῷ ἵππον ἢ κύνα εἶναι.
οὐκέτι μέντοι εἰ λάβοιμεν προηγούμενον μὲν τὸ ζῷον. ἑπόμενον δὲ τὸν ἄνθρωπον ἢ τὸν ἵππον. ἢ τὸν κύ-
να. οὐκέτι δὲ ὑγιῶς. οὐδὲ κυρίως ἔσται τὸ ἑπόμενον. οὐ γὰρ πάντως τῷ ζῴῳ ἕπεται ἄνθρωπος ἢ ἵππος. ἤ
τι τοιοῦτον. διότι μερικώτερόν ἐστι καὶ ἐπὶ ἔλαττον τὸ ἡγούμενον. εἰ τοίνυν τοῦτο οὕτως ἔχει. καὶ δεῖ πάν-
τως τὸ ἑπόμενον ἐπὶ πλεῖον εἶναι τοῦ κατηγορουμένου. οὐκ ἄρα καλῶς ἔλαβε τῷ Δίωνα τεθνάναι ἡ-
γουμένῳ ἑπόμενον τὸ τοῦτο τεθνάναι. ἐπὶ πλεῖον γὰρ Δίων τέθνηκε. τοῦ οὗτος τέθνηκε. τὸ μὲν γὰρ Δίων τέ-
θνηκεν. ἐπὶ πλείονος χρόνου λαμβάνεται. ἐπί τε τοῦ κατὰ τὸ ζῆν. καὶ ἐπὶ τοῦ κατὰ τὸ τεθνάναι. τὸ δὲ
οὗτος, ἐπὶ μόνου τοῦ τῆς ζωῆς χρόνου. ἐπὶ πλεῖον ἄρα τοῦ οὗτος. τὸ Δίων. διὰ τοῦτο ἄρα τῷ δυνατῷ τι ἔδο-
ξεν ἕπεσθαι. διὰ τὸ τὴν ἀκολούθησιν μὴ κυρίως ληφθῆναι. ὡς εἰ ἐλέγομεν ἐπὶ ἀνθρώπου. εἰ ζῷόν ἐστιν
οὗτος καὶ ἵππος ἐστίν. ὥσπερ οὖν εἰ τοῦ Δίωνος ὁμωνύμου ὄντος. ἐλέγομεν ἁπλῶς οὕτως εἰ Δίων τέθνηκεν
ὁ δὲ τεθνηκὼς τύχοι ὢν φέρε εἰπεῖν ὁ ἐκ Θετταλίας. εἶτα ἐπιφέρομεν οὕτως. Δίων τέθνηκεν ὁ ἐξ Ἀθη-
νῶν. ἐδείκνυμεν ἀδύνατόν τι τῷ ἡγουμένῳ ἀκολουθεῖν, τὸν μὴ τεθνηκότα Δίωνα ἀποθανεῖν. τοῦ παραλο-
γισμοῦ δι᾽ οὐδὲν ἕτερον γενομένου. ἢ διὰ τὸ ἡγούμενον ὁμώνυμον λαβεῖν. καὶ διὰ τοῦτο ἐπὶ πλεῖον. τὸ δὲ
ἑπόμενον μερικόν. οἷον ἐπὶ τοῦ Ἀθηναίου. οὕτω κἀνταῦθα λέγομεν ὅτι δι᾽ οὐδὲν ἕτερον γέγονεν ὁ παραλο-
γισμός. ἢ διὰ τὸ τὸ ἑπόμενον μερικώτερον λαβεῖν. καὶ ἄλλως δὲ οὐδέποτε ὁ ἡγούμενος ἀναιρεθεὶς συν-
αναιρεῖ τὸν ἑπόμενον. ἀλλὰ τοὐναντίον ὁ ἑπόμενος τὸν ἡγούμενον ἀναιρεῖ. οἷον προηγεῖται ὁ ἄνθρω-
πος. ἕπεται τὸ ζῷον. ἀναιρεθεὶς ὁ ἄνθρωπος, οὐ συναναιρεῖ τὸ ζῷον. τὸ δὲ ζῷον ἀναιρεθὲν, συναναιρεῖ τὸν
ἄνθρωπον. εἰ τοίνυν αὕτη ἡ φύσις τοῦ ἑπομένου. ὥστε μὴ συναναιρεῖσθαι τῷ ἡγουμένῳ. κακῶς ἄρα ἔλαβο-
τὸν ἑπόμενον ὅρον ἀναιρούμενον ὑπὸ τοῦ ἡγουμένου. ὅταν γὰρ εἴπωμεν ὅτι Δίων τέθνηκεν, ἀναιροῦμεν τὸ
λέγειν ἐπὶ αὐτοῦ τὸ οὗτος. ἐπεὶ τὸ οὗτος δεικτικὸν ὂν ἐπὶ ὑφεστώτων πραγμάτων λέγεται. ὁ δὲ τεθνη-
κὼς οὐχ ὑφέστηκεν. κακῶς ἄρα λαμβάνομεν τὸ ἑπόμενον, ἀναιρούμενον ὑπὸ τοῦ ἡγουμένου. μὴ πεφυκό-
τος συναναιρεῖσθαι τῷ ἡγουμένῳ. ἀλλὰ τοὐναντίον τὸν ἡγούμενον ἑαυτῷ συναναιροῦντος. τοῦτο δὲ συμ-
βαίνει διὰ τὴν αὐτὴν πάλιν αἰτίαν ὅτι βούλεται ὁ ἑπόμενος ἐπὶ πλέον εἶναι τοῦ ἡγουμένου. εἰ δὲ δύνα-
ται καὶ ἐπίσης εἶναι ὅτι καὶ ἰσοτίμως ἔχουσι πρὸς ἀλλήλους οἱ ὅροι. ὡς ἐπὶ τοῦ ἀνθρώπου. καὶ τοῦ γελαστικοῦ,
οὐδὲν ἡμῖν τοῦτο πρὸς τὸ προκείμενον. πλὴν ὅτι ἀδύνατον τὸ ἡγούμενον. ἐπὶ πλέον εἶναι τοῦ ἑπομένου.
πρὸς δὲ τούτοις κἀκεῖνο λέγομεν. ὅτι εἰ κατ᾽ αὐτοὺς τοὺς Στωϊκοὺς τὰ ὀνόματα τὸ ἰδίως ποιὸν σημαίνουσιν.
ἰδίως δὲ ποιόν φησι τὰ συμβεβηκότα τὰ χαρακτηρίζοντα ἑκάστην οὐσίαν. τὸ ἄρα Δίων ἀδύνατον φέ-
ρειν ἐπὶ τοῦ τεθνηκότος ἰδίως ποιοῦ μὴ ὄντος, ἀλλ᾽ ἢ φθαρέντος. ἢ ἐπὶ φθορᾷ ὁ δὲ ὄντος. ἀδυνάτῳ δὲ
ὄντι τούτῳ λέγοι δὴ τῷ λέγεσθαι ἐπὶ τοῦ τεθνηκότος ὅτι Δίων εἰ ἀδύνατόν τι ἀκολουθεῖ, οὐδὲν θαυ-
μαστόν. εἰ δὲ λέγουσιν ὅτι κατὰ ἀναφορὰν λέγομεν τὸ Δίων οἷον ὁ ποτὲ Δίων. φήσομεν καὶ ἡμεῖς ὅ-
τι καὶ τὸ οὗτος κατὰ ἀναφορὰν ληψόμεθα ὁ ποτὲ οὗτος. καὶ οὕτως οὐκ ἔσται ἀδύνατον, ἀλλὰ δυνατόν. καὶ
γὰρ πολλὰ λέγομεν κατὰ ἀναφορὰν καὶ ἐπὶ τοῦ παρελθόντος καὶ ἐπὶ τοῦ μέλλοντος χρόνου. οἷον ὅταν
εἴπωμεν ὅτι ὁ τάφος οὗτος Ἀχιλλέως ἐστί. πολλάκις μηδὲ τοῦ τυχόντος λειψάνου τῶν ὀστέων Ἀχιλλέως
ἐν τῷ τάφῳ ὄντος. ἀλλὰ δηλονότι τοῦ ποτὲ Ἀχιλλέως ὄντος. πάλιν οἰκίας οἰκοδομημένης, λέγομεν
ὅτι ὁ οἶκος οὗτος, Πλάτωνός ἐστιν οἶκος. ἀλλὰ δῆλον ὅτι ὁ ἐσόμενος οἶκος. ὅτι μὲν οὖν οὐκ ἐγχωρεῖ δυνα-
τοῦ ὄντος τοῦ προηγουμένου τὸ ἑπόμενον εἶναι ἀδύνατον δῆλον. ἐγχωρεῖ δὲ δυνατοῦ ὄντος τοῦ ἑπομέ-
νου. τὸ προηγούμενον εἶναι ἀδύνατον. ὡς εἴ τις λέγοι ἑαυτὸν ὄνον εἶναι ἐπιφέροι ὅτι καὶ ζῷον εἴη. ἐν τούτοις

γὰρ τὸ

χουσαι ἔχουσαι οὐ συνάγουσί φησι τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον· ἀλλὰ τὸ μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν ἄν τι· οὐ δὴ ἔστιν ἀποφατικαὶ μέν, οὐ τὸ πρᾶγμα δὲ ἀναιροῦσαι· ἀλλὰ μόνον τὸν ἀναγκαῖον τρόπον· ἀναιρουμένου δὲ τοῦ ἀναγκαίου τρόπου, ἐνδεχόμενα ἕπεται ἐξ ἀνάγκης τὰ συμπεράσματα· ἀλλ' οὐχί φησι τοῦ κατὰ τὸν διορισμὸν ἐνδεχομένου ἀλλ' ἡ μέση τοῦ ἐνδεχομένου· τί δὲ τοῦτό ἐστιν εἰσόμεθα ὅταν περὶ αὐτῶν τῶν προτάσεων διαλαμβανώμεθα· νῦν δὲ πῶς τὰς τὴν μείζονα ἐχούσας ἐνδεχομένην ἐκτίθεται καὶ δείκνυσιν ἐνδεχόμενα τὰ συμπεράσματα συναγόμενα, ἴδωμεν δὲ καὶ τὰ ἑξῆς.

» ΟΤΑΝ δὲ πρὸς τὸ ἔλαττον, ἀτελεῖς τε πάντες καὶ οἱ στερητικοὶ τῶν συλλογισμῶν· οὐ τοῦ κατὰ τὸν
» διορισμὸν ἐνδεχομένου, ἀλλὰ τοῦ, ἢ μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης ὑπάρχειν· εἰ γὰρ μηδενὶ ἢ μὴ παντί, ἐξ
» ἀνάγκης, ἐνδέχεσθαι φαμὲν καὶ μηδενὶ καὶ μὴ παντὶ ὑπάρχειν.

Εἰκότως πάντες οἱ συλλογισμοὶ οἱ τὴν ἐλάττονα ἐνδεχομένην ἔχοντες ἀτελεῖς εἰσί· πληροῦνται γὰρ ἢ δι' ἀντιστροφῆς ἢ διὰ τῆς τοῦ ἀδυνάτου δείξεως. οἱ δὲ στερητικοί, τὸ ἐξ ἀνάγκης μηδενὶ ἢ μὴ παντὶ συνάγουσιν ὅπερ καὶ αὐτὸ ἐνδεχόμενόν ἐστιν· οὐ μὴν ὅπερ ὡρίσατο. ὅτι δὲ ἐνδεχόμενόν ἐστι διὰ τῶν ἑξῆς συνάγει. εἰ γὰρ μηδενὶ ἢ μὴ παντὶ ἐξ ἀνάγκης ἐνδέχεσθαί φαμεν καὶ μηδενὶ καὶ μὴ παντὶ ὑπάρχειν εἰκότως. εἰ γὰρ μηδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης τὸ βαδίζειν, ἐνδεχομένως που πάντως ὑπάρχει.

» ΕΝΔΕΧΕΣΘΩ γὰρ τὸ α παντὶ τῷ β· τὸ δὲ β παντὶ τῷ γ κείσθω ὑπάρχον. ἐπεὶ οὖν ὑπὸ τὸ β
» ἐστὶ τὸ γ· τῷ δὲ β παντί, ἐνδέχεται τὸ α, φανερὸν ὅτι καὶ τῷ γ παντὶ ἐνδέχεται. γίνεται δὴ τέλειος
» συλλογισμός. ὁμοίως δὲ καὶ στερητικῆς οὔσης τῆς α β προτάσεως. τῆς δὲ β γ καταφατικῆς, καὶ τῆς μὲν
» α β ἐνδέχεσθαι, τῆς δὲ β γ ὑπάρχειν λαμβανομένης, τέλειος ἔσται συλλογισμός. ὅτι τὸ α ἐνδέχεται
» μηδενὶ τῷ γ ὑπάρχειν.

Ἐκτίθεται τὰς ἐκ μείζονος ἐνδεχομένης συζυγίας καὶ συνάγουσαι αὐτάς φησιν ἐνδεχόμενον συμπέρασμα. εἰ γὰρ τὸ α παντὶ τῷ β ἐνδέχεται ὑπάρχειν, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδεχομένως ὑπάρχει· μέρος δὲ τοῦ β τὸ γ· ὑπόκειται δὲ τῷ παντὶ τῷ γ τὸ β ὑπάρχειν· τὸ ἄρα α τῷ γ ἐνδεχομένως ὑπάρχει μέρει ὄντι τοῦ β· ὅροι δὲ διαλέγεσθαι· περιπατοῦν· ἄνθρωπος· διαλέγεσθαι γὰρ παντὶ περιπατοῦντι ἐνδέχεται ὑπάρχειν· περιπατοῦν δὲ παντὶ ἀνθρώπῳ ὑπάρχει· ὑποκείσθω γὰρ πάντας περιπατοῦντας· καὶ συνάγεται συμπέρασμα διαλέγεσθαι παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν. τὰ αὐτὰ δὲ ἐροῦμεν καὶ τῆς μείζονος στερητικῆς λαμβανομένης· τῆς δὲ ἐλάττονος καταφατικῆς. εἰ γὰρ τὸ α ἐνδέχεται μηδενὶ τῷ β· πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ οὐκ ἐνδεχομένως ὑπάρχει· μέρος δὲ τοῦ β τὸ γ· ὑπόκειται γὰρ παντὶ τῷ γ τὸ β ὑπάρχειν· οὐδενὶ ἄρα τῷ γ τὸ α ἐνδέχεται ὑπάρχειν. οἱ αὐτοὶ δὲ ὅροι κἀνταῦθα ἁρμόσουσιν.

» ΟΤΙ μὲν οὖν τοῦ ὑπάρχειν τιθεμένου πρὸς τὸ ἔλαττον ἄκρον τέλειοι γίνονται οἱ συλλογισμοί, φα-
» νερόν· ὅτι δὲ ἐναντίως ἔχοντος ἔσονται συλλογισμοί, διὰ τοῦ ἀδυνάτου δεικτέον. ἅμα δὲ ἔσται δῆλον,
» καὶ ὅτι ἀτελεῖς· ἡ γὰρ δεῖξις, οὐκ ἐκ τῶν εἰλημμένων προτάσεων.

Πᾶσαί φησιν αἱ προτάσεις αἱ τὴν μὲν μείζονα ἔχουσαι ἐνδεχομένην, τὴν δὲ ἐλάττονα ὑπάρχουσαν, συλλογιστικαί εἰσι· τέλειαι εἰσιν· οὐκ ἐδεήθησαν γὰρ οὔτε τῆς διὰ τῆς ἀντιστροφῆς, οὔτε τῆς δι' ἀδυνάτου δείξεως. αἱ δὲ ἀντικειμένως ἔχουσαι ταύταις· λέγω δὴ αἱ τὴν μείζονα ὑπάρχουσαν, τὴν δὲ ἐλάττονα ἐνδεχομένην· οὐ τῇ κατ' εὐθεῖαν δείξει δεικνύμεναι· ἀλλ' ἢ τῇ δι' ἀντιστροφῆς, ἢ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ, ἀτελεῖς εἰσι· πᾶσαι γὰρ αἱ μὴ τῇ κατ' εὐθεῖαν δείξει δεικνύμεναι, ἀτελεῖς εἰσι.

» ΠΡΩΤΟΝ δὲ δεικτέον· ὅτι εἰ τοῦ α ὄντος, ἀνάγκη τὸ β εἶναι, καὶ δυνατοῦ ὄντος τοῦ α, δυνα-
» τὸν ἔσται καὶ τὸ β ἐξ ἀνάγκης. ἔστω γὰρ οὕτως ἐχόντων· τὸ μὲν ἐφ' ᾧ, τὸ α δυνατόν. τὸ δὲ ἐφ' ᾧ τὸ
» β, ἀδύνατον. εἰ οὖν τὸ μὲν δυνατὸν ὅτε δυνατὸν εἶναι γένοιτο ἄν· τὸ δὲ ἀδύνατον, ὅτι ἀδύνατον· οὐκ
» ἂν γένοιτο. ἅμα δὲ εἰ τὸ α δυνατὸν καὶ τὸ β ἀδύνατον, ἐνδέχοιτο ἂν τὸ α γενέσθαι ἄνευ τοῦ β. εἰ δὲ γε-
» νέσθαι καὶ εἶναι· τὸ γὰρ γεγονός, ὅτε γέγονεν ἔστι.

Μέλλει παραδιδόναι τὰς ἐκ τῆς μείζονος ὑπαρχούσης τῆς δὲ ἐλάττονος ἐνδεχομένης συζυγίας. θεώρημά τι προλαμβάνει συμβαλλόμενον αὐτῷ πρὸς τὴν δεῖξιν τὴν τούτων. ἐπειδὴ γὰρ πᾶσαι διὰ τοῦ ἀδυνάτου δείκνυνται καὶ τῆς μεταλήψεως τῶν προτάσεων εἰς ἀλλήλας· τῆς τε ἐνδεχομένης εἰς τὴν ὑπάρχουσαν· καὶ ἀνάπαλιν τῆς ὑπαρχούσης εἰς τὴν ἐνδεχομένην. τοῦτο δὲ καὶ εἰ ψεῦδός ἐστιν, οὐ μὴν ἀδύνατον· ἀλλὰ δυνατόν. τότε γὰρ ἐνδεχόμενον δυνατὸν ἐκβῆναι καὶ γενέσθαι ὑπάρχον· καὶ τὸ ὑπάρχον διακοπῆν, ἐπειδὴ καὶ τοιαύτην ἔχει τὴν φύσιν, δύναται πάλιν γενέσθαι ἐνδεχόμενον. ἐπειδὴ τοίνυν μεταλαμβάνει τὰς προτάσεις διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς δείκνυσι ταύτας τὰς συζυγίας. ἵνα μή τις εἴποι ὅτι διὰ τὴν μετάληψιν τῶν προτάσεων ἠκολούθησε τὸ ἀδύνατον· διὰ τοῦτο πρότερον προτίθεται δεῖξαι ὅτι οὐδέποτε τινὶ ὑποθέσει δυνατοῦ ἐγχωρεῖ τι ἀδύνατον ἀκολουθεῖν· ἀλλὰ πάντως τῷ δυνατῷ δυνατὸν ἔσται τὸ ἑπόμενον· ἐπεὶ οὖν ἡ μετάληψις τῶν προτάσεων δυνατὴ γενέσθαι, καὶ οὐκ ἀδύνατον· δυνατῷ δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ· οὐδενὶ ἄρα ἀκολουθήσει τῇ μεταλήψει τὸ ἀδύνατον. δείκνυσι δὲ αὐτὸ οὕτως. Ἔστω φησὶ τοῦ α ὄντος, ἐξ ἀνάγκης ἕπεσθαι αὐτῷ τὸ β. ἐπειδὴ τοίνυν τὸ μὲν α ἐστὶν ἡγούμενον· τὸ δὲ β ἑπόμενον· ἀνάγκη φησὶν εἰ τὸ α δυνατὸν ἦν, καὶ τὸ β δυνατὸν εἶναι. εἰ γὰρ τοῦτο ψεῦδος, καὶ ἐγχωρεῖ τοῦ α

ἐνύπνιον καὶ τινὶ καθεύδοντι ἐνδέχεται ὑπάρχειν καὶ παντί· καὶ ἀνάπαλιν παντὶ καθεύδοντι ἐνδέχεται ἐνύπνιον ὁρᾶν· ἢ τὸ ἐσθίειν καὶ περιπατεῖν· καὶ ὅσα τοιαῦτα. ἐφ' ὅσων οὖν φησι μὴ ἐξισάζει ὁ πρῶτος ὅρος πρὸς τὸν μέσον· ἀλλ' ὑπερτείνει καὶ πλεονάζει ὁ μέσος τῇ κατηγορίᾳ τοῦ πρώτου ἐπὶ τούτων δυνατὸν καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ συναγαγεῖν· εἴτε ἀμφότεραι καταφατικαὶ ὦσιν αἱ προτάσεις, εἴτε ἀμφότεραι ἀποφατικαί· εἴτε ἀμφότεραι ἀδιόριστοι, ἢ κατὰ μέρος· οἱ αὐτοὶ δὲ ὅροι οὓς παραθέμεθα, ἀρμόσουσιν ἐπὶ πάντων καὶ ἐν τούτοις παραπλησίως.

» Ὡ δὲ ὑποτείνει τὸ β τοῦ α ἀληφθῶ τὸ γ· τούτῳ γὰρ, οὔτε παντὶ οὔτε μηδενὶ· οὔτε τινὶ οὔτε μὴ τινὶ ἐνδέχεται τὸ α ὑπάρχειν ἀντιστρεφουσῶν τῶν κατὰ τὸ ἐνδέχεσθαι προτάσεων· καὶ τὸ β πλείοσιν ἐνδέχεται ἢ τὸ α ὑπάρχειν. ἔστι δὲ καὶ ἐκ τῶν ὅρων φανερόν, οὕτως ἐχουσῶν τῶν προτάσεων τὸ πρῶτον τῷ ἐσχάτῳ καὶ οὐδενὶ ἐνδέχεται καὶ παντὶ ὑπάρχειν ἀναγκαῖον. ὅροι δὲ κοινοὶ πάντων. τοῦ μὲν ὑπάρχειν ἐξ ἀνάγκης, ζῷον· λευκὸν· ἄνθρωπος, τοῦ δὲ μὴ ἐνδέχεσθαι, ζῷον· λευκόν· ἱμάτιον. φανερὸν οὖν ὅτι τοῦτον τὸν τρόπον ἐχόντων τῶν ὅρων, οὐδεὶς γίνεται συλλογισμός. ἢ γὰρ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ἢ τοῦ ἐνδέχεσθαι πᾶς ἐστι συλλογισμός. τοῦ μὲν οὖν ὑπάρχειν καὶ τοῦ ἀναγκαίου, φανερὸν ὅτι οὐκ ἔστιν· ὁ μὲν γὰρ καταφατικὸς, ἀναιρεῖται τῷ στερητικῷ· ὁ δὲ στερητικὸς, τῷ καταφατικῷ. λείπεται δὴ τοῦ ἐνδέχεσθαι εἶναι. τοῦτο δὲ ἀδύνατον· δέδεικται γὰρ ὅτι οὕτως ἐχόντων τῶν ὅρων καὶ παντὶ τῷ ἐσχάτῳ, τὸ πρῶτον, ἀνάγκη καὶ οὐδενὶ ἐνδέχεσθαι ὑπάρχειν· ὥστ' οὐκ ἂν εἴη τοῦ ἐνδέχεσθαι συλλογισμός· τὸ γὰρ ἀναγκαῖον οὐκ ἦν ἐνδεχόμενον.

Β ἂν φησι τὸ μέρος ἐκεῖνο τοῦ μέσου ὅρου λάβωμεν τουτέστι τοῦ β καθὸ πλεονάζει τῆς κατηγορίας τοῦ α, λέγω δὴ τοῦ πρώτου ὅρου, ἐπὶ τούτου φησὶν, οὐδὲν συμπέρασμα εὑρήσομεν συναγόμενον· οὔτε τὸ καθόλου, οὔτε τὸ μερικόν· οὔτε τὸ καταφατικόν· οὔτε τὸ ἀποφατικόν. εἶτα κατασκευάζων τοῦτό φησιν· ἀντιστρεφουσῶν τῶν κατὰ τὸ ἐνδέχεσθαι προτάσεων· καὶ τὸ β πλείοσιν ἐνδέχεται ἢ τὸ α ὑπάρχειν. φανερὸν οὖν ὅτι τοῦτον τὸν τρόπον ἐχόντων τῶν ὅρων, οὐδεὶς γίνεται συλλογισμός. τοῦτον τὸν τρόπον δηλοῖ ὅτι τὸν προσεχῶς εἰρημένον· ἐὰν ἡ μείζων μερικὴ τυγχάνῃ. ἢ γάρ φησιν ἀνάγκη πάντας συλλογισμοὺς ἢ ἀναγκαῖον ἢ ὑπάρχοντα ἢ ἐνδεχόμενον εἶναι. δείκνυται δὲ μηδέτερος τούτων συναγόμενος διὰ τούτων τῶν προτάσεων. ἐοίκασιν ἄρα παντελῶς εἶναι ἀσυλλόγιστοι. τῷ μὲν γὰρ συνάγειν τὸ καταφατικὸν ἀναγκαῖον· τότε ὑπάρχον ἀποφατικὸν καὶ τὸ ἐνδεχόμενον καὶ τὸ ἀναγκαῖον ἀναιρεῖται· τῷ δὲ συνάγεσθαι τὸ ἀποφατικὸν ἀναγκαῖον· τότε καταφατικὸν ἀναγκαῖον ἀναιρεῖται καὶ τὸ ὑπάρχον· καὶ τὸ ἐνδεχόμενον καθάπερ ἐδείξαμεν.

» ΦΑΝΕΡΟΝ δὲ καὶ ὅτι καθόλου τῶν ὅρων ὄντων, ἐν ταῖς ἐνδεχομέναις προτάσεσιν, ἀεὶ γίνεται συλλογισμὸς ἐν τῷ πρώτῳ σχήματι, καὶ κατηγορικῶν καὶ στερητικῶν ὄντων. πλὴν κατηγορικῶν μὲν ὄντων, τέλειος· στερητικῶν δὲ, ἀτελής.

Β ἐπὶ μὲν γὰρ τῶν ἄλλων τρόπων οὐ πᾶσαι αἱ ἐξ ἀμφοτέρων τῶν προτάσεων καθόλου προτάσεις, συλλογιστικαὶ ἦσαν. ἐπὶ δὲ τοῦ ἐνδεχομένου ἐν τῷ πρώτῳ σχήματι πάσας φησὶν ἐδείξαμεν συλλογιστικὰς ὅπως ἂν ἔχοι κατὰ τὸ ποιόν· ἀλλὰ τὰς μὲν τελείας καὶ δι' ἑαυτῶν δεικνυμένας· τὰς δὲ ἀτελεῖς καὶ δεομένας τῆς δι' ἀντιστροφῆς βοηθείας· λέγω δὴ τῆς μεταλήψεως τῶν ἀποφατικῶν εἰς τὰς καταφατικάς.

» ΔΕΙ δὲ τὸ ἐνδέχεσθαι λαμβάνειν, μὴ τὸ ἐν τοῖς ἀναγκαίοις, ἀλλὰ κατὰ τὸν εἰρημένον διορισμόν. ἐνίοτε δὲ λανθάνει τὸ τοιοῦτον.


Γ πολλάκις φησὶ λανθάνομεν ἡμᾶς αὐτοὺς λέγοντες μὲν ἐνδέχεσθαι τί δε τῷ δὲ ὑπάρχειν· μὴ ἐνδεχομένως ἐκείνου ὑπάρχοντος· ἀλλ' ἀναγκαίως. ὅπερ καὶ αὐτὸς πεπόνθεν· ὡς ὅταν εἴπωμεν ἐνδέχεσθαι παντὶ ἀνθρώπῳ τὸ λευκὸν ὑπάρχειν· τινὶ γὰρ ἐξ ἀνάγκης ὑπάρχει οἷον τῷ κύκνῳ· καὶ τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχει οἷον, τῷ αἰθίοπι· διὰ τοῦτό φησιν ὅτι δεῖ τὸ ἐνδέχεσθαι μὴ ἐπὶ τοῦ ἀναγκαίου λαμβάνειν, ἀλλ' ἐπὶ τοῦ κυρίως ἐνδεχομένου κατὰ τὸν εἰρημένον ἡμῖν περὶ τούτου διορισμόν.


» ΕΑΝ δὲ ἡ μὲν, ὑπάρχειν ἡ δὲ, ἐνδέχεσθαι λαμβάνηται τῶν προτάσεων, ὅταν μὲν ἡ πρὸς τὸ μεῖζον ἄκρον ἐνδέχεσθαι λαμβάνῃ, τέλειοί τε πάντες ἔσονται οἱ συλλογισμοί, καὶ τοῦ ἐνδέχεσθαι κατὰ τὸν εἰρημένον διορισμόν.

Γ περὶ τῆς τοῦ ἐνδεχομένου φύσεως διαλεχθεὶς καὶ διορισάμενος αὐτό· ἔτι καὶ περὶ τῆς ἀντιστροφῆς αὐτοῦ· εἶτα περὶ τῶν συλλογισμῶν εἰρηκὼς τῶν ἐξ ἀμφοτέρων τῶν προτάσεων ἐνδεχομένων, νῦν ἀκολούθως περὶ τῆς μίξεως αὐτοῦ διαλέγεται. μιγνύσιν οὖν αὐτὸ τῷ ὑπάρχοντι. ἐπὶ τούτων οὖν ὅταν ἡ μὲν μείζων ἢ ἐνδεχομένη ἡ δὲ ἐλάττων ὑπάρχουσα, τότε τοιαῦται ἔσονται συλλογιστικαὶ αἱ συζυγίαι. ὅταν καὶ ἡ μείζων τὸ ἴδιον ποσὸν φυλάττῃ λέγω δὴ τὸ καθόλου· καὶ ἡ ἐλάττων τὸ ποιόν, λέγω δὴ τὸ καταφατικόν· καὶ πάντες οἱ τοιοῦτοι συλλογισμοὶ τέλειοί εἰσιν. οὐ δέονται γὰρ οὔτε ἀντιστροφῆς οὔτε τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ὅταν δὲ ἡ μὲν μείζων ὑπάρχουσα ᾖ· ἡ δὲ ἐλάττων ἐνδεχομένη, τότε ἔσονται συλλογιστικαὶ συζυγίαι. ὅταν μόνη ἡ μείζων καθόλου, ἢ οὐκέτι μέντοι ἀνάγκη καὶ τὸ ποιὸν τῆς ἐλάττονος ὡρισμένον εἶναι· κἂν γὰρ ἀποφατικὸν ἡ ἐλάττων γένηται συλλογιστικὴ ἡ συζυγία μεταληφθείσης πάλιν τῆς τοῦ ἐνδεχομένου ἀποφάσεως εἰς κατάφασιν. αἱ μὲν οὖν συλλογιστικαὶ ἐν τούτῳ συζυγίαι αὗται. συνάγουσι δὲ συμπεράσματα, αἱ μὲν τὴν μείζονα ἔχουσαι ἐνδεχομένην, ἐνδεχόμενα· αἱ δὲ τὴν μείζονα ὑπάρχουσαν

ποιεῖ καὶ ποιοῦσι τοὺς εἰρημένους δύο μερικοὺς τρόπους. οἱ αὐτοὶ ὅροι ἡμῖν κἀπὶ τούτων πρὸς μέσον.

» ΕΑΝ δὲ ἡ μὲν πρὸς τὸ μεῖζον ἄκρον ἐν μέρει ληφθῇ, ἡ δὲ πρὸς τὸ ἔλαττον καθόλου, ἐάν τε ἀμφό-
» τεραι καταφατικαὶ ληφθῶσιν, ἐάν τε στερητικαί, ἐάν τε μὴ ὁμοιοσχήμο-
» νες, ἐάν τε ἀμφότεραι ἀδιόριστοι ἢ κατὰ μέρος, οὐδαμῶς ἔσται συλλο-
» γισμός. οὐδὲν γὰρ κωλύει τὸ β ὑπερτείνειν τοῦ α. καὶ μὴ κατηγορεῖ-
» σθαι ἐπ' ἴσον.







Αἱ μὲν οὖν ἔχουσαι πρὸς τῇ μείζονι προτάσει τὸ καθόλου πρὸς δὲ τῇ ἐλάττονι τὸ μερικὸν εἴρηνται, πῶς ὅτι πᾶσαι συλλογιστικαί. ὅπως ἂν ἔχωσι τὸ ποιόν. αἱ δὲ τὸ ποσὸν ἀνάπαλιν ἔχουσαι. λέγω δὴ πρὸς μὲν τῇ μείζονι τὸ μερικόν. πρὸς δὲ τῇ ἐλάττονι τὸ καθόλου. πᾶσαι ἀσυλλόγιστοί εἰσιν ὅπως ἂν ἔχωσι κατὰ τὸ ποιόν. δείκνυσι δὲ αὐτὰς ἀσυλλογίστους τὸν τρόπον. ἐπειδὴ τὸ β φησὶν ἐπὶ πλεῖον ἐστὶ τοῦ α. δείκνυται δὲ τούτῳ τὸ α ἐξ ἀνάγκης παντὶ ὑπάρχον. καὶ ἐξ ἀνάγκης οὐδενὶ τούτῳ. εἰ δὲ τοῦτο ὅλον συναχθήσεται συμπέρασμα. ἐ γὰρ συνάγεται τὸ ἀνάγκη παντί, ἀναιρήσεται τό τε ἀνάγκη μηδενί. καὶ ἀνάγκη μὴ παντί. καὶ τὸ ἐνδέχεται μηδενί, καὶ τὸ ἐνδέχεται μὴ παντί. πάλιν εἰ συνάγεται τὸ ἀνάγκη μηδενί, ἀναιρήσεται τό τε ἀνάγκη παντὶ καὶ τὸ τινί. εἰ τοίνυν πάντα ἀναιροῦνται, οὐκ μηδενὶ συνάγεσθαι ἐκ τούτων τῶν ὅρων. ἀσυλλόγιστοι ἄρα αἱ τοιαῦται συζυγίαι εἰκότως εἶναι. δειχθήσεται δὲ καὶ ἐπὶ τῶν ὅρων τὸ τοιοῦτον οὕτως ἔχον. οἱ μὲν οὖν ὅροι οὓς αὐτοὺς λαμβάνει, οὐ πάνυ σαφὲς ἡμῖν τὸ θεώρημα ποιοῦσιν. ἔστωσαν οὖν ὅροι τοῦ μὲν παντὶ ἐξ ἀνάγκης. λευκόν. περιπατητικόν. κύκνος. λευκὸν γὰρ τινὶ περιπατητικῷ ἐνδέχεται ὑπάρχειν. περιπατητικὸν παντὶ κύκνῳ. καὶ λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης ὑπάρχει. τοῦ δὲ μηδενί, ἐὰν λάβωμεν ἀντὶ τοῦ κύκνου κόρακα. λευκὸν τινὶ περιπατητικῷ ἐνδέχεται ὑπάρχειν. περιπατητικὸν παντὶ κόρακι. καὶ λευκὸν οὐδενὶ κόρακι ἐξ ἀνάγκης. εἰ δὲ καὶ τὸ ἐξ ἀνάγκης παντί. καὶ τὸ ἐξ ἀνάγκης οὐδενὶ συνάγεται. πάντα ἄρα ἀναιρεῖται τὰ συμπεράσματα ὡς ἐδείξαμεν. εἰ δὲ πάντα ἀναιρεῖται, ἀσυλλόγιστοι εἰσὶν αἱ συζυγίαι αἱ τοιαῦται. τὰ δὲ αὐτὰ ἐροῦμεν καὶ ἐπὶ τῶν ἀποφατικῶν, καὶ ἐπὶ τῶν ὁμοιοσχημόνων. καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων μερικῶν ἢ ἀπροσδιορίστων ἢ ὅπως ἂν ἄλλως. Απορεῖ δὲ ἐν τούτοις ὁ ἐξηγητὴς τί δήποτε ὁ ἀριστοτέλης μὴ ὥσπερ τὰς ἀποφατικὰς μεταλαμβάνει εἰς καταφατικάς. καὶ οὕτω ποιεῖ συλλογιστικὰς τὰς συζυγίας, οὕτω καὶ τὰς καταφατικὰς μεταλαμβάνει εἰς ἀποφατικὰς καὶ δείκνυσιν ἀσυλλογίστους τὰς συλλογιστικὰς συζυγίας. εἰ γὰρ αἱ τοῦ ἐνδεχομένου προτάσεις πρὸς ἑαυτὰς ἰσοτίμως ἀντιστρέφουσι. τίς ἡ ἀποκλήρωσις τὰς μὲν ἀποφατικὰς μεταλαμβάνειν εἰς καταφατικὰς μηκέτι δὲ καὶ τὰς καταφατικὰς, εἰς ἀποφατικάς. Επιλύεται οὖν τὸ τοιοῦτον ὡς οἶόν τε ἦν πιθανῶς οὕτως. τῶν ἀποφάσεων φησὶν αἱ μὲν τὸν τρόπον ἀναιροῦσιν, αἱ δὲ τὸ πρᾶγμα. ἡ μὲν γὰρ λέγουσα οὐκ ἀνάγκη περιπατεῖν. τὸ μὲν πρᾶγμα, οὐκ ἀνεῖλε. λέγω δὴ τὸ περιπατεῖν. τὸν δὲ τρόπον ἀνεῖλε. λέγω τὸ ἀνάγκη. ἡ δὲ λέγουσα ἀνάγκη μὴ περιπατεῖν. ἥ τις τῷ μὲν σχήματί ἐστι κατάφασις. τῇ δὲ δυνάμει ἀπόφασις. τὸ μὲν πρᾶγμα ἀνεῖλε τὸ περιπατεῖν. τὸν δὲ τρόπον ἐφύλαξε. καὶ ἐπὶ πασῶν τῶν ἄλλων ὁμοίως. αἱ δὲ τοῦ ἐνδεχομένου ἀποφάσεις αἱ ἐνταῦθα παραλαμβανόμεναι. αἵ τινές εἰσι τῷ σχήματι καταφάσεις. οὔτε τὸ πρᾶγμα, οὔτε τὸν τρόπον ἀναιροῦσιν. ἡ γὰρ λέγουσα. ἐνδέχεται μηδένα ἄνθρωπον περιπατεῖν. οὔτε τὸν τρόπον ἀναιρεῖ. ἀκέραιος γάρ. οὔτε τὸ πρᾶγμα. εἰ τοίνυν μηδὲ τὸν τρόπον ἀναιροῦσι μηδὲ τὸ πρᾶγμα, δῆλον ὅτι ταῖς καταφάσεσιν ἰσοδυναμοῦσι. διὰ τοῦτο οὖν τὰς ἀποφατικὰς εἰς καταφατικὰς μεταλαμβάνει. ὥσπερ ἀπὸ ἀσαφεστέρων καταφάσεων, εἰς σαφεστέρας ποιούμενος τὴν μετάληψιν.
Ισως δ' ἄν τις κἀκεῖνο ἀπορήσειε. διατί οὖν μὴ καὶ τὰς μερικὰς μεταλαμβάνει εἰς τὰς καθόλου. καὶ ποιεῖ τὰς ἐν ταῖς μερικαῖς ἀσυλλογίστους συλλογιστικάς. εἴπερ πᾶσαι πρὸς ἑαυτὰς αἱ τοῦ ἐνδεχομένου προτάσεις ἀντιστρέφουσι. Τούτου δὲ τὴν λύσιν ἔφθημεν εἰπόντες ὅτι τὰς μὲν καθόλου δυνατὸν εἰς τὰς μερικὰς μεταλαβεῖν. διότι τῷ καθόλου τὸ μέρος ἀκολουθεῖ. καὶ ὃ ἐνδέχεται παντί, τοῦτο καὶ τινὶ ἐνδέχεται. καὶ ὃ μηδενί, τοῦτο καὶ μὴ παντί. οὐκέτι δὲ πάντως καὶ ἀνάπαλιν. οὐ γὰρ ὃ τινὶ ἐνδέχεται, τοῦτο ἀνάγκη καὶ παντὶ ἐνδέχεσθαι. δυνατὸν γὰρ τινὶ μὲν ἐνδέχεσθαι, παντὶ δὲ μηκέτι. οἷον τινὶ μὲν ζῴῳ ἐνδεχομένως τὸ λευκὸν ὑπάρχει. παντὶ δὲ οὐκέτι ἐνδεχομένως. τῷ γὰρ κύκνῳ ἐξ ἀνάγκης. διὰ τοῦτο οὖν οὐ μεταλαμβάνει τὰς μερικὰς εἰς τὰς καθόλου. ἴδωμεν δὲ καὶ ἐπὶ τῆς λέξεως αὐτῆς τὰ εἰρημένα. Οὐδὲν γὰρ κωλύει φησὶ τὸ β ὑπερτείνειν τὸ α. τουτέστι δυνατὸν τὸν μέσον ὅρον λαβεῖν ἐφ' οὗ μὴ παντὸς ὁ πρῶτος κατηγορεῖται. καὶ οὐκ ἐξισάζει ὁ πρῶτος πρὸς τὸν μέσον. δυνατὸν γάρ ποτε καὶ ἐξισάζειν. ὡς ὅταν καὶ τὸ ἐνύπνιον ὁρᾶν τὸ καθεύδειν λάβωμεν. τὸ γὰρ ὁρᾶν

illud περιπατητικῶν omnino ineptū est ad sententiam. forte legendū sic περιπατητικόν

» ΟΤΑΝ δὲ τὸ μὲν α παντὶ τῷ β ἐνδέχηται, τὸ δὲ β ἐνδέχεται μηδενὶ τῷ γ, διὰ μὲν τῶν εἰλημ-
» μένων προτάσεων, οὐδεὶς γίνεται συλλογισμός. ἀντιστραφείσης δὲ τῆς β γ
» κατὰ τὸ ἐνδέχεσθαι, γίνεται ὁ αὐτὸς ὅσπερ καὶ πρότερον. ἐπεὶ γὰρ ἐνδέχε-
» ται τὸ β μηδενὶ τῷ γ ὑπάρχειν, ἐνδέχεται καὶ παντὶ ὑπάρχειν. τοῦτο γὰρ
» εἴρηται πρότερον. ὥστε εἰ τὸ μὲν β παντὶ τῷ γ, τὸ δὲ α παντὶ τῷ β, πάλιν ὁ
» αὐτὸς γίνεται συλλογισμός. ὁμοίως δὲ καὶ εἰ πρὸς ἀμφοτέρας τὰς προ-
» τάσεις ἡ ἀπόφασις τεθείη μετὰ τοῦ ἐνδέχεσθαι. λέγω δ' οἷον εἰ τὸ μὲν
» α ἐνδέχεται μηδενὶ τῷ β, καὶ τὸ β μηδενὶ τῷ γ. διὰ μὲν γὰρ τῶν εἰ-
» λημμένων προτάσεων, οὐδεὶς γίνεται συλλογισμός. ἀντιστρεφομένων δὲ
» πάλιν, ὁ αὐτὸς ἔσται ὅσπερ καὶ πρότερον. φανερὸν οὖν ὅτι τῆς ἀποφάσεως
» τιθεμένης πρὸς τὸ ἔλαττον ἄκρον, ἢ πρὸς ἀμφοτέρας τὰς προτάσεις, ἢ οὐ
» γίνεται συλλογισμός, ἢ γίνεται μὲν, ἀλλ' οὐ τέλειος. ἐκ γὰρ τῆς ἀντιστρο-
» φῆς περαίνεται τὸ ἀναγκαῖον.





A Αἱ λοιπαὶ δύο συζυγίαι ἤτε τὴν μείζονα ἔχουσα καταφατικὴν. τὴν δὲ ἐ-
λάττονα ἀποφατικήν. ἀσυλλόγιστοι μέν εἰσιν ὅσον ἐξ αὐτῶν τῶν προτά-
σεων. λέγω δὲ τοῦ τὴν ἐλάττονα ἢ ἀμφοτέρας ἀποφατικὴν εἶναι. ἐπεὶ
δὴ δὲ φησὶ ἐλέγομεν τὰς τοῦ ἐνδεχομένου προτάσεις πρὸς ἀλλήλας ἀντι-
στρέφειν τὴν πᾶς πρὸς τὴν οὐδεὶς καὶ τὴν τὶς πρὸς τὴν οὐ πᾶς. ἐὰν λάβω-
μεν τὴν ἀποφατικὴν ὡς καταφατικὴν γενήσονται καὶ αὗται συλλογιστι-
καί. ἀντιστρεφούσης γὰρ τῆς ἐλάττονος προτάσεως ἀναχθήσεται ὁ μὲν πρῶ-
τος τῶν ἀσυλλογίστων τρόπων, ὑπὸ τὸν πρῶτον τῶν συλλογιστικῶν. ὁ δὲ δεύ-
τερος, ὑπὸ τὸν δεύτερον. εἰ δὲ καὶ τὴν μείζονα τοῦ δευτέρου ἀντιστρέψομεν.
καὶ αὐτὸς ὑπὸ τὸν πρῶτον ἀναχθήσεται. οὕτω μὲν οὖν δείκνυσι καὶ τὰς ἀσυλλογίστους δυναμένας
γενέσθαι συλλογιστικάς. οὐκ αὐτόθεν ἐκ τῶν ἐξ ἀρχῆς εἰλημμένων. ἀλλὰ διὰ τῆς ἀντιστροφῆς. ὥσπερ
ἐδείκνυ καὶ ἐπὶ τοῦ ὑπάρχοντος τὰς ἀσυλλογίστους συλλογιστικὰς δυναμένας γενέσθαι ἀντιστρεφομέ-
νων τῶν προτάσεων. ὥστε διὰ τοῦτο οὐδὲ τελείους φησὶν εἶναι τούτους ἅτε δέονται ἀντιστροφῆς. πλὴν
εἰδέναι χρή. ὅτι ἡ ἀντιστροφὴ τῶν προτάσεων τοῦ ἐνδεχομένου οὐ πρὸς τὸ αὐτὸ τοῦ ἐνδεχομένου σημαι-
νόμενον γίνεται. ἀλλὰ δῆλον ὅτι τὸ ἐπὶ πλέον ἐνδεχόμενον πρὸς τὸ ἐπ' ἔλαττον ἀντιστρέφει. καὶ ἔμ-
παλιν τὸ ἐπ' ἔλαττον πρὸς τὸ ἐπὶ πλέον. ὃ γὰρ ἐνδέχεται παντὶ ὑπάρχειν ὡς ἐπὶ τὸ πλεῖ. τοῦτο οὐδενὶ
ὑπάρχειν ἐνδέχεται ὡς ἐπ' ἔλαττον. τὸ δὲ ἐπίσης τοῦτο πρὸς ἑαυτῷ ἔχει ἀντιστρεφούσας τὰς κατα-
φατικὰς καὶ τὰς ἀποφατικὰς ἐξ ἰσοτιμίας. ἐνταῦθα δὲ ἁπλῶς ὡς πρὸς τὸ πλάτος τοῦ ἐνδεχομένου
ἀποβλέψας ταῦτά φησι.

» ΕΑΝ δὲ ἡ μὲν καθόλου τῶν προτάσεων. ἡ δὲ ἐν μέρει ληφθῇ, πρὸς μὲν τὸ μεῖζον ἄκρον κειμέ-
» νης τῆς καθόλου, συλλογισμὸς ἔσται τέλειος. εἰ γὰρ τὸ α παντὶ τῷ β ἐνδέχεται, τὸ δὲ β τινὶ τῷ γ, τὸ α
» τινὶ τῷ γ ἐνδέχεται. τοῦτο δὲ φανερὸν ἐκ τοῦ ὁρισμοῦ τοῦ παντὶ ἐνδέχεσθαι. πάλιν εἰ τὸ α ἐνδέ-
» χεται μηδενὶ τῷ β, τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται ὑπάρχειν, ἀνάγκη τὸ α ἐνδέχεσθαι τινὶ τῷ γ
» μὴ ὑπάρχειν. ἀπόδειξις δὲ ἡ αὐτή. ἐὰν δὲ στερητικὴ ληφθῇ ἡ ἐν μέρει πρότασις. ἡ δὲ καθόλου κα-
» ταφατική. τῇ δὲ θέσει ὁμοίως ἔχωσιν. οἷον εἰ τὸ μὲν α παντὶ τῷ β ἐνδέχεται, τὸ δὲ β τινὶ τῷ γ
» ἐνδέχεται μὴ ὑπάρχειν. διὰ μὲν τῶν εἰλημμένων προτάσεων οὐ γίνεται φανερὸς συλλογισμός. ἀντι-
» στραφείσης δὲ τῆς ἐν μέρει καὶ τεθέντος τοῦ β τινὶ τῷ γ ἐνδέχεσθαι ὑπάρχειν, τὸ αὐτὸ ἔσται συμπέρα-
» σμα. ὃ καὶ πρότερον καθάπερ ἐν τοῖς ἐξ ἀρχῆς.

B Δείκνυται ἐπὶ πασῶν τῶν συζυγιῶν τῶν ἐκ τῆς ἑτέρας μερικῆς τῆς δὲ ἑτέρας καθόλου. πάσας μὲν τὰς
συζυγίας τὰς ἐχούσας ἐν τῇ μείζονι τὸ καθόλου. ἐν δὲ τῇ ἐλάττονι τὸ μερικὸν συλλογιστικὰς εἶναι. ὁποῖαι
δ' ἂν ὦσι κατὰ τὸ ποιόν. εἰσὶ δὲ αἱ πᾶσαι τέσσαρες. ἤτε ἐξ ἀμφοτέρων καταφατικῶν. ἡ ἐξ ἀμφοτέ-
ρων ἀποφατικῶν. καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς. καὶ ἡ ἐκ τῆς μεί-
ζονος καταφατικῆς τῆς δὲ ἐλάττονος ἀποφατικῆς. καὶ αἱ μὲν τὴν ἐλάττονα ἔχουσαι καταφατικὴν.
πρόδηλον ὅτι δι' ἑαυτῶν δείκνυνται συλλογιστικαὶ οὖσαι. ἀντιστροφῆς μὴ δεηθεῖσαι. εἰ γὰρ τὸ α παντὶ ἢ
μηδενὶ τῷ β ἐνδέχεται, τὸ δὲ β τινὶ τῷ γ ἐνδέχεται. δῆλον ὅτι καὶ τὸ α τινὶ ἢ οὐ παντὶ τῷ γ ἐνδέχε-
ται ὑπάρχειν. ὅροι δὲ κίνησις. λευκόν. ζῷον. κίνησις γὰρ παντὶ λευκῷ ἐνδέχεται ὑπάρχειν. λευκὸν τινὶ ζῴῳ
ἐνδέχεται ὑπάρχειν. καὶ συνάγεται κίνησιν τινὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν. πάλιν κίνησιν ἐνδέχεται μη-
δενὶ λευκῷ ὑπάρχειν, λευκὸν τινὶ ζῴῳ ἐνδέχεται ὑπάρχειν. καὶ συνάγεται κίνησιν ἐνδέχεται μὴ παν-
τὶ ζῴῳ ὑπάρχειν. οὕτω μὲν αἱ ἔχουσαι τὴν ἐλάττονα καταφατικὴν. δι' ἑαυτῶν καὶ οὐ δι' ἑτέρων τινῶν
δείκνυνται. ἀντιστραφείσης δὲ πάλιν τῆς ἐν ἑκατέρᾳ ἐλάττονι. καὶ μεταληφθείσης εἰς μερικὴν κατα-

λογισμῶν διδασκαλίαν. φησὶ δὲ τὸ ἐνδεχόμενον λέγεσθαι ἢ τὸ ἤδη ἐν ὑπάρξει ὂν ὅπερ καὶ ἐλέγομεν αὐτὸ τοῦτο ὑπάρχειν. ἢ τὸ μήπω ἐν ὑπάρξει, δυνάμενον δὲ ὑπάρξαι. ἐπειδὴ οὖν περὶ μὲν τοῦ ὑπάρχοντος ἤδη διειλήφαμεν. δεῖ φησιν ἐνταῦθα πρῶτον περὶ τοῦ ἐνδεχομένου διαλαβεῖν. τοῦ μήπω μὲν ἐν ὑπάρξει ὄντος, δυναμένου δὲ ὑπάρξαι. ἔπειτα μῖξαι τοῦτο τῷ ὑπάρχοντι καὶ γνῶναι τίνες γίνονται ἐκ τούτων οἱ συλλογισμοί. δεῖ γὰρ ὡς πολλάκις εἴρηται, τὰ ἁπλᾶ τῶν συνθέτων προηγεῖσθαι. αὕτη μὲν οὖν ἡ τῶν ἑξῆς ῥητῶν διάνοια. ἴδωμεν δὲ αὐτὰ καὶ ἐπ' αὐτῆς τῆς λέξεως. ἔχει γάρ τινα ἀσάφειαν.

» ΕΠΕΙ δὲ τὸ ἐνδέχεσθαι τόδε, τῷδε ὑπάρχειν, διχῶς ἐστιν ἐκλαβεῖν. ἢ γὰρ ᾧ ὑπάρχει τόδε, ἢ ᾧ ἐνδέ-
» χεται αὐτὸ ὑπάρχειν, τὸ γὰρ καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι, τούτων σημαίνει θάτερον. ἢ καθ' οὗ λέγεται
» τὸ β, ἢ καθ' οὗ ἐνδέχεται λέγεσθαι. τὸ δὲ καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι. ἢ παντὶ τῷ β τὸ α ἐγχωρεῖν οὐ-
» δὲν διαφέρει. φανερὸν οὖν ὅτι διχῶς ἂν λέγοιτο τὸ α τῷ β παντὶ ἐνδέχεσθαι ὑπάρχειν.

Η ᾧ ἐνδέχεται τὸ αὐτὸ ὑπάρχειν. τουτέστι τὸ μήπω ἐκβεβηκὸς εἰς ἐνέργειαν δυνάμενον δὲ ἐκβῆναι.

» Τὸ γὰρ καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι τούτων σημαίνει θάτερον. ἢ καθ' οὗ λέγεται τὸ β. ἢ καθ' οὗ ἐνδέχεται λέγεσθαι. ὃ βούλεται εἰπεῖν διὰ τούτων. τοῦτό ἐστιν. ὅταν φησὶν εἴπωμεν ὅτι τὸ α κατὰ παντὸς τοῦ β ἐνδέχεται. ἢ τοῦτο φαμὲν ὅτι ὅσοις ἤδη ὑπάρχει τὸ β. ἐνδέχεται τὸ α ὑπάρχειν. ἢ ὅτι ὅσοις δύναται τὸ β ὑπάρξαι νῦν μὴ ὑπάρχον. τούτοις καὶ τὸ α ἐνδέχεται ὑπάρξαι. ὡς ὅταν εἴπωμεν ὅτι ἐνδέχεται κίνησιν παντὶ λευκῷ ὑπάρχειν. ἢ γὰρ ὅτι πᾶσιν οἷς ἤδη τὸ λευκὸν ὑπάρχει, ἢ οἷς ὑπάρξει νῦν μὴ
» ὑπάρχον. Τὸ δὲ καθ' οὗ τὸ β τὸ α ἐνδέχεσθαι. ἢ παντὶ τῷ β τὸ α ἐγχωρεῖν, οὐδὲν διαφέρει. ἐπειδὴ εἶπε τὸ καθ' οὗ τὸ β τὸ α. καὶ καθ' οὗ λέγεται τὸ β. ἑρμηνεύων τοῦτό φησιν ὅτι οὐδὲν ἄλλο σημαίνει τὸ καθ' οὗ ἢ τὸ παντί.

» ΠΡΩΤΟΝ οὖν εἴπωμεν εἰ καθ' οὗ τὸ γ τὸ β ἐνδέχεται. καὶ καθ' οὗ τὸ β τὸ α, τίς ἔσται. καὶ
» ποῖος συλλογισμός. οὕτω γὰρ αἱ προτάσεις ἀμφότεραι λαμβάνονται κατὰ τὸ ἐνδέχεσθαι.

Δ ἤλα ταῦτα ἐκ τῶν εἰρημένων. οὐδὲν γὰρ ἄλλο φησὶν ἢ τοῦτο. ὅτι δεῖ πρῶτον περὶ τῶν ἐξ ἐνδεχομένων προτάσεων διαλαβεῖν συζυγιῶν καὶ ἰδεῖν ποῖον συνάγουσι συμπέρασμα.

» ΟΤΑΝ δὲ καθ' οὗ τὸ β ὑπάρχει τὸ α ἐνδέχηται ἡ μὲν, ὑπάρχουσα. ἡ δ' ἐνδεχομένη ἐστίν, ὥστ' ἀπὸ
» τῶν ὁμοιοσχημόνων ἀρκτέον καθάπερ καὶ ἐν τοῖς ἄλλοις.

Ε ἂν φησιν οὕτως ὅτι τὸ α ἐνδέχεται ὑπάρχειν. πᾶσιν οἷς ὑπάρχει τὸ β μικτὰς τὰς προτάσεις ποιοῦμεν ἐξ ὑπαρχουσῶν καὶ ἐνδεχομένων. δεῖ δὲ ὡς εἴρηται πρῶτον περὶ τῶν ἁπλῶν διαλαβεῖν ὡς αὐτός φησιν ὁμοιοσχημόνων. τουτέστιν ἀμφοτέρας ἐνδεχομένας.

» ΟΤΑΝ οὖν τὸ α παντὶ τῷ β ἐνδέχηται. καὶ τὸ β παντὶ τῷ γ, συλλογισμὸς ἔσται τέλειος. ὅτι τὸ
» α παντὶ τῷ γ ἐνδέχεται ὑπάρχειν. τοῦτο δὲ φανερὸν ἐκ τοῦ ὁρισμοῦ. τὸ γὰρ ἐνδέχεσθαι παντὶ ὑπάρχειν,
» οὕτως ἐλέγομεν.

Α ρχεται λοιπὸν περὶ αὐτῶν τῶν συλλογισμῶν ποιεῖσθαι τὸν λόγον τῶν ἐν τῷ πρώτῳ σχήματι. καὶ παραδίδωσι τὰς ἐξ ἀμφοτέρων καθόλου συζυγίας. τεσσάρων πάλιν γινομένων προτάσεων ἐκ τῆς συμπλοκῆς τοῦ καθόλου. ἢ γὰρ ἀμφότεραι καταφατικαί. ἢ ἀμφότεραι ἀποφατικαί. ἢ ἡ μὲν καταφατική. ἡ δὲ ἀποφατική. καὶ τοῦτο διχῶς. αἱ μὲν γὰρ δύο πάλιν συλλογιστικαί εἰσιν. ἥ τε ἐκ δύο καταφατικῶν καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς. αἱ δὲ λοιπαὶ δύο ἀσυλλόγιστοι. πρώτην οὖν παραδίδωσι τὴν ἐκ δύο καταφατικῶν συνάγουσαν καθόλου καταφατικὸν συμπέρασμα. εἰ γὰρ τὸ α παντὶ τῷ β ἐνδέχεται ὑπάρχειν, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ἐνδέχεται ὑπάρχειν. μέρος δὲ τοῦ β τὸ γ. ὑπέκειτο γὰρ παντὶ τῷ γ τὸ β ἐνδέχεσθαι ὑπάρχειν. τὸ ἄρα α παντὶ τῷ γ ἐνδέχεται ὑπάρχειν. τοῦτο γάρ φησι φανερὸν ἐκ τοῦ ὁρισμοῦ τοῦ ὁρισμοῦ. δῆλον ὅτι τοῦ κατὰ παντός. κατὰ παντὸς γὰρ ἦν ὅταν μηδὲν ὑπάρχῃ τοῦ ὑποκειμένου καθ' οὗ οὐκ ἦν τὸ κατηγορούμενον, οὕτως οὖν εἰ κατὰ παντὸς τοῦ β τὸ α ἐνδέχεται ὑπάρχειν. μέρος δὲ τοῦ β τὸ γ. καὶ κατὰ παντὸς ἄρα τοῦ γ τὸ α ἐνδέχεται ὑπάρχειν. ὅροι δὲ τούτου κίνησις ἐγρήγορσις, ἄνθρωπος. κίνησις γὰρ παντὶ ἐγρηγορότι ἐνδέχεται ὑπάρχειν. ἐγρήγορσις δὲ παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν. καὶ τὸ συμπέρασμα κίνησις παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν.

» ΟΜΟΙΩΣ δὲ καὶ εἰ τὸ μὲν α ἐνδέχεται μηδενὶ τῷ β. τὸ δὲ β παντὶ ἐνδέχεται τῷ γ, ὅτι τὸ α ἐν-
» δέχεται μηδενὶ τῷ γ. τὸ γὰρ καθ' οὗ τὸ β ἐνδέχεται, τὸ α μὴ ἐνδέχεσθαι. τοῦτο ἦν τὸ μηδὲν ἀπολείπειν
» τῶν ὑπὸ τὸ β ἐνδεχομένων.

Δ εύτερος τρόπος ἐκ τῆς μείζονος ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καταφατικῆς, συνάγων καθόλου ἀποφατικὸν ἐνδεχόμενον συμπέρασμα. ὅπερ καὶ αὐτό φησιν ἐκ τοῦ ὁρισμοῦ τοῦ κατὰ μηδενὸς δῆλον. τοῦτο γὰρ ἦν τὸ κατὰ μηδενὸς ὅταν μηδὲν ᾖ τοῦ ὑποκειμένου μέρος καθ' οὗ τὸ κατηγορούμενον οὐκ ἀποφάσκεται. ὅροι δὲ οἱ αὐτοὶ πάλιν κἀπὶ τούτου. κίνησις μὲν γὰρ ἐνδέχεται μηδενὶ ἐγρηγορότι ὑπάρχειν. ἐγρήγορσις δὲ παντὶ ἀνθρώπῳ ἐνδέχεται ὑπάρχειν. καὶ συνάγεται κίνησιν μηδενὶ ἀνθρώπῳ ἐνδέχεσθαι ὑπάρχειν.

» ΕΝΑ μὲν τὸ ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι καὶ διαλείπειν τὸ ἀναγκαῖον. οἷον τὸ πολιοῦσθαι ἄνθρωπον.
» ἢ τὸ αὐξάνεσθαι. ἢ φθίνειν. ἢ ὅλως τὸ πεφυκὸς ὑπάρχειν.

Διαλείπει γὰρ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐπί τε τῆς φύσεως καὶ τῆς τέχνης. οὐ γὰρ ἀεὶ ἡ φύσις τοῦ οἰκείου ἐφικνεῖται. ὅτι τῇ ὕλῃ τῇ οὔσῃ ἡ τέχνη· ἀλλὰ καὶ ἡ φύσις διαμαρτοῦσα τέρας ἐποίησε. καὶ ὁ τεχνίτης διήμαρτε τοῦ σκοποῦ. ἐπειδὴ τοίνυν διαλείμματα ἐν τούτοις γίνονται· διὰ τοῦτο τὸ ἀναγκαῖον αὐτῶν ἀφῄρηται. οὔτε γὰρ πάντως ἐν γήρᾳ πολιοῦται ἄνθρωπος, οὔτε ὁ ἰατρὸς ὑγιάσει, οὐδ᾽ ὅλως τῶν φυσικῶν τι. λέγω δὲ τῶν ἐν γενέσει καὶ φθορᾷ. οὔτε τῶν τεχνητῶν τὸ ἀναγκαῖον ἔχει· ἀλλὰ τὸ ὡς ἐπὶ τὸ πολύ.

» ΤΟΥΤΟ γὰρ οὐ συνεχὲς μὲν ἔχει τὸ ἀναγκαῖον διὰ τὸ μὴ ἀεὶ εἶναι ἄνθρωπον. ὄντος μέντοι ἀν-
» θρώπου, ἢ ἐξ ἀνάγκης. ἢ ὡς ἐπὶ τὸ πολύ ἐστιν. ἄλλο δὲ τὸ ἀόριστον ὃ καὶ οὕτως καὶ μὴ οὕτως δυνατόν.

Τὴν αἰτίαν διατί τούτων ἀποδίδωσι δι᾽ ἣν τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον οὐκ ἔχει τὸ ἀναγκαῖον. δύο δέ φησι τούτου αἰτίας. μίαν μὲν ἐκ τοῦ ὑποκειμένου. ἑτέραν δὲ ἐκ τοῦ κατηγορουμένου. καὶ ἡ μὲν ἐκ τοῦ ὑποκειμένου αὕτη. ἔχει ἡ φύσις ἐν γήρᾳ πολιοῦσθαι τὸν ἄνθρωπον. συμβαίνει δὲ τοῦτο πολλάκις μὴ γενέσθαι τοῦ ἀνθρώπου πρὶν εἰς γῆρας ἀφίκεσθαι τελευτήσαντος. ἢ πάλιν πέφυκεν ὁ ἄνθρωπος περὶ ἑξηκοστὸν ἔτος ἐκφῦσαι γένειον καὶ συμβαίνει πρὶν εἰς τοῦτο ἱκέσθαι τελευτῆσαι τὸν ἄνθρωπον. καὶ αὕτη μὲν ἐκ τοῦ ὑποκειμένου μία αἰτία τοῦ διαλιμπάνειν τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον. ἑτέρα δὲ ἐκ τοῦ κατηγορουμένου. πολλάκις γὰρ εἰς τὸ γῆρας μὲν ἀφίκετο ὁ ἄνθρωπος, πολιὰς δὲ οὐκ ἐπανῆσεν. ἢ εἰς ἑξηκοστὸν ἔτος ἐλθὼν οὐκ ἐβλάστησε γένειον. καὶ ὅσα τοιαῦτα.

» ΟΙΟΝ τὸ βαδίζειν ζῶον. ἢ τὸ βαδίζοντος γενέσθαι σεισμόν. ἢ ὅλως τὸ ἀπὸ τύχης γενόμενον. οὐ-
» δὲν γὰρ μᾶλλον οὕτως πέφυκεν. ἢ ἐναντίως.

Εἰπὼν ὅτι ἄλλος τρόπος ἐνδεχομένου ἐστὶ τὸ ἀόριστον. ἐπειδὴ ὡς εἴπομεν ἐν τῷ ὀνόματι τῷ τοῦ ἀορίστου καλεῖ τό τε ἐπίσης καὶ τὸ ἐπ᾽ ἔλαττον ἐνδεχόμενον, παραδείγματα ἑκάστου παρατίθεται. τοῦ μὲν ἐπίσης, τὸ βαδίζειν τὸ ζῶον. τοῦτο γὰρ ἐπίσης δύναται εἶναι καὶ μὴ εἶναι. τοῦ δὲ ἐπ᾽ ἔλαττον, τὸ βαδίζοντος γενέσθαι σεισμόν. τοῦτο γὰρ σπανιάκις καὶ ἐπ᾽ ἔλαττον γίνεται. ὅπερ κοινῷ λόγῳ σημαίνων ἐπήγαγεν. ἢ ὅλως τὸ ἀπὸ τύχης καὶ ἐπ᾽ ἔλαττον. τὰ ἀπὸ τύχης γινόμενα, ὡς τὸ προσελθόντα ἐπ᾽ ἄλλῳ παρατυχεῖν ὡς ἐκ πολλοῦ περιτυχεῖν τις ἐβούλετο. ἢ τὸ ἀδικηθέντα καὶ τῆς οὐσίας ἀφαιρεθέντα φιλοσοφῆσαι. ἢ σκάπτοντα θησαυρῷ περιτυχεῖν καὶ τὰ τοιαῦτα. ὃ δὲ ἐπάγει τὸ οὐδὲν γὰρ μᾶλλον οὕτως ἢ ἐναντίως πέφυκεν, οὐ πρὸς τὸ ἔλαττον ἀλλὰ πρὸς τὸ ἐπίσης αὐτὸ ἐξ ἀνάγκης ἀκούειν δεῖ.

» ΑΝΤΙΣΤΡΕΦΕΙ μὲν οὖν καὶ κατὰ τὰς ἀντικειμένας προτάσεις ἑκάτερον τῶν ἐνδεχομένων. οὐ μὴν
» τὸν αὐτόν γε τρόπον. ἀλλὰ τὸ μὴ πεφυκὸς εἶναι, τῷ μὴ ἐξ ἀνάγκης ὑπάρχειν, οὕτω γὰρ ἐνδέχεται τὸ μὴ
» πολιοῦσθαι ἄνθρωπον. τὸ δ᾽ ἀόριστον τῷ μηδὲν μᾶλλον οὕτως ἢ ἐκείνως.

Εἰ καὶ κατὰ διαφόρων φησὶ σημαινομένων φέρεται τὸ ἐνδεχόμενον τὸ ὡς ἐπὶ τὸ πολύ. τὸ ἐπίσης. τὸ ἐπ᾽ ἔλαττον. ἀλλ᾽ οὖν ἕκαστον τούτων ὁμοίως ἔχει τὰς ἀντιστροφάς. διαφέρουσι δὲ τοῦ μὲν πεφυκότος εἶναι, φησί, τουτέστι τοῦ ὡς ἐπὶ τὸ πολύ. τῷ τὴν κατάφασιν μᾶλλον ἢ τὴν ἀπόφασιν ὑπάρχειν. ἐπὶ δὲ τοῦ ἐπίσης τὸ μηδὲν μᾶλλον τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν. τοῦ δὲ ἐπ᾽ ἔλαττον τῷ μᾶλλον τὴν ἀπόφασιν ἢ τὴν κατάφασιν.

» ΕΠΙΣΤΗΜΗ δὲ καὶ συλλογισμὸς ἀποδεικτικὸς, τῶν μὲν ἀορίστων, οὐκ ἔστι διὰ τὸ ἄτακτον εἶ-
» ναι τὸ μέσον, τῶν δὲ πεφυκότων, ἔστι. καὶ σχεδὸν οἱ λόγοι καὶ αἱ σκέψεις γίνονται, περὶ τῶν οὕτως
» ἐνδεχομένων.

Διορισάμενος τὰ διάφορα τοῦ ἐνδεχομένου σημαινόμενα, ἀφορίζεται λοιπὸν περὶ ποῖόν ἐστιν αὐτῷ νῦν ἡ σκέψις καί φησιν ὅτι περὶ τοῦ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχομένου. αἱ γὰρ ἐπιστῆμαι περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα ἀναστρέφονται. διόπερ καὶ περὶ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον. ὡς συνεγγίζον μᾶλλον τῷ ἀναγκαίῳ, διὰ δὲ τὴν ἀοριστίαν τοῦ ἑτέρου οὐ καταγίνεται περὶ αὐτὸ ἐπιστήμη. ἀόριστον δέ ἐστι διὰ τὴν ἀταξίαν τοῦ μέσου. ὁ γὰρ μέσος ἐστὶν ὁ χαρακτηρίζων τὰ σχήματα. ἐπειδὴ τοίνυν οὗτος ἐπὶ μὲν τοῦ ἐπίσης οὐδὲν μᾶλλον τῷ πρώτῳ ὑπόκειται ἢ οὐχ ὑπόκειται. καὶ τοῦ ἐσχάτου οὐδὲν μᾶλλον κατηγορεῖται ἢ οὔ. ἐπὶ δὲ τοῦ ἐπ᾽ ἔλαττον μᾶλλον οὐχ ὑπόκειται τῷ πρώτῳ ἢ ὑπόκειται. καὶ τοῦ ἐλάττονος μᾶλλον οὐ κατηγορεῖται ἢ κατηγορεῖται. καὶ διὰ τοῦτο τῇ τοῦ ὑπάρχειν ἀοριστίᾳ πεπλάνηται, διὰ τοῦτο ἐξορίζεσθαι τῶν ἐπιστημονικῶν μεθόδων. ὡς γὰρ εἴρηται περὶ τῶν ὡς ἐπὶ πᾶν ἡ σκέψις ταῖς ἐπιστήμαις γίνεται.

» ΕΚΕΙΝΩΝ δὲ ἐγχωρεῖ μὲν γενέσθαι συλλογισμόν. οὐ μὴν εἴωθέ γε ζητεῖσθαι.

Εἰ καὶ δύναται φησὶ περὶ τοῦ ἀορίστου ἐνδεχομένου ἐστὶν ὅτε συλλογίζεσθαι. ἀλλ᾽ οὖν διὰ τὸ μὴ ἐν πολλῇ εἶναι χρήσει, ἀφεῖσθαι ὁ περὶ τούτου λόγος.

» ΤΑΥΤΑ μὲν οὖν διορισθήσεται μᾶλλον ἐν τοῖς ἑπομένοις. νῦν δὲ λέγωμεν πότε καὶ πῶς, καὶ τίς
» ἔσται συλλογισμὸς ἐκ τῶν ἐνδεχομένων προτάσεων.

Διδάξας ὅσα ἐχρῆν καὶ προλαβὼν περὶ τοῦ ἐνδεχομένου. ἐντεῦθεν ὁρμᾷ ἐπὶ τὴν τῶν ἐνδεχομένων συλ-

στρέφουσιν ἀλλήλαις αἱ προτάσεις τοῦ ἐνδεχομένου. αἱ μὲν καθόλου καταφατικαὶ πρὸς τὰς καθόλου ἀποφατικάς. αἱ δὲ μερικαὶ καταφατικαὶ πρὸς τὰς μερικὰς ἀποφατικάς. οὐκέτι δὲ ἀντιστρέφουσιν αἱ καθόλου πρὸς τὰς μερικάς. καὶ τοῦτο εἰκότως. εἰ γὰρ ἐνδεχόμενόν ἐστιν ὃ δύναται ὡσαύτως εἶναί τε καὶ μὴ εἶναι. δῆλον ὅτι ἐφ' ὧν τὴν κατάφασιν ἔστιν εἰπεῖν, ἐπὶ τούτων καὶ τὴν ἀπόφασιν. εἰ γὰρ ἐνδέχεται πάντα ἄνθρωπον κινεῖσθαι. ἐνδέχεται μηδένα κινεῖσθαι. καὶ εἰ τινὰ ἐνδέχεται μὴ κινεῖσθαι. καὶ τινὰ ἐνδέχεται κινεῖσθαι, ἀλλ' οὐκέτι ταῖς μερικαῖς αἱ καθόλου δύνανται ἀκολουθεῖν. ἀντικειμένως δῆλον ὅτι κατὰ τὸ ποιὸν ἔχουσαι. οὐδὲ γὰρ εἰ τινὰ ἐνδέχεται μὴ εἶναι λευκόν. δυνατὸν λέγειν ὅτι καὶ πάντα ἐνδέχεται εἶναι λευκόν. τινὰ μὲν γὰρ ἐνδέχεται, οὐκέτι δὲ καὶ πάντα. οἷον τὸν αἰθίοπα. ἀλλ' εἰ καὶ μὴ πρὸς τὰς μερικὰς αἱ καθόλου ἀντιστρέφειν δύνανται. ἀλλ' αἱ μερικαὶ δύνανται πρὸς τὰς καθόλου ἀντιστρέφειν. εἰ γὰρ ἐνδέχεται πάντα ἄνθρωπον κινεῖσθαι, ἐνδέχεται τινὰ μὴ κινεῖσθαι. τοῦτο δὲ διὰ τὸ καθόλου συμβαίνει. διότι γὰρ τὸ μηδένα κινεῖσθαι ἐνδέχεται. αὕτη δὲ ἀντιστρέφει πρὸς τὴν καθόλου καταφατικήν. διὰ τοῦτο καὶ τινὰ μὴ κινεῖσθαι ἐνδέχεται. τὸ γὰρ μερικὸν ἀκολουθεῖ τῷ καθόλου.

» ΛΕΓΩ δὲ, οὐ τὰς ἀποφατικὰς, ταῖς καταφατικαῖς, ἀλλ' ὅσαι καταφατικὸν ἔχουσι τὸ σχῆμα κατὰ τὴν ἀντίθεσιν. οἷον τὸ ἐνδέχεσθαι ὑπάρχειν τῷ ἐνδέχεσθαι μὴ ὑπάρχειν. καὶ τὸ παντὶ ἐνδέχεσθαι, τῷ ἐνδέχεσθαι μηδενὶ, ἢ μὴ παντί. καὶ τὸ τινὶ, τῷ μὴ παντί.

Ἐπειδὴ εἶπε πάσας τὰς τοῦ ἐνδεχομένου προτάσεις ἀντιστρέφειν. ἐπισημαίνεται ἐνταῦθα ὅτι τὰς ἀποφάσεις λέγει ἀντιστρέφειν ταῖς καταφάσεσιν. οὐ τὰς κατὰ τὸ σχῆμα ἀποφατικάς, οἷον τὸ ἐνδέχεται παντί. τῷ οὐκ ἐνδέχεται παντί. αὗται γὰρ μάχονται ἀλλήλαις. ἀλλ' ὅσαι φησὶ σχῆμα μὲν ἔχουσι καταφατικόν. ἀποφάσεως δὲ δύναμιν ἔχουσιν. οἷον ἡ ἐνδέχεται παντί, τῇ ἐνδέχεται μηδενί. καὶ ἡ ἐνδέχεται τινί, τῇ ἐνδέχεται μὴ παντί. αὗται δὲ φησὶ κατὰ τὴν ἀντίθεσιν τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι τεταγμέναι εἰσί. τὸ μὲν γὰρ ἐνδέχεται εἶναι κατὰ τὸ εἶναι τέτακται. τὸ δὲ ἐνδέχεται μὴ εἶναι, κατὰ τὸ μὴ εἶναι. ἀντιτίθησι δὲ πρῶτον τὰς ἀπροσδιορίστους ἀλλήλαις, ἔπειτα τὰς κατὰ τὸ καθόλου διωρισμένας. ἀντιτίθησι δὲ τῷ παντὶ, τὸ μηδενί, καὶ τὸ μὴ παντί. διότι ὡς ἤδη εἴπομεν. αἱ μὲν μερικαὶ καὶ πρὸς τὰς καθόλου δύνανται ἀντιστρέφειν. αἱ δὲ καθόλου οὐκέτι καὶ πρὸς τὰς μερικάς. διότι τὸ τινὶ τῷ μὴ τινὶ μόνον ἀντιτίθησι.

» ΤΟΝ αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. ἐπεὶ γὰρ τὸ ἐνδεχόμενον οὐκ ἔστιν ἀναγκαῖον. τὸ δὲ μὴ ἀναγκαῖον ἐγχωρεῖ μὴ ὑπάρχειν, φανερὸν ὅτι εἰ ἐνδέχεται τὸ α τῷ β ὑπάρχειν, ἐνδέχεται καὶ μὴ ὑπάρχειν. καὶ εἰ παντὶ ἐνδέχεται ὑπάρχειν, καὶ παντὶ ἐνδέχεται μὴ ὑπάρχειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐν μέρει καταφάσεων. ἡ γὰρ αὐτὴ ἀπόδειξις. τὸ

Εἰπὼν ἀντιστρέφειν ἀλλήλαις τὰς τοῦ ἐνδεχομένου προτάσεις τὴν πᾶς πρὸς τὴν οὐδείς. καὶ τὴν τὶς πρὸς τὴν οὐ πᾶς, αὐτὸ τοῦτο διὰ τούτων κατασκευάζει δι' αὐτῆς τῆς τοῦ ἐνδεχομένου φύσεως. εἰ γὰρ τοῦτό ἐστι φησὶν ἐνδεχόμενον ὅπερ οὔτε ἀεὶ ὑπάρχει μήτε ἐξ ἀνάγκης ὑπάρχει. ἀλλὰ δύναται αὐτοῖς τούτοις καὶ μὴ ὑπάρχειν, εἰκότως εἴπομεν ὅτι ἐφ' ὧν λέγομεν τὴν κατάφασιν, ἐπὶ τούτων ἀληθὲς εἰπεῖν καὶ τὴν ἀπόφασιν. εἰ γὰρ ἐνδεχομένως πάντες οἱ ἄνθρωποι κινοῦνται. οἱ αὐτοὶ οὗτοι καὶ οὐ κινηθήσονται ἐνδεχομένως. καλῶς οὖν ἤδη εἴρηται πρὸς ἀλλήλας ἀντιστρέφειν τὰς τοῦ ἐνδεχομένου προτάσεις.

» ΕΙΣΙ δ' αἱ τοιαῦται προτάσεις, κατηγορικαὶ καὶ οὐ στερητικαί. τὸ γὰρ ἐνδέχεσθαι τῷ εἶναι ὁμοίως τάττεται. καθάπερ ἐλέχθη πρότερον.

Ὅπερ εἶπεν ἀνωτέρω ὅτι ἀντιστρέφουσιν ἀλλήλαις οὐχ αἱ ἀποφατικαὶ ταῖς καταφατικαῖς. ἀλλ' ὅσαι καταφατικὸν ἔχουσι τὸ σχῆμα, τοῦτο καὶ νῦν φησιν. ὥσπερ γάρ φησιν ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου τὸ τότε καὶ οὕτω μόνως ἐγίνοντο ἀποφατικαὶ αἱ προτάσεις. ὅταν τῷ ἔστιν ἡ ἄρνησις προσετάττετο. οὕτω φησὶ καὶ ἐπὶ τῶν μετὰ τρόπου μόνως τῷ τρόπῳ συντασσομένης τῆς ἀρνήσεως γίνεται ἀπόφασις. ἄλλως δὲ οὐδαμῶς. εἰ τοίνυν ἐπὶ τῆς ἐνδεχομένης μὴ εἶναι καὶ τῶν τοιούτων ἀκέραιος μένει. δῆλον ὅτι καταφατικαί εἰσι τῷ σχήματι ὡς πολλάκις εἴρηται.

» ΔΙΟΡΙσμένων δὲ τούτων, πάλιν λέγομεν, ὅτι τὸ ἐνδέχεσθαι κατὰ δύο λέγεται τρόπους.

Εἰπὼν τίς ἡ φύσις τοῦ ἐνδεχομένου καὶ ὅτι ἀντιστρέφουσιν αὐτοῦ αἱ προτάσεις. νῦν φησι ποσαχῶς λέγεται καὶ ἐπὶ τίνων τὸ κυρίως ἐνδεχόμενον. διχῶς οὖν φησι λέγεται. ἢ γὰρ ὡρισμένον ἐστίν, ἢ ἀόριστον. καὶ φησὶν ὡρισμένον μὲν, τὸ ὡς ἐπὶ τὸ πολύ. περὶ ὃ ἥ τε φύσις καὶ ἡ τέχνη καταγίνεται. λέγω δὲ τὸ μᾶλλον πενταδακτύλους γενέσθαι ἢ μή. καὶ τὸν ὑγιάζειν ἰατρὸν ἢ μή. ἀόριστον δέ φησι, τό τε ἐπ' ἴσης καὶ τὸ ἐπ' ἔλαττον. τὸ μὲν ἐπ' ἴσης, περὶ ὃ ἡ προαίρεσις ἔχει βαδίζειν ἢ μὴ βαδίζειν καὶ τὰ ὅμοια. ἐπ' ἔλαττον δὲ περὶ ὃ ἡ τύχη. ὡς τὸ ὀρύττοντα θησαυρὸν εὑρεῖν καὶ τὰ ὅμοια. ἀόριστον δὲ εἶπε, διὰ τὸ ἐπ' ἴσης δύνασθαι τὰ τοιαῦτα εἶναι καὶ μὴ εἶναι. καίτοι τὸ ἐπ' ἔλαττον δοκεῖ ὡρίσθαι, τῷ μᾶλλον μὴ εἶναι ἢ εἶναι. πῶς οὖν ἀόριστον καὶ αὐτό φησι. καὶ λέγομεν ὅτι ἀόριστον αὐτὸ εἶπε. κατὰ τὸ εἶναι οὐχ ὥρισται γὰρ αὐτοῦ ἡ ὕπαρξις ὥσπερ τοῦ ὡς ἐπὶ τὸ πολὺ ἀλλὰ κατὰ τὴν ὕπαρξιν μᾶλλον. καὶ παρατίθεται ἑκάστου παραδείγματα.

ται διὰ δύο τοὐλάχιστον προτάσεων. διὰ δὲ τοῦ καὶ πῶς περὶ τῆς τῶν ὅρων τάξεως. ὅτι δεῖ τὸν μέσον ἢ τοῦ μὲν κατηγορεῖσθαι, τῷ δὲ ὑποκεῖσθαι, ἢ ἀμφοτέροις ὑποκεῖσθαι, ἢ ἀμφοτέρων κατηγορεῖσθαι. διὰ δὲ τοῦ πότε, ἐδήλωσεν ὅτι οὐχ ὡς ἔτυχε συμπλεκόμεναι αἱ προτάσεις ποιοῦσι συλλογισμόν.

» ΛΕΓΩ δ' ἐνδέχεσθαι, καὶ τὸ ἐνδεχόμενον, οὗ μὴ ὄντος ἀναγκαίου, τεθέντος δ' ὑπάρχειν, οὐδὲν ἔσται
» διὰ τοῦτ' ἀδύνατον.

Ὁρίζεται διὰ τούτου τὸ ἐνδεχόμενον καί φησι· μὴ εἶναι μὲν ἐξ ἀνάγκης αὐτοῦ τὴν ὕπαρξιν· ἐὰν δέ τις καθ' ὑπόθεσιν τὸ μήπω ἐκβεβηκὸς, ὡς ἐκβεβηκὸς θῇ, μηδὲν ἀδύνατον ἀκολουθεῖν τῇ ὑποθέσει αὐτοῦ. οἷον ἔστιν ἐνδεχόμενον τὸ νύκτωρ ἐσθίειν σωκράτην. ἐὰν ὑποθώμεθα νύκτωρ αὐτὸν ἐσθίοντα, οὐδὲν ἀδύνατον ἀκολουθήσει τῇ ὑποθέσει ταύτῃ κἂν ψευδὴς ᾖ. εἴρηται τοίνυν ὅτι τὸ μὲν ἀδύνατον, πάντως καὶ ψεῦδος. οἷον, τὸ τὸν ἄνθρωπον εἶναι πτερωτόν. τὸ δὲ ψεῦδος, οὐ πάντως καὶ ἀδύνατον.

» ΤΟ γὰρ ἀναγκαῖον ὁμωνύμως ἐνδέχεσθαι λέγομεν.

Ἐπειδὴ ἐν τῷ περὶ ἑρμηνείας τὸ ἐνδεχόμενον καὶ ἐπὶ τοῦ ἀναγκαίου ἔταττεν. ἐνταῦθα δέ φησιν ὅτι ἐνδεχόμενόν ἐστιν, οὗ μὴ ὄντος ἀναγκαίου. διὰ τοῦτο οὖν φησιν ὅτι τὸ ἀναγκαῖον, ὁμώνυμόν ἐστι φερόμενον καὶ κατὰ τοῦ ἐνδεχομένου· καὶ κατὰ τοῦ κυρίως ἀναγκαίου· καὶ ἐπὶ τῶν ἄλλων τρόπων.

» ΟΤΙ δὲ τοῦτό ἐστι τὸ ἐνδεχόμενον, φανερὸν ἔκ τε τῶν ἀποφάσεων καὶ τῶν καταφάσεων τῶν ἀν-
» τικειμένων.

Τὸν ἀποδιδόμενον περὶ τοῦ ἐνδεχομένου λόγον πιστώσασθαι βούλεται ὅτι καλῶς ἀπέδωκεν. ὅτι ὅπερ τε οὗ μὴ ὄντος ἀναγκαίου καὶ ὅτι τεθέντος ὑπάρχειν, οὐδὲν ἀδύνατον συμβαίνει. πιστοῦται δὲ τοῦτο διὰ τῶν ἀντικειμένων. τῇ μὲν οὖν τοῦ ἐνδεχομένου καταφάσει δεικνὺς ἀκολουθοῦσαν τὴν τοῦ ἀδυνάτου ἀπόφασιν· καὶ τὴν τοῦ ἀναγκαίου· ὁμοίως καὶ τῇ ἀποφάσει, τὰς ἀντικειμένας ταύτας. ὡς ἑξῆς ἐν τῷ διαγράμματι κεῖται.

ἐνδέχεται ὑπάρχειν
οὐκ ἀδύνατον ὑπάρχειν
οὐκ ἀναγκαῖον μὴ ὑπάρχειν

οὐκ ἐνδέχεται ὑπάρχειν
ἀδύνατον ὑπάρχειν
ἀναγκαῖον μὴ ὑπάρχειν.

» ΤΟ γὰρ οὐκ ἐνδέχεται ὑπάρχειν, καὶ ἀδύνατον ὑπάρχειν, καὶ ἀνάγκη μὴ ὑπάρχειν, ἤτοι ταὐτά ἐστιν
» ἢ ἀκολουθεῖ ἀλλήλοις. ὥστε καὶ τὰ ἀντικείμενα τούτοις, τὸ ἐνδέχεσθαι ὑπάρχειν, καὶ οὐκ ἀδύνατον ὑ-
» πάρχειν, καὶ οὐκ ἀνάγκη μὴ ὑπάρχειν, ἤτοι ταὐτὰ ἔσται, ἢ ἀκολουθοῦντα ἀλλήλοις.

Εἰ τοίνυν τῷ ἐνδέχεται ὑπάρχειν ἀκολουθεῖ τὸ οὐκ ἀνάγκη μὴ ὑπάρχειν. καλῶς ἄρα εἴρηται τὸ οὗ μὴ ὄντος ἀναγκαίου. καὶ πάλιν εἰ τῷ ἐνδέχεται ὑπάρχειν ἀκολουθεῖ τὸ οὐκ ἀδύνατον ὑπάρχειν. καλῶς ἄρα εἴρηται οὗ τεθέντος τοῦ ἐνδεχομένου, οὐδὲν ἀδύνατον ἀκολουθεῖ. ὃ γὰρ ἐνδέχεται εἶναι, τοῦτο ἐδείχθη οὐκ ἀδύνατον εἶναι. αὗται δέ φησιν αἱ προτάσεις ἢ αἱ αὐταί εἰσιν, ἢ ἀκολουθοῦσιν ἀλλήλαις. αἱ αὐταὶ μὲν γὰρ εἰσὶ τῷ σημαινομένῳ. συναληθεύουσι γάρ. ἀκολουθοῦσι δὲ ἀλλήλαις. μὴ πάντη οὖσαι αἱ αὐταί. διαφέρουσι γὰρ κατὰ τὴν τῆς φωνῆς προφοράν.

» ΚΑΤΑ παντὸς γὰρ ἡ φάσις ἢ ἡ ἀπόφασις. ἔσται ἄρα τὸ ἐνδεχόμενον, οὐκ ἀναγκαῖον· καὶ τὸ μὴ ἀναγ-
» καῖον ἐνδεχόμενον.

Πιστούμενος τὰ περὶ τῆς ἀκολουθήσεως τῶν ἐκτεθεισῶν προτάσεων. προσκέχρηται τῷ ἀξιώματι τῆς ἀντιφάσεως. ὅτι γάρ φησι καλῶς εἰρήκαμεν ἀκολουθεῖν ἤτοι ἰσοδυναμεῖν ταύτας ἀλλήλαις, τὰς προτάσεις. δῆλον ἐξ ὧν ἐπὶ παντὸς πράγματος ἀνάγκη ἢ τὴν κατάφασιν ἀληθεύειν ἢ τὴν ἀπόφασιν τὰς ἀντιφατικῶς ἀντικειμένας. τῷ γὰρ ἐνδέχεσθαι ὑπάρχειν πᾶσα ἀνάγκη ἢ τὸ ἀναγκαῖον μὴ ὑπάρχειν συναληθεύειν, ἢ τὸ οὐκ ἀναγκαῖον μὴ ὑπάρχειν. εἰ τοίνυν φησὶ τὸ αὐτὸ ἐνδέχεσθαι ὑπάρχειν καὶ ἀναγκαῖον μὴ ὑπάρχειν, ψεῦδός ἐστι λέγειν ἀληθὲς ἄρα τὸ ἀντικείμενον τὸ ἕτερον ὑπάρχειν τῷ ἄλλῳ. λέγω δὲ τὸ ἐνδέχεσθαι ὑπάρχειν. οὐκ ἀνάγκη μὴ ὑπάρχειν. ὁμοίως καὶ ἐπὶ τοῦ ἀδυνάτου. εἰ γὰρ τῷ ἐνδέχεσθαι ὑπάρχειν μὴ δύναται συναληθεύειν τὸ ἀδύνατον ὑπάρχειν. δῆλον ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον συναληθεύσει τὸ οὐκ ἀδύνατον ὑπάρχειν. ὃ γὰρ ἐνδέχεται ὑπάρχειν, τοῦτο οὐκ ἀδύνατον ὑπάρχειν. εἰ τοίνυν τῷ ἐνδεχομένῳ ἀνάγκη τὸ ἀναγκαῖον ἢ τὸ μὴ ἀναγκαῖον ὑπάρχειν. οὐ δύναται δὲ τὸ ἀναγκαῖον ὑπάρχειν. ὥσπερ γὰρ τὸ αὐτὸ ἐνδεχόμενόν τε ἅμα ἂν καὶ ἀναγκαῖον, τὸ ἄρα μὴ ἀναγκαῖον ὑπάρξει. καλῶς ἄρα εἴρηται ὅτι τὸ ἐνδεχόμενον· τοῦτό ἐστι· μὴ ὄντος ἀναγκαίου. καὶ πάλιν εἰ ἀνάγκη τὸ ἐνδεχόμενον ἢ ἀδύνατον εἶναι ἢ οὐκ ἀδύνατον. ἀδύνατον δὲ οὐκ ἔστιν. ὥσπερ γὰρ τὸ αὐτὸ ἐνδεχόμενόν τε ἅμα εἴη καὶ ἀδύνατον ἄρα ἔσται. καλῶς δή, ὅτι τεθέντος ὑπάρχειν τοῦ ἐνδεχομένου οὐδὲν ἀδύνατον συμβαίνει.

» ΣΥΜΒΑΙΝΕΙ δὲ πάσας τὰς κατὰ τὸ ἐνδέχεσθαι προτάσεις ἀντιστρέφειν ἀλλήλαις.

Περὶ τῆς ἀντιστροφῆς τοῦ ἐνδεχομένου, ἐντεῦθεν ποιεῖται τὸν λόγον. ἀντιστροφὴ δὲ ὡς εἴρηται ἐνδεχομένης ἐστὶ τὴν μὲν τάξιν φυλάττειν τῶν ὅρων τὴν αὐτήν. τὴν δὲ ποιότητα μόνην ἀμείβειν. φησὶν οὖν ὅτι ἀντι-

ὑπάρχον συνάγουσα, δείκνυται δὲ καὶ διὰ τῶν ὅρων οὕτως. ἐγρήγορσις οὐδενὶ λευκῷ ὑπαρχόντως. ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης. καὶ συνάγεται ἐγρήγορσις οὐ παντὶ ζῴῳ ὑπαρχόντως καὶ οὐκ ἀναγ-
» καίως. Ὅταν δὲ τὸ στερητικὸν ἐν μέρει ὂν ἀναγκαῖον ᾖ, δίπουν κινούμενον ζῷον. μέσον ζῷον.
Διὰ τούτων τὴν λοιπὴν τῶν τριῶν παραδίδωσι συζυγιῶν τῶν τὸ ὑπάρχον συναγουσῶν. τὴν ἐκ τῆς μεί-
ζονος μερικῆς ἀποφατικῆς ἀναγκαίας, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης. δείκνυσι
δὲ καὶ διὰ τῶν ὅρων παραθέσεως τὸ συμπέρασμα. δίπουν οὐ παντὶ ζῴῳ ἐξ ἀνάγκης. κινούμενον παν-
τὶ ζῴῳ ὑπαρχόντως. καὶ συνάγεται δίπουν οὐ παντὶ κινουμένῳ ὑπαρχόντως. εἰδέναι δὲ δεῖ ὅτι τινὰ τῶν
παλαιοτέρων βιβλίων ἔχει μέσον δίπουν. λέγουσι δὲ τοῦτο γραφικὸν εἶναι σφάλμα. ὅτι γὰρ συνάγε-
ται διὰ τούτων τῶν ὅρων μέσου λαμβανομένου τοῦ δίποδος, ὑπάρχον συμπέρασμα ἀλλ' ἀναγκαῖον. ὡς
ἐκ τῶν προειρημένων δῆλον ἐστίν. ὅτι δὲ οὐ τὸ δίπουν τίθησι μέσον, ἀλλὰ ζῷον. δῆλον ἐξ ὧν πρῶτον τοῦ
δίποδος ἐμνημόνευσεν, ὕστερον δὲ τοῦ ζῴου. ἐπὶ γὰρ τοῦ γ΄ σχήματος ἔθος ἔχει ὕστερον τιθέναι τὸ μέσον. καὶ
νῦν δὲ τὸ ζῷον ὕστερον ἔθηκε.

» ΦΑΝΕΡΟΝ οὖν ὅτι τοῦ μὲν ὑπάρχειν οὐκ ἔσται συλλογισμὸς, κἂν μὴ ἀμφότεραι ὦσιν αἱ προ-
» τάσεις ἐν τῷ ὑπάρχειν τοῦ δ' ἀναγκαίου ἐστὶ καὶ τῆς ἑτέρας μόνον ἀναγκαίας οὔσης.

Δ εικνὺ ὁ ἀριστοτέλης τὸ συμπέρασμα, τοῦτο ἐπαγαγὼν ἐπὶ τῶν τριῶν εἰρημένων σχημάτων, οὐ δεῖ δὲ τοῦτο
νομίζειν, ἐπεὶ ἀτοπίᾳ τινὶ περιπέπτωκεν ὁ φιλόσοφος φάσκων ὅτι φανερὸν ἐκ τῶν εἰρημένων. ὡς ἐὰν μὴ
ἀμφότεραι αἱ προτάσεις ὦσιν ὑπάρχουσαι, οὐ συνάγεται ὑπάρχον συμπέρασμα. ἀπέδειξε γὰρ ἐν πρώ-
τῳ καὶ δευτέρῳ σχήματι. ὅτι καὶ τῆς μείζονος μόνης καθόλου ἀποφατικῆς οὔσης ὑπαρχούσης. ὑπάρχον
γίνεται τὸ συμπέρασμα. δεῖ οὖν λέγειν ὅτι οὐ τῶν τριῶν σχημάτων ἐστὶ τὸ εἰρημένον συμπέρασμα. ἀλλὰ
τοῦ γ΄ μόνου. δόξει δὲ μηδὲ ἐπὶ τοῦ τρίτου ἀληθὴς τὸν λόγον τοῦτον εἶναι, δέδεικται γὰρ καὶ ἐπὶ τούτου ὅτι
καὶ τῆς μιᾶς μόνης προτάσεως ὑπαρχούσης οὔσης. ὑπάρχον γίνεται τὸ συμπέρασμα. ῥητέον οὖν ὅτι οὐ
δὲ τοῦ τρίτου σχήματος ὅλου τὸ εἰρημένον ἐστὶ συμπέρασμα. ἀλλὰ τῶν πασῶν συζυγιῶν τῶν ἐξ ἀμφο-
τέρων καθόλου προτάσεων ἐπειδὴ γὰρ ἐπὶ τούτων ἀπέδειξεν ὅτι αἱ τρεῖς ἐξ αὐτῶν συζυγίαι τὸ ἀναγ-
καῖον συνάγουσι συμπέρασμα. ὁποτέρας δή ποτε ἀναγκαίας λαμβανομένης προτάσεως. κἂν τῆς μείζονος κἂν
τῆς ἐλάττονος. ὡς πρὸς τὴν ἑαυτοῦ νῦν δεῖξιν τὰ ἀνάλογα συμπεραινόμενος ταῦτά φησιν. ὅτι οὐχ ὥσπερ
ἐπὶ τούτων τῶν συζυγιῶν ἀληθὲς ἦν ἁπλῶς φάναι ὅτι ὁποτέρας δή ποτε τῶν προτάσεων ἀναγκαίας οὔσης,
ἀναγκαῖον πάντως συνάγεται τὸ συμπέρασμα. οὕτω δὲ καὶ ἐπὶ τῶν ὑπάρχον συναγουσῶν, ἀληθὲς ἐστὶν
ἁπλῶς εἰπεῖν ὅτι ὑπάρχον πάντως συνάγεται τὸ συμπέρασμα. ἀλλ' ἀμφοτέρων μὲν οὐσῶν ὑπαρχουσῶν
πάντως ὑπάρχον γίνεται, τὸ συμπέρασμα. τῆς δὲ μιᾶς ὑπαρχούσης, οὐ πάντως ὑπάρχον.

» ΕΝ ἀμφοτέροις δὲ καὶ καταφατικῶν καὶ στερητικῶν ὄντων τῶν συλλογισμῶν, ἀνάγκη τὴν ἑτέ-
» ραν πρότασιν ὁμοίαν εἶναι τῷ συμπεράσματι, λέγω δὲ τὸ ὁμοίαν. εἰ μὲν ὑπάρχον, ὑπάρχουσαν. εἰ δ' ἀ-
» ναγκαῖον ἀναγκαίαν. ὥστε καὶ τοῦτο δῆλον, ὅτι οὐκ ἔσται τὸ συμπέρασμα, οὔτ' ἀναγκαῖον, οὐδ' ὑπάρχον
» εἶναι μὴ ληφθείσης ἀναγκαίας ἢ ὑπαρχούσης προτάσεως.

Ε ν ἀμφοτέροις φησὶ τοῖς εἰρημένοις τρόποις τῷ τε ὑπάρχοντι καὶ τῷ ἀναγκαίῳ καὶ ἀποφατικῶν καὶ κατα-
φατικῶν ὄντων τῶν συμπερασμάτων ἢ ἀναγκαίων ἢ ὑπαρχόντων. ἀνάγκη μίαν τῶν προτάσεων ὁ-
μοίαν εἶναι τῷ συμπεράσματι. καὶ εἰ μὲν ὑπάρχον εἴη τὸ συμπέρασμα, τὴν μίαν τῶν προτάσεων πάντως
εἶναι ὑπάρχουσαν. εἰ δὲ ἀναγκαῖον, ἀναγκαίαν.


» ΠΕΡΙ μὲν οὖν τοῦ ἀναγκαίου πῶς τε γίνεται, καὶ τίνα διαφορὰν ἔχει πρὸς τὸ ὑπάρχον, εἴρηται
» σχεδὸν ἱκανῶς.

Ο τι φησὶν ἐκ δύο ἀναγκαίων τὸ συμπέρασμα γίνεται ἀναγκαῖον. καὶ ὅτι κἂν μόνη ἡ μείζων ἀναγκαία
ᾖ, πάλιν ἀναγκαῖον γίνεται τὸ συμπέρασμα. καὶ ὅτι ταῖς ὑπαρχούσαις ὁμοίως αἱ ἀναγκαῖαι συμπλε-
κόμεναι γίνονται συλλογιστικαί. καὶ ὅτι τὸ ἀναγκαῖον τῷ ἀεὶ εἶναι διαφέρει τοῦ ὑπάρχοντος.

» ΠΕΡΙ δὲ τοῦ ἐνδεχομένου μετὰ ταῦτα λέγωμεν, πότε καὶ πῶς. καὶ διὰ τίνων ἔσται συλλογισμός.

Δ ιαλεχθεὶς περὶ τῆς τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων. ὅπως τε ἔχουσιν αὐταὶ καθ' ἑαυτὰς καὶ
ὅπως ἀλλήλαις συμπλεκόμεναι. νῦν λοιπὸν περὶ τῶν ἐνδεχομένων προτάσεων ποιεῖται τὸν λόγον. πρὶν δὲ
ἡμᾶς τὸν περὶ τῶν προτάσεων τοῦ ἐνδεχομένου παραδοῦναι λόγον. θεωρήματά τινα περὶ τοῦ ἐνδεχομένου πα-
ραδίδωσι. πρῶτον μὲν τί ποτέ ἐστιν ὅλως τὸ ἐνδεχόμενον. ἔπειτα τὸν περὶ τῶν ἀντιστροφῶν τοῦ ἐνδεχο-
μένου λόγον. ἐλέγομεν δὲ ὅτι τῶν ἀντιστροφῶν ἡ μέν ἐστιν ἁπλῆ. ἡ δὲ ἐκ μεταθέσεως. ἡ δὲ ἐνδεχομένη. διό-
δάσκει οὖν ἡμᾶς ἐνταῦθα περὶ τῆς ἐνδεχομένης ἀντιστροφῆς. ἐπειδὴ καὶ ὅλως περὶ τοῦ ἐνδεχομένου ἐστὶν
ὁ λόγος. ποῖαί εἰσιν αἱ ἀντιστρέφουσαι πρὸς ἀλλήλας προτάσεις. καὶ τρίτον ἐπὶ τούτοις παραδίδωσι τὴν
διαίρεσιν τοῦ ἐνδεχομένου. ποσαχῶς λέγεται ὅπερ καὶ ἐν τῷ περὶ ἑρμηνείας ἐποίησε. καὶ ὧδε λοιπὸν δι-
δάσκει ὅπως τε ἔχουσιν αἱ τοῦ ἐνδεχομένου προτάσεις. καὶ τίνες πῶς συμπλεκόμεναι ποιοῦσί τινας συλ-
λογιστικὰς συζυγίας, ἔπειτα μιγνύων αὐτὰς τῷ τε ὑπάρχοντι καὶ τῷ ἀναγκαίῳ. καὶ μετὰ ταῦτα διό-
δάσκει περὶ τῆς ἁπλῆς τῆς ἐνδεχομένου ἀντιστροφῆς. σημαίνει δὲ αὐτῷ τὸ μὴ διὰ τίνων ὡς καὶ ἄλλοτε εἴρη-

» ἢ τὸ καθόλου στερητικόν τε καὶ ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται
» ἀναγκαῖον. τὸ γὰρ α τῷ γ μηδενὶ ἐξ ἀνάγκης ἐνδέχεται. τὸ δὲ β
» τινὶ τῷ γ ὑπάρχει. τὸ α τινὶ τῷ β ἀνάγκη μὴ ὑπάρχειν.



Τῆς μείζονος καθόλου ἀποφατικῆς οὔσης ἀναγκαίας, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ὑπαρχούσης, συνάγεται μερικὸν ἀποφατικὸν ἀναγκαῖον συμπέρασμα. τὸ γὰρ τὸ β τινὶ τῷ γ ὑπάρχει. καὶ τὸ γ τινὶ τῷ β ὑπάρχει. ἐπεὶ οὖν τὸ μὲν α οὐδενὶ τῷ γ ἐξ ἀνάγκης. τὸ δὲ γ τινὶ τῷ β ὑπάρχει, συνάγεται τὸ α οὐ παντὶ τῷ β ἐξ ἀνάγκης. δέδεικται γὰρ τοῦτο ἐν τῷ πρώτῳ σχήματι. τοὺς αὐτοὺς δὲ κἀνταῦθα παραληψόμεθα ὅρους πρὸς τὸ δεῖξαι τὸ ἀναγκαῖον συναγόμενον. ὥσπερ καὶ ἐν τῷ πρώτῳ παρελαμβάνομεν σχήματι. ἐγρήγορσις ὑπνωτικόν. ἄνθρωπος. ἐγρήγορσις οὐδενὶ ὑπνωτικῷ τι, ἐξ ἀνάγκης. ὑπνωτικὸν τινὶ ἀνθρώπῳ ὑπαρχόντως. καὶ συνάγεται ἐγρήγορσις οὐ παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης.

» ΟΤΑΝ δὲ τὸ καταφατικὸν ἀναγκαῖον τεθῇ καθόλου ὂν ἢ ἐν μέρει, ἢ τὸ στερητικὸν κατὰ μέρος οὐκ
» ἔσται τὸ συμπέρασμα ἀναγκαῖον.

Τεσσάρων γινομένων συλλογιστικῶν συζυγιῶν. τῆς μὲν τῶν προτάσεων ἀποφατικῆς οὔσης. τῆς δὲ καταφατικῆς. καὶ τῆς μὲν καθόλου τῆς δὲ μερικῆς. τῆς γὰρ μείζονος καθόλου οὔσης καὶ ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. γίνονται δύο συζυγίαι. μία μὲν τῆς μείζονος ἀναγκαίας οὔσης. τῆς δὲ ἐλάττονος ὑπαρχούσης. δευτέρα δὲ τῆς μείζονος ὑπαρχούσης. τῆς δὲ ἐλάττονος ἀναγκαίας. πάλιν τῆς μείζονος μερικῆς οὔσης ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς. γίνονται ἄλλαι δύο. ἢ τῆς μείζονος πάλιν οὔσης ἀναγκαίας. τῆς δὲ ἐλάττονος ὑπαρχούσης. ἢ ἀνάπαλιν τῆς μείζονος ὑπαρχούσης, τῆς δὲ ἐλάττονος ἀναγκαίας. αἱ δὲ ἄλλαι τέσσαρες αἱ ἔχουσαι τὴν μείζονα καταφατικὴν ἢ μερικὴν ἢ καθόλου ἀσυλλόγιστοί εἰσι. τούτων οὖν τῶν τεσσάρων συλλογιστικῶν παραδοὺς τὴν μίαν τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ἀναγκαίας. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ὑπαρχούσης. καὶ δείξας ταύτην ἀναγκαῖον συνάγουσαν συμπέρασμα διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος προτάσεως. νῦν τὰς λοιπὰς τρεῖς διὰ τούτων παραδίδωσι. καὶ δείκνυσιν αὐτὰς ὑπάρχον συναγούσας συμπέρασμα. διὰ μὲν γὰρ τοῦ εἰπεῖν ὅταν δὲ τὸ καταφατικὸν ἀναγκαῖον τεθῇ καθόλου ἢ ἐν μέρει. τὰς δύο σημαίνει συζυγίας. τήν τε ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς ὑπαρχούσης. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας. καὶ τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ἀναγκαίας. διὰ δὲ τοῦ εἰπεῖν ἢ τὸ στερητικὸν κατὰ μέρος ὑπακουομένου τοῦ ἀναγκαῖον, σημαίνει τὴν λοιπὴν συζυγίαν, τὴν ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς ἀναγκαίας, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης. ταύτας οὖν φησι τὰς τρεῖς τὸ ὑπάρχειν σημαίνειν.

» ΤΑ μὲν γὰρ ἄλλα τὰ αὐτά, ἃ καὶ ἐπὶ τῶν πρότερον ἐροῦμεν.

Τὰ ἄλλα φησὶ δι' ὧν δείξας ἐδείκνυμεν καὶ τὰς ἄλλας συζυγίας, λέγω δὲ διὰ τῆς ἀντιστροφῆς. δεῖ μέντοι γε ἐπιστῆσαι ὅτι οὐ περὶ τῶν τριῶν τούτων φησί. οὐδὲ γὰρ αἱ τρεῖς δι' ἀντιστροφῶν δείκνυνται. ἀλλὰ περὶ τῆς μιᾶς μόνης τῆς ἐχούσης τὴν μείζονα καθόλου ἀποφατικὴν ὑπάρχουσαν. τὴν δὲ ἐλάττονα μερικὴν καταφατικὴν ἀναγκαίαν. αὕτη γὰρ τῆς μερικῆς καταφατικῆς ἀντιστραφείσης, τῆς ἐλάττονος λέγω καὶ ἀναγκαίας, ἀνάγεται εἰς τὸν δ' τρόπον τοῦ πρώτου σχήματος. ἔστω γὰρ τὸ μὲν α τῷ γ μηδενὶ ὑπαρχόντως. τὸ δὲ β, τὸ γ τινὶ ἐξ ἀνάγκης. συνάγεται ὅτι τὸ α οὐ παντὶ τῷ β ὑπαρχόντως. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ μερικὸν καταφατικὸν ἀναγκαῖον ὄν. ἔσται ἐξ ἀνάγκης καὶ τὸ γ τινὶ τῷ β. ἐπεὶ τοίνυν τὸ μὲν α οὐδενὶ τῷ γ ὑπαρχόντως τὸ δὲ γ τινὶ τῷ β ἐξ ἀνάγκης. τὸ ἄρα α οὐ παντὶ τῷ β ὑπάρχει. γίνεται γὰρ ὁ δ' τρόπος τοῦ πρώτου σχήματος. οὕτω μὲν οὖν αὕτη διὰ τῆς ἀντιστροφῆς δείκνυται. αἱ δὲ ἄλλαι δύο οὐ δύνανται δι' ἀντιστροφῆς δειχθῆναι. διὰ τὸ τὴν ἐλάττονα εἶναι ἐν ἀμφοτέραις ταῖς καταφατικαῖς. ἐὰν γὰρ αὐτὴν ἀντιστρέψωμεν πρὸς τὴν μερικὴν ἀντιστρέφει καὶ ἀσυλλόγιστον δείξει τὴν συζυγίαν. ἀλλ' οὐδὲ ἡ μείζων δύναται ἀντιστραφῆναι μερικὴ οὖσα ἀποφατική.

» ΟΡΟΙ δὲ ὅταν μὲν ᾖ τὸ καθόλου κατηγορικὸν ἀναγκαῖον. ἐγρήγορσις. ζῷον. ἄνθρωπος. μέσον ἄν-
» θρωπος.

Τὴν ἐκ τῆς ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας. τῆς δὲ μείζονος μερικῆς ἀποφατικῆς ὑπαρχούσης διὰ τῶν ὅρων πιστοῦται, ἐγρήγορσις μὴ παντὶ ἀνθρώπῳ ὑπαρχέτω. ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. καὶ συνάγεται ἐγρήγορσις οὐ παντὶ ζῴῳ ὑπαρχόντως.

» ΟΤΑΝ δὲ ἐν μέρει τὸ κατηγορικὸν ἀναγκαῖον, ἐγρήγορσις. ζῷον λευκόν. ζῷον μὲν γὰρ ἀνάγκη τι-
» νὶ λευκῷ, ὑπάρχειν ἐγρήγορσις δ' ἐνδέχεται μηδενί. καὶ οὐκ ἀνάγκη τινὶ ζῴῳ μὴ ὑπάρχειν ἐγρήγορσιν.
» ὅταν δὲ τὸ στερητικὸν ἐν μέρει ὂν ἀναγκαῖον ᾖ. δίπουν. κίνησις ζῷον. μέσον ζῷον.

Οὗτοι τῆς ἑτέρας συζυγίας οἱ ὅροι τῆς ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ἀναγκαίας. αὕτη δὲ ἐδείχθη διὰ τῆς ἀντιστροφῆς τὸ μερικὸν ἀποφατικὸν

θὸν εἶναι. δῆλον ὅτι τὸ φυσικὸν ἀγαθόν. εἰ δέ τις φησὶ πρὸς τοῦτο ἐνίσταται μὴ συγχωρῶν τῇ μείζονι προτάσει. εἶναι γάρ τι ζῷον ἐξ ἀνάγκης οὐκ ἀγαθόν. οἷον τὰ ἰοβόλα. ληπτέον αὐτῷ ἀντὶ τοῦ ἀγαθοῦ τὸ ἐγρηγορέναι ἢ τὸ καθεύδειν. ἐγρήγορσις μὲν γὰρ τινὶ ἵππῳ ὑπαρχόντως, ζῷον δὲ παντί. καὶ συνάγεται ἐγρήγορσις τινὶ ζῴῳ οὐχ ὑπάρχει μόνον. ὥστε δῆλον ὅτι τὸ ὑπάρχον καὶ τὸ ἀναγκαῖον συνάγεται.

» ΕΙ δ' ὁ μὲν καθόλου ὁ δ' ἐν μέρει, κατηγορικῶν μὲν ὄντων ἀμφοτέρων, ὅταν τὸ καθόλου γένηται
» ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ἀπόδειξις δ' ἡ αὐτὴ καὶ πρότερον. ἀντιστρέφει γὰρ καὶ
» τὸ ἐν μέρει κατηγορικόν. εἰ οὖν ἀνάγκη παντὶ τῷ γ' τὸ β' ὑπάρχειν τὸ α' ὑπὸ τὸ γ' ἐστίν, ἀνάγκη τὸ β' τι-
» νὶ τῷ α' ὑπάρχειν. εἰ δὲ τὸ β' τῷ α' τινί, καὶ τὸ α' τῷ β' τινὶ ὑπάρχειν ἀναγκαῖον. ἀντιστρέφει γάρ.

Ε πὶ τῶν τὴν ἑτέραν ἐχόντων καθόλου. τὴν δὲ ἑτέραν μερικήν. καταφατικῶν οὐσῶν ἀμφοτέρων τῶν προτάσεων, τῇ καθόλου ἕπεται τὸ συμπέρασμα. τῆς γὰρ μερικῆς ἀντιστρεφομένης τῇ ἀναγωγῇ τῇ εἰς τὸ α' σχῆμα, ἡ καθόλου μείζων γίνεται. ἐκεῖ δὲ τῇ μείζονι ἠκολούθησε τὸ συμπέρασμα. καλῶς ἄρα εἴρηται ἐπὶ τούτων τῇ καθόλου ἀκολουθεῖν τὸ συμπέρασμα. τίθησι δὲ ἐν τούτοις πρώτην τὴν ἔχουσαν τὴν μείζονα μερικὴν καταφατικὴν ὑπάρχουσαν. τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν ἀναγκαίαν. καὶ συνάγεται δι' ἀντιστροφῆς τῆς μείζονος καὶ τοῦ συμπεράσματος, ἀναγκαῖον συμπέρασμα. ἔστω τὸ α' φησὶ τινὶ τῷ γ' ὑπάρχον. τὸ δὲ β' παντὶ ἐξ ἀνάγκης. συνάγει οὖν τὸ α' τινὶ τῷ β' ἐξ ἀνάγκης πῶς. εἰ γὰρ τῷ α' τινὶ τῶν γ'. καὶ τὸ γ' τινὶ τῷ α' ὑπάρχει. οὐκοῦν εἰ τὸ μὲν β' παντὶ τῷ γ' ἐξ ἀνάγκης. τὸ δὲ γ' τινὶ τῶν α' ὑπάρχει. συνάγεται τὸ β' τινὶ τῷ α' ἐξ ἀνάγκης. ἀντιστρέψας δὲ τὸ συμπέρασμα ἔχεις τὸ ζητούμενον. εἰ γὰρ τὸ β' τινὶ τῷ α' ἐξ ἀνάγκης, καὶ τὸ α' τινὶ τῷ β' ἐξ ἀνάγκης ὅπερ ἔδει δεῖξαι.

» ΟΜΟΙΟΣ δ' εἰ καὶ τὸ α' γ' εἴη ἀναγκαῖον, καθόλου ὄν. τὸ γὰρ β' ὑπὸ τὸ γ' ἐστίν.


Υ ποθέμενος πρότερον τὴν πρὸς τῇ ἐλάττονι ἔχουσαν τὸ καθόλου καταφατικὸν ἀναγκαῖον. πρὸς δὲ τῇ μείζονι τὸ μερικὸν καταφατικὸν ὑπάρχον. νῦν τὸ ἀνάπαλιν ὑποτίθεται. καὶ πάλιν ἀναγκαῖον φησὶ συνάγεσθαι συμπέρασμα. εἰ γὰρ τὸ α' παντὶ τῷ γ' ἐξ ἀνάγκης ὑπάρχει. τὸ δὲ β' ὑπάρχει μόνον τινὶ τῷ γ'. καὶ τὸ γ' τινὶ τῷ β' ὑπάρχει. οὐκοῦν εἰ τὸ μὲν α' τῷ γ' παντὶ ἐξ ἀνάγκης. τὸ δὲ γ' τινὶ τῷ β' ὑπάρχει. τὸ ἄρα α' τινὶ τῷ β' ἐξ ἀνάγκης ὑπάρχει. δέδεικται γὰρ ἤδη πρότερον.

» ΕΙ δὲ τὸ ἐν μέρει ἐστὶν ἀναγκαῖον, οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον. ἔστω γὰρ τὸ β' γ' ἐν μέρει τε καὶ
» ἀναγκαῖον. τὸ δὲ α' παντὶ τῷ γ' ὑπαρχέτω, μὴ μέντοι ἐξ ἀνάγκης. ἀντιστραφέντος οὖν τοῦ β' γ', τὸ πρῶ-
» τον γίνεται σχῆμα. καὶ ἡ μὲν καθόλου πρότασις, οὐκ ἀναγκαία. ἡ δ' ἐν μέρει, ἀναγκαία. ὅταν δ' οὕτως ἔ-
» χοιεν αἱ προτάσεις, οὐκ ἦν τὸ συμπέρασμα ἀναγκαῖον. ὥστ' οὐδ' ἐπὶ τούτων. ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φα-
» νερόν. ἔστω γὰρ τὸ α', ἐγρήγορσις. τὸ δὲ β', δίπουν. ἐφ' ᾧ δὲ τὸ γ' ζῷον. τὸ μὲν οὖν β', τινὶ τῷ γ' ἀνάγκη ὑ-
» πάρχειν. τὸ δὲ α' παντὶ τῷ γ' ἐνδέχεται. καὶ τὸ α' τῷ β', οὐκ ἀναγκαῖον. οὐ γὰρ ἀνάγκη δίπουν τι καθεύ-
» δειν. ἢ ἐγρηγορέναι.

Θ ὡς πρότερον ἐν τῷ καθόλου τὸ ἀναγκαῖον. εἴτε μείζων ἦν ἡ καθόλου εἴτε ἐλάττων καὶ δείξας τὸ ἀναγκαῖον συναγόμενον. νῦν τὸ ἀνάπαλιν ποιεῖ. ὑποτίθεται γὰρ ἑτέρας δύο προτάσεις ἐξ ἀμφοτέρων πάλιν καταφατικῶν, τῆς μὲν καθόλου ὑπαρχούσης, τῆς δὲ μερικῆς ἀναγκαίας. καὶ φησὶ τῇ καθόλου πάλιν ἀκολουθεῖν τὸ συμπέρασμα. κἂν μείζων γένηται κἂν ἐλάττων. δείκνυσι δὲ πάλιν τὴν μὲν πρὸς τὸ μείζονι ἔχουσαν τὸ ὑπάρχον. διὰ μιᾶς τῆς ἐλάττονος ἀντιστροφῆς οὕτως. εἰ τὸ β' τινὶ τῷ γ' ἐξ ἀνάγκης. καὶ τὸ γ' τινὶ τῷ β' ἐξ ἀνάγκης. εἰ τοίνυν ὑπόκειται τὸ μὲν α' παντὶ τῷ γ' ὑπάρχειν. τὸ δὲ γ' διὰ τῆς ἀντιστροφῆς ἐξ ἀνάγκης τινὶ τῷ β'. καὶ τὸ α' ἄρα τινὶ τῷ β' ὑπάρχει μόνον. τοῦτο γὰρ δέδεικται ἐν τῷ πρώτῳ σχήματι. δείκνυσι δὲ καὶ διὰ τῶν ὅρων τοῦτο. λαμβάνει γὰρ μείζονα μὲν ὅρον ἐγρήγορσιν. μέσον δὲ ζῷον. ἐλάττω δὲ δίπουν. ἐγρήγορσις γὰρ παντὶ ζῴῳ ὑπαρχόντως. δίπουν δὲ τινὶ ἐξ ἀνάγκης. καὶ συνάγεται ἐγρήγορσις τινὶ δίποδι ὑπαρχόντως.

» ΟΜΟΙΩΣ δὲ διὰ τῶν αὐτῶν ὅρων δειχθήσεται. καὶ εἰ τὸ α' γ' εἴη ἐν μέρει τε καὶ ἀναγκαῖον, καὶ
» τὸ συμπέρασμα οὐκ ἔσται ἀναγκαῖον.

Δ ὅτι δείκνυται λέγω δὴ ἡ τὸ μεῖζον μερικὸν ἀναγκαῖον ἔχουσα. καὶ διὰ δύο ἀντιστροφῶν ὡς ἤδη εἴπομεν. τῆς τε μείζονος προτάσεως καὶ τοῦ συμπεράσματος. εἰ γὰρ τὸ α' τινὶ τῷ γ' ἐξ ἀνάγκης. καὶ τὸ γ' τινὶ τῷ α' ἐξ ἀνάγκης. εἰ τοίνυν ὑπόκειται μὲν τὸ β' παντὶ τῷ γ' ὑπάρχειν. τὸ δὲ γ' διὰ τῆς ἀντιστροφῆς τινὶ τῷ α' ἐξ ἀνάγκης. συνάγεται δήπου τὸ β' τινὶ τῷ α' ὑπάρχειν μόνον. τοῦτο γὰρ δέδεικται. ἀντιστραφέντος δὲ τοῦ συμπεράσματος. καὶ τὸ α' τινὶ τῷ β' ὑπάρχει μόνον. δείκνυται δὲ καὶ διὰ τῶν αὐτῶν ὅρων μόνον τῆς τάξεως αὐτῶν ἐναλλαττομένης. ὃν γὰρ ἐκεῖ ἐλάττονα ἐλαμβάνομεν, ἐνταῦθα μείζονα ποιοῦμεν. οἷον τὸ δίπουν. τὸ γὰρ δίπουν τινὶ ζῴῳ ἐξ ἀνάγκης. ἐγρήγορσις δὲ παντὶ ὑπαρχόντως καὶ καὶ συνάγεται διὰ τῶν εἰρημένων δύο ἀντιστροφῶν. δίπουν τινὶ ἐγρηγόρσει ὑπαρχόντως.



» ΕΙ δ' ὁ μέν, κατηγορικὸς ὁ δὲ στερητικὸς τῶν ὅρων, ὅταν μὲν

τὸ γ΄ τῷ β΄ τινί, ἀναγκαῖον τι ὑπάρχειν τὸ α΄ τῷ β΄ τινί. τὸ γὰρ β΄ ὑπὸ τὸ γ΄ ἐστί. γίνεται οὖν τὸ πρῶτον σχῆμα πάλιν.

Πρῶτον παραδίδωσι τὴν ἐκ δύο καθόλου καταφατικῶν τῆς μείζονος οὔσης ἀναγκαίας. καί φησι συνάγειν ἀναγκαῖον τὸ συμπέρασμα μερικὸν δῆλον ὅτι. ἐπεὶ καὶ πάντῃ ἐν τρίτῳ σχήματι μερικὰ συνάγονται τὰ συμπεράσματα. εἰ γὰρ τὸ α΄ φησὶ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης. τὸ δὲ β΄ τῷ αὐτῷ παντὶ ὑπάρχει. ἀντιστραφείσης τῆς ἐλάττονος γίνεται τὸ πρῶτον σχῆμα. τὸ γὰρ γ΄ τινὶ τῶν β΄. εἰ τοίνυν τὸ μὲν α΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης. τὸ δὲ γ΄ τινὶ τῷ β΄ ὑπάρχει. τὸ ἄρα α΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης ὑπάρχει. ὅπερ μέρος ἐστὶ τοῦ γ΄. δέδεικται γὰρ τοῦτο ἐν τῷ πρώτῳ σχήματι. οἱ αὐτοὶ δὲ ὅροι συμμέσοιντο δεῖξαι αὐτὴν ὑπάρχουσαν. ὅπερ καὶ ἐν τῷ πρώτῳ σχήματι.

ΟΜΟΙΩΣ δὲ δειχθήσεται καὶ εἰ τὸ β΄ γ΄ ἐστὶν ἀναγκαῖον. ἀντιστρέφει γὰρ τὸ γ΄ τῷ α΄ τινί. ὥστ᾽ εἰ παντὶ τῷ γ΄ τὸ β΄ ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ γ΄ τῷ α΄ τινί, καὶ τῷ α΄ τινὶ τὸ β΄ ὑπάρξει ἐξ ἀνάγκης.

Τὴν ἑτέραν ἐκ δύο καταφατικῶν τίθησιν, ἐχουσῶν δὲ πρὸς τῇ ἐλάττονι τὸ ἀναγκαῖον. καί φησι καὶ αὐτὴν τι ἀναγκαῖον συνάγειν. δείκνυσι δὲ τοῦτο διὰ δύο ἀντιστροφῶν. τῆς τε μείζονος προτάσεως, καὶ τοῦ συμπεράσματος. ὑπάρχει γὰρ τὸ μὲν β΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης. τὸ δὲ α΄ παντὶ ὑπάρχοντος. οὐκοῦν καὶ τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχειν. εἰ τοίνυν τὸ μὲν β΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης. τὸ δὲ γ΄ τινὶ τῷ α΄ ὑπάρχει μόνον. δῆλον ὅτι συνάγεται τὸ β΄ τινὶ τῷ α΄ ἐξ ἀνάγκης. δέδεικται γὰρ τοῦτο ἐν τῷ πρώτῳ σχήματι. ἀλλ᾽ ἐζητοῦμεν ἡμεῖς εἰ τὸ α΄ τινὶ τῷ β΄. τοῦτο δὲ δείκνυται διὰ τῆς ἀντιστροφῆς τοῦ συμπεράσματος. εἰ γὰρ τὸ β΄ τινὶ τῷ α΄ ἐξ ἀνάγκης. καὶ τὸ α΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης. ἐπιστάσεως δὲ ἄξιον τί δήποτε δυνάμενος ὁ φιλόσοφος τὴν ἐλάττονα ἀντιστρέψαι πρότασιν καὶ ποιῆσαι ὑπάρχον τὸ συμπέρασμα. μιᾶς δεηθεὶς ἀντιστροφῆς, τὴν μείζονα ἀντιστρέφει καὶ δεῖται δύο ἀντιστροφῶν, ἵνα ποιήσῃ ἀναγκαῖον τὸ συμπέρασμα. ὅτι γὰρ ἠδύνατο ἀντιστρέψαι τὴν ἐλάττονα πρότασιν καὶ ποιῆσαι ὑπάρχον τὸ συμπέρασμα πρόδηλον. εἰ γὰρ τὸ β΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης, καὶ τὸ γ΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης. ὥστε εἰ τὸ μὲν α΄ παντὶ τῷ γ΄ ὑπάρχει. τὸ δὲ γ΄ τινὶ τῷ β΄ ὑπάρχει ἐξ ἀνάγκης. συνάγεται τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχειν. ὡς δέδειχθαι ἐν τοῖς ἔμπροσθεν. τί οὖν λέγομεν; ὅτι εἰ καὶ ἠδύνατο τοῦτο ποιῆσαι, ἀλλ᾽ οὖν τὸ ἀεὶ ἀκολουθοῦν συνήγαγεν. ἀμφοτέρων γὰρ οὐσῶν καθόλου καταφατικῶν, προσεπετίθει ἀεὶ ἢν ἄκρῳ τὸ ἀναγκαῖον, ἠδύνατο τὸ ἀναγκαῖον συνάγεσθαι. οὐκέτι δὲ καὶ τὸ ὑπάρχον ἀεί. ὥστε ἀεὶ ὑπάρχον ἅπαν.

ΠΑΛΙΝ ἔστω τὸ μὲν α΄ γ΄ στερητικόν. τὸ δὲ β΄ γ΄ καταφατικόν. ἀναγκαῖον δὲ τὸ στερητικόν. ἐπεὶ οὖν ἀντιστρέφει τὸ καταφατικόν, ἔσται τινὶ τῷ β΄ τὸ γ΄. τὸ δὲ α΄ οὐδενὶ τῷ γ΄ ἐξ ἀνάγκης, οὐδὲ τῷ β΄ τινὶ ὑπάρξει ἐξ ἀνάγκης τὸ α΄. τὸ γὰρ β΄ ὑπό τι γ΄ ἐστιν. εἰ δὲ τὸ κατηγορικὸν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ἔστω γὰρ τὸ β΄ γ΄ κατηγορικὸν καὶ ἀναγκαῖον. τὸ δὲ α΄ γ΄ στερητικὸν καὶ μὴ ἀναγκαῖον. ἐπεὶ οὖν ἀντιστρέφει τὸ καταφατικόν, ὑπάρξει καὶ τὸ γ΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης. ὥστ᾽ εἰ τὸ μὲν α΄ μηδενὶ τῷ γ΄. τὸ δὲ γ΄ τινὶ τῷ β΄, τὸ α΄ τινὶ τῷ β΄ οὐχ ὑπάρξει. ἀλλ᾽ οὐκ ἐξ ἀνάγκης. δέδεικται γὰρ ἐν τῷ πρώτῳ σχήματι ὅτι τῆς στερητικῆς προτάσεως μὴ ἀναγκαίας οὔσης, οὐδὲ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ἔτι δὲ καὶ διὰ τῶν ὅρων ἂν εἴη φανερόν. ἔστω γὰρ τὸ μὲν α΄, ἀγαθόν. τὸ δὲ β΄ ζῷον. τὸ δὲ γ΄ ἵππος. τὸ μὲν οὖν ἀγαθὸν ἐνδέχεται μηδενὶ ἵππῳ ὑπάρχειν. τὸ δὲ ζῷον, ἀναγκαῖον παντὶ ὑπάρχειν. ἀλλ᾽ οὐκ ἀνάγκη ζῷόν τι μὴ εἶναι ἀγαθόν. εἴπερ ἐνδέχεται πᾶν εἶναι ἀγαθόν. ἢ εἰ μὴ τοῦτο δυνατόν, ἀλλὰ τὸ ἐγρηγορέναι ἢ καθεύδειν, ὅρον θετέον. ἅπαν γὰρ ζῷον δεκτικὸν τούτων. εἰ μὲν οὖν οἱ ὅροι καθόλου πρὸς τὸ μέσον εἰσίν, εἴρηται. πότε ἔσται τὸ συμπέρασμα ἀναγκαῖον.

Εἴπομεν ὅτι ἐπὶ τῶν συζυγιῶν, τῶν ἐκ τῆς μιᾶς ἀποφατικῆς τῆς δὲ ἑτέρας καταφατικῆς. τοῦ ἀποφατικοῦ καθόλου ὄντος αὐτῷ ἀεὶ ἀκολουθεῖ τὸ συμπέρασμα ἐν πᾶσι τοῖς σχήμασιν. ἐν μὲν τῷ πρώτῳ, διότι ἀποφατικὴ οὖσα μείζων πάντως ἐστί. ὡς ἂν δὲ ἔχει ἡ μείζων, οὕτως ἔχει καὶ τὸ συμπέρασμα. ἐν δὲ τοῖς λοιποῖς διότι ἡ ἀντιστροφὴ εἰς τὸ πρῶτον σχῆμα ἀνάγει. καὶ τὴν ἀποφατικὴν πάντως μείζονα ἐποίει. πρῶτον οὖν ἐκτίθεται συζυγίαν τὴν ἔχουσαν τὴν μείζονα ἀποφατικὴν ἀναγκαίαν. τὴν δὲ ἐλάττονα καθόλου καταφατικὴν ὑπάρχουσαν. ἐπειδὴ τοίνυν τὸ μὲν β΄ παντὶ τῷ γ΄ ὑπάρχει καὶ τὸ γ΄ τινὶ τῷ β΄ ὑπάρχει. ἐπεὶ οὖν τὸ μὲν α΄ οὐδενὶ τῷ γ΄ ἐξ ἀνάγκης. τὸ γ΄ δὲ τινὶ τῷ β΄ ὑπάρχει. γίνεται τὸ πρῶτον σχῆμα. καὶ συνάγεται τὸ α΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης μὴ ὑπάρχειν. μέρος γὰρ τοῦ γ΄ τὸ τὶ β΄ ᾧ τὸ α΄ οὐδενὶ ὑπάρχει ἐξ ἀνάγκης. οἱ δὲ αὐτοὶ ὅροι τοῦ δεῖξαι ὅτι ὑπάρχον συνάγεται καὶ οὐκ ἀναγκαῖον. εἴπερ καὶ ἐν τῷ πρώτῳ ἡμῖν παρειλήφθησαν σχήματι. Εἰ δὲ τὸ κατηγορικὸν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἀναγκαίας ὑπάρχον φησὶ συνάγεσθαι τὸ συμπέρασμα. εἰ γὰρ τὸ β΄ παντὶ τῷ γ΄ ἐξ ἀνάγκης, καὶ τὸ γ΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης. τὸ τοίνυν α΄ οὐδενὶ τῷ γ΄. τὸ γ΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης. τὸ ἄρα α΄ τινὶ τῷ β΄ οὐχ ὑπάρχειν. δέδεικται γὰρ ἐν τῷ πρώτῳ. ἔτι καὶ διὰ τῶν ὅρων πάλιν ἂν εἴη φανερόν. ἔστω γὰρ τὸ μὲν α΄ ἀγαθόν. τὸ δὲ β΄ ζῷον. τὸ δὲ γ΄ ἵππος. ἀγαθὸν μὲν οὐδενὶ ἵππῳ ὑπάρχοντος. ζῷον δὲ παντὶ ἵππῳ ἐξ ἀνάγκης. καὶ συνάγεται ἀγαθὸν τινὶ ζῴῳ μὴ ὑπάρχειν μόνον. δύναται γὰρ καὶ πᾶν ζῷον ἀγα-

» ἀναγκαία. ἡ δὲ στερητικὴ κατὰ μέρος καὶ οὐκ ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον.

Τ ουτέστι τῇ ἀποφατικῇ ἀκολουθεῖ τὸ συμπέρασμα καθόλου οὔσῃ κἂν μείζων ᾖ κἂν ἐλάττων. μερικῆς δ' οὔσης τῆς ἀποφατικῆς, οὐκέτι. γίνονται δὲ συζυγίαι τέσσαρες. τῆς μὲν μιᾶς οὔσης μερικῆς, τῆς δὲ ἑτέρας καθόλου. τῆς γὰρ μείζονος καθόλου ἀποφατικῆς οὔσης ἀναγκαίας, ἡ ἐλάττων μερικὴ ἔσται καταφατικὴ ὑπάρχουσα. ὑπαρχούσης δὲ οὔσης τῆς μείζονος ἀποφατικῆς, καταφατικὴ ἡ ἐλάττων ἔσται ἀναγκαία. πάλιν τῆς μείζονος οὔσης καθόλου καταφατικῆς ἀναγκαίας, ἡ ἐλάττων ἔσται μερικὴ ἀποφατικὴ ὑπάρχουσα. εἰ δὲ ἡ μείζων ᾖ ὑπάρχουσα, ἡ ἐλάττων ἔσται ἀναγκαία.

» ΕΣΤΩ δὴ πρῶτον ἡ στερητικὴ καθόλου τε καὶ ἀναγκαία. καὶ τὸ α τῷ μὲν β', οὐδενὶ ἐνδεχέσθω ὑπάρχειν. τῷ δὲ γ' τινὶ ὑπαρχέτω. ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητικόν, οὐδὲ τὸ β' τῷ α οὐδενὶ ἐνδέχεται ἂν ὑπάρχειν. τὸ δέ γε α τινὶ τῷ γ', οὐχ ὑπάρχει. ὥστ' ἐξ ἀνάγκης τινὶ τῷ γ' οὐχ ὑπάρχει τὸ β'.

Π ρώτην τῆς ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ἀναγκαίας, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ὑπαρχούσης φησί. καὶ συνάγει κατ' αὐτὸν μερικὸν ἀποφατικὸν ἀναγκαῖον, συμπέρασμα. ἔστω γὰρ τὸ α φησὶν οὐδενὶ μὲν τῷ β' ἐξ ἀνάγκης. τῷ δὲ γ' τινὶ ὑπαρχόντως. λέγω φησὶν ὅτι τὸ α τινὶ τῷ γ' ἐξ ἀνάγκης οὐχ ὑπάρξει. εἰ γὰρ τὸ α ἐξ ἀνάγκης οὐδενὶ τῷ β'. καὶ τὸ β' οὐδενὶ τῷ α ἐξ ἀνάγκης. τὸ δὲ α τινὶ τῷ γ' ὑπάρχει. τὸ ἄρα β' τινὶ τῷ γ' ἐξ ἀνάγκης οὐχ ὑπάρξει. δέδεικται γὰρ τοῦτο ἐν τῷ πρώτῳ σχήματι. οἱ δὲ αὐτοὶ ὅροι ἀρμόσουσι κἀνταῦθα πρὸς τὸ δεῖξαι ὑπάρχον συναγόμενον τὸ συμπέρασμα. ὅτι καὶ ἐν τῷ πρώτῳ σχήματι ἐν τούτῳ τῷ τρόπῳ.

» ΠΑΛΙΝ ἔστω ἡ κατηγορικὴ καθόλου τε, καὶ ἀναγκαία, καὶ κείσθω πρὸς τὸ β' τὸ κατηγορικόν. εἰ δὲ τὸ α παντὶ τῷ β' ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ γ' τινὶ μὴ ὑπάρχει, ὅτι μὲν οὖν οὐχ ὑπάρχει, τὸ β' τινὶ τῷ γ', φανερόν. ἀλλ' οὐκ ἐξ ἀνάγκης. οἱ γὰρ αὐτοὶ ὅροι ἔσονται πρὸς τὴν ἀπόδειξιν, οἵπερ ἐπὶ τῶν καθόλου συλλογισμῶν.

Δ ευτέραν τίθησι τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας, τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς ὑπαρχούσης. καὶ φησὶ συνάγειν ὑπάρχον τὸ συμπέρασμα. δείκνυται δὲ αὕτη ἡ συζυγία διὰ τῶν αὐτῶν ὅρων, δι' ὧν καὶ τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας ἔδειξε. τῆς δὲ ἐλάττονος ὑπαρχούσης μερικῆς ἀποφατικῆς. κίνησις γὰρ πάσῃ μὲν βαδίσει ἐξ ἀνάγκης ὑπάρχει. ἀνθρώπῳ δὲ οὐ παντί τινι ὑπαρχόντως. καὶ συνάγεται ὅτι βάδισις τινὶ ἀνθρώπῳ οὐχ ὑπάρχει μόνον. αἱ γὰρ αὐταὶ ἀρμόσουσι κἀνταῦθα δείξεις. αἵπερ καὶ ἐπὶ τῶν καθόλου.

» ΑΛΛ' οὐδ' εἰ τὸ στερητικὸν ἀναγκαῖον ἐστὶν ἐν μέρει ληφθέν, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. διὰ γὰρ τῶν αὐτῶν ὅρων ἡ ἀπόδειξις.

Τ ρίτην ἐφεξῆς τίθησι τὴν τὸ καθόλου καταφατικὸν ὑπάρχον τάττουσαν πρὸς τῷ μείζονι. πρὸς δὲ τῷ ἐλάττονι μερικὸν ἀποφατικὸν ἀναγκαῖον. καὶ τοὺς αὐτοὺς ὅρους ἀρμόζειν φησὶ κἀπὶ τούτων. πλὴν μετατιθεμένης τῆς τάξεως. τὸν γὰρ ἐλάττονα, μείζονα δεῖ ποιῆσαι. τὸν δὲ μείζονα μέσον οὕτως. βάδισις παντὶ ἀνθρώπῳ ὑπαρχόντως. κινήσει δὲ οὐ πάσῃ ἐξ ἀνάγκης. καὶ συνάγεται ἄνθρωπος οὐ πάσῃ κινήσει ὑπαρχόντως. καὶ οὐκ ἀντίκειται τὸ τινὶ ἐξ ἀνάγκης μὴ ὑπάρχειν. ἐν ἴσοις ἄρα αὐτοῖς τισιν ὅροις. τὸ γὰρ ἀεὶ συναγόμενον τὸ ὑπάρχον ἐστί. διότι καὶ τὸ ἐξ ἀνάγκης ὑπάρχον ἢ μή, τοῦτο καὶ ἁπλῶς ἢ ὑπάρχειν ἢ μὴ ὑπάρχειν λέγεται. οὐδὲ αὕτη δεδείκνυται δι' ἀντιστροφῆς. διὰ τὸ μηδεμίαν ἀντιστρέφειν πρὸς ἑαυτήν. τὴν δὲ λοιπὴν συζυγίαν, παραλέλοιπε τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς ὑπαρχούσης. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς ἀναγκαίας. ὡς δήλου γεγονότος ὅτι μερικὸν ἀποφατικὸν ὑπάρχον συνάγει συμπέρασμα διὰ τῆς ἀντιστροφῆς δεικνύμενα.

» ΕΝ δὲ τῷ τελευταίῳ σχήματι, καθόλου μὲν ὄντων τῶν ὅρων πρὸς τὸ μέσον. καὶ κατηγορικῶν, ἀμφοτέρων τῶν προτάσεων. ἂν ὁπότερος οὖν ᾖ ἀναγκαῖος. καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ἐὰν δὲ τὸ μὲν, ᾖ στερητικὸν τὸ δὲ κατηγορικόν, ὅταν μὲν τὸ στερητικὸν ἀναγκαῖον ᾖ, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. ὅταν δὲ τὸ κατηγορικόν, οὐκ ἔσται τὸ ἀναγκαῖον.

Π ληρώσας τὸν περὶ τοῦ δευτέρου σχήματος λόγον. ἐντεῦθεν τὸν περὶ τοῦ τρίτου ποιεῖται. καὶ παραδίδωσι τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων καθόλου συζυγίας. καὶ φησὶν ὅτι ἐν μὲν ταῖς ἐξ ἀμφοτέρων τῶν προτάσεων καταφατικαῖς ὁποία ἂν ᾖ πρότασις ἡ τὸ ἀναγκαῖον ἔχουσα. εἴτε ἡ ἐλάττων, εἴτε ἡ μείζων, πάντως ἕπεται ταύτῃ τὸ συμπέρασμα. καὶ καθόλου εἰπεῖν ἐν ταῖς ἐξ ἀμφοτέρων καταφατικῶν προτάσεων συζυγίαις, πάντως ἀναγκαῖόν ἐστι τὸ συμπέρασμα. ἐφ' ὧν δὲ ἡ μὲν ἐστὶ καταφατικὴ. ἡ δὲ ἀποφατική, τῇ ἀποφατικῇ, πάντως ἕπεται τὸ συμπέρασμα. εἰκότως. πάλιν γὰρ ἀντιστρεφομένης τῆς ἀποφατικῆς καὶ ποιούσης τὸ α σχῆμα. μείζων εὑρεθήσεται ἡ ἀποφατική. ἐν δὲ τῷ πρώτῳ σχήματι τῇ μείζονι ἀεὶ ἕπεται τὸ συμπέρασμα.

» ΕΣΤΩΣΑΝ γὰρ ἀμφότεραι κατηγορικαὶ πρῶτον αἱ προτάσεις. καὶ τὸ α καὶ τὸ β' παντὶ τῷ γ' ὑπαρχέτω. ἀναγκαῖον δ' ἔστω τὸ α γ'. ἐπεὶ οὖν τὸ β' παντὶ τῷ γ' ὑπάρχει, καὶ τὸ γ' τινὶ τῷ β' ὑπάρξει, διὰ τὸ ἀντιστρέφειν, ὃ καθόλου τῷ κατὰ μέρος. ὥστ' εἰ παντὶ τὸ γ' τὸ α ἐξ ἀνάγκης ὑπάρχει, καὶ

ἀντιστρεφομένης ὁμοίως τῆς ἐλάττονος προτάσεως, καὶ τοῦ συμπεράσματος. ἡ γὰρ νόσος οὐδενὶ ἀνθρώπῳ ὑπαρχόντως. καὶ ἄνθρωπος οὐδεμιᾷ νόσῳ ὑπαρχόντως. εἰ δὲ ἡ κατηγορικὴ πρότασίς ἐστιν ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ἀποροῦμεν τὴν αἰτίαν τί δήποτε τῇ στερητικῇ ἐν τούτῳ τῷ σχήματι ἀκολουθεῖ τὸ συμπέρασμα. ἐκθέμενος τοίνυν τὰς δύο προτάσεις τὰς πρὸς τῷ στερητικῷ ἐχούσας τὸ ἀναγκαῖον. νῦν τὸ ἀνάπαλιν τίθησι τὰς πρὸς μὲν τῷ κατηγορουμένῳ τὸ ἀναγκαῖον ἐχούσας. πρὸς δὲ τῷ ἀποφατικῷ, τὸ ὑπάρχον. τίθησι δὲ ἐν τούτοις τὴν ἔχουσαν πρὸς τῷ μείζονι τὸ καθόλου καταφατικὸν ἀναγκαῖον. πρὸς δὲ τῷ ἐλάττονι τὸ καθόλου ἀποφατικὸν ὑπάρχον. τὴν δὲ ἑτέραν παραλιμπάνει. τὴν μὲν πρὸς τῷ μείζονι τὸ ἀποφατικὸν ὑπάρχον ἔχουσαν. πρὸς δὲ τῷ ἐλάττονι τὸ καταφατικὸν ἀναγκαῖον. ἡ γὰρ αὐτὴ δεῖξις ἐπ᾽ ἀμφοτέρων. πλὴν ὅτι ἡ μὲν δύο δεῖται ἀντιστροφῶν τὴν παραλιφθεῖσαν. ἡ δὲ μιᾶς τὴν περιληφθεῖσαν. συνάγουσιν οὖν καθόλου ἀποφατικὸν ὑπάρχον συμπέρασμα. εἰ γὰρ τὸ α παντὶ μὲν τῷ β ἐξ ἀνάγκης. οὐδενὶ δὲ τῷ γ ὑπαρχόντως. καὶ τὸ β οὐδενὶ τῷ γ ὑπαρχόντως. εἰ γὰρ τὸ α οὐδενὶ τῷ γ ὑπαρχόντως. καὶ τὸ γ οὐδενὶ τῷ α ὑπαρχόντως ἐπειδὴ ἀντιστρέφει. τὸ δὲ α παντὶ τῷ β ἐξ ἀνάγκης. τὸ ἄρα γ οὐδενὶ τῷ β ὑπαρχόντως. γέγονε γὰρ τὸ α σχῆμα ἐκ τῆς μείζονος ἀποφατικῆς ὑπαρχούσης. ἐδείχθη δὲ καὶ ἐν τῷ α σχήματι ὅτι ὁποῖος ἂν ᾖ ὁ μείζων ὅρος, τοιοῦτον συνάγεται καὶ τὸ συμπέρασμα. ἀντιστρεφομένης οὖν τῆς στερητικῆς καὶ τὸ β οὐδενὶ τῷ γ ὑπαρχόντως ὅπερ ἔδει δεῖξαι.

ΕΤΙ δ᾽ εἰ τὸ συμπέρασμά ἐστιν ἀναγκαῖον συμβαίνει τὸ γ τινὶ τῷ α μὴ ὑπάρχειν ἐξ ἀνάγκης. εἰ γὰρ τὸ β τῷ γ μηδενὶ ὑπάρχει ἐξ ἀνάγκης οὐδὲ τὸ γ τῷ β οὐδενὶ ὑπάρξει ἐξ ἀνάγκης. τὸ δέ γε β τινὶ τῷ α ἀνάγκη ὑπάρχειν. εἴπερ καὶ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει. ὥστε καὶ τὸ γ ἀνάγκη τινὶ τῷ α μὴ ὑπάρχειν. ἀλλ᾽ οὐδὲν κωλύει τοιοῦτον ληφθῆναι, ᾧ παντὶ τῷ γ ἐνδέχεται ὑπάρχειν.

Δείξας τὴν προκειμένην συζυγίαν διὰ ἀντιστροφῆς τὸ ὑπάρχον καὶ οὐ τὸ ἀναγκαῖον συνάγουσαν. νῦν αὐτὸ τοῦτο δείκνυσι καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ. εἰ γὰρ ὑποθοίμεθα φησὶν ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα, ἕψεταί τι ἄτοπον τῇ ὑποθέσει ταύτῃ. ᾗ δὲ ὑποθέσει ἄτοπον ἀκολουθεῖ, ψευδής ἐστι. ψευδὲς ἄρα τὸ ὑποτίθεσθαι ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα. εἰ γάρ τις εἴποι συνάγεσθαι τὸ ζῶον μηδενὶ τῷ γ ἐξ ἀνάγκης. ἀντιστρέψει δηλονότι. καὶ τὸ γ οὐδενὶ τῷ β ὑπάρξει ἐξ ἀνάγκης. πάλιν ἐπειδὴ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει. καὶ τὸ β τινὶ τῷ α ἐξ ἀνάγκης ὑπάρξει. εἰ τοίνυν τὸ μὲν γ οὐδενὶ τῷ β ἐξ ἀνάγκης τὸ δὲ β τινὶ τῷ α ἐξ ἀνάγκης. ἐκ δύο δὲ ἀναγκαίων ἀναγκαῖον γίνεται τὸ συμπέρασμα· καὶ τὸ γ ἄρα ἐξ ἀνάγκης τινὶ τῷ α οὐχ ὑπάρξει. ἀλλ᾽ ἐπεὶ ὑπέκειτο τὸ α μηδενὶ τῷ γ ὑπαρχόντως καὶ τὸ γ ἄρα οὐδενὶ τῷ α ὑπαρχόντως. ἐδείχθη δὲ τὸ ὑπάρχον τοιοῦτον ὄν, ὡς δύνασθαι ᾧ μηδενὶ ὑπάρχει, τὸ αὐτὸ τοῦτο καὶ παντὶ ὑπάρχειν. δύναται ἄρα τὸ τρίτον παντὶ τῷ α ὑπάρχειν. συνάγεται δὲ οὖν ἐκ τῆς ὑποθέσεως καὶ τινὶ ἐξ ἀνάγκης μὴ ὑπάρχειν. τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ παντὶ ὑπάρχει. καὶ τινὶ ἐξ ἀνάγκης οὐχ ὑπάρχει ὅπερ ἄτοπον. δῆλον ἄρα ὅτι τὸ ἄτοπον ἠκολούθησεν, ἐκ τοῦ ὑποθέσθαι τὸ ἐξ ἀνάγκης μηδενὶ τῷ γ τὸ β. ἀληθὲς ἄρα τὸ ὑπαρχόντως μηδενί, ὅπερ ἔδει δεῖξαι.

ΕΤΙ κἂν ὅροις ἐκθεμένοις εἴη δεῖξαι ὅτι οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον ἁπλῶς. ἀλλὰ τούτων ὄντων ἀναγκαῖον. οἷον ἔστω τὸ α ζῶον. τὸ δὲ β ἄνθρωπος. τὸ δὲ γ λευκὸν καὶ αἱ προτάσεις ὁμοίως εἰλήφθωσαν. ἐνδέχεται τὸ ζῶον μηδενὶ λευκῷ ὑπάρχειν. οὐχ ὑπάρξει δὴ οὐδ᾽ ὁ ἄνθρωπος, οὐδενὶ λευκῷ, ἀλλ᾽ οὐκ ἐξ ἀνάγκης. ἐνδέχεται γὰρ ἄνθρωπον γενέσθαι λευκόν. οὐ μέντοι ἕως ἂν τὸ ζῶον μηδενὶ λευκῷ ὑπάρχῃ. ὥστε τούτων μὲν ὄντων, ἀναγκαῖον ἔσται τὸ συμπέρασμα. ἁπλῶς δ᾽ οὐκ ἀναγκαῖον.

Οὐ μόνον φησὶ ταῖς καθόλου λόγοις τὸ προκείμενον πιστωσόμεθα, ἀλλὰ καὶ τῇ διὰ τῶν παραδειγμάτων δείξει, ὅτι τὸ συμπέρασμα ὑπάρχον συνάγεται καὶ οὐχὶ κυρίως ἀναγκαῖον, ἀλλ᾽ εἴγε ἄρα τὸ ἐξ ὑποθέσεως. τοῦτο γὰρ αὐτῷ βούλεται τὸ οὐχ ἁπλῶς ἀλλὰ τούτων ὄντων ἀναγκαῖον. τίθησιν οὖν ὅρους. ζῶον. ἄνθρωπος. λευκόν. τὸ ζῶον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. τὸ ζῶον οὐδενὶ λευκῷ ὑπαρχόντως καὶ συνάγεται ἀντιστραφείσης τῆς ἀποφατικῆς καὶ τοῦ συμπεράσματος ὅτι ὁ ἄνθρωπος μηδενὶ λευκῷ ὑπαρχόντως. οὐ γάρ ἐστιν ἐξ ἀνάγκης τὸ μηδένα λευκὸν εἶναι ἄνθρωπον ἀλλ᾽ εἰ ἄρα ἐξ ὑποθέσεως ἕως ἂν ὑπόκειται τὸ ζῶον μηδενὶ λευκῷ ὑπάρχειν. σαφεστέρα δὲ ἔσται ἡ δεῖξις. ἐὰν κίνησιν καὶ βάδισιν καὶ ἄνθρωπον λάβωμεν ἢ ἁπλῶς καθολικώτερόν τι καὶ μερικώτερον καὶ ἕτερόν τι ᾧ ὑπάρχουσι ταῦτα οὐκ ἐξ ἀνάγκης. κίνησις μὲν γὰρ πάσῃ βαδίσει ἐξ ἀνάγκης. ἀνθρώπῳ δὲ οὐδενὶ ὑπαρχόντως. καὶ συνάγεται βάδισις οὐδενὶ ἀνθρώπῳ ὑπαρχόντως. ὥστε τούτων μὲν ὄντων ἀναγκαίων ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ἁπλῶς δὲ οὐκ ἀναγκαῖον ἕως φησὶν ἡ μὲν, τῶν προτάσεων ἀναγκαία ὄντως ὑπάρχει. ἡ δὲ ἐξ ὑποθέσεως καὶ τὸ συμπέρασμα ἐξ ὑποθέσεως ἔσται ἀναγκαῖον. καὶ οὐχ ἁπλῶς ἀναγκαῖον τουτέστι κυρίως. δῆλον ἄρα ὅτι καὶ ἐν οἷς τὸ ἀναγκαῖον συνάγεσθαι ἐβούλετο τὸ ἐξ ὑποθέσεως καὶ οὐ τὸ κυρίως ἔλεγεν.

ΟΜΟΙΩΣ δ᾽ ἕξει καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. ὅταν μὲν γὰρ ἡ στερητικὴ πρότασις καθόλου τε ᾖ καὶ ἀναγκαία, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον, ὅταν δὲ ἡ κατηγορικὴ καθόλου τε ᾖ καὶ

αἰτίαν προστιθείς φησιν. οὐ γὰρ ἀδύνατον συμπίπτει καθάπερ οὐδὲ ἐν τοῖς καθόλου συλλογισμοῖς· ἡνίκα γὰρ ἐπ' ἐκείνων ἐλάμβανε τὴν ἐλάττονα ἐξ ἀνάγκης, καὶ ὑπετιθέμεθα ὑπάρχον συνάγεσθαι τὸ συμπέρασμα, οὐδὲν ψεῦδος εἵπετο· εἰ δὲ ἀναγκαῖον ὑπετιθέμεθα συνάγεσθαι συμπέρασμα, ψεῦδός τι εἵπετο, ὡς ἐν ἐκείνοις δεδείχαμεν. ὡς οὖν ἐπ' ἐκείνων ἀναγκαίου μὲν ὑποτεθέντος συμπεράσματος ψεῦδός τι συνήγετο, ὑπάρχοντος δὲ οὐκέτι, οὕτω φησὶ καὶ ἐπὶ τῶν ἐν μέρει· ὑποθώμεθα ἀναγκαῖον ἔσεσθαι συμπέρασμα, ψεῦδος ἕπεται· εἰ δὲ ὑπάρχον οὔ.


Ὁμοίως δὲ καὶ εἰ στερητικὸς εἴη ὁ καθόλου· ἀναγκαία δὲ ἡ ἐλάττων, ὑπάρχον συνάγεται συμπέρασμα. καὶ τοῦτο πάλιν ἐπὶ ὅρων δείκνυσι· κίνησις, ζῷον, λευκόν· κίνησις παντὶ ζῴῳ ὑπαρχόντως· ζῷον δὲ τινὶ λευκῷ ἐξ ἀνάγκης τῷ κύκνῳ· καὶ συνάγεται κίνησις κύκνῳ ὑπαρχόντως, οὐ μὴν ἀναγκαίως. ὁμοίως καὶ ἐπὶ τοῦ στερητικοῦ· κίνησις οὐδενὶ λευκῷ ἢ λευκόν ἐστι· λευκὸν τινὶ ζῴῳ ἐξ ἀνάγκης· καὶ συνάγεται κίνησις οὐ παντὶ ζῴῳ ἐξ ἀνάγκης, ἡ κίνησις οὐδενὶ ζῴῳ ὑπαρχόντως· ζῷον τινὶ λευκῷ ἐξ ἀνάγκης· κίνησις τινὶ λευκῷ οὐχ ὑπάρχει.

ΕΠΙ δὲ τοῦ δευτέρου σχήματος, εἰ μὲν ἡ στερητικὴ πρότασίς ἐστιν ἀναγκαία, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον· εἰ δ' ἡ κατηγορική, οὐκ ἀναγκαῖον.

Τὸν περὶ τοῦ πρώτου σχήματος πληρώσας λόγον, ἐντεῦθεν λοιπὸν ἐπισκέπτεται ὅπως ἔχουσι καὶ ἐν τῷ δευτέρῳ σχήματι αἱ μίξεις τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου. τῶν δὲ ἐν δευτέρῳ σχήματι ἀνομοιοσχημόνων οὐσῶν προτάσεων βούλεται ὁ Ἀριστοτέλης τῇ ἀποφατικῇ προτάσει ἀκολουθεῖν τὸ συμπέρασμα. καὶ εἰ μὲν ἀναγκαίῳ τρόπῳ ὑπάρχει ἡ ἀποφατική, ἀναγκαῖον ὑπάρχει καὶ τὸ συμπέρασμα· εἰ δὲ ὑπάρχοντος, ὑπάρχον. ἐπειδὴ γὰρ οἱ ἐν δευτέρῳ σχήματι συλλογισμοὶ τελειοῦνται τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ· ἐν δὲ τῷ πρώτῳ σχήματι δεῖ πάντως τὴν ἀποφατικὴν μείζονα εἶναι· ἐδείκνυτο δὲ ὅτι ὅπως ἂν ἔχῃ ἡ μείζων ἐν τῷ πρώτῳ, οὕτως ἀνάγκη ἔχειν καὶ τὸ συμπέρασμα· ἀναγομένου γὰρ τοῦ δευτέρου σχήματος εἰς τὸ πρῶτον, πάντως ἡ ἀποφατικὴ μείζων εὑρίσκεται.

ΕΣΤΩ γὰρ δὴ πρῶτον ἡ στερητικὴ ἀναγκαία, καὶ τὸ α τῷ μὲν β μηδενὶ ἐνδεχέσθω, τῷ δὲ γ ὑπαρχέτω μόνον. ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητικόν, οὐδὲ τὸ β τῷ α οὐδενὶ ἐνδέχεται· τὸ δὲ α παντὶ τῷ γ ὑπάρχει· ὥστ' οὐδενὶ τῷ γ τὸ β ἐνδέχεται· τὸ γὰρ γ ὑπὸ τὸ α ἐστί.

Πρότερον ἐκτίθεται τὴν ἐκ τῆς μείζονος ἀναγκαίας ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης· καὶ συνάγεται φησὶ τὸ συμπέρασμα ἀναγκαῖον. ἀντιστραφείσης γὰρ τῆς ἀποφατικῆς, γίνεται ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. εἰ γὰρ τὸ α ἐξ ἀνάγκης μηδενὶ τῷ β, τῷ δὲ γ παντὶ ὑπάρχει, λέγω φησὶν ὅτι καὶ τὸ β ἐξ ἀνάγκης οὐδενὶ τῷ γ ὑπάρξει. ἐπεὶ γὰρ τὸ α οὐδενὶ τῷ β ἐξ ἀνάγκης, καὶ τὸ β οὐδενὶ τῷ α ἐξ ἀνάγκης· τὸ δὲ α παντὶ τῷ γ ὑπάρχει· γίνεται οὖν τὸ πρῶτον σχῆμα· τὸ ἄρα β οὐδενὶ τῷ γ ἐξ ἀνάγκης. οὕτω μὲν οὖν ὁ φιλόσοφος. ὅτι δὲ οὐ συνάγεται τὸ ἀναγκαῖον, δῆλον ἐκ τῶν ὑποκειμένων ὅρων· ἀρετὴ οὐδεμιᾷ κακίᾳ ἐξ ἀνάγκης· ὑπάρχει δὲ ἀνθρώπῳ ὑπαρχόντως παντί· καὶ συνάγεται κακία οὐδενὶ ἀνθρώπῳ ὑπαρχόντως, οὐ γὰρ ἐξ ἀνάγκης. πάλιν ὑγίεια, νόσος, ἄνθρωπος· ὑγίεια γὰρ νόσῳ μὲν οὐδεμιᾷ ἐξ ἀνάγκης, ἀνθρώπῳ δὲ παντὶ ὑπάρχει μόνον· καὶ συνάγεται νόσος ὑπαρχόντως οὐδενὶ ἀνθρώπῳ. εἰ γὰρ ὑγίεια μηδεμιᾷ νόσῳ ἐξ ἀνάγκης, καὶ νόσος οὐδεμιᾷ ὑγιείᾳ ἐξ ἀνάγκης· ὑγίεια δὲ παντὶ ἀνθρώπῳ ὑπαρχόντως· καὶ νόσος οὐδενὶ ἀνθρώπῳ ἐξ ἀνάγκης. καὶ καθόλου δὲ εὑρήσομεν προτάσεων λαμβάνοντες ἀντιδιῃρημένα ἀλλήλοις εἴδη καὶ τὸ ἕτερον ποιοῦντες μείζονα ὅρον, εἶτα ἕτερόν τι ἐλάττονα δυνάμενον μετέχειν ἑκατέρου ἀνὰ μέρος μὴ ἐξ ἀνάγκης.



ΩΣΑΥΤΩΣ δὲ καὶ εἰ πρὸς τῷ γ τεθῇ τὸ στερητικόν. εἰ γὰρ τὸ α μηδενὶ τῷ γ ἐνδέχεται, οὐδὲ τὸ γ οὐδενὶ τῷ α ἐγχωρεῖ· τὸ δὲ α παντὶ τῷ β ὑπάρχει· ὥστ' οὐδενὶ τῷ β τὸ γ ἐνδέχεται· γίνεται γὰρ τὸ πρῶτον σχῆμα πάλιν. οὐκ ἄρα οὐδὲ τὸ β τῷ γ· ἀντιστρέφει γὰρ ὁμοίως. εἰ δ' ἡ κατηγορικὴ πρότασίς ἐστιν ἀναγκαία, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. ὑπαρχέτω γὰρ τὸ α παντὶ τῷ β ἐξ ἀνάγκης, τῷ δὲ γ μηδενὶ ὑπαρχέτω μόνον. ἀντιστραφέντος οὖν τοῦ στερητικοῦ, τὸ πρῶτον γίνεται σχῆμα. δέδεικται δ' ἐν τῷ πρώτῳ ὅτι μὴ ἀναγκαίας οὔσης τῆς πρὸς τῷ μείζονι στερητικῆς οὐδὲ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον· ὥστε οὐδ' ἐπὶ τούτων ἔσται ἐξ ἀνάγκης.

Τὴν ἐκ τῆς μείζονος καθόλου ὑπαρχούσης καταφατικῆς παραδίδωσι, τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς ἀναγκαίας· καὶ δείκνυσι καὶ ταύτην τὸ ἀναγκαῖον συνάγουσαν διά τε τῆς ἀντιστροφῆς τῆς ἐλάττονος, τουτέστι τῆς ἀποφατικῆς. εἰ γὰρ τὸ α παντὶ τῷ β ὑπάρχοντος, τῷ δὲ γ οὐδενὶ ἐξ ἀνάγκης, καὶ τὸ γ ἄρα οὐδενὶ τῷ α ἐξ ἀνάγκης. τὸ γ οὐδενὶ τῷ α ἐξ ἀνάγκης, τὸ α παντὶ τῷ β ὑπαρχόντως· τὸ ἄρα γ οὐδενὶ τῷ β ἐξ ἀνάγκης. ἀλλ' οὐ τοῦτο προέκειτο δεῖξαι, ἀλλ' ὅτι τὸ β μηδενὶ τῷ γ ἐξ ἀνάγκης. ἐπεὶ τοίνυν ἀντιστρέφει ἡ καθόλου ἀποφατικὴ καὶ ἐπὶ τοῦ ἀναγκαίου, εἰ τὸ γ οὐδενὶ τῷ β ἐξ ἀνάγκης, καὶ τὸ β οὐδενὶ τῷ γ ἐξ ἀνάγκης. δείξομεν οὖν καὶ ταύτην τοῖς ἄλλοις λόγοις οὐ τὸ ἀναγκαῖον, ἀλλὰ τὸ ὑπάρχον συνάγουσαν, διὰ τῶν αὐτῶν ὅρων δι' ὧν καὶ τὴν πρὸ ταύτης ἐδείξαμεν συζυγίαν. πλὴν ὅτι ὃν ἐκεῖ παρελαμβάνομεν ἐλάττονα ὅρον, ἐνταῦθα μείζονα ποιοῦμεν, οἷον ὑγίεια ἀνθρώπῳ παντὶ ὑπαρχόντως, νόσῳ δὲ οὐδεμιᾷ ἐξ ἀνάγκης· καὶ συνάγεται ὅτι καὶ ὁ ἄνθρωπος οὐδεμιᾷ νόσῳ ὑπαρχόντως

τῶν ἀντιδιῃρημένων οὐδὲν τῷ ἑτέρῳ ἐξ ἀνάγκης ἀποφάσκεται· οἷον τὸ λευκὸν τοῦ μέλανος. κατηγορηθέντος δὲ τοῦ μέσου τῷ ἐσχάτῳ ὑπαρχόντως, οὐκ ἐξ ἀνάγκης τοῦ ἐσχάτου τὸ πρῶτον ἀποφανθήσεται, ἀλλ' ὑπαρχόντως. διότι εἰ ὑπαρχόντως αὐτοῦ τὸ μέσον κατηγορεῖται, δῆλον ὅτι δύναται καὶ μὴ ὑπάρξαι αὐτῷ. τοῦ δὲ μέσου μὴ ὑπάρχοντος ἐξ ἀνάγκης τὸ ἀντιδιῃρημένον ὑπάρξει. εἰ δὲ δύναται καὶ ὑπάρξαι καὶ μὴ ὑπάρξαι, δῆλον ὅτι ὁπηνίκα ἀποφάσκεται, οὐκ ἐξ ἀνάγκης ἀποφανθήσεται. εἰ γὰρ τὸ λευκὸν μηδενὶ μέλανι ἐξ ἀνάγκης, τὸ δὲ μέλαν παντὶ ἵππῳ ὑπαρχόντως. εἰ γὰρ τὸ μέλαν παντὶ ὑπαρχόντως, δύναται καὶ μὴ ὑπάρχειν. μὴ ὑπάρχοντος δὲ τὸ λευκὸν πάντως ὑπάρξει ἤ τι τῶν μεταξύ. πάντως γὰρ δεῖ τοῦ ἑτέρου τῶν ἐναντίων μεταλαβεῖν ἢ τι τοῦ μεταξύ. εἰ δὲ δύναται ὑπάρξαι παντὶ ἵππῳ τὸ λευκόν, δῆλον ὅτι ὅτε τὸ μέλαν ὑπάρχει, τὸ λευκὸν ὑπαρχόντως οὐκ ἐξ ἀνάγκης ἀποφανθήσεται. σημαντέον δὲ μὴ λαβεῖν τὸν ἐλάττονα ὅρον, ᾧ ἕτερόν τι τῶν ἐναντίων ἐξ ἀνάγκης ὑπάρχει, οἷον τῷ κόρακι τὸ μέλαν. ἐπεὶ οὐκέτι φυλάξαμεν τὴν ἐλάττονα ὑπάρχουσαν.

30 ΕΠΙ δὲ τῶν ἐν μέρει συλλογισμῶν, εἰ μὲν τὸ καθόλου ἐστὶν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀ-
35 ναγκαῖον. εἰ δὲ τὸ κατὰ μέρος, οὐκ ἀναγκαῖον, οὔτε στερητικῆς οὔτε κατηγορικῆς οὔσης τῆς καθόλου
40 προτάσεως.

Παραδοὺς τὰς ἐκ δύο καθόλου τέσσαρας συλλογιστικὰς προτάσεις, περὶ τῶν ἀσυλλογίστων οὐδέν φησι. διὰ τῶν αὐτῶν γὰρ δείκνυνται, δι' ὧν καὶ αἱ τοῦ ὑπάρχοντος ἀσυλλόγιστοι προτάσεις. μέτεισιν οὖν ἐπὶ τὰς συζυγίας τὰς ἐκ τῆς μιᾶς καθόλου, τῆς δὲ ἑτέρας μερικῆς. καὶ φησὶν ὅτι ὅπως ἂν ἔχοι ἡ μείζων πρότασις, τοιοῦτον ἔσται καὶ τὸ συμπέρασμα, εἴπομεν γὰρ ὅτι ἐν πρώτῳ σχήματι τῇ μείζονι βούλεται ἀκολουθεῖν τὸ συμπέρασμα. ἐπὶ τῆς μιᾶς ἀναγκαίας, τῆς δὲ ἑτέρας ὑπαρχούσης, ἐφ' ᾧ δὲ ἡ μὲν ἑτέρα ἐστὶ καθόλου ἡ δὲ ἑτέρα μερική, πάντως ἡ μείζων καθόλου ἐστὶν ἐν πρώτῳ σχήματι, εἴγε μέλλοι συλλογιστικὴ εἶναι ἡ συζυγία. διὰ τοῦτό φησιν, ὅτι τῇ καθόλου προτάσει τὸ συμπέρασμα ἀκολουθεῖ. ταυτὸν γάρ ἐστι πάλιν ἐπεὶ τῇ μείζονι [illegible]

45 ΕΣΤΩ δὴ πρῶτον τὸ καθόλου ἀναγκαῖον, καὶ τὸ μὲν α παντὶ τῷ β ὑπαρχέτω ἐξ ἀνάγκης, τὸ δὲ
50 β τινὶ τῷ γ ὑπαρχέτω μόνον. ἀνάγκη δὴ τὸ α τινὶ τῷ γ ὑπάρχειν ἐξ ἀνάγκης. τὸ γὰρ γ, ὑπὸ τὸ β ἐστί.
55 τὸ δὲ β παντὶ τῷ α ὑπῆρχεν ἐξ ἀνάγκης.

Πρώτην πάλιν τίθησι τὴν καθόλου ἀναγκαῖον ἔχουσαν ἐν τῇ μείζονι προτάσει, ἐν δὲ τῇ ἐλάττονι τὸ μερικὸν ὑπάρχον. ἀμφοτέρας δὲ καταφατικάς. καὶ τῇ αὐτῇ πάλιν δείξει τὸ ἀναγκαῖον δείκνυσι συναγόμενον. εἰ γὰρ τὸ α φησι παντὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει, τὸ δὲ β τινὶ τῷ γ ὑπαρχόντως, συνάγεται ὅτι τὸ α τινὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχει. εἰ γὰρ τὸ β παντὶ τὸ α ἐξ ἀνάγκης, τὶ δὲ τῶν γ μέρος ἐστὶ τοῦ β, καὶ τὸ α ἄρα τινὶ τῶν γ ὑπάρξει ἐξ ἀνάγκης, μέρει ὄντι τοῦ β. ἐροῦμεν δὲ καὶ πρὸς τοῦτο τὰ αὐτὰ πάλιν ἅπερ καὶ ἐπὶ τῶν ἐκ δύο καθόλου καταφατικῶν, ὅτι ὑπαρχόντως ὑπὸ τὸ β τὶ τῶν γ ἐστὶ καὶ διὰ τοῦτο δύναται καὶ μὴ εἶναι ὑπ' αὐτό. τὸ δὲ α τῷ β ὑπῆρχεν ἐξ ἀνάγκης, τουτέστιν ἀεὶ τοῖς ἀεὶ αὐτοῦ μέρεσιν οὖσιν. ὥστε οὐκ ἐξ ἀνάγκης ἀλλ' ὑπαρχόντως τινὶ τῷ β ὑπάρξει. ἔστωσαν δὲ ὅροι· ἐπιστήμη, γραμματική, ἄνθρωπος. ἐπιστήμη μὲν γὰρ πάσῃ γραμματικῇ ἐξ ἀνάγκης ὑπάρχει, γραμματικὴ δὲ ὑπαρχόντως τινὶ ἀνθρώπῳ, καὶ συνάγεται ἐπιστήμη ὑπαρχόντως τινὶ ἀνθρώπῳ.

35 ΟΜΟΙΩΣ δὲ καὶ εἰ στερητικὸς εἴη ὁ συλλογισμός. ἡ γὰρ αὐτὴ ἔσται ἀπόδειξις.


Πάλιν φησὶν εἰ στερητικὸν ἀναγκαῖον τιθείη τὸ καθόλου, ἀναγκαῖον ὡσαύτως τὸ συμπέρασμα συναχθήσεται. εἰ γὰρ τὸ α μηδενὶ τῷ β ἐξ ἀνάγκης, τὸ δὲ β τινὶ τῷ γ ὑπαρχόντως, καὶ τὸ α τινὶ τῷ γ ἐξ ἀνάγκης οὐχ ὑπάρξει. ἐπειδὴ γὰρ οὐδενὶ τῷ β ἐξ ἀνάγκης τὸ α, τὶ δὲ τῶν γ τοῦ β ἐστί, καὶ τὸ α ἄρα τινὶ τῶν γ οὐχ ὑπάρξει, ἐξ ἀνάγκης. τὰ αὐτὰ δὲ πάλιν λεχθήσεται καὶ πρὸς τοῦτο ὅτι τὸ ὑπάρχον καὶ οὐ τὸ ἀναγκαῖον συνάγεται, ἅπερ καὶ ἐπὶ τῆς ἐκ δύο καθόλου τῆς μείζονος ἀποφατικῆς ἐλέχθη. ὅροι δὲ τοῦ τὸ ὑπάρχον συνάγεσθαι· ἐγρήγορσις, ὑπνοῦν, ἄνθρωπος. ἐγρήγορσις οὐδενὶ ὑπνοῦντι ἐξ ἀνάγκης, ὑπνοῦν τινὶ ἀνθρώπῳ ὑπαρχόντως. καὶ ἁπλῶς τὰ ἀντιδιῃρημένα δεῖ λαμβάνειν, καὶ τὸν μὲν μείζονα ὅρον τιθέναι, τὸν δὲ μέσον, ἐλάττονα δὲ ἄλλο τι ᾧ μέσον ὑπάρχει οὐκ ἐξ ἀνάγκης.

40 ΕΙ δὲ τὸ κατὰ μέρος ἐστὶν ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον, οὐδὲν γὰρ ἀδύνατον συμ-
35 πίπτει, καθάπερ οὐδ' ἐν τοῖς καθόλου συλλογισμοῖς. ὁμοίως καὶ ἐπὶ τῶν στερητικῶν. ὅροι, κίνησις, ζῷον,
30 λευκόν.

Ἐκθέμενος τὰς δύο προτάσεις τὰς ἐχούσας τὴν μείζονα τουτέστι τὴν καθόλου ἀναγκαίαν, καὶ δείξας ἀναγκαῖον αὐταῖς ἑπόμενον τὸ συμπέρασμα, νῦν τὰς λοιπὰς δύο τίθησι τὰς τὴν ἐλάττονα τουτέστι τὴν μερικὴν ἀναγκαῖον ἐχούσας. καὶ φησὶν ὅτι ὥσπερ ἐπὶ τῶν καθόλου συλλογισμῶν αἱ τὴν ἐλάττονα ἔχοντες ἀναγκαίαν οὐ συνῆγον ἀναγκαῖον συμπέρασμα ἀλλ' ὑπάρχον, οὕτω καὶ ἐπὶ τῶν μερικῶν συζυγιῶν ὑπάρχον ἐστὶ τὸ συναγόμενον. δῆλον δὲ ὅτι τοῦτο συνάγεται ἐξ ὧν τούτῳ μὴ ὄντι συμπεράσματι, οὐδὲν ἀδύνατον ἕπεται. ὥσπερ ἐνταῦθα ὥσπερ ἐπὶ τῶν καθόλου προτάσεων. τῇ δὲ ἀναγκαίᾳ ἀκολουθεῖ. εἰ γὰρ τὸ α παντὶ τῷ β ὑπάρχει, τὸ δὲ β τινὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχει, καὶ τὸ α τινὶ τῷ γ ὑπάρξει. καὶ τὴν

αἰτίαν

ὄντι τῷ οὐρανίῳ. πάλιν λέγομεν ὑπάρχειν πάσῃ γῇ τὸ κινεῖσθαι, ἢ ἀνθρώπῳ τὸ καθεύδειν, ἐπεὶ ὑπόκειται ἢ καθεύδει. ἀλλὰ καὶ μηδενὶ ἐνδέχεται ὑπάρχειν. εἰ τοίνυν τοιαύτη ἐστὶν ἡ τοῦ ἁπλῶς ὑπάρχειν φύσις, ἐπεὶ ἄρα τίθη τὸ ἐξ ἀνάγκης τινὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν, οὐ δυνήσεται τὸ αὐτὸ τῷ αὐτῷ καὶ μηδενὶ ἐνδέχεσθαι ὑπάρχειν. αὕτη δὲ ἦν ἡ τοῦ κυρίως ὑπάρχοντος φύσις. ψεῦδος ἄρα τὸ ἐξ ἀνάγκης τὸ α τινὶ τῷ β΄ ὑπάρχειν. τὸ δὲ ψεῦδος ἠκολούθησεν διὰ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν τὴν λέγουσαν ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα. ὑπάρχον ἄρα συναχθήσεται. καὶ σκόπει πῶς οὐ φησὶν ἀδύνατον εἶναι τὸ α΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης ὑπάρχειν. ἀλλὰ ψεῦδος. οὐδὲ γὰρ ἐστι ψεῦδος, τοῦτο καὶ ἀδύνατον. ἀλλ' εἴ τι ἀδύνατον, τοῦτο καὶ ψεῦδος ὡς καὶ ἐν τοῖς ἔμπροσθεν εἴπομεν. οὐδὲ γὰρ προέθετο τῷ εἰς ἀδύνατον ἀπαγωγῇ δεῖξαι διότι οὐ τὸ ἀντικείμενον τῷ ὑπάρχειν παντὶ ὑπέθετο. ἀλλὰ μόνον δεῖξαι ψεῦδος τὸ λέγον ὅτι ἀναγκαῖον συνάγεται τὸ συμπέρασμα. οὐδὲ γὰρ ἀδύνατον ἐστί τινος τὸ αὐτὸ τῷ αὐτῷ καὶ ὑπαρχόντως παντὶ ὑπάρχειν καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχειν. ὡς γὰρ εἶπεν, τοιοῦτον ἐστὶ τὸ καθ' ἕτερον ὑπάρχειν, ὡς διὰ τῶν ὅρων ἐδείξαμεν. ψεῦδος ἄρα τὸ ἐξ ἀνάγκης τινὶ ὑπάρχειν τοῦτο καὶ παντὶ καὶ τὸ ἁπλῶς τουτέστι τὸ καθόλου τοῦ ὑπάρχοντος σημαινόμενον. ὅτι δύναται καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχειν καὶ μηδενὶ ἐνδέχεσθαι ὑπάρχειν. οὕτω μὲν οὖν διὰ τοῦ πρώτου σχήματος. διὰ δὲ τοῦ γ΄ οὕτως. εἰ γὰρ τὸ α΄ ἐξ ἀνάγκης παντὶ τῷ γ΄ ὡς αὐτὸς ὑπολάβοι. ὑπάρχει δὲ καὶ τὸ β΄ ἐξ ἀνάγκης τῷ αὐτῷ παντί. τὸ ἄρα α΄ τινὶ τῷ β΄ ἐξ ἀνάγκης ὑπάρξει. γίνεται γὰρ ὁ πρῶτος τρόπος τοῦ τρίτου σχήματος τῶν δύο ἀναγκαίων οὐσῶν. μείζονος καταφατικῆς ἀναγκαίου συνάγων συμπέρασμα. ὑπέκειτο δὲ καὶ παντὶ τῷ β΄ τὸ α΄ ὑπάρχειν. ψεῦδος ἄρα τό, τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχειν τὸ α΄. ἐνδέχεται γὰρ ἐπὶ τοῦ ὑπάρχοντος τρόπου τὸ ληφθὲν ὡς παντὶ ὑπάρχειν καὶ μηδενὶ αὐτῷ ὑπάρχειν. ψεῦδος ἄρα τὸ τινὶ ἐξ ἀνάγκης. τὸ δὲ ψεῦδος ἠκολούθησεν διὰ τὸ ὑποθέσθαι τῷ γ΄ παντὶ τὸ α΄ ἐξ ἀνάγκης ὑπάρχειν. οὕτω μὲν οὖν ἀριστοτέλης. ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φανερὸν ὅτι οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον, οἷον εἰ τὸ μὲν α΄ εἴη κίνησις. τὸ δὲ β΄ ζῷον. ἐφ' ᾧ δὲ τὸ γ΄ ἄνθρωπος. κίνησις μὲν γὰρ ἐν παντὶ ζῴῳ ὑπαρχόντως ὑπάρχει. ζῷον δὲ παντὶ ἀνθρώπῳ ἀναγκαίως. καὶ συμπέρασμα συνάγεται οὐκ ἀναγκαῖον, ἀλλ' ὑπάρχον. κίνησις γὰρ παντὶ ἀνθρώπῳ ὑπάρχει οὐκ ἀναγκαίως ἀλλ' ὑπαρχόντως. ἐπιστῆσαι δὲ χρὴ ἐπὶ τούτων τῶν ὅρων. ὅτι οὐ κατηγορήσει τὸ αὐτὸ δυνάμενον γενέσθαι καὶ ἐφ' ὧν ἀπὸ ἀναγκαίου συμπεράσματος τοῦ συναγομένου ἐκ τῆς μείζονος ἀναγκαίου. ὥσπερ γὰρ ἐνταῦθα λαβὼν τὴν κίνησιν μείζονα ὅρον ἔδειξε τὸ συμπέρασμα μὴ ἀναγκαῖον. οὕτω καὶ εἰ ἀντιστραφείη ὁ ἀπὸ ἐλάττονος οὐκ ἔσται ἀναγκαῖον. οἷον τὸ μὲν α΄ ζῷον τὸ δὲ β΄ ἄνθρωπος. τὸ δὲ γ΄ κίνησις. ἀνάγκη εἰ τὸ ζῷον τῷ ἀνθρώπῳ ἐξ ἀνάγκης ὑπάρχει. ὁ δὲ ἄνθρωπος κινεῖται ὑπαρχόντως, τὸ ζῷον ἐξ ἀνάγκης κινεῖται. ἀλλὰ ψεῦδος. ἔστιν οὖν ὅλον τὸ χωρίον παρόραμα. καὶ δῆλον ὡς ὁ ἀποβλέψας ἀπήχθη. ἐπειδὴ γὰρ εἰ λάβοιμεν ὡς ἐν κατηγορίᾳ τὸ γ΄ ὑπὸ τὸ β΄. δοκεῖ σκεῖσθαι ὡς εἶδος αὐτῶν, τοῦτο καὶ ἐπὶ πάντων, ὑπέλαβε. τὸ δὲ οὐκ ἔστιν. οὐδὲ γὰρ ἐνταῦθα ὑπὸ τὸν ἄνθρωπον εἶδος ἡ κίνησις καίτοι τῇ τάξει τῶν ὅρων ὑπ' αὐτὸν εἴληφεν. ἀλλ' ὡς ὑποκείμενον. ἢ τοίνυν παρεῖδεν, ἤ τι ἐξ ὑποθέσεως ἀναγκαῖον ἔλαβεν ὡς ἤδη εἴπομεν.



ΟΜΟΙΩΣ δὲ καὶ εἰ στερητικὸν εἴη τὸ α β. ἡ γὰρ αὐτὴ ἀπόδειξις. ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν εἰ μὲν τὸ καθόλου ἐστὶν ἀναγκαῖον, καὶ τὸ συμπέρασμα ἔσται ἀναγκαῖον. εἰ δὲ κατὰ μέρος οὐκ ἀναγκαῖον, οὔτε στερητικῆς, οὔτε κατηγορικῆς οὔσης τῆς καθόλου προτάσεως.

Εἴπομεν ὅτι ἐκ τῶν γινομένων ἐνταῦθα τῶν καθόλου συζυγιῶν. τεσσάρων μὲν συλλογιστικῶν. τεσσάρων δὲ ἀσυλλογίστων. τὰς μὲν δύο συλλογιστικὰς ἐξ ἀμφοτέρων καταφατικῶν, παρέδωκεν. νῦν δὲ τὰς ἀποφατικὰς παραδίδωσι καὶ φησὶ τὴν αὐτὴν καὶ ἐπὶ τούτων εἶναι δεῖξιν. ἔστω οὖν ἡ μείζων ἀναγκαία. εἰ τοίνυν τὸ α΄ οὐδενὶ τῷ β΄ ἐξ ἀνάγκης ὑπάρχει. τὸ δὲ β΄ δὲ ἐξ ἀνάγκης παντὶ τῷ γ΄ ὑπάρχει. μέρος ἄρα τοῦ β΄ τὸ γ΄. τὸ δὲ α΄ πάντων τῶν μερῶν τοῦ β΄ ἐξ ἀνάγκης κεχώρισται μέρους ὄντος τοῦ β΄. οὕτω μὲν οὖν κατὰ ἀριστοτέλην. τὰ αὐτὰ δὲ πάλιν φασὶ καὶ ἐπὶ τούτων οἱ περὶ θεόφραστον. ὁ πότερος γὰρ ἂν ᾖ τῶν ὅρων ἀναγκαίου θατέρου ὄντος ὑπάρχοντος, τὸ συμπέρασμα ὑπάρχον ἔσται. καὶ ἐπὶ μὲν τῆς πρὸς τῷ ἐλάττονι ἐχούσης τὸ ἀναγκαῖον καὶ αὐτὸς ὁ ἀριστοτέλης συνομολογεῖ. ἐπὶ δὲ τῆς ἐχούσης τὴν μείζονα ἀναγκαίαν δῆλον, ὅτι καὶ στερητικὴν δείκνυται καὶ διὰ τῶν ὅρων. δείκνυται δὲ καὶ διὰ καινοτέρων λόγων οὕτως. ἐπεὶ γὰρ τὸ α΄ οὐδενὶ τῷ β΄ ἐξ ἀνάγκης. τὸ δὲ β΄ παντὶ τῷ γ΄ ὑπάρχει πρόδηλον. εἰ γὰρ μηδενὶ τῷ β΄ τὸ α΄ δῆλον ὅτι οὐδὲ τῷ γ΄. τὸ γὰρ γ΄ ὑπὸ τὸ β΄. ἀλλ' οὐκέτι καὶ ἐξ ἀνάγκης οὐδενὶ τῷ γ΄ τὸ α΄ ὥσπερ τῷ β΄. ἐπειδὴ ὑπαρχόντως τοῦ β΄ τὸ γ΄ ὑπόκειται εἶναι μέρος καὶ οὐκ ἀναγκαίως. ὅσον οὖν ἀπὸ τῶν ὅρων. οὐδαμῶς τὸ ἀναγκαῖον συνάγεται. εἰ γὰρ λάβοιμεν ἀντιδιῃρημένα ἀλλήλοις εἴδη οἷον τὸ μέλαν καὶ τὸ λευκόν. καὶ τούτων τὸ μὲν ἕτερον ποιήσομεν μείζονα ὅρον, τὸ δὲ ἕτερον μέσον. εἶτα λάβοιμεν τι τρίτον ὃ ἑκατέρου ἀναμέρος δύναται ὑπάρχειν καὶ μὴ ὑπάρχειν. καὶ τοῦτο ποιήσομεν ἐλάττονα ὅρον οἷον ἵππον. δῆλον ὅτι τὸ μὲν ἕτερον

Aut aliud cogitavit Aristoteles, aut intellexit ἀναγκαῖον ὁ ἐξ ὑποθέσεως

His quoque reprehenditur Aristoteles

Contra postremã rationem pro Aristotele.

μόνη γὰρ ἡ τρόπου ἡ μετάθεσις, τοῦ ποσοῦ τοῦ αὐτοῦ μένοντος. διόπερ καὶ ἐπὶ πάντων· τὸ αὐτὸ συνάγεσθαι ἄτοπον. πρὸς δὲ τὴν τρίτην τῶν δείξεων ἐπὶ πολλοῖς οὔσαις, πρόχειρος ἡ ἀπάντησις. εἰ γὰρ ἐπειδὴ τῶν δύο προτάσεων ὑπαρχουσῶν οὐσῶν ὑπάρχον συνήγετο τὸ συμπέρασμα διὰ τούτων. ἐπειδὴ ἡ ἑτέρα ἀναγκαία γίνεται, διὰ τοῦτο ὤφειλεν ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα. ἐροῦμεν αὐτοῖς. ὅτι ἐπειδὴ τῶν δύο ἀναγκαίων οὐσῶν ἀναγκαῖον ἐγίνετο τὸ συμπέρασμα, ἔδει τῆς ἑτέρας ὑπαρχούσης οὔσης. ὑπάρχον γενέσθαι. ἤγουν ὅπερ καὶ πιθανώτερον ἢ μικτὸν ἔδει αὐτὸ γενέσθαι. καὶ τοῦτο πῶς ἐνδέχεσθαι δεῖ ὑπάρχοντος καὶ ἀναγκαίου μικτόν τι γενέσθαι. ὥστε καταγέλαστον τὸ τοιοῦτον. καὶ ἄλλως ἔδει τὸ αὐτὸ ἐπὶ πᾶν. καὶ ἐφ᾽ ὧν προτάσεων ἡ μείζων ὑπάρχουσά ἐστιν, ἡ δὲ ἐλάττων ἀναγκαία. ἔδει γὰρ κἀπὶ τούτων ἀναγκαῖον εἶναι τὸ συμπέρασμα, διὰ τὴν αὐτὴν αἰτίαν. νῦν δὲ ὑπάρχον γίνεται. οὐδεὶς ἄρα ὁ τοιοῦτος λόγος. ἔτι ὥσπερ κατὰ τὸ ποιόν τι καὶ ποσὸν ἀεὶ τῇ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα. δῆλον, ὅτι καὶ ἐπὶ τῶν τρόπων ὁμοίως τῇ χείρονι ἀκολουθήσει. ὥστε εἰ τὸ ὑπάρχον χεῖρόν ἐστι τοῦ ἀναγκαίου δῆλον, ὅτι ὑπάρχον γενήσεται τὸ συμπέρασμα. πανταχόθεν ἡμῖν ἄρα τὸ τοιοῦτον δέδεικται. τί οὖν; ἆρ᾽ οὐκ ἔστιν οὐδεμίαν βοήθειαν ἐπινοῆσαι τῷ ἀριστοτελικῷ λόγῳ; λέγομεν ὅτι ἐνδέχεται. αὐτὸς γάρ φησιν ἐν τῷ περὶ ἑρμηνείας ὅτι τὸ ἀναγκαῖον διχῶς λέγεται· τὸ μὲν κυρίως, τὸ δὲ ἐξ ὑποθέσεως. καὶ τὸ ἐξ ὑποθέσεως διχῶς. τὸ μὲν γὰρ λέγεται ἀναγκαῖον ἕως ἂν ὑπάρχῃ τὸ ὑποκείμενον. τὸ δὲ ἕως ἂν ὑπάρχῃ τὸ κατηγορούμενον. οἷον κυρίως λέγεται ἀναγκαῖον, τὸ κινεῖσθαι τὸν ἥλιον. τὸ δὲ ἕως ἂν ὑπάρχῃ τὸ ὑποκείμενον, ἐξ ὑποθέσεως ἀναγκαῖον, τὸ Σωκράτην εἶναι ζῷον. ἕως ἂν γὰρ ὑπάρχῃ Σωκράτης ἀνάγκη αὐτὸν ζῷον εἶναι. ὃ καὶ μᾶλλον τῷ κυρίως ἀναγκαίῳ συνωκείωται. τὸ δὲ τρίτον ὡς λέγομεν, ἀνάγκη τὸν καθήμενον καθῆσθαι. ἕως ἂν γὰρ ὑπάρχῃ τὸ κατηγορούμενον λέγω δὲ τὸ καθῆσθαι, ἀναγκαίως ὑπάρχει τῷ καθημένῳ κατὰ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον. λέγομεν οὖν ὅτι ἡ μείζων πρότασις κατὰ τὸ κυρίως εἴληπται ἀναγκαῖον. τὸ δὲ συμπέρασμα κατὰ τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον τὸ ἕως ἂν ᾖ τὸ κατηγορούμενον. ἕως γὰρ ἂν ὑπάρχῃ τὸ α τῷ γ. ἐξ ἀνάγκης αὐτῷ ὑπάρχει. καὶ ὁ Ἀλέξανδρος δὲ ὁ τοῦ φιλοσόφου ἐξηγητὴς ἔν τινι μονοβίβλῳ καὶ τὸν αὐτοῦ διδάσκαλον, συνηγόρον ταύτης εἶναι τῆς δόξης. ὡς ὅτι τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον συνάγει ἐνταῦθα ὁ Ἀριστοτέλης. ὅτι γάρ φησι τοῦτο βούλεται. δῆλον ἐξ ὧν ὅτι μὲν ὑπάρχον συνάγεται τὸ συμπέρασμα τῆς μείζονος ὑπαρχούσης οὔσης. τῆς δὲ ἑτέρας ἀναγκαίας, ἐκτίθεται ὅροις ὁ φιλόσοφος. ὅτι δὲ ἀναγκαῖον συνάγεται τῆς μείζονος ἀναγκαίας οὔσης. τῆς δὲ ἐλάττονος ὑπαρχούσης. οὐκ εὐπόρησεν ἐκθέσθαι ὅροις τὸ κυρίως ἀναγκαῖον συνάγοντας. ὅθεν δῆλόν φησιν. ὅτι καὶ αὐτὸς τὸ ἐξ ὑποθέσεως ἔλαβεν ἀναγκαῖον.

Pro Aristotele. Necessariũ / κυρίως / ἐξ ὑποθέσεως / ἕως ἂν ὑπάρχῃ τὸ ὑποκείμενον / ἕως ἂν ὑπάρχῃ τὸ κατηγορούμενον.

Alexander Sosigenis discipulus.

ΕΙ ΔΕ τὸ μὲν α β μή ἐστιν ἀναγκαῖον. τὸ δὲ β γ ἀναγκαῖον, οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. εἰ γὰρ ἔσται, συμβήσεται τὸ α τινὶ τῷ β ὑπάρχειν ἐξ ἀνάγκης. διά τε τοῦ πρώτου καὶ τοῦ τρίτου σχήματος. τοῦτο δὲ ψεῦδος. ἐνδέχεται γὰρ τοιοῦτον εἶναι τὸ β. ᾧ ἐγχωρεῖ τὸ α μηδενὶ ὑπάρχειν. ἔτι καὶ ἐκ τῶν ὅρων φανερόν, ὅτι οὐκ ἔσται τὸ συμπέρασμα ἀναγκαῖον. οἷον, εἰ τὸ μὲν α εἴη κίνησις. τὸ δὲ β ζῷον. ἐφ᾽ ᾧ δὲ τὸ γ ἄνθρωπος. ζῷον μὲν γὰρ ὁ ἄνθρωπος ἐξ ἀνάγκης ἐστί. κινεῖται δὲ τὸ ζῷον, οὐκ ἐξ ἀνάγκης. οὐδ᾽ ὁ ἄνθρωπος.


οὐκ ἀδύνατον μέν, ὅμως δὲ ψεῦδος.


Παραδοὺς τὴν ἐκ τῆς μείζονος ἀναγκαίας, νῦν τὴν ἀντικειμένας ἔχουσαν παραδίδωσι. τὴν ἔχουσαν πρὸς τῇ ἐλάττονι τὸ ἀναγκαῖον πρὸς δὲ τῇ μείζονι τὸ ὑπάρχον. καί φησιν οὐκ ἀναγκαῖον. ἀλλ᾽ ὑπάρχον γίνεσθαι τὸ συμπέρασμα. εἴρηται γὰρ ἤδη ὅτι ὁ Ἀριστοτέλης ἐνταῦθα τῇ μείζονι βούλεται ἀκολουθεῖν τὸ συμπέρασμα. δείκνυσι δὲ τοῦτο διχόθεν καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ καὶ τῇ διὰ τῶν ὅρων δείξει. καὶ γὰρ τῶν μεθόδων ἡ χρεία ἡ μὲν καθέστηκεν. οὐ δι᾽ ἑαυτάς, ἀλλ᾽ ἵνα τοῖς πράγμασιν αὐτὰς ἁρμόζωμεν. διὸ καὶ ἀσυλλογίστους ὅρους παρατιθέμενοι. ἤρκει τούτοις εἰς ἔλεγχον ὡς μὴ δυναμένων αὐτῶν ἐφαρμοσθῆναι τοῖς πράγμασιν. δείκνυσιν οὖν τοῦτο διά τε τοῦ α σχήματος καὶ τοῦ γ ὑποτιθέμενος τὸ συνάγεσθαι ἀναγκαῖον τὸ συμπέρασμα καὶ δεικνὺς ταύτῃ τῇ ὑποθέσει ψεῦδος ἀκολουθοῦν καὶ οὕτως αὐτὴν ἐλέγχων. δῆλον γὰρ ὅτι ᾗ δ᾽ ἂν ὑποθέσει ψεῦδος ἀκολουθῇ. ψευδής ἐστι. οὐδεμιᾷ γὰρ ἀληθεῖ ὑποθέσει ψεῦδος ἀκολουθεῖ. δείκνυσιν οὖν τὸ ψεῦδος ἀκολουθεῖν. καὶ διὰ τοῦ α καὶ διὰ τοῦ β σχήματος. καὶ διὰ μὲν τοῦ α οὕτως. εἰ τὸ μὲν α παντὶ τῷ β ὑπάρχει μόνον, τὸ δὲ β παντὶ τῷ γ ἐξ ἀνάγκης. ἐγὼ μέν φησι λέγω ὅτι τὸ α παντὶ τῷ γ ὑπαρχόντως ὑπάρξει. εἰ δέ τις λέγει ἐξ ἀνάγκης, συγκεχωρείσθω τοῦτο, καὶ εἰ μὲν μηδὲν ψεῦδος ἀκολουθήσει, ἔστω ἀληθὲς τὸ συμπέρασμα. εἰ δὲ εὕρομέν τι ψεῦδος ἑπόμενον. δῆλον ὅτι ψευδὴς ἡ ὑπόθεσις ἡ λέγουσα τὸ ἀναγκαῖον συνάγεσθαι. ὥστε τὸ ὑπάρχον μόνως συναχθήσεται. ἐπεὶ οὖν τὸ α παντὶ τῷ γ ἐξ ἀνάγκης ὑποτιθέμεθα. ἦν δὲ καὶ τὸ β παντὶ τῷ γ ἐξ ἀνάγκης, καὶ τὸ γ ἄρα τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρξει. ἀντιστρέφει γάρ. εἰ τοίνυν τὸ μὲν α παντὶ τῷ γ ἐξ ἀνάγκης ὑπάρχει. τὸ δὲ γ τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρχει τὸ ἄρα α τινὶ τῷ β ἐξ ἀνάγκης ὑπάρξει. γίνεται γὰρ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος. ἀλλὰ τοῦτο ψεῦδος. ὑπέκειτο γὰρ τὸ α παντὶ τῷ β ὑπάρχειν μόνον. τὸ δὲ παντὶ ὑπάρχον, ἐνδέχεται μηδενὶ ὑπάρχειν καὶ τινὶ ἐξ ἀνάγκης ὑπάρχειν. οἷον ἀληθὲς τὸ λέγειν τῷ σώματι παντὶ τῷ κινεῖσθαι ὑπάρχειν. ἀλλὰ τοῦτο δύναται καὶ τινὶ ἀναγκαίως ὑπάρχειν.

τὸ

οἷον τῷ

τοίνυν Ἀριστοτέλης προάσει ἡ δεῖξις οὕτω· τὸ α φησὶν ἐξ ἀνάγκης παντὶ τῷ β ὑπαρχέτω· τὸ δὲ β παντὶ τῷ γ ὑπαρχέτω. λέγω φησὶν ὅτι τὸ α ἐξ ἀνάγκης παντὶ τῷ γ ὑπάρξει. ἐπεὶ γὰρ τὸ α, ἐξ ἀνάγκης παντὶ τῷ β, πᾶσιν ἄρα τοῖς μέρεσιν αὐτοῦ ὑπάρξει. ἓν δὲ τῶν μερῶν τοῦ β τὸ γ, τὸ ἄρα α ἐξ ἀνάγκης παντὶ τῷ γ ὑπάρξει ὅπερ ἔδει δεῖξαι. οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης. ἕτεροι δὲ συνηγοροῦντες ταύτῃ τῇ δόξῃ προστιθέασι καὶ ἄλλας δύο δείξεις. μίαν μέν, τὴν διὰ τοῦ ἀδυνάτου. οὕτω λέγομεν φησὶν ὅτι οὕτως ἐχουσῶν τῶν προτάσεων ἐξ ἀνάγκης παντὶ τῷ γ τὸ α ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντικείμενον· τὸ ἐνδέχεται μὴ παντὶ τῷ γ τὸ α ὑπάρχειν, ἵνα πάλιν ἀντιθῶμεν τρόπον, τρόπῳ ποσόν, ποσῷ, ποιόν, ποιῷ. ἐπεὶ τοίνυν τὸ μὲν α ἐνδέχεται μὴ παντὶ τῷ γ ὑπάρχειν. ὑπέκειτο δὲ καὶ τὸ β τῷ αὐτῷ γ ὑπάρχειν παντί, τὸ ἄρα α ἐνδέχεται μὴ παντὶ τῷ β ὑπάρχειν. ὑπέκειτο δὲ καὶ ἐξ ἀνάγκης παντί. τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ ἐνδέχεται μὴ παντὶ καὶ ἐξ ἀνάγκης παντὶ ὅπερ ἀδύνατον. ἴσμεν γὰρ ὅτι καὶ Ἀριστοτέλης καὶ πάντες οἱ ἄλλοι ὁμολογοῦσιν· καὶ τῆς μείζονος ἐνδεχομένης οὔσης μερικῆς ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ὑπαρχούσης, μερικὸν ἐνδεχόμενον ἀποφατικὸν συνάγεσθαι συμπέρασμα. προστιθέασι δὲ καὶ ἑτέραν δεῖξιν τοιαύτην. εἰ τῶν δύο φησὶ προτάσεων καθόλου ὑπαρχουσῶν ὑπάρχον ἐγίνετο τὸ συμπέρασμα. δῆλον ὅτι τῆς ἀναγκαίας οὔσης, οὐκέτι τὸ αὐτὸ ὤφειλε συνάγεσθαι συμπέρασμα ἀλλὰ ἀναγκαῖον. ταῦτα οἱ τῇ Ἀριστοτελικῇ συνηγοροῦντες δόξῃ. οἱ δὲ ἕτεροι αὐτοῦ ἐνίστανται πρὸς τὰ εἰρημένα. καὶ πρῶτον πρὸς τὴν Ἀριστοτελικὴν δεῖξιν οὕτως ἐξ αὐτῆς τῆς ἀναγκαίου καὶ τῆς τοῦ ὑπάρχοντος σημασίας. ἀναγκαῖον φησὶν ἐστὶν ὃ παντὶ καὶ ἀεὶ ὑπάρχει. ὑπάρχον δὲ ὅπερ ἐστὶ μὲν ἐν τῷ πράγματι. δύναται δὲ καὶ ἀπάγεσθαι αὐτοῦ. εἰ τοίνυν τὸ β τῷ γ οὐκ ἀναγκαίως ὑπάρχει. δύναται ἄρα χωρισθῆναι αὐτοῦ. εἰ δὲ χωρίζεται τοῦ β τὸ γ. οὐκ ἐξ ἀνάγκης ὑπάρξει τῷ γ τὸ α. εἰ γὰρ χωρισθείη τὸ μέσον τοῦ ἐσχάτου, οὐχ ἕξει τὸ ἄκρον δι' ὅτου συναφθῇ τῷ ἐσχάτῳ. ὥστε ὑπάρξει τῷ γ τὸ α, οὐκ ἀναγκαίως αὐτῷ ὑπάρξει. καὶ γὰρ κακῶς ὑπέθετο, φασίν, ὅτι εἰ τὸ α ἐξ ἀνάγκης παντὶ τῷ β ὑπάρχει. μέρος δὲ τοῦ β τὸ γ. τὸ ἄρα α ἐξ ἀνάγκης παντὶ τῷ γ ὑπάρξει. τοῖς μὲν γὰρ κυρίως αὐτοῦ μέρεσιν ἐξ ἀνάγκης ὑπάρχει πᾶσιν. οὐ μέντοι γε τοῖς ποτὲ μὲν οὖσιν αὐτοῦ μέρεσι ποτὲ δὲ μή. τὸ δὲ β τῷ γ παντὶ μὲν ὑπάρχει. οὐκ ἐξ ἀνάγκης δέ. ὥστε δύναται καὶ μὴ ὑπάρχειν. αὕτη γὰρ ἡ τοῦ ὑπάρχοντος φύσις. τὸ ὑπάρχον μέν, δυνάμενον δὲ καὶ μὴ ὑπάρχειν. εἰ τοίνυν δυνατὸν τὸ γ τοῦ β μὴ εἶναι μέρος· οὕτω γὰρ ἐδείχθη, πρόδηλον ὅτι οὐκ ἐξ ἀνάγκης παντὶ τῷ γ ὑπάρξει. ὅτι γὰρ τοῦτο οὕτως ἔχει, πρόδηλον καὶ ἐκ τῆς τῶν ὅρων παραθέσεως. ἔστωσαν γὰρ ὅροι· κίνησις· βάδισις· ἄνθρωπος. κίνησις μὲν γὰρ ἐξ ἀνάγκης πάσῃ βαδίσει ὑπάρχει. βάδισις δὲ παντὶ ἀνθρώπῳ ὑπαρχόντως. καὶ συνάγεται κίνησις παντὶ ἀνθρώπῳ ὑπαρχόντως. καὶ πάλιν· ἀρετή· φρόνησις· ἄνθρωπος. καὶ καθόλου δεῖ λαμβάνειν καὶ καθολικώτερόν τι καὶ μερικώτερον καί τι τούτων ὑπαρχόντως μετέχον. καὶ τὸ μὲν καθολικώτερον, τιθέναι μείζονα ὅρον. τὸ δὲ μετέχον ἐλάττονα. πρὸς δὲ τὴν τοῦ ἀδυνάτου δεῖξιν οὕτως ἐνίστανται. ὅτι τούτῳ τῷ τρόπῳ δείξομεν οὐ μόνον ἀναγκαῖον καὶ καταφατικὸν συναγόμενον. ἀλλὰ καὶ τὸ καθόλου καταφατικὸν ὑπάρχον. καὶ ἔτι τὸ καθόλου καταφατικὸν ἐνδεχόμενον. λέγω γάρ φησιν ὅτι συνάγεται συμπέρασμα τὸ α παντὶ τῷ γ ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ μὴ παντὶ ὑπάρχειν τὸ α τῷ γ. ἐπεὶ τοίνυν τὸ α τῷ γ οὐ παντὶ ὑπάρχει ὑπέκειτο δὲ τὸ β τῷ γ παντὶ ὑπάρχειν. τὸ ἄρα α οὐ παντὶ τῷ β ὑπάρξει. γίνεται γὰρ τὸ γ σχῆμα ἐκ τῶν δύο ὑπαρχουσῶν προτάσεων. ἦν δὲ καὶ ἐξ ἀνάγκης παντί. τὸ ἄρα α τῷ β καὶ ἐξ ἀνάγκης παντὶ ὑπάρχει. καὶ ὑπάρχει οὐ παντί, ὅπερ ἀδύνατον. ἀλλὰ δεῖ φασὶ καὶ τὸ καθόλου τὸ ἐνδεχόμενον δυνατὸν συναγαγεῖν. λέγω γὰρ ὅτι οὕτως ἐχουσῶν τῶν προτάσεων. συνάγεται τὸ α τῷ γ ἐνδέχεσθαι παντὶ ὑπάρχειν. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀνάγκῃ μὴ παντί. ἐπεὶ τοίνυν τὸ μὲν α τῷ γ ἀνάγκῃ μὴ παντὶ ὑπάρχει. τὸ δὲ β τῷ γ παντὶ ὑπάρχει. τὸ ἄρα α τῷ β ἢ ἐξ ἀνάγκης οὐ παντὶ ἢ ὑπάρχει οὐ παντί. τοῦτο γὰρ πέρας ἔχει ἔτι ἀμφισβητούμενον. ἦν δὲ καὶ ἐξ ἀνάγκης παντὶ τῷ β τὸ α. τὸ αὐτὸ ἄρα τῷ αὐτῷ καὶ ἐξ ἀνάγκης παντί. καὶ ὑπάρχει οὐ παντί. ἢ ἀνάγκῃ οὐ παντὶ ὅπερ ἀδύνατον. ὥστε φησὶν ἡ εἰς ἄτοπον ἀπαγωγὴ οὐδὲν μᾶλλον δείξει καθόλου καταφατικὸν ἀναγκαῖον συνάγεσθαι τὸ συμπέρασμα. ἢ ἐνδεχόμενον καθόλου καταφατικόν. ἢ ὑπάρχον καθόλου καταφατικόν. εἰ τοίνυν ἐκεῖνοι τὴν εἰς ἄτοπον δεῖξιν ψευδῆ δείκνυσιν διὰ τοῦ δεικνύναι τῇ αὐτῇ εἰς ἄτοπον δείξει ἐκ τῶν αὐτῶν προτάσεων πλείονα συνάγεσθαι συμπεράσματα. Ἀλλὰ ζητῆσαι ἄξιον πόθεν πλείονα συνήχθη τὰ συμπεράσματα τῇ αὐτῇ εἰς ἄτοπον δείξει. λέγομεν οὖν ὅτι ἕκαστον τῶν συμπερασμάτων καθόλου καταφατικὸν ἐλήφθη. εἶτα τὸ ἐναντίον ἐξ ὑποθέσεως μερικὸν ἀποφατικὸν καὶ ὁπωσοῦν τοῦ αὐτοῦ ποσοῦ ληφθέντος αὐτῶν τῶν συμπερασμάτων καὶ τῶν ὑποθέσεων, τὸ αὐτὸ ἄτοπον ἠκολούθησεν.





Ratio Aristotelis.
Prima ratio aliorum pro Arte.
Altera ratio pro Arte.
Contra rationē Artis.
Contra confirmationē ex absurdo.
quia mixtiones nondū sunt declaratæ.
Quæstio ἐν παρόδῳ explicata

δεχομένου πρὸς τὸ ἀναγκαῖον. ὥστε καλῶς ἐλέγετο μὴ δύνασθαι δείκνυσθαι τὸν τέταρτον συλλογισμὸν τοῦ δευτέρου σχήματος διὰ τὸ τῆς ἀδυνάτου ἀπαγωγῆς. ἀλλὰ δὲ καὶ ἐπὶ τοῦ πέμπτου τρόπου τοῦ γ΄ σχήματος συμβαίνει. δείκνυνται οὖν δι᾽ ἐκθέσεως. ἡ δὲ ἔκθεσις ἐνταῦθα τοιαύτη. ἐπὶ μὲν τοῦ τετάρτου ἐν δευτέρῳ σχήματι. εἰ τὸ ἀ τῷ β΄ παντὶ ἐξ ἀνάγκης. τῷ δὲ γ΄ τινὶ οὐχ ὑπάρξει ἐξ ἀνάγκης, ληπτέον μέρος τοῦ γ΄ ᾧ τὸ ἀ οὐχ ὑπάρχει οἷον τὸ δ΄ καὶ τακτέον οὕτω. εἰ τὸ ἀ οὐδενὶ τῷ δ΄. οὐδὲ τῷ δ΄ οὐδενὶ τῷ ἀ. τὸ δὲ ἀ παντὶ τῷ β΄. τὸ ἄρα δ΄ οὐδενὶ τῷ β΄. οὐκοῦν οὐδὲ τὸ β΄ οὐδενὶ τῷ δ΄. τὸ δὲ δ΄ τοῦ γ΄ ἐστὶ, τὸ ἄρα β΄ τινὶ τῷ γ΄ οὐχ ὑπάρξει. ἐπὶ δὲ τοῦ γ΄ σχήματος, εἰ τὸ ἀ τινὶ τῷ γ΄ οὐχ ὑπάρξει. τὸ δὲ β΄ παντὶ τῷ γ΄. τὸ ἀ τινὶ τῷ β΄ οὐχ ὑπάρξει. προσληπτέον οὖν μέρος τοῦ γ΄ ᾧ τὸ ἀ οὐχ ὑπάρξει οἷον τὸ δ΄ καὶ ἔσται οὕτως. εἰ τὸ ἀ τῷ δ΄ οὐδενί. τὸ δὲ β΄, παντὶ τῷ δ΄. εἴγε καὶ τὸ γ΄ παντὶ οὗ μέρος τὸ δ΄. ἀντιστρέφει δὲ ἡ β΄ καὶ ἔσται τὸ δ΄ τινὶ τῷ β΄. εἰ τοίνυν τὸ μὲν ἀ οὐδενὶ τῷ δ΄. τὸ δὲ δ΄ τινὶ τῷ β΄. τὸ ἀ τινὶ τῷ β΄ οὐχ ὑπάρξει. εἰκότως δὲ οἱ συλλογισμοὶ τοῦ ἀναγκαίου ὡσαύτως ἔχουσι τοῖς τοῦ ὑπάρχοντος. καὶ ὁμοίως αὐτοῖς δείκνυνται διότι καὶ αἱ ἀντιστροφαὶ τῶν προτάσεων τοῦ ἀναγκαίου, ὡσαύτως ἐλέγοντο ἔχειν ταῖς τοῦ ὑπάρχοντος. γίνεται δὲ τῶν συλλογισμῶν ἑκάτερος ἐν τῷ οἰκείῳ σχήματι. ἑκάτερος φησὶ τῶν εἰρημένων δύο συλλογισμῶν. διὰ τοῦ οἰκείου σχήματος δείκνυται τὸ ἴδιον συμπέρασμα συναγαγών. ἀλλ᾽ ὁ μὲν τέταρτος τοῦ δευτέρου σχήματος συλλογισμὸς διὰ τοῦ δευτέρου συλλογισμοῦ τοῦ αὐτοῦ δευτέρου σχήματος οὕτως. εἰ γὰρ τὸ ἀ παντὶ μὲν τῷ β΄ ὑπάρχει. τῷ δὲ γ΄ οὐ παντί. ὑπέκειτο δὲ μέρος τοῦ γ΄ τὸ δ΄ ᾧ οὐχ ὑπάρχει τὸ ἀ. τὸ ἄρα ἀ παντὶ μὲν τῷ β ὑπάρχει τῷ δὲ δ΄ οὐδενί. ὅπερ ἐστὶ δεύτερος τρόπος τοῦ δευτέρου σχήματος ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. τὸ ἄρα β΄ οὐδενὶ τῷ δ΄ ὑπάρξει ὅπερ ἐστὶ μέρος τοῦ γ΄. τὸ ἄρα β΄ οὐ παντὶ τῷ γ΄ ὑπάρξει. ὁμοίως δὲ καὶ ὁ πέμπτος τοῦ γ΄ σχήματος διὰ τοῦ δευτέρου τρόπου τοῦ αὐτοῦ γ΄ σχήματος δείκνυται οὕτως. εἰ γὰρ τὸ μὲν ἀ ἐξ ἀνάγκης οὐ παντὶ τῷ γ΄. τὸ δὲ β΄ ἐξ ἀνάγκης παντί. λέγω ὅτι τὸ ἀ τῷ β΄ ἐξ ἀνάγκης οὐ παντὶ ὑπάρχει. ἐπεὶ γὰρ τὸ ἀ ἐξ ἀνάγκης οὐ παντὶ τῷ γ΄ ὑπάρχει. εἰλήφθω μέρος τι τοῦ γ΄. ᾧ ἐξ ἀνάγκης οὐχ ὑπάρχει τὸ ἀ. οἷον τὸ ἐ, τὸ ἄρα ἀ οὐδενὶ τῷ ἐ ἐξ ἀνάγκης ὑπάρχει. καὶ ἐπεὶ τὸ β΄ ἐξ ἀνάγκης παντὶ τῷ γ΄ ὑπάρχει. ἐν δὲ τῶν μερῶν τοῦ γ΄ τὸ ἐ. τὸ ἄρα β΄ παντὶ τῷ ἐ ὑπάρχει. εἰ τοίνυν τὸ μὲν ἀ οὐδενὶ τῷ ἐ. τὸ δὲ β΄ παντὶ ἐξ ἀνάγκης ὑπάρχει. δῆλον ὅτι γέγονε πάλιν τὸ γ΄ σχῆμα ὁ δεύτερος τρόπος. ὥστε ἡ ἔκθεσις ἐπ᾽ ἀμφοτέρων τῶν συλλογισμῶν τὸ οἰκεῖον πάλιν ἐποίησε σχῆμα. ἐπισημαίνεσθαι δὲ ἄξιον ἐν πᾶσι τούτοις, πῶς λοιπὸν μετὰ τὴν ἀπόδειξιν τῶν τριῶν σχημάτων ἀδιαστρόφως ἐχρήσατο τοῖς στοιχείοις ὡς πρότερον κατὰ τὴν τάξιν τῶν σχημάτων καὶ τῶν ὅρων. καὶ τοῖς στοιχείοις χρώμενος.

» ΣΥΜΒΑΙΝΕΙ δέ ποτε καὶ τῆς ἑτέρας προτάσεως ἀναγκαίας οὔσης, ἀναγκαῖον γίνεσθαι
» τὸν συλλογισμόν. πλὴν οὐχ ὁποτέρας ἔτυχεν. ἀλλὰ τῆς πρὸς τὸ μεῖζον ἄκρον. οἷον εἰ τὸ μὲν ἀ τῷ β΄
» ἐξ ἀνάγκης εἴληπται ὑπάρχον ἢ μὴ ὑπάρχον. τὸ δὲ β΄ τῷ γ΄ ὑπάρχον μόνον. οὕτω γὰρ εἰλημμένων τῶν
» προτάσεων. ἐξ ἀνάγκης τὸ ἀ τῷ γ΄ ὑπάρξει ἢ οὐχ ὑπάρξει. ἐπεὶ γὰρ τὸ ἀ παντὶ τῷ β΄ ἐξ ἀνάγκης ὑ-
» πάρχει, ἢ οὐχ ὑπάρχει ~~[illegible]~~. τὸ δὲ γ΄ τι τῶν β΄ ἐστὶ, φανερὸν ὅτι καὶ τὸ γ΄ ἐξ ἀνάγκης ἔσται θάτερον τού-
» των ~~ἢ καταφατικὸν ἢ ἀποφατικόν~~.

Παραδοὺς τὰς προτάσεις τάς τε τοῦ ὑπάρχοντος καὶ τὰς τοῦ ἀναγκαίου, ἐντεῦθεν βούλεται μίξαι ταύτας καὶ βούλεται ~~αὐτὰς~~ ἀεὶ τῇ μείζονι προτάσει ἀκολουθεῖν τὸ συμπέρασμα. οἷον εἰ ἡ μὲν μείζων ἐστὶν ἀναγκαία, ἡ δὲ ἐλάττων ὑπάρχουσα, ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα. εἰ δὲ ἔμπαλιν ἡ μείζων ὑπάρχουσα, ἡ δὲ ἐλάττων ἀναγκαία, ὑπάρχον. παραδίδωσι δὲ πρῶτον ὡς εἴωθε τὰς ἐξ ἀμφοτέρων τῶν προτάσεων καθόλου, πρόδηλον δὲ ὅτι καθόλου οὐσῶν τῶν προτάσεων. ὀκτὼ γίνονται συζυγίαι. τέσσαρες μὲν συλλογιστικαί, τέσσαρες δὲ ἀσυλλόγιστοι. εἰ γὰρ τῶν δύο ὑπαρχουσῶν οὐσῶν καθόλου. τέσσαρες ἐγίνοντο συζυγίαι. ὁμοίως δὲ καὶ ἀναγκαίων, δῆλον ὅτι μιγνυμένων τούτων. ὀκτὼ γενήσονται. εἰ γὰρ ἡ μείζων ὑπάρχει ἀναγκαία, ἡ δὲ ἐλάττων ὑπάρχουσα, τέσσαρες γίνονται συζυγίαι κατὰ τὸ ποιὸν ποικιλλόμεναι. ἢ ἀμφότεραι γάρ εἰσιν ἀποφατικαί. ἢ ἀμφότεραι καταφατικαί. ἢ ἡ μὲν, καταφατικὴ ἡ δὲ ἀποφατική. καὶ τοῦτο διχῶς. ὁμοίως δὲ καὶ εἰ ἀνάπαλιν ὦσιν, ἡ μὲν μείζων ὑπάρχουσα ἡ δὲ ἐλάττων ἀναγκαία, πάλιν γίνονται ἄλλαι τέσσαρες κατὰ ποιὸν ποικιλλόμεναι. αἱ πᾶσαι ἄρα εἰσὶν ὀκτώ. πρότερον οὖν ἐκτίθεται τὰς ἐκ δύο καθόλου καταφατικῆς τῆς μείζονος ἀναγκαίας, τῆς δὲ ἐλάττονος ὑπαρχούσης. καὶ ὁ μὲν φιλόσοφος ὥσπερ εἴπομεν βούλεται ἀεὶ τῇ μείζονι ἀκολουθεῖν τὸ συμπέρασμα. διὸ καὶ ἐνταῦθα οὕτως ἐχουσῶν τῶν προτάσεων, ἀναγκαῖόν φησι συνάγεσθαι τὸ συμπέρασμα. οἱ δὲ ἑταῖροι αὐτοῦ οἱ περὶ Θεόφραστον καὶ Εὔδημον καὶ ἔτι οἱ ἀπὸ Πλάτωνος, οὔ φασιν οὕτως ἔχειν οὐδὲ πάντως τῇ μείζονι ἀκολουθεῖν τὸ συμπέρασμα. ἀλλ᾽ ὑπάρχον ἀεὶ γίνεσθαι. ἄξιον οὖν ἐκθέσθαι πρότερον τήν τε ἀριστοτελικὴν δόξαν καὶ ὅσα οἱ τῷ φιλοσόφῳ συνηγοροῦντες εἰς ἀπόδειξιν τῆς τοιαύτης προστιθέασι. εἶτα καὶ ἅπερ οἱ τῇ ἐναντίᾳ προϊστάμενοι δόξῃ φασί, καὶ οὕτω τὰ ἱκανὰ διαστῆσαι τῷ λόγῳ. τῇ

ταύτῃ

Theophrastus, Eudemus, & Platonici ab Aristotele dissentiunt.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟ Α ΤΩΝ ΠΡΟΤΕΡΩΝ ΑΝΑΛΥΤΙΚΩΝ. ΒΙΒΛΙΟΝ β΄.

ΕΠΕΙ δ' ἕτερόν ἐστιν ὑπάρχειν τε καὶ ἐξ ἀνάγκης ὑπάρχειν, καὶ ἐνδέχεσθαι ὑπάρχειν. πολλὰ γὰρ ὑπάρχει μὲν, οὐ μέντοι ἐξ ἀνάγκης. τὰ δ' οὔτ' ἐξ ἀνάγκης, οὔθ' ὑπάρχει ὅλως. ἐνδέχεται δ' ὑπάρχειν, δῆλον ὅτι καὶ συλλογισμὸς ἑκάστου τούτων, ἕτερος ἔσται. καὶ οὐχ ὁμοίως ἐχόντων τῶν ὅρων. ἀλλ' ὁ μὲν ἐξ ἀναγκαίων, ὁ δ' ἐξ ὑπαρχόντων. ὁ δ' ἐξ ἐνδεχομένων.

Πληρώσας περὶ τῶν τριῶν σχημάτων τῶν ὑπαρχουσῶν προτάσεων τὸν λόγον, μέτεισιν ἐπὶ τὰς τοῦ ἀναγκαίου προτάσεις. καὶ εἰκότως δευτέραν αὐταῖς ἐπιτίθησι τάξιν. ἐπειδὴ γὰρ τὰ μὲν τῶν ὄντων ἀεὶ ὡσαύτως ἔχουσι καὶ πάσῃ ὑπάρχουσι. τὰ δὲ, ὑπάρχει μὲν, οὐκ ἐξ ἀνάγκης δὲ ὑπάρχει ἀλλὰ δύναται καὶ μὴ ὑπάρχειν, τὰ δὲ οὔτε ὑπάρχει οὔτε ἐξ ἀνάγκης ὑπάρχει. δύναται δὲ ὅμως ὑπάρξαι καὶ μὴ ὑπάρξαι. ὧν τὸ μὲν ἐστὶ τοῦ ἀναγκαίου. τὸ δὲ, τοῦ ὑπάρχοντος. τὸ δὲ τοῦ ἐνδεχομένου. διὰ τοῦτο τὸν μὲν περὶ τῶν ὑπαρχουσῶν προτάσεων πρῶτον ἐποιήσατο λόγον. ὡς ἁπλούστερον. τῷ γὰρ ὑπάρχοντι προσθέντες τινά. οἷον τὸ ἀεὶ καὶ παντὶ, ποιεῖ τὸ ἀναγκαῖον. μέσον δὲ τάττει τὸν περὶ τῶν ἀναγκαίων συζυγιῶν λόγον, ὡς μέσην ἐχουσῶν τάξιν τῶν τε ἁπλῶς ὑπαρχουσῶν καὶ τῶν ἐνδεχομένων. ὑπάρχουσι μὲν γὰρ καὶ αὗται. ἀλλ' ἀεὶ καὶ ἀναγκαίως. αἱ δὲ τοῦ ἐνδεχομένου οὐχ ὑπάρχουσι μὲν, δύνανται δὲ ὑπάρξαι καὶ μὴ ὑπάρξαι. διὰ τοῦτο μὲν οὖν δεύτερον τὸν περὶ τῶν ἀναγκαίων συζυγιῶν ποιεῖται λόγον. εἰ δὲ ἕτεραι μὲν αἱ ὑπάρχουσαι προτάσεις. ἕτεραι δὲ αἱ διὰ τοῦ ἀναγκαίου καὶ αἱ ἐνδεχόμεναι. δῆλον, ὅτι ἑτέρων οὐσῶν τῶν προτάσεων, ἕτερον ἔσται καὶ τὸ συμπέρασμα. ἐκ μὲν γὰρ ὑπαρχουσῶν προτάσεων, ὑπάρχον γίνεται τὸ συμπέρασμα. ὁμοίως δὲ καὶ ἐξ ἀναγκαίων, ἀναγκαῖον. καὶ ἐξ ἐνδεχομένων, ἐνδεχόμενον.

ΕΠΙ μὲν οὖν τῶν ἀναγκαίων, σχεδὸν ὁμοίως ἔχει καὶ ἐπὶ τῶν ὑπαρχόντων. ὡσαύτως γὰρ τιθεμένων τῶν ὅρων ἔν τε τῷ ὑπάρχειν, καὶ τῷ ἐξ ἀνάγκης ὑπάρχειν, ἢ μὴ ὑπάρχειν, ἔσται τε καὶ οὐκ ἔσται συλλογισμός. πλὴν διοίσει τῷ προσκεῖσθαι τοῖς ὅροις τὸ ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν. τό, τε γὰρ στερητικὸν ὡσαύτως ἀντιστρέφει, καὶ τὸ ἐν ὅλῳ εἶναι καὶ τὸ κατὰ παντὸς ὁμοίως ἀποδώσομεν.

Ὥσπερ φησὶν ἔχουσιν αἱ τοῦ ὑπάρχοντος προτάσεις, οὕτως ἔχουσι καὶ αἱ τοῦ ἀναγκαίου. αἱ αὐταὶ γάρ εἰσιν ἐν τούτοις συλλογιστικαί τε καὶ ἀσυλλόγιστοι ἐν ἑκάστῳ τῶν σχημάτων. καὶ ὡσαύτως ἀλλήλαις τὰς δείξεις ἔχουσι. διαφέρουσι δὲ μόνον τῷ τὰς μὲν μετὰ τρόπου εἶναι. τὰς δὲ, ἄνευ τρόπου. προσέθηκε δὲ σχεδὸν, διὰ τὸν τέταρτον συλλογιστικὸν τοῦ δευτέρου σχήματος τρόπον καὶ τὸν πέμπτον τοῦ γ΄. ἔστι γὰρ ἐν τούτοις διαφορὰ τῶν ἀναγκαίων πρὸς τὰ ὑπάρχοντα ὡς ἑξῆς ἡμῖν ἐπιδείξει. τό, τε γὰρ στερητικὸν ὡσαύτως ἀντιστρέφει. καίτοι οὐ μόνον τὸ στερητικὸν ἀλλὰ καὶ τὸ κατηγορικόν. τί οὖν μὴ καὶ τούτου ἐμνήσθη. ἐροῦμεν οὖν ὅτι τὸ μὲν κατηγορικὸν, ἐπὶ πάντων τῶν τρόπων ὁμοίως ἀντιστρέφει καὶ θαυμαστὸν οὐδὲν εἰ καὶ ἐπὶ τούτων. τὸ δέ γε στερητικὸν, οὐχ ὁμοίως ἐπὶ τοῦ ἐνδεχομένου ὡς καὶ αὐτός φησι. διὸ ταύτης μόνης τῆς ἀντιστροφῆς ἐμνήσθη ὡς ταῖς δύο μόναις τρόποις ὑπαρχούσης. τῆς δὲ ἄλλης ὡς κοινῆς ἁπάντων παρῆκεν.

ΕΝ μὲν οὖν τοῖς ἄλλοις, τὸν αὐτὸν τρόπον δειχθήσεται διὰ τῆς ἀντιστροφῆς. ὅτι τὸ συμπέρασμα ἀναγκαῖον ὥσπερ ἐπὶ τοῦ ὑπάρχειν.

Ὁμοίως γὰρ ἢ κατ' εὐθεῖαν δειχθήσονται ἢ δι' ἀντιστροφῆς. οἵ, τε ἀναγκαῖοι καὶ οἱ ὑπάρχοντες.

ΕΝ δὲ τῷ μέσῳ σχήματι, ὅταν ᾖ τὸ μὲν καθόλου καταφατικὸν, τὸ δ' ἐν μέρει στερητικόν. καὶ πάλιν ἐν τῷ τρίτῳ, ὅταν ᾖ τὸ μὲν καθόλου καταφατικὸν, τὸ δ' ἐν μέρει στερητικὸν, οὐχ ὁμοίως ἔσται ἡ ἀπόδειξις. ἀλλ' ἀνάγκη ἐκθεμένους ᾧ τινι ἑκάτερον μὴ ὑπάρχει, κατὰ τούτου ποιεῖν τὸν συλλογισμόν. ἔσται γὰρ ἀναγκαῖος καὶ ἐπὶ τούτῳ. εἰ γὰρ καὶ κατὰ τοῦ ἐκτεθέντος ἐστὶν ἀναγκαῖος, καὶ κατ' ἐκείνου τινός. τὸ γὰρ ἐκτεθὲν ὅπερ ἐκεῖνό τί ἐστι. γίνεται δὲ τῶν συλλογισμῶν ἑκάτερος ἐν τῷ οἰκείῳ σχήματι.

Τῶν ἄλλων φησὶν ὁμοίως ἐχόντων κατὰ παντὸς ἐπί τε τοῦ ἀναγκαίου καὶ τοῦ ὑπάρχοντος. μόνος ὁ τέταρτος ἐν β΄ σχήματι καὶ ἐν γ΄ ὁ πέμπτος διαφέρουσιν ἐν τῷ ὑπάρχοντι τρόπῳ, καὶ ἐν τῷ ἀναγκαίῳ. ἐν μὲν γὰρ τῷ ὑπάρχοντι. δι' ἀντιστροφῶν μὲν οὐκ ἐδείκνυτο, ἀλλὰ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς. ἐπὶ μέντοι τοῦ ἀναγκαίου, οὐ δυνατὸν διὰ τῆς τοῦ ἀδυνάτου δείξεως τούτους ἀποδεῖξαι. οἷον ὡς ἐπὶ τοῦ τετάρτου συλλογισμοῦ τοῦ δευτέρου σχήματος προίτω ὁ λόγος. ἔστω γὰρ τὸ α΄ παντὶ τῷ β΄ ἐξ ἀνάγκης. τῷ δὲ γ΄ ἐξ ἀνάγκης μὴ παντί. λέγω δὲ ὅτι τὸ β΄ ἐξ ἀνάγκης οὐ παντὶ ὑπάρξει. τοῦτο δὲ ὥσπερ εἶπον. οὐ δυνατὸν τῇ εἰς ἄτοπον ἀπαγωγῇ δεῖξαι, λέγοντας ὅτι εἰ ψεῦδός ἐστι τὸ ἐξ ἀνάγκης μὴ παντὶ ὑπάρχειν. ἔσται ἀληθὲς τὸ, ὅτι τῷ γ΄ ἐνδέχεται παντὶ τῷ β΄ ὑπάρχειν. ἀλλὰ μὴν καὶ τὸ α΄ τῷ β΄ παντὶ ἐξ ἀνάγκης ὑπάρχει. ἀλλὰ ποῖον ἀκολουθεῖ τὸ συμπέρασμα ἀγνοοῦμεν. γίνεται γὰρ ἡ συζυγία ἐν πρώτῳ σχήματι ἐκ τῆς μείζονος καθόλου καταφατικῆς ἀναγκαίας. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς ἐνδεχομένης ἥτις ποῖον συνάγει συμπέρασμα. οὔπω ἴσμεν διδάξαντος τὸν φιλόσοφον, πρὸ τῆς μίξεως τοῦ ἐν-

Cur de necessariis secundo loco disserat.

Cur prius περὶ ὑπαρχουσῶν.

Sit syllogismus in 2a figura, hoc modo. Omnem hominem esse animal, necessarium est: Quoddam album non esse animal, necesse est: ergo quoddam album non esse hominem necesse est. Si negetur conclusio, non poterimus uti τῇ εἰς ἄτοπον ἀπαγωγῇ. sumenda enim esset eadem maior, quae prius: deinde pro minore ea quae repugnat ἀντιφατικῶς conclusioni negatae, nempe haec, Omne album esse hominem contingit: (αὕτη γὰρ ἀντίκειται καὶ κατὰ τὸ ποσὸν, καὶ κατὰ τὸ ποιὸν, καὶ κατὰ τρόπον, ἥνπερ ἐλέγχει πρόληψιν ἀληθῶς ἀντίφασιν εἶναι) nondum autem edocti sumus, in prima figura, ex maiore καθόλου necessaria, καὶ ἐλάττονος καθόλου ἐνδεχομένης, cuiusmodi συμπέρασμα colligatur.

Δείξας τοὺς ἐν τῷ β΄ σχήματι ἀναγομένους εἰς τοὺς ἐν τῷ α΄ σχήματι καθόλου, νῦν βούλεται δεῖξαι ὅτι καὶ οἱ ἐν τῷ α΄ σχήματι μερικοὶ συλλογισμοί, καὶ αὐτοὶ ὑπὸ τοὺς καθόλου ἀνάγονται. οὐκ αὐτόθεν οὐδὲ δι' ἑαυτῶν. ἀλλὰ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἀναφερόμενοι ἐπὶ τοὺς καθόλου τοῦ β΄ σχήματος. καὶ δι' ἐκείνου ἐπὶ τοὺς καθόλου τοὺς ἐν τῷ α΄ σχήματι. τοῦτο δὲ οὐχ ὡς ἁπλῶς. δείκνυνται γὰρ καὶ δι' ἑαυτῶν δεικτικῶς συλλογιστικοὶ ὄντες. δείκνυνται δὲ καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐπὶ τὸ β΄ ἀναγόμενοι σχῆμα. καὶ δι' ἐκείνου, ἐπὶ τοὺς ἐν τῷ α΄ σχήματι καθόλου. ὁ μὲν οὖν πρότερος αὐτῶν ἐκ καθόλου καταφατικῆς τῆς μείζονος τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. συνάγει μὲν τῇ κατ' εὐθεῖαν δεῖξει μερικὸν καταφατικὸν οὕτως. τὸ α΄ παντὶ τῷ β΄. τὸ β΄ τινὶ τῷ γ΄. καὶ τὸ α΄ τινὶ τῷ γ΄. συνάγεται δὲ καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ οὕτως. εἰ γὰρ ψεῦδος τὸ, τινί. ἀληθὲς τὸ μηδενὶ τῷ γ΄ τὸ α΄. τῷ δὲ β΄ παντὶ ὑπῆρχεν. γίνεται οὖν τοῦ δευτέρου σχήματος ὁ πρῶτος τρόπος. ὥστε καὶ τὸ β΄ οὐδενὶ τῷ γ΄ ὑπάρξει. ὑπέκειτο δὲ καὶ τινὶ ὅπερ ἀδύνατον. ὥστε ἐδείχθη καὶ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ διὰ τοῦ β΄ σχήματος. τὸ δὲ β΄ σχῆμα, ἀνήγετο ὑπὸ τοὺς ἐν τῷ α΄ καθόλου. καὶ οἱ ἐν τῷ α΄ ἄρα μερικοὶ ὑπὸ τοὺς ἐν τῷ αὐτῷ σχήματι καθόλου ἀνάγονται διὰ τοῦ δευτέρου. ὡσαύτως δὲ καὶ ὁ ἕτερος τοῦ α΄ σχήματος μερικὸς εἰς τοὺς καθόλου ἀναχθήσεται. εἰ γὰρ τὸ α΄ οὐδενὶ τῷ β΄. τὸ δὲ β΄ τινὶ τῷ γ΄. τὸ ἄρα α΄ οὐ παντὶ τῷ γ΄. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντὶ τῷ γ΄ τὸ α΄. εἰ τοίνυν τὸ α΄ τῷ μὲν β΄ μηδενὶ τῷ δὲ γ΄ παντί. γίνεται πάλιν τὸ δεύτερον σχῆμα. τὸ β΄ ἄρα οὐδενὶ τῷ γ΄. ἀλλ' ὑπέκειτο τινί. καὶ οὗτος ἄρα διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, εἰς τὸ β΄ ἀνήχθη σχῆμα. τοῦτο δὲ εἰς τοὺς ἐν τῷ α΄ καθόλου. οὕτως ἄρα καὶ οἱ ἐν α΄ μερικοί, ὑπὸ τοὺς καθόλου ἀνάγονται.

ΟΙ δ' ἐν τῷ τρίτῳ καθόλου μὲν ὄντων τῶν ὅρων, εὐθὺς ἐπιτελοῦνται δι' ἐκείνων τῶν συλλογισμῶν, τῶν ἐν τῷ πρώτῳ σχήματι.

Δείξας ἀμφότερα τὰ σχήματα ὑπὸ τοὺς ἐν τῷ α΄ καθόλου ἀναγόμενα· ἑξῆς πειρᾶται καὶ τοὺς ἐν τῷ γ΄ σχήματι συλλογισμοὺς ὑπ' ἐκείνους δεῖξαι. καὶ λέγει ὅτι οἱ μὲν δύο οἱ ἐκ καθόλου τῶν ὅρων ὄντων εὐθὺς ἀνάγονται. τὸ δὲ εὐθὺς οὐχ ὅτι καὶ αὐτοὶ τέλειοι ὡς ἐκεῖνοι ἀλλ' ὅτι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ οὐ δι' ἄλλων πρῶτον περαιωθέντες δι' ἐκείνων εἰς τοὺς ἐν α΄ καθόλου ἀνάγονται ὥσπερ οἱ μερικοὶ τοῦ α΄ σχήματος τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐποίουν τὸ β΄ σχῆμα. καὶ δι' ἐκείνου εἰς τοὺς καθόλου ἀνήγοντο. ἀλλὰ ἀμέσως δι' αὐτῶν περαιοῦνται. ἐπειδὴ γὰρ ὁ μὲν καταφατικὸν ὁ δὲ ἀποφατικὸν ἐπὶ μέρους συνάγουσιν. δῆλον ὅτι ληφθέντα τὰ ἀντικείμενα τοῦ γ΄ λαμβανέσθω. τῷ μὲν ἐπὶ μέρους καταφατικῷ τὸ καθόλου ἀποφατικὸν ἀντίκειται. τῷ δὲ ἐπὶ μέρους ἀποφατικῷ τὸ καθόλου καταφατικόν. ὥστε ἐπεὶ ἐν ἀμφοῖν οἱ δύο ὅροι καθόλου εὑρίσκονται, παραληφθήσεται συμπέρασμα. τῷ μὲν πρώτῳ, καθόλου ἀποφατικόν. τῷ δὲ δευτέρῳ καθόλου καταφατικόν. ἅπερ ποιεῖ τοὺς δύο καθόλου ἐν α΄ σχήματι. ὥστε δῆλον ὅτι οὗτοι ἀμέσως ἐπ' ἐκείνων γεγόνασι.

ΟΤΑΝ δ' ἐν μέρει ληφθῶσι, διὰ τῶν ἐν μέρει συλλογισμῶν, τῶν ἐν τῷ πρώτῳ σχήματι. οὗτοι δὲ ἀνήχθησαν εἰς ἐκείνους. ὥστε καὶ οἱ ἐν τῷ τρίτῳ σχήματι, οἱ κατὰ μέρος. φανερὸν οὖν ὅτι πάντες ἀναχθήσονται εἰς τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμούς.

Οἱ μὲν οὖν καθόλου φησὶν ἐν τῷ γ΄ σχήματι. αὐτόθεν εἰς τὸ α΄ ἀνάγονται σχῆμα διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς. οἱ δὲ ἐν μέρει, οὐχ οὕτως ἀλλ' ἐπειδὴ καὶ ἡ ἀντιστροφὴ τούτων καὶ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ διὰ τῶν μερικῶν τῶν ἐν τῷ α΄ ἐπιτελεῖται. οὗτοι δὲ ἀνήγοντο εἰς τοὺς καθόλου τοῦ ἰδίου σχήματος διὰ τοῦ δευτέρου. δῆλον ὅτι καὶ οἱ ἐν τῷ γ΄ μερικοὶ ἀναχθήσονται ὑπὸ τοὺς ἐν τῷ πρώτῳ καθόλου διὰ τῶν ἐν α΄ μερικῶν. καὶ δι' ἐκείνων, διὰ τοῦ β΄ σχήματος. παραδείγματος δὲ χάριν ὑποκείσθω ἡμῖν ὁ ἐκ δύο καταφατικῶν μερικῶν. τὸ γὰρ α΄ παντὶ τῷ β΄. τὸ δὲ γ΄ τινὶ τῷ β΄ καὶ τὸ συμπέρασμα τὸ α΄ τινὶ τῷ γ΄. εἰ γὰρ τὸ γ΄ τινὶ τῷ β΄. καὶ τὸ β΄ τινὶ τῷ γ΄. εἰ τοίνυν τὸ α΄ παντὶ τῷ β΄. τὸ δὲ β΄ τινὶ τῷ γ΄. δῆλον ὅτι γέγονεν ὁ μερικὸς τοῦ α΄ σχήματος. ὡσαύτως εἰς τὸν μερικὸν ἀνάγεται καὶ διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς. εἰ γὰρ ψεῦδος τὸ τινὶ τῷ γ΄ τὸ α΄. ἀληθὲς, τὸ οὐδενί. εἰ τοίνυν τὸ α΄ οὐδενὶ τῷ γ΄. τὸ δὲ β΄ τινὶ τῷ α΄. γέγονε πάλιν ὁ μερικὸς τοῦ α΄ σχήματος. οὗτοι δὲ εἰς τοὺς καθόλου ἀνήγοντο διὰ τοῦ β΄ σχήματος. οὐκοῦν καὶ οἱ τοῦ γ΄ μερικοὶ διὰ τούτων, εἰς τοὺς καθόλου τοῦ α΄ ἀναχθήσονται.

ΟΙ μὲν οὖν τῶν συλλογισμῶν ὑπάρχειν, ἢ μὴ ὑπάρχειν δεικνύντες, εἴρηνται πῶς ἔχουσι καὶ καθ' ἑαυτοὺς οἱ ἐκ τοῦ αὐτοῦ σχήματος, καὶ πρὸς ἀλλήλους οἱ ἐκ τῶν ἑτέρων σχημάτων.

Τριῶν ὄντων τῶν τρόπων ἀναγκαίου τε καὶ ὑπάρχοντος καὶ ἐνδεχομένου συμπεραίνειν τὰ εἰρημένα, ὥσπερ ὑπομιμνήσκει ἡμᾶς ὅτι περὶ τοῦ ὑπάρχοντος, φησὶ πάντες οἱ ἐκτεθέντες συλλογισμοί μᾶλλον ἀλλ' ἐπὶ τοὺς ἀναγκαίους μεταβαίνει. εἴρηται οὖν φησὶ καὶ ἰδίᾳ ἕκαστον τῶν σχημάτων πῶς ἔχει. οἷον ὅτι οὐ δι' ἀντιστροφῆς οἱ ἐν τῷ α΄ δείκνυνται καὶ ποῖα ἕκαστος συνάγει συμπεράσματα. οἱ δὲ ἐν τῷ β΄, διὰ τοῦ ἀδυνάτου καὶ δι' ἀντιστροφῆς. οἱ δὲ ἐν τῷ γ΄, διά τε τούτων καὶ δι' ἐκθέσεως καὶ εἴ τι ἄλλο ἴδιον ἔχουσι. εἴρηται δὲ καὶ ὅπως ἔχουσι πρὸς ἀλλήλους οἱ ἐκ τῶν τριῶν σχημάτων. τουτέστιν ὅσοι αὐτοῖς κατὰ τὸ ὑπάρχει ἢ οὐχ ὑπάρχει.

καὶ τοῖς ἀποφατικαῖς. γίνονται δὲ συλλογιστικαὶ συζυγίαι ἔχουσαι τὴν ἑτέραν τῶν προτάσεων μερικὴν ἀποφατικὴν ὥσπερ ἐν τῷ τετάρτῳ τρόπῳ τοῦ β΄ σχήματος. καὶ ἐν τῷ ε΄ τοῦ τρίτου. διατί οὖν εἶπεν ὅτι ἀδιόριστον ἐὰν ἀντὶ τοῦ μερικοῦ ληφθῇ τοῦ κατηγορικοῦ μόνον φησὶν, οὐκέτι δὲ καὶ τοῦ ἀποφατικοῦ. φημὶ οὖν ὅτι ἤτοι διὰ τοῦ κατηγορικοῦ καὶ τὸ ἀποφατικὸν ἐδήλωσεν. ἢ ὅτι ἐν τῷ α΄ σχήματι ὅλως οὐκ ἐνδέχεται μερικὴν ἀποφατικὴν περιληφθῆναι πρότασιν. ὅθεν οὐδὲ ἐν ταῖς λοιπαῖς χολίαις ἔχουσαι τὸ μερικὸν ἀποφατικὸν δι' ἀντιστροφῆς δειχθῆναι ἠδύνατο. ἀλλὰ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ.

ΦΑΝΕΡΟΝ δὲ καὶ ὅτι πάντες οἱ ἀτελεῖς συλλογισμοὶ, τελειοῦνται διὰ τοῦ πρώτου σχήματος. ἢ γὰρ δεικτικῶς, ἢ διὰ τοῦ ἀδυνάτου, περαίνονται ἅπαντες. ἀμφοτέρως δὲ γίνεται τὸ πρῶτον σχῆμα. καὶ δεικτικῶς μὲν τελειουμένων. ὅτι διὰ τῆς ἀντιστροφῆς ἐπεραίνοντο πάντες. ἡ δ' ἀντιστροφὴ τὸ πρῶτον ἐποίει σχῆμα. διὰ δὲ τοῦ ἀδυνάτου δεικνυμένων. ὅτι τεθέντων τοῦ ψεύδους, ὁ συλλογισμὸς γίνεται διὰ τοῦ α΄ σχήματος. οἷον ἐν τῷ τελευταίῳ σχήματι. εἰ τὸ α΄ καὶ τὸ β΄ παντὶ τῷ γ΄ ὑπάρχει. ὅτι τὸ α΄ τινὶ τῷ β΄ ὑπάρχει. εἰ γὰρ μηδενὶ τὸ α΄ τῷ β΄, τὸ δὲ β΄ παντὶ τῷ γ΄, οὐδενὶ τῷ γ΄ τὸ α΄. ἀλλ' ἦν παντί. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

E ξυμνῆσαι τὸ α΄ σχῆμα βούλεται. διότι δι' αὐτοῦ τὰ λοιπὰ σχήματα, τὸ τέλειον ἴσχει. οἱ μὲν γὰρ ἐν τῷ β΄ σχήματι τελειοῦνται ἀντιστραφείσης τῆς μείζονος τῆς καθόλου καταφατικῆς καὶ ποιούσης τὸ α΄ σχῆμα. οἱ δὲ ἐν τῷ γ΄, τῆς ἐλάττονος ἀντιστρεφομένης τῆς καταφατικῆς. ὅτι δὲ καὶ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ διὰ τοῦ α΄ σχήματος τελειοῖ τὸν συλλογισμὸν, αὐτὸς ἐπάγει παραδείγματα τοῦ γ΄ σχήματος.

ἜΣΤΙ δὲ καὶ ἀναγαγεῖν πάντας τοὺς συλλογισμοὺς, εἰς τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμούς.

F πρὸ μὲν οὖν τούτου ἐδείκνυεν τοὺς ἐν α΄ σχήματι συλλογισμοὺς πάντας πάντων τῶν ἄλλων τελειοτέρους. νῦν δὲ δείκνυσι τοὺς δύο τοὺς πρώτους. καὶ τῶν λοιπῶν τῶν ἐν αὐτῷ τῷ σχήματι τελειοτέρους ὄντας, αὐτοὺς ὡς εἰς ἀπόδειξιν χρησίμους διὰ τὸ καθόλου. τούτοις γὰρ ὁ ἀποδεικτικὸς κέχρηται. μᾶλλον δὲ τῷ καταφατικῷ. σπανίως δὲ καὶ τῷ ἀποφατικῷ. διότι κατασκευάζει μὲν ὡς ἐπὶ τὸ πολὺ ὁ ἀποδεικτικός. σπανίως δὲ καὶ ἀνασκευαῖς κέχρηται.

ΟΙ μὲν γὰρ ἐν τῷ δευτέρῳ, φανερὸν ὅτι δι' ἐκείνων τελειοῦνται. πλὴν οὐχ ὁμοίως πάντες. ἀλλ' οἱ μὲν καθόλου, τοῦ στερητικοῦ ἀντιστραφέντος. τῶν δ' ἐν μέρει ἑκάτερος, διὰ τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς.

E ἑκάτερος γὰρ τῶν ἐν τῷ β΄ σχήματι πρώτων καθόλου δύο τρόπων, ἀντιστραφείσης τῆς ἀποφατικῆς προτάσεως συνετίθετο τῇ τάξει τοῦ δευτέρου τρόπου τοῦ α΄ σχήματος. ἐλέγομεν γὰρ οὕτως. τὸ μ΄ μηδενὶ τῷ ν΄ ὑπαρχέτω. τῷ δὲ ξ΄ παντί. εἰ δὲ τὸ μ΄ τῷ ν΄ οὐδενὶ ὑπάρχει, καὶ τὸ ν΄ οὐδενὶ τῷ μ΄ καὶ ἐντεῦθεν ἐγένετο σύνθεσις κατὰ τὸν β΄ τρόπον τοῦ α΄ σχήματος. τὸ ν΄ οὐδενὶ τῷ μ΄. τὸ μ΄ παντὶ τῷ ξ΄. τὸ ν΄ οὐδενὶ τῷ ξ΄. ὁμοίως καὶ ὁ δεύτερος τρόπος ἀνήγετο εἰς τὸ β΄ τοῦ α΄ σχήματος διὰ δύο ἀντιστροφῶν. οὕτω μὲν οὖν οἱ καθόλου διὰ τῆς ἀντιστροφῆς. οἱ δὲ δύο οἱ μερικοὶ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἀνήγοντο καὶ αὐτοὶ εἰς τὸ πρῶτον σχῆμα. λαμβανομένων τῶν ἀντιφατικῶς ἀντικειμένων. καὶ διὰ τοῦ α΄ σχήματος, ἀδυνάτων δεικνυμένων. οὔτε γὰρ ἡ καθόλου καταφατικὴ ἀντιστρέφεται, ἐπεὶ ἀσυλλόγιστον ἐποίει τὴν συζυγίαν πρὸς τὴν μερικὴν ἀντιστρέφουσα. οὔτε ἡ μερικὴ ἀποφατικὴ ὅλως ἀντιστρέφει. διὸ, τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἀνάγονται καὶ οὗτοι ἐπὶ τοὺς ἐν τῷ α΄ σχήματι καθόλου. εἰ γὰρ τὸ μ΄ τῷ μὲν ν΄ παντί. τῷ δὲ ξ΄ μὴ παντί. ἀνάγκη τὸ ν΄ μὴ παντὶ τῷ ξ΄. εἰ γὰρ τοῦτο ψεῦδος ἀληθὲς τὸ παντί. εἰ τοίνυν τὸ μ΄ τῷ ν΄ παντί. ὑπέκειτο δὲ καὶ τὸ ν΄ τῷ ξ΄ παντί. τὸ ἄρα μ΄ τῷ ξ΄ παντί. γίνεται γὰρ ὁ πρῶτος τρόπος τοῦ α΄ σχήματος. ὑπέκειτο δὲ καὶ μὴ παντί. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ μὴ παντί ὅπερ ἄτοπον. οὕτω μὲν οὖν ὁ τέταρτος τοῦ δευτέρου εἰς τὸν α΄ τοῦ πρώτου ἀνήγετο σχήματος. ὁ δὲ τρίτος ἐν δευτέρῳ ἐδείκνυτο μὲν καὶ δι' ἀντιστροφῆς καὶ διὰ τούτου συνήγετο εἰς τὸ α΄ σχῆμα. ἀλλ' οὐκ εἰς τοὺς καθόλου ἀλλ' εἰς τοὺς μερικούς. διὰ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ οὗτος εἰς τὸν β΄ καθόλου τοῦ α΄ ἀνάγεται σχήματος οὕτως. τὸ μ΄ μηδενὶ τῷ ν΄, τῷ δὲ ξ΄ τινὶ ὑπαρχέτω. λέγω ὅτι τὸ ν΄ οὐ παντὶ τῷ ξ΄ ὑπάρχει. εἰ γὰρ παντὶ εἴποι. τὸ μὲν μ΄ οὐδενὶ τῷ ν΄. τὸ δὲ ν΄ παντὶ τῷ ξ΄. τὸ ἄρα ν΄ οὐδενὶ τῷ ξ΄ ὑπέκειτο δὲ καὶ τινὶ ὅπερ ἄτοπον. γέγονε γὰρ πάλιν ὁ δεύτερος τρόπος τοῦ α΄ σχήματος.

ΟΙ δ' ἐν τῷ πρώτῳ, οἱ κατὰ μέρος, ἐπιτελοῦνται μὲν καὶ δι' ἑαυτῶν. ἔστι δὲ καὶ διὰ τοῦ δευτέρου σχήματος δεικνύναι εἰς ἀδύνατον ἀπάγοντας. οἷον εἰ τὸ α΄ παντὶ τῷ β΄. τὸ δὲ β΄ τινὶ τῷ γ΄. ὅτι τὸ α΄ τινὶ τῷ γ΄ ὑπάρξει. εἰ γὰρ μηδενὶ ὑπάρχει τὸ α΄ τῷ γ΄. τῷ δὲ β΄ παντὶ, οὐδενὶ τῷ γ΄ τὸ β΄ ὑπάρξει. τοῦτο γὰρ ἴσμεν διὰ τοῦ β΄ σχήματος. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ στερητικοῦ ἔσται ἡ ἀπόδειξις. εἰ γὰρ τὸ α΄ μηδενὶ τῷ β΄. τὸ δὲ β΄ τινὶ τῷ γ΄ ὑπάρχει, τὸ α΄ τινὶ τῷ γ΄ οὐχ ὑπάρξει. εἰ γὰρ παντί. τῷ δὲ β΄ μηδενὶ ὑπάρχει, οὐδενὶ τῷ γ΄ τὸ β΄ ὑπάρξει. τοῦτο δ' ἦν τὸ μέσον σχῆμα, ὥστε ἐπεὶ οἱ μὲν ἐν τῷ μέσῳ σχήματι συλλογισμοὶ πάντες ἀνάγονται εἰς τοὺς ἐν τῷ πρώτῳ καθόλου συλλογισμούς. οἱ δὲ κατὰ μέρος ἐν τῷ πρώτῳ, εἰς τοὺς ἐν τῷ μέσῳ. φανερὸν ὅτι καὶ οἱ κατὰ μέρος ἀναχθήσονται εἰς τοὺς ἐν τῷ πρώτῳ σχήματι καθόλου συλλογισμούς.

Αὕτη ἀσυλλόγιστος ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. τὸ δὲ ἄγριον ἐν τούτοις οὐκ ἐπὶ τῶν ἀλόγων μόνον ζώων τέτακται, ἀλλὰ καὶ ἐπὶ φυτῶν. λέγονται γὰρ καὶ φυτὰ εἶναι ἄγρια. φηγοὶ δὲ ἀγριάδες καὶ ὅσαι τις ἥμερα καὶ ὁμοίως ἀπολλώνιος ζῶον οὖν τινὶ ἀγρίῳ δεῖον λέοντι. φυτῷ γὰρ οὐχ ὑπάρχει. ἄνθρωπος οὐδενὶ ἀγρίῳ. καὶ ζῶον παντὶ ἀνθρώπῳ.

» ὍΤΑΝ δὲ ὁ μείζων ᾖ καθόλου, ὁ δὲ ἐλάττων ἐν μέρει. τοῦ μὲν μὴ ὑπάρχειν, κόραξ. χιών. λευ-
» κόν. τοῦ δ' ὑπάρχειν οὐκ ἔστι λαβεῖν ὅρους. εἰ τὸ ρ' τινὶ μὲν ὑπάρχει τῷ σ', τινὶ δὲ μὴ ὑπάρχει. εἰ γὰρ τὸ π'
» παντὶ τῷ ρ'. τὸ δὲ ρ' τινὶ τῷ σ'. καὶ τὸ π' τινὶ τῷ σ' ὑπάρξει. ὑπέκειτο δὲ μηδενί. ἀλλ' ἐκ τοῦ ἀδιορίστου
» δεικτέον, οὐδ' ἂν ἑκάτερος τινὶ τῷ μέσῳ ὑπάρχῃ ἢ μὴ ὑπάρχῃ. ἢ ὁ μὲν ὑπάρχει, ὁ δὲ μὴ ὑπάρχει. ἢ ὁ
» μὲν τινί, ὁ δὲ μὴ παντί. ἢ ἀδιορίστως, οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς. ὅροι δὲ κοινοὶ πάντων, ζῶον. ἄν-
» θρωπος. λευκόν. ζῶον. ἄψυχον. λευκόν. φανερὸν οὖν καὶ ἐν τούτῳ τῷ σχήματι πότε ἔσται, καὶ πότε οὐκ
» ἔσται συλλογισμός. καὶ ὅτι ἐχόντων τε τῶν ὅρων ὡς ἐλέχθη, γίνεται συλλογισμὸς ἐξ ἀνάγκης. ἄν τ' ᾖ
» συλλογισμός, ἀνάγκη τοὺς ὅρους οὕτως ἔχειν. φανερὸν δὲ καὶ ὅτι πάντες ἀτελεῖς εἰσιν, οἱ ἐν τούτῳ τῷ
» σχήματι συλλογισμοί. πάντες γὰρ τελειοῦνται προσλαμβανομένων τινῶν. καὶ ὅτι τὸ καθόλου συλλογί-
» σασθαι διὰ τούτου τοῦ σχήματος, οὐκ ἔσται οὔτε στερητικὸν οὔτε καταφατικόν.

Μέσον ἐν τούτοις τὸ λευκὸν μεῖζον ὁ κόραξ. ἔλαττον χιών. κόραξ οὐδενὶ λευκῷ. χιὼν οὐ παντὶ λευκῷ καὶ συνάγεται κόραξ οὐδεμιᾷ χιόνι. τοῦ δὲ παντὶ ὑπάρχειν, ὅρους μὲν λαβεῖν οὐκ ἔστιν. ἡ δὲ δεῖξις πάλιν διὰ τοῦ ἀδιορίστου, ὥσπερ καὶ πρότερον. τὰ δὲ περὶ τῶν λοιπῶν ἀσυλλογίστων συζυγιῶν λεγόμενα δῆλά ἐστιν.

» ΔΗΛΟΝ δὲ καὶ ὅτι ἐν ἅπασι τοῖς σχήμασιν. ὅταν μὴ γίνηται συλλογισμός, κατηγορικῶν μὲν ἢ
» στερητικῶν ἀμφοτέρων, καὶ ἐπὶ μέρει ὄντων τῶν ὅρων, οὐδὲν ὅλως γίνεται ἀναγκαῖον. κατηγορικοῦ
» δὲ καὶ στερητικοῦ καθόλου ληφθέντος, τοῦ στερητικοῦ ἀεὶ γίνεται συλλογισμὸς τοῦ ἐλάττονος ἄκρου
» πρὸς τὸ μεῖζον. οἷον εἰ τὸ μὲν α' παντὶ τῷ β', ἢ τινί, τὸ δὲ β' μηδενὶ τῷ γ', ἀντιστρεφομένων γὰρ τῶν προ-
» τάσεων, ἀνάγκη τὸ γ' τινὶ τῷ α' μὴ ὑπάρχειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἑτέρων σχημάτων. ἀεὶ γὰρ γίνεται
» διὰ τῆς ἀντιστροφῆς συλλογισμός.

Ὁ περὶ τῶν γ' σχημάτων αὐτῷ λόγος, πέρας ἀπείληφεν. ἐνταῦθα δὲ παραδίδωσι θεώρημά τι τοῖς φθάσασιν ἑπόμενον σχήμασι. φέρεται γὰρ ἐπὶ τινῶν τῶν ἐν τοῖς τρισὶ σχήμασιν ἀσυλλογίστων συζυγιῶν. δέξεται δὲ καὶ διορίζει τάς τε παντελῶς ἀχρήστους συζυγίας. καὶ τὰς μὲν, ἐν τῇ παρούσῃ συνθέσει ἀσυλλογίστους. δυναμένας δὲ θεραπείας τινὸς ἀξιωθῆναι καὶ δι' ἀντιστροφῆς τινῶν ἄλλων γενέσθαι συλλογιστικάς. λέγει οὖν ὅτι ἐν πᾶσι κοινῶς τοῖς σχήμασιν, ὅσαι ἀσυλλόγιστοι γίνονται συζυγίαι. ἢ ἐξ ὁμοιοσχημόνων προτάσεων ἢ ἐκ μερικῶν. οὔτε πρὸς τὴν παροῦσαν σύνθεσιν χρησιμεύουσι, οὔτε ἀντιστραφεῖσαι ποιοῦσι συλλογισμόν. ἀλλὰ πάντη παντελῶς εἰσιν ἄχρηστοι. ὅσαι δὲ ἀνομοιοσχήμονές τέ εἰσι καὶ τὴν ἀποφατικὴν ἔχουσι καθόλου, αὗται διὰ τῆς ἀντιστροφῆς οὐκέτι μὲν τὸ αὐτὸ δεικνύουσιν. ἀνάπαλιν δὲ τὸν ἐλάττονα ὅρον πρὸς τὸν μείζονα συνάγουσιν. οἷον ἡ πρώτη ἀσυλλόγιστος ἐν πρώτῳ σχήματι ἐκ καθόλου καταφατικῆς τῆς μείζονος καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος. εἰ τὸ α' παντὶ τῷ β'. τὸ δὲ β' οὐδενὶ τῷ γ'. οὕτω μὲν οὖν ἀσυλλόγιστος. εἰ δὲ ἀντιστρέψωμεν τὰς δύο προτάσεις κατὰ τὰς οἰκείας ἀντιστροφάς. συνάγεται τὸ γ' μὴ παντὶ τῷ α' ὑπάρχειν. εἰ γὰρ τὸ β' οὐδενὶ τῷ γ'. καὶ τὸ γ' οὐδενὶ τῷ β'. καὶ εἰ τὸ α παντὶ τῷ β'. καὶ τὸ β' τινὶ τῷ α'. ἀρξάμενος οὖν ἀπὸ τῆς ἐλάττονος προτάσεως καὶ συνθείς, λέγω οὕτως, τὸ γ' οὐδενὶ τῷ β'. τὸ β' τινὶ τῷ α'. γίνεται γὰρ ὁ τέταρτος τρόπος τοῦ α' σχήματος μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οὕτως οὖν τὸ μὲν αὐτὸ οὐκέτι ἔδειξαν, συλλογιστικαὶ δὲ δυνάμεναι εἶναι ἐφάνησαν. οὕτω μὲν οὖν ἐν μὲν τῷ α' σχήματι τὰς δύο προτάσεις δεῖ ἀντιστρέφειν. ἐν δὲ τῷ β' τὴν ἐλάττονα. ἐν δὲ τῷ γ' τὴν μείζονα. εἰσὶ μὲν οὖν ἐν μὲν τῷ α' σχήματι οἱ τοῦτον τὸν τρόπον δυνάμενοι εἶναι συλλογιστικοί. δύο. ὅ, τε προειρημένος καὶ ἕτερος ὁ ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς καὶ τῆς ἐλάττονος καθόλου ἀποφατικῆς. ὁμοίως γὰρ καὶ τούτων ἀντιστραφεισῶν, τὸ ἔλαττον τῷ μείζονι συνάπτεται. ἐν δὲ τῷ δευτέρῳ σχήματι ὁμοίως. ὁ ἐκ καθόλου ἢ μερικῆς καταφατικῆς τῆς μείζονος καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος. καὶ ἐν τῷ γ' σχήματι, ὁμοίως αἱ δύο συμπλοκαί. ὧν ἡ μὲν, ἐκ δύο καθόλου τῶν ὅρων σύγκειται ὧν ὁ ἐλάττων ἀποφατικός. ἡ δέ, ἐκ μερικοῦ καὶ καθόλου. ὧν ὁ μὲν μείζων μερικὸς καταφατικός. ὁ δὲ ἐλάττων καθόλου ἀποφατικός. ἅπασαι οὖν αὗται αἱ συμπλοκαὶ κατὰ τοὺς δύο ὅρους ἀντιστραφεῖσαι, δεικνύουσι τινὶ μὴ ὑπάρχειν τὸ ἔλαττον τῷ μείζονι. ὅ ἐστι μερικὸν ἀποφατικὸν συνάγον συμπέρασμα. αὐτὸς δὲ μίαν τὴν πρώτην ἔταξεν ὡς ἐν παραδείγματι.


» ΔΗΛΟΝ δὲ καὶ ὅτι τὸ ἀδιόριστον ἀντὶ τοῦ κατηγορικοῦ τοῦ ἐν μέρει τιθέμενον, τὸν αὐτὸν ποιή-
» σει συλλογισμὸν ἐν ἅπασι τοῖς σχήμασι.

Εἰκότως ἰσοδυναμεῖ γὰρ τῇ μερικῇ καταφατικῇ ὥστε καὶ ἀσυλλόγιστοι αἱ ἐκ τῆς ἑτέρας ἀπροσδιορίστου ἐὰν οὕτως ὦσι κείμεναι ὥσπερ εἴρηται. εἰ δὲ ἀντὶ τῆς ἐν μέρει τὸ ἀδιόριστον. καὶ αὗται διὰ τῶν ἀντιστροφῶν συνάξουσιν ἀπροσδιόριστον ἀποφατικὸν συμπέρασμα. Ἄξιον δὲ ἀπορίας εἰ αἱ ἀπροσδιόριστοι προτάσεις ἰσοδυναμοῦσι ταῖς μερικαῖς, αἱ μὲν καταφατικαὶ ταῖς καταφατικαῖς. αἱ δὲ ἀποφα-

τικαὶ

ζ(?)αθόλου όνῦς

Baralipton, Celantes, & Dabitis, facile è conversione propositionū intelliguntur. Fapesmo autem & Frisesomorum sic tradunt ab Aristotele, cū aliis quibusque modis indirectis in 2ª & 3ª figuris.



καὶ οἱ περὶ Θεόφραστον πέμπτον τάττουσι προστάττοντες αὐτὸν τῷ προειρημένῳ· διότι οὗτος μὲν δι' ἀντιστροφῆς κατασκευάζεται. ἐκεῖνος δὲ διὰ μόνης τῆς ἀδυνάτου ἀπαγωγῆς. ὁ δὲ Ἀριστοτέλης τὸν πέμπτον προσέταξε διὰ τὴν εἰρημένην αἰτίαν. οὗτοι μὲν οὖν οἱ ἓξ τρόποι ἐν τούτῳ τῷ σχήματι συλλογιστικοὶ προσδιορισμένων οὐσῶν τῶν προτάσεων. ἐὰν μὲν ᾖ προσδιορισμός, ἡ δὲ ἀπροσδιόριστος, γίνονται ἄλλαι τέσσαρες συλλογιστικαὶ συζυγίαι, τῆς ἀπροσδιορίστου δηλονότι τῇ μερικῇ ἰσοδυναμούσης. συντίθενται δὲ οὕτως, ὡς μὲν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς. εἰ τὸ π κατὰ παντὸς τοῦ σ. τὸ δὲ ρ κατὰ τοῦ σ. τὸ π τῷ ρ ὑπάρξει. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ κατηγορικόν. τὸ σ τῷ ρ ὑπάρξει. ὥστε ἐπεὶ τὸ μὲν π κατὰ παντὸς τοῦ σ. τὸ δὲ σ τῷ ρ ὑπάρχει. τὸ π τῷ ρ ὑπάρξει. ἕτερος ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς καὶ τῆς ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς οὕτως. εἰ τὸ π μηδενὶ τῷ σ ὑπάρχει. τὸ δὲ ρ ὑπάρχει τῷ σ. ἀντιστρέφει καὶ τὸ σ τῷ ρ. ὥστε ἐπεὶ τὸ μὲν π οὐδενὶ τῷ σ. τὸ δὲ σ τῷ ρ ὑπάρχει. τὸ π τῷ ρ οὐχ ὑπάρξει. πάλιν ἕτερος ἐκ τῆς μείζονος ἀδιορίστου καταφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς οὕτως, εἰ τὸ π τῷ σ ὑπάρχει. τὸ δὲ ρ παντὶ τῷ σ. καὶ τὸ σ τῷ π κατὰ τὴν ἀντιστροφήν. ὥστε ἐπεὶ τὸ μὲν ρ παντὶ τῷ σ τὸ δὲ σ τῷ π. τὸ ρ τῷ π ὑπάρξει. καὶ ἐπειδὴ ἀντιστρέφει τὸ κατηγορικόν. καὶ τὸ π τῷ ρ ὑπάρξει. ὅπερ ἔδει δεῖξαι. ὁ τέταρτος ἐκ τῆς μείζονος ἀδιορίστου ἀποφατικῆς καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς οὕτως. οὗτος δὲ δι' ἀντιστροφῆς οὐ περαίνεται. ἄγε ἡ μερικὴ ἀποφατικὴ οὐκ ἀντιστρέφει, ταύτῃ γὰρ ἰσοδυναμεῖ ἡ ἀδιόριστος. ἡ δὲ καταφατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει. καὶ ἔσονται ἄμφω μερικαί, ἐξ ὧν οὐδέποτε συλλογισμὸς γίνεται. δειχθήσεται οὖν τῇ εἰς ἄτοπον ἀπαγωγῇ οὕτως, εἰ τὸ π τῷ σ οὐχ ὑπάρχει. τὸ δὲ ρ παντὶ ὑπάρχει. τὸ π τῷ ρ οὐχ ὑπάρξει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ παντί. εἰ τοίνυν τὸ μὲν π παντὶ τῷ ρ. τὸ δὲ ρ παντὶ τῷ σ ὑπέκειτο. τὸ ἄρα π παντὶ τῷ σ ὑπάρξει. ὑπέκειτο δὲ καὶ μὴ ὑπάρχειν. τὸ αὐτὸ ἄρα καὶ παντὶ ὑπάρξει καὶ οὐχ ὑπάρξει. ὅπερ ἄτοπον. τὸ ἄτοπον διατί ἠκολούθησε, διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ π παντὶ τῷ ρ ὑπάρχειν. ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ ἐξ ἀρχῆς τὸ μὴ ὑπάρχειν, ὅπερ ἔδει δεῖξαι. εἰσὶν οὖν ἅπασαι συλλογιστικαὶ συζυγίαι ἐν τῷ τρίτῳ σχήματι δέκα. κατὰ τὴν τάξιν τὴν ὑποκειμένην.

Αἱ ἐν τῷ τρίτῳ σχήματι συλλογιστικαὶ συζυγίαι εἰσὶ δέκα.

συζυγία α'		συζυγία β'		συζυγία γ'	
ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν.	ἐξ ἀμφοτέρων καθόλου τῆς μὲν μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς.	ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς.	ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς.	ἐκ μερικῆς ἀποφατικῆς τῆς μὲν μείζονος, καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς.	ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος.

συζυγία δ'		συζυγία ε'	
ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς.	ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς.	ἐκ τῆς μείζονος ἀπροσδιορίστου καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς.	ἐκ τῆς μείζονος ἀπροσδιορίστου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς.

Τὰ δὲ περὶ τῶν ἀσυλλογίστων συζυγιῶν εἰρημένα, τῶν τε μερικῶν καὶ τῶν ἀπροσδιορίστων, δῆλα δὴ ἐκ τῶν εἰρημένων ἐν τοῖς ἄλλοις σχήμασι περὶ αὐτῶν. διὸ παραιτητέον τὰς ὑπολοίπους συζυγίας ἀσυλλογίστους πάσας οὔσας. ἵνα μὴ πολλάκις τὰ αὐτὰ λέγειν ἀναγκαζόμεθα· πλὴν ἐπειδή τινες τῶν ἐν αὐταῖς παραλημμένων ὅρων ἔχουσι βραχεῖαν ἀπόστασιν. ἐκείνων ἀπομνησθῆναι εὔλογον.

» ΟΤΑΝ δὲ ὁ ἐλάττων ᾖ στερητικός, οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν. ζῷον, ἄνθρωπος. ἄ-
» γριον. τοῦ μὴ ὑπάρχειν ζῷον, ἐπιστήμη. ἄγριον. μέσον δὲ ἀμφοῖν τὸ ἄγριον. οὐδ' ὅταν ἀμφότεροι στερητικοὶ
» τεθῶσιν, ᾖ δὲ ὁ μὲν καθόλου, ὁ δὲ ἐν μέρει. ὅροι τοῦ μὴ ὑπάρχειν. ὅταν ὁ ἐλάττων ᾖ καθόλου πρὸς τὸ μέσον,
» ζῷον ἐπιστήμη. ἄγριον. τοῦ ὑπάρχειν. ζῷον. ἄνθρωπος. ἄγριον.


» ΔΕΙΚΝΥΤΑΙ δὲ καὶ αὐτὸ τῆς ἀπαγωγῆς. ἐὰν ληφθῇ, τι τῶν σ, ᾧ τὸ π μὴ ὑπάρχει.

Τ ἣν δι' ἐκθέσεως φησὶ δεῖξιν. εἰ γὰρ λευκὸν οὐ παντὶ ἀνθρώπῳ, τὸ δὲ ζῶον παντὶ ἀνθρώπῳ. ἐὰν ληφθῇ τι τῶν ἀνθρώπων ᾧ μὴ ὑπάρχει τὸ λευκόν. οἷον, ὁ αἰθίοψ. ἔστι δὲ τοῦτο τοῦ ζώου μέρος. παντὶ γὰρ ἀνθρώπῳ τὸ ζῶον ὑπάρχει. δῆλον ὅτι τὸ συμπέρασμα προφανὲς ὅτι τὸ λευκὸν οὐ παντὶ τῷ ζώῳ ὑπάρχει. οἷον, τῷ αἰθίοπι.

» ΟΤΑΝ δ' ὁ μὲν μείζων ᾖ κατηγορικὸς, ὁ δ' ἐλάττων μερικὸς στερητικὸς, οὐκ ἔσται συλλογισμός. οἷον εἰ τὸ μὲν π παντὶ τῷ σ, τὸ δὲ ρ τινὶ τῷ σ μὴ ὑπάρχει. ὅροι τοῦ παντὶ ὑπάρχειν, ἔμψυχον. ἄνθρωπος. ζῶον.

Υ ποθέμενος τὴν μὲν καθόλου πρότασιν κατηγορικὴν. τὴν δὲ μερικὴν στερητικὴν. καὶ δείξας ὅτι οὕτως ἐχουσῶν τῶν προτάσεων. ἐὰν ἐν τῷ ἐλάττονι ὅρῳ τεθῇ τὸ καθόλου κατηγορικόν. ἐν δὲ τῷ μείζονι, τὸ μερικὸν ἀποφατικόν γίνεται συλλογισμός, νῦν τὸ ἀνάπαλιν ὑποτίθεται. ἐν μὲν τῷ μείζονι τὸ καθόλου κατηγορικὸν, ἐν δὲ τῷ ἐλάττονι, τὸ μερικὸν ἀποφατικόν. καὶ δείκνυσιν ἀσυλλόγιστον, ὥσπερ πάντα τὴν συζυγίαν διὰ τὴν ἐλάττονα τὸ ἴδιον ἀπολωλεκέναι. λέγω δὴ τὸ καταφατικόν. συνάγει γὰρ καὶ τὸ παντὶ καὶ οὐδενί. καὶ τὸ μὲν παντί. οὕτως, ἔμψυχον παντὶ ζώῳ. ἄνθρωπος οὐ παντὶ ζώῳ καὶ συμπέρασμα ἔμψυχον παντὶ ἀνθρώπῳ.


» ΤΟΥ δὲ μηδενὶ, οὐκ ἔστι λαβεῖν ὅρους. εἰ τινὶ μὲν ὑπάρχει τῷ σ τὸ ρ, τινὶ δὲ μή. εἰ γὰρ μηδενὶ τῷ ρ τὸ π ὑπάρχει, τὸ δὲ ρ τινὶ τῷ σ καὶ τὸ π τινὶ τῷ σ οὐχ ὑπάρξει. ὑπέκειτο δὲ παντὶ ὑπάρχειν. εἰ γὰρ παντὶ τὸ π τῷ σ ὑπάρχει, τὸ δὲ ρ τινὶ τῷ σ, καὶ τὸ π τινὶ τῷ ρ ὑπάρξει. ὑπέκειτο δὲ μηδενὶ ὑπάρχειν.



Ε ἂν φησι τὴν μερικὴν ἀποφατικὴν δι' ἑαυτὴν ἀληθεύουσαν λάβωμεν. ἰσοδυναμήσει τῇ μερικῇ καταφατικῇ καὶ τὸ καθόλου ἀποφατικὸν ἀδύνατον διὰ τῶν τοιούτων ὅρων συναγαγεῖν. εἰ γάρ φησι τὸ μὲν π παντὶ τῷ σ ὑπάρχει. τὸ δὲ ρ μὴ παντί. εἶτα τοῦτο λάβωμεν δι' ἑαυτὸ ἀληθὲς, ἰσοδυναμήσει τὸ τινί. καὶ ποιήσει συλλογιστικὴν συζυγίαν. ὥστε συνάγεσθαι τὸ π τινὶ τῷ ρ ὑπάρχειν. εἰ τοίνυν καὶ τὸ μηδενὶ συνάγει διὰ τὴν ὑπόθεσιν. τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ μηδενὶ ἔπι ἄτοπον. δυνατὸν δὲ καὶ ἄλλως δεῖξαι. εἰ γὰρ δυνατὸν μηδενὶ τῷ ρ τὸ π ὑπάρχειν. ἐκεῖνο οὐδὲ τὸ ρ οὐδενὶ τῷ π. τὸ δὲ π παντὶ τῷ σ. τὸ ἄρα ρ, οὐδενὶ τῷ σ. ἦν δὲ καὶ οὐ παντί. ταυτὸν δὲ εἰπεῖν τινί, τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενί. οὐκ ἄρα δυνατὸν τὸ μηδενὶ συναγαγεῖν. ἵνα διὰ τούτου δειχθῇ ἀσυλλόγιστος ἡ συζυγία καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνάγουσα. ἐὰν ἡ μερικὴ ἀποφατικὴ δι' ἑαυτὴν ληφθῇ ἀληθεύουσα. εἰ τοίνυν ἀσυλλόγιστος ὁ τρόπος ἔσται, δεῖ τὴν μερικὴν ἀποφατικὴν ἐν τῷ ἐλάττονι ὅρῳ κειμένην, οὕτω λαμβάνεσθαι ὡς διὰ τὴν καθόλου ἀληθεύουσαν. ἵνα καθόλου ἀποφατικὴ ληφθεῖσα ἡ ἐλάττων πρότασις. ἀσυλλόγιστον ἐργάσηται τὴν συζυγίαν.

» ΑΛΛ' ὥσπερ ἐν τοῖς πρότερον, ληπτέον. ἀδιορίστου γὰρ ὄντος τοῦ τινὶ μὴ ὑπάρχειν, καὶ τὸ μηδενὶ ὑπάρχον, ἀληθὲς εἰπεῖν τινὶ μὴ ὑπάρχειν. μηδενὶ δὲ ὑπάρχοντος, οὐκ ἦν συλλογισμός, φανερὸν ὅτι οὐκ ἔσται συλλογισμός. ἐὰν δ' ὁ στερητικὸς ᾖ καθόλου τῶν ὅρων, ὁ δὲ ἐν μέρει κατηγορικός.


Ω σπερ πρότερόν φησιν ἀδιόριστον τὴν μερικὴν ἀποφατικὴν λαμβάνοντες. τουτέστιν ἄμφω σημαίνουσαν καὶ τὸ καθόλου ἀποφατικὸν, καὶ τὸ μερικὸν ἐδείκνυμεν τινὰς ἀσυλλογίστους συζυγίας λαμβάνοντες τὴν μερικὴν ἀποφατικὴν σημαίνουσαν τὸ καθόλου τὸ ἀποφατικὸν, οὕτω καὶ ἐνταῦθα ἐὰν ὡσαύτως αὐτὴν ἐκδεξώμεθα ἀντὶ τῆς καθόλου ἀποφατικῆς, εὑρήσομεν αὐτὴν ἀσυλλόγιστον. οὐδεμία γὰρ πρότασις ἐν τούτῳ τῷ σχήματι τὴν ἐλάττονα ἀποφατικὴν ἔχουσα, συλλογιστική ἐστι. συνάγει γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενί. καὶ τοῦ μὲν παντί, παρεθήκαμεν ὅρους. τοῦ δὲ μηδενί. νυνὶ παραθησόμεθα ὡς εἴρηται εἰς τὴν καθόλου ἀποφατικὴν μεταλαμβάνοντες τὴν μερικὴν ἀποφατικήν. οὕτως, ἔμψυχον παντὶ ζώῳ. λίθος οὐ παντὶ ζώῳ. καὶ συμπέρασμα ἔμψυχον οὐδενὶ λίθῳ.



» ΕΑΝ δὲ ὁ στερητικὸς ᾖ καθόλου. ὅταν μὲν ὁ μείζων ᾖ στερητικὸς, ὁ δὲ ἐλάττων κατηγορικὸς, ἔσται συλλογισμός. εἰ γὰρ τὸ π μηδενὶ τῷ σ. τὸ δὲ ρ τινὶ ὑπάρχει τῷ σ. τὸ π τινὶ τῷ ρ οὐχ ὑπάρξει. πάλιν γὰρ ἔσται τὸ πρῶτον σχῆμα, τῆς ρ σ προτάσεως ἀντιστραφείσης.

Ε κτος οὗτος τρόπος συλλογιστικὸς ἐν τούτῳ τῷ σχήματι, ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. δείκνυται δὲ διὰ τῆς ἀντιστροφῆς τῆς ἐλάττονος προτάσεως. οἷον τὸ π οὐδενὶ τῷ σ τὸ ρ τινὶ τῷ σ ὑπαρχέτω. οὐκοῦν καὶ τὸ σ τινὶ τῷ ρ. εἰ τοίνυν τὸ μὲν π οὐδενὶ τῷ σ. τὸ δὲ σ τινὶ τῷ ρ ὑπάρχει. τὸ π οὐ παντὶ τῷ ρ ὑπάρξει. γίνεται γὰρ ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. εὐπορήσας δὲ κἀνταῦθα ὅρων. λαμβάνειν δύο τινὰ παντάπασιν ἀλλήλοις ἀλλότρια. καὶ ἕτερον ἀμφοτέροις ὑπάρχον ἐν μέρει. καὶ τοῦτο μὲν ἐλάττονα ὅρον τιθεὶς, τῶν δὲ λοιπῶν. τὸν μὲν μείζονα, τὸν δὲ μέσον. οἷον, ἄνθρωπος οὐδενὶ ἵππῳ. λευκὸν τινὶ ἵππῳ. καὶ συνάγεται ἄνθρωπος ἄρα οὐ παντὶ λευκῷ. Ἰστέον δὲ ὅτι τοῦτον τὸν τρό-

ξαι. γίνεται γὰρ πάλιν ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος. διορίσας δὲ κἀνταῦθα ὑλῶν λαμβάνει γένος καὶ εἶδος. καί τι ὑπάρχον μὲν αὐτοῖς ἐνίοις μέρεσιν ὑπάρχον δὲ καὶ ἑτέροις τισὶ παρ' αὐτά. καὶ τὸ μὲν γένος τιθεὶς μείζονα ὅρον. τὸ δὲ εἶδος μέσον. τὸ δὲ ὑπάρχον αὐτοῖς ἐνίοις μέρεσιν ἐλάττονα.




ἜΣΤΙ δὲ ἀποδεῖξαι καὶ διὰ τοῦ ἀδυνάτου καὶ τῇ ἐκθέσει καθάπερ ἐπὶ τῶν προτέρων.

Ἀμφοτέροις γὰρ δυνατὸν δεῖξαι τῇ εἰς ἄτοπον ἀπαγωγῇ. καὶ πρῶτόν γε τὸ πρῶτον δείξομεν. εἰ γάρ τις εἴποι ψεῦδος εἶναι τὸ τινὶ τῷ ρ τὸ π ὑπάρχειν. τουτέστι τὸν ἄνθρωπον τινὶ ἐμψύχῳ. δῆλον ὅτι ἀληθὲς ἔσται τὸ οὐδενί. εἰ τοίνυν τὸ μὲν π τουτέστιν ὁ ἄνθρωπος, οὐδενὶ τῷ ρ τουτέστι τῷ ἐμψύχῳ. ὡς ὁ ἀντιλέγων βούλεται. τὸ δὲ ρ τὸ ἔμψυχον παντὶ τῷ σ. τουτέστι τῷ ζῴῳ. τοῦτο γὰρ ὑπόκειται τὸ ἄρα π ὁ ἄνθρωπος οὐδενὶ, τῷ σ τῷ ζῴῳ ὑπάρξει. γίνεται γὰρ ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. ὑπέκειτο δὲ τινὶ ζῴῳ ὑπάρχειν τὸν ἄνθρωπον. τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενὶ ὑπάρξει. ὅπερ ἄτοπον. τὸ ἄτοπον ἠκολούθησεν δῆλον ὅτι διὰ τὸ ὑποθέσθαι ἡμᾶς. τὸ π μηδενὶ τῷ ρ ὑπάρχειν τουτέστιν ὁ ἄνθρωπος μηδενὶ ἐμψύχῳ. ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ τινὶ ὅπερ ἔδει δεῖξαι. δείκνυται δὲ καὶ τῇ ἐκθέσει οὕτως. εἰ γὰρ ὁ ἄνθρωπος τινὶ ζῴῳ ὑπάρχει. τὸ δὲ ἔμψυχον παντί. ἐὰν ληφθῇ τι τοῦ ζῴου ᾧ ὑπάρχει ὁ ἄνθρωπος. τοῦτο κοινὸν ἔσται μέρος, τοῦ τε ἀνθρώπου καὶ τοῦ ἐμψύχου. ἔστι ἄρα τι τοιοῦτον ἔμψυχον ᾧ ὑπάρχει ὁ ἄνθρωπος. ὁμοίως δὲ καὶ τὸν δεύτερον τρόπον δείξομεν διὰ μὲν τοῦ ἀδυνάτου οὕτως. εἴ τις εἴποι ψεῦδος εἶναι τὸ τινὶ λευκῷ ὑπάρχειν τὸ ζῷον. δῆλον ὅτι ἀληθὲς ἐρεῖ τὸ μηδενὶ λευκῷ ὑπάρχειν τὸ ζῷον. οὐκοῦν καὶ τὸ ἀνάπαλιν οὐδενὶ ζῴῳ ὑπάρξει τὸ λευκόν. εἰ τοίνυν οὐδενὶ ζῴῳ τὸ λευκὸν ὡς ὁ ἀντιλέγων βούλεται. ὑπέκειτο δὲ καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ ὑπάρχειν. δῆλον ὅτι συνάγεται τὸ λευκὸν μηδενὶ ἀνθρώπῳ ὑπάρχειν. γίνεται γὰρ πάλιν ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. ὑπέκειτο δὲ καὶ τινὶ ἀνθρώπῳ τὸ λευκὸν ὑπάρχειν. τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενὶ ὑπάρξει. ὅπερ ἄτοπον. τὸ ἄτοπον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι ἡμᾶς διὰ τὸ μηδενὶ λευκῷ τὸ ζῷον ὑπάρχειν. ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ ἀντικείμενον τὸ τινὶ ὅπερ ἔδει δεῖξαι. ὁμοίως δὲ καὶ τῇ ἐκθέσει τὸ αὐτὸ δείξομεν, εἰ γὰρ τὸ μὲν ζῷον κατὰ παντὸς ἀνθρώπου. τὸ δὲ λευκὸν κατά τινος. ἐὰν ληφθῇ τι τοῦ ἀνθρώπου ᾧ ὑπάρχει τὸ λευκόν. οἷον σκύθης, τούτῳ ὑπάρξει τὸ ζῷον. τινὶ ἄρα λευκῷ τὸ ζῷον ὑπάρξει. ὅπερ ἔδει δεῖξαι.

ἘΑΝ δὲ ὁ μὲν ᾖ κατηγορικὸς, ὁ δὲ στερητικὸς, καθόλου δὲ ὁ κατηγορικὸς, ὅταν μὲν ὁ ἐλάττων ᾖ κατηγορικὸς, ἔσται συλλογισμός. εἰ γὰρ τὸ ρ παντὶ τῷ σ. τὸ δὲ π τινὶ μὴ ὑπάρχει. ἀνάγκη τὸ π τινὶ τῷ ρ μὴ ὑπάρχειν. εἰ γὰρ παντὶ, καὶ τὸ ρ παντὶ τῷ σ καὶ τῷ π παντὶ τῷ σ ὑπάρξει. ἀλλ' οὐχ ὑπῆρχε.

Τὰς συζυγίας ἐκτιθέμενος τὰς ἐκ τῆς μιᾶς καθόλου. τῆς δὲ ἑτέρας μερικῆς ἐξέθετο. προτέρας τὰς ἐκ τῶν δύο καταφατικῶν, τῆς τε ἐχούσης τὸν μείζονα καθόλου τὸν δὲ ἐλάττονα μερικόν. καὶ τὸ ἀνάπαλιν, καὶ ἀμφοτέρας ἔδειξε συλλογιστικὰς οὔσας ἐν ἑκατέρᾳ γὰρ ἐσώζετο τὸ ἴδιον τοῦ τρίτου σχήματος. τὸ τὴν ἐλάττονα εἶναι καταφατικὴν, λοιπὸν ἐκτίθεται τὰς ἐκ τῆς ἑτέρας μὲν καταφατικῆς, τῆς δὲ ἑτέρας ἀποφατικῆς. τῆς καταφατικῆς καθόλου οὔσης. μερικῆς δὲ τῆς ἀποφατικῆς. καὶ πρώτην τὴν ἐν τῷ ἐλάττονι ὅρῳ ἔχουσαν, τὸ κατηγορικὸν, καὶ καθόλου. δείκνυσιν αὐτὴν συλλογιστικὴν οὖσαν. ὅταν γάρ φησιν ὁ ἐλάττων ᾖ κατηγορικὸς, ἔσται συλλογισμός. πέμπτος οὗτος τρόπος συλλογιστικὸς ἐν τρίτῳ σχήματι ἐκ μερικῆς ἀποφατικῆς τῆς μείζονος. καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. διορίσας δὲ κἀνταῦθα ὑλῶν λαμβάνει γένος καὶ εἶδος. καὶ ἔτι ἐνίοις μέρεσιν αὐτοῖς συμβεβηκός. καὶ τοῦτο μὲν μείζονα ὅρον τιθείς. τὸ δὲ εἶδος μέσον. τὸ δὲ γένος ἐλάττονα. οἷον λευκὸν οὐ παντὶ ἀνθρώπῳ, ζῷον παντὶ ἀνθρώπῳ. καὶ συνάγεται λευκὸν, οὐ παντὶ ζῴῳ. δείκνυσι δὲ τοῦτον τὸν τρόπον διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. οὐ γὰρ οἷόν τε ἦν αὐτὸν δι' ἀντιστροφῆς ἀποδεῖξαι. διότι ἡ μὲν μείζων, οὐδὲ ὅλως ἀντιστρέφει μερικὴ οὖσα ἀποφατική. ἡ δὲ ἐλάττων εἰ ἀντιστρέφει, πρὸς τὴν μερικὴν καταφατικὴν ἀντιστρέφει, καὶ γίνονται ἄμφω μερικαί. ἐκ δὲ ἀμφοῖν μερικῶν, οὐχ οἷόν τε γενέσθαι συλλογιστικὴν συζυγίαν ὡς ἤδη εἴπομεν. διόπερ τῇ εἰς ἄτοπον ἀπαγωγῇ, δείκνυσι τὴν συζυγίαν οὕτως. εἰ γάρ τις εἴποι ψεῦδος εἶναι τὸ συμπέρασμα τὸ λέγον μὴ παντὶ ζῴῳ τὸ λευκὸν ὑπάρχειν. δῆλον ὅτι τὸ παντὶ ἔσται. ἔστω οὖν λευκὸν παντὶ ζῴῳ. ἀλλὰ μὴν καὶ τὸ ζῷον παντὶ ἀνθρώπῳ ὑπῆρχεν. οὕτω γὰρ ὑπέκειτο, τὸ ἄρα λευκὸν συναχθήσεται παντὶ τῷ ἀνθρώπῳ ὑπάρχειν. ὑπέκειτο δὲ καὶ οὐ παντί. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐ παντὶ ἔσται. ὅπερ ἀδύνατον.





πρῶτον ἔταττεν. δεύτερον δὲ τὸν μέσον. καὶ τρίτον ἐλάττονα. ἐν δὲ τῷ δευτέρῳ σχήματι, πρῶτον ἔταττε τὸν μέσον ὡς ἀμφοτέρων κατηγορούμενον. ἐν δὲ τούτῳ τῷ τρίτῳ τὸν μέσον ἔσχατον ὡς ἀμφοτέροις ὑποκείμενον.

ΟΥΔ' ὅταν ἄμφω κατὰ μηδενὸς τοῦ σ λέγηται οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν ζῷον. ἵππος ἄψυχον. τοῦ μὴ ὑπάρχειν. ἄνθρωπος. ἵππος. ἄψυχον. μέσον, ἄψυχον. φανερὸν οὖν καὶ ἐν τούτῳ τῷ σχήματι πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός, καθόλου τῶν ὅρων ὄντων. ὅταν μὲν γὰρ ἀμφότεροι οἱ ὅροι τεθῶσι κατηγορικοί, ἔσται συλλογισμός. ὅτι τινὶ ὑπάρχει τὸ ἄκρον τῷ ἄκρῳ. ὅταν δὲ στερητικοί, οὐκ ἔσται, ὅταν δ' ὁ μὲν ᾖ στερητικός, ὁ δὲ καταφατικός, ἐὰν μὲν ὁ μείζων γένηται στερητικός, ἅτερος δὲ καταφατικός, ἔσται συλλογισμός. ὅτι τινὶ οὐχ ὑπάρχει τὸ ἄκρον τῷ ἄκρῳ. ἐὰν δ' ἀνάπαλιν, οὐκ ἔσται συλλογισμός.


Δεύτερος οὗτος τρόπος ἀσυλλόγιστος ἐν τούτῳ τῷ σχήματι ὁ ἐξ ἀμφοτέρων καθόλου ἀποφατικῶν διὰ τὴν αἰτίαν τὴν πρὸ αὐτοῦ. ἔστι ἤδη δῆλον ὅτι ἐν οὐδὲ παντὸς σχήματος ἡ τοιαύτη συζυγία ἀσυλλόγιστος ἡ ἐξ ἀμφοτέρων ἀποφατικῶν. συνάγει δὲ τὸ μὲν παντί, οὕτω ζῷον οὐδενὶ ἀψύχῳ. ἵππος, οὐδενὶ ἀψύχῳ. καὶ τὸ συμπέρασμα ζῷον παντὶ ἵππῳ. τὸ δὲ μηδενὶ οὕτως. ἄνθρωπος οὐδενὶ ἀψύχῳ. ἵππος οὐδενὶ ἀψύχῳ. καὶ συμπέρασμα, ἄνθρωπος οὐδενὶ ἵππῳ.

ΕΑΝ δ' ὁ μὲν ᾖ καθόλου πρὸς τὸ μέσον, ὁ δ' ἐν μέρει, κατηγορικῶν μὲν ὄντων ἀμφοῖν. ἀνάγκη γίνεσθαι συλλογισμόν. ἂν ὁποτεροσοῦν ᾖ καθόλου τῶν ὅρων. εἰ γὰρ τὸ μὲν ρ παντὶ τῷ σ ὑπάρχει, τὸ δὲ π τινί, ἀνάγκη τὸ π τινὶ τῷ ρ ὑπάρχειν. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ καταφατικόν, ὑπάρξει τὸ σ τινὶ τῷ π. ὥστ' ἐπεὶ τὸ μὲν ρ παντὶ τῷ σ. τὸ δὲ σ τινὶ τῷ π, καὶ τὸ ρ τινὶ τῷ π ὑπάρξει. ὥστε καὶ τὸ π τινὶ τῷ ρ.





Ἐπεξελθὼν πάσας τὰς ἐξ ἀμφοτέρων καθόλου τῶν προτάσεων γινομένας συζυγίας. καὶ δείξας, ποῖαι μὲν συλλογιστικαί, ποῖαι δὲ ἀσυλλόγιστοι. νῦν διδάσκει περὶ τῶν ἐκ μὲν τῆς μιᾶς καθόλου. τῆς δὲ ἑτέρας μερικῆς συζυγιῶν ὀκτώ. καὶ πρῶτον ἐκτίθεται τὴν ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς. καὶ δείκνυσιν αὐτὴν συλλογιστικήν, διὰ τῆς ἀντιστροφῆς τῆς μερικῆς. ὑπαρχέτω γάρ φησι τὸ μὲν π τινὶ τῷ σ. τὸ δὲ ρ, παντὶ τῷ σ. λέγω φησὶν ὅτι τὸ π τινὶ τῷ ρ ὑπάρξει. πῶς καὶ τίνα τρόπον; εἰ γὰρ τὸ π τινὶ τῷ σ, καὶ τὸ σ τινὶ τῷ π. πρὸς ἑαυτὴν γὰρ ἡ μερικὴ καταφατικὴ ἀντιστρέφει. εἰ τοίνυν ὑπέκειτο. τὸ μὲν ρ παντὶ τῷ σ ὑπάρχειν. τὸ δὲ σ κατὰ τὴν ἀντιστροφὴν τινὶ τῷ π. γίνεται ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος. ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. τὸ ἄρα ρ τινὶ τῷ π ὑπάρξει. ἀλλ' οὐ τοῦτο ἐβουλόμεθα δεῖξαι. εἰ τὸ ρ τινὶ τῷ π ὑπάρχει. ἀλλ' εἰ τὸ π τινὶ τῷ ρ. εἰ τοίνυν ἀντιστρέφει ἡ μερικὴ καταφατική. καὶ τὸ π τινὶ τῷ ρ ὑπάρξει ὅπερ ἔδει δεῖξαι. ἔστι δὲ οὗτος τρίτος τρόπος συλλογιστικὸς ἐν τρίτῳ σχήματι. εὐπορήσεις δὲ κἀνταῦθα ὕλης. εἶδός τι καὶ γένος λαμβάνων καὶ κοινὸν ἀμφοῖν. καὶ τὸ μὲν εἶδος, μείζονα ὅρον τιθείς. τὸ δὲ γένος μέσον. τὸ δὲ κοινὸν ἀμφοῖν ἐλάττονα. οἷον ὁ ἄνθρωπος τινὶ ζῴῳ. ἔμψυχον παντὶ ζῴῳ. καὶ ἄνθρωπος τινὶ ἐμψύχῳ. εἰ γὰρ ὁ ἄνθρωπος τινὶ ζῴῳ. καὶ τὸ ζῷον τινὶ ἀνθρώπῳ. οὐκοῦν εἰ τὸ μὲν ἔμψυχον παντὶ ζῴῳ. τὸ δὲ ζῷον τινὶ ἀνθρώπῳ, συνάγεται τὸ ἔμψυχον τινὶ ἀνθρώπῳ. εἰ δὲ τοῦτο, καὶ ὁ ἄνθρωπος τινὶ ἐμψύχῳ. ὅπερ ἔδει δεῖξαι. τοῦτον δὲ τὸν δὲ τὸν συλλογισμὸν οἱ περὶ Θεόφραστον τέταρτον ἔταξαν. ὅτι ἐδεήθη δύο ἀντιστροφῶν. ἀριστοτέλης δέ, τρίτον. καὶ ἴσως διότι ἐν τρίτῳ σχήματι ἡ ἐλάττων τῶν προτάσεων ἡ κῦρος ἔχουσα μάλιστα. ἀδιαφόρως γὰρ ἐν αὐτῷ ἔχει ἡ μείζων. καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν. ἡ δὲ ἐλάττων πάντως τῷ ποσῷ κεκοσμῆσθαι βούλεται. καὶ παρ' αὐτὴν ἢ συλλογιστικαί, ἢ ἀσυλλόγιστοι γίνονται αἱ συμπλοκαὶ τῶν προτάσεων. ἐπεὶ οὖν αὕτη τὸ κῦρος ἔχει. προτετίμηκεν ἐν τῇ καταριθμήσει τὴν ἔχουσαν τὴν ἐλάττονα καθόλου. ἵνα ἡ τὸ κῦρος ἔχουσα πρότασις. μὴ μόνῳ κοσμῆται τῷ ποιῷ. ἀλλὰ καὶ τῷ ποσῷ.




ΠΑΛΙΝ εἰ τὸ μὲν ρ τινὶ τῷ σ τὸ δὲ π παντὶ ὑπάρχει, ἀνάγκη τὸ π, τινὶ τῷ ρ ὑπάρχειν. ὁ γὰρ αὐτὸς τρόπος τῆς ἀποδείξεως.

Τέταρτος οὗτος τρόπος συλλογιστικὸς ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. οἷον ζῷον παντὶ ἀνθρώπῳ. λευκὸν τινὶ ἀνθρώπῳ. καὶ συνάγεται ζῷον τινὶ λευκῷ. εἰ γὰρ λευκὸν τινὶ ἀνθρώπῳ. καὶ ἄνθρωπος τινὶ λευκῷ. οὐκοῦν εἰ τὸ ζῷον παντὶ ἀνθρώπῳ. ἄνθρωπος δὲ τινὶ λευκῷ. δῆλον ὅτι συνάγεται ζῷον τινὶ λευκῷ. ὅπερ ἔδει δεῖ-

διὰ τῆς ἐκθέσεως πιστώσασθαι τὸ λεγόμενον. πῶς οὖν δείκνυται διὰ τῆς ἐκθέσεως. εἰ τὸ π´ καὶ τὸ ρ´ τῷ σ´ ὑπάρχει παντί, δῆλον καὶ μέρει τινὶ αὐτοῦ, ἐὰν οὖν τι μέρος λάβωμεν τοῦ σ´ οἷον τὸ ν´, τοῦτό φησι καὶ τὸν μέρος ἔσται τοῦ τε π´ καὶ τοῦ ρ´. ἐπεὶ τινὶ μέρει τοῦ ρ´ τουτέστι τῷ ν´ ὑπάρχει τὸ π´ ἐξ ἀνάγκης. καὶ ἐπὶ τῶν ὅρων δὲ πάλιν. εἰ τὸ ζῶον καὶ ἡ οὐσία παντὶ ἀνθρώπῳ ὑπάρχει. καὶ τινὶ δῆλον ὅτι ἐὰν οὖν ληφθῇ τι τοῦ ἀνθρώπου, οἷον σωκράτης. οὗτος καὶ τῆς οὐσίας τί ἔσται καὶ τοῦ ζώου. ὥστε τινὶ οὐσίᾳ τουτέστι σωκράτει ὑπάρχει τὸ ζῶον. δυνατὸν δὲ καὶ οὕτω δεῖξαι. εἰ γὰρ τὸ ρ´ ἐν παντὶ τῷ σ´ ὑπάρχει. τὸ ἄρα σ´ μέρος ἐστὶ τοῦ ρ´. εἰ οὖν τὸ π´ παντὶ τῷ σ´ ὑπάρχει. τὸ δὲ σ´ μέρος τοῦ ρ´. τὸ ἄρα π´ μέρει τοῦ ρ´ ὑπάρχει ὅπερ ἦν τὸ σ´. τὸ μὲν οὖν τινί, ἐξ ἀνάγκης ἀεὶ συνάγεται. τὸ δὲ παντὶ ἔστιν ὅτε. ἐὰν ληφθῇ ὁ μείζων ὅρος καθολικώτερος τοῦ ἐλάττονος. οἷον ἔμψυχον παντὶ ἀνθρώπῳ. ζῶον παντὶ ἀνθρώπῳ. καὶ συμπέρασμα, ἔμψυχον παντὶ ζώῳ. ἀλλὰ τὸ μὲν τινὶ ἐξ ἀνάγκης συνάγεται καὶ ἀεί. τὸ παντὶ δὲ οὐκ ἀεί.

» ΚΑΙ ἂν τὸ μὲν ρ´ παντὶ τῷ σ´, τὸ δὲ π´ μηδενὶ ὑπάρχῃ, ἔσται συλλογισμός. ὅτι τὸ π´ τινὶ τῷ ρ´ οὐχ ὑπάρξει ἐξ ἀνάγκης. ὁ γὰρ αὐτὸς τρόπος ἔσται τῆς ἀποδείξεως ἀντιστραφείσης τῆς ρσ´ προτάσεως. δειχθείη δ᾽ ἂν καὶ διὰ τοῦ ἀδυνάτου καθάπερ ἐπὶ τῶν προτέρων. τῷ

Δεύτερος οὗτος τρόπος συλλογιστικὸς ἐν τούτῳ τῷ σχήματι ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον ἄλογον οὐδενὶ λογικῷ. ζῶον παντὶ λογικῷ καὶ συνάγεται· ἄλογον οὐ παντὶ ζώῳ. ἐπεὶ γὰρ ἡ καθόλου καταφατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει. εἰ τὸ ζῶον παντὶ λογικῷ, τὸ λογικὸν τινὶ ζώῳ. εἰ τοίνυν τὸ μὲν ἄλογον οὐδενὶ λογικῷ, τὸ δὲ λογικὸν τινὶ ζώῳ γίνεται ὁ τέταρτος τρόπος τοῦ α´ σχήματος ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. τὸ ἄρα ἄλογον τινὶ ζώῳ. δεῖ δὲ λαμβάνειν ὅρους, ὥσπερ καὶ ἐπὶ τοῦ τετάρτου τρόπου τοῦ α´ σχήματος ἀντιδιῃρημένα ἀλλήλοις εἴδη καὶ κοινόν τι ἀμφοῖν.





καὶ τὸ μὲν κοινὸν ποιεῖν ἐλάττονα ὅρον. τῶν δὲ ἀντιδιῃρημένων τὸ μὲν, μείζονα τὸ δὲ, μέσον ὅρον.

Ὁ γὰρ αὐτὸς ἔσται τρόπος τῆς δείξεως ἀντιστραφείσης τῆς ρσ´ προτάσεως. Ὁ αὐτὸς τῷ προτέρῳ τρόπῳ ὥσπερ γὰρ ἐν ἐκείνῳ ἀντιστρέφοντες τὴν ἐλάττονα πρότασιν καθόλου καταφατικὴν οὖσαν ἐποιοῦμεν μερικὴν καταφατικὴν καὶ ἐγίνετο ὁ τρίτος τρόπος τοῦ α´ σχήματος ἐκ τῆς μείζονος καθόλου τῆς δ᾽ ἐλάττονος μερικῆς καταφατικῆς, οὕτω κἀν τούτῳ τῷ τρόπῳ, τῆς αὐτῆς ἀντιστραφείσης γίνεται ὁ τέταρτος τρόπος τοῦ α´ σχήματος μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. δειχθείη δ᾽ ἂν καὶ διὰ τοῦ ἀδυνάτου καθάπερ ἐπὶ τοῦ προτέρου. εἰ γὰρ ψεῦδος τὸ μὴ παντὶ τὸ π´ τῷ ρ´ ὑπάρχειν. τουτέστι τὸ ἄλογον τῷ ζώῳ, ἀληθὲς τὸ παντί. τοῦτο γὰρ ἀντιφατικῶς ἀντίκειται. εἰ τοίνυν τὸ μὲν ἄλογον τουτέστι τὸ π´ τεθείη κατὰ τὸν ἀντιλέγοντα παντὶ τῷ ρ´ τουτέστι τῷ ζώῳ ὑπάρχειν. ἦν δὲ καὶ τὸ ρ´ παντὶ τῷ σ´ τουτέστι τὸ ζῶον παντὶ τῷ λογικῷ. δῆλον ὅτι γίνεται ὁ α´ τρόπος τοῦ α´ σχήματος ἐκ δύο καθόλου καταφατικῶν καθόλου καταφατικὸν συνάγων συμπέρασμα. ὅτι τὸ π´ τουτέστι τὸ ἄλογον, παντὶ τῷ σ´ τουτέστι τῷ λογικῷ ὑπάρχει. ὑπέκειτο δὲ ἐξ ἀρχῆς οὐδενί. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενὶ ὅπερ ἀδύνατον. τὸ ἀδύνατον δὲ τί ἠκολούθησεν, διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ π´ παντὶ τῷ ρ´ ὑπάρχειν. ψευδὴς ἄρα ἡ ὑπόθεσις αὕτη. ἐπειδὴ μηδεμιᾷ ἀληθεῖ ὑποθέσει ψεῦδος ἀκολουθεῖ. ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ μὴ παντὶ τῷ ρ´ τὸ π´ ὅπερ ἔδει δεῖξαι. δυνατὸν δὲ καὶ τῇ δι᾽ ἐκθέσεως δείξει κἀπὶ ταύτης τῆς συζυγίας χρήσασθαι. εἰ γὰρ τὸ ζῶον παντὶ λογικῷ ὑπάρχει. μέρος ἄρα τοῦ ζώου ἐστὶ τὸ λογικόν. εἰ τοίνυν μηδενὶ λογικῷ τὸ ἄλογον ὑπάρχει. μέρει ὄντι τοῦ ζώου τῷ λογικῷ, τὸ ἄλογον οὐχ ὑπάρχει. ἢ καὶ οὕτως. εἰ ληφθείη τι τοῦ λογικοῦ οἷον ὁ ἄνθρωπος, δῆλον ὡς μέρος ἐστὶ τοῦ ζώου. ἐπεὶ οὖν τὸ ἄλογον οὐδενὶ λογικῷ, ὥστε οὐδὲ τῷ ἀνθρώπῳ, ὅς μέρος ἐστὶ τοῦ ζώου. οὐ παντὶ ἄρα ζώῳ ὑπάρχει ὁ ἄνθρωπος.

» ΕΑΝ δὲ τὸ μὲν ρ´ μηδενὶ τῷ σ´, τὸ δὲ π´ παντὶ ὑπάρχει τῷ σ´, οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν. ζῶον. ἵππος. ἄνθρωπος. τοῦ μὴ ὑπάρχειν. ζῶον. ἄψυχον. ἄνθρωπος.

Πρῶτος τρόπος ἀσυλλόγιστος ἐν τούτῳ τῷ σχήματι ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. διὰ τὸ μὴ ἔχειν τὴν συζυγίαν τὸ ἴδιον τοῦ γ´ σχήματος ὅπερ ἦν τὸ εἶναι τὴν ἐλάττονα καταφατικήν. συνάγεται γὰρ ἐν τούτῳ τὸ παντὶ καὶ τὸ οὐδενί. οἷον τὸ μὲν παντὶ οὕτως. ζῶον κατὰ παντὸς ἀνθρώπου. ἵππος κατ᾽ οὐδενὸς ἀνθρώπου. καὶ συνάγεται ζῶον κατὰ παντὸς ἵππου τὸ δὲ οὐδενί, οὕτως. ζῶον παντὶ ἀνθρώπῳ. ἄψυχον οὐδενὶ ἀνθρώπῳ. καὶ συμπέρασμα ζῶον οὐδενὶ ἀψύχῳ. ἄξιον δὲ ἐπιστῆσαι ὅτι ἐν μὲν τῷ α´ σχήματι παραδείγματα παρατιθέμενος, τὸν μείζονα ὅρον,





μείζονα εἶναι καθόλου. καὶ τὸ τὴν ἐλάττονα καταφατικήν. ἐπὶ δὲ τοῦ δευτέρου. τὸ τὴν μὲν μείζονα εἶναι καθόλου. τὴν δὲ ἐλάττονα ἀντικειμένας σχήμασι. ἐπὶ δὲ τοῦ τρίτου ἐξαρκεῖ ἀποποιῆσαι τὰς συλλογιστικὰς προτάσεις. τὸ, τὴν ἐλάττονα μόνην εἶναι καταφατικήν. ὅτι δὲ ἔνθα πλείους αἱ διαφοραὶ ὁ ἀριθμὸς τοῦ ὑποκειμένου συστέλλεται, δῆλον. καὶ γοῦν τὸ ζῷον ἐν ὅσῳ μὲν τὰς δύο μόνας ἔχει διαφορὰς τό τε ἔμψυχον καὶ τὸ αἰσθητικόν. ἐπὶ πλέον ἐστὶ τοῦ ἀνθρώπου. γενομένης δὲ τῆς τοῦ λογικοῦ καὶ θνητοῦ διαφορᾶς. εἰς μόνον περιίστησι τὸν ἄνθρωπον. ἀεὶ γὰρ ἡ προσθήκη τῶν διαφορῶν προσδιορισμῶν ἐλάττω τὰ πράγματα ποιεῖ. πάντα δὲ τὰ συμπεράσματα μερικὰ συνάγεται ἐν τούτῳ τῷ σχήματι.

ΜΕΣΟΝ δ' ἐν αὐτῷ λέγω, καθ' οὗ ἄμφω κατηγορούμενα. ἄκρα δὲ τὰ κατηγορούμενα.

Εἴρηται ὅτι ἡ τάξις τῶν σχημάτων. ἐκ τῆς τοῦ μέσου πρὸς τὰ ἄκρα σχέσεως εἴληπται. διὰ τοῦτο νῦν ὡς τὴν ἐσχάτην ἔχοντος ἐν τούτῳ τῷ σχήματι τοῦ μέσου ὅρου τάξιν ἀμφοτέροις γὰρ ὑπόκειται τοῖς ἄκροις καὶ τὸ σχῆμα τὴν ἐσχάτην τῶν λοιπῶν ἀνείληφε τάξιν.

ΜΕΙΖΟΝ δ' ἄκρον, τὸ πορρώτερον τοῦ μέσου. ἔλαττον δὲ, τὸ ἐγγύτερον.


Ὁ μείζων ὅρος ἐν τούτῳ τῷ σχήματι δὶς κατηγορεῖται. τοῦ τε γὰρ μέσου καὶ τοῦ συμπεράσματος, ὁ δὲ ἐλάττων ἅπαξ κατηγορεῖται. τοῦ γὰρ μέσου μόνου. ὑπόκειται δὲ τῷ μείζονι ἐν τῷ συμπεράσματι. ~~δὲ ὁ~~ μέσος μόνως ὑπόκειται. οὐδέποτε δὲ κατηγορεῖται. διὸ μείζονα ὅρον τὸν πορρώτερον τοῦ μέσου φησί. πορρώτερον δὲ ἂν εἴη κατὰ σύγκρισιν τοῦ μηδὲ ὅλως κατηγορουμένου. ἀεὶ δὲ ὑποκειμένου, ὁ ἀεὶ κατηγορούμενος. καὶ οὐδέποτε ὑποκείμενος ὅπερ ἐστὶν ὁ μείζων. ἐγγίων δὲ μᾶλλον. ὁ ποτὲ μὲν, ὑποκείμενος ποτὲ δὲ κατηγορούμενος. οὗτος δὲ ἐστὶν ὁ ἐλάχιστος.

ΤΙΘΕΤΑΙ ΔΕ τὸ μέσον, ἔξω μὲν τῶν ἄκρων, ἔσχατον δὲ τῇ θέσει. τέλειος μὲν οὖν οὐ γίνεται συλλογισμός. οὐδὲ ἐν τούτῳ τῷ σχήματι. δυνατὸς δ' ἔσται καὶ καθόλου, καὶ μὴ καθόλου τῶν ὅρων ὄντων πρὸς τὸ μέσον.

Ἔξω μὲν διότι οὐ κατ' εὐθεῖαν τῶν ἄκρων. ἔσχατον δὲ διότι ὑποκάτω.

ΚΑΘΟΛΟΥ μὲν οὖν ὄντων τῶν ὅρων, ὅταν καὶ τὸ π' καὶ τὸ ρ' παντὶ τῷ σ' ὑπάρχῃ, ἔσται συλλογισμός. ὅτι τινὶ τῷ ρ' τὸ π' ὑπάρξει ἐξ ἀνάγκης. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ κατηγορικόν, ὑπάρξει τὸ σ' τινὶ τῷ ρ'. ὥστ' ἐπεὶ τῷ μὲν σ' παντὶ, τὸ π'. τῷ δὲ ρ' τινὶ τὸ σ'. ἀνάγκη τὸ π' τινὶ τῷ ρ' ὑπάρχειν. γίνεται γὰρ συλλογισμὸς διὰ τοῦ πρώτου σχήματος. ἔτι δὲ καὶ διὰ τοῦ ἀδυνάτου.

Πρῶτος οὗτος τρόπος συλλογιστικὸς ἐν τούτῳ τῷ σχήματι ἐξ ἀμφοτέρων καθόλου καταφατικῶν, μερικὸν καταφατικὸν συνάγων συμπέρασμα, οἷον ζῷον κατὰ παντὸς ἀνθρώπου. οὐσία κατὰ παντὸς ἀνθρώπου. καὶ συμπέρασμα ζῷον κατά τινος οὐσίας. ἐπεὶ γὰρ ἡ καθόλου καταφατικὴ πρὸς τὴν μερικὴν ἀντιστρέφει καταφατικήν. ἡ δὲ οὐσία παντὶ ἀνθρώπῳ. καὶ ὁ ἄνθρωπος τινὶ οὐσίᾳ. γίνεται γὰρ ὁ τρίτος τρόπος τοῦ α' σχήματος ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου. ἄνθρωπος, κατά τινος οὐσίας. ζῷον ἄρα τινὶ οὐσίᾳ. οὐσία ἄρα τινὶ ζῴῳ. δεῖ δὲ λαμβάνειν ἐπὶ τούτου τοῦ τρόπου. ὥσπερ ἐπὶ τοῦ τρίτου τρόπου τοῦ α' σχήματος γένος καὶ εἶδος καὶ κοινὸν ἀμφοῖν. καὶ τὸ μὲν γένος μείζονα ὅρον τιθέναι. τὸ δὲ εἶδος μέσον. τὸ δὲ κοινὸν ἀμφοῖν, ἐλάττονα. καὶ



ἡ μὲν ἐπ' εὐθείας δεῖξις ἐστὶν αὕτη. λαμβάνει δὲ στοιχεῖα τὸ π' καὶ τὸ ρ' καὶ τὸ σ'. τὴν ὕφεσιν δεικνύει τοῦ γ' σχήματος διὰ τῆς ὑφέσεως τῆς κατὰ τὴν τάξιν τῶν στοιχείων. τίθησι δὲ τὸ σ' μέσον ὅρον. δεικνὺς τὴν ὕφεσιν αὐτοῦ τὴν πρὸς τοὺς ἄκρους διὰ τῆς κατὰ τὴν τάξιν ὑφέσεως τοῦ σ' τῆς πρὸς τὸ π' καὶ ρ'. ἔστι δὲ καὶ διὰ τοῦ ἀδυνάτου καὶ διὰ τοῦ ἐκθέσθαι ποιεῖν τὴν ἀπόδειξιν. εἰ γὰρ ἐπὶ παντὸς ἀνάγκη ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθεύειν τὰς ἀντιφατικῶς ἀντικειμένας. εἴ τις ὑπόθοιτο ψεῦδος εἶναι τὸ τινὶ τῷ ρ' τὸ π' ὑπάρχειν. ἀνάγκη τὸ ἀντιφατικῶς ἀντικείμενον εἶναι ἀληθὲς τὸ οὐδενί. ὑποκείσθω οὖν τὸ π' τουτέστι τὸ ζῷον, καθὼς ὁ ἀντιλέγων βούλεται, μηδενὶ τῷ ρ' ὑπάρχειν τουτέστι τῇ οὐσίᾳ. ὑπέκειτο δὲ τὸ ρ' τουτέστιν ἡ οὐσία παντὶ τῷ σ' ὑπάρχειν, τουτέστι τῷ ἀνθρώπῳ. γίνεται οὖν ὁ δεύτερος τρόπος τοῦ α' σχήματος ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα. τὸ ἄρα π' οὐδενὶ τῷ σ' ὑπάρχει τουτέστι τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ. ὑπέκειτο δὲ καὶ παντί. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενί. ὅπερ ἀδύνατον. τὸ δὲ ἀδύνατον ἠκολούθησε, διὰ τὸ ὑποθέσθαι ὅτι τὸ π' οὐδενὶ τῷ ρ'. ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ τινὶ τῷ ρ' τὸ π' ὅπερ ἔδει δεῖξαι.


ΚΑΙ τοῦ γὰρ ἐκθέσθαι ποιεῖν τὴν ἀπόδειξιν, εἰ γὰρ ἄμφω παντὶ τῷ σ' ὑπάρχει. ἂν ληφθῇ τι τῶν σ' οἷον τὸ ν', τούτῳ καὶ τὸ π' καὶ τὸ ρ' ὑπάρξει. ὥστε τινὶ τῷ ρ', τὸ π' ὑπάρξει.


Ὅρα πῶς καὶ ἄλλως οὐδὲν διαφέρουσαν τὴν ἔκθεσιν τῆς ἀντιστροφῆς τῆς μερικῆς καταφατικῆς ὡς ἐλέγομεν ἐν τῷ περὶ ἀντιστροφῶν λόγῳ. νῦν γὰρ μετὰ τὸ ἀποδεῖξαι διὰ τῆς ἀντιστροφῆς. φησὶ δυνατὸν καὶ

λαβεῖν ὅρους διὰ τὴν εἰρημένην ἔμπροσθεν αἰτίαν· ὅτι ἰσοδυναμεῖ ἡ μερικὴ καταφατικὴ τῇ μερικῇ ἀποφατικῇ· ὑποδυομένη τὴν συλλογιστικὴν συζυγίαν διὸ πάλιν ἐκ τοῦ ἀδιορίστου κατασκευαστέον. ἰσοδυναμοῦσαι λαμβάνονται τὴν μερικὴν καταφατικὴν τῇ καθόλου· καὶ οὐ δι' ἑαυτὴν ἀληθεύουσαι. καὶ οὕτω δεικτέον ἀσυλλόγιστον τὴν συζυγίαν· καὶ συνάγουσι καὶ τὸ παντὶ οὕτως· οὐσία παντὶ ζώῳ· οὐσία τινὶ ἀνθρώπῳ· καὶ συμπέρασμα· ζῶον παντὶ ἀνθρώπῳ.

» ΕΙ δὲ τὸ καθόλου πρὸς τὸ ἔλαττον ἄκρον ἐστί· καὶ τὸ μ. τῷ μὲν ξ' μηδενὶ, τῷ δὲ ν' τινὶ μὴ ὑπάρχει,
» ἐνδέχεται τὸ ν' τῷ ξ', καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν· ὅροι τοῦ ὑπάρχειν· λευκόν· ζῶον· κόραξ. τοῦ μὴ ὑ-
» πάρχειν· λευκόν· λίθος· κόραξ.


Ἕβδομος οὗτος τρόπος ἀσυλλόγιστος ἐκ μερικῆς ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος· οἷον τοῦ μὲν παντὶ ὅροι, οὕτως λευκὸν οὐ παντὶ ζώῳ· λευκὸν οὐδενὶ κόρακι. καὶ συμπέρασμα· ζῶον παντὶ κόρακι. τοῦ δὲ μηδενί· λευκὸν οὐ παντὶ λίθῳ· λευκὸν οὐδενὶ κόρακι. καὶ συνάγεται λίθος οὐδενὶ κόρακι. οὐδὲν δὲ ἡμῖν διαφέρει διὰ τὴν μερικὴν ἀποφατικὴν ἐν ταύτῃ τῇ συζυγίᾳ· ἐπειδὴ κἂν ληφθῇ ἰσοδυναμοῦσα τῇ μερικῇ καταφατικῇ· οὐδὲν ἧττόν ἐστιν ἀσυλλόγιστος· ἡ γὰρ μείζων ὁποία ποτ' ἂν ᾖ μερικὴ ἐστὶν ἀσυλλόγιστον ποιεῖ τὴν συζυγίαν.






» ΕΙ δὲ κατηγορικαὶ αἱ προτάσεις, ὅροι τοῦ μὴ ὑπάρχειν· λευκόν, ζῶον, χιών· τοῦ δὲ ὑπάρχειν λευκόν,
» ζῶον, κύκνος· φανερὸν οὖν ὅταν ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις, καὶ ἡ μὲν καθόλου, ἡ δὲ ἐν μέρει, ὅτι
» οὐδαμῶς γίνεται συλλογισμός.

Ὄγδοος οὗτος τρόπος ἀσυλλόγιστος· ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς· αἴτιον δὲ κἀνταῦθα τὸ ὁμοιόσχημον τῶν προτάσεων· οἷον λευκὸν τινὶ ζώῳ· λευκὸν πάσῃ χιόνι· καὶ συμπέρασμα ζῶον οὐδὲ μιᾷ χιόνι. τοῦ δὲ παντὶ λευκὸν τινὶ ζώῳ· λευκὸν παντὶ κύκνῳ· καὶ συμπέρασμα ζῶον παντὶ κύκνῳ· τοιαῦται αἱ ἀσυλλόγιστοι συζυγίαι, ἐκ τῆς μιᾶς καθόλου· τῆς δὲ ἑτέρας μερικῆς ὅταν ὦσιν ὁμοιοσχήμονες.



» ΑΛΛ' οὐδ' εἰ τινὶ ἑκατέρῳ ὑπάρχει ἢ μὴ ὑπάρχει, ἢ τῷ μὲν τινὶ, τῷ
» δὲ μὴ, ἢ μὴ δὲ τῷ παντὶ, ἢ ἀδιορίστως· ὅροι δὲ κοινοὶ πάντων· λευκόν, ζῶον
» ἄνθρωπος· λευκόν, ζῶον, ἄψυχον, φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι ἐὰν
» τε οὕτως ἔχωσιν οἱ ὅροι πρὸς ἀλλήλους ὡς ἐλέχθη, γίνεται συλλογισμός,
» ἐξ ἀνάγκης· ἄν τε ᾖ συλλογισμός, ἀνάγκη τοὺς ὅρους οὕτως ἔχειν. δῆλον δὲ
» καὶ ὅτι πάντες ἀτελεῖς εἰσὶν οἱ ἐν τούτῳ τῷ σχήματι συλλογισμοί· πάντες
» γὰρ ἐπιτελοῦνται προσλαμβανομένων τινῶν.



Ἐνταῦθα ἐφεξῆς ιϛ' πλέκει ἀσυλλογίστους συζυγίας· τεσσάρων οὐσῶν ἐν τοῖς προτάσεσιν· τῆς μερικῆς ἀποφατικῆς καὶ καταφατικῆς καὶ ἀπροσδιορίστου καταφατικῆς καὶ ἀποφατικῆς· καὶ γὰρ τῆς μείζονος καθ' ἕνα τούτων λαμβανομένης ἡ ἐλάττων· ποικίλλεται κατὰ τὰς τέσσαρας· τετράκις οὖν τὰ δ' τὰ ιϛ'· εὐπορεῖ δὲ ἤδη πάντων κοινῶν ὅρων· δι' ὧν πάσας ἀσυλλογίστους δείκνυσιν ὡς καὶ τὸ παντὶ καὶ οὐδενὶ συναγούσας· τοῦ μὲν παντὶ λευκὸν τινὶ ζώῳ· λευκὸν τινὶ ἀνθρώπῳ. καὶ συνάγεται ζῶον παντὶ ἀνθρώπῳ. τοῦ δὲ μηδενί· λευκὸν τινὶ ζώῳ. λευκὸν τινὶ ἀψύχῳ. καὶ ζῶον οὐδενὶ ἀψύχῳ.

» Ἀλλ' ἢ ἐνυπάρχει τοῖς ὅροις ἐξ ἀνάγκης, ἢ τίθεται ὡς ὑποθέσεις, οἷον ὅταν διὰ τοῦ ἀδυνάτου δεικνύωμεν, καὶ ὅτι οὐ γίνεται καταφατικὸς συλλογισμὸς διὰ τούτου τοῦ σχήματος· ἀλλὰ πάντες στερητικοί, καὶ οἱ καθόλου, καὶ οἱ κατὰ μέρος.

Ἐνυπάρχει μὲν τὰ κατὰ ἀντιστροφὴν περαινόμενα· τίθεται δὲ ὡς ὑποθέσεις τὰ λήμματα τῆς εἰς τὸ ἀδύνατον ἀπαγωγῆς.

» ΟΤΑΝ δὲ τῷ αὐτῷ· τὸ μὲν παντὶ, τὸ δὲ μηδενὶ ὑπάρχει, ἢ ἄμφω παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ
» τοιοῦτον καλῶ τρίτον.


Πέρας ἀπείληφε· καὶ τὸ β' σχῆμα· ἐντεῦθεν λοιπὸν τὸ τρίτον· ἐν ᾧ ὁ μέσος ὅρος ἀμφοτέροις τοῖς ἄκροις
» ὑπόκειται· διὸ ἐν μὲν τῷ δευτέρῳ σχήματι εἶπεν. Ὅταν δὲ ~~τῷ αὐτῷ~~ τῷ μὲν παντὶ τῷ δὲ μηδενί. ἐπειδὴ ἀμφοτέρων ἐκεῖ κατηγορεῖτο ὁ μέσος· ἐνταῦθα δὲ φησὶν· ὅταν δὲ τῷ αὐτῷ. ἴδιον δὲ τούτου τοῦ σχήματος τὴν ἐλάττονα μόνον ἔχειν καταφατικήν· ὅθεν καὶ τῶν ἄλλων σχημάτων πλείους ἔχον τὰς συλλογιστικὰς συζυγίας, τοῦτο ἓξ συζυγιῶν συλλογιστικῶν εὐπορήσει. ἐπ' ἐκείνων μὲν γὰρ πλείους εἰσὶν αἱ διαφοραὶ εἰς τὰς συλλογιστικὰς προτάσεις ἐπιγινώσκομεν· οἷον ἤδη μὲν τοῦ πρώτου, καὶ τὸ τῶν

τὸ αὐτό

ὍΤΑΝ δὲ ὁμοιοσχήμονες ὦσιν αἱ προτάσεις, οἷον ἀμφότεραι στερητικαὶ ἢ καταφατικαί, οὐδαμῶς ἔσται συλλογισμός. ἔστωσαν γὰρ πρῶτον στερητικαί, καὶ τὸ καθόλου κείσθω πρὸς τὸ μεῖζον ἄκρον, οἷον τὸ μ΄ τῷ μὲν ν΄, μηδενί. τῷ δὲ ξ΄ τινὶ μὴ ὑπαρχέτω. ἐνδέχεται δὴ καὶ παντὶ καὶ μηδενὶ τῷ ξ΄ τὸ ν΄ ὑπάρχειν. ὅροι τοῦ μὲν μηδενὶ ὑπάρχειν, μέλαν. χιών. ζῷον.

Ἴδιον τούτου τοῦ σχήματος ὡς πολλάκις εἰρήκαμεν εἶναι τὸ δεῖν τὴν μὲν μείζονα εἶναι καθόλου. τὴν δὲ ἐλάττονα ἀνομοιοσχήμονα τῇ μείζονι. οἱ μὲν οὖν εἰρημένοι ἀσυλλόγιστοι δύο τρόποι κατὰ τὸ ποσὸν ἐσφάλλοντο. τὴν γὰρ μείζονα μερικὴν ἐλάμβανον. ἣν ἐχρῆν εἶναι καθόλου. εἴπερ ἔμελλον συλλογιστικαὶ γίνεσθαι συζυγίαι. οἱ δὲ νῦν λεγόμενοι κατὰ τὸ ποιὸν ἡμάρτηνται. λαμβάνουσι γὰρ ὁμοιοσχήμονας ἀμφοτέρας τὰς προτάσεις. δείκνυσιν οὖν αὐτὰς ὁ φιλόσοφος ἀσυλλογίστους. λαμβάνει δὲ πρῶτον. τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς, παράδειγμα τοῦ μὲν μηδενὶ ὑπάρχειν οὕτω ζῷον, οὐδεμιᾷ χιόνι. ζῷον, οὐ παντὶ μέλανι. καὶ συμπέρασμα, χιὼν οὐδενὶ μέλανι.

ΤΟΥ δὲ παντὶ ὑπάρχειν, οὐκ ἔστι λαβεῖν ὅρους, εἰ τὸ μ΄ τῷ ξ΄ τινὶ μὲν ὑπάρχει, τινὶ δὲ μή. εἰ γὰρ παντὶ τῷ ξ΄ τὸ ν΄. τὸ δὲ μ΄ μηδενὶ τῷ ν΄, τὸ μ΄ ἄρα οὐδενὶ τῷ ξ΄ ὑπάρξει. ἀλλ᾽ ὑπέκειτο τινὶ ὑπάρχειν. οὕτω μὲν οὖν οὐκ ἐγχωρεῖ λαβεῖν ὅρους.




Εἴρηται καὶ ἐν τοῖς ἔμπροσθεν ὅτι ἡ μερικὴ ἀποφατική. ποτὲ μὲν ἰσοδυναμεῖ τῇ καθόλου ἀποφατικῇ. ποτὲ δὲ τῇ μερικῇ καταφατικῇ. ἐπὶ μὲν γὰρ τῆς ἐνδεχομένης ὕλης τῇ μερικῇ καταφατικῇ ἰσοδυναμεῖ. εἰ γὰρ ἀληθὲς ὅτι μὴ πᾶς ἄνθρωπος λευκός, ἀληθὲς καὶ ὅτι τις ἄνθρωπος λευκός. ἐπὶ δὲ τῆς ἀδυνάτου ὕλης, τῇ καθόλου ἀποφατικῇ ἰσοδυναμεῖ. εἰ γὰρ μηδεὶς πτερωτὸς καὶ οὐ πᾶς πτερωτός. ὥστε τὴν ἀλήθειαν ἔχει ἡ μερικὴ ἀποφατική. ποτὲ μὲν δι᾽ ἑαυτήν, ποτὲ δὲ διὰ τὴν καθόλου. ἐπὶ μὲν γὰρ τῆς ἐνδεχομένης ὕλης δι᾽ ἑαυτήν. διὸ καὶ ἰσοδυναμεῖ τῇ μερικῇ καταφατικῇ. ἐπὶ δὲ τῆς ἀδυνάτου, διὰ τὴν καθόλου ἀποφατικήν. διὸ καὶ ἰσοδυναμεῖ αὐτῇ. ἐπειδὴ οὖν νῦν ἡ ἐλάττων πρότασις μερικὴ οὖσα ἀποφατικὴ ἐὰν ληφθῇ δι᾽ ἑαυτὴν οὖσα ἀληθής. οὐκ ἔστιν εὑρεῖν ὅρους τὸ παντὶ ὑπάρχειν συνάγοντας. τῇ δὲ εἰς ἀδύνατον ἀπαγωγῇ δείκνυσιν. ὅτι οὐ δυνατὸν τὸ παντὶ συνάγειν ἐκ τῶν τοιούτων ὅρων. εἰ γὰρ δυνατόν φησιν ὑπαρχέτω τὸ ν΄ παντὶ τῷ ξ΄. ἐπειδὴ οὖν ὑπέκειτο τὸ μ΄ μηδενὶ τῷ ν΄ ὑπάρχειν. ἔστι δὲ καὶ τὸ ν΄ παντὶ τῷ ξ΄. τὸ ἄρα μ΄ οὐδενὶ τῷ ξ΄ ὑπάρξει. ὑπέκειτο δὲ καὶ τινί. οὕτω γὰρ ἐλήφθη ἡ μερικὴ ἀποφατικὴ ἰσοδυναμοῦσα τῇ μερικῇ καταφατικῇ. τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενὶ ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἄρα ἠκολούθησεν, διὰ τὸ ὑποθέσθαι ἡμᾶς δυνατὸν εἶναι λαβεῖν ὅρους συνάγοντας τὸ παντὶ τῷ ξ΄ τὸ ν΄. τῆς μ΄ ξ΄ προτάσεως τουτέστι τῆς ἐλάττονος τινὶ μὲν ὑπαρχούσης, τινὶ δὲ μή. οὐκ ἄρα δυνατὸν τὸ παντὶ συνάγειν οὕτω λαμβανομένης τῆς μερικῆς τουτέστιν ἐπαμφοτεριζούσης.


ΕΚ δὲ τοῦ ἀδιορίστου δεικτέον. ἐπεὶ γὰρ ἀληθεύεται τὸ τινὶ μὴ ὑπάρχειν τὸ μ΄ τῷ ξ΄, καὶ εἰ μηδενὶ ὑπάρχει, μηδενὶ δὲ ὑπάρχοντος, οὐκ ἦν συλλογισμός. φανερὸν ὅτι οὐδὲ νῦν ἔσται.


Ἀδιόριστον καλεῖ τὸ τινὶ μὴ ὑπάρχειν. διὰ τὸ μὴ ἔχειν ὡς εἴπομεν ὡρισμένην τὴν σημασίαν ἀλλὰ δύνασθαι καὶ ἀντὶ τῆς μερικῆς καταφατικῆς λαμβάνεσθαι. καὶ ἀντὶ τῆς καθόλου ἀποφατικῆς. ἐπεὶ οὖν φησιν ἀδιόριστος ἡ σημασία. ἐὰν ληφθῇ ἡ ἰσοδυναμοῦσα τῇ καθόλου ἀποφατικῇ. δῆλον ὅτι ἀσυλλόγιστος ἔσται. τηνικαῦτα τὸ συνάγει καὶ παντί. οἷον ζῷον οὐδενὶ ἀψύχῳ. ζῷον οὐ παντὶ λίθῳ. καὶ συμπέρασμα ἄψυχον παντὶ λίθῳ.

ΠΑΛΙΝ ἔστωσαν κατηγορικαί, καὶ τὸ καθόλου κείσθω ὁμοίως. οἷον, τὸ μ΄ τῷ μὲν ν΄ παντί, τῷ δὲ ξ΄ τινὶ ὑπαρχέτω. ἐνδέχεται δὲ τὸ ν΄, τῷ ξ΄, καὶ παντὶ καὶ μηδενὶ ὑπάρχειν. ὅροι τοῦ μηδενὶ ὑπάρχειν, λευκόν. κύκνος. λίθος. τοῦ δὲ παντί, οὐκ ἔσται λαβεῖν διὰ τὴν αὐτὴν αἰτίαν. ἣν καὶ πρότερον ἔφαμεν. ἀλλ᾽ ἐκ τοῦ ἀδιορίστου δεικτέον.

Ἕκτος τρόπος ἀσυλλόγιστος ἐκ τῆς μείζονος καθόλου κατηγορικῆς. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, διὰ τὸ ὁμοιόσχημον πάλιν τῶν προτάσεων. παράδειγμα τοῦ μὲν μηδενὶ λευκὸν παντὶ κύκνῳ. λευκὸν τινὶ λίθῳ. καὶ συμπέρασμα κύκνος οὐδενὶ λίθῳ. τοῦ δὲ παντὶ οὐκ ἔστιν, ἁπλῶς οὐδὲ ἐνταῦθα










λαβεῖν

Εἰ ἡ μὲν καθόλου τῶν προτάσεων ᾖ, ἡ δὲ μερική.




Διαλαβὼν οὖν ἐκ τῆς τοιαύτης διαιρέσεως πρότερον περὶ τῶν δύο τμημάτων τῶν συλλογιστικῶν, μέτεισιν ἐπὶ τὰς ἀσυλλογίστους. καὶ πρῶτον ἐλέγχει τὸν πρῶτον μὲν τῶν ἀσυλλογίστων. τρίτον δὲ τὴν διαίρεσιν τὸν ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς. ἐλέγχει δὲ πάλιν καὶ τὸ παντὶ καὶ μηδενὶ συνάγουσαν τὴν συζυγίαν ὅπερ οἰκεῖα συλλογιστικῆς μεθόδου μὴ ὡρισμένα. καὶ ἀεὶ ταῦτα ἐκ τῶν αὐτῶν προτάσεων συνάγουσι τὰ συμπεράσματα. ὅροι δὲ τοῦ μὲν παντὶ οὕτως. ζῶον οὐ πάσῃ οὐσίᾳ. ζῶον παντὶ κόρακι. καὶ συμπέρασμα. ἡ οὐσία παντὶ κόρακι. τοῦ δὲ μηδενὶ οὕτω. ζῶον παντὶ λευκῷ. ζῶον παντὶ κόρακι. καὶ συμπέρασμα. λευκὸν οὐδενὶ κόρακι. οὗτος τρίτος τρόπος ἀσυλλόγιστος ἐν δευτέρῳ σχήματι.





» ΟΥΔΕ ὅταν τοῦ μὲν ε' μηδενός. τοῦ δὲ ν', τινός. ὅροι τοῦ ὑπάρχειν.
» ζῶον. οὐσία. μονάς. τοῦ δὲ μὴ ὑπάρχειν, ζῶον, οὐσία ἐπιστήμη.

Τέταρτος τρόπος ἀσυλλόγιστος ἐν δευτέρῳ σχήματι. ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. αἰτία δὲ κἀνταῦθα τοῦ ἀσυλλογίστου ἡ αὐτὴ τὸ τὴν μείζονα μερικὴν εἶναι. παραδείγματα τοῦ μὲν παντὶ οὕτως. ζῶον τινὶ οὐσίᾳ. ζῶον οὐδενὶ λίθος. καὶ συμπέρασμα οὐσία παντὶ λίθῳ. ἔστι δὲ τοῦ λίθου, αὐτὸς ἐν τῷ ἐλάττονι ὅρῳ μονάδα ἔλαβε κατὰ τοὺς πυθαγορείους ὡς εἴρηται τὴν μονάδα οὐσίαν καλῶν. τοῦ δὲ μηδὲν ζῶον τινὶ οὐσίᾳ. ζῶον οὐδὲ μιᾷ ἐπιστήμῃ. καὶ συμπέρασμα οὐσία οὐδὲ μιᾷ ἐπιστήμῃ.




» ΟΤΑΝ μὲν οὖν ἀντικείμενον ᾖ τὸ καθόλου τῷ κατὰ μέρος, εἴρηται πότε ἔσται, καὶ πότε οὐκ ἔσται συλλογισμός.

Εἴτουν προσθήκης τινὸς ἔξωθεν, ὁ λόγος οὗτος πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός, ὁμοιοσχημόνων αὐτῶν οὐσῶν. εἰ γὰρ μὴ προσυπακούσομεν τοῦτο. εὑρεθήσεται ψευδὴς ὁ λόγος. οὐ γὰρ εἶπε περὶ τῶν ὁμοιοσχημόνων προτάσεων τῆς ἑτέρας καθόλου. τῆς δὲ ἑτέρας μερικῆς. ἢ πάλιν. τὰ αὐτὰ φερόμενα πλείστα. μέλλει γὰρ ἰδίως διαλαβεῖν περὶ τῶν ἀντικειμένων ἐχουσῶν τῶν καθόλου τῷ μερικῷ.

οὐδενὶ ἀλόγῳ· καὶ τὸ ἄλογον οὐδενὶ λογικῷ. εἰ τοίνυν τὸ ἄλογον οὐδενὶ λογικῷ, τὸ δὲ λογικὸν τινὶ ζώῳ, γίνεται ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος, μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα, τὸ ἄρα ἄλογον οὐ παντὶ ζώῳ. εὐπορήσεις δὲ ὑλῶν ἐνταῦθα ὥσπερ καὶ ἐν τῷ γ΄ τρόπῳ τοῦ α΄ σχήματος τὰ ἀντιδιῃρημένα τοῦ αὐτοῦ γένους λαμβάνων· καὶ τὸ μὲν μείζονα ὅρον τιθείς, τὸ δὲ μέσον, τὸ δὲ τούτων γένος ἐλάττονα ὅρον. προέταξε δὲ τὴν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ ἐπὶ τοῦ πρώτου τρόπου εἴπομεν. διότι περ αὕτη διὰ μιᾶς μόνης ἀντιστροφῆς δείκνυται. ἡ γὰρ ἑτέρα οὐδὲ δι' ἀντιστροφῆς ὅλως, ἀλλὰ διὰ μόνης τῆς εἰς ἀδύνατον ἀπαγωγῆς ἀποδείκνυται.

ΠΑΛΙΝ εἰ τὸ μὲν μ παντὶ τῷ ν· τῷ δὲ ξ τινὶ μὴ ὑπάρξει, ἀνάγκη τῷ ν τινὶ τῷ ξ μὴ ὑπάρχειν. εἰ γὰρ παντὶ ὑπάρξει, κατηγορεῖτο δὲ καὶ τὸ μ παντὸς τοῦ ν, ἀνάγκη τὸ μ παντὶ τῷ ξ ὑπάρχειν. ὑπέκειτο δὲ τινὶ μὴ ὑπάρχειν. καὶ εἰ τῷ μ τῷ μὲν ν παντὶ ὑπάρχει, τῷ δὲ ξ μὴ παντί, ἔσται συλλογισμός· ὅτι οὐ παντὶ τῷ ξ τὸ ν. ἀπόδειξις δὲ ἡ αὐτή.



Τέταρτος τρόπος συλλογιστικὸς ἐν δευτέρῳ σχήματι· ὁ ἐκ καθόλου καταφατικῆς τῆς μείζονος, καὶ μερικῆς ἀποφατικῆς τῆς ἐλάττονος, μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. Ἰστέον δὲ ὅτι δι' ἀντιστροφῆς οὐ δυνατὸν ταύτην δεῖξαι τὴν συζυγίαν· ἄν τε γὰρ ἡ μείζων ἀντιστραφῇ, καθόλου καταφατικὴ οὖσα, πρὸς τὴν μερικὴν ἀντιστρέφει· καὶ ἀσυλλόγιστος γίνεται ἡ συζυγία. ἄν τε ἡ ἐλάττων ἀντιστραφῇ, μερικὴ οὖσα ἀποφατική, πρὸς οὐδεμίαν ἀντιστρέφει ὡς δέδεικται. διὸ μόνως διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς δεικτέον τὴν συζυγίαν, οὕτως· τὸ μ τῷ μὲν ν παντὶ ὑπαρχέτω, τῷ δὲ ξ μὴ παντί. λέγω ὅτι καὶ τῷ ν ἐξ ἀνάγκης τῷ ξ οὐ παντὶ ὑπάρξει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον. λέγω δὴ τὸ παντὶ τῷ ξ τὸ ν ὑπάρχειν. εἰ τοίνυν ὑπέκειτο μὲν ἐξ ἀρχῆς τὸ μ παντὶ τῷ ν, νῦν δὲ κατὰ τὴν τῶν ἀντιλεγόντων ὑπόθεσιν τὸ ν παντὶ τῷ ξ, ἀνάγκη τὸ μ παντὶ τῷ ξ ὑπάρχειν. ὁ γὰρ πρῶτος γίνεται τοῦ πρώτου σχήματος τρόπος. ἦν δὲ καὶ οὐ παντὶ τὸ αὐτό· ἄρα καὶ παντὶ καὶ οὐ παντί, ὅπερ ἄτοπον. ψεῦδος ἄρα τὸ παντὶ τὸ ν τῷ ξ ὑπάρχειν· ἀληθὲς δὲ τὸ οὐ παντί. εὐπορήσεις δὲ ὑλῶν κἀνταῦθα ὁμοίως τῷ τετάρτῳ τρόπῳ τοῦ πρώτου σχήματος, λαμβάνων εἶδος καὶ γένος καὶ κοινὸν ἀμφοτέρων καθολικώτερον· καὶ τιθεὶς τὸ μὲν γένος μέσον ὅρον, τὸ δὲ εἶδος μείζονα, τὸ δὲ ἐπὶ πλέον ἀμφοτέρων ἐλάττονα. ὥσπερ καὶ ἐν τῷ πρώτῳ σχήματι. ἐν μὲν γὰρ τῷ α΄ κατὰ τὰ καθόλου καταφατικὴν τίθεται· ἐν δὲ τῷ δευτέρῳ κατὰ τὴν μερικὴν ἀποφατικήν. οἷον, ζῷον παντὶ ἀνθρώπῳ· ζῷον οὐ παντὶ ἐμψύχῳ· καὶ συμπέρασμα· ἄνθρωπος οὐ παντὶ ἐμψύχῳ. τοσοῦτοι καὶ ἐν δευτέρῳ σχήματι οἱ συλλογιστικοὶ τρόποι προσδιωρισμένων οὐσῶν τῶν προτάσεων. ἐὰν δὲ ἐπὶ τῆς ἐλάττονος μερικῆς οὔσης προτάσεως ἀπροσδιόριστον λάβωμεν καταφατικὴν ἢ ἀποφατικὴν ὡς ἰσοδυναμούσης τῇ μερικῇ, τῆς μείζονος καθόλου οὔσης ἢ καταφατικῆς ἢ ἀποφατικῆς γενήσονται ἄλλαι δύο συλλογιστικαὶ συζυγίαι. ἥ τε ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς. καὶ ἡ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου ἀποφατικῆς· ὡς εἶναι τὰς πάσας συλλογιστικὰς συζυγίας ἐν δευτέρῳ σχήματι ἕξ. αἱ δὲ παρὰ ταύτας, ὡς ἀσυλλόγιστοι δείκνυνται ἅπασαι διὰ τὸ μὴ φυλάττειν τὰ τοῦ σχήματος ἴδια.

Αἱ συλλογιστικαὶ συζυγίαι ἐν δευτέρῳ σχήματι.

ἐκ α΄ καθόλου τῆς μείζονος ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καταφατικῆς	ἐκ δύο καθόλου τῆς μείζονος καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀποφατικῆς.	τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς.	τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς.	τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς.	τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου ἀποφατικῆς.


ΕΑΝ δὲ καὶ τοῦ μὲν ξ παντὸς τοῦ δὲ ν μὴ παντὸς κατηγορεῖται τὸ μ, οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν· ζῷον· οὐσία· κόραξ. τοῦ μὴ ὑπάρχειν ζῷον· λευκὸν· κόραξ.


Ἐντεῦθεν βούλεται τὰς ἀσυλλογίστους ἐλέγξαι συζυγίας. τὰς μὴ ἐκ τῶν δύο καθόλου· τὰς γὰρ ἐκ τῶν δύο καθόλου ἤδη ἀπήλεγξε. πρῶτον δὲ περὶ τῶν ἀνομοιοσχημόνων διαλαμβάνει καὶ δείκνυσιν ὡς ἀσυλλόγιστοί εἰσιν. ἐπειδὴ γὰρ ἀνάγκη εἰ συλλογιστικὸς εἴη ὁ τρόπος, καὶ ἐν τούτῳ τῷ σχήματι τὴν μείζονα εἶναι καθόλου, νῦν δὲ μερικὴ γέγονεν, δῆλον ὅτι πάντως ἀσυλλόγιστος ὁ τρόπος. διαλαμβάνει οὖν πρῶτον περὶ τῆς ἐκ μείζονος μερικῆς ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς. ἔοικε δὲ αὐτῷ ἡ τάξις τῶν συζυγιῶν εἰλῆφθαι τοιαύτης διαιρέσεως.

μενοι ἔξωθεν παράγομεν.

» ΕΑΝ δὲ τὸ μ παντὸς τοῦ ν, καὶ τοῦ ξ κατηγορῆται, οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν, οὐ-
» σία. ζῷον ἄνθρωπος. τοῦ μὴ ὑπάρχειν, οὐσία ζῷον ἀριθμός. μέσον, οὐσία.

Οὐδὲ γάρ ἐστιν ἐν ταύτῃ τῇ συζυγίᾳ, τὸ ἴδιον τοῦ δευτέρου σχήματος. λέγω δὲ τὸ ἀνομοιοσχήμονας εἶναι τὰς προτάσεις. συνάγουσι γὰρ αἱ συζυγίαι αὗται, καὶ τὸ παντὶ καὶ τὸ μηδενί. ὅροι τοῦ παντὸς, οὐσία ζῷον ἄνθρωπος. μέσον οὐσία. οὐσία παντὶ ζῴῳ ὑπάρχει, οὐσία παντὶ ἀνθρώπῳ ὑπάρχει. καὶ συμπέρασμα ζῷον παντὶ ἀνθρώπῳ ὑπάρχει. τοῦ δὲ μηδενί. οὐσία. ζῷον ἀριθμός. οὐσία παντὶ ζῴῳ. οὐσία παντὶ ἀριθμῷ. καὶ ζῷον οὐδενὶ ἀριθμῷ. τὸν δὲ ἀριθμὸν, οὐσίαν ἐκάλεσε. κατὰ τὴν δόξαν τῶν πυθαγορείων. ἐκεῖνοι γὰρ πρώτας οὐσίας ἐκάλουν τοὺς ἀριθμούς. διὸ πρὸς τὸ σαφέστερον παραληπτέον μεθ᾽ ἡμᾶς ἀντὶ τοῦ ἀριθμοῦ λίθος. ὅτι τῶν ἀψύχων λαμβάνοντες. ὁμοίως δὲ ἡ ἐκ δύο καθόλου καταφατικῶν πρότερον ἐν τούτῳ τῷ σχήματι ἀσυλλόγιστός ἐστιν. αἱ γὰρ δι᾽ ἀντιστροφῆς ἔχουσι τὸ ἀναγκαῖον ἐκ τῆς ἀναγωγῆς τῆς ἐπὶ τὸ πρῶτον σχῆμα. ἀντιστρέφοντες δὲ ταύτας ἀσυλλογίστους ποιοῦμεν τὰς πλοκάς. ὁμοίως οὐδὲ ἐν δευτέρῳ σχήματι συλλογιστικαί εἰσιν. εἰ μὲν γὰρ τὴν ἑτέραν μόνον πρότασιν ἀντιστρέψομεν ὁποιανοῦν, ποιοῦμεν τὴν ἐλάττονα καθόλου καταφατικήν. τὴν δὲ μείζονα μερικὴν καταφατικήν. εἰ δὲ τὰς δύο ἀμφοτέρας ποιοῦμεν μερικάς.






» ΟΥΔΕ ὅταν μήτε τοῦ ν μήτε τοῦ ξ μηδενὸς κατηγορῆται τὸ μ.

Τὴν ἑτέραν ἐκ δύο καθόλου ἀποφατικῶν συζυγίαν ἐκτίθεται ἀσυλλόγιστον οὖσαν. συνάγει γὰρ καὶ αὕτη τὸ παντὶ καὶ τὸ μηδενί.


» ΟΡΟΙ τοῦ ὑπάρχειν γραμμή. ζῷον ἄνθρωπος. τοῦ μὴ ὑπάρχειν. γραμ-
» μή ζῷον λίθος.

Μέσον γραμμή. γραμμὴ κατ᾽ οὐδενὸς ζῴου. γραμμὴ κατ᾽ οὐδενὸς ἀνθρώπου. καὶ συμπέρασμα ζῷον κατὰ παντὸς ἀνθρώπου. καὶ πάλιν γραμμὴ κατ᾽ οὐδενὸς ζῴου. γραμμὴ κατ᾽ οὐδενὸς λίθου. καὶ ζῷον κατ᾽ οὐδενὸς λίθου.



» ΦΑΝΕΡΟΝ οὖν ὅτι ἂν ᾖ συλλογισμὸς καθόλου τῶν ὅρων ὄντων
» ἀνάγκη τοὺς ὅρους ἔχειν ὡς ἐν ἀρχῇ εἴπομεν. ἄλλως γὰρ ἐχόντων οὐ γίνε-
» ται συμπέρασμα ἀναγκαῖον.

Ἐν ἀρχῇ γὰρ εἶπεν ὅτι συλλογιστικός ἐστι τρόπος. ἐὰν τῷ μὲν παντί. τῷ δὲ μηδενὶ ὑπάρχῃ. τὸ μέσον δηλῶν τὸ ἀνομοιοσχήμον τῶν προτάσεων.



» ΟΤΑΝ δὲ πρὸς τὸν ἕτερον ᾖ καθόλου τὸ μέσον.


Εἰπὼν περὶ τῶν ἐξ ἀμφοτέρων καθόλου τῶν προτάσεων. καὶ δείξας. δύο μὲν τὰς συλλογιστικάς. δύο δὲ τὰς ἀσυλλογίστους. βούλεται νῦν εἰπεῖν περὶ τῶν ἐκ τῆς ἑτέρας μερικῆς. τῆς δὲ ἑτέρας καθόλου. ὀκτὼ δὲ συζυγιῶν ἐκ τούτων γινομένων. δύο μόνας δείκνυσι τὰς συλλογιστικάς. τὰς δὲ λοιπὰς ἀσυλλογίστους.

» ΟΤΑΝ μὲν πρὸς τὸν μείζω γένηται τὸ καθόλου ἢ κατηγορικῶς ἢ στερητικῶς, πρὸς τὸν ἐλάττο-
» να δὲ κατὰ μέρος τὸ καὶ ἀντικειμένως τῷ καθόλου. λέγω δὲ τὸ ἀντικειμένως. εἰ μὲν τὸ καθόλου στερη-
» τικόν. τὸ ἐν μέρει καταφατικόν. εἰ δὲ κατηγορικὸν τὸ καθόλου, τὸ ἐν μέρει στερητικόν, ἀνάγκη γίνεσθαι
» συλλογισμὸν στερητικὸν κατὰ μέρος.

Τὰς δύο συλλογιστικάς. διὰ τούτων σημαίνει συζυγίας βούλεται ἀνομοιοσχήμονας οὔσας. τήν τε ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. καὶ τὴν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς. αἵτινες μερικὰ ἀποφατικὰ συνάγουσι συμπεράσματα.

» ΕΙ γὰρ τὸ μ τῷ μὲν ν μηδενί, τῷ δὲ ξ τινὶ ὑπάρχει, ἀνάγκη τὸ ν τι-
» νὶ τῷ ξ μὴ ὑπάρχειν. ἐπεὶ γὰρ ἀντιστρέφει τὸ στερητικόν, οὐδενὶ τῷ μ ὑ-
» πάρξει τὸ ν. τὸ δέ γε μ ὑπέκειτο τινὶ τῷ ξ ὑπάρχειν. ὥστε τὸ ν τινὶ τῷ
» ξ οὐχ ὑπάρξει. γίνεται γὰρ συλλογισμὸς διὰ τοῦ πρώτου σχήματος.

Οὗτος τρίτος τρόπος συλλογιστικὸς ἐν δευτέρῳ σχήματι ὁ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον λογικὸν οὐδενὶ ἀλόγῳ. λογικὸν τινὶ ζῴῳ. καὶ συμπέρασμα ἄλογον οὐ παντὶ ζῴῳ. ἐπεὶ γὰρ ἀντιστρέφει ἡ καθόλου ἀποφατική, ὥσπερ τὸ λογικὸν



ἀπὸ τοῦ ε΄ ἀρξαμένων πλέκειν. τὸ ἄρα ε΄ οὐδενὶ τῷ γ΄ ὑπάρχει. ἀλλ᾽ οὐ τοῦτο ἐβουλόμεθα δεῖξαι ὅτι τὸ ε΄ οὐδενὶ τῷ γ΄. ἀλλὰ τοὐναντίον ὅτι τὸ γ΄ οὐδενὶ τῷ ε΄. ἐπειδὴ οὖν ἀντιστρέφει ἡ καθόλου στερητικὴ ἀντιστρέψαντες τὸ συμπέρασμα ἔχομεν τὸ ζητούμενον. εἰ γὰρ τὸ ε΄ οὐδενὶ τῷ γ΄. καὶ τὸ γ΄ οὐδενὶ τῷ ε΄, δύο ἄρα ἀντιστροφῶν ἐπὶ τοῦ β΄ τρόπου ἐδεήθημεν. τῆς τε ἐλάττονος προτάσεως καὶ τοῦ συμπεράσματος. ὁμοίως δὲ εὐπορήσεις ὑλῶν καὶ ἐν τούτῳ τῷ τρόπῳ τῷ πρὸ αὐτοῦ. μόνον ἐνταῦθα τὸ μὲν οἰκεῖον μείζονα ὅρον τιθείς. τὸ δὲ ἀλλότριον, ἐλάττονα. ἔστωσαν γὰρ ὅροι, ζῷον. ἄνθρωπος. λίθος. μείζων ὁ ἄνθρωπος. μέσον τὸ ζῷον. ζῷον κατὰ παντὸς ἀνθρώπου. ζῷον κατ᾽ οὐδενὸς λίθου. καὶ συνάγει μὲν οὐκέτι τὸν μείζονα ὅρον συνάπτων τῷ ἐλάττονι ἀλλὰ τὸ ἀνάπαλιν. τὸν ἐλάττονα γὰρ ἀντιστρέψαντες, οὕτως ἐπάγομεν τὸ συμπέρασμα λέγοντες. εἰ τὸ ζῷον κατ᾽ οὐδενὸς λίθου, καὶ ὁ λίθος κατ᾽ οὐδενὸς ζώου. εἰ δὲ τοῦτο. ζῷον δὲ κατὰ παντὸς ἀνθρώπου. καὶ ὁ λίθος ἄρα κατ᾽ οὐδενὸς ἀνθρώπου. γεγένηται γὰρ πάλιν ὁ δεύτερος τρόπος ἐν α΄ σχήματι. ἀλλ᾽ ἐπεὶ οὐ τοῦτο ἦν ἡμῖν ἀποδεῖξαι. ἀλλ᾽ ὅτι ὁ ἄνθρωπος κατ᾽ οὐδενὸς λίθου. δεησόμεθα ἑτέρας ἀντιστροφῆς ἐν τῷ συμπεράσματι λέγοντες. εἰ τοίνυν λίθος κατ᾽ οὐδενὸς ἀνθρώπου, καὶ ἄνθρωπος κατ᾽ οὐδενὸς λίθου.

ἜΣΤΙ δὲ δεικνύναι ταῦτα καὶ εἰς τὸ ἀδύνατον ἀπάγοντας.

Τῶν συλλογισμῶν οἱ μὲν ἐπ᾽ εὐθείας ἀποδείκνυνται. οἱ δὲ δι᾽ ἀντιστροφῆς. οἱ δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ἣν τινὰ καὶ καλοῦσι κύκλῳ δεῖξιν. καὶ ἐπ᾽ εὐθείας μὲν πάντες οἱ ἐν τῷ πρώτῳ σχήματι ἀπεδείχθησαν. δι᾽ ἀντιστροφῆς δὲ καὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. οἵ, τε ἐν τούτῳ καὶ τῷ τρίτῳ σχήματι. ἀποδείξας οὖν τοὺς πρώτους συλλογιστικοὺς δύο τρόπους διὰ τῆς ἀντιστροφῆς, νῦν διὰ τῆς ἀδυνάτου δείκνυσι. δεῖ δὲ πρότερον ἡμᾶς εἰπεῖν τίνα τρόπον γίνεται ἡ εἰς ἀδύνατον ἀπαγωγή. ἐπειδὰν ἀποτεθῇ ὁ συλλογισμὸς ἐν τούτοις τοῖς τρόποις. τὸ δὲ συμπέρασμα θέλωμεν ἐπιβεβαιῶσαι. οὐκέτι τῇ κατ᾽ εὐθεῖαν δείξει χρώμεθα. ἀλλ᾽ ὥσπερ τινὸς ἀντιλέγοντος συγχωροῦμεν καθ᾽ ὑπόθεσιν τὸ ἀντιφατικῶς ἀντικείμενον τῷ συμπεράσματι. καὶ προσάγοντες αὐτῷ τι τῶν ὁμολογουμένων καὶ κειμένων. ἀναιροῦμεν ἕν τι τῶν ἐναργῶς ὁμολογημένων τε καὶ κειμένων. δι᾽ ὃ γὰρ ὑποτεθὲν ἀναιρεῖται τὸ ἐναργὲς καὶ ὁμολογούμενον. τοῦτο ἐλέγχεται ψεῦδος διὰ τῆς τοιαύτης ἀπαγωγῆς. τούτου δὲ δειχθέντος ψευδοῦς, τὸ ἀντικείμενον αὐτῷ ἀληθὲς εὑρίσκεται. οἷον ὡς ἐπὶ τοῦ πρώτου τρόπου. τὸ μ΄ οὐδενὶ τῷ ν΄ τὸ μ΄ παντὶ τῷ ξ΄. λέγω φησὶν ὅτι τὸ ν΄ οὐδενὶ τῷ ξ΄ ὑπάρχει. αὕτη μὲν οὖν δι᾽ εὐθείας δεῖξις. ἐν ᾧ συμπεραίνεται καθόλου ἀποφατικὸν συμπέρασμα ὅτι τὸ ν΄. οὐδενὶ τῷ ξ΄ ὑπάρχει. εἴ τις οὖν ταύτῃ τῇ δείξει ἀντιλέγοι ψευδὲς εἶναι λέγων τὸ συμπέρασμα. ἀνάγκη τὸ ἀντιφατικῶς αὐτῷ ἀντικείμενον ὑποτίθεσθαι. λέγω δὲ ὅτι τὸ ν΄, τινὶ τῷ ξ΄ ὑπάρχει. ἀνάγκη γὰρ πάσα ἐπὶ τῶν ἀντιφατικῶς ἀντικειμένων. εἰ τὸ ἕτερον ψεῦδος ἐστι τὸ ἀντικείμενον εἶναι ἀληθές. τοῦτο οὖν τὸ λῆμμα προχειρισάμενοι, δείκνυμεν αὐτῷ ἀδύνατόν τι ἀκολουθοῦν. καὶ οὕτως ὡς ψεῦδος ἐκβάλλοντες. ἐπεὶ μηδεμιᾷ ἀληθείᾳ ὑποθέσει ἀδύνατόν τι ἀκολουθεῖν. εἰσάγομεν τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ μηδενὶ τῷ ξ΄ τὸ ν΄ ὑπάρχειν. ὅπερ ἦν ἐξ ἀρχῆς. εἰ γὰρ καθὼς ὁ ἀντιλέγων βούλεται τὸ ν΄ τινὶ τῷ ξ΄ ὑπάρχει. ὑπῆρχεν δὲ ἐξ ἀρχῆς τὸ μ΄ οὐδενὶ τῷ ν΄. γίνεται ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος. ὁ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς, μερικὸν ἀποφατικὸν συνάγων συμπέρασμα. ὅτι τὸ μ΄ οὐ παντὶ τῷ ξ΄ οὕτως. τὸ μ΄ οὐδενὶ τῷ ν΄. τοῦτο γὰρ ὑπέκειτο ἐξ ἀρχῆς. τὸ ν΄ τινὶ τῷ ξ΄. τοῦτο γὰρ ὁ ἀντιλέγων βούλεται. τὸ ἄρα μ΄ οὐ παντὶ τῷ ξ΄. ὁ γὰρ τέταρτος τρόπος τοῦ α΄ σχήματος. ὑπέκειτο δὲ καὶ παντὶ τὸ μ΄ τῷ ξ΄. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐ παντὶ ὅπερ ἀδύνατον. τὸ ἀδύνατον ἄρα ἠκολούθησε. διὰ τὸ ὑποθέσθαι ἡμᾶς τὸ ν΄ τινὶ τῷ ξ΄ ὑπάρχειν. ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον. ὅτι τὸ ν΄ οὐδενὶ τῷ ξ΄. ὅπερ ἔδει δεῖξαι οὕτως ἐπὶ τοῦ πρώτου τρόπου. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δευτέρου. τὸ μ΄ τῷ μὲν ν΄ παντί. τῷ δὲ ξ΄ μηδενὶ ὑπαρχέτω. λέγω ὅτι τὸ ν΄ οὐδενὶ τῷ ξ΄. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον. ὅτι τὸ ν΄ τινὶ τῷ ξ΄. εἰ οὖν τὸ μ΄ παντὶ τῷ ν΄ ὑπέκειτο. λέγει δὲ ὁ ἀντιλέγων ὅτι τὸ ν΄ τινὶ τῷ ξ΄. γίνεται ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος. ἐκ τῆς μείζονος καθόλου. τῆς δὲ ἐλάττονος μερικῆς. μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. τὸ ἄρα μ΄ τινὶ τῷ ξ΄. ὑπέκειτο δὲ οὐδενί. τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενὶ ὅπερ ἄτοπον. τὸ ἄτοπον πάλιν ἠκολούθησεν, διὰ τὸ ὑποθέσθαι ἡμᾶς ὅτι τὸ ν΄ τινὶ τῷ ξ΄. ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ ἀντιφατικῶς ἀντικείμενον τὸ οὐδενὶ τῷ ξ΄ τὸ ν΄. ὅπερ ἔδει δεῖξαι.

ὍΤΙ μὲν οὖν γίνεται συλλογισμὸς οὕτως ἐχόντων τῶν ὅρων, φανερόν. ἀλλ᾽ οὐ τέλειος. οὐ γὰρ μόνον ἐκ τῶν ἐξ ἀρχῆς, ἀλλὰ καὶ ἐξ ἄλλων ἐπιτελεῖται τὸ ἀναγκαῖον.

τοῦ μὴ γίνεσθαι συλλογισμὸν οὕτως ἐχόντων τῶν ὅρων τέλειον. καὶ ἀποδίδωσι δύο αἰτίας. μίαν μὲν, διότι δι᾽ ἀντιστροφῆς δείκνυται. τοῦτο δὲ ἐσήμανεν διὰ τοῦ εἰπεῖν. οὐ γὰρ μόνον διὰ τῶν ἐξ ἀρχῆς. τὰ γὰρ ἐξ ἀρχῆς εἰλημμένα, οὐδὲν ἕτερόν εἰσιν. ἢ αἱ προτάσεις. ἑτέραν δὲ, ὅτι καὶ διὰ τῆς ἀδυνάτου ἀπαγωγῆς δείκνυται. ἐσήμανεν δὲ τοῦτο διὰ τοῦ εἰπεῖν ἀλλὰ καὶ ἐξ ἄλλων ἐπιτελεῖται. ἐπὶ γὰρ τῆς εἰς ἀδύνατον δείξεως. ἄλλου τινὸς ἔξωθεν δεόμεθα παρὰ τὰ ἐξ ἀρχῆς εἰλημμένα. τοῦ γὰρ συναγομένου, τὸ ἀντικεί-

μενον

ὅρον, πρῶτον αὐτὸ μέσον. ὃ μὲν γὰρ ὑπέρκειται πρῶτος τῇ θέσει. τῷ δὲ καὶ χωρὶς εἶναι τῶν ἄκρων ἔξω αὐτῶν τίθεται.

ΔΥΝΑΤΟΝ δ᾽ ἔσται· καὶ καθόλου καὶ μὴ καθόλου τῶν ἄκρων ὄντων.


Ὃ βούλεται εἰπεῖν, τοῦτό ἐστιν ὅτι ἐνδέχεται γενέσθαι συλλογισμὸν ἐν τούτῳ τῷ σχήματι κἂν τε ἀμφότεραι καθόλου ὦσιν αἱ προτάσεις. κἂν τε ἡ μὲν μία μερική, ἡ δὲ ἑτέρα καθόλου. τὸ γὰρ μὴ καθόλου τοῦτο βούλεται. οὐ γὰρ ἐνδέχεται συλλογισμὸν γενέσθαι ἐξ ἀμφοτέρων μερικῶν.

ΚΑΘΟΛΟΥ μὲν ὄντων τῶν ὅρων, ἔσται συλλογισμός, ὅταν τὸ μέσον τῷ μὲν παντί, τῷ δὲ οὐδενὶ ὑπάρχῃ. κἂν πρὸς ὁποτερῳοῦν ᾖ τὸ στερητικόν. ἄλλως δὲ οὐδαμῶς.

Δεῖ γὰρ ὡς εἴρηται πολλάκις ἀνομοιοσχήμονας εἶναι τὰς προτάσεις καὶ τὴν μὲν καταφατικὴν τὴν δὲ ἀποφατικὴν ἀεὶ εἶναι· ὡρισμένως δὲ τὴν μείζονα καθόλου.


ΚΑΤΗΓΟΡΕΙΣΘΩ γὰρ τὸ μ᾽ τοῦ μὲν ν᾽, μηδενός. τοῦ δὲ ξ᾽, παντός. ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητικόν, οὐδενὶ τῷ μ᾽ ὑπάρχει τὸ ν᾽. τὸ δέ γε μ᾽, παντὶ τῷ ξ᾽ ὑπέκειτο. ὥστε τὸ ν᾽, οὐδενὶ τῷ ξ᾽. τοῦτο γὰρ δέδεικται πρότερον.


Πρῶτος τρόπος συλλογιστικὸς ἐν δευτέρῳ σχήματι ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος καὶ καθόλου καταφατικῆς τῆς ἐλάττονος, καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα. οἷον ζῷον κατ᾽ οὐδενὸς λίθου. ζῷον κατὰ παντὸς ἀνθρώπου. καὶ συμπέρασμα λίθος κατ᾽ οὐδενὸς ἀνθρώπου. ἡ δὲ τῶν ὅλων ἀπόδειξις γίνεται, τὸν αὐτὸν τρόπον τῷ δευτέρῳ τρόπῳ τοῦ πρώτου σχήματος. ἐπεὶ καὶ διὰ τῶν αὐτῶν προτάσεων γίνεται ἀντιστραφείσης τῆς μείζονος προτάσεως. λαμβάνει δὲ αὐτὸς τι καὶ γένος. καὶ τῷ γένει τι ἀλλότριον καὶ τὸ μὲν αὐτὸς τίθησιν ἐλάττονα ὅρον. τὸ δὲ γένος μέσον. τὸ δὲ ἀλλότριον μεῖζον. ὅρα δὲ πῶς διὰ τῆς φύσεως τῶν στοιχείων, τὴν τάξιν τῶν ἡμῖν ἐνδεικνυται σχημάτων. οὐκ ἔτι τὸ ά καὶ τὸ β᾽ καὶ τὸ γ᾽ τίθησιν. ἀλλὰ τὸ μ᾽ ν᾽ ξ᾽. οὐκ ἔταξε δὲ τὸ ν᾽ μέσον ὅρον ὥσπερ ἐν τῷ α σχήματι τὸ β᾽ στοιχεῖον ἐποίησε μέσον. ἐπειδὴ ἀκριβῶς ἐνταῦθα μέσος οὐκ ἔστιν. ἀλλ᾽ ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται. διὸ ἐν τῷ γ᾽ σχήματι λαμβάνων τὸ π᾽ ρ᾽ σ᾽ στοιχεῖον, μέσον ὅρον τίθησι τὸ σ ὡς ἀμφοτέροις τοῖς ἄκροις ὑποκείμενον. καὶ χώραν διὰ τοῦτο ὅτι τὸ ἔσχατον ἐν τῷ ἀριθμῷ στοιχεῖον. Ζητήσειε δ᾽ ἄν τις τί δήποτε μὴ προτέραν τίθησι τὴν ἐκ τῆς μείζονος καταφατικῆς συζυγίαν. ὡς μετὰ τοῦ ποσοῦ καὶ τῷ ποιῷ κεκοσμημένην. οὐκ ἔστιν οὖν πρὸς τοῦτο ἄλλην αἰτίαν ἀποδοῦναι, ἢ ταύτην. ὅτι πρὸς τὸ σαφὲς τῆς δείξεως ἀπέβλεψεν ὁ φιλόσοφος. ἡ μὲν γὰρ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς, δύο ἀντιστροφῶν δεῖται ὡς μαθησόμεθα. ἡ δὲ ἐκ τῆς μείζονος ἀποφατικῆς, μιᾶς. διὰ τοῦτο οὖν ταύτην προέταξεν, ὡς εὐχερεστέραν ἔχουσαν τὴν ἀπόδειξιν. καὶ διὰ τοῦτο τῷ ά σχήματι συνεστέραν οὖσαν. λέγω γὰρ οὕτως. τὸ μ᾽, μηδενὶ τῷ ν᾽ ὑπαρχέτω. τὸ μ᾽ παντὶ τῷ ξ᾽ ὑπαρχέτω. λέγω ὅτι καὶ τὸ ν᾽ οὐδενὶ τῷ ξ᾽ ὑπάρχει. ὅτι γὰρ τοῦτο ἀληθές, δεισόμεθα ἀντιστρέψαντες τὴν μείζονα πρότασιν. ἐπεὶ γὰρ τὸ μ᾽ οὐδενὶ τῷ ν᾽ ὑπάρχει. ἀντιστρέφει δὲ ἡ καθόλου ἀποφατικὴ ὡς δέδεικται. καὶ τὸ ν᾽ οὐδενὶ ὑπάρξει τῷ μ᾽. τὸ ν᾽ οὖν οὐδενὶ τῷ μ᾽. τὸ μ᾽ παντὶ τῷ ξ᾽. καὶ γίνεται ὁ δεύτερος τρόπος τοῦ πρώτου σχήματος. ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα. τὸ ἄρα ν᾽ οὐδενὶ τῷ ξ᾽ ὑπάρχει. ὥστε μιᾶς τῆς μείζονος προτάσεως.



ΠΑΛΙΝ εἰ τὸ μ᾽ τῷ μὲν ν᾽ παντὶ τῷ δὲ ξ᾽ μηδενί, οὐδὲ τὸ ν᾽, τῷ ξ᾽ οὐδενὶ ὑπάρξει. εἰ γὰρ τὸ μ᾽ οὐδενὶ τῷ ξ᾽, οὐδὲ τὸ ξ᾽ οὐδενὶ τῷ μ᾽ ὑπάρξει. τὸ δέ γε μ᾽ παντὶ τῷ ν᾽ ὑπῆρχε. τὸ ἄρα ξ᾽ οὐδενὶ τῷ ν᾽ ὑπάρξει. γεγένηται γὰρ πάλιν τὸ πρῶτον σχῆμα. ἐπεὶ δὲ ἀντιστρέφει τὸ στερητικόν, οὐδὲ τὸ ν᾽ οὐδενὶ τῷ ξ᾽ ὑπάρξει. ὥστε ἔσται ὁ αὐτὸς συλλογισμός.

Δεύτερος οὗτος τρόπος συλλογιστικὸς ἐν δευτέρῳ σχήματι. ἐκ καθόλου καταφατικῆς τῆς μείζονος τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα. ὁ αὐτὸς δέ ἐστιν οὗτος σχεδὸν τῷ προτέρῳ. πλὴν ὅσον, ἐκεῖνος μὲν μιᾶς ἀντιστροφῆς ἐδεήθη. οὗτος δὲ δύο. αἴτιον δὲ τούτου τὸ τὴν μείζονα εἶναι καταφατικήν. καὶ διὰ τοῦτο μὴ δύνασθαι ἡμᾶς αὐτὴν ἀντιστρέψαι. ἀντιστρέφουσα γὰρ πρὸς τὴν μερικὴν ἀντιστρέφει καὶ ἀσυλλόγιστον ἐποίει τὴν συζυγίαν. τῆς μείζονος οὐκ ἐχούσης τὸ καθόλου. διὰ τοῦτο ἀνάγκη τὴν ἐλάττονα, οὕτως ἀντιστρέψαι. βουλόμεθα δεῖξαι ὅτι τὸ ν᾽ οὐδενὶ τῷ ξ᾽ ὑπάρχει διὰ τοῦ δευτέρου τρόπου τοῦ δευτέρου σχήματος καὶ λέγομεν οὕτως. τὸ μ᾽ παντὶ τῷ ν᾽ ὑπαρχέτω. τὸ μ᾽ μηδενὶ τῷ ξ᾽ ὑπαρχέτω. εἶτα ἐπεὶ καὶ ἡ καθόλου στερητικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει. καὶ τὸ ξ᾽ οὐδενὶ τῷ μ᾽ ὑπάρχει. οὐκοῦν τὸ ξ᾽ οὐδενὶ τῷ μ᾽ ὑπάρχει. τὸ μ᾽ παντὶ τῷ ν᾽. γίνεται πάλιν ὁ δεύτερος τρόπος τοῦ ά σχήματος





» διὰ τοῦτον τοῦ σχήματος. καὶ γὰρ καὶ τὸ παντὶ, καὶ τὸ μηδενὶ, καὶ τὸ τι
» νὶ, καὶ τὸ μὴ τινὶ ὑπάρχειν. καὶ καλῶ δὲ τὸ τοιοῦτον σχῆμα, πρῶτον.

Καλῶς προσέθηκεν ἐν τούτῳ τῷ σχήματι. ἐν γὰρ τῷ δευτέρῳ δυνατὸν τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν εἶναι τῆς μείζονος καταφατικῆς
» καθόλου οὔσης. Καλῶ δὲ τὸ τοιοῦτον σχῆμα πρῶτον. Εἴρηται πολλάκις καὶ ἐνταῦθα καὶ ἀλλαχοῦ ὅτι ὁπηνίκα αὐτὸς τίθησι τὰ ὀνόματα πρῶτον, τῶν πρὸ αὐτοῦ μὴ οὕτω χρησαμένων, τοῦτό φησιν ὅτι καλῶ. ἢ ὅτι λεγέσθω καὶ τὰ τοιαῦτα. ὥστε δῆλον, ὅτι αὐτοῦ ἐστιν ἡ θέσις ἡ τῶν σχημάτων ὀνομασία.

» ΟΤΑΝ δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ, ἢ ἑκατέρῳ παντὶ ἢ μηδενὶ, τὸ μὲν σχῆ
» μα τὸ τοιοῦτον, καλῶ δεύτερον. μέσον δὲ ἐν αὐτῷ λέγω, τὸ κατηγορούμενον ἀμφοῖν. ἄκρα δὲ, καθ' ὧν
» λέγεται τοῦτο.

Ἰστέον ὅτι ὑγιῶς μετὰ τὸ πρῶτον σχῆμα τὸ δεύτερον παραδίδωσι. μετὰ δὲ ταῦτα τὸ τρίτον. ἐπειδὴ γὰρ μετὰ τὴν ἀποδεικτικὴν ἡ διαλεκτική. καὶ οὕτως ἡ σοφιστική. ἔοικε δὲ τῇ μὲν ἀποδεικτικῇ τὸ πρῶτον σχῆμα, ὅτι συμπεραίνει τὸ καθόλου καταφατικόν. ὅπερ οἰκεῖον τοῦ ἀποδεικτικοῦ. τὸ δὲ δεύτερον τῇ διαλεκτικῇ, ὅτι πάντα ἀποφατικὰ συνάγει. ὁ δὲ διαλεκτικὸς ἀνασκευάζειν ἐπιχειρεῖ τὰ ὑπὸ τοῦ προσδιαλεγομένου. ὅμοιον δὲ τὸ ἀνασκευάζειν τῷ ἀποφάσκειν. τὸ δὲ τρίτον τῷ σοφιστικῷ ἔοικεν. ἐκεῖνος γὰρ διὰ ἔκπληξιν τῶν ὄντων σοφῶν περὶ τὰ μερικὰ διατρίβει. ὁμοίως δὲ καὶ τὸ γ' σχῆμα ὅλα μερικὰ συν
» άγει, ἀφ' ἧς τοι τοιαύτην καὶ τὰ σχήματα τάξιν εἰλήφασιν. Ὅταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μη
» δενὶ ὑπάρχῃ. ἢ ἑκατέρῳ παντὶ ἢ μηδενὶ τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ δεύτερον. Ὁ περὶ τοῦ πρώτου σχήματος λόγος πέρας ἀπείληφε καὶ πασῶν τῶν ἐν ἐκείνῳ συζυγιῶν ἀνελλιπῶς. καὶ αἱ μὲν συλλογιστικαὶ ἔχουσαι εἶδος ἀπεδείχθησαν. αἱ δὲ τῶν ἀσυλλογίστων ἠλέγχθησαν οὖσαι. νῦν οὖν ἐπὶ τὸ δεύτερον μεταβέβηκεν. καὶ πρώτως κἀνταῦθα ταῖς καθόλου συζυγίαις ἐπεξέρχεται. ἔστι δὲ ἴδιον τοῦτο τοῦ σχήματος τὸ τὴν μείζονα εἶναι καθόλου. τὴν δὲ ἐλάττονα ἀνομοιοσχήμονα τῇ μείζονι κατὰ τὸ ποιόν. Ὅταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ. ἢ ἑκατέρῳ μὲν, παντὶ ἢ μηδενί. Τοῦτο δῆλον ὅτι ἐν τούτῳ τῷ σχήματι ὁ μέσος ὅρος ἀμφοτέρων κατηγορεῖται τῶν ἄκρων. ἢ ἢ τοῦ μὲν καταφατικῶς, τοῦ δὲ ἀποφατικῶς. ἢ ἀμφοτέρων καταφατικῶς. ἢ ἀμφοτέρων ἀποφατικῶς. ἄρχεται δὲ ὥσπερ εἰωθὼς ἐκ τῶν καθόλου συζυγιῶν. τεσσάρων δὲ οὐσῶν τῶν ἐκ δύο καθόλου. διὰ μὲν τοῦ εἰπεῖν τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενί. τὰς καθόλου δύο ἀνομοιοσχήμους ἐσήμανεν συζυγίας, αἵ τινές εἰσι καὶ συλλογιστικαί εἰσι. διὰ δὲ τοῦ εἰπεῖν ἢ ἑκατέρῳ παντὶ ἢ μηδενὶ, τὰς ὁμοιοσχήμους καὶ λοιπὰς δύο συζυγίας ἐσήμανεν. αἵ τινές εἰσι καὶ ἀσυλλόγιστοι διὰ τὸ ὡς ἐλέγομεν δεῖν ἐν τούτῳ τῷ σχήματι τὴν μίαν πρότασιν ἀνομοιοσχήμονα εἶναι τῇ ἑτέρᾳ εἰ μέλλει συλλογιστικὴ ἔσεσθαι ἡ συζυγία.


» ΜΕΙΖΟΝ δὲ ἄκρον, τὸ πρὸς τῷ μέσῳ κείμενον. ἔλαττον δὲ, τὸ πορρώτερον τοῦ μέσου.

Ἀντὶ τοῦ συνεγγύτερον καὶ ἐγγύτερον τοῦ μέσου. οὐ τῇ θέσει. ἀλλὰ τῷ ἀξιώματι. ἐπειδὴ γὰρ ὁ μέσος ὅρος δεύτερος κατηγορεῖται. ὁ δὲ μείζων ἅπαξ ἐν τῷ συμπεράσματι. ὁ δὲ ἐλάττων οὐδὲ ἅπαξ. ἐγγυτέρω ἂν εἴη τοῦ δευτέρου κατηγορουμένου τουτέστι τοῦ μέσου ὁ ἅπαξ κατηγορούμενος. ἢ ὁ μήτε ἅπαξ. διόπερ ἀκουσόμεθα αὐτοῦ ἐν τῷ τρίτῳ σχήματι ἐγγυτέρω μὲν τοῦ μέσου καλοῦντος τὸν ἐλάττονα διὰ τὴν συνέχειαν. ὑπόκειται γὰρ ἀμφότερα, πορρώτερω δὲ τὸν μείζονα. ἴσως δὲ καὶ τῇ κατηγορίᾳ ἐγγυτέρω μᾶλλον τοῦ μέσου βούλεται τίθεσθαι τὸν μείζονα. καὶ πορρώτερω δὲ τὸν ἐλάττονα. τὸ δὲ μεῖζον ἄκρον ἐν τούτῳ τῷ σχήματι τῶν δύο προτάσεων καθόλου οὐσῶν, οὐκ ἔστι φύσει ἀλλὰ θέσει. ὃ γὰρ ἂν τῶν ἄκρων πρῶτον ὑποκείμενον ἐν τῷ δευτέρῳ σχήματι λάβῃς συλλογιζόμενον, τοῦτο ἂν εἴη τὸ ἔλαττον ἄκρον. τὸ δὲ λοιπὸν μεῖζον. οἷον πᾶς ἄνθρωπος ζῷον οὐδὲν φυτὸν ζῷον. οὐδεὶς ἄρα ἄνθρωπος φυτόν. ὁμοίως ἐὰν ἐκ τοῦ φυτοῦ τὴν ἀρχὴν ποιησώμεθα, τοῦτο γίνεται ἔλαττον ὅρος ὁ δὲ ἄνθρωπος μεῖζον. οἷον οὐδὲν φυτὸν ζῷον. πᾶς ἄνθρωπος ζῷον. οὐδὲν ἄρα φυτὸν ἄνθρωπος. θέσει ἄρα τὸ μεῖζον καὶ ἔλαττον ἐν τούτοις καὶ οὐ φύσει. εἰ μέντοι ἡ ἑτέρα τῶν προτάσεων εἴη μερική, ὥρισται τὸ μεῖζον καὶ ἔλαττον. εἴπομεν γὰρ ὅτι δεῖ ἐν τούτῳ τῷ σχήματι τὴν καθόλου μείζονα εἶναι.


» ΤΙΘΕΤΑΙ δὲ τὸ μέσον, ἔξω μὲν τῶν ἄκρων. πρῶτον δὲ τῇ θέσει. τέλειος μὲν οὖν οὐκ ἔσται
» συλλογισμὸς οὐδαμῶς ἐν τούτῳ τῷ σχήματι.

Τὴν κυρίως μὲν μέσην τάξιν ὁ μέσος ὅρος ἐκβεβηκώς. λοιπὸν ἔξω τῶν ἄκρων τίθεται. ἀλλ' ὑπεράνω τούτων, ἢ ὑποκάτω. ἀλλ' εἰ μὲν ἐπάνω ἡ ὡς ἀμφοτέρων κατηγορεῖσθαι, καλεῖται τῇ θέσει πρῶτος. εἰ δὲ κάτω ὡς ὑποκεῖσθαι, καλεῖται ἔσχατος. διὸ ἐνταῦθα ὡς ἀμφοτέρων κατηγορούμενον τὸν μέσον ὅρον,


ὑπάρχει. ληφθέντων δὲ τοιούτων ὅρων ὥστε μηδενὶ ὑπάρχειν οὐκ ἔσται συλλογισμός. τοῦτο γὰρ εἴρηται πρότερον. φανερὸν οὖν, ὅτι ἂν οὕτως ἔχῃ τοὺς ὅρους, οὐκ ἔσται συλλογισμός. ἦν γὰρ ἂν καὶ ἐπὶ τούτων. ὁμοίως δὲ δειχθήσεται. καὶ εἰ τὸ καθόλου τεθείη στερητικόν.




Τοῦτο δέ φησιν ὅπερ ἐλέγομεν. ὅτι εἰ μὴ ὑπάρχει. τουτέστιν ἡ μερικὴ ἀποφατικὴ. ποτὲ μὲν διὰ τὴν καθόλου ἀληθεύει τὴν οὐδείς. ποτὲ δὲ δι' ἑαυτήν. ληφθέντων δὲ τοιούτων ὅρων ὥστε μηδενὶ ὑπάρχειν οὐ γίνεται συλλογισμός. ὃ λέγει τοιοῦτόν ἐστιν. εἰ ληφθῇ ἡ μερικὴ ἀποφατικὴ ἐπὶ τῆς καθόλου ἀποφατικῆς, αὐτόθεν δῆλον ὅτι ἀσυλλόγιστος γίνεται ἡ συζυγία. εἰ γὰρ πᾶσα συλλογιστικὴ. καὶ ἐπὶ τῶν κυρίως ἀποφατικῶν ἔδει γενέσθαι. τοῦτο γὰρ δηλοῖ τὸ ἦν γὰρ ἂν καὶ ἐπὶ τούτων. φανερὸν οὖν φησιν ὅτι εἴ ποτε γίνεται συλλογιστικὴ συζυγία, οὐ διὰ τὴν τοιαύτην τῶν ὅρων τάξιν γίνεται συλλογιστικὴ συζυγία, οὐ διὰ τὴν τοιαύτην τῶν ὅρων τάξιν γίνεται. λέγω δὲ διὰ τὸ τὴν ἐλάττονα μερικὴν ἀποφατικὴν εἶναι, ἀλλὰ διὰ τὸ ἰσοδυναμεῖν αὐτὴν ἐπὶ τῆς ἐνδεχομένης ὕλης τῇ μερικῇ καταφατικῇ καὶ διὰ τοῦτο ἐπὶ τῶν αὐτῶν ὅρων, δύνασθαι συναληθεύειν τὴν κατάφασιν τῇ ἀποφάσει ἀδιορίστως. καταφατικῆς δὲ οὔσης τῆς ἐλάττονος, γίνεται συλλογισμός.




ΟΥΔΕ ΓΕ ἐὰν ἄμφω τὰ διαστήματα κατὰ μέρος ἢ κατηγορικῶς ἢ στερητικῶς λέγηται. ἢ τὸ μὲν κατηγορικῶς, τὸ δὲ στερητικῶς. ἢ τὸ μὲν ἀδιόριστον τὸ δὲ διωρισμένον. ἢ ἄμφω ἀδιόριστα, οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς. ὅροι δὲ κοινοὶ πάντων ζῶον. λευκόν. ἵππος. ζῶον. λευκόν. λίθος.



Διαστήματα τὰς προτάσεις καλεῖ. δι' ἣν ἐν τοῖς ἔμπροσθεν εἴπομεν αἰτίαν κατὰ τὸ ζῆλον λέγω γεωμετρικόν. ὥσπερ γὰρ ἐκεῖνοι τὰ μὲν σημεῖα πάντων ἁπλούστερα ὄντα καὶ οἷον ἀρχοειδέστερα ὅρους καλοῦσι. τὰ δὲ ἀπὸ τούτων τουτέστι τὰς γραμμὰς διαστήματα. ἔτι δὲ τὰ ἐκ τούτων συγκείμενα σχήματα, τὸν αὐτὸν τρόπον καὶ αὐτὸς τὸ μὲν ὄνομα καὶ τὸ ῥῆμα. ἅ ἐστιν ἁπλούστερα καὶ εἰς ἃ ἀναλύεται ὁ συλλογισμός, ὅρους ὀνόμασε. τὰς δὲ ἐκ τούτων συγκειμένας προτάσεις διαστήματα. τὰ δὲ ἐκ τούτων αὐτῶν. σχήματα. πρῶτον καὶ δεύτερον καὶ τρίτον καλῶν. καὶ ταῦτα μὲν περὶ τοῦ ὀνόματος τοῦ διαστήματος. βούλεται δὲ ἐνταῦθα τὰς ἐπιλοίπους ις' συζυγίας ἐλέγξαι καὶ δεῖξαι ἀσυλλογίστους. τὰς ἐξ ἀμφοτέρων μερικῶν. ἢ ἐξ ἀμφοτέρων ἀπροσδιορίστων. καὶ τὰς ἐκ τῆς μιᾶς μερικῆς, τῆς δὲ ἑτέρας ἀπροσδιορίστου. γίνονται γὰρ ἐκ μὲν τῶν ἐξ ἀμφοτέρων μερικῶν, συζυγίαι τέσσαρες. ἢ καταφατικῶν οὐσῶν ἢ ἀποφατικῶν. ἢ τῆς μὲν καταφατικῆς, τῆς δὲ ἀποφατικῆς. καὶ τοῦτο διχῶς. ὁμοίως καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων ἀπροσδιορίστων γίνονται τέσσαρες. ὡσαύτως ποικιλλόμεναι κατὰ τὸ καταφατικόν τι καὶ ἀποφατικόν, καὶ αἱ λοιπαὶ ὀκτώ. ἐκ τῆς μιᾶς μερικῆς, τῆς δὲ ἑτέρας ἀπροσδιορίστου. ἢ γὰρ ἡ μὲν μείζων ἐστὶ μερικὴ ἡ δὲ ἑτέρα ἀπροσδιόριστος. καὶ κατὰ τὴν ἐναλλαγὴν τοῦ ποιοῦ γίνονται τέσσαρες συζυγίαι. ἢ τοὐναντίον καὶ ὁμοίως πάλιν γίνονται τέσσαρες. λαμβάνει δὲ ὅρους κοινοὺς ἁρμόζοντας αὐτῷ ἐπὶ πασῶν τῶν συζυγιῶν, πρὸς τὸ δεῖξαι ὅτι καὶ τὸ παντὶ καὶ τὸ οὐδενὶ συνάγουσι. τοῦ μὲν παντί, ζῶον. λευκόν. ἄνθρωπος. τοῦ δὲ μηδενί, ζῶον. λευκὸν λίθος. οἷον τὸ ζῶον τινὶ λευκῷ. τὸ λευκὸν τινὶ ἀνθρώπῳ. καὶ συμπέρασμα τὸ ζῶον παντὶ ἀνθρώπῳ. καὶ πάλιν τὸ ζῶον τινὶ λευκῷ. τὸ λευκὸν τινὶ λίθῳ. καὶ ζῶον οὐδενὶ λίθῳ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν συζυγιῶν μεταφέρων εὑρήσεις καὶ συνάξεις κἀνταῦθα καὶ τὸ τινί, καὶ τὸ οὐ παντὶ οὕτως, ζῶον τινὶ λευκῷ. λευκὸν τινὶ ἐμψύχῳ. καὶ ζῶον τινὶ καὶ οὐ παντὶ ἐμψύχῳ.




ΦΑΝΕΡΟΝ οὖν ἐκ τῶν εἰρημένων ὡς ἐὰν ᾖ συλλογισμὸς ἐν τούτῳ τῷ σχήματι κατὰ μέρος. ὅτι ἀνάγκη τοὺς ὅρους οὕτως ἔχειν ὡς εἴπομεν. καὶ ἐὰν οὕτως ἔχωσιν οἱ ὅροι, ἀνάγκη γενέσθαι συλλογισμόν. ἄλλως δὲ ἐχόντων, οὐδαμῶς γίνεται. δῆλον δὲ καὶ ὅτι πάντες οἱ ἐν αὐτῷ συλλογισμοὶ, τέλειοί εἰσι. πάντες γὰρ ἐπιτελοῦνται διὰ τῶν ἐξ ἀρχῆς ληφθέντων. καὶ ὅτι πάντα τὰ προβλήματα, δείκνυται



λευκῷ ὅρων· ὧν τοῦ μὲν τὸ ζῶον κατηγορεῖται παντὸς, τὸ δὲ οὐδενός· καὶ οὕτως ἀποδείκνυσι τὰς ἐξ ἀμφοῖν συζυγίας τὸ ἐναντίον συναγούσας τὸ παντὶ καὶ οὐδενί. καὶ πάλιν τῷ λευκῷ τινα ὑποκείμενα ἐπιφέρει· ὧν τοῦ μὲν, παντὶ κατηγορεῖται τὸ ἄψυχον· τὸ δὲ οὐδενός. καὶ οὕτω δείκνυσι καὶ τὴν δευτέραν συζυγίαν ἀσυλλόγιστον καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνάγουσαν. παράδειγμα τῆς μὲν προτάσεως οὕτως· ζῶον κατὰ παντὸς ἀνθρώπου· ἄνθρωπος οὐ παντὶ λευκῷ· καὶ συμπέρασμα· ζῶον παντὶ λευκῷ· τουτέστι τῷ κύκνῳ· καὶ οὕτω μὲν τὸ παντὶ τὸ δὲ μηδενὶ οὕτω· ζῶον παντὶ ἀνθρώπῳ· ἄνθρωπος οὐ παντὶ λευκῷ, καὶ συμπέρασμα· ζῶον οὐδενὶ λευκῷ τουτέστι τῇ χιόνι. τῆς δὲ δευτέρας· ἄψυχον οὐδενὶ ἀνθρώπῳ· ἄνθρωπος οὐ παντὶ λευκῷ· καὶ συμπέρασμα ἄψυχον παντὶ λευκῷ· ἵνα πάλιν λάβωμεν ἐπὶ χιόνος· ὁμοίως καὶ οὐδενὶ ἵνα λάβωμεν ἐπὶ τοῦ κύκνου. πάλιν δὲ ἣ καὶ ἡ προκειμένη ἰσοδυναμεῖ τῇ ἐκ δύο καθόλου ἀποφατικῶν· ἐπ' ἐκείνης δὲ τὰ μερικὰ συνήγετο. οὐκοῦν καὶ ἐπὶ ταύτης. ὅροι δὲ οἱ αὐτοὶ ὥσπερ κἀκεῖ παραλήψομεν· ζῶον οὐδενὶ ἀψύχῳ· ἄψυχον οὐ παντὶ ἐμψύχῳ, ἐπεὶ καὶ οὐδενί. λαμβάνεται γὰρ νῦν διὰ τὴν καθόλου ἀποφατικὴν ἡ μερικὴ ἀληθεύουσα. συμπέρασμα ζῶον τινὶ καὶ οὐ τινὶ ἐμψύχῳ. β











ΕΤΙ ἐπεὶ ἀδιόριστον τὸ τινὶ τῷ γ' τὸ β μὴ ὑπάρχειν.


Ετερον ἐπιχείρημα λαμβάνει δι' οὗ δείκνυσι καὶ ἀσυλλογίστους τὰς εἰρημένας προτάσεις· λέγω δὲ τὰς ἐκ τῆς ἐλάττονος μερικῆς ἀποφατικῆς· τῆς δὲ μείζονος καθόλου· εἴτε καταφατικῆς εἴτε ἀποφατικῆς· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ἡ μερικὴ ἀποφατικὴ, ποτὲ μὲν δι' ἑαυτὴν ἀληθεύει· ποτὲ δὲ διὰ τὴν καθόλου ὡς ἐμάθομεν ἐν τῷ περὶ ἑρμηνείας. καὶ ὅτε μὲν δι' ἑαυτὴν ἀληθεύει· ἰσοδυναμεῖ τῇ μερικῇ καταφατικῇ· οἷον, ἡ οὐ πᾶς ἄνθρωπος λευκὸς συναληθεύει καὶ ἰσοδυναμεῖ τῇ τὶς ἄνθρωπος λευκός. καὶ τοῦτο συμβαίνει ἐπὶ τῆς ἐνδεχομένης ὕλης. ὅταν δὲ διὰ τὴν καθόλου· οὐκέτι αὐτῇ ἰσοδυναμεῖ. οἷον, οὐ πᾶς ἄνθρωπος πτερωτός. ἐπειδὴ γὰρ οὐδείς, διὰ τοῦτο καὶ οὐ πᾶς. καὶ τοῦτο συμβαίνει ἐπὶ τῆς ἀδυνάτου ὕλης. ἐπειδὴ οὖν φησιν ἀδιόριστος ἡ οὐ πᾶς πρότασις· ἐπὶ μὲν τῆς ἐνδεχομένης ὕλης, ἰσοδυναμεῖ τῇ τὶς. ἐπὶ δὲ τῆς ἀδυνάτου, οὐκέτι. ἕπεται γὰρ τι. ἐκαῦτα τῇ οὐδείς· ᾗ τινι ἀντιφατικῶς ἀντίκειται ἡ τίς. ἐὰν οὖν ληφθῶσιν ὅροι τῆς ἀδυνάτου ὕλης, δηλονότι οὐ μεταληφθήσεται εἰς τὴν τὶς. ἀλλ' ἔσται ἰσοδυναμοῦσα τῇ καθόλου ἀποφατικῇ, καὶ οὕτως ἔσται ἀσυλλόγιστος ἡ συζυγία. ἐδείχθη γὰρ ὅτι πᾶσα πρότασις ἔχουσα τὴν ἐλάττονα καθόλου ἀποφατικὴν ἀσυλλόγιστός ἐστιν. εἰ δὲ καὶ ποτὲ ὑποδύεται συλλογιστικὴν συζυγίαν, οὐ διὰ τοῦτο αὐτὴν παραδεξόμεθα· πρῶτον μὲν ὅτι οὐ δι' ἑαυτὴν ἐστι συλλογιστική· ἀλλὰ διὰ τὴν παραληφθεῖσαν ὕλην. λέγω δὴ τὴν ἐνδεχομένην. ἔπειτα ὅτι περὶ τῶν καθόλου ζητοῦμεν κανόνων· καὶ οὐ ποτὲ μὲν ἐπταισμένων, ποτὲ δὲ ὑγιῶν. ὁ αὐτὸς δὲ λόγος εἴτε καταφατικὴ, μείζων ἦν εἴτε ἀποφατικὴ, ἀμφότεραι γὰρ ἀσυλλόγιστοι. Παραδείγματα δὲ πάλιν ἐκ τῆς μείζονος καταφατικῆς καθόλου τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς· τοῦ μὲν παντί, ζῶον παντὶ ἀνθρώπῳ. ἄνθρωπος οὐ παντὶ ἵππῳ· καὶ συνάγεται ζῶον παντὶ ἵππῳ. τοῦ δὲ οὐδενὶ ζῶον παντὸς ἀνθρώπου· ἄνθρωπος οὐ παντὶ λίθῳ· καὶ συνάγεται ζῶον οὐδενὶ λίθῳ. τῆς δὲ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς καὶ τῆς ἐλάττονος μερικῆς ἀποφατικῆς, οὕτως· τοῦ μὲν παντὶ ζῶον· οὐδενὶ λίθῳ· λίθος οὐ παντὶ ἀνθρώπῳ· καὶ συμπέρασμα· ζῶον παντὶ ἀνθρώπῳ. τοῦ δὲ μηδενί. ζῶον οὐδενὶ λίθῳ· λίθος οὐ παντὶ φυτῷ. καὶ συμπέρασμα ζῶον οὐδενὶ φυτῷ. ὅτι δὲ ἐξὸν οὕτω λέγειν τὴν οὐ πᾶς ὡς μὴ συναποφέρουσαν τὸ τίς, ἐν τῷ περὶ ἑρμηνείας ἐμάθομεν. ἴδωμεν δὲ καὶ τὰ τῆς λέξεως. ἔτι ἐπεὶ ἀδιόριστον τὸ τινὶ τῷ γ' τὸ β' μὴ ὑπάρχειν· ἀδιόριστον φησί, οὐ διὰ τὸ μὴ ἔχειν προσδιορισμόν· ἔχει γὰρ τὸ τὶς μερικόν· ἀλλὰ διὰ τὸ μὴ ὁρίζειν ἐν αὐτῷ τὴν ποσότητα τῶν ὑποκειμένων πραγμάτων. ἀλλά ποτε μὲν ποιεῖν καθόλου ἀποφατικὸν ποτὲ δὲ μερικόν. διὸ καὶ τοῦτο δηλοῦν ἐπήγαγεν.











ΑΛΗ θεύεται δὲ καὶ εἰ μηδενὶ ὑπάρχει καὶ εἰ μὴ παντὶ ὅτι τινὶ οὐχ ὑπάρχει

τονος καθόλου ἀποφατικῆς. τὸ μὲν παντί. λευκὸν τινὶ ἵππῳ. ἵππος οὐδενὶ κύκνῳ, καὶ συμπέρασμα. λευκὸν παντὶ κύκνῳ. τὸ δὲ μηδενί, λευκὸν τινὶ ἵππῳ. ἵππος οὐδενὶ κόρακι. καὶ λευκὸν οὐδενὶ κόρακι. κἀνταῦθα δὲ πάλιν καὶ τὰς μερικὰς συντάξεις. εἰ πρὸς τῷ ἐλάττονι ὅρῳ θῶμεν τὸν ἄνθρωπον. ἤ τι τοιοῦτον, ᾧ τινι τὸ μὲν μέσον, οὐδενί. τὸ δὲ μεῖζον τινὶ ὑπάρχει. λευκὸν τινὶ ἵππῳ. ἵππος οὐδενὶ ἀνθρώπῳ. λευκὸν ἄρα καὶ τινὶ καὶ οὐ παντὶ ἀνθρώπῳ ὑπάρχει. οἱ αὐτοὶ δὲ ὅροι καὶ ἐπὶ τῆς μείζονος μερικῆς ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. καὶ τὸ μὲν παντὶ οἷον λευκὸν οὐ παντὶ ἵππῳ. ἵππος οὐδενὶ κύκνῳ. καὶ λευκὸν παντὶ κύκνῳ. καὶ τὸ μηδενὶ ὁμοίως, λευκὸν οὐ παντὶ ἵππῳ. ἵππος οὐδενὶ κόρακι καὶ λευκὸν οὐδενὶ κόρακι. πάλιν δὲ εἰ κἀνταῦθα πρὸς τῷ ἐλάττονι ὅρῳ θείης ἄνθρωπον, συντάξεις τὰς μερικάς. λευκὸν οὐ παντὶ ἵππῳ. ἵππος οὐδενὶ ἀνθρώπῳ. λευκὸν ἄρα καὶ τινὶ καὶ οὐ παντὶ ἀνθρώπῳ. οὗτοι μὲν τέσσαρες ἐδείχθησαν ἀσυλλόγιστοι τρόποι ἐκ τῆς μείζονος μερικῆς καὶ τῆς ἐλάττονος καθόλου. ἐπειδὴ δὲ ἰσοδυναμοῦσιν αἱ ἀπροσδιόριστοι ταῖς μερικαῖς, εὑρήσεις ἑτέρας τέσσαρας συζυγίας. καὶ ταύτας ἀσυλλογίστους. τὴν μείζονα πρότασιν ἀπροσδιόριστον. ποικίλων δὲ ἀμφοτέρας κατά τε τὸ καταφατικὸν καὶ ἀποφατικόν. συνάγουσι γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ ἐκ τῶν αὐτῶν ὅρων.

» ΟΥΔΕ ὅταν τὸ μὲν, πρὸς τῷ μείζονι ἄκρῳ, καθόλου τεθῇ, ἢ κατηγορικὸν ἢ στερητικόν. τὸ δὲ, πρὸς τῷ ἐλάττονι στερητικὸν κατὰ μέρος, οὐκ ἔσται συλλογισμός. ἀδιορίστου τε καὶ ἐν μέρει ληφθέντος οἷον εἰ τὸ μὲν α παντὶ τῷ β ὑπάρχει. τὸ β τινὶ τῷ γ μὴ ὑπάρχει, ἢ μὴ παντὶ ὑπάρχει. ᾧ γὰρ αὖ τινι μὴ ὑπάρχει τὸ μέσον, τούτῳ καὶ παντὶ καὶ οὐδενὶ ἀκολουθήσει τὸ πρῶτον. ὑποκείσθωσαν γὰρ οἱ ὅροι. ζῷον ἄνθρωπος. λευκόν. εἶτα καὶ ὧν μὴ κατηγορεῖται λευκῶν, ὁ ἄνθρωπος, εἰλήφθω. κύκνος. καὶ χιών. οὐκοῦν τὸ ζῷον τοῦ μὲν κατὰ παντὸς κατηγορεῖται. τοῦ δὲ οὐδενός. ὥστε οὐκ ἔσται συλλογισμός. πάλιν τὸ μὲν α μηδενὶ τῷ β ὑπαρχέτω. τῷ δὲ β τινὶ τῷ γ μὴ ὑπαρχέτω. καὶ οἱ ὅροι ἔστωσαν. ἄψυχον. ἄνθρωπος, λευκόν. εἶτα εἰλήφθωσαν, ὧν μὴ κατηγορεῖται λευκῶν ὁ ἄνθρωπος, κύκνος, καὶ χιών. τὸ γὰρ ἄψυχον, τοῦ μὲν παντὸς κατηγορεῖται. τοῦ δὲ οὐδενός.

Τὰς παραλελειμμένας ἐν τῷ ἀσυλλογίστοις δύο συζυγίας. νῦν λοιπὸν ἐλέγξαι βούλεται πρότερον ἀναβαλλόμενος ὡς ἐργωδεστέρας οὔσας τῆς δείξεως αὐτῶν διὰ τήνδε τὴν αἰτίαν. ἴσμεν ὅτι ἡ μερικὴ ἀποφατική, ποτὲ μὲν δι' ἑαυτὴν ἀληθεύει. ὡς ὅταν λέγομεν, οὐ πᾶς ἄνθρωπος λευκός. ποτὲ δὲ διὰ τὴν καθόλου ἀποφατικήν. ὡς ὅταν εἴπωμεν, οὐ πᾶς κύκνος πτερωτός. καὶ ὅταν δι' ἑαυτὴν ἀληθεύῃ, ἰσοδυναμεῖ τῇ μερικῇ καταφατικῇ. διὰ τοῦτο καὶ βουληθεὶς τὰς συζυγίας ταύτας ἀσυλλογίστους ἀποδεῖξαι, οὐκ ἠδύνατο τοῦτο ποιῆσαι λαμβάνων τὴν μερικὴν ἀποφατικὴν ὡς δι' ἑαυτὴν ἀληθεύουσαν. ὑποδείξεται γὰρ αὖ τι συλλογιστικὸν τρόπον τὸν τρίτον τὸν ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. καὶ τῆς ἐλάττονος μερικῆς ἀποφατικῆς μεταληφθείσης εἰς τὴν μερικὴν καταφατικὴν ὡς ἰσοδυναμούσης. οἷον, τὸ λέγω ζῷον κατὰ παντὸς ἀνθρώπου. ἄνθρωπος οὐ παντὶ λευκῷ. ἐὰν τὸ λευκὸν τοῦτο λάβωμεν τὸ ἐπὶ τοῦ σκύθου. δυνατὸν ἔσται μεταλαβεῖν τὴν μερικὴν ἀποφατικὴν, εἰς τὴν μερικὴν καταφατικήν. ὅτι ὁ ἄνθρωπος τινὶ λευκῷ ὑπάρχει. οἷον. τῷ σκύθῃ. διότι ἡ μερικὴ δι' ἑαυτὴν ἀληθεύει. τὸ γὰρ αὐτὸ τοῦτο καὶ τινὶ ὑπάρχει καὶ οὐ παντὶ ὑπάρχει. οἷον, τῷ αἰθίοπι. μεταληφθείσης δὲ εἰς τὴν μερικὴν καταφατικήν, ποιεῖ τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος. διά τοι τοῦτο λαμβάνει τὴν μερικὴν ἀποφατικὴν οὐ δι' ἑαυτὴν ἀληθεύουσαν. ἀλλὰ διὰ τὴν καθόλου. ὁμοίως καὶ ἡ ἑτέρα συζυγία ἡ ἐξ ἀμφοτέρων ἀποφατικῶν ὑποδείξει τὸν τέταρτον συλλογιστικὸν τρόπον τὸν ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. μεταληφθείσης ὁμοίως τῆς μερικῆς ἀποφατικῆς εἰς μερικὴν καταφατικήν. λαμβάνει οὖν αὐτὴν πάλιν ὡς ἰσοδυναμοῦσαν τῇ καθόλου ἀποφατικῇ εἰς φέρων ὑποκείμενα λευκά τινα, τῷ

ἀγαθὸν διάθεσις ἕξις
α β γ
τίς πᾶς



τινὶ καὶ οὐ παντί

ἀγαθὸν ἕξις φρόνησις
α β γ
οὐ πα. πᾶς



παντί

ἀγαθὸν ἕξις ἀμαθία
οὐ πα. πᾶς



οὐδέν

ἀγαθὸν διάθεσις ἕξις
οὐ πα.



λευκὸς ἵππος κύκνος
τίς οὐδέν



πᾶς

λευκὸς ἵππος κόραξ
τίς οὐδέν



οὐδέν

λευκὸς ἵππος ἄνθρωπος
τίς οὐδέν



τινὶ καὶ οὐ παντί

λευκὸς ἵππος κύκνος
οὐ πα. οὐδέν





πᾶς.

Ἔτι δὲ παρὰ ταύτας εἰσὶν αἱ καλούμεναι ἀντανακλώμεναι, αἳ καὶ ἐκ τούτων γίνονται μόνου τοῦ συμπεράσματος ἀντιστρέφοντος κατὰ τὴν ἑκάστου ἀντιστροφήν. οἷον, εἰ τὸ συμπέρασμα ἔστι καθόλου ἀποφατικόν. ἔσται ὁ ἀντανακλώμενος ὧδε· λίθος κατ' οὐδενὸς ζώου. ζῷον κατὰ παντὸς ἀνθρώπου. λίθος κατ' οὐδενὸς ἀνθρώπου. καὶ ἄνθρωπος κατ' οὐδενὸς λίθου. ἴσμεν γὰρ ὅτι ἡ καθόλου στερητικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει. εἰ δὲ καθόλου καταφατικὸν ἢ μερικὸν καταφατικὸν εἴη τὸ συμπέρασμα, ἡ ἀντιστροφὴ τοῦ ἀνακλωμένου ἔσται πρὸς τὴν μερικὴν καταφατικήν. καὶ γὰρ ἡ καθόλου καὶ μερικὴ πρὸς τὴν αὐτὴν ἀντιστρέφουσι. λέγω δὴ τὴν μερικὴν καταφατικήν. ἐκ δὲ τῆς μερικῆς ἀποφατικῆς, οὐκ ἔσται τοιοῦτον συμπέρασμα. ὁμολογεῖται γὰρ αὕτη μὴ σώζειν τὴν ἀντιστροφήν, ἀλλὰ διαπίπτειν. ἐὰν δὲ πρὸς τὸ ἔλαττον ἄκρον τὸ καθόλου τεθῇ ἢ κατηγορικὸν ἢ στερητικόν, οὐκ ἔσται συλλογισμός. τῆς μείζονος προτάσεως καθόλου οὔσης. τῆς δὲ ἐλάττονος μερικῆς, γίνονται τέσσαρες συζυγίαι κατὰ τὴν τοῦ ποιοῦ διαφοράν. ὧν αἱ μὲν δύο συλλογιστικαί εἰσιν αἱ ἔχουσαι τὴν ἐλάττονα καταφατικὴν τῆς μείζονος διαφερούσης κατὰ τὸ ποιόν. αἱ δὲ λοιπαὶ δύο, ἀσυλλόγιστοι αἱ ἔχουσαι τὴν ἐλάττονα ἀποφατικήν. πρώτας μὲν οὖν τὰς συλλογιστικὰς ἔδειξε. καὶ ἔδει ὅσον ἐπὶ τῇ ἀκολουθίᾳ, ἐφεξῆς ἐλέγξαι πῶς αἱ λοιπαὶ δύο ἀσυλλόγιστοί εἰσιν αἱ ἔχουσαι πρὸς μὲν τῷ μείζονι ἄκρῳ τὸ καθόλου. εἴτε καταφατικόν, εἴτε ἀποφατικόν. πρὸς δὲ τῷ ἐλάττονι τὸ μερικὸν ἀποφατικόν. ἀλλ' ἐπειδὴ πλειόνων ἐδεῖτο λόγων ὁ περὶ τούτων ἔλεγχος ὁ διὰ τὸ ὑποδεικνύναι ἄλλας συλλογιστικὰς συζυγίας ὡς μαθησόμεθα, φέρεται ἐπὶ τὸ ἐλέγξαι πρῶτον τὰς ἐκ τῆς μείζονος μερικῆς. τῆς δὲ ἐλάττονος καθόλου τέσσαρας ἀσυλλογίστους συζυγίας. ὡς ῥᾷον τούτων μᾶλλον ἐλεγχομένων. εἰσὶ δὲ αὗται. ἥτε ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς. καὶ δευτέρα ἡ ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. καὶ τρίτη, ἡ ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς. καὶ τετάρτη ἡ ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς, τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. ἐὰν δὲ ἀντὶ τῆς μείζονος μερικῆς ἀπροσδιόριστον παραλάβωμεν ὡς ἰσοδυναμοῦσαν τῇ μερικῇ, μενούσης καθόλου ἔσονται ἐλεγχόμεναι συζυγίαι ὀκτώ.

ΟΙ͂ΟΝ εἰ τὸ μὲν α τινὶ τῷ β ὑπάρχει ἢ μὴ ὑπάρχει. τὸ δὲ β παντὶ τῷ γ ὑπάρχει. ὅροι τοῦ ὑπάρχειν. ἀγαθόν. ἕξις. φρόνησις. τοῦ μὴ ὑπάρχειν, ἀγαθόν. ἕξις. ἀμαθία. πάλιν εἰ τὸ μὲν β μηδενὶ τῷ γ, τὸ δὲ α τινὶ τῷ β ὑπάρχει ἢ μὴ ὑπάρχει. ἢ μὴ παντὶ ὑπάρχει, οὐδ' οὕτως ἔσται συλλογισμός. ὅροι τοῦ μὲν παντὶ ὑπάρχειν, λευκόν. ἵππος. κύκνος. τοῦ μηδενὶ ὑπάρχειν λευκόν. ἵππος. κόραξ. οἱ αὐτοὶ δὲ καὶ εἰ τὸ α β, ἀδιόριστον εἴη.

Πρότερον ἐκτίθεται τὰς β συζυγίας ἅμα. τήν τε ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς. καὶ τῆς ἐλάττονος καθόλου. καταφατικῆς. καὶ τὴν ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου ἀποφατικῆς. καὶ δείκνυσιν αὐτὰς διὰ τῶν αὐτῶν ὅρων καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συναγούσας. σὺ δὲ τῷ εἰπεῖν ὑπάρχει ἢ μὴ ὑπάρχει, τὴν μερικὴν καταφατικήν τε ἅμα καὶ ἀποφατικὴν ἐσήμανεν. καὶ ταύτας ποτὲ μὲν τῇ καθόλου καταφατικῇ συμπλέξας. ποτὲ δὲ τῇ ἀποφατικῇ. ποιεῖ τέσσαρας συζυγίας ἀσυλλογίστους. οὐχ ὥσπερ δὲ ἐπὶ τῆς μερικῆς καταφατικῆς προσέθηκεν ἅμα καὶ τὴν ἀποφατικήν. εἰπὼν εἰ τὸ μὲν α τινὶ τῷ β ὑπάρχει ἢ μὴ ὑπάρχει. οὕτω καὶ ἐπὶ τῆς καθόλου καταφατικῆς ἅμα ἐπήγαγε καὶ τὴν ἀποφατικήν. ἀλλ' εἰπὼν τὸ δὲ β παντὶ τῷ γ ὑπάρχει, οὐκέτι ἐπήγαγεν ἢ μὴ ὑπάρχει. διότι αἱ μὲν μερικαί, ἰσοδυναμοῦσιν ἀλλήλαις καὶ δύνανται ἅμα συναληθεύειν καὶ διὰ τοῦτο κοιναὶ καὶ αἱ περὶ αὐτῶν ἀποδείξεις. αἱ δὲ καθόλου συναληθεύειν οὐ δύνανται ὡς δέδεικται ἐν τῷ περὶ ἑρμηνείας. παραδείγματα δὲ τῆς μὲν ἐκ τῆς μείζονος μερικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῶν οὐσῶν. ἀγαθὸν τινὶ ἕξει. ἕξις, πάσῃ φρονήσει. καὶ συμπέρασμα, ἀγαθὸν πάσῃ φρονήσει καὶ οὕτω μὲν τὸ παντὶ συνάγεται. τὸ δὲ μηδενί, οὕτως ἀγαθὸν τινὶ ἕξει. ἕξις πάσῃ ἀμαθίᾳ, καὶ συμπέρασμα ἀγαθὸν οὐδεμίᾳ ἀμαθίᾳ. δυνατὸν δὲ τὰ μερικὰ συνάγειν οὕτως. ἀγαθὸν τινὶ διαθέσει. διάθεσις πάσῃ ἕξει. καὶ ἀγαθὸν τινὶ ἕξει καὶ οὐ πάσῃ, ἢ οὕτω λευκὸν τινὶ σώματι. σῶμα παντὶ ζῴῳ. λευκὸν ἄρα καὶ τινὶ καὶ οὐ παντὶ ζῴῳ. τῆς δὲ ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς, καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς. τοῦ μὲν παντὶ οὕτως. ἀγαθὸν οὐ πάσῃ ἕξει. ἕξις πάσῃ φρονήσει. καὶ συμπέρασμα, ἀγαθὸν πάσῃ φρονήσει. τοῦ δὲ μηδενὸς ἀγαθὸν οὐ πάσῃ ἕξει. ἕξις πάσῃ ἀμαθίᾳ, καὶ συμπέρασμα ἀγαθὸν οὐδεμίᾳ ἀμαθίᾳ. πάλιν δὲ καὶ τὰ μερικὰ συνάξεις οὕτως. ἀγαθὸν οὐ πάσῃ διαθέσει. διάθεσις πάσῃ ἕξει. ἀγαθὸν ἄρα καὶ τινὶ ἕξει καὶ οὐ παντί. καὶ πάλιν λευκὸν οὐ παντὶ σώματι. σῶμα, παντὶ ζῴῳ. καὶ λευκὸν οὐ παντὶ καὶ τινὶ ζῴῳ. τῆς δὲ ἐκ τῆς μείζονος μερικῆς καταφατικῆς. καὶ τῆς ἐλάτ-






» ΟΤΑΝ δὲ πρὸς τὸ ἔλαττον. ἢ καὶ ἄλλως πῶς ἔχωσιν οἱ ὅροι ἀδύνατον.

Πρὸς ὑπακουστέον τὸ πρὸς τὸ ἔλαττον τὸ καθόλου τεθῇ. ἀδύνατον δὲ οὕτω γενέσθαι συλλογισμόν. διὰ τὸ τὴν μείζονα ἀπολαλακέναι τὸ ἴδιον. τουτέστι τὸ καθόλου, ἀρκεῖ γὰρ ὅταν τὸ καθόλου τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον, σημαίνει τὴν μείζονα μερικὴν οὖσαν. ἐπεὶ ὁ λόγος αὐτῷ νῦν περὶ τῆς ἑτέρας καθόλου. τῆς δὲ ἑτέρας μερικῆς. τὸ δὲ ἢ καὶ ἄλλως πῶς ἔχωσιν οἱ ὅροι. ἀντὶ τοῦ ἢ ἀμφότεραι ἀποφατικαί. ἢ ἡ μείζων καταφατική. ἡ δὲ ἐλάττων ἀποφατική. καὶ τοῦτο διχῶς ἢ τῆς μείζονος ἐχούσης τὸ καθόλου. ἢ τῆς ἐλάττονος.


» ΛΕΓΩ δὲ μεῖζον μὲν ἄκρον ἐν ᾧ τὸ μέσον ἐστίν. ἔλαττον δέ, τὸ ὑπὸ τὸ μέσον.

Ἀντὶ τοῦ μεῖζον ἄκρον τὸ τοῦ μέσου κατηγορούμενον, ἔλαττον δέ, οὗ τὸ μέσον κατηγορεῖται. ταυτὸν ἄρα τὸ κατὰ παντὸς καὶ τῷ ἐν ὅλῳ μόνῃ τῇ σχέσει διαφέροντας. ὡς εἶναι ὅταν μὲν ἐκ τοῦ κατὰ παντὸς ποιώμεθα τοὺς συλλογισμούς μείζονα ὅρον τὸ πρῶτον. ὁμοίως καὶ πρότασιν μείζονα τὴν πρώτην. ὅταν δὲ ἐκ τοῦ ἐν ὅλῳ τὴν τελευταῖον καὶ τὴν δευτέραν πρότασιν.




» ΥΠΑΡΧΕΤΩ γὰρ τὸ μὲν α, παντὶ τῷ β. τὸ δὲ β, τινὶ τῷ γ, οὐκοῦν
» εἰ ἔστι κατὰ παντὸς κατηγορεῖσθαι τὸ ἐν ἀρχῇ λεχθέν, ἀνάγκη τὸ α τινὶ
» τῷ γ ὑπάρχειν.

Οὗτός ἐστι τρίτος τρόπος συλλογιστικὸς ἐν πρώτῳ σχήματι. ἐκ καθόλου καταφατικῆς τῆς μείζονος. καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος. μερικὸν καταφατικὸν συνάγων συμπέρασμα. δυνησόμεθα δὲ καὶ ὕλην ἐν τούτῳ τῷ τρόπῳ λαμβάνειν γένος τι καὶ εἶδος καὶ κοινότερον ἀμφοτέρων, καὶ τὸ μὲν γένος ποιεῖν μείζονα ὅρον. τὸ δὲ εἶδος μέσον. τὸ δὲ κοινόν, τὸ ἐξ ἀμφοτέρων ἐλάττονα. ζῷον κατὰ παντὸς ἀνθρώπου. ἄνθρωπος κατά τινος ἐμψύχου, καὶ συμπέρασμα ζῷον κατά τινος ἐμψύχου. καὶ ἀνάπαλιν. τὶ ἔμψυχον εἶδος. πᾶς ἄνθρωπος ζῷον. καὶ συμπέρασμα τὶ ἔμψυχον ζῷον ἄρα.



» ΚΑΙ εἰ τὸ μὲν α μηδενὶ τῷ β ὑπάρχει, τὸ δὲ β τινὶ τῷ γ ὑπάρχει
» ἀνάγκη τὸ α τινὶ τῷ γ μὴ ὑπάρχειν. ὥρισται γὰρ καὶ τὸ κατὰ μηδενὸς πῶς λέ-
» γομεν. ὥστε ἔσται συλλογισμὸς τέλειος.

Τέταρτος οὗτος τρόπος συλλογιστικός. ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. συνάγει δὲ μερικὸν ἀποφατικὸν συμπέρασμα εἰκότως. ἐπεὶ γὰρ ὡς ἐλέγομεν τῷ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα. ἐν δὲ τούτῳ τῷ τρόπῳ ἑκατέρα τῶν προτάσεων ἔχει τι ἐλάττωμα. ἡ μὲν κατὰ τὸ ποσόν. ἡ δὲ κατὰ τὸ ποιόν, ἀμφοτέρων τῶν προτάσεων τὰ ἐλαττώματα ἐν αὐτῷ συλλαβὸν ἔχει τὸ συμπέρασμα. καὶ γέγονε μερικόν τε ἅμα καὶ ἀποφατικόν. δυνησόμεθα δὲ ὕλην ἐν τούτῳ τῷ τρόπῳ ἀντιδιῃρημένα λαμβάνειν ἐκ τοῦ αὐτοῦ γένους εἴδη καὶ τὸ γένος αὐτό. καὶ ποιεῖν μείζονα μὲν ὅρον καὶ μέσον τὰ εἴδη. ἐλάττονα δὲ τὸ γένος. οἷον, λογικὸν κατ᾽ οὐδενὸς ἀλόγου. ἄλογον κατά τινος ζῴου καὶ συμπέρασμα, λογικὸν οὐ παντὶ ζῴῳ.




» ΟΜΟΙΩΣ δὲ καὶ εἰ ἀδιόριστον εἴη τὸ β γ κατηγορικὸν ὄν. ὁ γὰρ αὐτὸς ἔσται συλλογισμὸς ἀδιορί-
» στου τε καὶ ἐν μέρει ληφθέντος. ἐὰν δὲ πρὸς τὸ ἔλαττον ἄκρον τὸ καθόλου τεθῇ, ἢ κατηγορικὸν ἢ στερητι-
» κόν, οὐκ ἔσται συλλογισμός. ἢ ἀποφατικοῦ ὄντος ἀδιορίστου. ἢ κατὰ μέρος ὄντος.

Εἴρηται ἐν τῷ περὶ ἑρμηνείας τῷ Ἀριστοτέλει. ὅτι ἰσοδυναμοῦσιν αἱ ἀδιόριστοι προτάσεις, ταῖς μερικαῖς. ἐὰν τοίνυν ἐν τῇ ἐλάττονι προτάσει ἀντὶ τῆς μερικῆς παραλάβωμεν ἀπροσδιόριστον καταφατικήν. ἄλλαι δύο γίνονται συλλογιστικαὶ συζυγίαι τῆς μείζονος καθόλου οὔσης, ἢ καταφατικῆς, ἢ ἀποφατικῆς. ὥστε πᾶσαι συλλογιστικαὶ συζυγίαι αἱ ἐν τῷ πρώτῳ σχήματι, ἕξ εἰσιν.

ἐκ δύο καθόλου καταφατικῶν.	τῆς μείζονος καθόλου ἀποφατικῆς καθόλου. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς.	τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς.	τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς.	τῆς μείζονος καθόλου καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς.	τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου καταφατικῆς


A ντὶ τοῦ οὐδὲ διὰ τὸ οὕτως ἔχειν τὰς προτάσεις συνάγεταί τι ἀναγκαῖον. ἀλλὰ διὰ τὴν παραλαμβανομένην ὕλην. δεῖ δὲ τὰ συμπεράσματα διὰ τὸ τῶν προτάσεων ἀναγκαῖον συμβαίνειν. οὐ διὰ τὴν ὕλην ὡς καὶ ὁ ὁρισμὸς τοῦ συλλογισμοῦ δηλοῖ. Καὶ γὰρ παντὶ καὶ μηδενὶ ἐνδέχεται τὸ πρῶτον τῷ ἐσχάτῳ ὑπάρχειν. ὅτι φησὶν οὐδὲν ἐξ ἀνάγκης συνάγεται τῷ τὰς προτάσεις οὕτω τετάχθαι. δῆλον γὰρ ἐξ ὧν καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ συνάγουσι δῆλον ἄν ἦν· εἰ διὰ τὰς προτάσεις καὶ μὴ διὰ τοὺς ὅρους συνήγετο τὸ συμπέρασμα. μόνως ἢ ἀποφατικὸν συνάγεσθαι ἢ καταφατικόν. νῦν δ' ἀμφότερα συνάγεται διαφόρων ὑλῶν παραλαμβανομένων. δῆλον ἄρα ὅτι τοῦ συμπεράσματος αἴτιοι οἱ ὅροι παραλαμβανόμενοι. καὶ οὐχ ἡ συμπλοκὴ τῶν προτάσεων. δεῖ δὲ τοὺς συλλογισμοὺς διὰ τὰς προτάσεις συνάγειν τὸ συμπέρασμα.

Ὥστε οὔτε τὸ κατὰ μέρος οὔτε τὸ καθόλου. εἰ γὰρ καὶ τὸ παντὶ καὶ τὸ μηδενὶ ἐνδέχεται ὑπάρχειν. συναναιρεῖται τὰ μέρη τοῖς ὅλοις. οὔτε τὸ καθόλου, οὔτε τὸ κατὰ μέρος ἔσται. ἀναγκαῖον παντελῶς ἄρα ἀθετέστοι, καὶ διὰ τοῦτο ἀσυλλόγιστοι αἱ τοιαῦται συζυγίαι. τὸ μὲν οὖν παντὶ συνάγεται οὕτως. ζῶον κατὰ παντὸς ἀνθρώπου. ἄνθρωπος κατ' οὐδενὸς ἵππου. καὶ συμπέρασμα. ζῶον κατὰ παντὸς ἵππου. τὸ δὲ οὐδενὶ συνάγεται. ἐὰν ἀντὶ τοῦ ἵππου λίθον παραλαμβάνομεν οὕτως. ζῶον κατὰ παντὸς ἀνθρώπου. ἄνθρωπος κατ' οὐδενὸς λίθου καὶ συμπέρασμα ζῶον κατ' οὐδενὸς λίθου.




ΟΥΔΕ ὅταν μήτε τὸ πρῶτον τῷ μέσῳ μήτε τὸ μέσον τῷ ἐσχάτῳ μηδενὶ ὑπάρχῃ, οὐδ' οὕτως ἔσται συλλογισμός. ὅροι τοῦ ὑπάρχειν. ἐπιστήμη, γραμμή. ἰατρική. τοῦ μὴ ὑπάρχειν ἐπιστήμη γραμμὴ μονάς.

N ῦν τὴν ἐκ τῶν δύο καθόλου ἀποφατικῶν βούλεται ὁμοίως δεῖξαι ἀσυλλόγιστον διὰ τοῦ συνάγειν τό τε παντὶ καὶ τὸ μηδενί. ἵνα δὲ σαφέστερον ᾖ τὸ λεγόμενον, ἑτέροις ὅροις ἡμεῖς ἐκθώμεθα. ζῶον κατ' οὐδενὸς λίθου. λίθος κατ' οὐδενὸς ἀνθρώπου. καὶ τὸ συμπέρασμα ζῶον κατὰ παντὸς ἀνθρώπου. οὕτω μὲν οὖν τὸ παντὶ συνάγουσι. τὸ δὲ μηδενί. ἐὰν ἀντὶ τοῦ ἀνθρώπου παραλαμβάνομεν φυτὸν ἤ τι τοιοῦτον. καθ' οὗ οὔτε τὸ ζῶον, οὔτε ὁ λίθος κατηγορεῖται. ζῶον κατ' οὐδενὸς λίθου. λίθος κατ' οὐδενὸς φυτοῦ, καὶ τὸ συμπέρασμα, ζῶον κατ' οὐδενὸς φυτοῦ. διὰ ταῦτα ἄρα καὶ αὕτη ἀσυλλόγιστος ἡ συζυγία, διὰ τὴν ἀοριστίαν. εἴρηται δὲ καὶ τοῦτο κοινὸν εἶναι ὑπὲρ παντὸς σχήματος. τὸ ἐκ δύο ἀποφατικῶν ἀσυλλόγιστον ἀεὶ γίνεσθαι συζυγίαν.




ΚΑΘΟΛΟΥ μὲν ὄντων τῶν ὅρων δῆλον. ἐν τούτῳ τῷ σχήματι πότε ἔσται καὶ πότε οὐκ ἔσται συλλογισμός.

O περὶ τῶν ἐξ ἀμφοτέρων τῶν προτάσεων καθόλου λόγος, ἤδη πεπλήρωται. ἐν ᾧ ἀπέδειξε δύο μὲν συλλογιστικὰς συζυγίας. δύο δὲ ἀσυλλογίστους. λοιπὸν δὲ μιγνύει τὴν τε καθόλου καὶ τὴν μερικήν. καὶ δείκνυσι ποῖαι μὲν αἱ συλλογιστικαὶ κἀν τούτοις. ποῖαι δὲ ἀσυλλόγιστοι.



ΚΑΙ ὅτι ὄντος συλλογισμοῦ, τοὺς ὅρους ἀναγκαῖον οὕτως ἔχειν, ὡς εἴπομεν. ἄν τε οὕτως ἔχωσι, δῆλον ὅτι ἔσται συλλογισμός.


Ξ ἔτι φησὶ καθόλου καταφατικὸν ᾖ τὸ συμπέρασμα. πάντη τε καὶ πάντως ἐκ δύο καθόλου καταφατικῶν συνῆκται. καὶ αἱ δύο καθόλου καταφατικὴν ὑπάρχουσι προτάσεις. πάντη τε καὶ πάντως καθόλου καταφατικὸν συνάγεται τὸ συμπέρασμα. καὶ ἐπὶ τοῦ δευτέρου φόνου ὁμοίως οὕτως ἐχουσῶν τῶν προτάσεων ὥσπερ εἴρηται. τοιοῦτον συνάγεται τὸ συμπέρασμα. καὶ τοῦ συμπεράσματος οὕτως ἔχοντος, ἀνάγκη πάσας τοιαύτας εἶναι τὰς προτάσεις.



ΕΙ δὲ ὁ μὲν καθόλου τῶν ὅρων, ὁ δὲ ἐν μέρει πρὸς τὸν ἕτερον. ὅταν μὲν τὸ καθόλου τεθῇ, πρὸς τὸ μεῖζον ἄκρον, ἢ κατηγορικὸν, ἢ στερητικὸν, τὸ δὲ ἐν μέρει, πρὸς τὸ ἔλαττον κατηγορικὸν, ἀνάγκη συλλογισμὸν εἶναι τέλειον.


P ληρώσας τὰς ἐκ δύο καθόλου. νῦν τὰς ἐκ τῆς ἑτέρας μὲν καθόλου. τῆς δὲ ἑτέρας μερικῆς, συζυγίας, ἐκτίθεται. εἰσὶ δὲ πᾶσαι ὀκτώ. ὧν αἱ δύο μὲν συλλογιστικαί. ἡ ἐκ τῆς μείζονος καθόλου. εἴτε καταφατικῆς, εἴτε ἀποφατικῆς. τῆς δ' ἐλάττονος μερικῆς καταφατικῆς. αἱ δὲ λοιπαὶ ἕξ, ἀσυλλόγιστοι. διὰ τὸ ἢ τὴν μείζονα μερικὴν εἶναι, ἢ τὴν ἐλάττονα ἀποφατικήν, ὅρα δὲ πῶς οὐκ εἶπεν ὅτι ὁ μὲν μείζων καθόλου. ὁ δὲ ἐλάττων ἐν μέρει. ἢ τὸ ἀνάπαλιν. ἀλλ' ἀδιορίστως οὕτως εὐθὺ προσθήκης βουλόμενος τὰς ὀκτὼ συζυγίας δηλῶσαι.

Δ δόξει αὖ ἴσως ὁ αὐτὸς ὁρισμὸς εἶναι τῶν τε ἄκρων καὶ τοῦ μέσου. οὐκ ἔστι δέ, δεῖ γὰρ ἐπὶ τούτων προσυπακούειν τὸ μόνως. καὶ οὕτως ὀρθῶς ἀποδιδόμενος ἂν εἴη. ὡς εἰ οὕτως ἔλεγεν. ἄκρα δὲ τὸ αὐτό τε ἐν ἄλλῳ ὂν μόνως. καὶ ἐν ᾧ ἄλλο ἐστὶ μόνως. εἰ γὰρ τὸ α κατὰ παντὸς τοῦ β. καὶ τὸ β κατὰ παντὸς τοῦ γ, ἀνάγκη τὸ α κατὰ παντὸς τοῦ γ κατηγορεῖσθαι. οὗτος πρῶτος τρόπος συλλογιστικὸς ἐκ δύο καταφατικῶν καθόλου. καταφατικὸν συνάγων συμπέρασμα. εἰ γὰρ τὸ β παντὶ τῷ γ ὑπάρχει, μέρος ἄρα τοῦ β τὸ γ ὑπάρχει. ἔστι δὲ μέρος τοῦ α τὸ β. καὶ τὸ α ἄρα παντὶ τῷ γ ὑπάρχει μέρει ὄντι τοῦ β. ἐπὶ τῶν ὑλῶν δὲ σαφέστερος ὁ λόγος. οἷον, οὐσία κατὰ παντὸς ζῴου. ζῷον κατὰ παντὸς ἀνθρώπου. καὶ συνάγεται οὐσία κατὰ παντὸς ἀνθρώπου. καὶ ἀνάπαλιν. πᾶς ἄνθρωπος ζῷον. πᾶν ζῷον οὐσία. πᾶς ἄνθρωπος ἄρα οὐσία. δῆλον δὲ ἐπὶ τούτου τοῦ σχήματος ὡς δεῖ ἐπὶ τοῦ πρώτου τρόπου λαμβάνειν ὅρους. πρῶτον μὲν γενικώτατον καὶ δεύτερον ὑπάλληλον γένος, καὶ τρίτον εἰδικώτερον τοῦ μέσου εἴδους. δεῖ δὲ τὸ συμπέρασμα ἀεὶ ποιεῖν. οἷον αὖ ἡ τὸ ἀρχόμενον τῆς συνθέσεως. οἷον, εἰ ἐκ τοῦ μείζονος ὅρου ἀρχόμεθα. ἡ οὐσία ἄρχεται. οὐκοῦν αὕτη καὶ τοῦ συμπεράσματος προηγεῖται. οὐσία κατὰ παντὸς ζῴου. ἄρχεται ἡ οὐσία, ζῷον κατὰ παντὸς ἀνθρώπου. καὶ τὸ συμπέρασμα πάλιν ἀπὸ τῆς οὐσίας ἄρξεται, οὐσία κατὰ παντὸς ἀνθρώπου. εἰ δὲ ἐκ τοῦ ἐλάττονος ὅρου ἡ ἀρχὴ γένοιτο, οἷον, ἐκ τοῦ ἀνθρώπου ἐκ τούτου. καὶ τὸ συμπέρασμα ἔσται. πᾶς ἄνθρωπος ζῷον. πᾶν ζῷον οὐσία. πᾶς ἄνθρωπος οὐσία. λαμβάνει δὲ στοιχεῖα ὁ ἀριστοτέλης. α. β. γ. καὶ ἐκ τῆς φύσεως τῶν στοιχείων, τὴν τάξιν τοῦ πρώτου σχήματος ἡμῖν δηλῶν. τὸν μείζονα ὅρον λέγει τὸ α. διὰ τὸ πρώτην ἔχειν τὸ α τάξιν. τὸν δὲ ἐλάττονα, τὸ γ. τὸν δὲ μέσον, τὸ β. ὡς τοῦ μὲν ὑφειμένου τῇ τάξει τοῦ α. τοῦ δὲ προηγουμένου τοῦ γ. ἐνδέχεται δὲ δηλονότι καὶ ἐξισάζοντας εἶναι τοὺς ὅρους. οἷον, ἐπιστήμης δεκτικόν. γελαστικὸν ἄνθρωπος. πᾶς γὰρ ἄνθρωπος. γελαστικός. πᾶν γελαστικόν, ἐπιστήμης δεκτικόν. πᾶς ἄρα ἄνθρωπος ἐπιστήμης δεκτικός.



» ΟΜοίως δὲ καὶ εἰ τὸ μὲν α κατὰ μηδενὸς τοῦ β. τὸ δὲ β, κατὰ παντὸς τοῦ γ. ὅτι τὸ α οὐδενὶ τῷ γ ὑπάρξει.

Δ δεύτερος οὗτος τρόπος τοῦ πρώτου σχήματός ἐστιν. ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς. τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς. καθόλου ἀποφατικὸν συνάγων συμπέρασμα. εἰ γὰρ τὸ α κατὰ μηδενὸς τοῦ β. πάντων ἄρα τῶν μερῶν αὐτοῦ κεχώρισται. μέρος δὲ τοῦ β τὸ γ. ὑπόκειται γὰρ παντὶ τῷ γ τὸ β ὑπάρχειν. πάντως ἄρα κεχώρισται τοῦ γ τὸ α. μέρος ὂν τοῦ β. δευτερώσομεν δὲ πάλιν ὑλῶν ἐπὶ τοῦ δευτέρου τρόπου. λαμβάνοντες εἶδος καὶ γένος καὶ τοῦ γένους ἀλλότριον. τὸ μὲν εἶδος ἐλάττονα ὅρον τιθέντες. τὸ δὲ γένος μέσον. τὸ δὲ ἀλλότριον μείζονα. οἷον, λίθος κατ' οὐδενὸς ζῴου. ζῷον κατὰ παντὸς ἀνθρώπου. καὶ συμπέρασμα. λίθος κατ' οὐδενὸς ἀνθρώπου. κεχώρισται μὲν γὰρ πάντων τῶν μερῶν τοῦ ζῴου ὁ λίθος. μέρος δὲ τοῦ ζῴου ὁ ἄνθρωπος. κεχώρισται ἄρα παντὸς ἀνθρώπου, ὁ λίθος.



» ΕΙ ΔΕ τὸ μὲν πρῶτον παντὶ τῷ μέσῳ ἀκολουθεῖ. τὸ δὲ μέσον, μηδενὶ τῷ ἐσχάτου ὑπάρχει, οὐκ ἔσται
» συλλογισμὸς τῶν ἄκρων.

Τῶν δύο προτάσεων καθόλου παραλαμβανομένων, τέσσαρες ἐγένοντο συζυγίαι τῇ πρὸς τὸ ποιὸν ἐπιπλοκῇ. ὧν τὰς μὲν δύο εἴρηκε μὲν συλλογιστικὰς εἶναι. τὰς δὲ δύο ἀσυλλογίστους. ἐκθέμενος οὖν τὰς δύο συλλογιστικὰς προτάσεις, νῦν βούλεται τὰς λοιπὰς δύο δεῖξαι ἀσυλλογίστους. τήν τε ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. καὶ τῆς ἐλάττονος καθόλου ἀποφατικῆς. καὶ τὴν ἐξ ἀμφοτέρων καθόλου ἀποφατικῶν. εἰ δὲ ἐλέγομεν ἴδιον εἶναι τοῦ πρώτου σχήματος. καὶ τοῦτο τὴν ἐλάττονα καταφατικὴν ἔχειν ἀεί. εἰκότως ἀσυλλόγιστοι ἔσονται αἱ τοιαῦται συζυγίαι. δείκνυσι δὲ ἀσυλλογίστους συζυγίας αὐτὰς ἐκ τοῦ συνάγειν καὶ τὸ παντὶ καὶ τὸ μηδενί. δῆλον γὰρ ἐκ τούτων ὅτι καὶ τινὶ καὶ οὐ παντὶ συνάγουσι. τοῖς γὰρ καθόλου τὰ κατὰ μέρος ἀκολουθεῖ. ὥστε οὐδὲν ὡρισμένον ἐστὶν ἐξ αὐτῶν συνάγειν συμπέρασμα. διὰ οὖν τὴν ἀοριστίαν αὐτῶν, ἀσυλλογίστους ταύτας φησί. διαλαμβάνει δὲ περὶ πρώτης τῆς ἐκ τῆς μείζονος καθόλου καταφατικῆς. καὶ τῆς ἐλάττονος καθόλου ἀποφατικῆς. καὶ δείκνυσιν αὐτὴν ἀσυλλόγιστον διά τινων ὅρων συναγόντων. καὶ τὸ παντὶ καὶ τὸ οὐδενί. ἐπὶ μὲν γὰρ τῶν συλλογιστικῶν συζυγιῶν οὐ κέχρηται ὅροις. ἀλλὰ τοῖς στοιχείοις ἁπλῶς διδοὺς ἑκάστῳ κατ' ἐξουσίαν ἐπὶ πάσης ὕλης γυμνάζειν τὰ λεγόμενα. ἐπὶ δὲ τῶν ἀσυλλογίστων παραδείγμασι μόνον κέχρηται δι' ὧν ἐλέγχει τὴν ἀοριστίαν αὐτῶν. τὸν μὲν γὰρ καθόλου λόγον, οὐδὲ μνείᾳ παραδείγματος ἱκανὰ κατασκευάσαι. ἀνασκευάσαι δὲ καὶ ἓν ἐξαρκεῖ παράδειγμα.

» ΟΥΔΕΝ γὰρ ἀναγκαῖον συμβαίνει τῷ ταῦτα εἶναι.

Κ αἱ γὰρ παντὶ καὶ μηδενὶ ἐνδέχεται τὸ πρῶτον τῷ ἐσχάτῳ ὑπάρχειν.

» ΩΣΤΕ οὔτε τὸ κατὰ μέρος, οὔτε τὸ καθόλου γίνεται ἀναγκαῖον. μηδενὸς δὲ ὄντος ἀναγκαίου, διὰ τούτων
» οὐκ ἔσται συλλογισμός. ὅροι τοῦ παντὶ ὑπάρχειν. ζῷον. ἄνθρωπος. ἵππος. τοῦ μηδενὶ ὑπάρχειν, ζῷον. ἄνθρωπος. λίθος.

τῆς μείζονος· καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος. τετάρτη ἡ ἐκ καθόλου ἀποφατικῆς τῆς μείζονος· καὶ μερικῆς καταφατικῆς τῆς ἐλάττονος. πέμπτη ἡ ἐκ τῆς μείζονος μερικῆς ἀποφατικῆς· καὶ τῆς ἐλάττονος καθόλου καταφατικῆς. ἕκτη ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. αἱ δὲ λοιπαὶ πᾶσαι συζυγίαι καὶ ἐν τούτῳ τῷ σχήματι ἀσυλλόγιστοι. διὰ τὰς προειρημένας αἰτίας. δεῖ δὲ πάλιν καθόλου ἐπὶ τῶν τριῶν σχημάτων εἰδέναι καὶ τοῦτο. ὅτι ἐπὶ πάντων τῶν σχημάτων, τῇ χείρονι τῶν προτάσεων ἕπεται τὸ συμπέρασμα, οἷον. ἐὰν αἱ δύο ὡς καθόλου ἡ δὲ ἑτέρα ἀποφατική, ἀποφατικὸν συνάγεται τὸ συμπέρασμα. πάλιν ἐὰν μερικὴ ᾖ ἡ ἑτέρα τῶν προτάσεων, μερικόν. ἐὰν δὲ ἡ μὲν ᾖ μερικὴ ἡ δὲ ἑτέρα ἀποφατικὴ μερικόν, ἀποφατικόν. ἐπειδὴ κἀνταῦθα τὸ χεῖρον ἀεὶ νικᾷ. διὰ μὲν τοῦ ὅταν διατείνων. ἐσήμανεν ὅτι τοὐλάχιστον ἐκ δύο προτάσεων εἰσὶν οἱ συλλογισμοὶ καθὼς καὶ πρότερον εἴρηται. διὰ δὲ τοῦ ὅταν καὶ πότε. ἐδήλωσεν ὅτι οὐχ ὡς ἔτυχεν. οὐδὲ πᾶσαι αἱ προτάσεις συμπλεκόμεναι ποιοῦσι συλλογισμόν. διὰ δὲ τοῦ ὅταν πῶς. ἐσήμανεν ὅτι τοῦ μέσου ὅρου ποτὲ μὲν ἑνὶ τῶν ἄκρων ὑποκειμένου τῷ δὲ ἑτέρου κατηγορουμένου. ποτὲ δὲ ἀμφοτέρων κατηγορουμένου. ποτὲ δὲ ἀμφοτέροις ὑποκειμένου.

ΠΡΟΤΕΡΟΝ γὰρ περὶ συλλογισμοῦ λεκτέον ἢ περὶ ἀποδείξεως διὰ τὸ καθόλου μᾶλλον εἶναι τὸν συλλογισμόν. ἡ μὲν γὰρ ἀπόδειξις. συλλογισμός τις. συλλογισμὸς δέ, οὐ πᾶς, ἀπόδειξις.

Ε' πειδὴ ἐν ἀρχαῖς τοῦ βιβλίου ἐπηγγείλατο περὶ ἀποδείξεως διαλέγεσθαι. οὐδαμοῦ δὲ ἐν τούτῳ τῷ βιβλίῳ περὶ ἀποδείξεως διαλέγεται. διὰ τοῦτο μέλλων ἄρχεσθαι τῶν συλλογισμῶν ἀπολογούμενος ὑπὲρ τούτου φησίν. ὅτι δεῖ πρῶτον, περὶ τῶν καθολικωτέρων ποιεῖσθαι τὸν λόγον. καθολικώτερος δὲ ὁ περὶ συλλογισμοῦ λόγος τοῦ περὶ ἀποδείξεως.

ὍΤΑΝ οὖν ὅροι τρεῖς οὕτως ἔχωσι πρὸς ἀλλήλους. ὥστε τὸν ἔσχατον ἐν ὅλῳ εἶναι τῷ μέσῳ. καὶ τὸν μέσον ἐν ὅλῳ, τῷ πρώτῳ ἢ εἶναι ἢ μὴ εἶναι, ἀνάγκη τῶν ἄκρων εἶναι συλλογισμὸν τέλειον.


Π ερὶ αὐτῶν λοιπὸν διαλέγεται τῶν συλλογισμῶν. ἄρχεται δὲ ἀπὸ τοῦ α' σχήματος ἑνότως. καὶ παραδίδωσιν ἡμῖν πρῶτον τοὺς ἐκ δύο καθόλου προτάσεων συλλογισμούς. τῶν δὲ δύο προτάσεων καθολικῶν οὐσῶν, γίνονται τέσσαρες αἱ συζυγίαι τῇ πρὸς τὸ ποιὸν ἐπιπλοκῇ. ἥτε ἐκ τῶν δύο καταφατικῶν. καὶ ἡ ἐκ τῶν δύο ἀποφατικῶν. καὶ τῆς μὲν ἑτέρας ἀποφατικῆς. τῆς δ' ἑτέρας καταφατικῆς καὶ τοῦτο διχῶς. ἤτοι τῆς μείζονος ἀποφατικῆς, ἢ τῆς ἐλάττονος. τῆς δὲ ἑτέρας καταφατικῆς. τούτων οὖν τῶν τεσσάρων συζυγιῶν. δύο μέν εἰσιν αἱ συλλογιστικαί. ἥτε ἐκ τῶν δύο καταφατικῶν. καὶ ἡ ἐκ τῆς μείζονος ἀποφατικῆς τῆς δὲ ἐλάττονος καταφατικῆς. αἱ δὲ λοιπαὶ δύο ἀσυλλόγιστοί εἰσιν. ἐπειδὴ ἡ ἐλάττων τὸ ἑαυτῆς ἴδιον ἀπόλλυσιν ἀποφατικὴ οὖσα. παραδίδωσι δὲ ἅμα τὰς ἐκ δύο συλλογιστικάς, ὡς ἀεὶ βραχυλογίαν ἐπιτηδευόμενος καὶ ἴδωμεν ὅπως. Ὅταν οὖν φησιν ὅροι τρεῖς οὕτως ἔχωσιν. ὥστε τὸν ἔσχατον ἐν ὅλῳ εἶναι τῷ μέσῳ. τὴν ἐλάττονα πρότασίν φησιν ἐὰν ᾖ καταφατικὴ καθόλου. τὸν δὲ μέσον ἐν τῷ πρώτῳ ἢ εἶναι ἢ μὴ εἶναι. τουτέστιν ὅταν ἡ μείζων πρότασις ἢ καταφατικὴ ὑπάρχῃ ἢ ἀποφατική. ὅρα δὲ πῶς ἡμῖν τὴν ἰδιότητα τοῦ πρώτου σχήματος ἐσήμανεν εἰπών. τὸν ἔσχατον ἐν ὅλῳ εἶναι τῷ μέσῳ. ἀντὶ τοῦ τὸν μέσον τοῦ ἐσχάτου πάντως κατηγορεῖσθαι. εἴρηται γὰρ ὅτι ἐν ὅλῳ καὶ κατὰ παντός, τῷ ὑποκειμένῳ ταὐτά εἰσιν. τὸν δὲ μέσον ἐν τῷ πρώτῳ εἶναι. ἢ μὴ εἶναι. ἀντὶ τοῦ τὸν μέσον τῷ πρώτῳ ὑποκεῖσθαι. ἢ ὡς κατάφασιν ἢ ὡς ἀπόφασιν. ἀνάγκη τῶν ἄκρων εἶναι συλλογισμὸν τέλειον. ἄξιον δὲ ζητῆσαι πῶς ὁ φιλόσοφος εἶπεν ὅτι ἐὰν ὁ μέσος ὅρος. ἐπὶ μὲν ἑνὶ τῶν ἄκρων ὑπόκειται. τοῦ δὲ ἑτέρου κατηγορεῖσθαι τέλειον ποιεῖ συλλογισμόν. καίτοι ἐν τῷ τρίτῳ τρόπῳ καὶ ἐν τῷ τετάρτῳ τοῦ πρώτου σχήματος οὕτως ἔχοντος τοῦ μέσου ὅρου καθὼς αὐτὸς παρακελεύεται. δι' εὑρίσκονται τινὲς ἀτελεῖς συλλογισμοί, οἵτινες τελειοῦνται διὰ τῆς ἀντιστροφῆς τῆς πρὸς τὸν πρῶτον τρόπον. ὥστε οὐ τούτους καλεῖ τελείους ἐνταῦθα ὁ φιλόσοφος. ἀλλὰ τοὺς σώζοντας τὸ τέλειον εἶδος τοῦ πρώτου σχήματος.


ΚΑΛΩ͂ ΔΕ μέσον. μέν, ὃ καὶ αὐτὸ ἐν ἄλλῳ, καὶ ἄλλο ἐν τούτῳ ἐστίν. ὃ καὶ τῇ θέσει γίνεται μέσον.


Ο ὗτος ὁρισμὸς τοῦ μέσου ὅρου, οὐκ ἔστι κοινός, ἐπὶ τῶν τριῶν σχημάτων. ἀλλὰ μόνον τοῦ μέσου τοῦ ἐν τῷ πρώτῳ σχήματι. οὗτος γὰρ μόνος τοῦ μὲν τῶν ἄκρων κατηγορεῖται τῷ δ' ὑπόκειται. ὁ δὲ ἐν τῷ δευτέρῳ σχήματι ἀμφοτέρων κατηγορεῖται. ὁ δὲ ἐν τῷ τρίτῳ ἀμφοτέροις ὑπόκειται. ὡς ἤδη ἡμῖν εἴρηται. ἀλλ' εἰ καὶ διάφορα τὰ εἴδη τῶν μέσων ὅρων ἐπὶ τῶν τριῶν σχημάτων, ἀλλ' οὖν ἔχουσί τι κοινὸν τὸ ἐν ἀεὶ διπλασιάζεσθαι καὶ ἐν ἀμφοτέραις εὑρίσκεσθαι ταῖς προτάσεσι τὸν μέσον, ἐν τοῖς τρισὶ σχήμασιν. ὃ καὶ τῇ θέσει γίνεται μέσον. βούλεται ἡμᾶς ὁ ἀριστοτέλης καὶ ἐν αὐτῇ τῇ καταγραφῇ σώζειν τὴν τοῦ μέσου τάξιν. ἵνα ἐπ' εὐθείας τάξαντες τοὺς τρεῖς ὅρους, τῷ μέσῳ τὴν μέσην ἀποδῶμεν χώραν.


ἌΚΡΑ ΔΕ ΤΟ αὐτό τε ἐν ἄλλῳ ὄν, καὶ ἐν ᾧ ἄλλο ἐστί. εἰ γὰρ τὸ α' κατὰ παντὸς τοῦ β'. καὶ τὸ β' κατὰ παντὸς τοῦ γ', ἀνάγκη καὶ τὸ α' κατὰ παντὸς τοῦ γ' κατηγορεῖσθαι. πρότερον γὰρ εἴρηται πῶς τὸ κατὰ παντὸς λέγομεν.

Ἐπεὶ οὖν δέδεικται λϛʹ μόνας γίνεσθαι καθ᾽ ἕκαστον σχῆμα ἐκ τῆς τῶν προτάσεων συμπλοκῆς τὰς συζυγίας· ἄξιον ἐπὶ τούτοις ζητῆσαι ποῖαι μέν εἰσιν ἐξ αὐτῶν αἱ συλλογιστικαὶ καθ᾽ ἕκαστον σχῆμα συζυγίαι· ταυτὸν δὲ εἰπεῖν αἳ ἔστι μόνον καὶ ὡρισμένον ἔχουσαι ταῖς προτάσεσιν ἑπόμενον συμπέρασμα· τοῦτο γὰρ ἐλέγομεν εἶναι συλλογισμόν· ἔτι δὲ καὶ ποῖαι ἀσυλλόγιστοι. ἵνα δὲ τοῦτο γνῶμεν, δεῖ πρότερον εἰπεῖν ποῖα δεῖ παραφυλάττεσθαι· καὶ ταῦτα ἐπὶ τῶν τριῶν σχημάτων συνάγοντας εἴδη κατὰ μέρος ὑπὸ τοῦ Ἀριστοτέλους ἀποδεικνύμενα. κοινῶς μὲν οὖν ἐπὶ τῶν τριῶν σχημάτων δεῖ παραφυλάττεσθαι τὸ μήτε τὰς δύο προτάσεις εἶναι ἀποφατικάς· μήτε τὰς δύο μερικάς. εἰ γὰρ μέλλει ἡ συζυγία τῶν συμπλεκομένων ἀλλήλαις προτάσεων γίνεσθαι συλλογιστική, δεῖ τὴν ἑτέραν τῶν προτάσεων κεκοσμῆσθαι κατά τε τὸ ποσὸν καὶ τὸ ποιόν. ἔστι δὲ κατὰ μὲν τὸ ποσὸν, κρεῖττον τὸ καθόλου τοῦ μερικοῦ· κατὰ δὲ τὸ ποιὸν, τὸ καταφατικὸν τοῦ ἀποφατικοῦ. ἴδια δὲ ἐπὶ μὲν τοῦ πρώτου σχήματος, τὸ τὴν μὲν μείζονα εἶναι καθόλου· τὴν δὲ ἐλάττονα καταφατικήν. ἀδιαφορεῖ γὰρ ἡ μὲν μείζων κατὰ τὸ ποιόν, ἡ δὲ ἐλάττων κατὰ τὸ ποσόν. αἱ δὲ μὴ οὕτως ἔχουσαι συζυγίαι, ἀσυλλόγιστοί εἰσι. ταῦτα δὲ τὰ ἴδια τοῦ πρώτου σχήματος· ἐμερίσαντο τὰ ἄλλα δύο. ἐν μὲν γὰρ τῷ βʹ, δεῖ φυλάττειν τὴν μείζονα καθόλου ὥσπερ ἐν τῷ αʹ. τὴν δὲ ἐλάττονα ἀνομοιοσχήμονα τῇ μείζονι κατὰ τὸ ποιόν. τουτέστιν ἵνα εἰ ἡ μείζων εἴη καταφατική, ἡ ἐλάττων ἔσται ἀποφατική· καὶ ἔμπαλιν. εἰ ἡ μείζων ἀποφατική, ἡ ἐλάττων καταφατική, δῆλον ὡς τῆς μείζονος ἀδιαφόρως ἐχούσης περὶ τὴν ποιότητα. τῆς δὲ ἐλάττονος περὶ τὴν ποσότητα. αἱ γὰρ μὴ οὕτως ἔχουσαι συζυγίαι καὶ ἐν τούτῳ τῷ σχήματι ἅπασαι ἀσυλλόγιστοί εἰσιν. ἐν δὲ τῷ τρίτῳ σχήματι δεῖ παρατηρεῖν πρὸς τὸ φυλάττειν τὰ κοινὰ ἐπὶ τῶν τριῶν σχημάτων παρατετηρημένα. λέγω δὴ τὸ μήτε τὰς δύο εἶναι μερικάς· μήτε τὰς δύο ἀποφατικάς. ἔτι παρατηρεῖν ἴδιον ἐν αʹ καὶ γʹ τὸ τὴν ἐλάττονα εἶναι καταφατικήν· ἀμφοτέρων ἀδιαφορουσῶν κατὰ τὸ ποσὸν καὶ ἔτι τῆς μείζονος κατὰ τὸ ποιόν. καὶ διὰ τοῦτο ἐπειδὴ ἥττονα ἐστὶ τὰ ὀφείλοντα ἴδια παραφυλάττεσθαι ἐπὶ τοῦ τρίτου σχήματος, πλείους γίνεσθαι συλλογιστικὰς συζυγίας. ἐν μὲν γὰρ τῷ πρώτῳ τέσσαρες μὲν γίνονται συλλογιστικαὶ συζυγίαι· αἱ δὲ λοιπαὶ λβʹ ἀσυλλόγιστοι. καὶ συλλογιστικαὶ μὲν αὗται· ἐκ δύο καθόλου καταφατικῶν· καὶ ἡ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς· καὶ τρίτη ἡ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς· καὶ τετάρτη ἡ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς, τῆς δὲ ἐλάττονος μερικῆς καταφατικῆς. αἱ δὲ λοιπαὶ παρὰ ταύτας αἱ ἐν τούτῳ τῷ σχήματι ἀσυλλόγιστοι· διὰ τὰς εἰρημένας αἰτίας. λέγω δὴ ταύτας κοινῶς καὶ ἰδίως ἐπὶ τῶν σχημάτων παραφυλαττομένας. ἐν δὲ τῷ δευτέρῳ σχήματι συλλογιστικαὶ συζυγίαι πάλιν εἰσὶ τέσσαρες· αὗται ἐκ τῶν δύο καθόλου τῆς μείζονος ἀποφατικῆς καὶ τῆς ἐλάττονος καταφατικῆς· καὶ ἡ ἐκ τῆς μείζονος καταφατικῆς, τῆς δὲ ἐλάττονος ἀποφατικῆς· καὶ τρίτη ἡ ἐκ τῆς μείζονος καθόλου ἀποφατικῆς καὶ τῆς ἐλάττονος μερικῆς καταφατικῆς, καὶ τετάρτη ἡ ἐκ τῆς μείζονος καθόλου καταφατικῆς· τῆς δὲ ἐλάττονος μερικῆς ἀποφατικῆς. αἱ δὲ λοιπαὶ καὶ ἐν τούτῳ τῷ σχήματι ἀσυλλόγιστοι· διὰ τὰς αὐτὰς πάλιν αἰτίας.












Ἐν δὲ τῷ τρίτῳ συλλογιστικαὶ συζυγίαι εἰσὶν ἕξ· ἐκ δύο καθόλου καταφατικῶν· ἐκ καθόλου ἀποφατικῆς μείζονος, τῆς δὲ ἐλάττονος καθόλου καταφατικῆς· καὶ τρίτη ἐκ καθόλου καταφατικῆς



ἢ μ. μείζων καταφατικὴ ἡ δὲ ἐλάττων, ἀποφατική. ἢ ἔμπαλιν. ἑκάστου οὖν τμήματος κατὰ τὸ ποιὸν τετραχῶς ποιουμένου, τετράκις ἐννέα αἱ πᾶσαι γίνονται, λϛ᾽. ἐκθησόμεθα δὲ καὶ ἤδη τῆς καταγραφῆς πρὸς τὸ εὐσύνοπτον, τὴν εἰρημένην διαίρεσιν.

ΑΙ ΕΝ ΤΟΙΣ ΣΥΛΛΟΓΙΣΜΟΙΣ ΛΑΜΒΑΝΟΜΕΝΑΙ ΠΡΟΤΑΣΕΙΣ.






πρὸς τὸν μέσον. δῆλον ὅτι οὐκ ἔτι ἁρμόσει ἡμῖν. οὕτως ὁ προσδιορισμὸς ἐπ' ἐκείνων. χρηστέον οὖν κοινῷ κανόνι ἐπὶ πάντων τῶν τριῶν σχημάτων τούτῳ. ὅτι μείζων ἐστὶν ὅρος ὁ ἐν τῷ συμπεράσματι κατηγορούμενος. ἐλάττων δὲ ὁ ἐν τῷ συμπεράσματι ὑποκείμενος. καὶ μείζων μὲν ἔσται πρότασις, ἡ τὸν μείζονα ὅρον ἔχουσα. ἐλάττων δὲ, ἡ τὸν ἐλάττονα. παραδείγματα. τοῦ μὲν πρώτου σχήματος, ὁ ἄνθρωπος ζῷον. τὸ ζῷον, οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. ἔστι συμπέρασμα ἡ λέγουσα ὁ ἄνθρωπος ἄρα οὐσία. ὑπόκειται ὁ ἄνθρωπος. κατηγορεῖται δὲ ἡ οὐσία. οὐκοῦν μείζων μὲν ὅρος ἡ οὐσία. ἐλάττων δὲ ὁ ἄνθρωπος. καὶ διὰ τοῦτο μείζων μὲν πρότασις ἡ λέγουσα τὸ ζῷον οὐσία. ἐλάττων δὲ ἡ λέγουσα ὁ ἄνθρωπος ζῷον. τοῦ δὲ δευτέρου, τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου. τὸ ζῷον κατ' οὐδενὸς λίθου. ὁ ἄνθρωπος ἄρα κατ' οὐδενὸς λίθου. τὸ συμπέρασμα. ὑπόκειται ὁ λίθος. κατηγορεῖται ὁ ἄνθρωπος. μείζων ὅρος ὁ ἄνθρωπος. ἐλάττων ὁ λίθος. καὶ διὰ τοῦτο μείζων μὲν πρότασις ἡ λέγουσα τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου. ἐλάττων δὲ ἡ λέγουσα ζῷον κατ' οὐδενὸς λίθος. τοῦ τρίτου δὲ τις λίθος λευκός. πᾶς λίθος ἄψυχος. καὶ τὸ συμπέρασμα τι λευκὸν ἄψυχον. ὑπόκειται τὸ λευκόν. κατηγορεῖται τὸ ἄψυχον. οὐκοῦν μείζων ὅρος τὸ ἄψυχον, ἐλάττων δὲ τὸ λευκόν. καὶ διὰ τοῦτο μείζων μὲν πρότασις ἡ λέγουσα πᾶς λίθος ἄψυχος. ἐλάττων δὲ ἡ λέγουσα τις λίθος λευκός. τούτων οὖν προληφθέντων, ἴδωμεν λοιπὸν πόσαι γίνονται συζυγίαι καθ' ἕκαστον σχῆμα. ἐκ τῆς συμπλοκῆς τῶν προτάσεων. λέγομεν οὖν ὅτι ἐξ οὐσῶν πασῶν τῶν προτάσεων. δύο μὲν τῶν προσδιωρισμένων τῷ καθόλου λέγω προσδιορισμῷ καὶ τῷ μερικῷ. καὶ ἔτι μιᾶς τῆς ἀπροσδιορίστου. καὶ τούτων ἢ καταφατικῶν ἢ ἀποφατικῶν. ἓξ ἄρα γίνονται μόναι προτάσεις. καὶ οὔτε πλείους εἰσὶν, οὔτε ἐλάττους. τὰς γὰρ καθ' ἕκαστα ὡς ἀπείρους καὶ περὶ γεννητῶν. καὶ φθαρτῶν διαλεγομένας, οὐ παραλαμβάνει ὁ φιλόσοφος ὡς ἀχρήστους οὔσας ὡς ἀποδείξει. ἐξ τοίνυν οὐσῶν ὄντων τῶν προτάσεων συμβαίνει καθ' ἕκαστον σχῆμα, ἐκ τῆς τούτων συμπλοκῆς φανήσεται καὶ ἓξ γίνεσθαι συζυγίας. ἐπειδὴ γὰρ ὡς εἴπομεν ἕκαστος συλλογισμὸς δύο ἔχει προτάσεις. ἀνάγκη δὲ ἑκάστην τῶν προτάσεων καθ' ἕν τι τῶν ἓξ εἰδῶν τούτων χαρακτηρίζεσθαι. ἢ γὰρ καθόλου ἐστὶ προσδιωρισμένη, ἢ μερικὴ. ἢ ἀπροσδιόριστος, καὶ καθ' ἕκαστον τούτων ἢ καταφατικὴ, ἢ ἀποφατική. ἐὰν φέρε εἰπεῖν λάβωμεν τὴν μείζονα πρότασιν καθόλου οὖσαν καταφατικὴν, ἀνάγκη πᾶσα καὶ τὴν ἐλάττονα, ἑξαχῶς ποικίλλεσθαι. ἢ γὰρ καὶ αὕτη καθόλου ἔσται καταφατική, ἢ καθόλου ἀποφατική. ἢ μερικὴ καταφατική, ἢ μερικὴ ἀποφατική. ἢ ἀπροσδιόριστος καταφατική. ἢ ἀπροσδιόριστος ἀποφατική. πάλιν τῆς μείζονος οὔσης καθόλου ἀποφατικῆς, ἀνάγκη πάλιν τὴν ἐλάττονα ἑξαχῶς ποικίλλεσθαι. ἢ γὰρ καὶ αὕτη καθόλου ἐστὶ καταφατική. ἢ καθόλου ἀποφατική, ἢ μερικὴ καταφατική. ἢ μερικὴ ἀποφατική. ἢ ἀπροσδιόριστος καταφατική, ἢ ἀπροσδιόριστος ἀποφατική καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως προσδιορισμῶν. ὥστε ἓξ οὐσῶν οὐσῶν τῶν προτάσεων. καὶ τῆς μὲν μείζονος ἀεὶ λαμβανομένης κατὰ μίαν τῶν ἕξ. ποικιλλομένης δὲ τῆς ἐλάττονος κατὰ τὰ αὐτὰ ἓξ εἴδη, ἑξάκις τὰ ϛ΄, γίνονται λϛ΄. ὥστε καθ' ἕκαστον σχῆμα λϛ΄ συζυγίαι προτάσεων γίνονται. τῷ εἴδει λέγω. αἱ γὰρ καθ' ἕκαστα ἄπειροι τὸν ἀριθμόν. οὕτω μὲν οὖν συντόμως ἡμῖν εὕρηται, τῶν κατὰ τὰς συμπλοκὰς τῶν προτάσεων γινομένων οὐσῶν ὁ ἀριθμός. ἔστι δὲ καὶ γλαφυρώτατον τὸ αὐτὸ τοῦτο δεῖξαι. διά τινος ποικιλωτέρας διαιρέσεως ταύτης. αἱ προτάσεις αἱ παραλαμβανόμεναι ἐν τῷ συλλογισμῷ, ἢ ἀμφότεραι εἰσὶ προσδιωρισμέναι, ἢ ἀμφότεραι ἀπροσδιόριστοι. ἢ ἡ μὲν προσδιωρισμένη, ἡ δὲ ἀπροσδιόριστος. καὶ οὐκ ἔστι παρὰ ταῦτα. καὶ εἰ ἀμφω ὦσι προσδιωρισμέναι. ἢ ἀμφότεραι τῷ καθόλου, ἢ ἀμφότεραι τῷ μερικῷ. ἢ ἡ μὲν μείζων τῷ καθόλου. ἡ δὲ ἐλάττων, τῷ μερικῷ. ἢ ἀνάπαλιν. οὕτω μὲν εἰ ἀμφότεραι εἶεν προσδιωρισμέναι. εἰ δὲ ἡ μὲν ἦν προσδιωρισμένη. ἡ δὲ ἀπροσδιόριστος. ἢ τῷ καθόλου προσδιορισμῷ, ἢ τῷ μερικῷ. καὶ εἰ τῷ καθόλου. ἢ ἡ μὲν μείζων προσδιωρισμένη. ἡ δὲ ἐλάττων, ἀπροσδιόριστος. καὶ ἔμπαλιν. καὶ εἰ τῷ μερικῷ, ἢ, ἡ μείζων πάλιν προσδιωρισμένη. ἡ δὲ ἐλάττων, ἀπροσδιόριστος. ἢ ἔμπαλιν. οὕτω καὶ ἡ μὲν εἴη προσδιωρισμένη. ἡ δὲ ἀπροσδιόριστος. τὸ δὲ ἕτερον τῆς διαιρέσεως σκέλος. λέγω δὴ τὸ λέγον τὰς δύο εἶναι ἀπροσδιορίστους τὴν ἀπὸ τοῦ ποσοῦ ὑποδιαίρεσιν οὐκ ἐπιδέχεται. ἐννέα οὖν τῶν πάντων τμημάτων γινομένων ἀπὸ τῆς τοῦ ποσοῦ διαιρέσεως. ἢ ἐξ ἀμφοτέρων καθόλου. ἢ ἐξ ἀμφοτέρων μερικῶν. καὶ τρίτον τῆς μὲν μείζονος καθόλου τῆς δὲ ἐλάττονος μερικῆς. τέταρτον τῆς μὲν ἐλάττονος καθόλου. τῆς δὲ μείζονος μερικῆς. πέμπτον. τῆς μὲν μείζονος καθόλου τῆς δὲ ἐλάττονος, ἀπροσδιορίστου. ἕκτον. τῆς ἐλάττονος καθόλου. τῆς δὲ μείζονος ἀπροσδιορίστου. ἕβδομον. τῆς μείζονος μερικῆς. τῆς δὲ ἐλάττονος ἀπροσδιορίστου. ὄγδοον τῆς ἐλάττονος μερικῆς. τῆς δὲ μείζονος ἀπροσδιορίστου. ἔνατον. ἀμφοτέρων ἀπροσδιορίστων. ταύτης οὖν τῆς διαιρέσεως τὰς θ΄ διαφορὰς ἐκ τοῦ ποσοῦ ἀναδειξάσης ἡμῖν. ποιησόμεθα τὴν αὐτὴν διαίρεσιν τούτων πάντων κατὰ τὸ ποιόν. ἐν γὰρ ἑκάστῳ τμήματι, ἀνάγκη ἢ ἀμφοτέρας εἶναι καταφατικὰς. ἢ ἀμφοτέρας ἀποφατικάς. ἢ τὴν μὲν καταφατικὴν, τὴν δὲ ἀποφατικήν. καὶ τοῦτο διχῶς. ἢ γὰρ

ὁ μέσος ὅρος· κατὰ δὲ τὸ δεύτερον ὑπέρκειται· κατὰ δὲ τὸ τρίτον ὑποκάτω. ἔστι δὲ καὶ ἑτέρωθεν τὴν τάξιν αὐτῶν θεωρῆσαι. διότι γὰρ ἐν μὲν τῷ πρώτῳ σχήματι πάντα συνάγεται τὰ συμπεράσματα. καὶ τὰ καθόλου καὶ τὰ μερικά. καὶ καταφατικὰ καὶ τὰ ἀποφατικά, διὰ τοῦτο τὸ τοιοῦτον σχῆμα τὴν πρώτην εἴληφε τάξιν. ἐν δὲ τῷ δευτέρῳ σχήματι ἐπειδὴ καταφατικὸν μὲν οὐδὲν συνάγεται συμπέρασμα ἀλλὰ πάντα ἀποφατικὰ καθόλου τε καὶ μερικά. διὰ ταῦτα τοῦτο τὴν δευτέραν ἐπέχει τάξιν. ἐν δὲ τῷ τρίτῳ μόνῳ μερικὰ συνάγεται συμπεράσματα καθόλου δὲ οὐδέν. ὅθεν καὶ τὴν ἐσχάτην εἴληχε τάξιν. ἔστι δὲ κάλλιστόν τε καὶ ἀποδείξει πρεπωδέστατον σχῆμα ἐν ᾧ πάντα συνάγεται τὰ συμπεράσματα. τά τε ἐν τοῖς ἄλλοις συναγόμενα σχήμασι καὶ ἔτι πρὸς τούτοις τὸ καθόλου καταφατικόν. ὃ διαφερόντως μὲν σπουδάζεται ταῖς ἀποδεικτικαῖς ἐπιστήμαις. οὐδέτερον δὲ τῶν λοιπῶν σχημάτων συνάγειν δύναται. δευτέραν δὲ ἔχει τάξιν τό, τὸ καθόλου ἀποφατικὸν συνάγον, τοῦτο γὰρ οἰκειότερον ἀποδείξει, τοῦ μηδὲν καθόλου συνάγοντος. αἱ γὰρ ἀποδεικτικαὶ ἐπιστῆμαι, μερικὸν μὲν οὐδὲν προτίθενται οὐδέποτε κατασκευάζειν, ἀλλὰ τὸ καθόλου. τοῦτο δὲ οὐ πάντως καταφατικόν. ἀλλ' ἔστιν ὅτε καὶ ἀποφατικόν. ὃ καὶ εὐλόγως. διότι προηγουμένως βουλόμεθα διὰ τῶν ἀποδείξεων, τὰ καθ' αὑτὰ παρακολουθοῦντα ἑκάστῳ τῶν ὄντων θεωρεῖν. ἔσχατον δὲ δῆλον ὅτι διὰ τῶν εἰρημένων ληφθήσεται τὸ μόνα τὰ μερικὰ συνάγον ὡς ἄχρηστον πρὸς ἀπόδειξιν. ἔστι δὲ καὶ ἄλλην πραγματειωδεστέραν αἰτίαν ἀποδοῦναι περὶ τῆς τῶν σχημάτων τάξεως. Ἰστέον ὅτι ἡ ψυχὴ ἡ ἡμετέρα, μέσην εἴληφε τάξιν τῶν τε ἀϊδίως ὄντων. καὶ τῶν ἐν γενέσει καὶ φθορᾷ. τῶν μὲν χείρων οὖσα. τῶν δὲ κρείττων ταύτῃ, τὸ πρῶτον σχῆμα ἀναλογεῖ. ὁ γὰρ ἐν αὐτῷ μέσος ὅρος· τοῦ μὲν ἑτέρου τῶν ἄκρων κατηγορεῖται οὗ καὶ κρείττων ἐστίν. τῷ δὲ ἑτέρῳ ὑπόκειται· οὗ καὶ χείρων ἐστίν. ὁμοίως δὲ καὶ ἡ φύσις μέσον τι πρᾶγμα λέγεται τῶν εἰδῶν. οὐ γὰρ μᾶλλον θάτερον τοῦ ἑτέρου πρόσεστι. οἷον οὐ πλέον τοῦ μέλανος, τὸ λευκὸν πρόσεστι. ἢ τὸ μέλαν τοῦ λευκοῦ. καίτοι κρείττων αὐτῶν οὖσα. ᾗ ἀναλογεῖ τὸ δεύτερον σχῆμα. τὸν γὰρ μέσον ὅρον ἔχει ἐν ἀμφοτέραις, ταῖς προτάσεσι κατηγορούμενον. καὶ διὰ τοῦτο ἑκατέρου τῶν ὅρων κρείττονα. ἐπὶ τούτοις λέγεται καὶ ἡ ὕλη μέσον τι χρῆμα εἶναι ὡς πρὸς τὰ εἴδη. πᾶσι γὰρ ὁμοίως δέχεται χείρων αὐτῶν ὑπάρχουσα. καὶ ταύτῃ τὸ τρίτον σχῆμα ὅμοιόν ἐστιν. ἐν ἑκατέρᾳ γὰρ τῶν προτάσεων· ὁ μέσος ὅρος ὑπόκειται χείρων αὐτῶν διὰ τοῦτο ὑπάρχων. ἐπεὶ οὖν τὸ πρῶτον σχῆμα τῇ ψυχῇ ἀναλογεῖ. αὕτη δὲ τῶν ἄλλων δύο τιμιωτέρα τῆς τε φύσεώς φημι καὶ τῆς ὕλης, τοῦτο τῶν ἄλλων εἰκότως ἂν εἴη τιμιώτερον. καὶ διὰ τοῦτο πρῶτον λεχθήσεται. δεύτερον δὲ τὸ τῇ φύσει ἀναλογοῦν. αὕτη γὰρ τῆς μὲν ψυχῆς χείρων ἐστί, τῆς δὲ ὕλης κρείττων. καὶ τρίτον, τὸ τῇ ὕλῃ παραπλήσιον. ὥσπερ γὰρ αὕτη παντός ἐστιν ἐσχάτη. οὕτω καὶ ἐν τῷ τρίτῳ σχήματι ὁ μέσος ὅρος τῶν λοιπῶν ἐστιν ἀτιμότερος. περὶ μὲν οὖν τῶν σχημάτων. καὶ τῆς τάξεως αὐτῶν, ἱκανῶς ἡμῖν εἴρηται. Ἄξιον δὲ ζητῆσαι καὶ περὶ τῆς ὀνομασίας αὐτῶν διατί σχήματα αὐτὰ ὁ Ἀριστοτέλης ἐκάλεσεν. φαμὲν οὖν ὅτι πανταχοῦ φιλογεωμέτρης ὢν ὁ φιλόσοφος ἐξομοιῶσαι βούλεται τὰ περὶ τοῦ συλλογισμοῦ, τοῖς κατὰ γεωμετρίαν. καὶ διὰ τοῦτο τοῖς ἐκεῖσε ὀνόμασι κατὰ ἀναλογίαν κἀνταῦθα κέχρηται. τρία γάρ ἐστι ταῦτα ἐφεξῆς ἀλλήλοις ἐν γεωμετρίᾳ. τὰ σημεῖα αἱ γραμμαί· τὰ σχήματα. καὶ τὰ μὲν σημεῖα μόνως πέρατά φησιν οὐδαμῶς περατούμενα. τὰς δὲ γραμμὰς εὐθὺς μετὰ τὰ σημεῖα πρώτην διάστασιν ἐσχηκέναι, τὴν κατὰ μῆκος μόνην. τῶν σημείων ἀδιαστάτων ὄντων παντελῶς καὶ προσεχῶς τὰς γραμμὰς περατούντων ἃς καλοῦσι διαστήματα. πρώτην οὖν ἔχειν ἐν τοῖς μεγέθεσι τάξιν τὰς γραμμὰς ὡς πρώτας ἐσχηκυίας τὸ πόθεν ποῖ, μετὰ δὲ τὰς γραμμὰς τρίτην ἔχουσι τάξιν ἀπὸ τῶν σημείων τὰ σχήματα. συμπληρούμενά τε ὑπὸ τῶν γραμμῶν καὶ περατούμενα. οἷον τὸ τρίπλευρον. ἢ τετράπλευρον. ἤ τι τοιοῦτον. ῥυισκόμενον γὰρ τὸ σημεῖον, γεννᾷ τὴν γραμμήν. αἱ δὲ γραμμαὶ συντιθέμεναι ποιοῦσι τὰ σχήματα. ἐκ τούτων τοίνυν καὶ αὐτὸς τὰς μὲν ἁπλᾶς φωνὰς ὧν οὐδὲν ἁπλούστερον ἐν τῇ λογικῇ πραγματείᾳ, καὶ ὡς πρὸς φιλόσοφον σκέψιν καὶ κατὰ τοῦτο τοῖς σημείοις ἀναλογούσας, ὅρους ὀνομάζει. τὰς δέ γε ἐκ τῶν ἁπλῶν φωνῶν προσεχῶς συμπληρουμένας προτάσεις. ἅσπερ διὰ τὸ γραμμαῖς ἐοικέναι διαστήματα καλεῖ ὡς ἀκουσόμεθα αὐτοῦ προϊόντες. περιγράφουσι γὰρ καὶ ὁρίζουσι τὰς μὲν προτάσεις, αἱ ἁπλαῖ φωναί. ἐκ δὲ τῆς διαφόρου συνθέσεως τῶν προτάσεων, οἱ συλλογισμοὶ γεννῶνται οὓς ὥσπερ καλεῖ σχήματα. καθάπερ οἱ γεωμέτραι τὰ ὑπὸ τῶν γραμμῶν περιεχόμενα. Μετὰ ταῦτα ἄξιον προλαβεῖν ποσαχῶς δυνατὸν συμπλέξαι τὰς ἐν τῷ συλλογισμῷ παραλαμβανομένας προτάσεις καθ' ἕκαστον σχῆμα. καὶ ποῖαι μὲν τῶν συμπλοκῶν τῶν προτάσεων εἰσὶ συλλογιστικαὶ ἐν ἑκάστῳ σχήματι, ποῖαι δὲ ἀσυλλόγιστοι. ἵνα δὲ τοῦτο γνῶμεν. δεῖ προλαβεῖν τίς ἐστιν ἐν τῷ συλλογισμῷ μείζων πρότασις. καὶ τίς ἐλάττων. καὶ πάλιν ἵνα τοῦτο γνῶμεν. ἴδωμεν πρότερον καὶ τίς ἐστι μείζων ὅρος. καὶ τίς ἐλάττων. τοῦτο δὲ δυνατὸν μὲν καὶ κοινῶς ἐπὶ τῶν τριῶν σχημάτων διορίσασθαι, καὶ ἰδίᾳ, ἐπὶ τοῦ πρώτου. καὶ ἰδίᾳ μὲν ἐπὶ τοῦ πρώτου σχήματος μείζων ὅρος ἐστὶν ὁ τοῦ μέσου κατηγορούμενος. ἐλάττων δέ, ὁ τῷ μέσῳ ὑποκείμενος. καὶ τοῦτο μὲν ἰδιαζόντως ἐπὶ τοῦ πρώτου λέγομεν. ἐπειδὴ ὁ μέσος ἐν τῷ πρώτῳ, τοῦ μὲν κατηγορεῖται, τῷ δὲ ὑπόκειται. ἀλλ' ἐπειδὴ κατ' οὐδέτερον τῶν ἄλλων σχημάτων διάφορον ἔχουσι σχέσιν οἱ ἄκροι

ἀόριστος, οὕτω καὶ ἐν ταῖς μετὰ τρόπου προτάσεσι. τῷ τρόπῳ συμπλεκομένου τοῦ ἀρνητικοῦ μορίου αἱ ἀποφάσεις ἐγίνοντο. εἰ δὲ τῷ κατηγορουμένῳ συνετάχθη, ἐκ μεταθέσεως ἐπ' ἀεὶ καταφάσεις ὡς ἐν τῷ περὶ ἑρμηνείας δέδεικται. τοῦτο οὖν ἐστιν ὅ φησιν ὅτι ἰσοδυναμεῖ τῷ ἔστιν ὁ τρόπος. ὥσπερ γὰρ τὸ ἔστιν ἀεὶ προσκατηγορεῖται καταφάσει πάσῃ. οἷον ἄνθρωπος ζῷόν ἐστιν, οὕτω καὶ ὁ τρόπος. ἐνδέχεται τὸν ἄνθρωπον φιλόσοφον εἶναι καὶ ἐνδέχεται μὴ εἶναι. κατηγορεῖται γὰρ αὐτοῦ τὸ ἐνδέχεται. διὰ δὲ τοῦ ἀεὶ, σημαίνει αὐτῷ τὸ κατὰ πάντας τοὺς χρόνους τὸν λόγον ἀληθεύειν. τὸ δὲ πάντως, τὸ κατὰ πάσης ὕλης. καὶ δὲ τὰς ἀντιστροφὰς ὁμοίως ἕξουσι ταῖς ἄλλαις. ποίαις ἄλλαις; ταῖς καταφατικαῖς τῶν ἁπλῶν δηλονότι. πρὸς γὰρ τὴν μερικὴν καταφατικὴν βούλεται καὶ ταύτας ἀντιστρέφειν ὡς ἐν τοῖς ἑξῆς δείξει. εἰ γὰρ ἐνδέχεταί τινα ἄνθρωπον περιπατεῖν. ἐνδέχεταί τι περιπατοῦν ἄνθρωπον εἶναι. περιπατεῖ γὰρ καὶ ἵππος καὶ κύων καὶ ἄλλα μυρία. καὶ οὐκ ἔστιν ἀληθὲς τὸ λέγειν ἐνδέχεσθαι ἐν ταύταις μὴ εἶναι καὶ ἄνθρωπον. καὶ οὐκ ἐνδέχεται ὡς ἤδη εἴπομεν. ὃ γὰρ ἐνδέχεται μὴ εἶναί τι, τοῦτο καὶ εἶναι ἐνδέχεται τὸ αὐτό. οὕτω μὲν οὖν αὗται. ἐὰν δὲ τὰς ὄντως ἀποφάσεις τῶν ἐνδεχομένων λάβωμεν. λέγω δὲ τὰς αὐτὸν τὸν τρόπον ἀναιρούσας τὰς καθόλου φημί. εὑρήσομεν αὐτὰς τὴν ἀντιστροφὴν πρὸς ἑαυτὰς ποιουμένας. εἰ γὰρ οὐκ ἐνδέχεταί τινα ἄνθρωπον ἵπτασθαι. οὐκ ἐνδέχεται οὐδὲ ἱπτάμενόν τι ἄνθρωπον εἶναι. ἰσοδυναμεῖ γὰρ ἡ οὐκ ἐνδέχεταί τινα ἄνθρωπον ἵπτασθαι, τῇ ἀνάγκη μηδένα ἄνθρωπον ἵπτασθαι. τῆς οὖν δευτέρας ἀντιστρεφούσης πρὸς ἑαυτὴν, καὶ ἡ πρώτη ἀντιστρέψει. πάλιν δὲ καὶ ἡ μερικὴ ἀποφατικὴ, ἡ οὐκ ἐνδέχεται πᾶν ζῷον γελαστικὸν εἶναι. ἐπειδὴ ἡ αὐτή ἐστι τῇ ἀνάγκη μὴ πᾶν ζῷον γελαστικὸν εἶναι. ἀορίστου δειχθείσης τῆς δευτέρας, καὶ ἡ πρώτη ἔσται ἀόριστος κατὰ τὴν ἀντιστροφήν.

ΔΙΩΡΙΣΜΕΝΩΝ δὲ τούτων, λέγωμεν ἤδη διὰ τίνων, καὶ πότε, καὶ πῶς γίνεται πᾶς συλλογισμός. ὕστερον δὲ λεκτέον περὶ ἀποδείξεως.

Λοιπὸν εἰς τὸν περὶ συλλογισμῶν εἰσβάλλει λόγον. δεῖ δὲ ἡμᾶς πρὶν εἰς τὴν ἐξέτασιν τῆς ῥητῆς ἐμβάλλειν, τινὰ προλαβεῖν. ἐπειδὴ τοίνυν περὶ συλλογισμοῦ αὐτῷ ἐστιν ὁ λόγος. ὁ δὲ συλλογισμὸς, συλλογή ἐστι πλειόνων λόγων. δῆλον ὅτι ἐκ μιᾶς εἶναι προτάσεως, ἀδύνατον τὸν συλλογισμόν. ὅτι γὰρ συλλογή ἐστι πλειόνων λόγων. αὐτό τε τὸ ὄνομα αὐτοῦ δηλοῖ. καὶ ὁ παρὰ τοῦ ἀριστοτέλους ἀποδιδόμενος αὐτοῦ ὁρισμός. εἰ δὲ τοῦτό ἐστιν ἀληθὲς, ἀνάγκη τὸν συλλογισμὸν τοὐλάχιστον ἐκ δύο προτάσεων εἶναι. ταύτας δὲ τὰς δύο προτάσεις. ἀνάγκη ἢ κατ' ἀμφοτέρους τοὺς ὅρους κοινωνεῖν. ἢ κατ' ἀμφοτέρους διαφέρειν. ἢ καθ' ἕτερον μὲν κοινωνεῖν. καθ' ἕτερον δὲ διαφέρειν. καὶ οὐκ ἔστι παρὰ ταῦτα. εἰ μὲν κατ' ἀμφοτέρους τοὺς ὅρους κοινωνοῖεν, μονολήμματος ὑπάρχει ὁ συλλογισμὸς, καὶ οὐ γίνεται ἕτερον τῶν προτάσεων τὸ συμπέρασμα. ὅπερ ὁ τοῦ συλλογισμοῦ ὅρος βούλεται. συλλογισμὸς γάρ ἐστιν ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει. ἀλλ' οὐδὲ εἰ κατ' ἀμφοτέρους τοὺς ὅρους διαφέρουσιν αἱ προτάσεις. ἔσται συλλογισμὸς, ἐπεὶ οὐδὲ συμπεραίνονταί τι αἱ προτάσεις μηδενὸς ὄντος κοινοῦ ὅρου τοῦ τὰ ἄκρα συνδέοντος. λείπεται οὖν καθ' ἕτερον τῶν ὅρων διαφέρειν καθ' ἕτερον δὲ κοινωνεῖν τὰς ἐν συλλογισμῷ παραλαμβανομένας προτάσεις. ὥστε οὖν πᾶς συλλογισμὸς ἐκ τριῶν ὅρων σύγκειται, τῶν τε δύο ἄκρων καὶ τοῦ μέσου. ὅς ἐστι κοινὸς τῶν δύο προτάσεων. διὰ τοῦτο μέσος καλούμενος διὰ τὸ τοὺς λοιποὺς ὅρους κεχωρισμένους ἀπ' ἀλλήλων διὰ τοῦ μέσου συνάπτειν. τοῦτον οὖν τὸν μέσον ὅρον ἀνάγκη ἤτοι ἐν μὲν τῇ ἑτέρᾳ τῶν προτάσεων ὑποκεῖσθαι. ἐν δὲ τῇ ἑτέρᾳ κατηγορεῖσθαι. ἢ ἐν ἀμφοτέραις κατηγορεῖσθαι. ἢ ἐν ἀμφοτέραις ὑποκεῖσθαι. κἀντεῦθεν ἡμῖν ἡ διαφορὰ τῶν τριῶν ἀναφαίνεται σχημάτων. ὅταν μὲν γὰρ ὁ μέσος ὅρος τῷ μὲν ὑπόκειται τῶν ἄκρων, τοῦ δὲ κατηγορεῖται γίνεται τὸ πρῶτον σχῆμα. τὸ δὲ δεύτερον ὅταν ὁ μέσος ὅρος ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται. τὸ δὲ τρίτον, ὅταν ὁ μέσος ὅρος ἀμφοτέροις τοῖς ἄκροις ὑπόκειται.



αἰτία δὲ τῆς εἰρημένης τάξεως τῶν σχημάτων αὕτη. ἐπεὶ γὰρ κατὰ τὴν διάφορον τοῦ μέσου πρὸς τοὺς ἄκρους σύνθεσιν τὴν τῶν σχημάτων θέσιν ἀναγκαῖον ἐννοεῖν. ἰστέον ὅτι ὁ μέσος τότε ἐστὶ κυρίως μέσος καὶ τὴν ἑαυτοῦ σώζει προσηγορίαν τε καὶ τάξιν, ὅταν τῷ μὲν ἑτέρῳ τῶν ἄκρων ὑπόκειται. καὶ ὥσπερ ὑφειμένον αὐτοῦ λαμβάνεται. τοῦ δὲ ἑτέρου κατηγορεῖται καὶ ὥσπερ ἐν κρείττονι τάξει αὐτοῦ θεωρεῖται. κρεῖττον γὰρ ἀεὶ τὸ κατηγορούμενον τοῦ ὑποκειμένου. ὅτι τε ὡς ἐπὶ τὸ πολὺ ἐπὶ πλέον ἐστὶν ὁ κατηγορούμενος τοῦ ὑποκειμένου. καὶ ὅτι ὁ μὲν ὑποκείμενος, ὕλης λόγον ἐπέχει. ὁ δὲ κατηγορούμενος, εἴδους. καὶ γὰρ ἡ ὕλη ὑπόκειται τοῖς εἴδεσιν. ὁπηνίκα δὲ ὁ μέσος ὅρος ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται. ἢ ἀμφοτέροις ὑπόκειται, οὐκέτι κυρίως ἐστὶ μέσος. ἐπειδὴ τοίνυν ἐκβέβηκε τὴν αὐτοῦ τὴν τοῦ μέσου τάξιν. κρεῖττον ἐστὶ τὸ κατηγορεῖσθαι ἢ ὑποκεῖσθαι, διὰ τοῦτο πρῶτον μὲν λέγεται σχῆμα ὅταν ὁ μέσος ὅρος τὴν αὐτοῦ φυλάττων τάξιν, τῷ μὲν ὑπόκειται. τοῦ δὲ κατηγορεῖται. δεύτερον σχῆμα ἐν ᾧ ἀμφοτέρων κατηγορεῖται. ἐν ᾧ καὶ δευτέραν μὲν ἀμείνονα δὲ τῆς λοιπῆς ἀπείληφε τάξιν. τρίτον δὲ σχῆμα. ἐν ᾧ ὁ μέσος ὅρος ἀμφοτέροις τοῖς ἄκροις ὑπόκειται. ἔνθα καὶ τὴν ἐσχάτην τάξιν ἀπείληφε. διὸ καὶ μετὰ τὸ πρῶτον σχῆμα ἐπὶ διαγράφεται τοῖς ἄκροις

» ἱματίῳ τινὶ ἔσται ἐξ ἀνάγκης· τοῦτο γὰρ δέδεικται πρότερον· ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐν μέρει ἀπο-
» φατικῆς.

Τ Οὔτε τοῦ ἀναγκαίου παράδειγμα. δῆλον γὰρ ὅτι οὐκ ἐνδεχομένως κατὰ τὸ κυρίως τοῦ ἐνδεχομένου σημαινόμενον ὁ ἄνθρωπος οὐκ ἔστιν ἵππος, ἀλλ' ἀναγκαίως· διὸ καὶ ἀντιστρέφει. ἐνδέχεται γὰρ μηδένα ἵππον ἄνθρωπον εἶναι. ἢ τὸ λευκὸν μηδενὶ ἱματίῳ ὑπάρχειν. τοῦτο τοῦ ὑπάρχοντος τρόπου παράδειγμα· καθὸ καὶ θεὸν σημαινόμενον λέγεται τὸ ἐνδεχόμενον. τὸ μὲν γὰρ ἄνθρωπον μὴ εἶναι ἵππον, ἐξ ἀνάγκης οὐχ ὑπάρχει· τὸ δὲ λευκὸν μηδενὶ ἱματίῳ, οὐκ ἐξ ἀνάγκης οὐχ ὑπάρχει· διὸ καὶ ἡ αὐτὴ πάλιν καὶ ἐπὶ τούτου σώζεται ἀντιστροφή, ἥτις καὶ ἐπὶ τοῦ ὑπάρχοντος ἐγένετο. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐν μέρει ἀποφατικῆς. ὥσπερ ἐπὶ τῶν ἄλλων τρόπων ἀόριστος ἦν ἡ μερικὴ ἀποφατική, διὰ τὸ πρὸς μηδεμίαν ὡρισμένας ἀντιστρέφειν, οὕτω καὶ ἐπὶ τοῦ ἐνδεχομένου τοῦ ἰσοδυναμοῦντος τοῖς εἰρημένοις τρόποις ἡ αὐτὴ οὐδὲν ἧττον τὸ ἀόριστον ἕξει.

» Ὅσα δὲ τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ τῷ πεφυκέναι λέγεται ἐνδέχεσθαι.

Τ Τριχῶς ὄντος τοῦ κυρίως ἐνδεχομένου, ὡς καὶ ἐν τοῖς φυσικοῖς εἴρηται· τοῦ ὡς ἐπὶ πλεῖον· τοῦ ἐπ' ἴσης· τοῦ ἐπ' ἔλαττον. ὡς ἐπὶ πλεῖον μὲν ὡς τὰ φυσικὰ καὶ τεχνητά. ὡς ἐπὶ πλεῖον γὰρ ἡ φύσις πενταδάκτυλον ποιεῖ, ἢ ἑξαδάκτυλον. καὶ ὁ ἰατρὸς ὡς ἐπὶ πλεῖον ὑγιάζει, ἢ οὐχ ὑγιάζει. ὡς ἐπ' ἴσης δὲ τὸ λούεσθαι, ἢ μὴ λούεσθαι· καθῆσθαι, ἢ μὴ καθῆσθαι. ἐπ' ἴσης γὰρ τὰ ἀντικείμενα ἐν τοῖς τοιούτοις ἐστὶν ἐνδεχόμενα. ἐπ' ἔλαττον δὲ τὸ ἑξαδάκτυλον γίνεσθαι. καὶ τὸ ἀποτυγχάνειν τοῦ σκοποῦ τὰς τέχνας. τὰ μὲν ἐπ' ἴσης ἄχρηστα εἰς ἀπόδειξιν, τί γὰρ αὐτῆς τὴν κατάφασιν δείξειεν ἢ τὴν ἀπόφασιν, πολλῷ δὲ πλέον καὶ τὸ ἐπ' ἔλαττον· οἷον τὸ τεχθῆναι ἑξαδάκτυλον παιδίον. οὐδεὶς γὰρ τὰ σπάνια καὶ οὕτω παράδοξα συλλογίζεται. περὶ δὲ τοῦ ὡς ἐπὶ πλεῖον τοῦ ἐνδεχομένου καταγίνεται ἡ συλλογιστικὴ μέθοδος τὸ ὡς ἐπὶ τῶν φυσικῶν τεχνητῶν ὡς ἤδη εἴπομεν. φημὶ δὴ τὸ ἐν χειμῶνι ὗσαι. καὶ τὸν ῥήτορα πεῖσαι. καὶ τὸν ἰατρὸν ὑγιάσαι. καὶ τὸν κυβερνήτην σῶσαι τὴν ναῦν. διὰ τοῦτο γοῦν προσέθηκε καὶ τῷ πεφυκέναι, ἵνα δῆλον ὅτι περὶ τῶν φυσικῶν αὐτῷ ὁ λόγος.

» Καθ' ὃν τρόπον διορίζομεν τὸ ἐνδεχόμενον, οὐχ ὁμοίως ἕξει ἐν ταῖς στερητικαῖς ἀντιστροφαῖς.
» ἀλλ' ἡ μὲν καθόλου στερητικὴ πρότασις, οὐκ ἀντιστρέφει. ἡ δὲ ἐν μέρει, ἀντιστρέφει. τοῦτο δὲ ἔσται φανε-
» ρόν, ὅταν περὶ τοῦ ἐνδεχομένου λέγωμεν.

Τ Τουτέστι καθ' ὃν τρόπον λέγομεν τὸ κυρίως ἐνδεχόμενον τὸ ἐπὶ τοῦ μέλλοντος χρόνου. ἢ ὡς ἐπὶ πλεῖον εἶναι, ἢ ὡς ἐπ' ἴσης, ἢ ἐπ' ἔλαττον. οὕτω γὰρ αὐτὸ διείλετο ἐν τοῖς φυσικοῖς. τοῦ δὲ μὴ ἀντιστρέφειν τὰς στερητικὰς τοῦ ἐνδεχομένου προτάσεις ὁμοίως ταῖς τοῦ ὑπάρχοντος καὶ ἀναγκαίου ἡ μὲν ἀληθὴς ἐστὶν αἰτία, ἣν εἴπομεν· διότι ὅπερ μηδενὶ ἐνδέχεται, τοῦτο καὶ παντὶ ἐνδέχεται. ἡ δὲ καθόλου ἀποφατική, ὅτι οὐ πρὸς ἑαυτὴν ἀντιστρέφει, καὶ αὐτὸς μετ' οὐ πολὺ τοῦτο δείκνυσι. νῦν δὲ τέως τοσοῦτον μόνον εἶπεν ὅτι ἡ μὲν καθόλου ἀποφατικὴ οὐκ ἀντιστρέψει. ᾧ πρὸς ὑπακουστέον πρὸς ἑαυτήν. ἡ δὲ ἐν μέρει φησὶν ἀντιστρέφει· δῆλον ὅτι πρὸς ἑαυτήν. εἰ γὰρ τὸ ζῷον μὴ παντὶ λευκῷ ὑπάρχει, καὶ τὸ λευκὸν οὐ παντὶ ζῴῳ ὑπάρχει. δῆλον δὲ ὅτι καὶ πρὸς τὴν μερικὴν καταφατικὴν ἀντιστρέφειν δύναται. καὶ γὰρ τὸ λευκὸν τινὶ ζῴῳ ὑπάρχει. ταύτῃ δὲ αὖ καὶ μερικὴ καταφατικὴ οὐ μόνον πρὸς ἑαυτὴν ἀλλὰ καὶ πρὸς τὴν μερικὴν ἀποφατικὴν ἀντιστρέψει. εἰ γάρ τι ζῷον λευκόν, οὐ πᾶν λευκὸν ζῷον. ὅτι δὲ ἡ καθόλου ἀποφατικὴ οὐκ ἀντιστρέφει πρὸς ἑαυτήν, ἐντελῶς μὲν εἰσόμεθα ὅταν αὐτὸς ἐν τῷ περὶ τῶν μίξεων διδάσκῃ. ἀρκεῖ δὲ νῦν πρὸς τοῖς εἰρημένοις δι' ὑποδείγματος πιστώσασθαι. εἰ γὰρ ἐνδέχεται μηδένα ἄνθρωπον λούεσθαι, οὐκ ἀληθὲς ἀντιστρέψαι καὶ εἰπεῖν, ἐνδέχεται μηδὲν λουόμενον ἄνθρωπον εἶναι. λούεται γὰρ φέρε εἰπεῖν καὶ ἵπποι καὶ βοῦς. καὶ οὐκ ἔστιν ἀληθὲς λέγειν τὸν ἵππον ἢ τὸν βοῦν ἐνδέχεται μὴ εἶναι ἄνθρωπον. ἀνάγκη δὲ μᾶλλον μὴ εἶναι ταῦτα ἄνθρωπον. ὃ γὰρ ἐνδέχεταί τινι μὴ εἶναι, τούτοις ἐνδέχεται καὶ ἔμπαλιν. εἰ οὖν τὸ ἐνδέχεσθαι εἶναι ἄνθρωπον ψεῦδος, καὶ τὸ μὴ ἐνδέχεσθαι ἄρα ψεῦδος.

» Νῦν δὲ τοσοῦτον ἡμῖν ἔστω πρὸς τοῖς εἰρημένοις δῆλον, ὅτι τὸ ἐνδέχεσθαι μηδενὶ ἢ τινὶ μὴ ὑπάρ-
» χειν, καταφατικὸν ἔχει τὸ σχῆμα.

Ο Ὅπερ ἐξ ἀρχῆς ἐζητοῦμεν τί δήποτε εἰρηκὼς ἐν τῷ περὶ ἑρμηνείας τὰς μὴ τῷ τρόπῳ συναπτούσας τὸ ἀρνητικὸν μόριον καταφάσεις εἶναι ἐκ μεταθέσεως καὶ οὐκ ἀποφάσεις, ἐνταῦθα ὡς ἀποφάσεις παραλαμβάνει. νῦν αὐτὸς ἐπισημαίνεται. ὅτι εἰ καὶ τῷ σχήματί εἰσι καταφατικαί, ἀλλ' οὖν δύναμιν ἔχουσιν ἀποφάσεων.

» Τὸ γὰρ ἐνδέχεσθαι τῷ ἔστιν ὁμοίως τάττεται, τὸ δὲ ἔστιν οἷς ἂν προσκατηγορῆται κατάφασιν ἀεὶ
» ποιεῖ. καὶ πάντως, οἷον τὸ ἔστιν οὐκ ἀγαθόν, ἢ ἔστιν οὐ λευκόν ἢ ἁπλῶς τὸ ἔστιν οὐ τοῦτο. δειχθήσεται δὲ
» καὶ τοῦτο, διὰ τῶν ἑπομένων. κατὰ δὲ τὰς ἀντιστροφὰς ὁμοίως ἕξουσι ταῖς ἄλλαις.

Ω Ὥσπερ ἐν ταῖς ἐκ τρίτου προσκατηγορουμένου προτάσεσιν ἀποφάσεις ἐγένοντο, μόνῳ τῷ ἔστιν συνταττομένου τοῦ ἀρνητικοῦ μορίου· εἰ δὲ ἄλλο τινὶ συνετάχθη οἷον τῷ ὑποκειμένῳ, κατάφασις πάλιν ἐγένετο ἀόριστος

εἰ γὰρ μὴ ἀνάγκη, τουτέστιν εἰ μὴ ἀνάγκη τὸ β' τινὶ τῷ α' ὑπάρχειν δῆλον ὅτι ἀνάγκη μηδενί. οὐκοῦν καὶ τὸ α' ἀνάγκη οὐδενὶ τῷ β'. τοῦτο γὰρ δέδεικται. ὅτι ἡ καθόλου ἀναγκαία ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει. ἣν δὲ καὶ τινὶ τὸ αὐτὸ καὶ τινὶ καὶ οὐδενὶ ὅπερ ἄτοπον.

» ΤΟ δ' ἐν μέρει στερητικὸν οὐκ ἀντιστρέφει διὰ τὴν αὐτὴν αἰτίαν. δι' ἣν καὶ πρότερον ἔφαμεν.

T ὁ ῥᾳδιόσιον τοῦτο δοκεῖ ὑπὸ τοῦ φιλοσόφου εἰρῆσθαι. ὡς αἰτίαν αὐτὴν ἀποδεδωκότος, δι' ἣν οὐκ ἀντιστρέφει ἡ μερικὴ στερητική. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές. οὐδαμοῦ γὰρ φαίνεται αἰτίαν ἀποδεδωκὼς δι' ἣν οὐκ ἀντιστρέφει ἡ μερικὴ καταφατική, ἀλλὰ μᾶλλον αἰτίαν ἐκάλεσε τὸ παράδειγμα τὸ ἀνωτέρω παρ' αὐτοῦ εἰρημένον. ἔνθα ἔλεγεν. εἰ γὰρ ὁ ἄνθρωπος καὶ παντὶ ζώῳ, καὶ τὸ ζῶον οὐ παντὶ ἀνθρώπῳ.

» ΕΠΙ δὲ τῶν ἐνδεχομένων ἐπειδὴ πολλαχῶς λέγεται τὸ ἐνδεχόμενον, καὶ γὰρ καὶ τὸ ἀναγκαῖον,

» καὶ τὸ μὴ ἀναγκαῖον, καὶ τὸ δυνατὸν ἐνδέχεσθαι λέγομεν.

T ὁ περὶ τῆς ἀντιστροφῆς τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων πληρώσας λόγον, μέτεισιν ἐπὶ τὰς τοῦ ἐνδεχομένου προτάσεις, ἐπειδὴ τὸ ἐνδεχόμενον πολλαχῶς λέγεται ὡς καὶ ἐν τῷ περὶ ἑρμηνείας φησί. λέγεται γὰρ καὶ ἐπὶ πάσης ὕλης τὸ ἀναγκαῖον ἐνδεχόμενον. ὡς ἄν τις εἴπῃ. ἐνδέχεται τὸν ἥλιον ἐν κριῷ γενέσθαι. καίτοι οὐκ ἐνδεχομένως ἀλλ' ἀναγκαίως ὁ ἥλιος ἐν κριῷ γίνεται. λέγεται ἐνδεχόμενον, καὶ τὸ ὑπάρχον μὲν ἐν γενέσει δὲ καὶ φθορᾷ. λέγω δὲ ὅπερ τοῦ ὑποκειμένου ἀπογίνεσθαι δύναται οἷα τὰ συμβεβηκότα. καὶ γὰρ ταῦτα ὑπάρχει μὲν οὐ μὴν ἐξ ἀνάγκης. οἷον ὡς ὅταν ἐπὶ τοῦ κύκνου λέγομεν ἐνδέχεται τὸν κύκνον λευκὸν εἶναι. ἐνταῦθα γὰρ οὐ κυρίως ἐστὶν ἐνδεχόμενον, ἀλλ' ἰσοδυναμοῦν τῷ ὑπάρχοντι. ὑπάρχει γὰρ τῷ κύκνῳ τὸ λευκόν. καὶ ἐπὶ τῶν ἄλλων τρόπων ὁμοίως καὶ ἔστι τὸ κυρίως ἐνδεχόμενον. λέγω δὲ τὸ ἐπὶ τοῦ μέλλοντος χρόνου τοῦτο γὰρ ἴσην δύναμιν ἔχει πρὸς τὸ γενέσθαι καὶ μή. τὸ τοίνυν ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ ἀναγκαίῳ καὶ ὑπάρχοντι. ὥσπερ αὖ ἀντιστρέφουσιν αἱ τοῦ ἀναγκαίου καὶ ὑπάρχοντος προτάσεις, οὕτω καὶ αὐταὶ ἀντιστρέφει. κατὰ γὰρ μόνην τὴν ὁμωνυμίαν ἐστὶν ἡ διαφορὰ τῶν πραγμάτων τῶν αὐτῶν ὄντων. τὸ δὲ κυρίως ἐνδεχόμενον οὐκ ἔτι ὁμοίως ἕξει κατὰ τὰς ἀντιστροφὰς ὡς καὶ ἐν τοῖς ἑξῆς δείκνυσι.

» ΚΑΙ γὰρ τὸ ἀναγκαῖον καὶ τὸ μὴ ἀναγκαῖον. καὶ τὸ δυνατὸν ἐνδέχεσθαι λέγομεν.

T ὁ μὴ ἀναγκαῖόν φησι, τὸ ὑπάρχον τὸ δὲ δυνατὸν τὸ ἐνδεχόμενον. καὶ γὰρ τὸ κυρίως δυνατόν, εἰς ταὐτὸν ἔρχεται τῷ ἐνδεχομένῳ.

» ΕΝ μὲν τοῖς καταφατικοῖς ὁμοίως ἕξει κατὰ τὴν ἀντιστροφὴν ἐν ἅπασιν. εἰ γὰρ τὸ α' παντὶ ἢ τινὶ

» τῷ β' ἐνδέχεται, καὶ τὸ β' τινὶ τῷ α' ἐνδέχοιτο ἄν. εἰ γὰρ μηδενί, οὐδ' ἂν τὸ α' μηδενὶ τῷ β' ἐνδέχοιτο.

» δέδεικται γὰρ τοῦτο πρότερον, ἐν δὲ τοῖς ἀποφατικοῖς, οὐχ ὡσαύτως.

T αὐτό φησι τὸ ἐνδεχόμενον, ὅπερ κατὰ πάντων τῶν τρόπων κατηγορεῖται. ὁμοίως ἕξει, ἐν τοῖς καταφατικοῖς. πᾶσα γὰρ κατάφασις ἐπὶ παντὸς τρόπου πρὸς τὸ μερικὸν καταφατικὸν ἀντιστρέφει. καὶ αἱ δείξεις, διὰ τῶν αὐτῶν, δι' ὧνπερ καὶ πρότερον. αἱ δὲ ἀποφάσεις, οὐχ ὁμοίως ταῖς ἄλλαις ἀντιστρέφουσι. διὰ δὲ τὸν λόγον ἴσμεν. ὅτι τὸ κυρίως ἐνδεχόμενον, ὅπερ καλεῖ δυνατὸν ἐπί τι τοῦ ἔσεσθαι καὶ μὴ ἔσεσθαι ὁμοίως παραλαμβάνεται καὶ ἐξισάζει. ὁμοίως γὰρ ἔξι καὶ καταφῆσαι καὶ ἀποφῆσαι τὸ αὐτὸ ὅθεν οὐδὲν διοίσει πρὸς ἀλήθειαν ἡ κατάφασις τῆς ἀποφάσεως. ἐνδέχεται γὰρ καὶ πάντα ἄνθρωπον λούεσθαι. καὶ μηδένα ἄνθρωπον λούεσθαι. καὶ ὁμοίως ἑκάτερον δύναται ἀληθεύειν. δέδεικται δὲ ἐπὶ τοῦ ὑπάρχοντος τρόπου καὶ τοῦ ἀναγκαίου. ὅτι ἡ μὲν καθόλου ἀπόφασις ἐξ ἀνάγκης πρὸς ἑαυτὴν ἀντιστρέφει. ἡ δὲ μερικὴ οὐκ ἐξ ἀνάγκης. δῆλον ὅτι καὶ ἐπὶ τῆς ἀντιστροφῆς αἱ ἀποφατικαὶ τοῦ ἐνδεχομένου. πῇ μὲν ἕξουσιν ὡς ἐπὶ τῶν ἄλλων τρόπων ἀποφάσεις, πῇ δὲ οὔ. τὸ μὲν ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ ὑπάρχοντι καὶ τῷ ἀναγκαίῳ, ὁμοίως αὐτοῖς καὶ κατὰ τὰς ἀντιστροφὰς τῶν ἀποφάσεων ἕξει. τὸ μέντοι κυρίως ἐνδεχόμενον. ὅπερ ἐκβαίνειν καὶ μὴ ἐκβαίνειν δύναται, οὐχ ὁμοίως ἕξει. δείξει δὲ ὡς εἴπομεν περὶ αὐτοῦ ἐν τοῖς μετὰ ταῦτα. νῦν φησι σαφῆ τὰ ὑποδείγματα, ποιεῖ ἐπὶ τῆς ὕλης θέσιν.

» ΑΛΛΩΣ Δ' μὲν ἐνδέχεσθαι λέγεται ἢ τῷ ἐξ ἀνάγκης μὴ ὑπάρχειν ἢ τὸ μὴ ἐξ ἀνάγκης ὑ-

» πάρχειν, ὁμοίως οἷον.

T οἵτινές εἰσιν αἱ ἐνδεχόμεναι ἀποφατικαὶ ἰσοδυναμοῦσαι τῷ ἀναγκαίῳ ἢ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν. τουτέστι καὶ ταῖς ὑπαρχούσαις ἰσοδυναμοῦσαι τοῦ ἐνδεχομένου ἀποφάσεις. αὗται φησὶν ὁμοίως ταῖς τε ὑπαρχούσαις καὶ ταῖς ἀναγκαίαις ἀντιστρέφουσι. αἱ μὲν καθόλου ἀποφατικαὶ, πρὸς ἑαυτάς. αἱ δὲ μερικαὶ ἀορίστως. ὥσπερ καὶ ἐκεῖναι. ὡς γὰρ εἴπομεν ὀνομάτων γίνεται διαφορὰ τῶν πραγμάτων τῶν αὐτῶν ὄντων. αὐτὰ καὶ ἐπὶ ὕλης τὸ παράδειγμα.

» ΕΙ ΤΙΣ φαίη τὸν ἄνθρωπον ἐνδέχεσθαι μὴ εἶναι ἵππον. ἢ τὸ λευκὸν μηδενὶ ἱματίῳ ὑπάρχειν.

» τούτων γὰρ τὸ μὲν, ἐξ ἀνάγκης οὐχ ὑπάρχει. τὸ δὲ, οὐκ ἐξ ἀνάγκης μὴ ὑπάρχει. καὶ ὁμοίως ἀντιστρέ-

» φει ἡ πρότασις. εἰ γὰρ ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ἵππον. καὶ ἄνθρωπον ἐγχωρεῖ μηδενὶ ἵππῳ, καὶ τὸ

» λευκὸν ἐγχωρεῖ μηδενὶ ἱματίῳ. καὶ τὸ ἱμάτιον ἐγχωρεῖ μηδενὶ λευκῷ. εἰ γὰρ τινὶ ἀνάγκη, καὶ τὸ λευκὸν

κατὰ τὸ ποσόν. καὶ κατὰ τὸ ποιόν. καὶ δείκνυσι ταύτῃ ἄτοπόν τι ἀκολουθοῦν, ἵνα οὕτως ἐκείνη πιστώσηται. πρὸς δὲ τὸ λοιπὸν τῶν εἰρημένων, λέγω δὴ πῶς ἐχρήσατο τῇ ἐνδεχομένῃ μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ, μήπω δείξας τοῦτο. ἀντὶ γὰρ, τὸ γὰρ τινὶ ἐνδέχεται καὶ τὸ α τῷ β τινὶ ἐνδέχοιτο ἄν. ἐροῦμεν ὅτι τὸ ἐνδεχόμενον αὐτὸς ὁρίζεται λέγων οὕτως. ἐνδεχόμενόν ἐστιν, οὗ μὴ ὄντος ἀναγκαίου, τεθέντος δὲ, οὐδὲν ἀδύνατον ἀκολουθεῖ. ὁ τοίνυν οὗτος ὅρος ἐστὶ τοῦ ἐνδεχομένου. ἐπεὶ τὸ ἐνδεχόμενον ὡς ἐκβὰν λάβωμεν, οὐκ ἔτι ἐστὶν ἐνδεχόμενον ἀλλὰ ὑπάρχον. ἐὰν οὖν ὑποθώμεθα τὴν ἐνδεχομένην μερικὴν καταφατικὴν ἐκβᾶσαν, γίνεται ὑπάρχουσα καὶ οὐκ ἐνδεχομένη. ἡ δὲ μερικὴ καταφατικὴ ὑπάρχουσα ἐδείχθη ἀντιστρέφουσα πρὸς ἑαυτήν. καὶ ἡ μερικὴ ἄρα ἐνδεχομένη καταφατικὴ μεταληφθεῖσα εἰς τὴν ὑπάρχουσαν ἀντιστρέφει πρὸς ἑαυτήν. ἡ δὲ ὑπόθεσις αὕτη εἰ καὶ μὴ ἀληθής. λέγω δὴ τὸ τὴν ἐνδεχομένην δεδόσθαι ὡς ἐκβεβηκυῖαν, ἀλλ᾽ οὖν οὐκ ἀδύνατος. ἡ μὲν γὰρ ἀδύνατος πάντως καὶ ψευδής. οὐχ ἡ ψευδὴς δὲ, πάντως καὶ ἀδύνατος. οἷον ἀδύνατον τὸν ἄνθρωπον πτερὰ ἔχειν, τοῦτο καὶ ψεῦδος. τὸ δὲ τὸν σωκράτην μοιχεύειν, ψεῦδος μέν. οὐκ ἀδύνατον δέ. ὥστε εἰ καὶ ψευδὴς ἡ ὑπόθεσις ἡ λέγουσα δεδόσθαι τὸ ἐνδεχόμενον ἐκβῆναι, ἀλλ᾽ οὐκ ἀδύνατος. ἔστιν οὖν ὁ πᾶς λόγος, ἵνα ὡς ἀναλαβὼν εἴπω, τοιοῦτος. τὸ α ἐξ ἀνάγκης τῷ β μηδενὶ ὑπαρχέτω. λέγω ὅτι οὐδὲ τὸ β τῷ α ἐξ ἀνάγκης οὐδενὶ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντικείμενον λέγω δὴ τὸ ἐνδέχεται τινὶ τῷ α τὸ β ὑπάρχειν. ἀλλ᾽ ἐπειδὴ ἐνδεχόμενόν ἐστιν οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ. δεδόσθω ἐκβῆναι τὸ ἐνδεχόμενον καὶ μηδὲν ἀδύνατον ἀκολουθείτω εἴπερ ἀληθὴς ἡ ὑπόθεσις. ἐπειδὴ δὲ τὸ ἐνδεχόμενον ἐπειδὰν ἐκβῇ οὐκ ἔτι ἐστὶν ἐνδεχόμενον ἀλλὰ ὑπάρχον. ὑπαρχέτω τὸ β τινὶ τῷ α. ἀλλ᾽ ἐδείχθη ἡ ὑπάρχουσα μερικὴ καταφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα. καὶ τὸ α ἄρα τινὶ τῷ β ὑπάρχει. ὑπέκειτο δὲ καὶ μηδενὶ ἐξ ἀνάγκης ὑπάρχειν. τὸ αὐτὸ ἄρα καὶ τινὶ ὑπάρχει καὶ οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχει, ὅπερ ἐστὶν ἀδύνατον. τὸ ἀδύνατον δὲ ἠκολούθησεν διὰ τὸ ὑποθέσθαι τὸ ἐνδέχεται τινὶ, οὐκοῦν τοῦτο ψεῦδος. ἐπειδὴ τῷ ἀληθεῖ οὐδέποτε ἀδύνατον ἀκολουθεῖ. εἰ τοίνυν ψεῦδος τὸ ἐνδέχεται τινὶ, ἀληθὲς ἄρα τὸ ἀντικείμενον. λέγω δὴ τὸ ἀνάγκη μηδενί. ἐδείχθη ἄρα ἡ καθόλου ἀναγκαία ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα, ὅπερ ἔδει δεῖξαι. οὕτω μὲν οὖν ἤδη λελύσθωσαν αἱ κατὰ τόπον ἀπορίαι. τὰ δὲ ἑξῆς λοιπὸν ἤδη σαφέστερα [illegible]

ΕΙ ΔΕ ἐξ ἀνάγκης τὸ α παντὶ ἢ τινὶ τῷ β ὑπάρχει, καὶ τὸ β τινὶ τῷ α ἀνάγκη ὑπάρχειν.

Τῇ αὐτῇ πάλιν τάξει κέχρηται ὁ ἀριστοτέλης, ᾗπερ καὶ ἤδη τῶν ὑπαρχουσῶν προτάσεων. δείξας γοῦν τὴν καθόλου ἀποφατικὴν πρὸς ἑαυτὴν ἀντιστρέφουσαν, ἐφεξῆς τὴν καθόλου καταφατικὴν δείκνυσι καὶ τὴν μερικήν. βραχυλογίας δὲ πανταχοῦ ἀντιποιούμενος κἀνταῦθα ἅμα ἀμφοτέρας τὰς καταφατικὰς τήν τε καθόλου καὶ τὴν μερικὴν δείκνυσι πρὸς τὴν μερικὴν καταφατικὴν ἀντιστρεφούσας.

ΕΙ γὰρ μὴ ἀνάγκη, οὐδ᾽ ἂν τὸ α τινὶ τῶν β ἐξ ἀνάγκης ὑπάρχοι.

Ἐν τούτῳ διάφορος ἡ γραφὴ φέρεται. τινὰ μὲν τῶν ἀντιγράφων οὕτως ἔχει. εἰ γὰρ ἐνδέχεται μηδενί. τὰ μέντοι ἀκριβέστερα τῶν ἀντιγράφων ἔχει. εἰ γὰρ μὴ ἀνάγκη. εἰ μὲν οὖν ὁ προτέρα εἴη γραφή, ἐροῦμεν. ὅτι ὁμοίως ὁ ἀριστοτέλης ἀντέθηκε τρόπον τρόπῳ. ποσὸν, ποσῷ. ποιὸν ποιῷ. ἀλλ᾽ οὐκ ἀκριβὴς ἡ τοιαύτη γραφή. οὐ γὰρ δὴ ἐκ τῆς ὑποθέσεως ταύτης συνάγεταί τι ἀδύνατον. ὅπερ βούλεται δεῖξαι, πῶς καὶ τίνα τρόπον λέγω ὅτι αἱ καθόλου τοῦ ἐνδεχομένου προτάσεις, λέγω δὴ τοῦ κυρίως ἐνδεχομένου, ἰσοδυναμοῦσιν ἀλλήλαις. ὃ γὰρ ἐνδέχεται παντὶ, τοῦτο ἐνδέχεται μηδενί. οἷον ἐνδέχεται πάντα ἄνθρωπον λούσασθαι. καὶ ἔμπαλιν. αὗται δὲ αἱ καθόλου τοῦ ἐνδεχομένου προτάσεις. ἑκάστη τῶν μερικῶν τοῦ ἀναγκαίου μάχονται. οἷον τι λέγω. τῇ ἀνάγκῃ τινὶ μάχεται. ἡ ἐνδέχεται μηδενὶ κατὰ τὰ πάντα αὐτῇ ἀντικειμένη. μάχεται δὲ καὶ ἡ ἐνδέχεται παντί. ἀλλ᾽ ἡ μὲν ἐνδέχεται μηδενὶ δι᾽ ἑαυτὴν μάχεται ἔχουσα ἀντικείμενον τρόπον τρόπῳ. ποσὸν ποσῷ. ποιὸν ποιῷ. ἡ δ᾽ ἐνδέχεται παντὶ ὡς ἰσοδυναμοῦσα τῇ ἐνδέχεται μηδενί. πάλιν τῇ ἀνάγκῃ μὴ παντὶ μάχεται μὲν δι᾽ ἑαυτήν. ἡ ἐνδέχεται παντί. διὰ ταύτην δὲ καὶ ἡ ἐνδέχεται μηδενὶ ὡς ἰσοδυναμοῦσα. εἰ τοίνυν αἱ δύο καθόλου τοῦ ἐνδεχομένου προτάσεις ἑκατέρᾳ τῶν μερικῶν τοῦ ἀναγκαίου ἀντίκεινται ὡς ἰσοδυναμοῦσαι, ἐὰν ἀντὶ τῆς ἐνδεχομένης καθόλου ἀποφατικῆς μεταλαβὼν τὴν ἐνδέχεται παντὶ ὡς ἰσοδυναμοῦσαν. οὐκ ἀπάξομεν εἰς ἄτοπον τὸν λόγον. μεταληφθείσης τῆς ἐνδέχεται μηδενὶ, εἰς τὴν ἐνδέχεται παντὶ, ἅπερ ἰσοδυναμοῦσι. γίνεται γὰρ συλλογιστικὸν τὸ σχῆμα. οἷον τὸ α παντὶ τῷ β ὑπαρχέτω. λέγομεν ὅτι τὸ β τινὶ τῷ α ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, εἴτε ὑποθώμεθα τὸ ἐνδέχεται μηδενί. μεταληφθείη δὲ τοῦτο εἰς τὸ ἐνδέχεται παντί. οἷον ὅτι τὸ β ἐνδέχεται παντὶ τῷ α. καὶ ἀντιστρέψαντες εἴπομεν καὶ τὸ α τινὶ τῷ β ἐνδέχεται. εἴτε συνάγομεν τὸ αὐτὸ καὶ παντὶ καὶ τινὶ, οὐδὲν ἄτοπον συνάγομεν. τὸ γὰρ παντὶ ὑπάρχον, τοῦτο καὶ τινὶ ὑπάρχει πάσα ἀνάγκη. διὰ ταῦτα φαμὲν ἀκριβεστέραν εἶναι τὴν ἑτέραν γραφὴν τὴν λέγουσαν.

εἰ γὰρ

παντί, ἀντίκειται ὡς μὲν κατὰ τὰ ἐν τῷ περὶ ἑρμηνείας ἡμῖν παραδιδόμενα, ἡ οὐκ ἀνάγκη παντί· ἥτις οὐ τὴν ὅλην πρότασιν ἀναιρεῖ, ἀλλὰ μόνον τὸν ἀναγκαῖον τρόπον. τί γάρ φησιν; ὅτι καλῶς εἶπεν ἡ κατάφασις ὅτι ἐξ ἀνάγκης παντί. ἐγὼ γὰρ λέγω ὅτι οὐκ ἐξ ἀνάγκης παντί. καὶ ἀναιροῦσα τοσοῦτον μόνον ὅτι οὐκ ἐξ ἀνάγκης, ἀόριστον ἡμῖν τὸ λοιπὸν καταλιμπάνει. πῶς γὰρ ὑπάρχει παντί, λέγω δὴ κατὰ ποῖον τρόπον, ἢ εἰ οὐδὲ ὅλως ὑπάρχει παντί, οὐκέτι προστίθησιν. αὕτη μὲν οὖν μία ἀντίθεσις τῆς ἀναγκαίας καθόλου καταφατικῆς κατὰ τὰ ἐν τῷ περὶ ἑρμηνείας ἡμῖν παραδιδόμενα. ἑτέρα δὲ ἀντίθεσις καθὼς ἐνταῦθα ἡμῖν παραδίδωσιν αὕτη. ἐπειδὴ δὲ ἐν τῇ καθόλου ἀναγκαίᾳ καταφατικῇ προτάσει, ἔστι καὶ ποσὸν τὸ καθόλου καὶ ποιὸν τὸ καταφατικὸν καὶ τρόπος ὁ ἀναγκαῖος. ἡ κυρίως ἀντικειμένη ταύτῃ εἴη ἂν ἡ κατὰ πάντα αὐτῇ ἐναντιουμένη· καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τρόπον. ὥστε οὔσης ταύτης καθόλου, ἐκείνη ἔσται μερική. ταύτης καταφατικῆς, ἐκείνη ἔσται ἀποφατική. ταύτης ἀναγκαίας, ἐκείνη ἐνδεχομένη. καθόλου οὖν λέγομεν· ὅτι ἐὰν τὴν κατὰ πάντα ἀντικειμένην τινὶ προτάσει βουλόμεθα λαβεῖν, δεῖ ἀντιθεῖναι ποσὸν ποσῷ· ποιὸν ποιῷ· τρόπον τρόπῳ. ὥστε συνελόντι εἰπεῖν ἀντίκειται τῇ ἀνάγκη παντί, ὡς μὲν κατὰ τὰ ἐν τῷ περὶ ἑρμηνείας, ἡ οὐκ ἀνάγκη παντί. ὡς δὲ κατὰ τὰ ἐνταῦθα ἡ ἐνδέχεται μὴ παντί. καὶ πάλιν τῇ ἀνάγκη τινί. ὡς μὲν ἐν τῷ περὶ ἑρμηνείας ἡ οὐκ ἀνάγκη τινί. ὡς δὲ κατὰ τὰ ἐνταῦθα, ἐνδέχεται μηδενί. τί οὖν φαμέν; δύο μία ἀντίκειται; οὕτως ἄδηλος ἡ φύσις ὡς ἀντιτάξαι ἐν δύο; οὐχ ὡς μαχόμεναι, ἀλλ' ὡς ἰσοδυναμοῦσαι. τῇ γὰρ οὐκ ἀνάγκη παντὶ ἡ ἐνδέχεται μὴ παντὶ ἰσοδυναμεῖ. ὃ γὰρ οὐκ ἀνάγκη παντί, τοῦτο ἐνδέχεται μὴ παντί. οἷον εἰ οὐκ ἀνάγκη παντὶ ἀνθρώπῳ τὸ λευκὸν ὑπάρχειν. ἐνδέχεται μὴ παντὶ ὑπάρχειν. πάλιν τῇ οὐκ ἀνάγκη τινί, ἡ ἐνδέχεται μηδενὶ ἰσοδυναμεῖ. εἰ γὰρ οὐκ ἐξ ἀνάγκης τινὶ ἀνθρώπῳ ὑπάρχει τὸ λούεσθαι. ἐνδέχεται μηδενὶ ὑπάρχειν. καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως δείξομεν. τὰς τῇ μιᾷ ἀντικειμένας ἰσοδυναμούσας ἀλλήλαις. σκεπτέον οὖν πῶς πᾶσαι ἡμῖν διὰ τούτων παραδίδονται αἱ προτάσεις, αἵ τε ἐν τῷ περὶ ἑρμηνείας καὶ αἱ ἐνταῦθα. ὥστε μὴ εἶναι ἐλλιπὲς μηδέτερον τῶν βιβλίων ἰσοδυναμουσῶν τούτων ἀλλήλαις. εἰ γὰρ τῇ ἐνδέχεται τινὶ μερικῇ οὔσῃ καταφατικῇ ἐνδεχομένῃ, ἀντίκειται μὲν ὡς ἐν τῷ περὶ ἑρμηνείας φησίν, οὐκ ἐνδέχεται τινί, μερικὴ οὖσα ἐνδεχομένη ἀποφατική. ἰσοδυναμεῖ δὲ ταύτῃ ἡ ἀνάγκη μηδενί, ἥτις καὶ κατὰ ποσὸν καὶ ποιὸν καὶ τρόπον ἀντίκειται τῇ ἐνδέχεται τινί. δῆλον ὅτι ὡς καθόλου ἀναγκαία ἀποφατικὴ οὕτως ἀντίκειται. καλῶς ἄρα ἐνταῦθα ὡς ἀπόφασιν αὐτὴν παραλαμβάνει. εἴπερ εἰ καὶ τῷ σχήματί ἐστι καταφατική, ἀλλ' οὖν δύναμιν ἔχει ἀποφάσεως. ὡς καὶ αὐτοῦ ἐφεξῆς λέγοντος ἀκουσόμεθα. εἰ γὰρ δύναμιν εἶχε καταφάσεως, οὐκ ἂν ἐμάχετο κατὰ πάντα τῇ ἐνδέχεται τινί, καταφάσει καὶ αὐτῇ οὔσῃ. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἐροῦμεν. εἰ τοίνυν ἰσοδυναμοῦσιν αἵ τε ἐκεῖσε παραδιδόμεναι ἡμῖν, καὶ αἱ ἐνταῦθα ἀποφάσεις. τί δήποτε ἢ ἐκεῖσε τῶν ἐνταῦθα παραδιδομένων ὡς ἀποφάσεων οὐκ ἐμνήσθη, ἢ ἐνταῦθα τῶν ἐκεῖσε; λέγομεν ὅτι ἐν μὲν τῷ περὶ ἑρμηνείας, ἐν ᾧ λόγῳ παραδοῦναι βουλόμενος τὰς μαχομένας ταῖς καταφάσεσιν ἀποφάσεις, εἶπεν ὅτι δεῖ τῷ τρόπῳ προστιθέναι τὴν ἄρνησιν καὶ ποιεῖν ἐκ τῶν καταφάσεων τὰς μαχομένας αὐταῖς ἀποφάσεις. τοῦτο δὲ ἐπάνω. διότι ἐπὶ τῆς ἐνδεχομένης ὕλης ἰσοδυναμοῦσιν αἱ ἀποφάσεις ταῖς καταφάσεσιν ὅταν μὴ πρὸς τῷ τρόπῳ ᾖ τὸ ἀρνητικὸν μόριον. ἐνδέχεται γὰρ πάντα ἄνθρωπον λούεσθαι. καὶ ἐνδέχεται μηδένα ἄνθρωπον λούεσθαι. καὶ ἀμφότεραι ἀληθεῖς καὶ οὐκ ἀντιφάσκουσιν ἀλλήλαις. ἐκεῖ μὲν οὖν, διὰ ταύτην τὴν αἰτίαν οὕτω ποιεῖ. ἐκ τῶν καταφάσεων, τὰς ἀποφάσεις· ἵνα τὰς ἀντιφατικῶς ἀντικειμένας καθ' ἕκαστον τρόπον παραδῷ. ἐνταῦθα δὲ ἐπειδὴ περὶ ἀντιστροφῆς διαλέγεται ὡς συμβαλλομένης αὐτῇ εἰς τὸν περὶ συλλογισμῶν λόγον. ἐν δὲ τοῖς συλλογισμοῖς ὡρισμένα δεῖ τὰ συμπεράσματα συνάγεσθαι. αἱ δὲ ἀποφάσεις αἱ ἐν τῷ περὶ ἑρμηνείας ἀόριστοι εἰσιν. ἕνα μὲν γὰρ τρόπον ἀναιροῦσι. τῶν δὲ ἄλλων οὐδένα ὡρισμένως εἰσάγουσιν. οἷον ἡ λέγουσα οὐκ ἀνάγκη παντί, ἕνα μὲν τρόπον ἀναιρεῖ τὸν ἀναγκαῖον. φησὶ γὰρ ὅτι οὐκ ἀληθὲς τὸ ἐξ ἀνάγκης παντὶ ὑπάρχειν, οὐδένα δὲ ὡρισμένως εἰσάγει. οὔτε γὰρ εἰ ἐνδεχομένως ὑπάρχει δηλοῖ. οὔτε εἰ ὑπαρχόντως. οὔτε εἰ ὅλως μὴ ὑπάρχει, ἀλλὰ τοσοῦτον μόνον τὸν ἀναγκαῖον ἀναιρεῖ. ἡ δέ γε ἐνταῦθα παραδιδομένη ἀπόφασις ἡ ἀνάγκη μηδενί, ὡρισμένη ἐστὶ τὴν ὅλην ἀναιροῦσα πρότασιν τὴν ἀνάγκη παντί. ἐπειδὴ τοίνυν ὡρισμένων οὐσῶν τῶν προτάσεων, ὡρισμένον συνάγεται καὶ τὸ συμπέρασμα. ἀορίστων δέ, ἀόριστον. δεῖ δὲ τοὺς συλλογισμοὺς ὡς εἴρηται ὡρισμένα συνάγειν τὰ συμπεράσματα, διὰ τοῦτο ταύταις ἐχρήσατο ἐνταῦθα ταῖς προτάσεσι. Τούτου λυθέντος, λέλυται καὶ ἡ τρίτη ἀπορία, ἡ λέγουσα τί δήποτε τῇ εἰς ἄτοπον ἀπαγωγῇ χρώμενος, ἀντιτίθησι τῇ ἀναγκαίᾳ καθόλου ἀποφατικῇ τὴν μερικὴν καταφατικὴν ἐνδεχομένην. καὶ οὐχὶ τὴν ἀναγκαίαν μερικὴν καταφατικήν. καὶ τίς ἡ ἀνάγκη διὰ τῆς ἐνδεχομένης, τὴν ἀναγκαίαν, δείκνυσθαι ἐκ τῶν εἰρημένων πρόδηλον τοῦτο αἴτιον. ἐπειδὴ γὰρ εἶπε τὸ ἀντιστρέφει πρὸς ἑαυτὴν ἡ καθόλου ἀποφατικὴ ἀναγκαία. εἶτα τοῦτο τῇ εἰς ἄτοπον ἀπαγωγῇ δεῖξαι βούλεται, εἰκότως ὑποτίθεται τὴν κατὰ πάντα αὐτῇ ἀντικειμένην. καὶ κατὰ τὸν τρόπον. καὶ

εἰ ἥτις ρ.

Solutio tertiae dubitationis.

μὴ γὰρ καὶ πρὸς ὡρισμένην ποιεῖται τὴν ἀντιστροφήν. καὶ ἐπὶ πάσης ὕλης, οὐ λέγεται ἀντιστρέφειν. διότι ἐπιστημονική ἐστιν ἡ τῶν φιλοσόφων διδασκαλία. ἡ δὲ ἐπιστήμη τῶν καθόλου ἐστί, καὶ οὐχὶ τῶν μερικῶν.

» ΤΟΝ αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἀναγκαίων προτάσεων. ἡ μὲν καθόλου στερητική, καθόλου ἀντιστρέφει. τῶν δὲ καταφατικῶν, ἑκατέρα κατὰ μέρος.

Τοῦτό φησιν ὅτι αἱ ἀναγκαῖαι προτάσεις, ταῖς ὑπαρχούσαις ὁμοίως ἀντιστρέφουσι. τίνι οὖν διαφέρουσι; τῷ τὴν μὲν τοῦ ὑπάρχειν πρότασιν ἑαυτῇ ἀρκεῖσθαι πρὸς τὴν προφοράν. οἷον σωκράτης ὑπάρχει. τὴν δὲ ἀναγκαῖον ἐκείνης προσδεῖσθαι. οἷον σωκράτης ἐξ ἀνάγκης ὑπάρχει. τὸ αὐτὸ δὲ αἴτιον καὶ τοῦ τὴν τοῦ ὑπάρχειν προτετάχθαι τῆς ἀναγκαίας, ὡς ἁπλουστέραν. τρίτη δὲ ἡ ἐνδεχομένη, διὰ τὸ περὶ τὸν μέλλοντα εἶναι χρόνον.

» ΕΙ ΜΕΝ γὰρ ἀνάγκη τὸ α τῷ β μηδενὶ ὑπάρχειν. ἀνάγκη καὶ τὸ β τῷ α μηδενὶ ὑπάρχειν. εἰ γὰρ τινὶ ἐνδέχεται, καὶ τὸ α τῷ β τινὶ ἐνδέχοιτο ἄν.

Ἐνταῦθα γενομένοις ἡμᾶς, δεῖ ζητῆσαι τίνος χάριν ἐν μὲν τῷ περὶ ἑρμηνείας, οὐκ ἐμνημόνευσεν τούτων τῶν προτάσεων ὁ ἀριστοτέλης. λέγω δὲ τῆς ἀναγκαῖον μηδενὶ εἶναι. καὶ τῆς ἀναγκαῖον παντὶ εἶναι. καὶ τῆς ἐνδέχεται παντὶ εἶναι. ὁμοίως δὲ καὶ τῶν μερικῶν. ἀλλ' ἐκεῖ μὲν ὡς περὶ ἀπροσδιορίστων καὶ μόνον, ποιεῖται τὸν λόγον ἀορίστως δυνατὸν εἶναι. ἐνδεχόμενον εἶναι. οὐκ ἀναγκαῖον εἶναι. δυνατὸν μὴ εἶναι. καὶ παρακατιὼν ὅπου δεῖ καὶ τὰς ἀκολουθούσας ἀλλήλαις ἐξήτασε. ὡς περὶ ἀπροσδιορίστων διαλέγεται ἀορίστως. τὸ μὲν οὖν ἀδύνατον καὶ οὐκ ἀδύνατον τῷ ἐνδεχομένῳ. καὶ τῷ δυνατῷ καὶ μὴ ἐνδεχομένῳ ἀκολουθεῖ. ἐν δὲ τῇ προκειμένῃ πραγματείᾳ, ὡς περὶ προσδιωρισμένων προτάσεων τῶν μετὰ τρόπου διαλέγεται. Δεῖ δὲ πάλιν καὶ τοῦτο ζητῆσαι, πῶς τὰς προτάσεις ἃς ἐν τῷ περὶ ἑρμηνείας καταφάσεις εἶπεν, ἐνταῦθα ἀντὶ ἀποφάσεων παραλαμβάνεται. τὴν γὰρ ἀνάγκη μὴ εἶναι. καὶ ἐνδέχεται μὴ εἶναι. καταφάσεις λέγων εἶναι ἐν τῷ περὶ ἑρμηνείας. ὡς γὰρ ἐκεῖ φησι τὸ ἔστιν. καὶ τὸ μὴ ἔστι προσκατηγορεῖται καταφάσει. εὐθὺς ποιεῖ, ταύτας νῦν ἀποφάσεις ποιεῖ. βουλόμενος γὰρ δεῖξαι τὴν καθόλου ἀποφατικὴν τοῦ ἀναγκαίου τρόπου καὶ τοῦ ἐνδεχομένου ἀντιστρεφούσας, ταύταις ἐχρήσατο ἃς ὡς εἶπον καταφάσεις ἐν τῷ περὶ ἑρμηνείας φησίν. Ἔτι καὶ τοῦτο ζητοῦμεν τί δήποτε τῇ ἀναγκαίᾳ καθόλου ἀποφατικῇ προτάσει, μὴ ἀντέθηκε τὴν μερικὴν τοῦ ἀναγκαίου καταφατικὴν ἀλλὰ τὴν ἐνδεχομένην. εἰπὼν γὰρ εἰ μὲν γὰρ ἀνάγκη τὸ α τῷ β μηδενὶ ὑπάρχειν. ἀνάγκη καὶ τὸ β τῷ α μηδενὶ ὑπάρχειν. εἶτα τῇ εἰς ἄτοπον ἀπαγωγῇ χρήσασθαι βουλόμενος, ἐπήγαγεν. εἰ γὰρ τινὶ ἐνδέχεται. καὶ οὐκ εἶπεν εἰ γὰρ τινὶ ἀνάγκη. Καὶ ἔτι πρὸς τούτοις ζητητέον πῶς ἐχρήσατο τῇ τοῦ ἐνδεχομένου μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ μήπω δείξας περὶ αὐτῆς. Λέγωμεν οὖν πρὸς ταῦτα. καὶ πρότερόν γε πρὸς τὴν προτέραν ἀπορίαν τὴν λέγουσαν. διατί ἐν μὲν τῷ περὶ ἑρμηνείας, ὡς περὶ ἀπροσδιορίστων διαλέγεται. ἐνταῦθα δὲ ὡς περὶ προσδιωρισμένων. φημὶ οὖν ὅτι ἐν μὲν τῷ περὶ ἑρμηνείας, ὡς πολλὴν ἀσάφειαν ἅμα καὶ βραχυλογίαν ἐπιτηδεύσας, καὶ βουληθεὶς πολλὰ ἐν ὀλίγοις καὶ ἀσαφῶς περιλαβεῖν, τοῦτο πεποίηκεν. ἡμῖν ἐπιτρέψας τὰ λοιπὰ προσυπακούειν. προδιδάξας γὰρ περὶ τῶν προσδιορισμῶν. εἶτα προελθὼν εἰς τὴν διδασκαλίαν τῶν μετὰ τρόπου προτάσεων. ὡς μὲν περὶ προσδιωρισμένων αὐτῶν διαλέγεσθαι, περιττὸν ἡγήσατο. πλέον μηδὲν περὶ τῶν προσδιορισμῶν λέγειν ἔχων. ἁπλῶς δὲ ὡς μετὰ τρόπου περὶ αὐτῶν διαλέγεται. ἐνταῦθα δὲ γενόμενος καὶ περὶ γενέσεως συλλογισμοῦ μέλλων διαλαμβάνειν, οὐκ ἂν ἐκ τῶν ἡγήσατο τοῦτο ποιῆσαι. ἵνα μήτις αὐτὸν ὑπολάβῃ τῷ ὅτι περὶ ἀπροσδιορίστων διαλέγεσθαι καὶ μόνον. καὶ ὅτι τοῖς προσδιορισμοῖς ἀκολούθως συνάγεται καὶ τὰ συμπεράσματα. ἄνευ μὲν γὰρ καθολικῆς προτάσεως συλλογιστικὸν οὐ γίνεται σχῆμα. μερικοῦ δὲ προσδιορισμοῦ ἐν ταῖς προτάσεσι παραληφθέντος, καὶ τὸ συμπέρασμα μερικὸν συνάγεται. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἀναγκαίως ἄρα οὐ περὶ ἀπροσδιορίστων μόνον, ἀλλὰ καὶ ὡς προσδιωρισμένων διαλέγεται τῶν μετὰ τρόπου προτάσεων. οὕτω μὲν οὖν τὴν πρώτην ἀπορίαν ἀποκρουόμεθα. Καιρὸς δὲ λοιπὸν ἐπὶ τὴν ἑτέραν μεταβῆναι ζήτησιν τὴν λέγουσαν. διατί καταφάσεις ἐνταῦθα παραλαμβάνει ἀντὶ ἀποφάσεων. τινὲς μὲν πρὸς τοῦτο ἀπολογούμενοί φασιν. ὅτι ἄλλο ἐστὶν ἀναγκαία ἀπόφασις. καὶ ἄλλο ἀναγκαίας ἀπόφασις. ἀναγκαίας μὲν γάρ ἐστιν ἀπόφασις, ἡ τὸν τρόπον μόνον ἀναιροῦσα. οἷον οὐκ ἀναγκαῖον τὸν ἄνθρωπον λευκὸν εἶναι. ἀναγκαία δὲ ἐστὶν ἀπόφασις, ἡ μὴ μόνον τὸν τρόπον. ἀλλὰ καὶ τὴν ὅλην ἀναιροῦσα πρότασιν. οἷον ἀνάγκη τὸν ἄνθρωπον μὴ εἶναι λευκόν. ἐν μὲν οὖν τῷ περὶ ἑρμηνείας φησὶ παραδέδωκεν ἡμῖν τὴν ἀπόφασιν τῆς ἀναγκαίας. ἐνταῦθα δὲ τὴν ἀναγκαίαν ἀπόφασιν. τοῦτο δὲ γλαφυρὸν μέν ἐστι τὸ θεώρημα οὐχ ἱκανὸν δὲ ἀποπληρῶσαι τὴν ἀπορίαν ἡμῶν. ζητήσομεν γὰρ πάλιν οὐδὲν ἧττον. διατί ἐν τῷ περὶ ἑρμηνείας οὐ παραδέδωκε τὴν ἀπόφασιν τὴν ἀναγκαίαν. ἢ ἐνταῦθα περὶ τῆς τοῦ ἀναγκαίου ἀποφάσεως. ἑκατέρα γὰρ οὕτως ἀτελὴς ἡ πραγματεία. τί οὖν ἡμεῖς λέγομεν. ὅτι τὰς ἀντιθέσεις τῶν ἀναγκαίων προτάσεων, διχόθεν ἐστὶ λαβεῖν. λαμβάνονται γὰρ αἱ ἀντικείμεναι προτάσεις, ἢ ὡς τὸν τρόπον μόνον ἀναιροῦσαι, ἢ ὡς ὅλην τὴν πρότασιν. οἷον τί λέγω τῇ λεγούσῃ ἀνάγκη

παντί,

πρῶτον, ὅτι οὐδὲν θαυμαστὸν εἰ μὴ προδιδάξας περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, κέχρηται αὐτῇ· ἐπεὶ καὶ οἱ γεωμέτραι κεχρημένοι πολλάκις αὐτῇ ἐν τοῖς θεωρήμασιν, οὐδὲν περὶ αὐτῆς διδάσκουσιν. ἀρκοῦνται γὰρ ταῖς ἐννοίαις ἡμῶν ἃς ἔχομεν φυσικῶς περὶ αὐτῆς. ἐπεὶ καὶ ἐν τῇ συνηθείᾳ πολλάκις, αὐτοφυῶς αὐτῇ κεχρήμεθα. πρὸς δὲ τοὺς λέγοντας ὅτι ἐν τῇ δείξει τῆς καθόλου ἀποφατικῆς ἐχρήσατο τῇ μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ μήπω τοῦτο διδάξας, ἐκεῖνο φαμέν. ὅτι οὐκ ἀπεχρήσατο αὐτῇ ὡς ὁμολογουμένῃ, ἀλλὰ τῇ δι᾽ ἐκθέσεως δείξει ἐχρήσατο, τουτέστι τῇ διὰ τῶν καθ᾽ ἕκαστα. οὐ γὰρ ἔστιν οὕτως. εἰ γάρ τινι τῷ α τὸ β καὶ τὸ α τινὶ τῷ β. ἀλλὰ πῶς εἰ γάρ τινι τὸ α τῷ β καὶ τὸ β τῷ γ, ὥστε τῇ ἐπαγωγικῇ ἐχρήσατο δείξει, τούτου λυθέντος, λέλυται καὶ τὸ λοιπόν. οὐ γὰρ τῇ δι᾽ ἀλλήλων δείξει ἐχρήσατο. τὴν μὲν γὰρ μερικὴν καταφατικὴν, διὰ τῆς καθόλου ἀποφατικῆς δείκνυσιν, ὡς ὁμολογουμένης διὰ τὸ προδιδάξαι περὶ αὐτῆς. τὴν καθόλου ἀποφατικὴν, οὐκέτι διὰ τῆς μερικῆς καταφατικῆς ἔδειξε. πῶς γὰρ ἔμελλεν ἀγνοουμένου ἡμῖν ἔτι ὅλως, εἰ ἀντιστρέφει πρὸς ἑαυτὴν ἡ μερικὴ καταφατική. ἀλλ᾽ ὡς εἴρηται τῇ δι᾽ ἐκθέσεως δείξει ἐχρήσατο.

» ΕΙ ΔΕ παντὶ τὸ α τῷ β, καὶ τὸ β τινὶ τῶν α ὑπάρξει. εἰ γὰρ μηδενὶ, οὐδὲ τὸ α οὐδενὶ τῷ β ὑπάρ-
» ξει. ἀλλ᾽ ὑπέκειτο παντὶ ὑπάρχειν. ὁμοίως δὲ καὶ εἰ κατὰ μέρος ἐστὶν ἡ πρότασις.

Ἀποδείξας τὴν ἀντιστροφὴν τῆς καθόλου ἀποφατικῆς, νῦν ἀκολούθως μετέρχεται ἐπὶ τὴν καθόλου καταφατικήν. καὶ ἀποδείκνυσιν αὐτὴν μὴ ἀντιστρέφειν πρὸς ἑαυτήν. ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικήν καί φησιν οὕτως. εἰ παντὶ τὸ α τῷ β καὶ τὸ β τινὶ τῷ α. εἶτα πάλιν ἐκ τοῦ ἀξιώματος τῆς ἀντιφάσεως, τῇ εἰς ἄτοπον ἀπαγωγῇ δείκνυσιν, οὕτως ἔχουσαν τὴν ἀντιστροφήν. εἰ γὰρ μή τινι δῆλον ὅτι οὐδενὶ τὸ β τῷ α. εἰ δὲ οὐδενὶ τὸ β τῷ α. οὐδὲ τὸ α οὐδενὶ τῷ β. ἐδείχθη γὰρ ἡ καθόλου ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα. ὑπέκειτο δὲ καὶ παντὶ τῷ α τὸ β. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενὶ ὑπάρχει, ὅπερ ἄτοπον. ἔστωσαν ἐπὶ ὑποδείγματος ὅροι ζῶον καὶ ἄνθρωπος. εἰ τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου. καὶ ὁ ἄνθρωπός τινι ζώῳ ὑπάρξει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον λέγω δὲ τὸ οὐδενί. οὐκοῦν ὁ ἄνθρωπος, οὐδενὶ ζώῳ ὑπάρχει. ἐδείχθη δὲ αὕτη ἀντιστρέφουσα πρὸς ἑαυτήν. οὐκοῦν καὶ τὸ ζῶον οὐδενὶ ἀνθρώπῳ. ἦν δὲ καὶ παντί. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενί. Ἐπιχειροῦσι δὲ πάλιν καὶ ταύτην διὰ παραδειγμάτων τινὲς ἐλέγχειν τὴν ἀντιστροφήν. λέγοντες οὕτω πᾶς γέρων νέος ἦν πρότερον. τοῦτο ἀληθές. ἄρα οὖν ἀληθές ἐστι καὶ ἀντιστρέψαντας εἰπεῖν τις νέος πρεσβύτης ἦν, οὐδαμῶς. καὶ πάλιν πᾶσα γυνὴ παρθένος ἦν πρότερον. ἀλλ᾽ ἡ ἀντιστροφὴ οὐκ ἀληθής, τὶς παρθένος γυνὴ ἦν. Τὸ δὲ αὐτὸ καὶ πρὸς τούτους ῥητέον ὃ καὶ πρὸς τοὺς ἄλλους. ἀντιστρέφοντες γὰρ ὅλον τὸ κατηγορούμενον, ὀρθῶς τὴν ἀντιστροφὴν ποιησόμεθα. ἐν τῇ τοίνυν προτάσει τῇ λεγούσῃ πᾶς γέρων νέος ἦν, ἐστὶν ὑποκείμενος μὲν ὁ γέρων, ἔχων συσσημαινόμενον αὐτῷ τὸν ἐνεστῶτα χρόνον. τὶ γὰρ φαμὲν ὅτι πᾶς γέρων ὢν ἐπὶ τοῦ παρόντος, ὁ δὲ κατηγορούμενος ὁ νέος μετὰ χρόνου παρῳχημένου. νέος γὰρ ἦν. οὕτως οὖν ποιησόμεθα τὴν ἀντιστροφὴν φυλάττοντες ἀκεραίους τοὺς ὅρους. πᾶς νέος ὢν πρότερον. πρεσβύτης ἐστί. καὶ πᾶσα παρθένος οὖσα πρότερον γυνή ἐστιν.

» ΕΙ γὰρ τὸ α τινὶ τῷ β, καὶ τὸ β, τινὶ τῷ α ἀνάγκη ὑπάρχειν. εἰ γὰρ μηδενὶ, οὐδὲ τὸ α οὐδενὶ τῷ β, ὑπάρξει.

Περὶ τῆς μερικῆς καταφατικῆς ὢν βουλόμενος κατασκευάσαι ὅτι ἀντιστρέφει πρὸς ἑαυτὴν κέχρηται πάλιν τῇ καθόλου ἀποφατικῇ εἰς ἄτοπον ἀπάγων τὸν λόγον. ὡς ἤδη διδάξας ἀντιστρέφουσαν αὐτὴν πρὸς ἑαυτήν. ἔστωσαν δὲ ὅροι ὡς ἐπὶ παραδείγματος ἄνθρωπος καὶ λευκόν. εἰ τοίνυν ἄνθρωπός τινι λευκῷ ὑπάρχει. καὶ λευκόν τινι ἀνθρώπῳ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενὶ ἀνθρώπῳ λευκὸν ὑπάρχει. οὐκοῦν καὶ ἄνθρωπος οὐδενὶ λευκῷ ὑπάρχει. ἀντιστρέφει γὰρ ὡς δέδεικται. ἦν δὲ καὶ τινί. τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενὶ ὅπερ ἄτοπον. οὕτω μὲν οὖν ἡ μερικὴ καταφατικὴ ἀεὶ πρὸς ἑαυτὴν ἀντιστρέφει. εἰ δὲ ποτὲ καὶ πρὸς τὴν καθόλου ἀντιστρέφει, οὐ δι᾽ ἑαυτὴν τοῦτο πάσχει. ἀλλὰ διὰ τὴν παραληφθεῖσαν ὕλην. οἷον ἄνθρωπός τινι ζώῳ. καὶ ζῶον παντὶ ἀνθρώπῳ.

» ΕΙ δέ γε τὸ α τινὶ τῷ β μὴ ὑπάρχει, οὐκ ἀνάγκη καὶ τὸ β τινὶ τῷ α μὴ ὑπάρχειν. οἷον εἰ τὸ μὲν
» β, ἐστὶ ζῶον. τὸ δὲ α, ἄνθρωπος. ἄνθρωπος μὲν γὰρ, οὐ παντὶ ζώῳ. ζῶον δὲ παντὶ ἀνθρώπῳ ὑπάρχει.

Ἐντεῦθεν τὴν μερικὴν στερητικὴν ἐξετάζει. καί φησι πρὸς μηδεμίαν αὐτὴν ἀντιστρέφειν. τοῦτο δὲ διότι οὔτε πρὸς οὐδεμίαν ὡρισμένως, οὐδ᾽ ὅτι ἀντιστρέφει ἢ πρὸς ἑαυτὴν ἢ πρὸς ἄλλην ἐπὶ πάσης ὕλης τοῦτο ποιεῖ. ἐπὶ μὲν γὰρ τῆς ἐνδεχομένης ὕλης, πρὸς ἑαυτὴν ἀντιστρέφει. καὶ πρὸς τὴν μερικὴν καταφατικήν οἷον οὐ πᾶς ἄνθρωπος λευκός. καὶ οὐ πᾶν λευκὸν ἄνθρωπος, ἀλλὰ καὶ τι λευκὸν ἄνθρωπος. ἐπὶ δὲ τῆς ἀναγκαίας ὕλης πρὸς τὴν καθόλου καταφατικὴν ποιεῖται τὴν ἀντιστροφήν. οὐ πᾶν ζῶον ἄνθρωπος. καὶ πᾶς ἄνθρωπος ζῶον. ἐπὶ δὲ τῆς ἀδυνάτου πρὸς τὴν καθόλου ἀποφατικήν. οὐ πᾶς λίθος πτερωτός. οὐδεὶς πτερωτὸς λίθος. τὸ δὲ οὐ πᾶς εἴρηται ἐπὶ τῶν τοιούτων ἐν τῷ περὶ ἑρμηνείας, πῶς λέγεται. τὸ γὰρ οὐ πᾶς λίθος πτερωτὸς, πρὸς ἀναίρεσιν τῆς πᾶς. εἰπούσης γὰρ ἐκείνης, πᾶς λίθος πτερωτὸς, αὕτη φησὶν ὅτι ψεῦδός ἐστι τὸ πᾶς καὶ ἀναιρεῖ αὐτὸ διὰ τοῦ ἀρνητικοῦ μορίου. οὐκ ἔτι μέντοι καὶ τὸ τὶς εἰσάγει. διά τοι τοῦτο, λέγω δὲ τὴν ἀοριστίαν αὐτῆς. φησὶν αὐτὴν πρὸς μηδεμίαν ἀντιστρέφειν. εἰ

προτάσεων διαλαμβάνει, ὡς συμβαλλομένης αὐτῷ εἰς τὸν περὶ συλλογισμῶν λόγον. τὸν δὲ ἄνευ τρόπου προτάσεων, οὐδεμιᾶς μνήμης ἐνταῦθα ἐποιήσατο. οἱ δὲ συλλογισμοὶ οὐ μόνον εἰσὶ μετὰ τρόπου, ἀλλὰ καὶ ἄνευ τρόπου. δῆλον ὅτι ἀτελὴς ἔσται ἡ περὶ συλλογισμῶν πραγματεία. οὐ μόνον δὲ αὕτη, ἀλλὰ καὶ ἡ περὶ ἑρμηνείας ἀτελὴς ἔσται. οὐ γὰρ ἐμνήσθη ἐκεῖ τι τοῦ ὑπάρχοντος τρόπου. φαμὲν ὅτι τὸν ὑπάρχοντα προσέθηκεν, δηλῶν τὰς ἄνευ τρόπου προτάσεις. οὕτω γὰρ τὸ εἶναι ἄνευ καλεῖν. ἀμέλει γοῦν ἐν τῷ περὶ ἑρμηνείας, πρὶν ἢ ὅλως περὶ τρόπου διαλεχθῆ ἢ περὶ προτάσεως ὅλως, μέλλων παραδιδόναι τὰς ἀντιφατικῶς ἀντικειμένας καταφάσεις καὶ ἀποφάσεις, οὕτω φησίν· ἐπεὶ δὲ ἔστιν ἀποφαίνεσθαι καὶ τὸ ὑπάρχον ὡς μὴ ὑπάρχον, καὶ τὸ μὴ ὑπάρχον, ὡς ὑπάρχον τουτέστιν, ἐπειδὴ καὶ τὸ ὂν ἔστιν ἀποφαίνεσθαι μὴ ὄν, καὶ τὸ μὴ ὄν, ὄν. ὥστε τὸ ὑπάρχον, ἀντὶ ὄντος παρέλαβε. δέδεικται ἄρα ὅτι τὰς ἄνευ τρόπου προτάσεις, διὰ τοῦ ὑπάρχοντος δηλοῖ. τὰς δὲ ἐνεχούσας εἴτε δύναμιν εἴτε ἐνέργειαν. εἰ δέ τις εἴποι ὅτι ἐκεῖ περὶ πασῶν τῶν προτάσεων διελέγετο, ψευδῶς ἐρεῖ. προελθὼν γὰρ καὶ γενόμενος ἐν ταῖς μετὰ τρόπου προτάσεσι, τὸ αὐτὸ ζητεῖ λέγων οὕτως, τούτων δὲ διορισμένων σκεπτέον ἐφεξῆς, πῶς ἔχουσιν αἱ καταφάσεις πρὸς ἀλλήλας. αἱ τοῦ δυνατὸν εἶναι, καὶ μὴ δυνατὸν εἶναι. ὡς εἴγε περὶ πασῶν εἰρήκει, οὐκ ἂν ἐδέησε τοῦ νῦν λόγου. ἄλλως τε εἰ μὴ οὕτω νοήσωμεν, συμβήσεται τὸν φιλόσοφον ὡς ἤδη μὲν εἴρηται, ἢ ἐν τῷ περὶ ἑρμηνείας ἐλλιπῶς εἰρηκέναι. ἢ ἐνταῦθα περιττολογεῖν. καὶ ὅτι ἑπόμενα τῷ αὐτοῦ σκοπῷ λέγομεν, μαρτυρεῖ καὶ ἐνταῦθα τὰ παρ' αὐτοῦ εἰρημένα. λέγει γὰρ οὕτως.

» ΕΠΕΙ δὲ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν. τούτων δὲ, αἱ μὲν καταφατικαὶ, αἱ δὲ ἀποφατικαὶ, καθ' ἑκάστην πρόσρησιν. πάλιν τῶν καταφατικῶν καὶ ἀποφατικῶν, αἱ μέν εἰσι καθόλου. αἱ δὲ, ἐν μέρει. αἱ δὲ, ἀδιόριστοι.

Ὅτι δὲ πᾶσα, δῆλον ὅτι καὶ ἄνευ τρόπου πρότερον ἐβούλετο παραδοῦναι, οὐκ ἂν ἔλεγε πᾶσα. πρὸς τούτοις ζητῆσαι ἄξιον διὰ ποίαν αἰτίαν τοιαύτῃ τάξει προτάσεων ἐχρήσατο ὁ Ἀριστοτέλης. καὶ προτάττει μὲν, τὴν καθόλου ἀποφατικήν. δευτέραν δὲ τίθησι τὴν καθόλου καταφατικήν, τρίτην δὲ τὴν μερικὴν καταφατικήν. τετάρτην δὲ, τὴν μερικὴν ἀποφατικήν. καὶ πρότερον ζητήσομεν τίνος χάριν ἡ καθόλου ἀποφατικὴ προτέτακται τῆς καθόλου καταφατικῆς καίτοι τιμιωτέρας οὔσης. ἐροῦμεν οὖν ὅτι οὐ καθὸ ἀπόφασις προτετίμηται τῆς καταφάσεως, ἀλλὰ καθὸ αὐτὴ μὲν πρὸς ἑαυτὴν ἀντιστρέφει. ἡ δὲ καθόλου κατάφασις οὐκέτι πρὸς ἑαυτήν. ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικήν. καὶ τίνος χάριν μὴ προτέτακται τῆς καθόλου καταφατικῆς μὴ ἀντιστρεφούσης πρὸς ἑαυτὴν ἡ μερικὴ καταφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα. ἐροῦμεν ὅτι δὲ καὶ πρὸς ἑαυτὴν ἀντιστρέφει ἡ μερικὴ καταφατική. ἀλλ' οὖν διὰ τὸ καθόλου ἡ ἑτέρα προτετίμηται. τελευταία δὲ πασῶν ὑπόκειται ἡ μερικὴ ἀπόφασις. εἰκότως διὰ τὸ πρὸς μηδεμίαν ὡρισμένως αὐτὴν ἀντιστρέφειν. πρότερον δὲ ὁ φιλόσοφος διὰ παραδειγμάτων δείκνυσι τὰς ἀντιστροφὰς τῶν προτάσεων. καὶ τότε διὰ καθολικῶν ἀποδείξεων. » Ἐπεὶ δὲ πᾶσα πρότασίς ἐστιν. ἐνταῦθα πάσης προτάσεως τὰ εἴδη παραδίδωσι. καὶ σκεπτέον οὕτως, ὑπάρχουσιν οἱ τρόποι τρεῖς ἀναγκαῖος, ἐνδεχόμενος, λέγεσθαι δὲ πρὸς σαφήνειαν καὶ ὁ ὑπάρχων τρόπος. ὁ γὰρ ἀδύνατος ἐμπεριέχεται τῷ ἀναγκαίῳ. καὶ ὁ δυνατὸς τῷ ἐνδεχομένῳ. ὄντων οὖν τῶν τρόπων τριῶν καὶ πολλαπλασιαζομένων κατὰ τὸ καταφατικὸν καὶ ἀποφατικόν. γίνονται ἅπασαι ἕξ. αἳ πάλιν πολλαπλασιαζόμεναι κατὰ τὸ ποσὸν, τὸ καθόλου, τὸ μερικὸν, τὸ ἀδιόριστον, ποιοῦσι τὰ πάντα προτάσεων εἴδη δεκαοκτώ. τοσαῦτα οὖν ἐστιν εἴδη προτάσεων. καὶ οὔτε πλείονα οὔτε ἐλάττονα. καθ' ἑκάστην πρόσρησιν, ἀντὶ τοῦ καθ' ἑκάστην τρόπου προσθήκην.

» ΤΗΝ μὲν οὖν ἐν τῷ ὑπάρχειν καθόλου στερητικὴν, ἀνάγκη τοῖς ὅροις ἀντιστρέφειν, οἷον εἰ μηδεμία ἡδονὴ ἀγαθόν. οὐδὲ ἀγαθὸν οὐδὲν ἔσται ἡδονή.

Τὴν καθόλου ἀποφατικὴν σημαίνει ὑπάρχουσαν. ἀνάγκη τοῖς ὅροις ἀντιστρέφειν. σημαίνει τὴν ἁπλῆν ἀντιστροφήν. ἐν μόνοις γὰρ αὕτη τοῖς ὅροις ἀντιστρέφει.


» ΤΗΝ δὲ κατηγορικὴν ἀντιστρέφειν μὲν ἀναγκαῖον. οὐ μὴν καθόλου, ἀλλ' ἐν μέρει. οἷον εἰ πᾶσα ἡδονὴ ἀγαθὸν, καὶ ἀγαθόν τι ἔσται ἡδονή. τῶν δὲ ἐν μέρει, τὴν μὲν καταφατικὴν, ἀντιστρέφειν ἀνάγκη κατὰ μέρος. εἰ γὰρ ἡδονή τις ἀγαθόν. καὶ ἀγαθόν τι ἔσται ἡδονή. τὴν δὲ στερητικὴν, οὐκ ἀναγκαῖον. οὐ γὰρ εἰ ὁ ἄνθρωπος μὴ ὑπάρχει τινὶ ζώῳ, καὶ τὸ ζῷον οὐχ ὑπάρχει τινὶ ἀνθρώπῳ.

Κατὰ τὸ σύνηθες αὐτῷ σύντομον ἦθος, τὴν καθόλου καταφατικὴν ὑπάρχουσαν σημᾶναι βουλόμενος. τὰ κοινὰ παρεὶς, ἅπερ εἶχε τῇ ἀποφατικῇ τὸ ἴδιον μόνον προσέθηκε. λέγω δὴ τὸ καταφατικόν.

» ΡΡΩΤΟΝ μὲν οὖν ἔστω στερητικὴ καθόλου, ἡ τῶν α β πρότασις. εἰ γὰρ μηδενὶ τῷ β τὸ α ὑπάρχει, οὐδὲ τῶν α οὐδενὶ ὑπάρξει τὸ β. τῶν

Δείξας ὅπως ἑκάστη τῶν προτάσεων ἀντιστρέφει διὰ παραδειγμάτων, ἵνα μή τις οἰηθῇ διὰ τὴν ὕλην τῶν παραληφθέντων προτάσεων, ἢ δι' ἕτερόν τι βοηθῆσαι αὐτῷ τὸν περὶ τῶν ἀντιστροφῶν λόγον. ἄδηλον δὲ εἶναι μήπως ἐστὶ τινὰ παραδείγματα. ἐν οἷς αἱ εἰρημέναι ἀντιστροφαὶ χώραν οὐκ ἔχουσι. διὰ τοῦτο ἐνταῦθα καθολικοὺς κανόνας παραδίδωσι τὰ στοιχεῖα παραλαμβάνων ἀντὶ τῶν ὅρων. ἵνα ἕκαστος ἂν

λύσασθαι. ζητοῦσι γάρ τινες, τί δήποτε τεσσάρων ὄντων τῶν τρόπων, ὡς ἐν τῷ περὶ ἑρμηνείας παρε-φαμεν. δυνατοῦ ἐνδεχομένου. ἀναγκαίου ἀδυνάτου, τὸ μὲν ἀδύνατον καὶ δυνατὸν παρέλειψεν ἐνταῦθα ὁ φιλόσοφος. τὸν δὲ ὑπάρχοντα ἀπηξιωμένον ὄντα προσέθηκε. καὶ ἄγε ὅλως τρόπος ἐστὶν ὁ ὑπάρχων, τί δήποτε οὐκ ἐμνήσθη αὐτοῦ ἐν τῷ περὶ ἑρμηνείας. εἰσὶ μὲν οὖν τινες, οἱ τὸν ὑπάρχοντα τρόπον ὑπολαμβάνοντες. οἵ τινες καὶ ἐγχειροῦσιν αὐτὸ τοῦτο κατασκευάζειν ἐκ διαιρέσεως τοιαύτης, πρὸς ἣν ἀποβλέψαντά φασι τὸν φιλόσοφον ποιεῖσθαι τὴν νῦν διδασκαλίαν. τῶν γὰρ πραγμάτων φασί. τὰ μὲν ἀεὶ ὡσαύτως ἔχει. τὰ δὲ ἄλλοτε ἄλλως. καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων. τὰ μὲν καθ' αὑτὰ ὑφέστηκεν ὡς τὰ οὐράνια. τὰ δὲ κατὰ συμβεβηκὸς ὡς τὸ ἐν τῷ κόρακι μέλαν. διὰ μὲν οὖν τοῦ ἀναγκαίου τρόπου φασὶν, ἐδήλωσε τὰ ἀεὶ ὡσαύτως ἔχοντα καθ' αὑτά. διὰ δὲ τοῦ ὑπάρχοντος, τὰ ἀεὶ ὡσαύτως ἔχοντα κατὰ συμβεβηκός. διὰ δὲ τοῦ ἐνδεχομένου, τὰ ἄλλοτε ἄλλως ἔχοντα. καὶ δι' ἑτέρας δὲ διαιρέσεως, τὸ αὐτὸ δεικνύειν ἐγχειροῦσι. πλατυτέρας μὲν, οὐ μὴν οὐδὲ αὐτῆς ἐχούσης τὸ ἀναγκαῖον. τὰ γὰρ πραγματικά φασιν, ἢ ἀεὶ ἔστιν, ἢ ποτέ. ἢ ἐκβέβηκεν ἢ μέλλει. τὰ μὲν οὖν ἀεὶ ὄντα δηλοῖ ὁ ἀναγκαῖος τρόπος. τὰ δὲ ποτὲ ὁ ὑπάρχων ἤγουν ἐκβεβηκότα. τὰ δὲ μέλλοντα ἐκβῆναι ὁ ἐνδεχόμενος. πρὸς οὓς καλῶς ἀντιλέγουσιν. ὅτι οὕτως εἰς ταυτὸν ἄξομεν τὰς ὕλας τοῖς τρόποις. ὑμεῖς γὰρ τὴν διαίρεσιν τῶν τρόπων ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ἐποιήσασθε. ὅπερ ἐστὶν ἴδιον τῶν ὑλῶν. οἱ δὲ τρόποι, οὐκ ἀπὸ τῆς φύσεως τῶν πραγμάτων λαμβάνονται, ἀλλ' ἀπὸ τῆς ἡμετέρας προφορᾶς, ὅπερ καὶ αὐτὸς δηλοῖ ἄπιον καθ' ἑκάστην πρόσρησιν. ἐλέγετο δὲ καὶ ἐν τῷ περὶ ἑρμηνείας, ὅτι ὁ τρόπος τῆς ὕλης διαφέρει. καθ' ὃ ἡ μὲν ὕλη, συναναφαίνεται τοῖς πράγμασιν. ἐὰν γὰρ εἴπω ὁ ἄνθρωπος πέτεται, παραχρῆμα ἀνεφάνη ἀδύνατος. καὶ ἐπὶ τῶν ἄλλων ὑλῶν ὁμοίως. ὁ δὲ τρόπος, ἐκ τῆς ἡμετέρας προσφορᾶς ἔχει τὸ εἶναι. ὅταν γὰρ εἴπω ἐνδέχεται ἄνθρωπον μέλανα εἶναι ἐνδεχομένου τρόπου εἶπον πρότασιν. διόπερ καὶ τὴν αὐτὴν πρότασιν ὕλης μὲν δυνατὸν εἶναι ἀναγκαίας, τρόπου δὲ ἐνδεχομένου. ὡς ὅταν εἴπω ὅτι ὁ ἥλιος ἐνδεχομένως κινεῖται. τὸ μὲν γὰρ κινεῖσθαι αὐτὸν ἐξ ἀνάγκης ἐστίν. ὁ δὲ τρόπος, ἐνδεχόμενος. καὶ ἔμπαλιν, δυνατὸν πρότασιν τρόπου ἀναγκαίου εἶναι, ὕλης δὲ ἐνδεχομένης. ὡς ὅταν εἴπω. ἀναγκαίως Σωκράτης λούεται. καὶ ἐπὶ τῶν ἄλλων δὲ τρόπων καὶ ὑλῶν τὸ αὐτὸ συμβαίνειν ἐνδέχεται. ὥστε οἱ ταῦτα λέγοντες, εἰς ταυτὸν ἀνάγουσι τὰς ὕλας τοῖς τρόποις ὅπερ ἄτοπον. καὶ τινὲς μὲν ἀπολογούμενοι πρὸς τοῦτο φασίν. ὅτι τὰ ὑπάρχοντά τινι, ἢ ἁπλῶς ὑπάρχειν λέγεται δίχα προσδιορισμοῦ τινος, καὶ λέγονται ὑπάρχοντος τρόπου. ἢ ἀναγκαίως, καὶ ἔστιν ἀναγκαίου τρόπου. ἢ ἐνδεχομένως, καὶ ἔστιν ἐνδεχομένου. καὶ οὕτως οὐκ εἰς ταυτὸν ἄξομεν τὰς ὕλας τοῖς τρόποις. λέγομεν οὖν πρὸς τοῦτο ὅτι μάλιστα μὲν ἀνόητον τὸ λέγειν ὑπάρχοντος ὑπάρχειν. ἔπειτα, εἰ ὁ ὑπάρχων τρόπος ἐστίν, ἀτελεῖς δείξομεν τὰς δύο πραγματείας τήν τε περὶ ἑρμηνείας, καὶ ταύτην, διότι οὐδὲ ἐκεῖ ἐμνήσθη τοῦ ὑπάρχοντος τρόπου. οὐδὲ ἐνταῦθα τοῦ δυνατοῦ καὶ ἀδυνάτου. τί οὖν ἡμεῖς φαμὲν πρὸς τὰ διηπορημένα. ὅτι τοῦ μὲν ἀδυνάτου τρόπου οὐκ ἐμνήσθη, ὡς ἐμπεριλαβὼν αὐτὸν διὰ τοῦ ἀναγκαίου. ὁ αὐτὸς γάρ ἐστιν αὐτῷ ἀντίστροφος μέντοι. καὶ αὐτὸς δὲ ἐν τῷ περὶ ἑρμηνείας, τοῦτο ἐδήλωσε. τὸ ἀναγκαῖον ταυτὸν εἶναι τῷ ἀδυνάτῳ. λέγων ἐναντίως ἀποδιδόμενον. ὅτι ὅπου πρὸς τῷ ἀναγκαίῳ τοῦ εἶναι τῷ ἀδυνάτῳ τὸ μὴ εἶναι. εἰ γὰρ ἀναγκαῖον τὸν ἄνθρωπον ζῷον εἶναι, ἀδύνατον μὴ εἶναι. καὶ τὸ ἀδύνατον εἶναι, τοῦτο ἀναγκαῖον μὴ εἶναι. ἔτι διὰ τοῦ ἐνδεχομένου τὸν δυνατὸν ἐμπεριέλαβε. τὸ γὰρ κυρίως δυνατὸν, εἰς ταυτὸν ἔρχεται τῷ ἐνδεχομένῳ. ὃ γὰρ ἐνδέχεται εἶναι, τοῦτο δυνατὸν εἶναι. καὶ ὃ δυνατὸν μὴ εἶναι, τοῦτο ἐνδέχεται μὴ εἶναι. ὥστε οὐ μόνον ἐν τῷ περὶ ἑρμηνείας ἐμνήσθη τῶν τεσσάρων τρόπων, ἀλλὰ καὶ ἐνταῦθα. Ἀλλὰ ζητοῦσί τινες διατί ὅλως τοῦ ἀναγκαίου ἐμνημόνευσε, καὶ μὴ τοῦ ἀδυνάτου, εἴγε ἰσοδυναμοῦσιν ἐναντίως ἀποδιδόμενοι. φαμὲν ὡς τιμιωτέρου ἐμνήσθη τοῦ ἀναγκαίου. ὁ μὲν γὰρ ἀναγκαῖος, ὕπαρξιν σημαίνει. ὁ δὲ ἀδύνατος, στέρησιν. ἡ δὲ ὕπαρξις, τῆς στερήσεως τιμιωτέρα. ἀλλὰ μὴν καὶ ὁ ὑπάρχων, δίχα ὕλης τοῖς τρόποις ὑπέστρωται. εἰ γὰρ ὁ ὑπάρχων δηλοῖ τὸ εἶναι. λέγεται δὲ καὶ ὁ ἀναγκαῖος, καὶ ὁ ἐνδεχόμενος εἶναι. δῆλος ἂν εἴη οὗτος τοῖς λοιποῖς ὑπεστρωμένος. καὶ οὕτως οὐδὲν περιττὸν οὐδὲ ἔλλιπον, εἰρῆσθαι τῷ φιλοσόφῳ ἀποδείκνυται. ἔτι πρὸς τούτοις ἐροῦμεν. εἰ τὸν ὑπάρχοντα τρόπον εἰσδεξόμεθα, ἄτοπον. ἐν τῷ προκειμένῳ βιβλίῳ περὶ τῆς ἀντιστροφῆς τῶν



ἀνάγκη πάσας τὰς δύο προτάσεις ἐν αἷς ἡ ἀντιστροφὴ θεωρεῖται, ἢ κατ᾽ ἀμφοτέρους τοὺς ὅρους κοινωνεῖν, ἢ κατ᾽ ἀμφοτέρους διαφέρειν· ἢ κατὰ μὲν τὸν ἕτερον κοινωνεῖν, κατὰ δὲ τὸν ἕτερον, διαφέρειν· καὶ τοῦτο διχῶς· ἢ κατὰ μὲν τὸν ὑποκείμενον κοινωνεῖν· κατὰ δὲ τὸν κατηγορούμενον διαφέρειν, ἢ ἔμπαλιν· καὶ οὐκ ἔστι παρὰ ταῦτα. τεσσάρων οὖν γινομένων συζυγιῶν, αἱ μὲν τρεῖς ἀσύστατοί εἰσιν· ἡ δὲ μία μόνη συνέστηκεν· ὅτε γὰρ ἢ κατ᾽ ἀμφοτέρους τοὺς ὅρους διαφέρουσιν αἱ προτάσεις, γίνεται ἀντιστροφή· ἕτεραι γὰρ εἰσὶν παντελῶς, καὶ ἀκοινώνητοι· οἷον, ὁ ἄνθρωπος ζῷον· ὁ ἵππος τετράπουν· κοινωνίαν γὰρ οὐδεμίαν ἔχουσι. δεῖ δὲ τὰ ἀντιστρέφοντα κοινωνεῖν ἀλλήλοις. ἀλλ᾽ οὐδὲ κατὰ τὸν ἕτερον τῶν ὅρων κοινωνοῦσι· κατὰ δὲ τὸν ἕτερον, διαφέρουσι· οὐδὲ οὕτω γίνεται ἀντιστροφή· οἷον, ὁ ἄνθρωπος ζῷον· ὁ ἄνθρωπος λευκός· καὶ πάλιν ὁ ἄνθρωπος ζῷον· ὁ ἵππος ζῷον· ἀλλὰ δεῖ τὰς ἀντιστρεφούσας κοινωνεῖν κατ᾽ ἀμφοτέρους τοὺς ὅρους. ἀλλ᾽ ἐπειδὴ πάλιν ἐν ταῖς προτάσεσι θεωρεῖται τις τάξις τῶν ὅρων· ὁ μὲν γάρ ἐστι κατηγορούμενος· ὁ δὲ ὑποκείμενος· θεωρεῖται δὲ καὶ ποιότης· ἀνάγκη πάσας δὴ τὰς ἀντιστρεφούσας προτάσεις· αἵ περ ἐδείχθησαν κοινωνοῦσαι ἀλλήλαις, κατ᾽ ἀμφοτέρους τοὺς ὅρους κοινωνεῖν· ἢ κατὰ τὴν τάξιν ἢ κατὰ τὴν ποιότητα, ἢ κατ᾽ ἀμφότερα διαφέρειν· ἢ κατὰ μὲν τὸ ἕτερον κοινωνεῖν· κατὰ δὲ τὸ ἕτερον διαφέρειν· καὶ τοῦτο διχῶς· ἢ γὰρ κατὰ μὲν τὴν τάξιν κοινωνεῖν· κατὰ δὲ τὴν ποιότητα διαφέρειν· ἢ κατὰ μὲν τὴν τάξιν διαφέρειν, κατὰ δὲ τὴν ποιότητα, κοινωνεῖν. τῶν τεσσάρων συζυγιῶν ἡ μία ἐστὶν ἀσύστατος. λέγω δὴ ἡ κατ᾽ ἀμφότερα κοινωνούσας ἔχουσα τὰς προτάσεις· καὶ κατὰ τὴν τάξιν· καὶ κατὰ τὴν ποιότητα· μία γάρ ἐστι πρότασις, δὶς ἡ αὐτὴ παραλαμβανομένη, καὶ οὐ δύο. οἱ γὰρ μὲν ὅροι αὐτοὶ ὀφείλουσιν εἶναι ἐν ταῖς ἀντιστρεφούσαις προτάσεσιν ὡς ἐδείξαμεν. ἐχέτωσαν δὲ αὗται καὶ τὴν τάξιν τῶν ὅρων καὶ τὴν ποιότητα τὴν αὐτήν, ἔσονται ἄμφω μία καὶ ἡ αὐτή· οἷον ὁ ἄνθρωπος ζῷόν ἐστιν ὁ ἄνθρωπος ζῷόν ἐστι. καὶ ματαιολογία τὸ ὅλον. συνίστανται δὲ αἱ ἄλλαι τρεῖς συζυγίαι. λέγω δὴ ἥ τε κατ᾽ ἀμφότερα διαφέρουσα καὶ κατὰ τὴν τάξιν καὶ κατὰ τὴν ποιότητα, καὶ ἡ καθ᾽ ἑκάτερον, καὶ τοῦτο διχῶς εἴτε ἡ μὲν τάξις ἡ αὐτὴ εἴη· ἡ δὲ ποιότης, διάφορος, ἢ καὶ ἔμπαλιν, ἡ μὲν ποιότης ἡ αὐτή, ἡ δὲ τάξις διάφορος. ἔχει δὲ ἐναντίως ἡ διαίρεσις αὕτη τῇ προτέρᾳ. ἡ μὲν γὰρ κατὰ τὴν κοινωνίαν ἢ διαφορὰν τῶν ὅρων διαιρουμένη· καὶ τέσσαρας ποιοῦσα συζυγίας· τήν τε ἐξ ἀμφοτέρων τῶν αὐτῶν ὅρων καὶ τὴν ἐξ ἀμφοτέρων διαφορῶν, καὶ τὰς κατὰ μὲν τὸν ἕτερον κοινωνούσας κατὰ δὲ τὸν ἕτερον διαφερούσας· καὶ τοῦτο διχῶς· ἢ κατὰ τὸν ὑποκείμενον, ἢ κατὰ τὸν κατηγορούμενον· τὰς μὲν τρεῖς ἀσυστάτους εἶχε συζυγίας· μόνη δὲ συνίστατο ἡ ἔχουσα τὰς προτάσεις κατ᾽ ἀμφοτέρους τοὺς ὅρους κοινωνούσας. ἐνταῦθα δὲ τῆς διαιρέσεως γινομένης· κατά τε τὴν τάξιν τῶν ὅρων καὶ τὴν ποιότητα, καὶ πάλιν τεσσάρων γινομένων συζυγιῶν· ἡ μὲν μία ἡ κατ᾽ ἀμφότερα κοινωνούσας ἔχουσα τὰς προτάσεις, ἥτις ἐκεῖ μόνη σύστασιν ἔχουσα, μόνη ἀσύστατός ἐστιν, ἐνταῦθα· αἱ δὲ ἄλλαι τρεῖς, αἵ περ ἐκεῖ ἦσαν ἀσύστατοι, ἐνταῦθα συνίστανται. λέγω δὴ ἡ κατὰ τὸ ἕτερον μὲν κοινωνοῦσα, κατὰ δὲ τὸ ἕτερον διαφέρουσα, καὶ τοῦτο διχῶς καὶ ἡ κατ᾽ ἀμφότερα διαφέρουσα. ὅταν τοίνυν αἱ ἀντιστρέφουσαι προτάσεις, τάξιν μὲν τῶν ὅρων τὴν αὐτὴν ἔχωσι· ποιότητα δὲ μὴ τὴν αὐτήν, λέγεται ἡ τοιαύτη ἐνδεχομένη ἀντιστροφή· διότι ἐπὶ μόνης τῆς ἐνδεχομένης ὕλης συνίσταται. οἷον τὶς ἄνθρωπος λούεται· τὶς ἄνθρωπος οὐ λούεται· τὶς ἄνθρωπος περιπατεῖ· τὶς ἄνθρωπος οὐ περιπατεῖ· ἀμφότερα γὰρ ἀληθεύει ἐπὶ μόνης τῆς ἐνδεχομένης ὕλης. ὅταν δὲ μήτε ἡ τάξις τῶν ὅρων· μήτε ἡ ποιότης ἡ αὐτὴ εἴη· ἀλλὰ διάφορος, λέγεται ἡ τοιαύτη συναντιθεῖσα ἀντιστροφή· διότι ἐν τῇ ποιότητι καὶ τὴν τάξιν τῶν ὅρων μετατίθησιν οἷον, εἰ ἄνθρωπος ζῷον· τὸ μὴ ζῷον οὐδὲ ἄνθρωπος· εἰ τὸ πῦρ ξηρόν, τὸ μὴ ξηρὸν οὐδὲ πῦρ. ὅταν δὲ ἡ μὲν ποιότης τῶν προτάσεων ἡ αὐτὴ εἴη· ἡ δὲ τάξις διάφορος, λέγεται ἡ τοιαύτη ἁπλῆ ἀντιστροφή. διότι περὶ τὸ ἁπλούστατον τῶν ἐν τῇ προτάσει· τουτέστι τοὺς ὅρους, ποιεῖται τὴν ἀντιστροφήν. οἷον πᾶς ἄνθρωπος ζῷον· τὶ ζῷον ἄνθρωπος. περὶ ἧς ἐνταῦθα ποιεῖται τὸν λόγον. ἣν καὶ ὁριζόμενοι λέγομεν οὕτως, ἁπλῆ ἀντιστροφή ἐστι, κοινωνία δύο προτάσεων κατ᾽ ἀμφοτέρους τοὺς ὅρους· τοῦ μὲν ποιοῦ τοῦ αὐτοῦ μένοντος τῆς δὲ τάξεως τῶν ὅρων ἐναλλαττομένης, μετὰ τοῦ συναληθεύειν. πρόσκειται μετὰ τοῦ συναληθεύειν, διὰ τὴν λεγομένην ἀντιστροφὴν τὰ αὐτὰ ἔχουσαν τῇ ἁπλῇ πλὴν τοῦ ψεύδεσθαι. οἷον πᾶς ἄνθρωπος ζῷον· καὶ πᾶν ζῷον ἄνθρωπος. ἔχει δὲ ὁ ὁρισμός, γένος μὲν τὸ κοινωνία δύο προτάσεων κατ᾽ ἀμφοτέρους τοὺς ὅρους· τοῦτο γὰρ πάσῃ ὑπάρχει ἀντιστροφῇ· διαφορὰς δὲ τὰ λοιπά· ὧν ἡ μὲν τοῦ ποιοῦ τοῦ αὐτοῦ μένοντος, ἀποχωρίζει τῆς συναντιθείσης· τὸ δὲ τῆς τάξεως τῶν ὅρων ἐναλλαττομένης, διακρίνει τῆς ἐνδεχομένης ἀντιστροφῆς· οὐκ ἀμείβει γὰρ ἐκείνη τὴν τάξιν· καὶ ἐκ τῆς προτέρας δὲ διαφορᾶς, οὐδὲν ἧττον διακρίνεται· οὐ φυλάττει γὰρ ποιὸν τὸ αὐτὸ ἡ ἐνδεχομένη ἀντιστροφή· τὶς ἄνθρωπος λούεται· τὶς ἄνθρωπος οὐ λούεται· τὸ δὲ μετὰ τοῦ συναληθεύειν εἴρηται πρὸς διάκρισιν τινος παραλλαγῆς. Ἄξιον δὲ ζητῆσαι διατί τῆς τῶν καθέκαστα καὶ τῆς τῶν ἀπροσδιορίστων ἀντιστροφῆς οὐκ ἐμνημόνευσε. καί φαμεν ὅτι τῶν ἀπροσδιορίστων οὐκ ἐμνήσθη· ἐπειδὴ περιέχονται ἐν ταῖς προσδιορισμέναις· ἀναλογοῦσι γὰρ ὡς ἐν τῷ περὶ ἑρμηνείας εἴρηται· ἢ ταῖς καθόλου, ἢ ταῖς μερικαῖς. τῶν δὲ καθέκαστα οὐκ ἐμνήσθη ὅτι τὴν τῶν καθόλου διδασκαλίαν μετέρχονται οἱ φιλόσοφοι, οὐ τῶν καθέκαστα διὰ τὸ ἄπειρον. τούτων ἡμῖν πρὸ τῆς τοῦ ῥητοῦ ἐξετάσεως προδιηπορημένων ἄξιόν ἐστι καὶ τὰς κατὰ τὸ ῥητὸν φερομένας ἀπορίας αὐτ

μένει ὅτι ὁ ἀὴρ λευκός ἐστι. τῇ δὲ ἀδυνάτου ἀπαγωγῇ ἐλέγξει τις, ὅτι οὐ λευκός ἐστιν, ἀλλά τι, δείξει ὅτι μέλας. οὐδ᾽ εἴ τις ὑποθεῖτο ὅτι φύσει θερμὸς ὁ ἥλιος. εἴ τις τῇ δι᾽ ἀδυνάτου δείξει ἐλέγξει ὅτι οὐ θερμὸς, οὐ πάντως ἀνάγεται ὅτι καὶ ψυχρός. ὅπως ἡ δι᾽ ἀδυνάτου δεῖξις ἐλέγχει μόνον τὴν ψευδομένην ὑπόθεσιν, οὐ μὴν καὶ τὴν ἀλήθειαν δείκνυσι χωρὶς εἰ μὴ οὕτως ἔχει ἡ ἀντίθεσις· ὥστε πάντως ἀνάγκη εἶναι τοῦ ἑτέρου ἀναιρεθέντος, τὸ λοιπὸν ἀντεισάγεσθαι. ὡς ἐπὶ περιττοῦ καὶ ἀρτίου. καὶ ὡς ἐπὶ τῆς ἀντιφάσεως καὶ τῶν ὁμοίων. ὡς ἔχει καὶ τὸ θνητὸν καὶ τὸ ἀθάνατον. ἢ ἁπλῶς τὸ ἀεὶ εἶναι ἢ μὴ εἶναι.

ΤΟ δὲ ἐν ὅλῳ εἶναι ἕτερον ἐν ἑτέρῳ, καὶ τὸ κατὰ παντὸς κατηγορεῖσθαι θατέρου θάτερον, ταὐτόν ἐστι. λέγω δὲ τὸ κατὰ παντὸς κατηγορεῖσθαι, ὅταν μηδὲν ᾖ τοῦ ὑποκειμένου λαβεῖν καθ᾽ οὗ θάτερον λεχθήσεται.

Ὅτι τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ παντός, τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστι. μόνῃ δὲ τῇ σχέσει διαφέρουσι. τοῦ γὰρ ἀνθρώπου ὑποκειμένου ὄντος, κατηγορουμένου δὲ τοῦ ζῴου, ἐν τούτοις θεωρεῖται καὶ τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ παντός. εἰ μὲν γὰρ ἀπὸ τοῦ ὑποκειμένου ἀρξώμεθα ἐπὶ τὸ κατηγορούμενον, λέγομεν ἐν ὅλῳ εἶναι τὸν ἄνθρωπον τῷ ζῴῳ, ἀντὶ τοῦ ὑπὸ ὅλου αὐτὸν περιέχεσθαι τοῦ ζῴου. εἰ δὲ ἀπὸ τοῦ κατηγορουμένου ἀρξώμεθα ἐπὶ τὸν ὑποκείμενον, ἐροῦμεν ὅτι κατὰ παντὸς λέγεται τὸ κατηγορούμενον τοῦ ὑποκειμένου.

ΚΑΙ τὸ κατὰ μηδενὸς ὡσαύτως.

Τί δέ ἐστι τὸ κατὰ παντός, καὶ κατὰ μηδενός, αὐτὸς ἐξηγεῖται καί φησι, κατὰ παντὸς μὲν εἶναι ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ᾽ οὗ οὐ κατηγορεῖται τὸ κατηγορούμενον. οἷον λέγομεν τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου κατηγορεῖσθαι. καὶ οὐκ ἔστι τις ἄνθρωπος, καθ᾽ οὗ τὸ ζῷον οὐ λεχθήσεται. καὶ τὸ κατὰ μηδενὸς ὁμοίως. λέγομεν γὰρ τὸν ἄνθρωπον κατὰ μηδενὸς λίθου ὑπάρχειν. καὶ οὐκ ἔστι τις λίθος καθ᾽ οὗ ὁ ἄνθρωπος λεχθήσεται. οὐ μόνον δὲ κατὰ σχέσιν διαφέρει τὸ ἐν ὅλῳ τοῦ κατὰ παντός, ἀλλὰ καὶ ἑτέρας διαφορᾶς. καθὸ τὸ μὲν ἐν ὅλῳ ἔλαττόν ἐστιν ἐκείνου οὗ ἐστιν ἐν ὅλῳ. οἷον, ὁ ἄνθρωπος ἐν ὅλῳ τῷ ζῴῳ ἐστί. καὶ ἔλαττόν ἐστιν ὁ ἄνθρωπος τοῦ ζῴου. τὸ δὲ κατὰ παντὸς ἢ ἐπὶ πλεῖον ἐστὶν ἐκείνου καθ᾽ οὗ λέγεται ἢ ἐπίσης. καὶ ἐπὶ πλεῖον μὲν ὡς ὅταν γένος ᾖ τὸ κατηγορούμενον. ἐπίσης δὲ ὡς ἴδιον. οἷον, τὸ ζῷον κατηγορεῖται τοῦ ἀνθρώπου ὡς γένος. καὶ ἐπὶ πλεῖον τοῦ ἀνθρώπου τὸ ζῷον. πάλιν τὸ ἴδιον κατηγορεῖται τοῦ ἀνθρώπου. ὡς τὸ γελαστικὸν καὶ ἐξισάζει αὐτῷ. ὥστε καλῶς εἴρηται. ὅτι τὸ μὲν ἐν ὅλῳ ἐπ᾽ ἔλαττόν ἐστι. τὸ δὲ κατὰ παντός, ἢ ἐπὶ πλεῖον ἢ ἐπίσης.


ΕΠΕΙ δὲ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν. τούτων δέ, αἱ μὲν καταφατικαί, αἱ δὲ ἀποφατικαί, καθ᾽ ἑκάστην πρόσρησιν. πάλιν τῶν καταφατικῶν καὶ ἀποφατικῶν, αἱ μὲν εἰσι, καθόλου. αἱ δέ, ἐν μέρει. αἱ δέ, ἀδιόριστοι.

Τέλος ἔχει τὰ ἐξ ἀρχῆς αὐτῷ προτεθέντα. ἔρχεται δὲ λοιπὸν ἐς τὴν διδασκαλίαν τῆς τῶν συλλογισμῶν γενέσεως. ἀλλ᾽ ἐπειδὴ καὶ τῶν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμῶν, διὰ τῆς τῶν προτάσεων ἀντιστροφῆς τὸ ἀναγκαῖον ἀποδείκνυται. ὡς ἀρτίως ἐλέγομεν. διατοῦτο πρότερον βούλεται τὰ περὶ ἀντιστροφῆς διδάξαι. ἵνα μὴ ἐκεῖσε γενόμενος ἀναγκασθῇ τὸν λόγον διακόψαι. δεῖ διδάσκειν ἡμᾶς τί ποτέ ἐστιν ἀντιστροφή, ποσαχῶς λέγεται. καὶ περὶ ποίας ἀντιστροφῆς ἐνταῦθα διαλέγεται. καὶ ἔτι ἐν πόσοις θεωρεῖται ἡ ἀντιστροφή, καὶ τούτοις πῶς ἔχουσι πρὸς ἄλληλα. λέγομεν οὖν πρὸς τὸ πρῶτον, ὅτι ἀντιστροφή ἐστιν ἰσοστροφή τις. τὸ γὰρ ἀντὶ ὡς ἐν ἑτέροις πολλάκις εἴρηται, τὸ ἴσον σημαίνει παρὰ τοῖς παλαιοῖς, ὡς ἐν τῷ ἀντιάνειρα. καὶ ἀντίθεος, καὶ ἐν τῷ ἔθει τὸ ἀντίχειρ. τὸ δὲ ἴσον τινί ἐστιν, ἴσον, τῶν πρός τι γάρ ἐστι. τὰ δὲ πρός τι, τοὐλάχιστον ἐν δυσὶ πράγμασι θεωρεῖται. ὥστε τὰ ἀντιστρέφοντα τοὐλάχιστον, δύο τυγχάνει. ἓν γὰρ οὐκ ἂν λέγοιτο ἀντιστρέφειν. ἔχεις οὖν καὶ ἐν πόσοις ἡ ἀντιστροφή, καὶ τί ἐστι. λείπεται δὲ διδάξαι ἐν τίσιν ἐστὶ καὶ ποσαχῶς λέγεται, πᾶσα οὖν ἀντιστροφὴ ἢ ὅρων ἐστὶν ἢ προτάσεων, ἢ συλλογισμῶν. τριχῶς ἄρα λέγεται. καὶ ἐν τίσιν ἔγνωμεν ὅτι ἢ ἐν ὅροις ἢ ἐν προτάσεσιν. ἢ ἐν συλλογισμοῖς. περὶ μὲν οὖν τῆς ἐν τοῖς ὅροις ἀντιστροφῆς διείλεκται ἐν κατηγορίαις. ἐνθα περὶ τῶν πρός τι διελέγετο ὅτι ὁ φίλος φίλου φίλος ἐστί. καὶ ὁ ἐχθρὸς ἐχθροῦ ἐστιν ἐχθρός. περὶ δὲ τῆς ἐν συλλογισμοῖς ἀντιστροφῆς. ἐν τῷ δευτέρῳ τῶν ἀναλυτικῶν βιβλίῳ διδάσκει. λέγω δὲ τῷ μετὰ τοῦτο. δεῖ γὰρ εἰδέναι πρῶτον τί ἐστι συλλογισμὸς ἵν᾽ οὕτω μάθωμεν πῶς ἀντιστρέφει. ἀντιστρέφειν δὲ λέγονται συλλογισμοί. ὅταν τὸ συμπέρασμα λαβόντες καὶ προσθέντες τὴν μείζονα τῶν προτάσεων κατασκευάσωμεν τὴν ἐλάττονα. οἷόν ἐστι συλλογισμὸς ὁ λέγων ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον, ἀεικίνητον. τὸ ἀεικίνητον, ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. ἔχομεν οὖν τὸ συμπέρασμα ὅτι ἡ ψυχὴ ἀθάνατος. τοῦτο λαβόντες καὶ ποιήσαντες ἐλάττονα πρότασιν. εἶτα προσθέντες τὰς λοιπὰς συμπέρασμα τὴν ἐλάττονα πρότασιν ποιοῦμεν οὕτως. ἡ ψυχὴ ἀθάνατος. τὸ ἀθάνατον ἀεικίνητον. τὸ ἀεικίνητον αὐτοκίνητον. ἡ ψυχὴ ἄρα αὐτοκίνητος. ἐνδέχεται δὲ καὶ τὴν ἐλάττονα πρότασιν, τῷ συμπεράσματι συμπλέξαντα. συμπέρασμα ποιῆσαι τὴν ἐν τῷ προτέρῳ συλλογισμῷ μείζονα. οἷον ἡ ψυχὴ ἀθάνατος τὸ ἀθάνατον αὐτοκίνητον. τὸ αὐτοκίνητον ἀεικίνητον. ἡ ψυχὴ ἄρα ἀεικίνητος. περὶ δὲ τῆς ἐν προτάσεσιν ἀντιστροφῆς, ἐνταῦθα διαλέξεται. οὐ μὴν περὶ πάσης. τῆς γὰρ ἀντιστροφῆς, περὶ δύο προτάσεις θεωρουμένης τοὐλάχιστον ὡς προείρηται. ἑκάστης δὲ προτάσεως δύο ὅρους ἐχούσης, τόν τε κατηγορούμενον καὶ τὸν ὑποκείμενον.

τὸ α΄ ἄρα τῷ γ΄ ἴσον. πάλιν γὰρ κἀνταῦθα ἐξ ἀνάγκης μὲν συνάγεται τὸ συμπέρασμα, οὐ μὴν διὰ τῶν κειμένων. λείπεται γὰρ πάλιν πρότασις, τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα.


» ΤΕΛΕΙΟΝ μὲν οὖν καλῶ συλλογισμὸν, τὸν μηδενὸς ἄλλου προσδεόμενον παρὰ τὰ εἰλημμένα
» πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον.

Δ ἔξεστι μὲν οὖν ἴσως τὸν τέλειον καὶ ἁπλῶς συλλογισμὸν ἤδη παραδεδωκέναι. ὅτε ἔλεγε τὸ ταῦτα εἶναι. οὐκ ἔστι δὲ τοῦτο ἀληθές. τὸν γὰρ ἔξωθεν ὅρου τινὸς προσδεόμενον, οἷον ὃν πρὸ μικροῦ προεθήκαμεν, οὐδὲ συλλογισμὸν ἀξιοῖ καλεῖν. τὸν δὲ ἁπλῶς συλλογισμὸν καλεῖ. τέλειος μὲν οὖν συλλογισμὸς, οὗ τὸ συμπέρασμα παντὸς δεῖν ἐπιγνῶναι. ὡς εἴ τις, τὸ δίκαιον, καλόν. τὸ καλὸν, ἀγαθόν. ἐνταῦθα γὰρ παντός ἐστιν ἐπιγνῶναι τὸ ἄρα δίκαιον ἀγαθόν. ἁπλῶς δὲ οὗ τὸ συμπέρασμα μόνον ἐστὶ τῶν ἐπιστημόνων ἐπιγνῶναι, οἷον πᾶς ἄνθρωπος οὐσία. πᾶς ἄνθρωπος ζῷον. ζῷον ... τούτου τὸ συμπέρασμα. τὸ, τὶς ἄρα οὐσία ζῷον. καὶ ὅτι τοῦτο ἐστὶ ῥᾴδιον φανῆναι διὰ τῆς ἀντιστροφῆς. ἐὰν γὰρ ἀντιστρέψωμεν καὶ οὕτως εἴπωμεν. τὶς οὐσία ἄνθρωπός ἐστι, πᾶς ἄνθρωπος ζῷόν ἐστι. δῆλον ὅτι συνάγεται. τὶς ἄρα οὐσία ζῷόν ἐστι. διὸ καλῶς εἶπε πρὸς τὸ φανῆναι καὶ οὐ πρὸς τὸ γενέσθαι. οἱ μὲν γὰρ τέλειοι συλλογισμοὶ, τὸ ἀναγκαῖον ἔχουσι καὶ τοῦτο φαινόμενον. οἱ δὲ ἀτελεῖς, ὁποῖοί εἰσι πάντες οἱ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι. ἔχουσι μὲν τὸ ἀναγκαῖον. οὐ μὴν προφανές. ἀλλ' ἐπιστήμονος δεῖ ἵνα τὸ ἐκ τῶν προτάσεων εἰλημμένον ἀναγκαῖον. μὴ φαινόμενον δὲ, εἰς τὸ ἐμφανὲς ἀγάγοι διὰ τῶν ἀντιστροφῶν.



» ΑΤΕΛΗ δὲ, τὸν προσδεόμενον ἢ ἑνὸς ἢ πλειόνων. ἃ ἔστι μὲν ἀναγκαῖα, διὰ τῶν ὑποκειμένων
» ὅρων. οὐ μὴν εἴληπται διὰ προτάσεων.

Η ἑνὸς ἢ πλειόνων, οὐχ ὅρων λέγει. οὐδὲ γὰρ ἀξιοῖ ὥσπερ εἴρηται τοὺς δεομένους ἔξωθέν τινος ὅρου, καλεῖν συλλογισμούς. ἀλλ' ἀρσενικαῖς φωναῖς ἐχρήσατο ἀντὶ θηλυκῶν. ὀφείλων εἰπεῖν ἢ μιᾶς ἢ πλειόνων τῶν τῆς ἀντιστροφῆς. προσθεὶς δὲ ἃ ἔστι διὰ τῶν ὑποκειμένων ὅρων ἐσήμανε τὸ γινόμενον χρήσιμον ἐκ τῆς ἀντιστροφῆς. ὅτι τὸ ἐν τῷ συλλογισμῷ κρυπτόμενον ἀναγκαῖον ἐκφαίνουσιν. εἰπὼν δὲ διὰ τῶν ὑποκειμένων ὅρων. ἐσήμανεν ὅτι οὐκ ἐπίκτητον γίνεται. οὐδὲ ἔξωθεν τῶν τοιούτων συλλογισμῶν τὸ ἀναγκαῖον, ἀλλὰ διὰ τῶν ὑποκειμένων προτάσεων. τὸ δὲ οὐ μὴν εἴληπται διὰ προτάσεων, ἀντὶ τοῦ οὐκ ἦν περιληφθεὶς ὁ λόγος τῆς ἀντιστροφῆς, διὰ τῶν προτάσεων. ἀλλὰ δέονται αἱ προτάσεις τὴν τάξιν ἀμεῖψαι. ἵνα τὸ ἐν αὐταῖς δείξωσιν ἀναγκαῖον. Ἀποροῦσι δέ τινες, πῶς ὁ Ἀριστοτέλης μὴ προσδεχόμενος τοὺς συλλογισμοὺς τοὺς ἔξωθέν τι προσλαμβάνοντας οἷον ὅρον ἢ πρότασιν, ἀποδέχεται τοὺς δι' ἀδυνάτου δείξεις καὶ συλλογισμοὺς αὐτοὺς καλεῖ. καίτοι προσδεχομένους ἔξωθέν τινα. ὅτι δὲ παραδέχονται, οὖν ἴδωμεν. βούλομαι συλλογίσασθαι ὅτι οὐδὲν φυτὸν αἴσθησιν ἔχει. ἐπ' εὐθείας μὲν οὖν συλλογιζόμεθα. οὕτω φήσαιμεν ἄν. οὐδὲν φυτὸν μεταβατικὴν κινεῖται κίνησιν. πᾶν τὸ αἴσθησιν ἔχον μεταβατικὴν κινεῖται κίνησιν. οὐδὲν



ἄρα φυτὸν αἴσθησιν ἔχει. οὕτως μὲν οὖν ἔξωθεν ὁ συλλογισμὸς οὐδὲν προσλαμβάνει εἰς τὸ δειχθῆναι τὸ ἀναγκαῖον. ὁ μέντοι δι' ἀδυνάτου προσλαμβάνει. δείκνυμι γὰρ δι' ἀδυνάτου. τοῦτο αὐτὸ τὸν τρόπον τοῦτον. εἰ γὰρ μὴ ἔστιν ἀληθὲς τὸ μηδὲν φυτὸν αἴσθησιν ἔχειν, ἀληθὲς ἄρα τὸ ἔχειν. ἐπεὶ οὖν πᾶν φυτὸν αἴσθησιν ἔχει ὡς ἡ ὑπόθεσις. πᾶν δὲ τὸ αἴσθησιν ἔχον μεταβατικὴν κινεῖται κίνησιν, πᾶν ἄρα φυτὸν μεταβατικὴν ἔχει κίνησιν ὅπερ ἐστὶν ἀδύνατον. τὸ δὲ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποθέσθαι τὸ φυτὸν αἴσθησιν ἔχειν. ψεῦδος ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ μὴ ἔχειν. ὁρᾷς οὖν ὡς εἰς τὸ δειχθῆναι. ὅτι οὐδὲν φυτὸν αἴσθησιν ἔχει. εἴληπται ἔξωθέν τινα. λέγω δὴ τὸ τούτων ἀντικείμενον τὸ αἴσθησιν ἔχειν. καὶ τὸ συμπέρασμα τὸ τούτων ἀκολουθῆσαν. τὸ μεταβατικὴν κινεῖσθαι κίνησιν. ἢ καὶ οὕτως, δεῖξαι βουλόμενος ὅτι ἡ ψυχὴ ἀθάνατος. ἐπ' εὐθείας μὲν δείξομεν οὕτως. ὅτι ἡ ψυχὴ αὐτοκίνητος. τοῦτο δὲ ἀεικίνητον. τοῦτο δὲ ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. τῇ δὲ δι' ἀδυνάτου οὕτως. εἰ μὴ ἀθάνατος ἡ ψυχὴ ἡ ἡμετέρα, θνητὴ ἄρα. εἰ οὖν θνητὴ, οὐ τεύξεται τῆς κατ' ἀξίαν. ἐνταῦθα γὰρ οὐ τυγχάνει. εἰ δὲ οὐ τυγχάνει τῆς κατ' ἀξίαν, ἀνῄρηται πρόνοια. ὅπερ ἄτοπον. ὁρᾷς οὖν πόσα ἔξωθεν εἴληπται. τό τε θνητὴν εἶναι. τό τε μὴ τυγχάνειν τῆς κατ' ἀξίαν. καὶ τὸ ἀνῃρῆσθαι πρόνοιαν. ἵνα τὸ αἴτιον τῆς εἰς τὸ ἄτοπον ἀπαγωγῆς ἀνέλωμεν. λέγω δὴ τὸ θνητὴν εἶναι τὴν ψυχήν. τούτου δὲ ἀναιρεθέντος, λείπεται εἶναι ἀθάνατον. φημὶ πρὸς ταύτην τὴν ἀπορίαν. ὅτι τὰ ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ παραλαμβανόμενα ἔξωθεν. οὐ συνεκτικά ἐστι τοῦ συλλογισμοῦ τοῦ κατασκευάζοντος τὸ προκείμενον. ὥσπερ οὖν τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον. ἀλλὰ τῆς ἀτόπου ὑποθέσεως ἐλεγκτικά. λέγω δὴ τοῦ ὅτι θνητή. ἧς ἀναιρεθείσης ἐπειδὴ μηδὲν μέσον θνητοῦ καὶ ἀθανάτου. ἀκολούθως τὸ ἀθάνατον εἰσάγεται. οὐ συναχθὲν ἐκ τῶν ληφθέντων. ἀλλὰ τῇ ἀναιρέσει τοῦ ἀντικειμένου συνεισιόμενον, διὰ τὸ μηδὲν εἶναι μεταξύ. ἐπεί τοι ἐφ' ὧν ἐστι τὸ μεταξὺ, οἷον, ὡς ἐπὶ θερμοῦ καὶ ψυχροῦ καὶ λευκοῦ καὶ μέλανος. κἂν τὸ ἕτερον ἀνέλῃ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ, οὐ πάντως καὶ τὸ ἀντικείμενον εἰσάγεται. ἀ γαρ τινος ὑποθε


ἀσαφὲς, ἐκ τοῦ ἀσαφοῦς. ἢ τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς, ἢ τὸ ἀσαφὲς ἐκ τοῦ σαφοῦς. αἱ μὲν οὖν δύο πρῶται συζυγίαι, ἀσυλλόγιστοί εἰσι· κατὰ δὲ τὰς ὑστέρας, γίνονται αἱ ἀποδείξεις. τὸ γὰρ σαφὲς ἐκ τοῦ ἀσαφοῦς, χεῖρον ἂν εἴη τὰς πίστεις. ἢ τοίνυν ἀσαφὲς μὲν τὸ συμπέρασμα· τοῦτο γὰρ δεῖξαι βουλόμεθα. σαφεῖς δὲ αἱ προτάσεις. ἐξ ὧν καὶ τὸ συμπέρασμα τὸ πιστὸν ἔχει. ἕτερον δὲ τὸ ἀσαφὲς τοῦ σαφοῦς, ἕτερον δήπου καὶ τῶν προτάσεων τὸ συμπέρασμα. τὸ δὲ τὶ ἔγκειται τῷ ὁρισμῷ διὰ τὰς ἀσυλλογίστους συζυγίας. τὸ μὲν γάρ τι ὡρισμένον δηλοῖ· αὗται δὲ, οὐδὲν ὡρισμένον συνάγουσιν, ἀλλ' ἀεὶ καὶ τὸ καθόλου καὶ τὸ μερικόν. καὶ τὸ καταφατικὸν καὶ ἀποφατικὸν αὗται συνάγουσιν· ὡς ἐφεξῆς μαθησόμεθα. τὸ δὲ ἐξ ἀνάγκης, οὐ τοῦτό φησιν ὅτι ἀναγκαίας ὕλης, συνάγεται τὸ συμπέρασμα· συνάγεται γὰρ καὶ ἐπὶ τῶν ἄλλων ὑλῶν ἀναγκαῖα συμπεράσματα. ἀλλὰ τὸ ἐξ ἀνάγκης προσέθηκε· διά τε τοὺς παραδειγματικοὺς, καὶ ἐπαγωγικοὺς καλουμένους συλλογισμοὺς, οἵτινες τὸ ἐξ ἀνάγκης οὐκ ἔχουσι. καθόλου γὰρ πᾶσα πίστις, ἢ τὸ ἴσον ἐκ τοῦ ἴσου πιστοῦται, ἢ ἐκ τοῦ μείζονος τὸ ἔλαττον, ἢ ἐκ τοῦ ἐλάττονος τὸ μεῖζον. ἡ μὲν οὖν παραδειγματικὴ πίστις, τὸ ἴσον ἐκ τοῦ ἴσου πιστοῦται. οἷον, ὁ δεῖνα πλεύσας ἐναυάγησε, καὶ σὺ εἰ πλεύσειας, τὸ αὐτὸ πάσῃ. ὁ δεῖνα νύκτωρ ὁδεύσας, περιέπεσε λῃσταῖς· καὶ σὺ εἰ νύκτωρ ὁδεύσειας, περιπέσῃς λῃσταῖς. ἣ τὸ ἐξ ἀνάγκης οὐκ ἔχει· κέχρηνται δὲ τούτῳ οἱ ῥήτορες. ἡ δὲ ἐπαγωγικὴ πίστις, τὸ μεῖζον ἐκ τοῦ ἐλάττονος πιστοῦται. οἷον, ἐπειδὴ καὶ τόδε καὶ τόδε τὴν κάτω γένυν κινεῖ ζῷον· καὶ πᾶν ἄρα ζῷον, τὴν κάτω γένυν κινεῖ. οὐδὲ αὕτη ἡ δεῖξις ἔχει τὸ βέβαιον. πρῶτον μὲν ὅτι χαλεπὸν πάντα τὰ κατὰ μέρος διεξελθεῖν. ἔπειτα οὐδὲ κατασκευάσαι ὅτι κροκόδειλος τὴν κάτω γένυν κινεῖ. δύναται τὰ κατὰ μέρος διεξιὼν καὶ αὐτὸν διεξελθεῖν ἢ μή. καὶ εἰ μὲν διεξέλθοι τὸ ζητούμενον ὡς ὁμολογούμενον λήψεται. εἰ δὲ μὴ, οὐ κατασκευάσει τὸ καθόλου. πρὸς γὰρ τὴν τοῦ καθόλου ἀνασκευὴν ἀρκεῖ καὶ ἓν παράδειγμα μόνον. πρὸς δὲ τὴν κατασκευὴν τοῦ καθόλου, οὐδὲ μυρία ἀρκεῖ παραδείγματα. ἡ δέ γε ἀποδεικτικὴ δεῖξις αὕτη ἐστίν. ἡ ἐκ τοῦ καθόλου τὸ μέρος πιστουμένη ᾗ ἕπεται πάντως τὸ ἐξ ἀνάγκης. τὸ δὲ συμβαίνει, διὰ τὴν ἀναγκαίαν ὕλην παρείληφεν· ἵνα μή τις νομίσῃ τῇ ἀναγκαίᾳ τῆς ὕλης ἕπεσθαι τὸ συμπέρασμα μόνον. δῆλον ὡς ἄν τε ἀδύνατοι ὦσιν αἱ προτάσεις, ἄν τε ἐνδεχόμεναι, συμβαίνει πάντως ἀκολουθεῖν τὸ συμπέρασμα. τὸ δὲ τῷ ταῦτα εἶναί φησι διὰ τὰ ἀκολουθοῦντα συμπεράσματα, μὴ τῷ λόγῳ τῶν τιθεμένων προτάσεων, ὡς εἴ τις εἴποι· ἡ ψυχὴ αὐτοκίνητος· τὸ αὐτοκίνητον, ἀεικίνητον· ἡ ψυχὴ ἄρα ἀθάνατος. οὐ γὰρ διὰ τὰς εἰρημένας προτάσεις τοῦτο ἕπεται τὸ συμπέρασμα· ἀλλ' ἡ ψυχὴ ἄρα ἀεικίνητος. ὅτι γὰρ τοῦτο
10 βούλεται διὰ τοῦ εἰπεῖν τῷ ταῦτα εἶναι, ἑαυτὸν ἐπήγαγε.

λέγω γάρ φησι τῷ ταῦτα εἶναι, τὸ διὰ ταῦτα συμβαίνειν. τοῦτο δέ ἐστι τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν, πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. ἐν γὰρ τῷ συλλογισμῷ τῷ λέγοντι· ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀθάνατος, οὐκ ἔστιν ἐν τῷ συμπεράσματι τὸ ἀναγκαῖον· εἰ μὴ προστεθείη ἔξωθεν καὶ ὅρος καὶ πρότασις. εἰ γὰρ τὸ αὐτοκίνητον ἀεικίνητον, οὔπω δῆλον ὅτι ἡ ψυχὴ ἀθάνατος. ἀλλ' ἐὰν προστεθῇ τοῖς ἐξ ἀρχῆς τὸ ἀθάνατον καὶ πρότασις· ἡ λέγουσα τὸ ἀεικίνητον ἀθάνατον· τότε ἐκ τῶν κειμένων ἔχει τὸ συμπέρασμα τὸ ἀναγκαῖον. εἰπὼν δὲ τῷ ταῦτα εἶναι· ἐπειδὴ συνεῖδεν ὡς οὐκ ἔστι σαφὲς τὸ λεγόμενον, ἐξηγούμενος ἑαυτὸν ἐπήγαγε τὸ διὰ ταῦτα συμβαίνειν. πάλιν δὲ αὐτὸ τοῦτο ἔτι ἀσαφὲς εἶναι δοκεῖ. ἡ γὰρ διὰ πρόθεσις, πολλάκις αἰτίαν δηλοῖ. ὁ δὲ συλλογισμὸς, οὐ πάντως ἐξ αἰτιῶν περαίνεται. τοῦτο γὰρ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ ἐστὶν ἴδιον. αἴτιαι γάρ εἰσιν αἱ προτάσεις τοῦ συμπεράσματος. οὐ μὴν οἱ ἐν τῇ προτάσει παραλαμβανόμενοι ὅροι αἴτιοι πάντως εἰσὶ τοῦ δηλουμένου πράγματος ἐν τῷ συμπεράσματι. δυνατὸν γὰρ ἐκ τῶν ὑστέρων τὰ πρότερα συλλογίζεσθαι. ὥσπερ ἐκ τοῦ γάλα ἔχειν τὸ τετοκέναι. καὶ ἐκ τοῦ καπνοῦ τὸ πῦρ εἶναι. καὶ ἐκ τῶν τῆς σελήνης φωτισμῶν τὸ εἶναι αὐτὴν σφαιροειδῆ. καίτοι αἴτιον τοῦ γάλα ἔχειν τὸ τετοκέναι, καὶ τοῦ καπνοῦ τὸ πῦρ. καὶ τῶν φωτισμῶν τῆς σελήνης, τὸ σφαιροειδὲς αὐτῆς σχῆμα. ἀλλ' ὅτι ποιεῖ σαφέστερα ἢ τὰ αἰτιατὰ τῶν αἰτίων, ἐκ τῶν αἰτίων τὰ αἰτιατὰ συλλογιζόμεθα. ἐπειδὴ τοίνυν ἡ μὲν διὰ πρόθεσις καὶ αἰτίαν ἔσθ' ὅτε σημαίνει. ὡς ὅταν εἴπω διὰ τὸν τέκτονα ἡ θύρα. οὐ πάντως δὲ τὰ ἐν ταῖς προτάσεσι σημαινόμενα, αἴτιά ἐστι τοῦ τοῦ συμπεράσματος σημαινομένου. ἵνα μὴ τοῦτο ὑπονοήσωμεν· τὸν γὰρ καθόλου συλλογισμὸν καὶ οὐ τὸν ἀποδεικτικὸν σκοποῦμεν, ἐξηγούμεθα τὸ διὰ ταῦτα συμβαίνειν φησί. τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖσθαι πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. τουτέστι τὸ αὐτάρκεις εἶναι τοὺς κειμένους ὅρους καὶ τὰς ἐξ αὐτῶν συγκειμένας προτάσεις εἰς τὸ γενέσθαι τὸ συμπέρασμα. διὰ τῆς προσθήκης οὖν ταύτης ἐκβάλλει τοὺς [illegible] τῶν συλλογισμῶν· λείποντας ὅροις τισὶ καὶ προτάσεσιν. ἀλλ' οὖν ἤτοι καὶ οἱ μονολήμματοι πάλιν ἐκβληθήσονται καὶ διὰ ταύτης τῆς προσθήκης. δέονται γὰρ καὶ αὐτοὶ τῆς μείζονος προτάσεως, ὡς ἐδείξαμεν. καὶ ἔτι οἱ σύνθετοι μὲν, λείπονται δὲ ὅροι καὶ προτάσεις. ὥσπερ ὃν ἤδη εἴπομεν· ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀθάνατος. λείπεται γὰρ τὸ ἀεικίνητον, ἀθάνατον. πρὸς τούτοις καὶ οἱ ἀμέθοδοι, πάλιν τοῖς στωϊκοῖς περαίνονται. οἷον, εἰ οὕτω τις λέγοι· τὸ πρῶτον, τοῦ δευτέρου μεῖζον· τὸ δεύτερον, τοῦ τρίτου μεῖζον· τὸ ἄρα πρῶτον, τοῦ τρίτου μεῖζον. τοῦτο γὰρ ἐξ ἀνάγκης ἕπεται. οὐ μὴν διὰ τῶν κειμένων εἰ μὴ ἔξωθεν ἄλλη προσληφθείη πρότασις· ὅτι τὸ τινὸς μείζονος καὶ τοῦ ἐλάττονος ἐκείνου μεῖζόν ἐστι. καὶ πάλιν τὸ α τῷ β ἴσον· τὸ γ τῷ β ἴσον·

ἀόριστος, οὕτω καὶ ἐν ταῖς μετὰ τρόπου προτάσεσι. τῷ τρόπῳ συνταττομένου τοῦ ἀρνητικοῦ μορίου αἱ ἀποφάσεις ἐγίνοντο. εἰ δὲ τῷ κατηγορουμένῳ συνετάχθη, ἐκ μεταθέσεως ἐποίει καταφάσεις ὡς ἐν τῷ περὶ ἑρμηνείας δέδεικται. τοῦτο οὖν ἐστιν ὅ φησιν ὅτι ἰσοδυναμεῖ τῷ ἐστιν ὁ τρόπος. ὥσπερ γὰρ τὸ ἐστιν ὡς αὐ προσκατηγορεῖται καταφάσει ποιεῖ. οἷον ἀνθρωπος ζῷόν ἐστιν, οὕτω καὶ ὁ τρόπος. ἐνδέχεται τὸν ἄνθρωπον φιλόσοφον εἶναι καὶ ἐνδέχεται μὴ εἶναι κατηγορεῖται γὰρ αὐτοῦ τὸ ἐνδέχεσθαι. διὰ δὲ τοῦ ἀεὶ, σημαίνει αὐτῷ τὸ κατὰ πάντα τὸν χρόνον τοὺς λόγους ἀληθεύειν. τὸ δὲ πάντως, τὸ ἐπὶ πάσης ὕλης. καὶ δὲ τὰς ἀντιστροφὰς ὁμοίως ἕξουσι ταῖς ἄλλαις. ποίαις ἄλλαις; ταῖς καταφατικαῖς τῶν ἁπλῶν δηλονότι. πρὸς γὰρ τὴν μερικὴν καταφατικὴν βούλεται καὶ ταύτας ἀντιστρέφειν ὡς ἐν τοῖς ἑξῆς δείξει. εἰ γὰρ ἐνδέχεται μηδένα ἄνθρωπον περιπατεῖν. ἐνδέχεταί τι περιπατοῦν ἄνθρωπον εἶναι. περιπατεῖ γὰρ καὶ ἵππος καὶ κύων καὶ ἄλλα μυρία. καὶ οὐκ ἔστιν ἀληθὲς τὸ λέγειν ἐνδέχεσθαι ἐν ταύταις μὴ εἶναι καὶ ἄνθρωπον. καὶ οὐκ ἐνδέχεται ὡς ἤδη εἴπομεν. ὃ γὰρ ἐνδέχεται μὴ εἶναί τι, τοῦτο καὶ εἶναι ἐνδέχεται τὸ αὐτό. οὕτω μὲν οὖν αὗται. ἐὰν δὲ τὰς ὄντως ἀποφάσεις τῶν ἐνδεχομένων λάβωμεν. λέγω δὲ τὰς αὐτὸν τὸν τρόπον ἀναιρούσας τε καθόλου φημὶ. εὑρήσομεν αὐτὰς τὴν ἀντιστροφὴν πρὸς ἑαυτὰς ποιουμένας. εἰ γὰρ οὐκ ἐνδέχεται τινὰ ἄνθρωπον ἵπτασθαι. οὐκ ἐνδέχεται οὐδὲ ἱπτάμενόν τι ἄνθρωπον εἶναι. ἰσοδυναμεῖ γὰρ ἡ οὐκ ἐνδέχεται τινὰ ἄνθρωπον ἵπτασθαι, τῇ ἀνάγκη μηδένα ἄνθρωπον ἵπτασθαι. τῆς οὖν δευτέρας ἀντιστρεφούσης πρὸς ἑαυτὴν, καὶ ἡ πρώτη ἀντιστρέψει. πάλιν δὲ καὶ ἡ μερικὴ ἀποφατικὴ, ἡ οὐκ ἐνδέχεται πᾶν ζῷον γελαστικὸν εἶναι. ἐπειδὴ ἡ αὐτή ἐστι τῇ ἀνάγκη μὴ πᾶν ζῷον γελαστικὸν εἶναι. ἀορίστου δειχθείσης τῆς δευτέρας, καὶ ἡ πρώτη ἔσται ἀόριστος κατὰ τὴν ἀντιστροφήν.

ΔΙΩΡΙΣΜΕΝΩΝ δὲ τούτων, λέγωμεν ἤδη διὰ τίνων, καὶ πότε, καὶ πῶς γίνεται πᾶς συλλογισμός. ὕστερον δὲ λεκτέον περὶ ἀποδείξεως.

Λ οιπὸν εἰς τὸν περὶ συλλογισμῶν ἐμβάλλει λόγον. δεῖ δὲ ἡμᾶς πρὶν εἰς τὴν ἐξήγησιν τῆς ῥητοῦ ἐμβάλλειν, τινὰ προλαβεῖν. ἐπειδὴ τοίνυν περὶ συλλογισμοῦ αὐτῷ ἐστι λόγος ὁ δὲ συλλογισμὸς, συλλογή ἐστι πλειόνων λόγων. δῆλον ὅτι ἐκ μιᾶς εἶναι προτάσεως, ἀδύνατον τὸν συλλογισμόν. ὅτι γὰρ συλλογή ἐστι πλειόνων λόγων. αὐτό τε τὸ ὄνομα αὐτοῦ δηλοῖ. καὶ ὁ παρὰ τοῦ ἀριστοτέλους ἀποδιδόμενος αὐτοῦ ὁρισμός. εἰ δὲ τοῦτό ἐστιν ἀληθὲς, ἀνάγκη τὸν συλλογισμὸν τοὐλάχιστον ἐκ δύο προτάσεων εἶναι. ταύτας δὲ τὰς δύο προτάσεις ἀνάγκη ἢ κατ᾽ ἀμφοτέρους τοὺς ὅρους κοινωνεῖν. ἢ κατ᾽ ἀμφοτέρους διαφέρειν. ἢ καθ᾽ ἕτερον μὲν κοινωνεῖν. καθ᾽ ἕτερον δὲ διαφέρειν. καὶ οὐκ ἔστιν παρὰ ταῦτα. εἰ μὲν κατ᾽ ἀμφοτέρους τοὺς ὅρους κοινωνοῖεν, μονολήμματος ὑπάρχει ὁ συλλογισμὸς, καὶ οὐ γίνεται ἕτερον τῶν προτάσεων τὸ συμπέρασμα. ὅπερ ὁ τοῦ συλλογισμοῦ ὅρος βούλεται. συλλογισμὸς γάρ ἐστι ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει. ἀλλ᾽ οὐδὲ εἰ κατ᾽ ἀμφοτέρους τοὺς ὅρους διαφέρουσιν αἱ προτάσεις. ἔσται συλλογισμὸς, ἐπεὶ οὐδὲ συμπεραίνονταί τι αἱ προτάσεις μηδενὸς ὄντος κοινοῦ ὅρου τοῦ τὰ ἄκρα συνδέοντος. λείπεται οὖν καθ᾽ ἕτερον τῶν ὅρων διαφέρειν καθ᾽ ἕτερον δὲ κοινωνεῖν τὰς ἐν συλλογισμῷ παραλαμβανομένας προτάσεις. ὥστε οὖν πᾶς συλλογισμὸς ἐκ τριῶν ὅρων σύγκειται, τῶν τε δύο ἄκρων καὶ τοῦ μέσου. ὅς ἐστι κοινὸς τῶν δύο προτάσεων. διὰ τοῦτο μέσος καλούμενος διὰ τὸ τοὺς λοιποὺς ὅρους κεχωρισμένους ἀπ᾽ ἀλλήλων διὰ τοῦ μέσου συνάπτειν. τοῦτον οὖν τὸν μέσον ὅρον ἀνάγκη ἤτοι ἐν μὲν τῇ ἑτέρᾳ τῶν προτάσεων ὑποκεῖσθαι. ἐν δὲ τῇ ἑτέρᾳ κατηγορεῖσθαι. ἢ ἐν ἀμφοτέραις κατηγορεῖσθαι. ἢ ἐν ἀμφοτέραις ὑποκεῖσθαι. κἀντεῦθεν ἡμῖν ἡ διαφορὰ τῶν τριῶν ἀναφαίνεται σχημάτων. ὅταν μὲν γὰρ ὁ μέσος ὅρος τῷ μὲν ὑπόκειται τῶν ἄκρων, τοῦ δὲ κατηγορεῖται γίνεται τὸ πρῶτον σχῆμα. τὸ δὲ δεύτερον ὅταν ὁ μέσος ὅρος ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται. τὸ δὲ τρίτον, ὅταν ὁ μέσος ὅρος ἀμφοτέροις τοῖς ἄκροις ὑπόκειται. αἰτία δὲ τῆς εἰρημένης τάξεως τῶν σχημάτων αὕτη. ἐπεὶ γὰρ κατὰ τὴν διάφορον τοῦ μέσου πρὸς τοὺς ἄκρους σύνθεσιν τὴν τῶν σχημάτων θέσιν ἀναγκαῖον ἐπινοεῖν. Ἰστέον ὅτι ὁ μέσος τότε ἐστὶ κυρίως μέσος καὶ τὴν ἑαυτοῦ σώζει προσηγορίαν τε καὶ τάξιν, ὅταν τῷ μὲν ἑτέρῳ τῶν ἄκρων ὑπόκειται. καὶ ὥσπερ ὑφειμένον αὐτοῦ λαμβάνεται. τοῦ δὲ ἑτέρου κατηγορεῖται καὶ ὥσπερ ἐν κρείττονι τάξει αὐτοῦ θεωρεῖται. κρεῖττον γὰρ ἀεὶ τὸ κατηγορούμενον τοῦ ὑποκειμένου. ὅτι τε ὡς ἐπὶ τὸ πολὺ ἐπὶ πλέον ἐστὶν ὁ κατηγορούμενος τοῦ ὑποκειμένου. καὶ ὅτι ὁ μὲν ὑποκείμενος, ὕλης λόγον ἐπέχει. ὁ δὲ κατηγορούμενος, εἴδους. καὶ γὰρ ἡ ὕλη ὑπόκειται τοῖς εἴδεσιν. ὁπηνίκα δὲ ὁ μέσος ὅρος ἀμφοτέρων τῶν ἄκρων κατηγορεῖται. ἢ ἀμφοτέροις ὑπόκειται, οὐκέτι κυρίως ἐστὶ μέσος. ἐπειδὴ τοίνυν ἐκβεβηκότι αὐτῷ τὴν τοῦ μέσου τάξιν. κρεῖττόν ἐστι τὸ κατηγορεῖσθαι ἢ ὑποκεῖσθαι, διὰ τοῦτο πρῶτον μὲν λέγεται σχῆμα ὅταν ὁ μέσος ὅρος τὴν αὐτοῦ φυλάττει τάξιν, τῷ μὲν ὑπόκειται. τοῦ δὲ κατηγορεῖται. δεύτερον σχῆμα. ἐν ᾧ ἀμφοτέρων κατηγορεῖται. ἐν ᾧ καὶ δευτέραν μὲν ἀμείνονα δὲ τῆς λοιπῆς ἀπείληφε τάξιν. τρίτον δὲ σχῆμα. ἐν ᾧ ὁ μέσος ὅρος ἀμφοτέροις τοῖς ἄκροις ὑπόκειται. ἔνθα καὶ τὴν ἐσχάτην τάξιν ἀπείληφε. διὸ καὶ μετὰ τὸ πρῶτον σχῆμα ἐπ᾽ εὐθείας γράφεται τοὺς ἄκρους



ἱματίῳ τινὶ ἔσται ἐξ ἀνάγκης· τοῦτο γὰρ δέδεικται πρότερον. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐν μέρει ἀποφατικῆς.

Τ οὗτος τοῦ ἀναγκαίου παράδειγμα. δῆλον γὰρ ὅτι οὐκ ἐνδεχομένως κατὰ τὸ κυρίως τοῦ ἐνδεχομένου σημαινόμενον ὁ ἄνθρωπος οὐκ ἔστιν ἵππος, ἀλλ' ἀναγκαίως· διὸ καὶ ἀντιστρέφει. ἐνδέχεται γὰρ μηδένα ἵππον ἄνθρωπον εἶναι. ἢ τὸ λευκὸν μηδενὶ ἱματίῳ ὑπάρχειν. τοῦτο τοῦ ὑπάρχοντος τρόπου παράδειγμα. καθὸ καθ' ὃ σημαινόμενον λέγεται τὸ ἐνδεχόμενον. τὸ μὲν γὰρ ἄνθρωπον μὴ εἶναι ἵππον, ἐξ ἀνάγκης οὐχ ὑπάρχει. τὸ δὲ λευκὸν μηδενὶ ἱματίῳ, οὐκ ἐξ ἀνάγκης οὐχ ὑπάρχει. διὸ καὶ ἡ αὐτὴ πάλιν καὶ ἐπὶ τούτου σώζεται ἀντιστροφή, ἥτις καὶ ἐπὶ τοῦ ὑπάρχοντος ἐγένετο. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐν μέρει ἀποφατικῆς. ὥσπερ ἐπὶ τῶν ἄλλων τρόπων ἀόριστος ἦν ἡ μερικὴ ἀποφατική, διὰ τὸ πρὸς μηδεμίαν ὡρισμένως ἀντιστρέφειν, οὕτω καὶ ἐπὶ τοῦ ἐνδεχομένου τοῦ ἰσοδυναμοῦντος τοῖς εἰρημένοις τρόποις ἡ αὐτὴ οὐδὲν ἧττον τὸ ἀόριστον ἕξει.

ΟΣΑ δὲ τῷ ὡς ἐπὶ τὸ πολὺ καὶ τῷ πεφυκέναι λέγεται ἐνδέχεσθαι.

Τ τριχῶς ὄντος τοῦ κυρίως ἐνδεχομένου, ὡς καὶ ἐν τοῖς φυσικοῖς εἴρηται· τοῦ ἐπὶ πλεῖον· τοῦ ἐπίσης· τοῦ ἐπ' ἔλαττον. ἐπὶ πλεῖον μὲν ὡς τὰ φυσικὰ καὶ τεχνητά. ἐπὶ πλεῖον γὰρ ἡ φύσις πενταδάκτυλον ποιεῖ, ἢ ἑξαδάκτυλον. καὶ ὁ ἰατρὸς ἐπὶ πλεῖον ὑγιάζει, ἢ οὐχ ὑγιάζει. ἐπίσης δὲ τὸ λούεσθαι, ἢ μὴ λούεσθαι, καθῆσθαι, ἢ μὴ καθῆσθαι. ἐπίσης γὰρ τὰ ἀντικείμενα ἐν τοῖς τοιούτοις ἐστὶν ἐνδεχόμενα. ἐπ' ἔλαττον δὲ τὸ ἑξαδάκτυλον γίνεσθαι. καὶ τὸ ἀποτυγχάνειν τοῦ σκοποῦ τὰς τέχνας. τὰ μὲν ἐπίσης ἄχρηστα εἰς ἀπόδειξιν, τί γὰρ αὐτῆς τὴν κατάφασιν δείξειεν ἢ τὴν ἀπόφασιν, πολλῷ δὲ πλέον καὶ τὸ ἐπ' ἔλαττον. οἷον τὸ τεχθῆναι ἑξαδάκτυλον παιδίον. οὐδεὶς γὰρ τὰ σπάνια καὶ οὕτω παράδοξα συλλογίζεται. περὶ δὲ τοῦ ἐπὶ πλεῖον τοῦ ἐνδεχομένου καταγίνεται ἡ συλλογιστικὴ μέθοδος τὸ ἐπὶ τῶν φυσικῶν τεχνητῶν ὡς ἤδη εἴπομεν. φημὶ δὴ τὸ ἐν χειμῶνι ὕσαι. καὶ τὸν ῥήτορα πεῖσαι. καὶ τὸν ἰατρὸν ὑγιάσαι. καὶ τὸν κυβερνήτην σῶσαι τὴν ναῦν. διὰ τοῦτο γοῦν προσέθηκε καὶ τῷ πεφυκέναι ἵνα δῆλον ὅτι περὶ τῶν φυσικῶν αὐτῷ ὁ λόγος.

ΚΑΘ' ΟΝ τρόπον διορίζομεν τὸ ἐνδεχόμενον. οὐχ ὁμοίως ἕξει ἐν ταῖς στερητικαῖς ἀντιστροφαῖς. ἀλλ' ἡ μὲν καθόλου στερητικὴ πρότασις, οὐκ ἀντιστρέφει. ἡ δὲ ἐν μέρει, ἀντιστρέφει. τοῦτο δὲ ἔσται φανερόν, ὅταν περὶ τοῦ ἐνδεχομένου λέγωμεν.

Τ τουτέστι καθ' ὃν τρόπον λέγομεν τὸ κυρίως ἐνδεχόμενον τὸ ἐπὶ τοῦ μέλλοντος χρόνου. ἢ ἐπὶ πλεῖον εἶναι, ἢ ἐπίσης, ἢ ἐπ' ἔλαττον. οὕτω γὰρ αὐτὸ διωρίσατο ἐν τοῖς φυσικοῖς. τοῦ δὲ μὴ ἀντιστρέφειν τὰς στερητικὰς τοῦ ἐνδεχομένου προτάσεις ὁμοίως ταῖς τοῦ ὑπάρχοντος καὶ ἀναγκαίου ἡ μὲν ἀληθὴς ἐστὶν αἰτία, ἣν εἴπομεν. διότι ὅπερ μηδενὶ ἐνδέχεται, τοῦτο καὶ παντὶ ἐνδέχεται. ἡ δὲ καθόλου ἀποφατική, ὅτι οὐ πρὸς ἑαυτὴν ἀντιστρέφει. καὶ αὐτὸς μετ' οὐ πολὺ τοῦτο δείκνυσι. νῦν δὲ τέως τοσοῦτον μόνον φησὶν ὅτι ἡ μὲν καθόλου ἀποφατικὴ οὐκ ἀντιστρέψει. ὡς πρὸς ὑπακουστέον πρὸς ἑαυτήν. ἡ δὲ ἐν μέρει φησὶν ἀντιστρέφει δῆλον ὅτι πρὸς ἑαυτήν. εἰ γὰρ τὸ ζῷον μὴ παντὶ λευκῷ ὑπάρχει, καὶ τὸ λευκὸν οὐ παντὶ ζῴῳ ὑπάρχει. δῆλον δὲ ὅτι καὶ πρὸς τὴν μερικὴν καταφατικὴν ἀντιστρέφειν δείκνυται. καὶ γὰρ τὸ λευκὸν τινὶ ζῴῳ ὑπάρχει. ταύτῃ δὲ αὖ καὶ μερικὴ καταφατικὴ οὐ μόνον πρὸς ἑαυτὴν ἀλλὰ καὶ πρὸς τὴν μερικὴν ἀποφατικὴν ἀντιστρέψει. εἰ γάρ τι ζῷον λευκόν, οὐ πᾶν λευκὸν ζῷον. ὅτι δὲ ἡ καθόλου ἀποφατικὴ οὐκ ἀντιστρέφει πρὸς ἑαυτήν, ἐντελῶς μὲν εἰσόμεθα ὅταν αὐτὸς ἐν τῷ περὶ τῶν μίξεων διδάσκῃ. ἀρκεῖ δὲ νῦν πρὸς τοῖς εἰρημένοις δι' ὑποδείγματος πιστώσασθαι. εἰ γὰρ ἐνδέχεται μηδένα ἄνθρωπον λούεσθαι, οὐκ ἀληθὲς ἀντιστρέψαι καὶ εἰπεῖν, ἐνδέχεται μηδὲν λουόμενον ἄνθρωπον εἶναι. λούεται γὰρ φέρε εἰπεῖν καὶ ἵπποι καὶ βόες. καὶ οὐκ ἔστιν ἀληθὲς λέγειν τὸν ἵππον ἢ τὸν βοῦν ἐνδέχεται μὴ εἶναι ἄνθρωπον. ἀνάγκη δὲ μᾶλλον μὴ εἶναι ταῦτα ἄνθρωπον. ὃ γὰρ ἐνδέχεταί τινι μὴ εἶναι, τούτοις ἐνδέχεται καὶ ἔμπαλιν. εἰ οὖν τὸ ἐνδέχεσθαι εἶναι ἄνθρωπον ψεῦδος, καὶ τὸ μὴ ἐνδέχεσθαι ἄρα ψεῦδος.

ΝΥΝ δὲ τοσοῦτον ἡμῖν ἔστω πρὸς τοῖς εἰρημένοις δῆλον, ὅτι τὸ ἐνδέχεσθαι μηδενὶ ἢ τινὶ μὴ ὑπάρχειν, καταφατικὸν ἔχει τὸ σχῆμα.

Ο ἐπεὶ ἐξ ἀρχῆς ἐζητοῦμεν τί δήποτε εἰρηκὼς ἐν τῷ περὶ ἑρμηνείας τὰς μὴ τῷ τρόπῳ συναπτούσας τὸ ἀρνητικὸν μόριον καταφάσεις εἶναι ἡμιν τιθέντας καὶ οὐκ ἀποφάσεις, ἐνταῦθα ὡς ἀποφάσεις παραλαμβάνει. νῦν αὐτὸς ἐπισημαίνεται. ὅτι εἰ καὶ τῷ σχήματί εἰσι καταφατικαί, ἀλλ' οὖν δύναμιν ἔχουσιν ἀποφάσεων.

ΤΟ γὰρ ἐνδέχεσθαι τῷ ἔστιν ὁμοίως τάττεται, τὸ δὲ ἔστιν οἷς ἂν προσκατηγορῆται κατάφασιν ἀεὶ ποιεῖ. καὶ πάντως, οἷον τὸ ἔστιν οὐκ ἀγαθόν, ἢ ἔστιν οὐ λευκόν, ἢ ἁπλῶς τὸ ἔστιν οὐ τοῦτο. δειχθήσεται δὲ καὶ τοῦτο, διὰ τῶν ἑπομένων. κατὰ δὲ τὰς ἀντιστροφὰς ὁμοίως ἕξουσι ταῖς ἄλλαις.

Ω ἐπεὶ ἐν ταῖς ἐκ τρίτου προσκατηγορουμένου προτάσεσιν ἀποφάσεις ἐγένοντο, μόνῳ τῷ ἐστὶν συνταττομένου τοῦ ἀρνητικοῦ μορίου· εἰ δὲ ἄλλο τινὶ συνετάχθη οἷον τῷ ὑποκειμένῳ, κατάφασις πάλιν ἐγένετο

ἀόριστος

εἰ γὰρ μὴ ἀνάγκη, τουτέστιν εἰ μὴ ἀνάγκη τὸ β΄ τινὶ τῷ α΄ ὑπάρχειν, δῆλον ὅτι ἀνάγκη μηδενί. οὐκοῦν καὶ τὸ α΄ ἀνάγκη οὐδενὶ τῷ β΄. τοῦτο γὰρ δέδεικται. ὅτι ἡ καθόλου ἀναγκαία ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφει. ἣν δὲ καὶ τινὶ τὸ αὐτὸ καὶ τινὶ καὶ οὐδενὶ ὅπερ ἄτοπον.

» ΤΟ δ' ἐν μέρει στερητικὸν οὐκ ἀντιστρέφει διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ πρότερον ἔφαμεν.

T ὁ ῥηθησόμενος τοῦτο δοκεῖ ὑπὸ τοῦ φιλοσόφου εἰρῆσθαι. ὡς αἰτίαν αὐτὴν ἀποδεδωκότος, δι' ἣν οὐκ ἀντιστρέφει ἡ μερικὴ στερητική. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές. οὐδαμοῦ γὰρ φαίνεται αἰτίαν ἀποδεδωκὼς δι' ἣν οὐκ ἀντιστρέφει ἡ μερικὴ καταφατική, ἀλλὰ μᾶλλον αἰτίαν ἐκάλεσε τὸ παράδειγμα τὸ ἀνωτέρω παρ' αὐτοῦ εἰρημένον. εἶθ' ἔλεγεν. εἰ γὰρ ὁ ἄνθρωπος καὶ παντὶ ζῴῳ, καὶ τὸ ζῷον οὐ παντὶ ἀνθρώπῳ.

» ΕΠΙ δὲ τῶν ἐνδεχομένων ἐπειδὴ πολλαχῶς λέγεται τὸ ἐνδεχόμενον, καὶ γὰρ καὶ τὸ ἀναγκαῖον,

» καὶ τὸ μὴ ἀναγκαῖον, καὶ τὸ δυνατὸν ἐνδέχεσθαι λέγομεν.

T ὃν περὶ τῆς ἀντιστροφῆς τῶν ὑπαρχουσῶν καὶ ἀναγκαίων προτάσεων πληρώσας λόγον, μέτεισιν ἐπὶ τὰς τοῦ ἐνδεχομένου προτάσεις, ἐπειδὴ τὸ ἐνδεχόμενον πολλαχῶς λέγεται ὡς καὶ ἐν τῷ περὶ ἑρμηνείας φησί. λέγεται γὰρ καὶ ἐπὶ πάσης ὕλης τὸ ἀναγκαῖον ἐνδεχόμενον. ὡς ἄν τις εἴποι. ἐνδέχεται τὸν ἥλιον ἐν κριῷ γενέσθαι. καίτοι οὐκ ἐνδεχομένως ἀλλ' ἀναγκαίως ὁ ἥλιος ἐν κριῷ γίνεται. λέγεται ἐνδεχόμενον, καὶ τὸ ὑπάρχον μὲν ἐν γενέσει δὲ καὶ φθορᾷ. λέγω δὲ ὅπερ τοῦ ὑποκειμένου ἀπογίνεσθαι δύναται οἷα τὰ συμβεβηκότα. καὶ γὰρ ταῦτα ὑπάρχει μὲν οὐ μὴν ἐξ ἀνάγκης. οἷον ὡς ὅταν ἐπὶ τοῦ σκύθου λέγομεν ἐνδέχεται τὸν σκύθον λευκὸν εἶναι. ἐνταῦθα γὰρ οὐ κυρίως ἐστὶν ἐνδεχόμενον, ἀλλ' ἰσοδυναμοῦν τῷ ὑπάρχοντι. ὑπάρχει γὰρ τῷ σκύθῃ τὸ λευκόν. καὶ ἐπὶ τῶν ἄλλων τρόπων ὁμοίως καὶ ἔστι τὸ κυρίως ἐνδεχόμενον. λέγω δὲ τὸ ἐπὶ τοῦ μέλλοντος χρόνου τοῦτο γὰρ ἴσην δύναμιν ἔχει πρὸς τὸ γενέσθαι καὶ μή. τὸ τοίνυν ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ ἀναγκαίῳ καὶ ὑπάρχοντι. ὅπως αἱ ἀντιστρέφουσιν αἱ τοῦ ἀναγκαίου καὶ ὑπάρχοντος προτάσεις, οὕτω καὶ αὗται ἀντιστρέφει. κατὰ γὰρ μόνην τὴν ὀνομασίαν ἐστὶν ἡ διαφορὰ τῶν πραγμάτων τῶν αὐτῶν ὄντων. τὸ δὲ κυρίως ἐνδεχόμενον οὐκέτι ὁμοίως ἕξει κατὰ τὰς ἀντιστροφὰς ὡς καὶ ἐν τοῖς ἑξῆς δείκνυσι.

» ΚΑΙ γὰρ τὸ ἀναγκαῖον καὶ τὸ μὴ ἀναγκαῖον. καὶ τὸ δυνατὸν ἐνδέχεσθαι λέγομεν.

T ὡς μὴ ἀναγκαῖόν φησι, τὸ ὑπάρχον τὸ δὲ δυνατὸν τὸ ἐνδεχόμενον. καὶ γὰρ τὸ κυρίως δυνατόν, εἰς ταυτὸν ἔρχεται τῷ ἐνδεχομένῳ.

» ΕΝ μὲν τοῖς καταφατικοῖς ὁμοίως ἕξει κατὰ τὴν ἀντιστροφὴν ἐν ἅπασιν. εἰ γὰρ τὸ α΄ παντὶ ἢ τινὶ

» τῷ β΄ ἐνδέχεται, καὶ τὸ β΄ τινὶ τῷ α΄ ἐνδέχοιτο ἄν. εἰ γὰρ μηδενί, οὐδ' ἂν τὸ α΄ μηδενὶ τῷ β΄ ἐνδέχηται.

» δέδεικται γὰρ τοῦτο πρότερον, ἐν δὲ τοῖς ἀποφατικοῖς, οὐχ ὡσαύτως.

T αὐτό φησι τὸ ἐνδεχόμενον, ὅπερ κατὰ πάντων τῶν τρόπων κατηγορεῖται. ὁμοίως ἕξει, ἐν τοῖς καταφατικοῖς. πᾶσαι γὰρ καταφάσεις ἐπὶ παντὸς τρόπου πρὸς τὸ μερικὸν καταφατικὸν ἀντιστρέφει. καὶ αἱ δείξεις, διὰ τῶν αὐτῶν, δι' ὧνπερ καὶ πρότερον. αἱ δὲ ἀποφάσεις, οὐχ ὁμοίως ταῖς ἄλλαις ἀντιστρέφουσι. διὰ δὲ τὸν λόγον ἴσμεν. ὅτι τὸ κυρίως ἐνδεχόμενον, ὅπερ καλεῖ δυνατὸν ἐπὶ τε τοῦ ἔσεσθαι καὶ μὴ ἔσεσθαι ὁμοίως παραλαμβάνεται καὶ ἐξετάζει. ὁμοίως γὰρ ἔξεστι καὶ καταφῆσαι καὶ ἀποφῆσαι τὸ αὐτὸ ὥστε οὐδὲν διοίσει πρὸς ἀλήθειαν ἡ κατάφασις τῆς ἀποφάσεως. ἐνδέχεται γὰρ καὶ πάντα ἄνθρωπον λούεσθαι. καὶ μηδένα ἄνθρωπον λούεσθαι. καὶ ὁμοίως ἑκάτερον δύναται ἀληθεύειν. δέδεικται δὲ ἐπὶ τοῦ ὑπάρχοντος τρόπου καὶ τοῦ ἀναγκαίου. ὅτι ἡ μὲν καθόλου ἀπόφασις ἐξ ἀνάγκης πρὸς ἑαυτὴν ἀντιστρέφει. ἡ δὲ μερικὴ οὐκ ἐξ ἀνάγκης. δῆλον ὅτι καὶ ἐπὶ τῆς ἀντιστροφῆς αἱ ἀποφατικαὶ τοῦ ἐνδεχομένου. πῇ μὲν ἕξουσιν ὡς ἐπὶ τῶν ἄλλων τρόπων ἀποφάσεις, πῇ δὲ οὔ. τὸ μὲν ἐνδεχόμενον τὸ ἰσοδυναμοῦν τῷ ὑπάρχοντι καὶ τῷ ἀναγκαίῳ, ὁμοίως αὐταῖς καὶ κατὰ τὰς ἀντιστροφὰς τῶν ἀποφάσεων ἕξει. τὸ μέντοι κυρίως ἐνδεχόμενον. ὅπερ ἐκβαίνειν καὶ μὴ ἐκβαίνειν δύναται, οὐχ ὁμοίως ἕξει. δείξει δὲ ὡς εἶπεν περὶ αὐτοῦ ἐν τοῖς μετὰ ταῦτα. νῦν φησι σαφῆ τὰ ὑποδείγματα, ποιεῖ ἐπὶ τῆς ὑλῶν θέσεως.

» ΑΛΛ' ΟΣΑ μὲν ἐνδέχεσθαι λέγεται ἢ τῷ ἐξ ἀνάγκης μὴ ὑπάρχειν ἢ τὸ μὴ ἐξ ἀνάγκης ὑ-

» πάρχειν, ὁμοίως οἷον.

T οὔτι ἐστὶν αἱ ἐνδεχόμεναι ἀποφατικαὶ ἰσοδυναμοῦσαι τῷ ἀναγκαίῳ ἢ τὸ μὴ ἐξ ἀνάγκης ὑπάρχειν. τουτέστι καὶ ταῖς ὑπαρχούσαις ἰσοδυναμοῦσαι τοῦ ἐνδεχομένου ἀποφάσεις. αὗται φησὶν ὁμοίως ταῖς τε ὑπαρχούσαις καὶ ταῖς ἀναγκαίαις ἀντιστρέφουσιν. αἱ μὲν καθόλου ἀποφατικαὶ, πρὸς ἑαυτάς. αἱ δὲ μερικαὶ ἀορίστως. ὥσπερ καὶ ἐκεῖναι. ὡς γὰρ εἴπομεν ὀνομάτων γίνεται διαφορὰ τῶν πραγμάτων τῶν αὐτῶν ὄντων. εἶτα καὶ ἐπὶ ὑλῶν τὸ παράδειγμα.

» ΕΙ ΤΙΣ φαίη τὸν ἄνθρωπον ἐνδέχεσθαι μὴ εἶναι ἵππον. ἢ τὸ λευκὸν μηδενὶ ἱματίῳ ὑπάρχειν.

» τούτων γὰρ τὸ μὲν, ἐξ ἀνάγκης οὐχ ὑπάρχει. τὸ δὲ, οὐκ ἐξ ἀνάγκης μὴ ὑπάρχει. καὶ ὁμοίως ἀντιστρέ-

» φει ἡ πρότασις. εἰ γὰρ ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ἵππον. καὶ ἄνθρωπον ἐγχωρεῖ μηδενὶ ἵππῳ, καὶ τὸ

» λευκὸν ἐγχωρεῖ μηδενὶ ἱματίῳ. καὶ τὸ ἱμάτιον ἐγχωρεῖ μηδενὶ λευκῷ. εἰ γὰρ τινὶ ἀνάγκη, καὶ τὸ λευκὸν

Λύσις τοῦ ζητήματος.

κατὰ τὸ ποσόν. καὶ κατὰ τὸ ποιόν. καὶ δείκνυσι ταύτῃ ἄτοπόν τι ἀκολουθοῦν, ἵνα οὕτως ἐκείνην πιστώσηται. πρὸς δὲ τὸ λοιπὸν τῶν ἠπορημένων, λέγω δὴ πῶς ἐχρήσατο τῇ ἐνδεχομένῃ μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ, μήπω δείξας τοῦτο. εἶπε γάρ, εἰ γὰρ τινὶ ἐνδέχεται καὶ τὸ α τῷ β τινὶ ἐνδέχοιτο ἄν. ἐροῦμεν ὅτι τὸ ἐνδεχόμενον αὐτὸς ὁρίζεται λέγων οὕτως. ἐνδεχόμενόν ἐστιν οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δέ, οὐδὲν ἀδύνατον ἀκολουθεῖ. εἰ τοίνυν οὗτος ὁ ὅρος ἐστὶ τοῦ ἐνδεχομένου. ἐὰν τὸ ἐνδεχόμενον ὡς ἐκβὰν λάβωμεν, οὐκ ἔτι ἐστὶν ἐνδεχόμενον ἀλλὰ ὑπάρχον. ἐὰν οὖν ὑποθώμεθα τὴν ἐνδεχομένην μερικὴν καταφατικὴν ἐκβᾶσαν, γίνεται ὑπάρχουσα καὶ οὐκ ἐνδεχομένη. ἡ δὲ μερικὴ καταφατικὴ ὑπάρχουσα ἐδείχθη ἀντιστρέφουσα πρὸς ἑαυτήν. καὶ ἡ μερικὴ ἄρα ἐνδεχομένη καταφατικὴ μεταληφθεῖσα εἰς τὴν ὑπάρχουσαν ἀντιστρέφει αὖ πρὸς ἑαυτήν. ἡ δὲ ὑπόθεσις αὕτη εἰ καὶ μὴ ἀληθής. λέγω δὴ τὸ τὴν ἐνδεχομένην δεδόσθαι εἰς ἐκβεβηκυῖαν, ἀλλ' οὖν οὐκ ἀδύνατος. ἡ μὲν γὰρ ἀδύνατος πάντως καὶ ψευδής. οὐχ ἡ ψευδὴς δέ, πάντως καὶ ἀδύνατος. οἷον ἀδύνατον τὸν ἄνθρωπον πτερὰ ἔχειν, τοῦτο καὶ ψεῦδος. τὸ δὲ τὸν σωκράτην μαχόμενον, ψεῦδος μέν. οὐκ ἀδύνατον δέ. ὥστε εἰ καὶ ψευδὴς ἡ ὑπόθεσις ἡ λέγουσα δεδόσθαι τὸ ἐνδεχόμενον ἐκβῆναι, ἀλλ' οὐκ ἀδύνατος. ἔστιν οὖν ὁ πᾶς λόγος, ἵνα ὡς ἀναλαβὼν εἴπω, τοιοῦτος. τὸ α ἐξ ἀνάγκης τῷ β μηδενὶ ὑπαρχέτω. λέγω ὅτι οὐδὲ τὸ β τῷ α ἐξ ἀνάγκης οὐδενὶ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντικείμενον λέγω δὴ τὸ ἐνδέχεται τινὶ τῷ α τὸ β ὑπάρχειν. ἀλλ' ἐπειδὴ ἐνδεχόμενόν ἐστιν οὗ μὴ ὄντος ἀναγκαίου τεθέντος δὲ οὐδὲν ἀδύνατον ἀκολουθεῖ. δεδόσθω ἐκβῆναι τὸ ἐνδεχόμενον καὶ μηδὲν ἀδύνατον ἀκολουθείτω εἴπερ ἀληθὴς ἡ ὑπόθεσις. ἐπειδὴ δὲ τὸ ἐνδεχόμενον ἐπειδὰν ἐκβῇ οὐκ ἔτι ἐστὶν ἐνδεχόμενον ἀλλὰ ὑπάρχον. ὑπαρχέτω τὸ β τινὶ τῷ α. ἀλλ' ἐδείχθη ἡ ὑπάρχουσα μερικὴ καταφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα. καὶ τὸ α ἄρα τινὶ τῷ β ὑπάρχει. ὑπέκειτο δὲ καὶ μηδενὶ ἐξ ἀνάγκης ὑπάρχειν. τὸ αὐτὸ ἄρα καὶ τινὶ ὑπάρχει καὶ οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχει, ὅπερ ἐστὶν ἀδύνατον. τὸ ἀδύνατον δὲ ἠκολούθησεν διὰ τὸ ὑποθέσθαι τὸ ἐνδέχεται τινί, οὐκοῦν τοῦτο ψεῦδος. ἐπειδὴ τῷ ἀληθεῖ οὐδέποτε ἀδύνατον ἀκολουθεῖ. εἰ τοίνυν ψεῦδος τὸ ἐνδέχεται τινί, ἀληθὲς ἄρα τὸ ἀντικείμενον. λέγω δὴ τὸ ἀνάγκη μηδενί. ἐδείχθη ἄρα ἡ καθόλου ἀναγκαία ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα, ὅπερ ἔδει δεῖξαι. οὕτω μὲν οὖν ἤδη λελύσθωσαν αἱ κατὰ τόπον ἀπορίαι. τὰ δὲ ἑξῆς λοιπὸν ἤδη σκεπτέον.

» ΕΙ ΔΕ ἐξ ἀνάγκης τὸ α παντὶ ἢ τινὶ τῷ β ὑπάρχει, καὶ τὸ β τινὶ τῷ α ἀνάγκη ὑπάρχειν.

Τῇ αὐτῇ πάλιν τάξει κέχρηται ὁ ἀριστοτέλης, ᾗπερ καὶ ἤδη τῶν ὑπαρχουσῶν προτάσεων. δείξας γοῦν τὴν καθόλου ἀποφατικὴν πρὸς ἑαυτὴν ἀντιστρέφουσαν, ἐφεξῆς τὴν καθόλου καταφατικὴν δείκνυσι καὶ τὴν μερικήν. βραχυλογίας δὲ πανταχοῦ ἀντιποιούμενος κἀνταῦθα ἅμα ἀμφοτέρας τὰς καταφατικὰς τήν τε καθόλου καὶ τὴν μερικὴν δείκνυσι πρὸς τὴν μερικὴν καταφατικὴν ἀντιστρεφούσας.

» ΕΙ γὰρ μὴ ἀνάγκη, οὐδ' ἂν τὸ α τινὶ τῶν β ἐξ ἀνάγκης ὑπάρχει.

Ἐν τούτῳ διάφορος ἡ γραφὴ φέρεται. τινὰ μὲν τῶν ἀντιγράφων οὕτως ἔχει. εἰ γὰρ ἐνδέχεται μηδενί. τὰ μέντοι ἀκριβέστερα τῶν ἀντιγράφων ἔχει. εἰ γὰρ μὴ ἀνάγκη. εἰ μὲν οὖν ἡ προτέρα εἴη γραφή, ἐροῦμεν. ὅτι ὁμοίως ὁ ἀριστοτέλης ἀντέθηκε τρόπον τρόπῳ. ποσόν, ποσῷ. ποιὸν ποιῷ. ἀλλ' οὐκ ἀκριβὴς ἡ τοιαύτη γραφή. οὐ γὰρ δὴ ἐκ τῆς ὑποθέσεως ταύτης συνάγεταί τι ἀδύνατον. ὅπερ βούλεται δεῖξαι, πῶς καὶ τίνα τρόπον λέγω ὅτι αἱ καθόλου τοῦ ἐνδεχομένου προτάσεις, λέγω δὴ τοῦ κυρίως ἐνδεχομένου, ἰσοδυναμοῦσιν ἀλλήλαις. ὃ γὰρ ἐνδέχεται παντί, τοῦτο ἐνδέχεται μηδενί. οἷον ἐνδέχεται πάντα ἄνθρωπον λούσασθαι. καὶ ἔμπαλιν. αὗται δὲ αἱ καθόλου τοῦ ἐνδεχομένου προτάσεις. ἑκάστῃ τῶν μερικῶν τοῦ ἀναγκαίου μάχονται. οἷόν τι λέγω. τῇ ἀνάγκη τινὶ μάχεται. ἡ ἐνδέχεται μηδενὶ κατὰ πάντα αὐτῇ ἀντικειμένη. μάχεται δὲ καὶ ἡ ἐνδέχεται παντί. ἀλλ' ἡ μὲν ἐνδέχεται μηδενὶ δι' ἑαυτὴν μάχεται ἔχουσα ἀντικείμενον τρόπον τρόπῳ. ποσὸν ποσῷ. ποιὸν ποιῷ. ἡ δὲ ἐνδέχεται παντὶ ὡς ἰσοδυναμοῦσα τῇ ἐνδέχεται μηδενί. πάλιν τῇ ἀνάγκη μὴ παντὶ μάχεται μὲν δι' ἑαυτήν. ἡ ἐνδέχεται παντί. διὰ ταύτην δὲ καὶ ἡ ἐνδέχεται μηδενὶ ὡς ἰσοδυναμοῦσα. εἰ τοίνυν αἱ δύο καθόλου τοῦ ἐνδεχομένου προτάσεις ἑκατέρᾳ τῶν μερικῶν τοῦ ἀναγκαίου ἀντίκεινται ὡς ἰσοδυναμοῦσαι, ἐὰν ἀντὶ τῆς ἐνδεχομένης καθόλου ἀποφατικῆς μεταλάβωμεν τὴν ἐνδέχεται παντὶ ὡς ἰσοδυναμοῦσαν. οὐκ ἀπάξομεν εἰς ἄτοπον τὸν λόγον. μεταληφθείσης τῆς ἐνδέχεται μηδενί, εἰς τὴν ἐνδέχεται παντί, ἅτε ἰσοδυναμοῦσι. γίνεται γὰρ συλλογιστικὸν τὸ σχῆμα. οἷον τὸ α παντὶ τῷ β ὑπαρχέτω. λέγομεν ὅτι τὸ β τινὶ τῷ α ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, εἶτα ὑποθώμεθα τὸ ἐνδέχεται μηδενί. μεταληφθείη δὲ τοῦτο εἰς τὸ ἐνδέχεται παντί. οἷον ὅτι τὸ β ἐνδέχεται παντὶ τῷ α. καὶ ἀντιστρέψαντες εἴπομεν καὶ τὸ α τινὶ τῷ β ἐνδέχεται. εἶτα συνάγομεν τὸ αὐτὸ καὶ παντὶ καὶ τινί, οὐδὲν ἄτοπον συνάγομεν. τὸ γὰρ παντὶ ὑπάρχον, τοῦτο καὶ τινὶ ὑπάρχειν πᾶσα ἀνάγκη. διὰ ταῦτα φαμὲν ἀκριβεστέραν εἶναι τὴν ἑτέραν γραφὴν τὴν λέγουσαν.

παντί, ἀντίκειται ὡς μὲν κατὰ τὰ ἐν τῷ περὶ ἑρμηνείας ἡμῖν παραδιδόμενα, ἡ οὐκ ἀνάγκη παντί· ἥτις οὐ τὴν ὅλην πρότασιν ἀναιρεῖ, ἀλλὰ μόνον τὸν ἀναγκαῖον τρόπον. τί γάρ φησιν; ὅτι κακῶς εἴρηται ἡ κατάφασις ὅτι ἐξ ἀνάγκης παντί. ἐγὼ γάρ λέγω ὅτι οὐκ ἐξ ἀνάγκης παντί. καὶ ἀναιροῦσα τοσοῦτον μόνον ὅτι οὐκ ἐξ ἀνάγκης, ἀόριστον ἡμῖν τὸ λοιπὸν καταλιμπάνει. πῶς γάρ ὑπάρχει παντί, λέγω δὴ κατὰ ποῖον τρόπον, ἢ ὅτι οὐδὲ ὅλως ὑπάρχει παντί, οὐκέτι προστίθησιν. αὕτη μὲν οὖν μία ἀντίθεσις τῆς ἀναγκαίας καθόλου καταφατικῆς κατὰ τὰ ἐν τῷ περὶ ἑρμηνείας ἡμῖν παραδιδόμενα. ἑτέρα δὲ ἀντίθεσις καθὼς ἐνταῦθα ἡμῖν παραδίδωσιν αὕτη. ἐπειδὴ δὲ ἐν τῇ καθόλου ἀναγκαίᾳ καταφατικῇ προτάσει, ἔστι καὶ ποσὸν τὸ καθόλου καὶ ποιὸν τὸ καταφατικὸν καὶ τρόπος ὁ ἀναγκαῖος· ἡ κυρίως ἀντικειμένη ταύτῃ εἴη ἂν ἡ κατὰ πάντα αὐτῇ ἐναντιουμένη· καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποσόν· καὶ κατὰ τρόπον. ὥστε οὔσης ταύτης καθόλου, ἐκείνη ἔσται μερική· ταύτης καταφατικῆς, ἐκείνη ἔσται ἀποφατική· ταύτης ἀναγκαίας, ἐκείνη ἐνδεχομένη. καθόλου οὖν λέγομεν· ὅτι ἐὰν τὴν κατὰ πάντα ἀντικειμένην τινὶ προτάσει βουλόμεθα λαβεῖν· δεῖ ἀντιθεῖναι ποσὸν ποσῷ· ποιὸν ποιῷ· τρόπον τρόπῳ. ὥστε συνελόντι εἰπεῖν ἀντίκειται τῇ ἀνάγκη παντί, ὡς μὲν κατὰ τὰ ἐν τῷ περὶ ἑρμηνείας, ἡ οὐκ ἀνάγκη παντί· ὡς δὲ κατὰ τὰ ἐνταῦθα ἡ ἐνδέχεται μὴ παντί. καὶ πάλιν τῇ ἀνάγκη τινί· ὡς μὲν ἐν τῷ περὶ ἑρμηνείας ἡ οὐκ ἀνάγκη τινί· ὡς δὲ κατὰ τὰ ἐνταῦθα, ἐνδέχεται μηδενί. τί οὖν φαμέν; δύο μιᾷ ἀντίκειται; οὕτως ἄδηλος ἡ φύσις, ὡς ἀντιτάξαι ἓν δύο; οὐχ ὡς μαχόμεναι, ἀλλ' ὡς ἰσοδυναμοῦσαι. τῇ γὰρ οὐκ ἀνάγκη παντὶ ἡ ἐνδέχεται μὴ παντὶ ἰσοδυναμεῖ. ὃ γὰρ οὐκ ἀνάγκη παντί, τοῦτο ἐνδέχεται μὴ παντί. οἷον εἰ οὐκ ἀνάγκη παντὶ ἀνθρώπῳ τὸ λευκὸν ὑπάρχειν· ἐνδέχεται μὴ παντὶ ὑπάρχειν. πάλιν τῇ οὐκ ἀνάγκη τινί, ἡ ἐνδέχεται μηδενὶ ἰσοδυναμεῖ. εἰ γὰρ οὐκ ἐξ ἀνάγκης τινὶ ἀνθρώπῳ ὑπάρχει τὸ λούεσθαι, ἐνδέχεται μηδενὶ ὑπάρχειν. καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως δείξομεν· τὰς τῇ μιᾷ ἀντικειμένας ἰσοδυναμούσας ἀλλήλαις. σκεπτέον οὖν πῶς πᾶσαι ἡμῖν διὰ τούτων παραδίδονται αἱ προτάσεις, αἵ τε ἐν τῷ περὶ ἑρμηνείας καὶ αἱ ἐνταῦθα· ὥστε μὴ εἶναι ἐλλιπὲς μηδέτερον τῶν βιβλίων ἰσοδυναμουσῶν τούτων ἀλλήλαις. εἰ γὰρ τῇ ἐνδέχεται τινὶ μερικῇ οὔσῃ καταφατικῇ ἐνδεχομένῃ, ἀντίκειται μὲν ὡς ἐν τῷ περὶ ἑρμηνείας φησίν, οὐκ ἐνδέχεται τινί, μερικὴ οὖσα ἐνδεχομένη ἀποφατική. ἰσοδυναμεῖ δὲ ταύτῃ ἡ ἀνάγκη μηδενί, ἥτις καὶ κατὰ ποσὸν καὶ ποιὸν καὶ τρόπον ἀντίκειται τῇ ἐνδέχεται τινί. δῆλον ὅτι ὡς καθόλου ἀναγκαία ἀποφατικὴ οὕτως ἀντίκειται. καλῶς ἄρα ἐνταῦθα ὡς ἀπόφασιν αὐτὴν παραλαμβάνει. ἥτις εἰ καὶ τῷ σχήματι ἐστὶ καταφατική, ἀλλ' οὖν δύναμιν ἔχει ἀποφάσεως. ὡς καὶ αὐτοῦ ἐφεξῆς λέγοντος ἀκουσόμεθα. εἰ γὰρ δύναμιν εἶχε καταφάσεως, οὐκ ἂν ἐμάχετο κατὰ πάντα τῇ ἐνδέχεται τινί, καταφάσει καὶ αὐτῇ οὔσῃ. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἐροῦμεν. εἰ τοίνυν ἰσοδυναμοῦσιν αἵ τε ἐκεῖσε παραδιδόμεναι ἡμῖν, καὶ αἱ ἐνταῦθα ἀποφάσεις· τί δήποτε ἢ ἐκεῖσε τῶν ἐνταῦθα παραδιδομένων ὡς ἀποφάσεων οὐκ ἐμνήσθη, ἢ ἐνταῦθα τῶν ἐκεῖσε; λέγομεν ὅτι ἐν μὲν τῷ περὶ ἑρμηνείας, ἐν ᾧ λόγῳ παραδοῦναι βουλόμενος τὰς μαχομένας ταῖς καταφάσεσιν ἀποφάσεις, εἶπεν ὅτι δεῖ τῷ τρόπῳ προστιθέναι τὴν ἄρνησιν καὶ ποιεῖν ἐκ τῶν καταφάσεων τὰς μαχομένας αὐταῖς ἀποφάσεις. τοῦτο δὲ ἐποίησε. διότι ἐπὶ τῆς ἐνδεχομένης ὕλης ἰσοδυναμοῦσιν αἱ ἀποφάσεις ταῖς καταφάσεσιν ὅταν μὴ πρὸς τῷ τρόπῳ ᾖ τὸ ἀρνητικὸν μόριον. ἐνδέχεται γὰρ πάντα ἄνθρωπον λούεσθαι. καὶ ἐνδέχεται μηδένα ἄνθρωπον λούεσθαι. καὶ ἀμφότεραι ἀληθεύουσι καὶ οὐκ ἀντιφάσκουσιν ἀλλήλαις. ἐκεῖ μὲν οὖν, διὰ ταύτην τὴν αἰτίαν οὕτω ποιεῖ. ἐκ τῶν καταφάσεων, τὰς ἀποφάσεις· ἵνα τὰς ἀντιφατικῶς ἀντικειμένας καθ' ἕκαστον τρόπον παραδῷ. ἐνταῦθα δὲ ἐπειδὴ περὶ ἀντιστροφῆς διαλέγεται ὡς συμβαλλομένης αὐτῷ εἰς τὸν περὶ συλλογισμῶν λόγον. ἐν δὲ τοῖς συλλογισμοῖς ὡρισμένα δεῖ τὰ συμπεράσματα συνάγεσθαι. αἱ δὲ ἀποφάσεις αἱ ἐν τῷ περὶ ἑρμηνείας ἀόριστοι εἰσιν. ἕνα μὲν γὰρ τρόπον ἀναιροῦσι· τῶν δὲ ἄλλων οὐδένα ὡρισμένως εἰσάγει. οἷον ἡ λέγουσα οὐκ ἀνάγκη παντί, ἕνα μὲν τρόπον ἀναιρεῖ τὸν ἀναγκαῖον. φησὶ γὰρ ὅτι οὐκ ἀληθὲς τὸ ἐξ ἀνάγκης παντὶ ὑπάρχειν, οὐδένα δὲ ὡρισμένως εἰσήγαγεν. οὔτε γὰρ τὸ ἐνδεχομένως ὑπάρχειν δηλοῖ· οὔτε τὸ ὑπαρχόντως· οὔτε τὸ ὅλως μὴ ὑπάρχειν, ἀλλὰ τοσοῦτον μόνον τὸν ἀναγκαῖον ἀναιρεῖ. ἡ δέ γε ἐνταῦθα παραδιδομένη ἀπόφασις ἡ ἀνάγκη μηδενί, ὡρισμένη ἐστὶ τὴν ὅλην ἀναιροῦσα πρότασιν τὴν ἀνάγκη παντί. ἐπειδὴ τοίνυν ὡρισμένων οὐσῶν τῶν προτάσεων, ὡρισμένον συνάγεται καὶ τὸ συμπέρασμα· ἀορίστων δέ, ἀόριστον. δεῖ δὲ τοὺς συλλογισμοὺς ὡς εἴρηται ὡρισμένα συνάγειν τὰ συμπεράσματα, διὰ τοῦτο ταύταις ἐχρήσατο ἐνταῦθα ταῖς προτάσεσι. Τούτου λυθέντος, λέλυται καὶ ἡ τρίτη ἀπορία, ἡ λέγουσα τί δήποτε τῇ εἰς ἄτοπον ἀπαγωγῇ χρώμενος, ἀντιτίθησι τῇ ἀναγκαίᾳ καθόλου ἀποφατικῇ τὴν μερικὴν καταφατικὴν ἐνδεχομένην· καὶ οὐχὶ τὴν ἀναγκαίαν μερικὴν καταφατικήν. καὶ τίς ἡ ἀνάγκη διὰ τῆς ἐνδεχομένης, τὴν ἀναγκαίαν δείκνυσθαι ἐκ τῶν εἰρημένων πρόδηλον τοῦτο αἴτιον. ἐπειδὴ γὰρ ὅτι ἀντιστρέφει πρὸς ἑαυτὴν ἡ καθόλου ἀποφατικὴ ἀναγκαία εἴτε τοῦτο τῇ εἰς ἄτοπον ἀπαγωγῇ δεῖξαι βούλεται, ἀκολούθως ὑποτίθεται τὴν κατὰ πάντα αὐτῇ ἀντικειμένην. καὶ κατὰ τὸν τρόπον. καὶ

αἱ ἥτις ρ.

Solutio tertiae dubitationis.

μὴ γὰρ καὶ περὶ ὡρισμένης ταῦτο τὴν ἀντιστροφήν. καὶ αὐτὴ πάσης ὕλης, οὐ λέγεται ἀντιστρέφειν. διότι αὕτη ἐπιστημονική ἐστιν ἡ τῶν φιλοσόφων διδασκαλία. ἡ δὲ αὐτὴ ἐστὶ καὶ τῶν καθόλου ἐστὶ, καὶ οὐχὶ τῶν μερικῶν.

» ΤΟΝ αὐτὸν δὲ τρόπον ἕξει καὶ ἐπὶ τῶν ἀναγκαίων προτάσεων. ἡ μὲν καθόλου στερητικὴ, καθ
» όλου ἀντιστρέφει. τῶν δὲ καταφατικῶν, ἑκατέρα κατὰ μέρος.

Τ οῦτό φησιν ὅτι αἱ ἀναγκαῖαι προτάσεις, ταῖς ὑπαρχούσαις ὁμοίως ἀντιστρέφουσι. τίνι οὖν διαφέρουσι; τῷ τὴν μὲν τῆς ὑπάρχειν πρότασιν ἑαυτῇ ἀρκεῖσθαι πρὸς τὴν προφοράν. οἷον σωκράτης ὑπάρχει. τὴν δὲ ἀναγκαῖον ἐκείνης προσδεῖσθαι. οἷον σωκράτης ἐξ ἀνάγκης ὑπάρχει. τὸ αὐτὸ δὲ αἴτιον καὶ τοῦ τὴν τῆς ὑπάρχειν προτετάχθαι τῆς ἀναγκαίας, ὡς ἁπλουστέραν. τρίτη δὲ ἡ ἐνδεχομένη, διὰ τὸ περὶ τὸν μέλλοντα εἶναι χρόνον.

» ΕΙ ΜΕΝ γὰρ ἀνάγκη τὸ α τῷ β μηδενὶ ὑπάρχειν. ἀνάγκη καὶ τὸ β τῷ α μηδενὶ ὑπάρχειν. εἰ γὰρ
» τινὶ ἐνδέχεται, καὶ τὸ α τῷ β τινὶ ἐνδέχοιτο ἄν.

Ε ἐνταῦθα γενομένους ἡμᾶς, δεῖ ζητῆσαι τίνος χάριν ἐν μὲν τῷ περὶ ἑρμηνείας, οὐκ ἐμνημόνευσε τούτων τῶν προτάσεων ὁ ἀριστοτέλης. λέγω δὲ τῆς ἀναγκαῖον μηδενὶ εἶναι. καὶ τῆς ἀναγκαῖον παντὶ εἶναι. καὶ τῆς ἐνδέχεται παντὶ εἶναι. ὁμοίως δὲ καὶ τῶν μερικῶν. ἀλλ᾽ ἐκεῖ μὲν ὡς περὶ ἀπροσδιορίστων καὶ μόνον, ποιεῖται τὸν λόγον ἁπλῶς δυνατὸν εἶναι. ἐνδεχόμενον εἶναι. οὐκ ἀναγκαῖον εἶναι. δυνατὸν μὴ εἶναι. καὶ παρακατιὼν ὅπου δεῖ καὶ τὰς ἀκολουθούσας ἀλλήλαις ἐζήτει. ὡς περὶ ἀπροσδιορίστων διαλέγεται ἁπλῶς. τὸ μὲν οὖν ἀδύνατον καὶ οὐκ ἀδύνατον τῷ ἐνδεχομένῳ. καὶ τῷ δυνατῷ καὶ μὴ ἐνδεχομένῳ ἀκολουθεῖ. ἐν δὲ τῇ προκειμένῃ πραγματείᾳ, ὡς περὶ προσδιωρισμένων προτάσεων τῶν μετὰ τρόπου διαλέγεται. δεῖ δὲ πάλιν καὶ τοῦτο ζητῆσαι, πῶς τὰς προτάσεις ἃς ἐν τῷ περὶ ἑρμηνείας καταφάσεις εἶπεν, ἐνταῦθα ἀντὶ ἀποφάσεων παραλαμβάνεται. τὴν γὰρ ἀνάγκη μὴ εἶναι. καὶ ἐνδέχεται μὴ εἶναι. καταφάσεις λέγων εἶναι ἐν τῷ περὶ ἑρμηνείας. ὡς γάρ αὖ φησι τὸ ἔστιν. καὶ τὸ μὴ ἔστι προσκατηγορῆται κατάφασιν εὐθὺς ποιεῖ, ταύτας νῦν ἀποφάσεις ποιεῖ. βουλόμενος γὰρ δεῖξαι τὴν καθόλου ἀποφατικὴν τῆς ἀναγκαίου τρόπου καὶ τῆς ἐνδεχομένου ἀντιστρέφουσας, ταύταις ἐχρήσατο ἃς ὡς εἶπον καταφάσεις ἐν τῷ περὶ ἑρμηνείας φησίν. ἔτι καὶ τοῦτο ζητοῦμεν τί δήποτε τῇ ἀναγκαίᾳ καθόλου ἀποφατικῇ προτάσει, μὴ ἀντέθηκε τὴν μερικὴν τῆς ἀναγκαίου καταφατικὴν ἀλλὰ τὴν ἐνδεχομένην. εἰπὼν γὰρ εἰ μὲν γὰρ ἀνάγκη τὸ α τῷ β μηδενὶ ὑπάρχειν. ἀνάγκη καὶ τὸ β τῷ α μηδενὶ ὑπάρχειν. εἶτα τῇ εἰς ἄτοπον ἀπαγωγῇ χρήσασθαι βουλόμενος, ἐπήγαγεν. εἰ γὰρ τινὶ ἐνδέχεται. καὶ οὐκ εἶπεν εἰ γὰρ τινὶ ἀνάγκη. καὶ ἔτι πρὸς τούτοις ζητητέον πῶς ἐχρήσατο τῇ τῆς ἐνδεχομένου μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ μήπω δείξας περὶ αὐτῆς. λέγομεν οὖν πρὸς ταῦτα. καὶ πρότερόν γε πρὸς τὴν προτέραν ἀπορίαν τὴν λέγουσαν. διατί ἐν μὲν τῷ περὶ ἑρμηνείας, ὡς περὶ ἀπροσδιορίστων διαλέγεται. ἐνταῦθα δὲ ὡς περὶ προσδιωρισμένων. φημὶ οὖν ὅτι ἐν μὲν τῷ περὶ ἑρμηνείας, ὡς πολλὴν ἀσάφειαν ἅμα καὶ βραχυλογίαν ἐπιτηδεύσας, καὶ βουληθεὶς πολλὰ ἐν ὀλίγοις καὶ ἀσαφέσι περιλαβεῖν, τοῦτο πεποίηκεν. ἡμῖν ἐπιτρέψας τὰ λοιπὰ προσυπακούειν. προδιδάξας γὰρ περὶ τῶν προσδιορισμῶν. εἶτα προελθὼν εἰς τὴν διδασκαλίαν τῶν μετὰ τρόπου προτάσεων. ὡς μὲν περὶ προσδιωρισμένων αὐτῶν διαλέγεσθαι, περιττὸν ἐγένετο. πλέον μηδὲν περὶ τῶν προσδιορισμῶν λέγειν ἔχων. ἁπλῶς δὲ ὡς μετὰ τρόπου περὶ αὐτῶν διαλέγεται. ἐνταῦθα δὲ γενόμενος καὶ περὶ γενέσεως συλλογισμοῦ μέλλων διαλαμβάνειν, οὐκ ἂν ἐκ τῶν ἠδύνατο τοῦτο ποιῆσαι. ἵνα μή τις αὐτὸν ὑπολάβῃ τῷ ὅτι περὶ ἀπροσδιορίστων διαλέγεσθαι καὶ μόνον. καὶ ὅτι τοῖς προσδιορισμοῖς ἀκολούθως συνάγεται καὶ τὰ συμπεράσματα. ἄνευ μὲν γὰρ καθολικῆς προτάσεως συλλογιστικὸν οὐ γίνεται σχῆμα. μερικοῦ δὲ προσδιορισμοῦ ἐν ταῖς προτάσεσι παραληφθέντος, καὶ τὸ συμπέρασμα μερικὸν συνάγεται. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἀναγκαίως ἄρα οὐ περὶ ἀπροσδιορίστων μόνον, ἀλλὰ καὶ ὡς προσδιωρισμένων διαλέγεται τῶν μετὰ τρόπου προτάσεων. οὕτω μὲν οὖν τὴν πρώτην ἀπορίαν ἀποκρινόμεθα. καιρὸς δὲ λοιπὸν ἐπὶ τὴν ἑτέραν μετελθεῖν ζήτησιν τὴν λέγουσαν. διατί καταφάσεις ἐνταῦθα παραλαμβάνει ἀντὶ ἀποφάσεων. τινὲς μὲν πρὸς τοῦτο ἀπολογούμενοι φασιν. ὅτι ἄλλο ἐστὶν ἀναγκαία ἀπόφασις. καὶ ἄλλο ἀναγκαίας ἀπόφασις. ἀναγκαίας μὲν γάρ ἐστιν ἀπόφασις, ἡ τὸν τρόπον μόνον ἀναιροῦσα. οἷον οὐκ ἀναγκαῖον τὸν ἄνθρωπον λευκὸν εἶναι. ἀναγκαία δὲ ἐστὶν ἀπόφασις, ἡ μὴ μόνον τὸν τρόπον. ἀλλὰ καὶ τὴν ὅλην ἀναιροῦσα πρότασιν. οἷον ἀνάγκη τὸν ἄνθρωπον μὴ εἶναι λευκόν. ἐν μὲν οὖν τῷ περὶ ἑρμηνείας φησὶ παραδέδωκεν ἡμῖν τὴν ἀπόφασιν τῆς ἀναγκαίας. ἐνταῦθα δὲ τὴν ἀναγκαίαν ἀπόφασιν. τοῦτο δὲ γλαφυρὸν μέν ἐστι τὸ θεώρημα οὐχ ἱκανὸν δὲ ἀποπληρῶσαι τὴν ἀπορίαν ἡμῶν. ζητήσομεν γὰρ πάλιν οὐδὲν ἧττον. διατί ἐν τῷ περὶ ἑρμηνείας οὐ παραδέδωκε τὴν ἀπόφασιν τὴν ἀναγκαίαν. ἢ ἐνταῦθα περὶ τῆς τῆς ἀναγκαίου ἀποφάσεως. ἑκατέρα γὰρ οὕτως ἀτελὴς ἡ πραγματεία. τί οὖν ἡμεῖς λέγομεν. ὅτι τὰς ἀντιθέσεις τῶν ἀναγκαίων προτάσεων, διχόθεν ἐστὶ λαβεῖν. λαμβάνονται γὰρ αἱ ἀντικείμεναι προτάσεις, ἢ ὡς τὸν τρόπον μόνον ἀναιροῦσαι, ἢ ὡς ὅλην τὴν πρότασιν. οἷον τῇ λέγω τῇ λεγούσῃ ἀνάγκη

παντί,

πρῶτον, ὅτι οὐδὲν θαυμαστὸν εἰ μὴ προδιδάξας περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς, κέχρηται αὐτῇ. ἐπεὶ καὶ οἱ γεωμέτραι κεχρημένοι πολλάκις αὐτῇ ἐν τοῖς θεωρήμασιν, οὐδὲν περὶ αὐτῆς διδάσκουσιν. ἀρκεῖ γὰρ ταῖς ἐννοίαις ἡμῶν ἃς ἔχομεν φυσικῶς περὶ αὐτῆς. ἐπεὶ καὶ ἐν τῇ συνηθείᾳ πολλάκις, αὐτοφυῶς αὐτῇ κεχρήμεθα. πρὸς δὲ τοὺς λέγοντας ὅτι ἐν τῇ δείξει τῆς καθόλου ἀποφατικῆς ἐχρήσατο τῇ μερικῇ καταφατικῇ ὡς ἀντιστρεφούσῃ μήπω τοῦτο διδάξας, ἐκεῖνο φαμέν. ὅτι οὐκ ἀπεχρήσατο αὐτῇ ὡς ὁμολογουμένῃ, ἀλλὰ τῇ διὰ ἐκθέσεως δείξει ἐχρήσατο, τουτέστι τῇ διὰ τῶν καθ' ἕκαστα. οὐ γὰρ εἶπεν οὕτως. εἰ γάρ τινι τῷ α τὸ β, καὶ τὸ α τινὶ τῷ β. ἀλλὰ πῶς; εἰ γάρ τινι τὸ α τῷ β, καὶ τὸ β τῷ γ, ὥστε τῇ ἐπαγωγικῇ ἐχρήσατο δείξει, τούτου λυθέντος, λέλυται καὶ τὸ λοιπόν. οὐ γὰρ τῇ δι' ἀλλήλων δείξει ἐχρήσατο. τὴν μὲν γὰρ μερικὴν καταφατικὴν, διὰ τῆς καθόλου ἀποφατικῆς δείκνυσιν, ὡς ὁμολογουμένης διὰ τὸ προδιδάξαι περὶ αὐτῆς. τὴν καθόλου ἀποφατικὴν, οὐκέτι διὰ τῆς μερικῆς καταφατικῆς ἔδειξε. πῶς γὰρ ἔμελλεν ἀγνοούντων ἡμῶν εἴ γε ὅλως ἀντιστρέφει πρὸς ἑαυτὴν ἡ μερικὴ καταφατική; ἀλλ' ὡς εἴρηται τῇ δι' ἐκθέσεως δείξει ἐχρήσατο.

ΕΙ ΔΕ παντὶ τὸ α τῷ β. καὶ τὸ β τινὶ τῶν α ὑπάρξει. εἰ γὰρ μηδενί, οὐδὲ τὸ α οὐδενὶ τῷ β ὑπάρξει. ἀλλ' ὑπέκειτο παντὶ ὑπάρχειν. ὁμοίως δὲ καὶ εἰ κατὰ μέρος ἐστὶν ἡ πρότασις.

Α Προδείξας τὴν ἀντιστροφὴν τῆς καθόλου ἀποφατικῆς, νῦν ἀκολούθως μετέρχεται ἐπὶ τὴν καθόλου καταφατικήν. καὶ ἀποδείκνυσιν αὐτὴν μὴ ἀντιστρέφειν πρὸς ἑαυτὴν. ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικὴν καί φησιν οὕτως. εἰ παντὶ τὸ α τῷ β, καὶ τὸ β τινὶ τῷ α. εἶτα πάλιν ἐκ τοῦ ἀξιώματος τῆς ἀντιφάσεως, τῇ εἰς ἄτοπον ἀπαγωγῇ δείκνυσιν, οὕτως ἔχουσαν τὴν ἀντιστροφήν. εἰ γὰρ μή τινι δῆλον ὅτι οὐδενὶ τὸ β τῷ α. εἰ δὲ οὐδενὶ τὸ β τῷ α, οὐδὲ τὸ α οὐδενὶ τῷ β. ἐδείχθη γὰρ ἡ καθόλου ἀποφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα. ὑπέκειτο δὲ καὶ παντὶ τῷ α τὸ β. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενὶ ὑπάρχει, ὅπερ ἄτοπον. ἔστωσαν ἐπὶ ὑποδείγματος ὅροι ζῷον καὶ ἄνθρωπος. εἰ τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου. καὶ ὁ ἄνθρωπός τινι ζῴῳ ὑπάρξει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ ἀντιφατικῶς ἀντικείμενον λέγω δὲ τὸ οὐδενί. οὐκοῦν ὁ ἄνθρωπος, οὐδενὶ ζῴῳ ὑπάρχει. ἐδείχθη δὲ αὐτῇ ἀντιστρέφουσα πρὸς ἑαυτήν. οὐκοῦν καὶ τὸ ζῷον οὐδενὶ ἀνθρώπῳ. ἦν δὲ καὶ παντί. τὸ αὐτὸ ἄρα καὶ παντὶ καὶ οὐδενί. Ἐπιχειροῦσι δὲ πάλιν καὶ ταύτην διὰ παραδειγμάτων τινὲς ἐλέγχειν τὴν ἀντιστροφήν. λέγοντες οὕτω πᾶς γέρων νέος ἦν πρότερον. τοῦτο ἀληθές. ἆρα οὖν ἀληθές ἐστι καὶ ἀντιστρέψαντας εἰπεῖν τις νέος πρεσβύτης ἦν; οὐδαμῶς. καὶ πάλιν πᾶσα γυνὴ παρθένος ἦν πρότερον. ἀλλ' ἡ ἀντιστροφὴ οὐκ ἀληθής, τὶς παρθένος γυνὴ ἦν. Τὸ δὲ αὐτὸ καὶ πρὸς τούτους ῥητέον ὃ καὶ πρὸς τοὺς ἄλλους. ἀντιστρέφοντες γὰρ ὅλον τὸ κατηγορούμενον, ὀρθῶς τὴν ἀντιστροφὴν ποιησόμεθα. ἐν τῇ τοίνυν προτάσει τῇ λεγούσῃ πᾶς γέρων νέος ἦν, ἐστὶν ὑποκείμενος μὲν ὁ γέρων, ἔχων συνσημαινόμενον αὐτῷ τὸν ἐνεστῶτα χρόνον. τί γὰρ φαμὲν ὅτι πᾶς γέρων ὢν ἐπὶ τοῦ παρόντος, ὁ δὲ κατηγορούμενος ὁ νέος μετὰ χρόνου παρῳχημένου. νέος γὰρ ἦν. οὕτως οὖν ποιησόμεθα τὴν ἀντιστροφὴν φυλάττοντες ἀκεραίους τοὺς ὅρους. τὶς νέος ὢν πρότερον. πρεσβύτης ἐστί. καὶ τὶς παρθένος οὖσα πρότερον γυνή ἐστιν.

ΕΙ γὰρ τὸ α τινὶ τῷ β, καὶ τὸ β, τινὶ τῷ α ἀνάγκη ὑπάρχειν. εἰ γὰρ μηδενί, οὐδὲ τὸ α οὐδενὶ τῷ β, ὑπάρξει.

Ρ Περὶ τῆς μερικῆς καταφατικῆς ἦν βουλόμενος κατασκευάσαι ὅτι ἀντιστρέφει πρὸς ἑαυτὴν κέχρηται πάλιν τῇ καθόλου ἀποφατικῇ εἰς ἄτοπον ἀπάγων τὸν λόγον. ὡς ἤδη διδάξας ἀντιστρέφουσαν αὐτὴν πρὸς ἑαυτήν. ἔστωσαν δὲ ὅροι ὡς ἐπὶ παραδείγματος ἄνθρωπος καὶ λευκόν. εἰ τοίνυν ἄνθρωπός τινι λευκῷ ὑπάρχει. καὶ λευκόν τινι ἀνθρώπῳ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδος, ἀληθὲς τὸ οὐδενὶ ἀνθρώπῳ λευκὸν ὑπάρχει. οὐκοῦν καὶ ἄνθρωπος οὐδενὶ λευκῷ ὑπάρχει. ἀντιστρέφει γὰρ ὡς δέδεικται. ἦν δὲ καὶ τινί. τὸ αὐτὸ ἄρα καὶ τινὶ καὶ οὐδενὶ ὅπερ ἄτοπον. οὕτω μὲν οὖν ἡ μερικὴ καταφατικὴ ἀεὶ πρὸς ἑαυτὴν ἀντιστρέφει. εἰ δέ ποτε καὶ πρὸς τὴν καθόλου ἀντιστρέφει, οὐ δι' ἑαυτὴν τοῦτο πάσχει. ἀλλὰ διὰ τὴν παραληφθεῖσαν ὕλην. οἷον ἄνθρωπός τινι ζῴῳ. καὶ ζῷον παντὶ ἀνθρώπῳ.

ΕΙ δέ γε τὸ α τινὶ τῷ β μὴ ὑπάρχει, οὐκ ἀνάγκη καὶ τὸ β τινὶ τῷ α μὴ ὑπάρχειν. οἷον εἰ τὸ μὲν β, ἐστὶ ζῷον. τὸ δὲ α, ἄνθρωπος. ἄνθρωπος μὲν γὰρ, οὐ παντὶ ζῴῳ. ζῷον δὲ παντὶ ἀνθρώπῳ ὑπάρχει.

Ε Ἐντεῦθεν τὴν μερικὴν στερητικὴν ἐξετάζει. καί φησι πρὸς μηδεμίαν αὐτὴν ἀντιστρέφειν. τοῦτο δὲ διότι οὔτε πρὸς οὐδεμίαν ὡρισμένως, οὐδ' ὅτι ἀντιστρέφει ἢ πρὸς ἑαυτὴν ἢ πρὸς ἄλλην ἐπὶ πάσης ὕλης τοῦτο ποιεῖ. ἐπὶ μὲν γὰρ τῆς ἐνδεχομένης ὕλης, πρὸς ἑαυτὴν ἀντιστρέφει. καὶ πρὸς τὴν μερικὴν καταφατικὴν οἷον οὐ πᾶς ἄνθρωπος λευκός. καὶ οὐ πᾶν λευκὸν ἄνθρωπος, ἀλλὰ καὶ τὶ λευκὸν ἄνθρωπος. ἐπὶ δὲ τῆς ἀναγκαίας ὕλης πρὸς τὴν καθόλου καταφατικὴν ποιεῖται τὴν ἀντιστροφήν. οὐ πᾶν ζῷον ἄνθρωπος. καὶ πᾶς ἄνθρωπος ζῷον. ἐπὶ δὲ τῆς ἀδυνάτου πρὸς τὴν καθόλου ἀποφατικήν. οὐ πᾶς λίθος πτερωτός. οὐδὲν πτερωτὸν λίθος. τὸ δὲ οὐ πᾶς εἴρηται ἐπὶ τῶν τοιούτων ἐν τῷ περὶ ἑρμηνείας, πῶς λέγεται. τὸ γὰρ οὐ πᾶς λίθος πτερωτὸς, πρὸς ἀναίρεσιν τῆς πᾶς. εἰπούσης γὰρ ἐκείνης, πᾶς λίθος πτερωτὸς, αὕτη φησὶν ὅτι ψεῦδός ἐστι τὸ πᾶς καὶ ἀναιρεῖ αὐτὸ διὰ τοῦ ἀρνητικοῦ μορίου. οὐκ ἔτι μέντοι καὶ τὸ τὶς εἰσάγει. διά τοι τοῦτο, λέγω δὲ τὴν ἀοριστίαν αὐτῆς. φησὶν αὐτὴν πρὸς μηδεμίαν ἀντιστρέφειν. εἰ

ἐβούλετο ὅλην αὐτὴν τῶν στοιχείων παραλαμβάνει δειχθεῖσαν καθολικῶς τε καὶ ἀΰλως, ἀλλ' ἐπὶ τῶν στοιχείων τοῦ λόγου. τὸ μὲν γὰρ καθόλου λόγος ἐλέγχει μὲν καὶ ἐν παραδείγματι ὡς ἤδη εἴρηται. κατασκευάζει δὲ ἡ διὰ πάντων τῶν κατὰ μέρος διέξοδος, ὅπερ ἐστὶν ἄπειρον καὶ ἀδύνατον, ἢ ἡ διὰ καθολικοῦ κανόνος πίστις ὅπερ ποιεῖ νῦν διὰ τῶν στοιχείων. διδοὺς ἑκάστῳ ὥσπερ εἴρηται ἐπ' ἐξουσίας χρῆσθαι καὶ ὑποβάλλειν αὐτὰ τῶν στοιχείων. ὅσας ἂν βούληται ὕλας ὅρους. εἰ οὖν μηδενὶ τῷ β τὸ α ὑπάρξει, οὐδὲ τῷ α οὐδενὶ ὑπάρξει τὸ β. εἰ γὰρ αὐτὶ μὲν τοῦ α λάβωμεν, πλίνθον· αὐτὶ δὲ τοῦ β ἄνθρωπον· εὑρήσομεν ὅτι ὡς ἐπὶ τὸ πλίνθον οὐδενὶ ἀνθρώπῳ ὑπάρχει, οὕτως ἔμπαλιν, οὐδεὶς ἄνθρωπος πλίνθῳ ὑπάρχει. ποτὲ δὲ γίνεται ἕκαστον τῶν στοιχείων ὑποκείμενον, ἐκ τοῦ προσδιορισμοῦ αὐτοῦ γνωσόμεθα. ᾧ γὰρ ἂν ὁ προσδιορισμός πρόσκειται, τοῦτό ἐστιν ὑποκείμενον. τὸ δὲ ἕτερον δῆλον ὅτι κατηγορεῖται.

ΕΙ γὰρ τινὶ οἷον τῷ γ, οὐκ ἀληθὲς ἔσται τὸ, μηδενὶ τῶν β τὸ α ὑπάρχειν.

Πρὸς ἐπίδειξιν γυμνάσας τὸν λόγον καθ' ὑπόθεσιν λαμβάνει. καὶ τῇ εἰς ἄτοπον ἀπαγωγῇ κέχρηται. προσχρώμενος τῷ ἀξιώματι τῆς ἀντιφάσεως. ἴσμεν γὰρ ὅτι ἀεὶ τῶν ἀντιφατικῶς ἀντικειμένων. ὁ δ' ἂν φεύγοι τὴν ἀπόφασιν, τοῦτο ἐν τῇ καταφάσει εὑρεθήσεται. εἰ οὖν φησὶ συγχωρεῖ τις, πρὸς τὴν καθόλου ἀπόφασιν γενέσθαι τὴν ἀντιστροφήν. τουτέστι πρὸς ἑαυτήν. ἀνάγκη πάντη τε καὶ πάντως πρὸς τὴν μερικὴν κατάφασιν γενέσθαι τὴν ἀντιστροφὴν οὕτω. τὸ α οὐδενὶ τῶν β ὑπάρχει. λέγω φησὶν ὅτι καὶ τὸ ἀνάπαλιν. οὐδὲ τὸ β οὐδενὶ τῷ α ὑπάρξει. εἰ γὰρ τοῦτό φησι ψεῦδος, ἀληθὲς δῆλον ὅτι τὸ ἀντιφατικῶς ἀντικείμενον αὐτῷ τὸ τινί. ἔστω οὖν φησὶ τὸ β τινὶ τῶν α ὑπάρχειν. ὑποκείσθω οὖν φησὶ τὸ μέρος τοῦ α ᾧ ὑπάρχει τὸ β καὶ τοῦ β, οἷον τὸ γ. εἰ δὲ τοῦτο, τὸ γ ἄρα κοινὸν μέρος ἐστὶ τοῦ τε α καὶ τοῦ β. τοῦ μὲν β καθὸ κατηγορεῖται κατ' αὐτοῦ. τὸ γὰρ κατηγορούμενον περιεκτικόν ἐστιν ἐκείνου οὗ κατηγορεῖται. τὸ δὲ περιεχόμενον, μέρος ἐστὶ τοῦ περιέχοντος. ὡς ὁ ἄνθρωπος τοῦ ζῴου μέρος. τὸ γὰρ ζῷον, τοῦ ἀνθρώπου κατηγορεῖται καὶ περιέχει αὐτόν. ἦν δὲ τὸ αὐτὸ τοῦτο καὶ τοῦ α μέρος. ἐπειδὴ ἡ ὑπόθεσις τοῦτο παρέχει. ὅτι τὸ β ὑπάρχει μέρος τοῦ α. εἰ τοίνυν τὸ γ καὶ τοῦ α ἐστὶ μέρος καὶ τοῦ β, περιέχεται τὸ γ ὡς ὑπὸ ὅλου μέρος. καὶ ὑπὸ τοῦ α δι' αὐτὸ τοῦτο. κατηγορηθήσεται ἄρα τὸ α κατὰ τοῦ γ. ὄντος μέρους τοῦ β. ὑπέκειτο δὲ ἐξ ἀρχῆς καὶ μηδενὶ ὑπάρχειν τὸ α τῷ β. τὸ αὐτὸ ἄρα τῷ αὐτῷ, καὶ οὐδενὶ ὑπάρξει καὶ τινὶ ὅπερ ἄτοπον. ἴσως δὲ καὶ ἐπὶ ὕλης ὁ λόγος σαφέστερος γένηται, ἀποδώσομεν οὕτως. ζῷον οὐδενὶ λίθῳ ὑπάρχει. λέγω ὅτι καὶ λίθος οὐδενὶ ζῴῳ ὑπάρχει. εἰ γὰρ τοῦτο ψεῦδός ἐστιν, ἀληθὲς πάντως τὸ τινὶ ζῴῳ λίθος ὑπάρχει. ἔστω οὖν μέρος τοῦ ζῴου οἷον, ἵππος ᾧ ὑπάρχει ὁ λίθος. ὥστε εἶναι τὸν ἵππον λίθον. εἰ τοίνυν τὶ ζῷον λίθος. οἷον ὁ ἵππος, καὶ ὁ λίθος τὶ ζῷόν ἐστιν ὁ αὐτός. ἐλέγετο δὲ καὶ μηδὲν ζῷον εἶναι λίθος. καὶ οὐδὲν ἄρα ζῷον λίθος. καὶ τὶ ζῷον λίθος. ὅπερ ἄτοπον. οὕτω μὲν οὖν ὁ Ἀριστοτέλης δείκνυσι τὴν καθόλου ἀποφατικὴν πρὸς ἑαυτὴν ἀντιστρέφουσαν. οἱ δὲ τοῦ Ἀριστοτέλους ἑταῖροι, οἱ περὶ τὸν Θεόφραστον καὶ Εὔδημον, σαφέστερον καὶ ἁπλούστερον τοῦτο κατασκευάζουσι. φασὶ γὰρ ὅτι εἰ τὸ α κατὰ μηδενός ἐστι τοῦ β, πάντων τῶν μερῶν αὐτοῦ κεχώρισται. τὸ δὲ κεχωρισμένον, κεχωρισμένου κεχώρισται. ὥστε καὶ τὸ β οὐδενὶ τῷ α ὑπάρξει. τὸ γὰρ κεχωρισμένον, τῶν πρός τι ἐστί. τινὸς γάρ ἐστι κεχωρισμένον. τὰ δὲ πρός τι, πρὸς ἀντιστρέφοντα λέγεται, ὁμοίως ἄρα καὶ τὸ β οὐδενὶ τῷ α ὑπάρχει. λαμβάνονται δὲ πολλοὶ τῆς ἀντιστροφῆς ὡς μὴ ἀληθευούσης. καὶ διὰ παραδειγμάτων ἐλέγχειν πειρῶνται τὸν λόγον λέγοντες οὕτως. οὐδεὶς τοῖχος ἐν πιθάκνῃ ἐστί. τοῦτο ἀληθές ἐστιν. ἄρα οὖν φησι καὶ ἀντιστρέψαντες ὑγιῶς ἀποφαινόμεθα. οὐδεμία πιθάκνη ἐν τοίχῳ. ἀλλὰ τοῦτο ψεῦδος. καὶ πάλιν οὐδεμία κολοκύνθη μάχαιραν τέμνει. τοῦτο πάλιν ἀληθές. ἐν δὲ ἀντιστροφῇ, οὐκ ἀληθές. οὐδεμία μάχαιρα κολόκυνθαν τέμνει. καὶ πάλιν. οὐδεὶς κέραμος ἐν οἴνῳ. ἀλλ' ἡ ἀντιστροφὴ οὐκ ἀληθές. οὐδεὶς οἶνος ἐν κεράμῳ ἐστί. φαμὲν οὖν πρὸς ταῦτα. ὅτι εἰ ὑγιῶς ποιοίμεθα κἀπὶ τούτων τὴν ἀντιστροφὴν ὅλον τὸν κατηγορούμενον ἀντιστρέφοντες, εὑρήσομεν καὶ ἐν τούτοις ἀληθῆ τὸν λόγον. συνέβη γὰρ ὁ παραλογισμός, τὸ μὴ ὅλον τὸν κατηγορούμενον ἐν τῇ ἀντιστροφῇ ποιῆσαι ὑποκείμενον. εἰ γὰρ ὅλον αὐτὸν ἀντιστρέψαιμεν, εὑρεθήσεται ὑγιὴς ἡ ἀντιστροφή, τίς οὖν ὁ ὑποκείμενος, καὶ τίς ὁ κατηγορούμενος ἐν τῷ λόγῳ τῷ λέγοντι, οὐδεὶς τοῖχος ἐν πιθάκνῃ ἐστί. ὑποκείμενος μὲν ὁ τοῖχος. κατηγορούμενος δέ, τὸ ἐν πιθάκνῃ ὄν. τοῦτο οὖν ὅλον ἐν τῇ ἀντιστροφῇ, ποιήσομεν ὑποκείμενον. οὐδὲν ἐν πιθάκνῃ ὂν τοῖχός ἐστι. καὶ ἔστιν ἀληθὴς ὁ λόγος. ὁμοίως κἀπὶ τῶν ἄλλων, οὐδεμία κολοκύνθη μάχαιραν τέμνει. κατηγορεῖται τὸ μάχαιραν τέμνειν. ἀντιστρέφοντες οὖν οὕτω φήσομεν, οὐδὲν ἐν μάχαιραν τέμνον κολοκύνθη ἐστί. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. οὐδεὶς κέραμος ἐν οἴνῳ ἐστίν. οὐδὲν ἐν οἴνῳ ὂν κέραμός ἐστιν. ἀπορήσειε δέ τις πρὸς τὴν Ἀριστοτελικὴν δεῖξιν τῆς ἀντιστροφῆς, τῆς καθόλου ἀποφατικῆς. πρῶτον μὲν ὅτι ἐν τῇ εἰς ἄτοπον ἀπαγωγῇ ἐχρήσατο τῇ μερικῇ καταφατικῇ, ὡς ἀντιστρεφούσῃ πρὸς ἑαυτὴν τούτου μήπω δεδειγμένου, εἶπε γάρ. εἰ γὰρ ἐστί τινι τὸ β τῶν α, οἷον τῷ γ, οὐκ ἀληθὲς ἔσται τὸ μηδενὶ τῶν β τὸ α ὑπάρχειν. τὸ γὰρ γ τῶν β τί ἐστιν ᾧ ὑπάρχει τὸ α. δεύτερον δὲ ὅτι τῇ δι' ἀλλήλων δείξει ἐχρήσατο. εἰ γὰρ ἐν τῇ δείξει τῆς καθόλου ἀποφατικῆς κέχρηται τῇ μερικῇ καταφατικῇ. καὶ ἐν τῇ δείξει τῆς μερικῆς καταφατικῆς τῇ καθόλου ἀποφατικῇ, δῆλον ὅτι δι' ἀλλήλων ἡ δεῖξις. καὶ τρίτον ὅτι τῇ εἰς ἀδύνατον ἀπαγωγῇ κέχρηται μηδὲν ἡμᾶς προδιδάξας περὶ αὐτῆς. λέγομεν οὖν πρὸς τὸ πρῶτον

προτάσεων διαλαμβάνει, ὡς συμβαλλομένης αὐτῷ εἰς τὸν περὶ συλλογισμῶν λόγον. τῶν δὲ ἄνευ τρόπου προτάσεων, οὐδεμίαν μνήμην ἐνταῦθα ἐποιήσατο. οἱ δὲ συλλογισμοὶ οὐ μόνον εἰσὶ μετὰ τρόπου· ἀλλά, καὶ ἄνευ τρόπου. δῆλον ὅτι ἀτελὴς ἔσται ἡ περὶ συλλογισμῶν πραγματεία. οὐ μόνον δὲ αὕτη ἀλλὰ καὶ ἡ περὶ ἑρμηνείας ἀτελὴς ἔσται. οὐ γὰρ ἐμνήσθη ἐκεῖ τοῦ ὑπάρχοντος τρόπου. φαμὲν ὅτι τὸν ὑπάρχοντα προστίθησι. δηλῶν τὰς ἄνευ τρόπου προτάσεις. οὕτω γὰρ τὸ εἶναι ἄνευ καλεῖ. ἀμέλει γοῦν ἐν τῷ περὶ ἑρμηνείας, πρὶν ἢ ὅλως περὶ τρόπου διαλεχθῆ ἢ περὶ προτάσεως ὅλως. μέλλων παραδοῦναι τὰς ἀντιφατικῶς ἀντικειμένας καταφάσεις καὶ ἀποφάσεις, οὕτω φησίν· ἐπεὶ δέ ἐστιν ἀποφαίνεσθαι καὶ τὸ ὑπάρχον ὡς μὴ ὑπάρχον. καὶ τὸ μὴ ὑπάρχον, ὡς ὑπάρχον τέως, ἐπειδὴ καὶ τὸ ὂν ἔστιν ἀποφαίνεσθαι μὴ ὄν. καὶ τὸ μὴ ὄν, ὄν. ὥστε τὸ ὑπάρχον, ἀντὶ ὄντος παρέλαβε. δέδεικται ἄρα ὅτι τὰς ἄνευ τρόπου προτάσεις, διὰ τοῦ ὑπάρχοντος δηλοῖ. τὰς τὸ ἔστι ἐχούσας ἢ τι δυνάμει ἢ τι ἐνεργείᾳ. εἰ δέ τις εἴποι ὅτι ἐκεῖ περὶ πασῶν τῶν προτάσεων διελέγετο, ψευδῶς ἐρεῖ. προσελθὼν γὰρ καὶ γενόμενος ἐν ταῖς μετὰ τρόπου προτάσεσι, τὸ αὐτὸ ζητεῖ λέγων οὕτως, τούτων δὲ διωρισμένων σκεπτέον ἐφεξῆς, πῶς ἔχουσιν αἱ καταφάσεις πρὸς ἀλλήλας. αἱ τοῦ δυνατὸν εἶναι, καὶ μὴ δυνατὸν εἶναι. ὡς ἄγε περὶ πασῶν εἰρήκει, οὐκ ἂν ἐδεήθη τοῦ νῦν λόγου. ἄλλως τε καὶ εἰ οὕτω νοήσωμεν, συμβήσεται τὸν φιλόσοφον ὡς ἤδη ἡμῖν εἴρηται, ἢ ἐν τῷ περὶ ἑρμηνείας ἐλλιπῶς εἰρηκέναι. ἢ ἐνταῦθα περιττολογεῖν. καὶ ὅτι ἑπόμενα τῷ αὐτῷ σκοπῷ λέγομεν, μαρτυρεῖ καὶ ἐνταῦθα τὰ παρ' αὐτοῦ εἰρημένα. λέγει γὰρ οὕτως.

» ΕΠΕΙ δὲ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν. ἢ τοῦ ἐνδέχεσθαι ὑπάρ-
» χειν. τούτων δέ, αἱ μὲν καταφατικαί, αἱ δὲ ἀποφατικαί, καθ' ἑκάστην πρόσρησιν. πάλιν τῶν κατα-
» φατικῶν καὶ ἀποφατικῶν, αἱ μέν εἰσι καθόλου. αἱ δέ, ἐν μέρει. αἱ δέ, ἀδιόριστοι.

Ω ἔστι δὲ πᾶσα, δῆλον ὅτι καὶ ἄνευ τρόπου πρότερον ἐβούλετο παραδοῦναι, εἰ καὶ αὖ ἔλεγε πᾶσα. πρὸς τούτοις. ζητῆσαι ἄξιον διὰ ποίαν αἰτίαν τοιαύτῃ τάξει προτάσεων ἐχρήσατο ὁ ἀριστοτέλης. καὶ προτάττει μέν, τὴν καθόλου ἀποφατικήν. δευτέραν δὲ τίθησι τὴν καθόλου καταφατικήν, τρίτην δὲ τὴν μερικὴν καταφατικήν. τετάρτην δέ, τὴν μερικὴν ἀποφατικήν. καὶ πρότερον ζητήσομεν. τίνος χάριν ἡ καθόλου ἀποφατικὴ προτέτακται τῆς καθόλου καταφατικῆς καίτοι τιμιωτέρας οὔσης. ἐροῦμεν οὖν ὅτι οὐ καθὸ ἀπόφασις προτετίμηται τῆς καταφάσεως, ἀλλὰ καθὸ αὐτὴ μὲν πρὸς ἑαυτὴν ἀντιστρέφει. ἡ δὲ καθόλου κατάφασις οὐκέτι πρὸς ἑαυτήν. ἀλλὰ πρὸς τὴν μερικὴν καταφατικήν. καὶ τίνος χάριν μὴ προτέτακται τῆς καθόλου καταφατικῆς μὴ ἀντιστρεφούσης πρὸς ἑαυτὴν ἡ μερικὴ καταφατικὴ πρὸς ἑαυτὴν ἀντιστρέφουσα. ἐροῦμεν ὅτι εἰ καὶ πρὸς ἑαυτὴν ἀντιστρέφει ἡ μερικὴ καταφατική. ἀλλ' οὖν διὰ τὸ καθόλου ἡ ἑτέρα προτετίμηται. τελευταία δὲ πασῶν ὑπόκειται ἡ μερικὴ ἀπόφασις. ἐπειδὴ ὅλως διὰ τὸ πρὸς μηδεμίαν ὡρισμένως αὐτὴν ἀντιστρέφειν. πρότερον δὲ ὁ φιλόσοφος διὰ παραδειγμάτων δείκνυσι τὰς ἀντιστροφὰς τῶν προτάσεων. καὶ τότε διὰ καθολικῶν ἀποδείξεων.

» Ἐπεὶ δὲ πᾶσα πρότασίς ἐστιν. ἐνταῦθα πάσης προτάσεως τὸ εἶδος παραδίδωσι. καὶ σκεπτέον οὕτως, ὑπάρχουσα ἢ τρόποι φησὶ ἀναγκαῖος, ἐνδεχόμενος, λεγέσθω δὲ πρὸς σαφήνειαν καὶ ὁ ὑπάρχων τρόπος. ὁ γὰρ ἀδύνατος ἐμπεριέχεται τῷ ἀναγκαίῳ. καὶ ὁ δυνατὸς τῷ ἐνδεχομένῳ. ὄντων οὖν τῶν τρόπων τριῶν καὶ πολλαπλασιαζομένων κατὰ τὸ καταφατικὸν καὶ ἀποφατικόν. γίνονται ἅπασαι ἕξ. αἵ τινες πολλαπλασιαζόμεναι κατὰ τὸ ποσόν, τὸ καθόλου. τὸ μερικόν. τὸ ἀδιόριστον, ποιοῦσι τὰ πάντα προτάσεων εἴδη δέκα καὶ ὀκτώ. τοσαῦτα οὖν ἐστιν εἴδη προτάσεων. καὶ οὔτε πλείονα οὔτε ἐλάττονα. καθ' ἑκάστην πρόσρησιν, ἀντὶ τοῦ καθ' ἑκάστην τρόπου προσθήκην.

» ΤΗΝ μὲν ἐν τῷ ὑπάρχειν καθόλου στερητικήν, ἀνάγκη τοῖς ὅροις ἀντιστρέφειν, οἷον εἰ μηδεμία ἡδο-
» νὴ ἀγαθόν. οὐδ' ἀγαθὸν οὐδὲν ἔσται ἡδονή.

Τὴν καθόλου ἀποφατικὴν σημαίνει ὑπάρχουσαν. ἀνάγκη τοῖς ὅροις ἀντιστρέφειν. σημαίνει τὴν ἁπλῆν ἀντιστροφήν. ἐν μόνοις γὰρ αὐτὴ τοῖς ὅροις ἀντιστρέφει.


» ΤΗΝ δὲ κατηγορικὴν ἀντιστρέφειν μὲν ἀναγκαῖον. οὐ μὴν καθόλου, ἀλλ' ἐν μέρει. οἷον εἰ πᾶσα ἡδο-
» νὴ ἀγαθόν, καὶ ἀγαθόν τι ἔσται ἡδονή. τῶν δὲ ἐν μέρει, τὴν μὲν καταφατικήν, ἀντιστρέφειν ἀνάγκη κατὰ
» μέρος. εἰ γὰρ ἡδονή τις ἀγαθόν. καὶ ἀγαθόν τι ἔσται ἡδονή. τὴν δὲ στερητικήν, οὐκ ἀναγκαῖον. οὐ γὰρ εἰ ὁ ἄν-
» θρωπος μὴ ὑπάρχει τινὶ ζῴῳ, καὶ τὸ ζῷον οὐχ ὑπάρχει τινὶ ἀνθρώπῳ.

Κατὰ τὸ σύνηθες αὐτῷ σύντομον ἦθος, τὴν καθόλου καταφατικὴν ὑπάρχουσαν σημαίνειν βουλόμενος. τὰ κοινὰ παρείς, ἅπερ εἶχε τῇ ἀποφατικῇ τὸ ἴδιον μόνον προσέθηκε. λέγω δὲ τὸ καταφατικόν.

» ΠΡΩΤΟΝ μὲν οὖν ἔστω στερητικὴ καθόλου, ἡ τῶν α β πρότασις. εἰ γὰρ μηδενὶ τῷ β τὸ α ὑπάρχει,
» οὐδὲ τῶν α οὐδενὶ ὑπάρξει τὸ β.

Δείξας ὅπως ἑκάστη τῶν προτάσεων ἀντιστρέφει διὰ παραδειγμάτων, ἵνα μή τις οἰηθῇ διὰ τὴν ὕλην τῶν παραληφθεισῶν προτάσεων. ἢ δι' ἕτερόν τι βοηθῆσαι αὐτῷ τὸν περὶ τῶν ἀντιστροφῶν λόγον. ἄδηλον δὲ εἶναι μήπως εἰσί τινα παραδείγματα. ἐν οἷς αἱ εἰρημέναι ἀντιστροφαὶ χώραν οὐκ ἔχουσι. διὰ τοῦτο ἐνταῦθα καθολικοὺς καὶ ἰδίας παραδίδωσι τὰ στοιχεῖα παραλαμβάνων ἀντὶ τῶν ὅρων. ἵνα ἕκαστος ἀεὶ

λύσασθαι. ζητοῦσι γάρ τινες, τί δήποτε τεσσάρων ὄντων τῶν τρόπων, ὡς ἐν τῷ περὶ ἑρμηνείας παρελάβομεν, δυνατοῦ, ἐνδεχομένου, ἀναγκαίου, ἀδυνάτου, τὸ μὲν ἀδύνατον καὶ δυνατὸν παρέλειψεν ἐνταῦθα ὁ φιλόσοφος· τὸν δὲ ὑπάρχοντα ἀπηξιωμένον ὄντα προσέθηκε. καί γε ὅλως τρόπος ἐστὶν ὁ ὑπάρχων, τί δή ποτε οὐκ ἐμνήσθη αὐτοῦ ἐν τῷ περὶ ἑρμηνείας. εἰσὶ μὲν οὖν τινες, οἳ τὸν ὑπάρχοντα τρόπον ὑπολαμβάνοντες. οἵ τινες καὶ ἐπιχειροῦσιν αὐτὸ τοῦτο κατασκευάζειν ἐκ διαιρέσεως τοιαύτης, πρὸς ἣν ἀποβλέψαντα φασὶ τὸν φιλόσοφον ποιήσασθαι τὴν νῦν διδασκαλίαν. τῶν γὰρ πραγμάτων φασί, τὰ μὲν ἀεὶ ὡσαύτως ἔχει. τὰ δὲ ἄλλοτε ἄλλως. καὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων. τὰ μὲν καθ' αὑτὰ ὑφέστηκεν ὡς τὰ οὐράνια. τὰ δὲ κατὰ συμβεβηκὸς ὡς τὸ ἐν τῷ κόρακι μέλαν. διὰ μὲν οὖν τοῦ ἀναγκαίου τρόπου φασὶν, ἐδήλωσε τὰ ἀεὶ ὡσαύτως ἔχοντα καθ' αὑτά. διὰ δὲ τοῦ ὑπάρχοντος, τὰ ἀεὶ ὡσαύτως ἔχοντα κατὰ συμβεβηκός. διὰ δὲ τοῦ ἐνδεχομένου, τὰ ἄλλοτε ἄλλως ἔχοντα. καὶ δι' ἑτέρας δὲ διαιρέσεως, τὸ αὐτὸ δεικνύναι ἐπιχειροῦσι. πιθανωτέρας μὲν, οὐ μὴν οὐδὲ αὐτῆς ἐχούσης τὸ ἀναγκαῖον. τὰ γὰρ πράγματά φασιν, ἢ ἀεί ἐστιν, ἢ ποτέ. ἢ ἐκβέβηκεν ἢ μέλλει. τὰ μὲν οὖν ἀεὶ ὄντα δηλοῖ ὁ ἀναγκαῖος τρόπος. τὰ δέ ποτε ὁ ὑπάρχων ἤγουν ἐκβεβηκότα. τὰ δὲ μέλλοντα ἐκβῆναι ὁ ἐνδεχόμενος. πρὸς οὓς καλῶς ἀντιλέγουσιν. ὅτι οὕτως εἰς ταὐτὸν ἄξομεν τὰς ὕλας τοῖς τρόποις. ὑμεῖς γὰρ τὴν διαίρεσιν τῶν τρόπων ἀπὸ τῆς φύσεως τῶν πραγμάτων ἐποιήσασθε. ὅπερ ἐστὶν ἴδιον τῶν ὑλῶν. οἱ δὲ τρόποι, οὐκ ἀπὸ τῆς φύσεως τῶν πραγμάτων λαμβάνονται, ἀλλ' ἀπὸ τῆς ἡμετέρας προφορᾶς, ὅπερ καὶ αὐτὸς δηλοῖ ἄπιον καθ' ἑκάστην πρόσρησιν. ἐλέγετο δὲ καὶ ἐν τῷ περὶ ἑρμηνείας, ὅτι ὁ τρόπος τῆς ὕλης διαφέρει. καθὸ ἡ μὲν ὕλη, συνυπάρχει τοῖς πράγμασιν. ἐὰν γὰρ εἴπω ὁ ἄνθρωπος πέταται, παραχρῆμα ἀναφαίνεται ἀδύνατος. καὶ ἐπὶ τῶν ἄλλων ὑλῶν ὁμοίως. ὁ δὲ τρόπος, ἐκ τῆς ἡμετέρας προσφορᾶς ἔχει τὸ εἶναι. ὅταν γὰρ εἴπω ἐνδέχεται ἄνθρωπον μέλανα εἶναι ἐνδεχομένου τρόπου εἶπον πρότασιν. διότι καὶ τὴν αὐτὴν πρότασιν ὕλης μὲν δυνατὸν εἶναι ἀναγκαίας, τρόπου δὲ ἐνδεχομένου. ὡς ὅταν εἴπω ὅτι ὁ ἥλιος ἐνδεχομένως κινεῖται. τὸ μὲν γὰρ κινεῖσθαι αὐτὸν ἐξ ἀνάγκης ἐστίν. ὁ δὲ τρόπος, ἐνδεχόμενος. καὶ ἔμπαλιν, δυνατὸν πρότασιν τρόπου ἀναγκαίου εἶναι, ὕλης δὲ ἐνδεχομένης. ὡς ὅταν εἴπω· ἀναγκαίως Σωκράτης λούεται. καὶ ἐπὶ τῶν ἄλλων δὲ τρόπων καὶ ὑλῶν τὸ αὐτὸ συμβαίνειν ἐνδέχεται. ὥστε οἱ ταῦτα λέγοντες, εἰς ταὐτὸν ἀνάγουσι τὰς ὕλας τοῖς τρόποις ὅπερ ἄτοπον. καὶ τινὲς μὲν ἀπολογούμενοι πρὸς τοῦτο φασίν· ὅτι τὰ ὑπάρχοντα τινί, ἢ ἁπλῶς ὑπάρχειν λέγεται δίχα προσδιορισμοῦ τινος, καὶ λέγονται ὑπάρχοντος τρόπου. ἢ ἀναγκαίως, καὶ ἔστιν ἀναγκαίου τρόπου. ἢ ἐνδεχομένως, καὶ ἔστιν ἐνδεχομένου. καὶ οὕτως οὐκ εἰς ταὐτὸν ἄξομεν τὰς ὕλας τοῖς τρόποις. λέγομεν οὖν πρὸς τοῦτο ὅτι μάλιστα μὲν ἀδόκιμον τὸ λέγειν ὑπάρχοντος ὑπάρχειν. ἔπειτα, εἰ ὁ ὑπάρχων τρόπος ἐστίν, ἀτελεῖς δείξομεν τὰς δύο πραγματείας τήν τε περὶ ἑρμηνείας, καὶ ταύτην, διότι οὐδὲ ἐκεῖ ἐμνήσθη τοῦ ὑπάρχοντος τρόπου. οὐδὲ ἐνταῦθα τοῦ δυνατοῦ καὶ ἀδυνάτου. τί οὖν ἡμεῖς φαμὲν πρὸς τὰ διηπορημένα. ὅτι τοῦ μὲν ἀδυνάτου τρόπου οὐκ ἐμνήσθη, ὡς ἐμπεριλαβὼν αὐτὸν διὰ τοῦ ἀναγκαίου. ὁ αὐτὸς γάρ ἐστιν αὐτῷ ἀντίστροφος μέντοι. καὶ αὐτὸς δὲ ἐν τῷ περὶ ἑρμηνείας, τοῦτο ἐδήλωσε. τὸ ἀναγκαῖον ταὐτὸν εἶναι τῷ ἀδυνάτῳ λέγων ἐναντίως ἀποδιδόμενον. ὅτι ὅπερ πρὸς τῷ ἀναγκαίῳ τοῦ εἶναι, τῷ ἀδυνάτῳ τὸ μὴ εἶναι. εἰ γὰρ ἀναγκαῖον τὸν ἄνθρωπον ζῷον εἶναι, ἀδύνατον μὴ εἶναι. καὶ τὸ ἀδύνατον εἶναι, τοῦτο ἀναγκαῖον μὴ εἶναι. ἔτι διὰ τοῦ ἐνδεχομένου τὸν δυνατὸν ἐμπεριέλαβεν. τὸ γὰρ κυρίως δυνατόν, εἰς ταὐτὸν ἔρχεται τῷ ἐνδεχομένῳ. ὃ γὰρ ἐνδέχεται εἶναι, τοῦτο δυνατὸν εἶναι. καὶ ὃ δυνατὸν μὴ εἶναι, τοῦτο ἐνδέχεται μὴ εἶναι. ὥστε οὐ μόνον ἐν τῷ περὶ ἑρμηνείας ἐμνήσθη τῶν τεσσάρων τρόπων, ἀλλὰ καὶ ἐνταῦθα. Ἀλλὰ ζητοῦσί τινες διατί ὅλως τοῦ ἀναγκαίου ἐμνημόνευσε, καὶ μὴ τοῦ ἀδυνάτου, εἴγε ἰσοδυναμοῦσιν ἐναντίως ἀποδιδόμενοι. φαμὲν ὡς τιμιωτέρου ἐμνήσθη τοῦ ἀναγκαίου. ὁ μὲν γὰρ ἀναγκαῖος, ὕπαρξιν σημαίνει. ὁ δὲ ἀδύνατος, στέρησιν. ἡ δὲ ὕπαρξις, τῆς στερήσεως τιμιωτέρα. ἀλλὰ μὴν καὶ ὁ ὑπάρχων, δίκην ὕλης τοῖς τρόποις ὑποστρώννυται. εἰ γὰρ ὁ ὑπάρχων δηλοῖ τὸ εἶναι. λέγεται δὲ καὶ ὁ ἀναγκαῖος, καὶ ὁ ἐνδεχόμενος εἶναι. δῆλος ἂν εἴη οὗτος τοῖς λοιποῖς ὑποστρωννύμενος. καὶ οὕτως οὐδὲν περιττὸν οὐδὲ ἐλλιπὲς, εἰρῆσθαι τῷ φιλοσόφῳ ἀποδέδεικται. ἔτι πρὸς τούτοις ἐροῦμεν. εἰ τὸν ὑπάρχοντα τρόπον εἰσδεξόμεθα, ἄτοπον. ἐν τῷ προκειμένῳ βιβλίῳ περὶ τῆς ἀντιστροφῆς τῶν



ἀνάγκη πᾶσαν τὰς δύο προτάσεις ἐν αἷς ἡ ἀντιστροφὴ θεωρεῖται, ἢ κατ' ἀμφοτέρους τοὺς ὅρους κοινωνεῖν, ἢ κατ' ἀμφοτέρους διαφέρειν· ἢ κατὰ μὲν τὸν ἕτερον κοινωνεῖν, κατὰ δὲ τὸν ἕτερον διαφέρειν· καὶ τοῦτο διχῶς· ἢ κατὰ μὲν τὸν ὑποκείμενον κοινωνεῖν· κατὰ δὲ τὸν κατηγορούμενον διαφέρειν, ἢ ἔμπαλιν· καὶ οὐκ ἔστι παρὰ ταῦτα· τεσσάρων οὖν γινομένων συζυγιῶν, αἱ μὲν τρεῖς ἀσύστατοί εἰσιν· ἡ δὲ μία μόνη συνέστηκεν· ὅτι γὰρ αἱ κατ' ἀμφοτέρους τοὺς ὅρους διαφέρουσιν αἱ προτάσεις· γίνεται ἀντιστροφή· ἑτέρων οὐσῶν παντελῶς, καὶ ἀκοινωνήτων· οἷον, ὁ ἄνθρωπος ζῷον· ὁ ἵππος τετράπους· κοινωνίαν γὰρ οὐδεμίαν ἔχουσιν· δεῖ δὲ τὰ ἀντιστρέφοντα κοινωνεῖν ἀλλήλοις· ἀλλ' οὐδὲ κατὰ τὸν ἕτερον τῶν ὅρων κοινωνοῦσι· κατὰ δὲ τὸν ἕτερον, διαφέρουσιν· οὐδὲ οὕτω γίνεται ἀντιστροφή· οἷον, ὁ ἄνθρωπος ζῷον· ὁ ἄνθρωπος λευκός· καὶ πάλιν ὁ ἄνθρωπος ζῷον· ὁ ἵππος ζῷον· ἀλλὰ δεῖ τὰς ἀντιστρεφούσας κοινωνεῖν κατ' ἀμφοτέρους τοὺς ὅρους· ἀλλ' ἐπειδὴ πάλιν ἐν ταῖς προτάσεσι θεωρεῖται τὶς τάξις τῶν ὅρων· ὁ μὲν γὰρ ἐστὶ κατηγορούμενος· ὁ δὲ ὑποκείμενος· θεωρεῖται δὲ καὶ ποιότης· ἀνάγκη πάσας ἐστὶ τὰς ἀντιστρεφούσας προτάσεις· αἵ τινες ἐδείχθησαν κοινωνοῦσαι ἀλλήλαις, κατ' ἀμφοτέρους τοὺς ὅρους κοινωνεῖν· ἢ κατὰ τὴν τάξιν ἢ κατὰ τὴν ποιότητα, ἢ κατ' ἀμφότερα διαφέρειν· ἢ κατὰ μὲν τὸ ἕτερον κοινωνεῖν· κατὰ δὲ τὸ ἕτερον διαφέρειν· καὶ τοῦτο διχῶς· ἢ γὰρ κατὰ μὲν τὴν τάξιν κοινωνεῖν· κατὰ δὲ τὴν ποιότητα διαφέρειν· ἢ κατὰ μὲν τὴν τάξιν διαφέρειν, κατὰ δὲ τὴν ποιότητα, κοινωνεῖν· τῶν τεσσάρων συζυγιῶν ἡ μία ἐστὶν ἀσύστατος· λέγω δὴ ἡ κατ' ἀμφότερα κοινωνούσας ἔχουσα τὰς προτάσεις· καὶ κατὰ τὴν τάξιν· καὶ κατὰ τὴν ποιότητα· μία γάρ ἐστι πρότασις, δὶς ἡ αὐτὴ παραλαμβανομένη, καὶ οὐ δύο· εἰ γὰρ οἱ μὲν ὅροι αὐτοὶ ὀφείλουσιν εἶναι ἐν ταῖς ἀντιστρεφούσαις προτάσεσιν ὡς ἐδείξαμεν· ἔχουσι δὲ αὗται καὶ τὴν τάξιν τῶν ὅρων καὶ τὴν ποιότητα τὴν αὐτήν, ἔσονται ἄμφω μία καὶ ἡ αὐτή· οἷον ὁ ἄνθρωπος ζῷόν ἐστιν ὁ ἄνθρωπος ζῷόν ἐστι· καὶ ματαιολογία τὸ ὅλον· συνίστανται δὲ αἱ ἄλλαι τρεῖς συζυγίαι· λέγω δὴ ἥτε κατ' ἀμφότερα διαφέρουσα καὶ κατὰ τὴν τάξιν καὶ κατὰ τὴν ποιότητα, καὶ ἡ καθ' ἑκάτερον, καὶ τοῦτο διχῶς εἴτε ἡ μὲν τάξις ἡ αὐτὴ εἴη· ἡ δὲ ποιότης, διάφορος, ἢ καὶ ἔμπαλιν, ἡ μὲν ποιότης ἡ αὐτή, ἡ δὲ τάξις διάφορος· ἔχει δὲ ἐναντίως ἡ διαίρεσις αὕτη τῇ προτέρᾳ· ἡ μὲν γὰρ κατὰ τὴν κοινωνίαν ἢ διαφορὰν τῶν ὅρων διαιρουμένη· καὶ τέσσαρας ποιοῦσα συζυγίας· τήν τε ἐξ ἀμφοτέρων τῶν αὐτῶν ὅρων καὶ τὴν ἐξ ἀμφοτέρων διαφορῶν, καὶ τὴν κατὰ μὲν τὸν ἕτερον κοινωνοῦσαν κατὰ δὲ τὸν ἕτερον διαφέρουσαν· καὶ τοῦτο διχῶς· ἢ κατὰ τὸν ὑποκείμενον, ἢ κατὰ τὸν κατηγορούμενον· τὰς μὲν τρεῖς ἀσυστάτους εἶχε συζυγίας· μόνη δὲ συνίστατο ἡ ἔχουσα τὰς προτάσεις κατ' ἀμφοτέρους τοὺς ὅρους κοινωνούσας· ἐνταῦθα δὲ τῆς διαιρέσεως γινομένης· κατά τε τὴν τάξιν τῶν ὅρων καὶ τὴν ποιότητα, καὶ πάλιν τεσσάρων γινομένων συζυγιῶν· ἡ μὲν μία ἡ κατ' ἀμφότερα κοινωνούσας ἔχουσα τὰς προτάσεις, ἥτις ἐκεῖ μόνη σύστασιν ἔχουσα, μόνη ἀσύστατός ἐστιν, ἐνταῦθα· αἱ δὲ ἄλλαι τρεῖς, αἵ τινες ἐκεῖ ἦσαν ἀσύστατοι, ἐνταῦθα συνίστανται· λέγω δὴ ἡ κατὰ τὸ ἕτερον μὲν κοινωνοῦσα, κατὰ δὲ τὸ ἕτερον διαφέρουσα, καὶ τοῦτο διχῶς καὶ ἡ κατ' ἀμφότερα διαφέρουσα· ἂν τοίνυν αἱ ἀντιστρέφουσαι προτάσεις, τάξιν μὲν τῶν ὅρων τὴν αὐτὴν ἔχωσι, ποιότητα δὲ μὴ τὴν αὐτήν, λέγεται ἡ τοιαύτη ἐνδεχομένη ἀντιστροφή· διότι ἐπὶ μόνης τῆς ἐνδεχομένης ὕλης συνίσταται· οἷον τὶς ἄνθρωπος λούεται· τὶς ἄνθρωπος οὐ λούεται· τὶς ἄνθρωπος περιπατεῖ· τὶς ἄνθρωπος οὐ περιπατεῖ· ἀμφότερα γὰρ ἀληθεύει ἐπὶ μόνης τῆς ἐνδεχομένης ὕλης· ἂν δὲ μήτε ἡ τάξις τῶν ὅρων· μήτε ἡ ποιότης ἡ αὐτὴ ᾖ· ἀλλὰ διάφορος, λέγεται ἡ τοιαύτη συναντιθέσει ἀντιστροφή· διότι ἐν τῇ ποιότητι καὶ τὴν τάξιν τῶν ὅρων μετατίθησιν· οἷον, ὁ ἄνθρωπος ζῷον· τὸ μὴ ζῷον οὐδὲ ἄνθρωπος· ὁ τὸ πῦρ ξηρόν, τὸ μὴ ξηρὸν οὐδὲ πῦρ· ἂν δὲ ἡ μὲν ποιότης τῶν προτάσεων ἡ αὐτὴ ᾖ· ἡ δὲ τάξις διάφορος, λέγεται ἡ τοιαύτη ἁπλῆ ἀντιστροφή· διότι περὶ τὸ ἁπλούστατον τῶν ἐν τῇ προτάσει· τουτέστι τοὺς ὅρους, ποιεῖται τὴν ἀντιστροφήν· οἷον πᾶς ἄνθρωπος ζῷον· τὶ ζῷον ἄνθρωπος· περὶ ἧς ἐνταῦθα ποιεῖται τὸν λόγον· ἣν καὶ ὁριζόμενοι λέγομεν οὕτως, ἁπλῆ ἀντιστροφή ἐστι, κοινωνία δύο προτάσεων κατ' ἀμφοτέρους τοὺς ὅρους· τοῦ μὲν ποιοῦ τοῦ αὐτοῦ μένοντος τῆς δὲ τάξεως τῶν ὅρων ἐναλλαττομένης, μετὰ τοῦ συναληθεύειν· πρόσκειται μετὰ τοῦ συναληθεύειν, διὰ τὴν λεγομένην ἀντιστροφὴν τὰ αὐτὰ ἔχουσαν τῇ ἁπλῇ πλὴν τοῦ ψεύδεσθαι· οἷον πᾶς ἄνθρωπος ζῷον· καὶ πᾶν ζῷον ἄνθρωπος· ἔχει δὲ ὁ ὁρισμός, γένος μὲν τὴν κοινωνίαν δύο προτάσεων κατ' ἀμφοτέρους τοὺς ὅρους· τοῦτο γὰρ πάσῃ ὑπάρχει ἀντιστροφῇ· διαφορὰς δὲ τὰ λοιπά· ἐὰν ἡ μὲν τοῦ ποιοῦ τοῦ αὐτοῦ μένοντος, ἀποχωρίζει τῆς συναντιθέσει· τὸ δὲ τῆς τάξεως τῶν ὅρων ἐναλλαττομένης, διακρίνει τὴν ἐνδεχομένην ἀντιστροφήν· οὐκ ἀμείβει γὰρ ἐκείνη τὴν τάξιν· καὶ ἐκ τῆς προτέρας δὲ διαφορᾶς, οὐδὲν ἧττον διακρίνεται· οὐ φυλάττει γὰρ ποιὸν τὸ αὐτὸ ἡ ἐνδεχομένη ἀντιστροφή· τὶς ἄνθρωπος λούεται· τὶς ἄνθρωπος οὐ λούεται· τὸ δὲ μετὰ τοῦ συναληθεύειν εἴρηται πρὸς διάκρισιν τινὸς παραλλαγῆς. Ἄξιον δὲ ζητῆσαι διατί τῆς τῶν καθ' ἕκαστα καὶ τῆς τῶν ἀπροσδιορίστων ἀντιστροφῆς οὐκ ἐμνημόνευσε· καὶ φαμὲν ὅτι τῶν ἀπροσδιορίστων οὐκ ἐμνήσθη· ἐπειδὴ περιέχονται ἐν ταῖς προσδιωρισμέναις· ἀναλογοῦσι γὰρ ὡς ἐν τῷ περὶ ἑρμηνείας εἴρηται· ἢ ταῖς καθόλου, ἢ ταῖς μερικαῖς· τῶν δὲ καθ' ἕκαστα οὐκ ἐμνήσθη ὅτι τῶν καθόλου τὴν διδασκαλίαν μετέρχονται οἱ φιλόσοφοι, οὐ τῶν καθ' ἕκαστα διὰ τὸ ἄπειρον· τούτων οὖν πρὸ τῆς τοῦ ῥητοῦ ἐξετάσεως προδιηπορημένων ἄξιόν ἐστι καὶ τὰς κατὰ τὸ ῥητὸν φερομένας ἀπορίας ἐπι-

κνύει ὅτι ὁ ἀὴρ λευκός ἐστι. τῇ δὲ εἰς ἀδύνατον ἀπαγωγῇ ἐλέγξει τις, ὅτι οὐ λευκός ἐστιν, οὐκ ὅτι ἐδόξα ὅτι μέλας. οὐδ' εἴ τις ὑπόθοιτο ὅτι φύσει θερμὸς ὁ ἥλιος. εἶτά τις τῇ διὰ ἀδυνάτου δείξει ἐλέγξῃ ὅτι οὐ θερμὸς οὐ πάντως ἀπάγεται ὅτι καὶ ψυχρός. ὅπως ἡ διὰ ἀδυνάτου δεῖξις ἐλέγχει μόνον τὴν ψευδομένην ὑπόθεσιν, οὐ μὴν καὶ τὴν ἀλήθειαν ἀπάγει χωρὶς εἰ μὴ οὕτως ἔχει ἡ ἀντίθεσις· ὥστε πάντως ἀνάγκη ἀναιρεθέντος τοῦ ἑτέρου, τὸ λοιπὸν κατασκευάζεσθαι. ὡς ἐπὶ περιττοῦ καὶ ἀρτίου. καὶ ὡς ἐπὶ τῆς ἀντιφάσεως καὶ τῶν ὁμοίων. ὡς ἔχει καὶ τὸ θνητὸν καὶ τὸ ἀθάνατον. ἢ ἁπλῶς τὸ ἀεὶ εἶναι ἢ μὴ εἶναι.

ΤΟ δὲ ἐν ὅλῳ εἶναι ἕτερον ἑτέρῳ, καὶ τὸ κατὰ παντὸς κατηγορεῖσθαι θατέρου θάτερον, ταυτόν ἐστι. λέγω δὲ τὸ κατὰ παντὸς κατηγορεῖσθαι, ὅταν μηδὲν ᾖ τοῦ ὑποκειμένου λαβεῖν καθ' οὗ θάτερον λεχθήσεται.

Ὅτι τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ παντός, τῷ μὲν ὑποκειμένῳ, ταυτά ἐστι. μόνῃ δὲ τῇ σχέσει διαφέρουσι. τοῦ γὰρ ἀνθρώπου ὑποκειμένου ὄντος, κατηγορουμένου δὲ τοῦ ζώου, ἐν τούτοις θεωρεῖται καὶ τὸ ἐν ὅλῳ καὶ τὸ κατὰ παντός. ἢ μὲν γὰρ ἀπὸ τοῦ ὑποκειμένου ἄρχεται ἐπὶ τὸν κατηγορούμενον, λέγομεν ἐν ὅλῳ εἶναι τὸν ἄνθρωπον τῷ ζώῳ, ἀντὶ τοῦ ὑπὸ ὅλου αὐτὸν περιέχεσθαι τοῦ ζώου. ἢ δὲ ἀπὸ τοῦ κατηγορουμένου κάτεισιν ἐπὶ τὸν ὑποκείμενον, ἐροῦμεν ὅτι κατὰ παντὸς λέγεται τὸ κατηγορούμενον τοῦ ὑποκειμένου.

ΚΑΙ τὸ κατὰ μηδενὸς ὡσαύτως.

Τί δέ ἐστι τὸ κατὰ παντός, καὶ κατὰ μηδενός, αὐτὸς ἐξηγεῖται καί φησι, κατὰ παντὸς μὲν εἶναι ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ' οὗ οὐ κατηγορεῖται τὸ κατηγορούμενον. οἷον λέγομεν τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου κατηγορεῖσθαι. καὶ οὐκ ἔστι τις ἄνθρωπος, καθ' οὗ τὸ ζῶον οὐ λεχθήσεται. καὶ τὸ κατὰ μηδενὸς ὁμοίως. λέγομεν γὰρ τὸν ἄνθρωπον κατὰ μηδενὸς λίθου ὑπάρχειν. καὶ οὐκ ἔστι τις λίθος καθ' οὗ ὁ ἄνθρωπος λεχθήσεται. οὐ μόνον δὲ κατὰ σχέσιν διαφέρει τὸ ἐν ὅλῳ τοῦ κατὰ παντός, ἀλλὰ καὶ ἑτέρας διαφορᾶς. καθὸ τὸ μὲν ἐν ὅλῳ ἔλαττόν ἐστιν ἐκείνου οὗ ἐστιν ἐν ὅλῳ. οἷον, ὁ ἄνθρωπος ἐν ὅλῳ τῷ ζώῳ ἐστί. καὶ ἔλαττόν ἐστιν ὁ ἄνθρωπος τοῦ ζώου. τὸ δὲ κατὰ παντὸς ἢ ἐπὶ πλεῖον ἐστὶν ἐκείνου καθ' οὗ λέγεται ἢ ἐξισάζει καὶ ἐπὶ πλεῖον μὲν ὡς ὅταν γένος ᾖ τὸ κατηγορούμενον. ἐξισάζει δὲ ὡς ἴδιον. οἷον, τὸ ζῶον κατηγορεῖται τοῦ ἀνθρώπου ὡς γένος. καὶ ἐπὶ πλεῖον τοῦ ἀνθρώπου τὸ ζῶον. πάλιν τὸ ἴδιον κατηγορεῖται τοῦ ἀνθρώπου. ὡς τὸ γελαστικὸν καὶ ἐξισάζει αὐτῷ. ὥστε καλῶς εἴρηται. ὅτι τὸ μὲν ἐν ὅλῳ ἐπ' ἔλαττόν ἐστι. τὸ δὲ κατὰ παντός, ἢ ἐπὶ πλεῖον ἢ ἐξισάζει.


ΕΠΕΙ δὲ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν. τούτων δέ, αἱ μὲν καταφατικαί, αἱ δὲ ἀποφατικαί, καθ' ἑκάστην πρόσρησιν. πάλιν τῶν καταφατικῶν καὶ ἀποφατικῶν, αἱ μὲν εἰσὶ, καθόλου. αἱ δέ, ἐν μέρει. αἱ δέ, ἀδιόριστοι.

Τέλος ἔχει τὰ ἐξ ἀρχῆς αὐτῷ προτεθέντα. φέρεται δὲ λοιπὸν εἰς τὴν διδασκαλίαν τῆς τῶν συλλογισμῶν γενέσεως. ἀλλ' ἐπειδὴ καὶ τῶν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμῶν, διὰ τῆς τῶν προτάσεων ἀντιστροφῆς τὸ ἀναγκαῖον ἀποδείκνυνται. ὡς αὐτίκα ἐλέγομεν. διὰ τοῦτο πρῶτον ἐβουλήθη τὰ περὶ ἀντιστροφῆς διδάξαι. ἵνα μὴ ἐκεῖσε γενόμενος ἀναγκασθῇ τὸν λόγον διακόψαι. διδάσκει ἡμᾶς τί ποτέ ἐστιν ἀντιστροφή, ποσαχῶς λέγεται. καὶ περὶ ποίας ἀντιστροφῆς ἐνταῦθα διαλέγεται. καὶ ἔτι ἐν πόσοις θεωρεῖται ἡ ἀντιστροφή, καὶ πῶς ἔχουσι πρὸς ἄλληλα. λέγομεν οὖν πρὸς τὸ πρῶτον, ὅτι ἀντιστροφή ἐστιν. ἰσοστροφή τις. τὸ γὰρ ἀντὶ ὡς ἐν ἑτέροις πολλάκις εἴρηται, τὸ ἴσον σημαίνει παρὰ τοῖς παλαιοῖς, ὡς ἐν τῷ ἀντίθεος, καὶ ἀντίθεος, καὶ ἐν τῷ ἔθει τὸ ἀντιχαρ. τὸ δὲ ἴσον τινὶ ἐστὶν, ἴσον, τῶν πρός τι γάρ ἐστι. τὰ δὲ πρός τι, τοὐλάχιστον ἐν δυσὶ πράγμασι θεωρεῖται. ὥστε τὰ ἀντιστρέφοντα τοὐλάχιστον, δύο τινά ἐστιν. ἐν γὰρ οὐκ ἂν λέγοιτο ἀντιστρέφειν. ἔχεις οὖν καὶ ἐν πόσοις ἡ ἀντιστροφή, καὶ τί ἐστι. λείπεται δὲ διδάξαι ἐν τίσιν ἐστὶ καὶ ποσαχῶς λέγεται, πᾶσα οὖν ἀντιστροφὴ ἢ ὅρων ἐστὶν ἢ προτάσεων, ἢ συλλογισμῶν. τριχῶς ἄρα λέγεται. καὶ ἐν τίσιν ἔγνωμεν ὅτι ἢ ἐν ὅροις ἢ ἐν προτάσεσιν ἢ ἐν συλλογισμοῖς. περὶ μὲν οὖν τῆς ἐν τοῖς ὅροις ἀντιστροφῆς διείλεκται ἐν κατηγορίαις. ὅτε περὶ τῶν πρός τι διελέγετο ὅτι ὁ φίλος φίλῳ φίλος ἐστί. καὶ ὁ ἐχθρὸς ἐχθροῦ ἐστιν ἐχθρός. περὶ δὲ τῆς ἐν συλλογισμοῖς ἀντιστροφῆς. ἐν τῷ δευτέρῳ τῶν ἀναλυτικῶν βιβλίῳ διδάσκει. λέγω δὲ τῷ μετὰ τοῦτο. δεῖ γὰρ εἰδέναι πρῶτον τί ἐστι συλλογισμὸς ἵν' οὕτω μάθωμεν πῶς ἀντιστρέφει. ἀντιστρέφειν δὲ λέγονται συλλογισμοί. ὅταν τὸ συμπέρασμα λαβόντες καὶ προσθέντες τὴν μείζονα τῶν προτάσεων κατασκευάσωμεν τὴν ἐλάττονα. οἷόν ἐστι συλλογισμὸς ὁ λέγων ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον, ἀεικίνητον. τὸ ἀεικίνητον, ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. ἔχομεν οὖν τὸ συμπέρασμα ὅτι ἡ ψυχὴ ἀθάνατος. τοῦτο λαβόντες καὶ ποιήσαντες ἐλάττονα πρότασιν. εἶτα προσθέντες τὰς λοιπὰς συμπέρασμα τὴν ἐλάττονα πρότασιν ποιοῦμεν οὕτως. ἡ ψυχὴ ἀθάνατος. τὸ ἀθάνατον ἀεικίνητον. τὸ ἀεικίνητον αὐτοκίνητον. ἡ ψυχὴ ἄρα αὐτοκίνητος. ἐνδέχεται δὲ καὶ τὴν ἐλάττονα πρότασιν, τῷ συμπεράσματι συμπλέξαντα. συμπέρασμα ποιῆσαι τὴν ἐν τῷ προτέρῳ συλλογισμῷ μείζονα. οἷον ἡ ψυχὴ ἀθάνατος τὸ ἀθάνατον αὐτοκίνητον. τὸ αὐτοκίνητον ἀεικίνητον. ἡ ψυχὴ ἄρα ἀεικίνητος. περὶ δὲ τῆς ἐν προτάσεσιν ἀντιστροφῆς, ἐνταῦθα διαλέξεται. οὐ μὴν περὶ πάσης. τῆς γὰρ ἀντιστροφῆς, περὶ δύο προτάσεις θεωρουμένης τοὐλάχιστον ὡς προείρηται. ἑκάστης δὲ προτάσεως δύο ὅρους ἐχούσης, τόν τε κατηγορούμενον καὶ τὸν ὑποκείμενον.

τὸ ε ἄρα τῷ γ ἴσον. πάλιν γὰρ κἀνταῦθα ἐξ ἀνάγκης μὲν συνάγεται τὸ συμπέρασμα, οὐ μὴν διὰ τῶν κειμένων. λείπεται γὰρ πάλιν πρότασις, τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα.

» ΤΕΛΕΙΟΝ μὲν οὖν καλῶ συλλογισμὸν, τὸν μηδενὸς ἄλλου προσδεόμενον παρὰ τὰ εἰλημμένα
» πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον.


Ε ἐξεῖναι οὖν ἴσως τὸν τέλειον καὶ ἀτελῆ συλλογισμὸν ἤδη παραδεδωκέναι. ὅτε ἔλεγε τῷ ταῦτα εἶναι. οὐκ ἔτι δὲ τοῦτο ἀληθές. τὸν γὰρ ἔξωθεν ὅρου τινὸς προσδεόμενον. οἷον ὃν πρὸ μικροῦ προεθέμεθα, οὐδὲ συλλογισμὸν ἀξιοῖ καλεῖν. τὸν δὲ ἀτελῆ, συλλογισμὸν καλεῖ. τέλειος μὲν οὖν συλλογισμὸς, οὗ τὸ συμπέρασμα παντὸς ἔστιν ἐπιτυγχάνειν. ὡς εἴ τι ἄπρεπες, τὸ δίκαιον, καλόν. τὸ καλὸν, ἀγαθόν. ἐν ταύτῃ γὰρ παντός ἐστιν ἐπιτυχοῦσα τὸ ἄρα δίκαιον ἀγαθόν. ἀτελὴς δὲ οὗ τὸ συμπέρασμα μόνον



ἐστὶ τοῦ ἐντρεχοῦς μόνου ἐπιτυχεῖν, οἷον πᾶς ἄνθρωπος οὐσία. πᾶς ἄνθρωπος ζῶον, τούτου τὸ συμπέρασμα τὸ, τὶς ἄρα οὐσία ζῶον. καὶ ὅτι τοῦτο ἐστι ῥᾴδιον φανῆναι διὰ τῆς ἀντιστροφῆς. ἂν γὰρ ἀντιστρέψωμεν καὶ οὕτως εἴπωμεν. τὶς οὐσία ἄνθρωπός ἐστι, πᾶς ἄνθρωπος ζῶόν ἐστι. δῆλον ὅτι συνάγεται. τὶς ἄρα οὐσία ζῶόν ἐστι. διὸ καλῶς εἶπε πρὸς τὸ φανῆναι καὶ οὐ πρὸς τὸ γενέσθαι. οἱ μὲν γὰρ τέλειοι συλλογισμοὶ, τὸ ἀναγκαῖον ἔχουσι καὶ τοῦτο φαινόμενον. οἱ δὲ ἀτελεῖς, ὁποῖοί εἰσι πάντες οἱ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ σχήματι. ἔχουσι μὲν τὸ ἀναγκαῖον. οὐ μὴν πρόσφατον. ἀλλ' ἐντρεχοῦς δεῖ ἵνα τὸ ἐκ τῶν προτάσεων εἰλημμένων ἀναγκαῖον, μὴ φαινόμενον δὲ, εἰς τὸ ἐμφανὲς ἀγάγοι διὰ τῶν ἀντιστροφῶν.

» ΑΤΕΛΗ δὲ, τὸν προσδεόμενον ἢ ἑνὸς ἢ πλειόνων. ἅ ἐστι μὲν ἀναγκαῖα, διὰ τῶν ὑποκειμένων
» ὅρων. οὐ μὴν εἴληπται διὰ προτάσεων.

Η ἑνὸς ἢ πλειόνων, οὐχ ὅρους λέγει. οὐδὲ γὰρ ἀξιοῖ ὥσπερ εἴρηται τοὺς δεομένους ἔξωθεν τινὸς ὅρου, καλεῖν συλλογισμούς. ἀλλ' ἀρσενικαῖς φωναῖς ἐχρήσατο ἀντὶ θηλυκῶν. ὀφείλων εἰπεῖν ἢ μιᾶς ἢ πλειόνων τῶν ἀντιστροφῶν. προσθεὶς δὲ ἅ ἐστι διὰ τῶν ὑποκειμένων ὅρων ἐσήμανε τὸ γινόμενον χρήσιμον ἐκ τῆς ἀντιστροφῆς. ὅτι τὸ ἐν τῷ συλλογισμῷ κρυπτόμενον ἀναγκαῖον ἐκφαίνουσιν. εἰπὼν δὲ διὰ τῶν ὑποκειμένων ὅρων. ἐσήμανεν ὅτι οὐκ ἐπίκτητον γίνεται. οὐδὲ ἔξωθεν τῶν τοιούτων συλλογισμῶν τὸ ἀναγκαῖον, ἀλλὰ διὰ τῶν ὑποκειμένων προτάσεων. τὸ δὲ οὐ μὴν εἴληπται διὰ προτάσεων, ἀντὶ τοῦ οὐκ ἦν περιληφθεὶς ὁ λόγος τῆς ἀντιστροφῆς, διὰ τῶν προτάσεων. ἀλλὰ δέονται αἱ προτάσεις τὴν τάξιν ἀμεῖψαι. ἵνα τὸ ἐν αὐταῖς δείξωσιν ἀναγκαῖον. Ἀπορήσει δέ τις, πῶς ὁ Ἀριστοτέλης μὴ προσδεχόμενος τοὺς συλλογισμοὺς τοὺς ἔξωθέν τι προσλαμβάνοντας οἷον ὅρον ἢ πρότασιν ἀποδέχεται τὰς δι' ἀδυνάτου δείξεις καὶ συλλογισμοὺς αὐτοὺς καλεῖ. καίτοι προσδεχομένους ἔξωθέν τινα. ὅτι δὲ προσδέχονται νῦν ἐσόμεθα. βούλομαι συλλογίσασθαι ὅτι οὐδὲν φυτὸν αἴσθησιν ἔχει. ἐπ' εὐθείας μὲν οὖν συλλογιζόμεθα. οὕτω φήσαιμεν. οὐδὲν φυτὸν μεταβατικὴν κινεῖται κίνησιν. πᾶν τὸ αἴσθησιν ἔχον μεταβατικὴν κινεῖται κίνησιν. οὐδὲν



ἄρα φυτὸν αἴσθησιν ἔχει. οὕτως μὲν οὖν ἔξωθεν ὁ συλλογισμὸς οὐδὲν προσλαμβάνει εἰς τὸ δειχθῆναι τὸ ἀναγκαῖον. ὁ δὲ τοι δι' ἀδυνάτου προσλαμβάνει. δείκνυμι δὲ δι' ἀδυνάτου. τοῦτο αὐτὸ τὸν τρόπον τοῦτον. εἰ γὰρ μὴ ἔστιν ἀληθὲς τὸ μηδὲν φυτὸν αἴσθησιν ἔχειν, ἀληθὲς ἄρα τὸ ἔχειν. ἐπεὶ οὖν πᾶν φυτὸν αἴσθησιν ἔχει ὡς ἡ ὑπόθεσις. πᾶν δὲ τὸ αἴσθησιν ἔχον μεταβατικὴν κινεῖται κίνησιν, πᾶν ἄρα φυτὸν μεταβατικὴν ἔχει κίνησιν ὅπερ ἐστὶν ἀδύνατον. τὸ δὲ ἀδύνατον ἠκολούθησε διὰ τὸ ὑποτεθῆναι τὸ φυτὸν αἴσθησιν ἔχειν. ψευδὲς ἄρα τοῦτο. ἀληθὲς δὲ τὸ μὴ ἔχειν. ὅρα οὖν ὡς εἰς τὸ δειχθῆναι. ὅτι οὐδὲν φυτὸν αἴσθησιν ἔχει. εἴληπται ἔξωθεν τινὰ λέγω δὲ τὸ τούτων ἀντικείμενον τὸ αἴσθησιν ἔχειν. καὶ τὸ συμπέρασμα τὸ τούτων ἀκολουθοῦν. τὸ μεταβατικὴν κινεῖσθαι κίνησιν. ἢ καὶ οὕτως, δεῖξαι βουλόμενος ὅτι ἡ ψυχὴ ἀθάνατος. ἐπ' εὐθείας μὲν δείξομεν οὕτως. ὅτι ἡ ψυχὴ αὐτοκίνητος. τοῦτο δὲ ἀεικίνητον. τοῦτο δὲ ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. τῇ δὲ δι' ἀδυνάτου οὕτως. εἰ μὴ ἀθάνατος ἡ ψυχὴ ἡ ἡμετέρα, θνητὴ ἄρα, εἰ οὖν θνητὴ, οὐ τεύξεται τῆς κατ' ἀξίαν. ἐν ταύτῃ γὰρ οὐ τυγχάνει. εἰ δὲ οὐ τυγχάνει τῆς κατ' ἀξίαν, ἀνῄρηται πρόνοια. ὅπερ ἄτοπον. ὅρα οὖν πόσα ἔξωθεν εἴληπται. τό τε θνητὴν εἶναι. τό τε μὴ τυγχάνειν τῆς κατ' ἀξίαν. καὶ τὸ ἀνῃρῆσθαι πρόνοιαν. ἵνα τὸ αἴτιον τῆς εἰς τὸ ἄτοπον ἀπαγωγῆς ἀνέλωμεν. λέγω δὲ τὸ θνητὴν εἶναι τὴν ψυχήν. τούτου δὲ ἀναιρεθέντος, λείπεται εἶναι ἀθάνατον. Φημὶ πρὸς ταύτην τὴν ἀπορίαν. ὅτι τὰ ἐν τῇ εἰς ἀδύνατον ἀπαγωγῇ παραλαμβανόμενα ἔξωθεν. οὐ συνεκτικά ἐστι τοῦ συλλογισμοῦ τοῦ κατασκευάζοντος τὸ προκείμενον. ὥσπερ οὖν τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον. ἀλλὰ τῆς ἀτόπου ὑποθέσεως ἐλεγκτικά. λέγοι δὲ τὸ ὅτι θνητή. ἧς ἀναιρεθείσης ἐπειδὴ μηδὲν μέσον θνητοῦ καὶ ἀθανάτου. ἀκολούθως τὸ ἀθάνατον εἰσάγεται. οὐ συναχθὲν ἐκ τῶν ληφθέντων. ἀλλὰ τῇ ἀναιρέσει τοῦ ἀντικειμένου συνεπινοούμενον, διὰ τὸ μηδὲν εἶναι μεταξύ. ἐπεί τοι ἐφ' ὧν ἐστι τὸ μεταξὺ, οἷον, ὡς ἐπὶ θερμοῦ καὶ ψυχροῦ καὶ λευκοῦ καὶ μέλανος. κἂν τὸ ἕτερον ἀνέλῃ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ, οὐ πάντως καὶ τὸ ἀντικείμενον εἰσάγεται. εἰ γάρ τινος ὑποθέ-

ἀσαφὲς, ἐκ τοῦ ἀσαφοῦς. ἢ τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς, ἢ τὸ ἀσαφὲς ἐκ τοῦ σαφοῦς. αἱ μὲν οὖν τρεῖς πρῶται
συζυγίαι, ἀσυλλόγιστοί εἰσι. κατὰ δὲ τὴν ὑστέραν, γίνονται αἱ ἀποδείξεις. τὸ γὰρ σαφὲς ἐκ τοῦ ἀσαφοῦς,
χρὴ ἀεὶ τὰς πίστεις. ὃ τοίνυν ἀσαφὲς μὲν τὸ συμπέρασμα· τοῦτο γὰρ δεῖξαι βουλόμεθα. σαφεῖς δὲ αἱ
προτάσεις. δεῖ οὖν καὶ τὸ συμπέρασμα τὸ πιστὸν ἔχειν. ἕτερον δὲ τὸ ἀσαφὲς τοῦ σαφοῦς, ἕτερον δήπου καὶ
τῶν προτάσεων τὸ συμπέρασμα. τὸ δὲ τι ἔγκειται τῷ ὁρισμῷ διὰ τὰς ἀσυλλογίστους συζυγίας. τὸ μὲν
γὰρ τι ὡρισμένον δηλοῖ. αὗται δὲ, οὐδὲν ὡρισμένον συνάγουσιν, ἀλλ' ἀεὶ καὶ τὸ καθόλου. καὶ τὸ μερικόν.
καὶ τὸ καταφατικὸν καὶ ἀποφατικὸν αὗται συνάγουσιν. ὡς ἐφεξῆς μαθησόμεθα. τὸ δὲ ἐξ ἀνάγκης, οὐ
τοῦτό φησιν ὅτι ἀναγκαίας ὕλης, συνάγεται τὸ συμπέρασμα. συνάγεται γὰρ καὶ ἐπὶ τῶν ἄλλων ὑλῶν ἀ-
ναγκαίως συμπεράσματα. ἀλλὰ τὸ ἐξ ἀνάγκης προσέθηκεν. διά τε τοὺς παραδειγματικοὺς, καὶ ἐπα-
γωγικοὺς καλουμένους συλλογισμούς, οἳ πάντως τὸ ἐξ ἀνάγκης οὐκ ἔχουσι. καθόλου γὰρ πᾶσα πίστις. ἢ τὸ
ἴσον ἐκ τοῦ ἴσου πιστοῦται, ἢ ἐκ τοῦ μείζονος τὸ ἔλαττον. ἢ ἐκ τοῦ ἐλάττονος τὸ μεῖζον. ἡ μὲν οὖν παραδειγ-
ματικὴ πίστις. τὸ ἴσον ἐκ τοῦ ἴσου πιστοῦται. οἷον, ὁ δεῖνα πλεύσας ἐναυάγησε, καὶ σὺ εἰ πλεύσειας, τὸ αὐ-
τὸ πείσῃ. ὁ δεῖνα νύκτωρ ὁδεύσας, περιέπεσε λῃσταῖς. καὶ σὺ εἰ νύκτωρ ὁδεύσειας, περιπέσοις λῃσταῖς.
ὡς τὸ ἐξ ἀνάγκης οὐκ ἔχει. κέχρηνται δὲ τούτῳ οἱ ῥήτορες. ἡ δὲ ἐπαγωγικὴ πίστις, τὸ μεῖζον ἐκ τοῦ ἐλάτ-
τονος πιστοῦται. οἷον, ἐπειδὴ καὶ τόδε καὶ τόδε τὴν κάτω γένυν κινεῖ ζῷον. καὶ πᾶν ἄρα ζῷον, τὴν κάτω γένυν
κινεῖ. οὐδὲ αὕτη ἡ δεῖξις ἔχει τὸ βέβαιον. πρῶτον μὲν ὅτι χαλεπὸν πάντα τὰ κατὰ μέρος διεξελθεῖν. ἔ-
πειτα δεῖ εἰ κατασκευάσαι ὅτι κροκόδειλος τὴν κάτω γένυν κινεῖ. δεήσει τὸν τὰ κατὰ μέρος διεξιόντα
ἢ καὶ αὐτὸν διεξελθεῖν ἢ μή. καὶ εἰ μὲν διεξέλθοι, τὸ ζητούμενον ὡς ὁμολογούμενον λήψεται. εἰ δὲ μὴ, οὐ
κατασκευάσει τὸ καθόλου. πρὸς γὰρ τὴν τοῦ καθόλου ἀνασκευὴν ἀρκεῖ καὶ ἓν παράδειγμα μόνον.
πρὸς δὲ τὴν κατασκευὴν τοῦ καθόλου, οὐδὲ μυρία ἀρκεῖ παραδείγματα. ἡ δέ γε ἀποδεικτικὴ δεῖξις αὕ-
τη ἐστὶν ἡ ἐκ τοῦ καθόλου τὸ μέρος πιστουμένη ᾗ ἕπεται πάντως τὸ ἐξ ἀνάγκης. τὸ δὲ συμβαίνει, διὰ τὴν
ἀναγκαίαν ὕλην παρείληπται. ἵνα μή τις νομίσῃ τῷ ἀναγκαίῳ τῆς ὕλης ἕπεσθαι τὸ συμπέρασμα μό-
νον. δῆλον ὡς ἄν τε ἀδιάφοροι ὦσιν αἱ προτάσεις, ἄν τε ἐνδεχόμεναι, συμβαίνει πάντως ἀκολουθεῖν τὸ συμ-
πέρασμα. τὸ δὲ τῷ ταῦτα εἶναί φησι διὰ τὰ ἀκολουθοῦντα συμπεράσματα, μὴ τῷ λόγῳ τῶν τεθεισῶν
προτάσεων, ὡς εἴ τις εἴποι. ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον, ἀεικίνητον. ἡ ψυχὴ ἄρα ἀθάνατος. οὐ γὰρ
διὰ τὰς εἰρημένας προτάσεις τοῦτο ἕπεται τὸ συμπέρασμα. ἀλλ' ἡ ψυχὴ ἄρα ἀεικίνητος. ὅτι γὰρ τοῦτο
βούλεται διὰ τοῦ εἰπεῖν τῷ ταῦτα εἶναι, ἑαυτὸν ἐπήγαγε. λέγω γάρ φησι τῷ ταῦτα εἶναι, τὸ διὰ
ταῦτα συμβαίνειν. τοῦτο δὲ ἐστι τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν, πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. ἐν γὰρ
τῷ συλλογισμῷ τῷ λέγοντι. ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀθάνατος, οὐκ
ἔστιν ἐν τῷ συμπεράσματι τὸ ἀναγκαῖον. εἰ μὴ προστεθείη ἔξωθεν καὶ ὅρος καὶ πρότασις. εἰ γὰρ τὸ αὐτοκί-
νητον ἀεικίνητον, οὔπω δῆλον ὅτι ἡ ψυχὴ ἀθάνατος. ἀλλ' ἐὰν προστεθῇ τοῖς ἐξ ἀρχῆς τὸ ἀθάνατον καὶ
πρότασις ἡ λέγουσα τὸ ἀεικίνητον ἀθάνατον. τότε ἐκ τῶν κειμένων ἔχει τὸ συμπέρασμα τὸ ἀναγκαῖον,
εἰπὼν δὲ τῷ ταῦτα εἶναι. ἐπειδὴ συνεῖδεν ὡς οὐκ ἔστι σαφὲς τὸ λεγόμενον, ἐξηγούμενος ἑαυτὸν ἐπήγαγε
τὸ διὰ ταῦτα συμβαίνειν. πάλιν δὲ αὐτὸ τοῦτο ἔτι ἀσαφὲς εἶναι δοκεῖ. ἡ γὰρ διὰ πρόθεσις, πολλάκις αἰ-
τίαν δηλοῖ. ὁ δὲ συλλογισμός, οὐ πάντως ἐξ αἰτιῶν περαίνεται. τοῦτο γὰρ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ
ἐστὶν ἴδιον. αἴτια γάρ εἰσιν αἱ προτάσεις τοῦ συμπεράσματος. οὐ μὴν οἱ ἐν τῇ προτάσει παραλαμβανό-
μενοι ὅροι αἴτιοι πάντως εἰσὶ τοῦ δηλουμένου πράγματος ἐν τῷ συμπεράσματι. δυνατὸν γὰρ ἐκ τῶν ὑστέρων
τὰ πρότερα συλλογίζεσθαι. ὥσπερ ἐκ τοῦ γάλα ἔχειν τὸ τετοκέναι. καὶ ἐκ τοῦ καπνοῦ τὸ πῦρ εἶναι. καὶ
ἐκ τῶν τῆς σελήνης φωτισμῶν τὸ εἶναι αὐτὴν σφαιροειδῆ. καίτοι αἴτιον τοῦ γάλα ἔχειν τὸ τετοκέναι, καὶ
τοῦ καπνοῦ τὸ πῦρ. καὶ τῶν φωτισμῶν τῆς σελήνης, τὸ σφαιροειδὲς αὐτῆς σχῆμα. ἀλλ' ὁπηνίκα σαφέ-
στερα ᾖ τὰ αἰτιατὰ τῶν αἰτίων, ἐκ τῶν αἰτιατῶν τὰ αἴτια συλλογιζόμεθα. ἐπειδὴ τοίνυν ἡ μὲν διὰ
πρόθεσις καὶ αἴτιον ἔσθ' ὅτε σημαίνει. ὡς ὅταν εἴπω διὰ τὸν τέκτονα ἡ θύρα. οὐ πάντως δὲ τὰ ἐν ταῖς
προτάσεσι σημαινόμενα, αἴτιά ἐστι τοῦ τοῦ συμπεράσματος σημαινομένου. ἵνα μὴ τοῦτο ὑπονοήσωμεν. τὸν
γὰρ καθόλου συλλογισμὸν καὶ οὐ τὸν ἀποδεικτικὸν σκοποῦμεν, ἐξηγούμεθα τὸ διὰ ταῦτα συμβαίνειν φη-
σί. τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖσθαι πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. τουτέστι τὸ αὐτάρκεις εἶναι τοὺς
κειμένους ὅρους καὶ τὰς ἐξ αὐτῶν συγκειμένας προτάσεις εἰς τὸ γενέσθαι τὸ συμπέρασμα. διὰ τῆς προσ-
θήκης οὖν ταύτης ἐκβάλλει τοὺς ὁπωσοῦν τῶν συλλογισμῶν λείποντας ὅροις τισὶ καὶ προτάσεσιν. ἀλλὰ
οὖν ἤτοι καὶ οἱ μονολήμματοι πάλιν ἐκβληθήσονται καὶ διὰ ταύτης τῆς προσθήκης. δέονται γὰρ καὶ
αὐτοὶ τῆς μείζονος προτάσεως, ὡς ἐδείξαμεν. καὶ ἔτι οἱ σύνθετοι μὲν, λείπονται δὲ ὅρου καὶ προτάσε-
ως, ὥσπερ ὃν ἤδη εἴπομεν. ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀθάνατος. λείπεται
γὰρ τὸ ἀεικίνητον, ἀθάνατον. πρὸς τούτοις καὶ οἱ ἀμεθόδως, πάλιν τοῖς στωϊκοῖς περαινόμενοι. οἷον, εἴ οὕτω
τις λέγοι. τὸ πρῶτον, τοῦ δευτέρου μεῖζον. τὸ δεύτερον, τοῦ τρίτου μεῖζον, τὸ ἄρα πρῶτον, τοῦ τρίτου μεῖ-
ζον. τοῦτο γὰρ ἐξ ἀνάγκης ἕπεται. οὐ μὴν διὰ τῶν κειμένων εἰ μὴ ἔξωθεν ἄλλη προσληφθείη πρότασις. ὅτι
τὸ τινὸς μεῖζον καὶ τοῦ ἐλάττονος ἐκείνου μεῖζόν ἐστι. καὶ πάλιν τὸ α΄ τῷ β΄ ἴσον. τὸ γ΄ τῷ β΄ ἴσον.

τὸ α΄

ἀπόδειξιν παραλαμβανόμενα ἀποδεικτὰ ἂν εἴη. πᾶν δὲ τὸ ἀποδεικνύμενον δι' ἑτέρων ἀποδέδεικται. καὶ
κἀκεῖνα πάλιν δι' ἑτέρων ἀποδειχθήσεται. καὶ οὕτως ἐπὶ τὸ ἄπειρον χωρεῖν ἀνάγκη. ἐπεὶ ἀδύνατον. καὶ
ἄρα ἐστὶ πάντα τὰ ἀποδεικτικά. ἀλλ' ἀνάγκη που στῆναι προϊόντας. ὅταν εἰς τὰς κοινὰς καταντήσωμεν ἐν-
νοίας, στῆναι λοιπόν. ὥστε οὐκ εἰς ἄπειρον ἀνάγκη εἶναι τὸν συλλογισμόν. καταντῶμεν γὰρ πάντως εἰς τὰς
κοινὰς ὡς εἴπον ἐννοίας. αἳ πάσης εἰσὶ κρείττονες ὡς εἴπον ἀποδείξεως. ὥστε οἱ μὲν πρῶτοι συλ-
λογισμοὶ ἐκ τούτων. αὗται δὲ ἐξ οὐδενός. Ἐπεὶ οὖν ἐδείξαμεν ὅτι ἔστι συλλογισμός, ἀκόλουθον ζητῆσαι
πόθεν ἦλθεν εἰς ἔννοιαν ἡ ψυχὴ τοῦ συλλογίζεσθαι. διὰ τὸ τὰ πράγματα ὁρᾶν μήτε πάντη ἀλλήλοις κοι-
νωνοῦντα, μήτε πάντη διαφέροντα. εἰ γὰρ τοῦτο ἦν θάτερον, οὐδεὶς συλλογισμὸς ἡμῖν ἐδεῆσεν ἄν, πρὸς τὸ
δεῖξαι τὰ πάσῃ ὁμολογούμενα εἴτε κατὰ τὴν κοινωνίαν, εἴτε κατὰ τὴν ἑτερότητα. ὥσπερ οὐδὲ συλλο-
γισμοῦ δεῖ τὸ δεῖξαι, ὅτι ὁ λίθος ἕτερός ἐστι παρὰ τὸν ἄνθρωπον. ἢ ὅτι οὐχ ἕτερος Σωκράτης Πλάτωνος κα-
τὰ τὴν οὐσίαν. ἀλλ' ἐπεὶ κατά τι μὲν κοινωνοῦσιν ἀλλήλοις τὰ πράγματα, κατά τι δὲ διαφέρουσιν.
ἐδεήθη τῶν συλλογισμῶν ἡ ψυχή. ἵνα γνῷ ποῖα μὲν τὰ κοινωνοῦντα, ποῖα δὲ τὰ διαφέροντα ἀλλήλων.
δείκνυσι δὲ τοῦτο λαμβάνουσα μεταξὺ τῶν ζητουμένων κοινὸν ὅρον. ἢ κοινωνίαν ἔχοντα πρὸς τὰ δύο
ἄκρα, ἢ πρὸς μὲν θάτερον κοινωνοῦντα, διεστῶτα δὲ τοῦ λοιποῦ. καὶ διὰ τοῦ μέσου ἢ συνδεῖ τὰ ἄκρα, ἢ διΐστη-
σιν. εἰ δὲ ἦσαν πάντα ἕτερα τὰ πράγματα, οὐκ ἂν τοῦτο ποιῆσαι ἐδύνατο. κοινοῦ μὲν τινος ὅρου μὴ ὑπάρ-
χοντος εἰς τὸ τὴν τῶν ἄκρων κοινωνίαν δειχθῆναι. ἀλλὰ μὴν οὐδ' ὅτι διαφέρουσιν ἀποδείξεως ἔδει,
προφανοῦς τῆς διαφορᾶς ὑπαρχούσης. ἀλλ' οὐδ' εἰ ταυτὰ ἦσαν κατὰ πάντα, ἔδει δεῖξαι. ὡς πάλιν τῆς
κοινωνίας ὁμολογουμένης. τὸ δὲ συλλογιζόμενον τῆς ψυχῆς μέρος, τὸ διανοητικόν ἐστιν ὡς καὶ ἐν προοι-
μίοις εἴπομεν. τῶν γὰρ ἐν ἡμῖν γνωστικῶν δυνάμεων, αἱ μέν εἰσι λογικαί, αἱ δὲ ἄλογοι. λογικαὶ μὲν, νοῦς,
διάνοια, δόξα. ἄλογοι δὲ, φαντασία καὶ αἴσθησις. καὶ τῆς μὲν νοερᾶς, οὐκ ἔστι δυνάμεως τὸ συλλογίζε-
σθαι. ἐπεὶ κρείττων αὕτη ἡ κατὰ συλλογισμόν, ἀθρόως καὶ ἀμερῶς γινώσκουσα. οὐδὲ μὴν τῆς δοξαστικῆς.
αὕτη γὰρ τὸ ὅτι μόνον οἶδεν. οὐ μὴν καὶ τὸ διότι. ὅθεν πολὺ μᾶλλον οὐκ ἔστι τῶν ἀλόγων δυνάμεων ἀνα-
συλλογίζεσθαι. λείπεται οὖν τῆς διανοητικῆς αὐτὸ λέγειν εἶναι δυνάμεως. ἅπερ αὕτη μετὰ τοῦ ὅτι καὶ
τὰς αἰτίας ἐπίσταται. Λοιπὸν δὴ τί ἐστι συλλογισμὸς λεκτέον, τὸν Ἀριστοτέλους ὁρισμὸν ἐξηγούμενοι. συλ-
λογισμὸς δέ ἐστι φησίν. ὁρίζεται τὸν συλλογισμὸν ὁ Ἀριστοτέλης κατὰ τὸ ἔθος ἐκ γένους καὶ τῶν συστατι-
κῶν διαφορῶν. ἐπειδὴ γὰρ τὰ πράγματα ἢ ἑτερογενῆ ἐστιν, ἢ ἑτεροειδῆ. πρὸς μὲν διάκρισιν τῶν ἑτερο-
γενῶν, λαμβάνεται τὸ γένος ἐν τοῖς ὁρισμοῖς. πρὸς δὲ τὴν τῶν ἑτεροειδῶν διάκρισιν, λαμβάνονται αἱ δια-
φοραί. γένος οὖν τοῦ συλλογισμοῦ ὁ λόγος. διαφοραὶ δὲ, τὰ ἐν τῷ συλλογισμῷ λοιπά. θεωροῦνται δὲ αὐ-
ταί, ἐν ὕλῃ καὶ ἐν τῷ εἴδει. ὕλη μὲν, ταῖς προτάσεσιν, εἶδος δὲ, τῷ συμπεράσματι. ἐπειδὴ αἱ προτάσεις
τοῦ συμπεράσματος ἕνεκεν λαμβάνονται. ὥσπερ ἡ ὕλη τοῦ εἴδους. τὸ μὲν γὰρ τεθέντων καὶ τὸ τινῶν ἐκ τῆς
ὕλης τῶν συλλογισμῶν. τουτέστι τῶν προτάσεων ἀληθῶν. τὸ δὲ ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμ-
βαίνειν, ἐκ τοῦ εἴδους. τουτέστι τοῦ συμπεράσματος. πρόσκειται οὖν τῷ ὁρισμῷ τὸ τεθέντων διὰ τοὺς λοι-
ποὺς λόγους εὐκτικούς φημι καὶ τοὺς λοιπούς. ἵνα ᾖ τὸ τεθέντων, ἀντὶ τοῦ ὁμολογηθέντων. ὁ γὰρ δὲ χόμε-
νος ἢ πρὸς ἑαυτόν, ἢ πρὸς ἄλλον ὁμολογεῖ καὶ τίθεται. ἢ τί μὴν ὁ προστάττων. ἢ τί ὁ ἐρωτῶν. ἢ τί ὁ
καλῶν. ἀλλὰ μόνος ὁ συλλογιζόμενος. ἢ διὰ τοὺς ὑποθετικοὺς συλλογισμούς. τούτοις γὰρ ὑποτίθεσθαι μὲν
λέγομεν τὰς προτάσεις, τίθεσθαι δὲ οὐδαμῶς, καὶ αὕτη μᾶλλον ἀληθὴς ἡ ἐξήγησις. ἡ γὰρ θέσις ὡς ἐν τῷ περὶ
ἑρμηνείας ἐμάθομεν, ἐπὶ τῆς ὑποθέσεως λέγεται, ὥστε ἐνταῦθα διὰ τοὺς ὑποθετικοὺς εἴρηται συλλογισμούς. τὸ
δὲ τινῶν, διὰ τοὺς παρὰ τοῖς ῥήτορσι μονολημμάτους λεγομένους συλλογισμούς. οἵτινες τὴν ἐλάττονα τῶν
προτάσεων λαβόντες. τὴν δὲ μείζονα καταλιπόντες, ἐπάγουσι τὸ συμπέρασμα. οἷον, ὁ δεῖνα καλλωπιστής.
ὁ κοινοῦ καὶ μοιχός. παραλιμπάνοντες τὴν μείζονα τὴν λέγουσαν. πᾶς δὲ καλλωπιστὴς μοιχός. καὶ πάλιν ὁ
δεῖνα νύκτωρ πλανᾶται. ὁ κοινοῦ καὶ λῃστής ἐστιν. ὁ δεῖνα ἐκπνεῖ. ὁ κοινοῦ καὶ ζῇ. τούτοις δὲ κέχρηνται οἱ ῥή-
τορες τοῖς συλλογισμοῖς. ἢ συντομίας χάριν. ἢ διὰ τὸ πρὸς ὑδορρόαν ποιεῖσθαι τοὺς λόγους. καὶ μὴ ἐξαρ-
κεῖν τὸν χρόνον πρὸς τὰ λεγόμενα. ἢ διὰ τὸ δοκεῖν τιμᾶν τοὺς δικαστάς. καὶ διὰ τούτου εἰς ἔννοιαν αὐτοὺς προσ-
καλεῖσθαι ὡς εἰδότας τὰς διαλεκτικὰς μεθόδους. καὶ δυναμένους τὴν μείζονα προστιθέναι πρότασιν. ἢ συμ-
ψήφους ἢ συγκατηγόρους, βουλόμενοι αὐτοὺς ἔχειν. τὸ ἐκ τῆς ἀκολουθίας αὐτοὺς προστιθέναι τὴν μείζονα τῶν προτά-
σεων. ὁ δεῖνα γάρ φησι καλλωπιστής. ὁ κοινοῦ καὶ μοιχός. τούτων γὰρ ὁ δικαστὴς ἀκούσας, καθ' ἑαυτὸν τὴν λοιπὴν
προστίθησιν. ὅτι ἐκ πάντως πᾶς γὰρ καλλωπιστὴς μοιχός. τὸ δὲ ἕτερον πρόσκειται, διὰ τοὺς διφορουμένους συλλο-
γισμούς. οἵτινες τὸ αὐτὸ ἔχουσι συμπέρασμα ταῖς προτάσεσιν. οἷός ἐστιν ὁ λέγων. εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν
ἀλλὰ μὴν ἡμέρα ἐστίν, ἡμέρα ἄρα ἐστίν. ἐνταῦθα γὰρ οὐδὲν ἕτερον τῶν κειμένων συνέβη. ὅτι δὲ δεῖ ἕτερον εἶναι
τὸ συμπέρασμα παρὰ τὰς προτάσεις ἐντεῦθεν δῆλον. ἄλλο ἐστὶν οὗ ἕνεκά του, καὶ τὸ οὗ ἕνεκα. οἷον τὸ πηδάλιον
ἕνεκά του ἐστίν. ἕνεκα γὰρ τοῦ πλεῖν. τὸ δὲ πλεῖν οὗ ἕνεκα. δι' αὐτὸ γὰρ γέγονε τὸ πηδάλιον. καὶ ὁμολογουμένως
ταῦτα ἕτερά ἐστιν ἀλλήλων. τὸν αὐτὸν δὲ τρόπον ἔχει καὶ ἐπὶ τῶν προτάσεων. εἰσὶ γὰρ αἱ προτάσεις ἕνεκά του. τοῦ συμ-
περάσματος γὰρ ἕνεκα. τὸ δὲ συμπέρασμα οὗ ἕνεκα. ἕνεκα γὰρ αὐτοῦ αἱ προτάσεις. ὥστε ταὐτὸ ἕτερον δεῖ
εἶναι τὸ συμπέρασμα παρὰ τὰς προτάσεις. καὶ ἄλλως πᾶς ὁ κατασκευάζων τι. ἢ τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς. ἢ τὸ



κειμένου αὐτῷ, μήτε καταφατικῶς μήτε ἀποφατικῶς, πῶς ἂν λέγοιτο ἔχειν αὕτη πρόσθεσιν· οὐ γὰρ δὴ λείπεται ἀφαίρεσιν αὐτὴν ἔχειν τοῦ μὴ εἶναι. πάλιν τὸ Σωκράτης περιπατεῖ ὅθεν ὁμολογουμένως πρόσθεσιν ἐχούσης τοῦ εἶναι, ἡ ταύτης ἀπόφασις ἡ Σωκράτης περιπατεῖ οὐκ ἔστιν ἢ πρόσθεσιν ἕξει τοῦ μὴ εἶναι ἢ ἀφαίρεσιν τοῦ εἶναι ἢ ἀφαίρεσιν τοῦ μὴ εἶναι. ἀλλ' ὅτι μὲν ἀφαίρεσιν τοῦ εἶναι οὐκ ἔχει, πρόδηλον. πρόσεστι γὰρ αὐτῇ τὸ ἔστι ῥῆμα. ἀλλὰ μὴν οὐδὲ τοῦ μὴ εἶναι ἀφαίρεσιν ἔχει. αὐτὸ γὰρ δὴ τοῦτο φησὶν ὅτι οὐκ ἔστι. λείπεται ἄρα πρόσθεσιν ἔχειν τοῦ μὴ εἶναι. καὶ ἄλλως· ἐν οἷς ἡ Σωκράτης οὐ περιπατεῖ, δέδεικται ἀφαίρεσιν ἔχουσα τοῦ μὴ εἶναι, αἱ δὲ δύο καταφάσεις, ἡ μὲν Σωκράτης περιπατεῖ, ἀφαίρεσιν τοῦ εἶναι. ἡ δὲ Σωκράτης περιπατεῖ ἔστι πρόσθεσιν τοῦ εἶναι. ἐν τούτοις ἄρα συναποδέδεικται, ἡ Σωκράτης οὐ περιπατεῖ ἔστι, πρόσθεσιν ἔχειν τοῦ μὴ εἶναι. τοῦτο γὰρ τὸ μεῖζον λέγεται. ἴσως δὲ καὶ τοῦτο ζητήσειεν ἄν τις, ὅτι οὐχ ὅλως ἐνδέχεται εὑρεῖν προτάσεις τινὰς μετὰ τρόπου δυνάμει τὸ ἔστιν ἐχούσας ἃ καὶ μὴ εἴρηται. περὶ τούτων προτάσεων ἐν τῷ περὶ ἑρμηνείας ὁμοίως ὑπὸ ποῖον τῶν τμημάτων ἀνάξομεν τὰς τοιαύτας προτάσεις, οἷον τὸ Σωκράτης ἐνδεχομένως φιλοσοφεῖ, ὁ αὐτὸς ἀναγκαίως ἀναπνεῖ, καὶ τὰς ὁμοίας. λεχθείη ἂν λέγω, καὶ τούτων αἱ καταφάσεις ἀφαίρεσιν ἔχειν τοῦ εἶναι. αἱ δὲ ἀποφάσεις, ἀφαίρεσιν τοῦ μὴ εἶναι. εἰ μέντοι τὸ ὁριστικὸν αὐτῶν ῥῆμα διαλύσομεν εἰς μετοχὴν καὶ ῥῆμα, οἷον Σωκράτης ἐνδεχομένως φιλόσοφός ἐστιν, ὁ αὐτὸς ἀναγκαίως ἀναπνέων ἐστί, λεχθείησαν καὶ τούτων κατὰ τὸ ἀκόλουθον· αἱ μὲν καταφάσεις, πρόσθεσιν ἔχειν τοῦ εἶναι, αἱ δὲ ἀποφάσεις πρόσθεσιν τοῦ μὴ εἶναι.

ΣΥΛΛΟΓΙΣΜΟΣ δέ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι, λέγω δὲ τῷ ταῦτα εἶναι, τὸ διὰ ταῦτα συμβαίνειν. τὸ δὲ διὰ ταῦτα συμβαίνειν, τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ [illegible]

Κατὰ τὴν ἐξ ἀρχῆς ἀπαρίθμησιν διαλεχθεὶς περὶ προτάσεως καὶ ὅρου, νῦν περὶ συλλογισμοῦ ποιεῖται τὸν λόγον. πρὸ δὲ τῆς τῶν ῥητῶν ἐξετάσεως, ἄξιόν ἐστι ζητῆσαι. πρῶτον μέν, πόθεν ἡ ψυχὴ εἰς ἔννοιαν ἦλθε τοῦ συλλογισμοῦ. ἔπειτα ποῖόν ἐστι τῆς ψυχῆς μόριον τὸ συλλογιζόμενον. τρίτον, εἰ ἔστιν ὅλως συλλογισμός. καὶ γὰρ περιφέρονταί τινες κατασκευάζειν ὅτι οὐδέ ἐστιν ὅλως συλλογισμός. οἱ γὰρ ἐφεκτικοὶ κατασκευάζοντες ὅτι οὐκ ἔστι συλλογισμός, ἔλεγον οὕτως· ἀποδεικνύοντές φατε ὅτι συλλογισμός, ἢ οὔ. εἰ μὲν οὐκ ἀποδεικνύοντες, οὐ πιστεύσομεν χωρὶς ἀποδείξεως ὑμῖν ὅτι ἔστι συλλογισμός. εἰ δὲ ἀποδεικνύντες, συλλογισμῷ δῆλον ὅτι ἄλλῳ χρῆσθε. ὃν πάλιν δι' ἑτέρου συλλογισμοῦ δεῖ ὑμᾶς ἀποδεικνύναι, ὅτι ἔστι συλλογισμὸς ἀποδεικτικός· κἀκεῖνον πάλιν δι' ἑτέρου, καὶ τοῦτο ἐπ' ἄπειρον. πρὸς οὓς φαμὲν ὅτι τοῖς ἡμετέροις ἁλίσκεσθε λόγοις. τὸ αὐτὸ γὰρ καὶ ἡμεῖς φήσομεν πρὸς ὑμᾶς· ἢ γὰρ ἀπεδείξατε ὅτι οὐκ ἔστι συλλογισμός, ἢ οὐκ ἀπεδείξατε. καὶ εἰ μὲν οὐκ ἀπεδείξατε, διὰ τοῦτο οὐ πιστεύομεν ὑμῖν. εἰ δὲ ἀπεδείξατε, ἀποδείξει, δῆλον ὅτι τινὶ χρώμενοι. ὥστε ἔστι συλλογισμὸς δι' οὗ ἀπεδείξατε. ἀλλ' ἐπειδὴ οὐ μόνον εἰς ἀπορίας αὐτοὺς ἐνεγκεῖν δεῖ, ἀλλὰ καὶ τὴν ἀπορίαν ἐπιλύσασθαι, φαμὲν οὕτως, ὅτι ἄλλο ἐστὶ συλλογισμός, καὶ ἄλλο συλλογιστόν. ὅταν οὖν τὸν συλλογισμὸν θεωρήσωμεν ὡς δι' αὐτοῦ ποιοῦμεν τὰς ἀποδείξεις, τηνικαῦτα αὐτὸ τοῦτο συλλογισμὸν αὐτὸν καλοῦμεν. ὅταν δὲ ὡς πρᾶγμα ὀφεῖλον ἀποδειχθῆναι συλλογιστόν. καὶ οὕτως ἀποδείκνυται ὁ συλλογισμός, ὡς συλλογιστὸν παραλαμβανόμενος. ἀλλ' ἴσως εἴποι τις ὅτι εἰ καὶ συλλογιστόν ἐστιν, οὐδὲν μᾶλλον διὰ τούτων λέλυται ἡ ἀπορία, διὰ γὰρ συλλογισμοῦ δείκνυται, ὡς πάλιν ὁ συλλογισμὸς γίνεται συλλογιστόν, διὰ τὸ καὶ αὐτὸν τοῦ ἑτέρου συλλογισμοῦ χρῄζειν ἀποδείξεως. πρὸς οὓς φαμὲν ὅτι οὐ πάσας τὰς ἀποδείξεις καὶ τὰς ἀρχὰς τῶν ἀποδείξεων διὰ συλλογισμοῦ λαμβάνομεν, ἀλλ' ἐκ τῶν ὁμολογουμένων κοινῶν ἐννοιῶν τὰς ἀρχὰς λαμβάνοντες, τὸν συλλογισμὸν κατασκευάζομεν. καὶ γὰρ ἐν τοῖς ἀποδεικτικοῖς εἴρηται ὅτι οὐ πάντα ἐστὶν ἀποδεικτά. εἰ γὰρ πάντα ἦν ἀποδεικτά, οὐδενὸς ἦν ἀπόδειξις, πᾶσα γὰρ ἀπόδειξις, ἀπό τινων ἀρχῶν περαίνεται, ἀδύνατον γάρ τι ἀποδεῖξαι, μὴ προειλημμένων τινῶν. εἰ οὖν ἀεὶ τὰ εἰς τὴν

ἀπόδειξιν

προστίθεσθαι λέγεται τὸ ἔστιν ἐν τῇ σωκράτης περιπατῶν ἐστι. δι' αὐτὸ δὲ τοῦτο πάλιν καὶ ἀφαιρεῖσθαι τὸ ἔστιν ἐν τῇ σωκράτης περιπατεῖ. φυλάττει γὰρ τὸ τῆς προτάσεως εἶδος. ὡς ἡ σωκράτης περιπατῶν ἐστι. καὶ μετὰ τὴν τοῦ ἔστι ἀφαίρεσιν ἐν τῇ σωκράτης περιπατεῖ. ἐπὶ δὲ τῆς συνθέσεως, οὐχ οὕτως, ἀλλ' ὅπου κατὰ σύνθεσίν τινων τὸ εἶναι ἔχουσιν αὐτῶν τῶν συνθέτων εἶναι οὐ δύνανται. οὐδὲ γὰρ λέγεται τῷ ἡμετέρῳ σώματι προστίθεσθαι τὸ θερμὸν ἢ τὸ ψυχρόν. χωρὶς γὰρ αὐτῶν ὅλως εἶναι οὐ δύναται. ἀλλὰ συντίθεσθαι ταῦτα ἀλλήλοις ἵνα γένηται τὸ σῶμα. τοιαῦται δέ εἰσι καὶ αἱ μετὰ τρόπον, προτάσεις οἷον, ἡ σωκράτη δυνατὸν ἐστι περιπατεῖν. αὐτοῦ γὰρ τὸ ἔστιν οὐ συνίσταται. ἐπειδὴ πᾶς λόγος δεῖται ὁριστικοῦ ῥήματος εἰς αὐτοτέλειαν. ὥστε κἂν οὕτως εἴπω δυνατὸν σωκράτη περιπατεῖν. ἀτελὴς ἐστιν ἡ πρότασις. τὸ γὰρ ἀπαρέμφατον ῥῆμα, οὐκ ἀπαρτίζει λόγον. μόνως οὖν ἐνεργείᾳ τὸ ἔστι παρειλήφθησαν, δυνατὸν ἐστι σωκράτη περιπατεῖν. καὶ ἐκ μεταθέσεως δὲ πᾶσαι, πρόσθεσιν ἢ ἀφαίρεσιν ἔχειν τοῦ εἶναι, οὐκ ἂν λεχθεῖεν. αἱ δὲ αὐταὶ γὰρ ἐνδέχεται μὴ ἔχειν, τὸ ἔστιν ἐνεργείᾳ. ὥστε ἢ συντίθεσθαι ἢ διαιρεῖσθαι λεχθεῖεν ἄν. συντίθεσθαι μὲν αἱ καταφάσεις. διαιρεῖσθαι δὲ αἱ ἀποφάσεις μετὰ τοῦ εἶναι ἢ μὴ εἶναι. διότι μὲν οὖν ἐπί τινων μὲν προτάσεων προστίθεσθαι λέγεται ἢ ἀφαιρεῖσθαι. ἐπί τινων δὲ συντίθεσθαι ἢ διαιρεῖσθαι τὸ εἶναι ἢ μὴ εἶναι εἴρηται. ἀλλ' ἐπειδὴ ἡ προεκτεθειμένη διαίρεσις, ἐλλιπῶς ἔχει. οὔτε γὰρ τῶν αὐτοῦ τρόπου ἐκ μεταθέσεως μνήμην πεποίηται, οὔτε τῶν μετὰ τρόπον δυνάμει τὸ εἶναι ἐχουσῶν. περὶ μὲν οὖν τῶν μετὰ τρόπον δυνάμει τὸ εἶναι ἐχουσῶν ἤδη εἴπομεν ὅτι οὐχ οἷόν τε ἐστὶ μετὰ τρόπου προτάσεις, δυνάμει τὸ εἶναι ἔχειν. διότι τὸ δυνατὸν καὶ τὸ ἀναγκαῖον. καὶ τὸ ἐνδεχόμενον, ἀπαρεμφάτοις συντάττεται ῥήμασιν. ἀδύνατον δὲ ἐστι χωρὶς τοῦ ὁριστικοῦ ῥήματος ἀπαρτισθῆναι λόγον. καὶ διὰ τοῦτο δεῖ τοῦ ἔστιν ὁριστικοῦ ῥήματος. δυνατόν ἐστι σωκράτη περιπατεῖν, χωρὶς δὲ μὴ οὕτως τις σχηματίσῃ τοὺς τρόπους. ἐνδεχομένως σωκράτης περιπατεῖ. ἀναγκαίως ὁ ἄνθρωπος ἀναπνεῖ. ἢ καὶ οὕτως δεῖ ἀνάγκης ὁ ἄνθρωπος ἀναπνεῖ. περὶ τὴν προτέραν οὖν τῶν τρόπων χρῆσιν καθ' ἣν καὶ ἐν τῷ περὶ ἑρμηνείας παρεδόθησαν οἱ τρόποι. ἀνάγκη ὡς καὶ ἐνταῦθα οὐ γέγονεν ἡ διαίρεσις τῶν δυνάμει τὸ ἔστιν ἐχουσῶν εἰς τὰς μετὰ τρόπον, καὶ εἰς τὰς ἄνευ τρόπου. κἀκεῖ γὰρ πρῶτον μὲν παρεδόθησαν αἱ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου ἐν αἷς δυνάμει τὸ ἔστι θεωρεῖται. δεύτερον αἱ ἐκ τρίτου προσκατηγορουμένου. αἳ τοῦτο διῃροῦντο εἰς τὰς ἁπλᾶς, καὶ εἰς τὰς ἐκ μεταθέσεως. καὶ τρίτον αἱ μετὰ τρόπου ἃς διῄρει, ὥστε τὰς ἁπλᾶς καὶ τὰς ἐκ μεταθέσεως. διότι μὲν οὖν μὴ παραλημμέναι εἰσὶν αἱ μετὰ τρόπου δυνάμει τὸ εἶναι ἔχουσαι ἐν τῇ διαιρέσει ἀπολογησάμεθα. καίτοι δυνατοῦ ὄντος, τοιαύτας προτάσεις συνίστασθαι. διότι δὲ καὶ τῶν ἄνευ τρόπου τὰς ἐκ μεταθέσεως παρῆκεν, καίτοι μνήμην αὐτῶν τοῦ ἀριστοτέλους ἐν τῷ περὶ ἑρμηνείας πεποιηκότος. ἢ οὖν διὰ τοῦτο προστιθέμενον καὶ ἀφαιρούμενον ἢ συντιθέμενον καὶ διαιρούμενον εἶναι ἢ μὴ εἶναι πάσας τὰς ἐν τῷ περὶ ἑρμηνείας παραδιδομένας προτάσεις. ἐλλιπὴς ἄρα ἐστὶν ἡ διαίρεσις, δεῖ γὰρ δῆλον ὅτι καὶ τὰς ἄνευ τρόπου ἐκ μεταθέσεως, ὑφ' ἓν τῶν τεσσάρων ἀνάγεσθαι μερῶν. καὶ δῆλον ὅτι ἐκ τῶν εἰρημένων ἡμῖν, καὶ περὶ ἄλλων συλλογιζόμενοι ἐροῦμεν αὐτῶν τὰς μὲν καταφατικὰς σύνθεσιν ἔχειν τοῦ μὴ εἶναι. ὥσπερ καὶ τὰς μετὰ τρόπου. ὅσα γὰρ εἴρηται ἐπὶ τῶν μετὰ τρόπου προτάσεων, ταῦτα καὶ ἐπ' αὐτῶν ἁρμόσει λέγεσθαι. ἵνα οὖν ἀνελλιπὴς ἡ διαίρεσις γένηται, πάσας τὰς ἐν τῷ περὶ ἑρμηνείας παραδεδομένας προτάσεις παραλαμβάνουσα εἴπωμεν οὕτως. τῶν προτάσεων, αἱ μὲν δυνάμει ἔχουσι τὸ ἔστι. αἱ δὲ ἐνεργείᾳ. καὶ τῶν δυνάμει, αἱ μὲν εἰσι καταφατικαί, αἳ τοῦτο ἀφαίρεσιν ἔχουσι τοῦ εἶναι. αἱ δὲ ἀποφατικαί, αἳ τοῦτο ἀφαίρεσιν ἔχουσι τοῦ μὴ εἶναι. τῶν δὲ ἐνεργείᾳ τὸ εἶναι ἐχουσῶν, αἱ μὲν, ἁπλαῖ. αἱ δὲ ἐκ μεταθέσεως. καὶ τῶν ἁπλῶν, αἱ μὲν ἄνευ τρόπου. αἱ δὲ μετὰ τρόπου. τῶν δὲ ἄνευ τρόπου, αἱ μὲν καταφατικαί, πρόσθεσιν τοῦ εἶναι. αἱ δὲ ἀποφατικαί, πρόσθεσιν τοῦ μὴ εἶναι. καὶ τῶν μετὰ τρόπου, αἱ μὲν καταφατικαὶ σύνθεσιν τοῦ εἶναι. αἱ δὲ ἀποφατικαὶ διαίρεσιν τοῦ εἶναι. αἱ δὲ ἐκ μεταθέσεως ὅσαι αἱ προτάσεις εἴτε μετὰ τρόπου, εἴτε ἄνευ τρόπου. αἱ μὲν καταφατικαὶ εἰσὶ σύνθεσιν ἔχουσι τοῦ μὴ εἶναι, αἱ δὲ ἀποφατικαί, διαίρεσιν τοῦ μὴ εἶναι. Ἐν ἔτι λοιπὸν ζητῆσαι. τί δήποτε μή, ὥσπερ ἐπὶ τῶν ἄνευ τρόπου ἁπλῶν τῶν τε δυνάμει τὸ εἶναι ἐχουσῶν καὶ τῶν ἐνεργείᾳ ὁμοίως ταῖς καταφάσεσιν αἱ ἀποφάσεις ἢ πρόσθεσιν ἢ ἀφαίρεσιν ἔχειν ἐλέγοντο. διέφερε δὲ τὸ εἶναι ἢ μὴ εἶναι, ὅτι ἐν ταῖς καταφάσεσι τὸ εἶναι, ἐν δὲ ταῖς ἀποφάσεσι τὸ μὴ εἶναι. οὕτω δὴ καὶ ἐπὶ τῶν ἐκ μεταθέσεως, καὶ ἔτι ἐπὶ τῶν μετὰ τρόπου ἁπλῶν, ἀλλὰ ταῖς μὲν καταφάσεσι πάσαις, τὴν σύνθεσιν δεδώκαμεν, ταῖς δὲ ἀποφάσεσιν ἁπάσαις τὴν διαίρεσιν. λέγομεν οὖν ὅτι ἐν τούτοις αἱ καταφάσεις ἅπασαι, ὕπαρξιν δηλοῦσιν. αἱ μὲν ἁπλαῖ συντιθέασιν εἶναι τῇ προτάσει. ὡς ἡ σωκράτη δυνατόν ἐστι περιπατεῖν. αἱ δὲ ἐκ μεταθέσεως τοῦ μὴ εἶναι ὡς ἡ σωκράτη δυνατόν ἐστι μὴ περιπατεῖν. καὶ ἡ σωκράτης οὐ περιπατῶν ἐστιν ὕπαρξιν δηλοῦσαι πᾶσαι. οὐκ ἂν λέγοιντο διαίρεσιν ἐργάζεσθαι. οὐδ' αἱ ἐκ μεταθέσεως ἄρα. καὶ αὗται γὰρ τὸ μὴ εἶναι συντιθέασιν. εἰ δὲ τοῦτο, αἱ ἄρα ἀποφάσεις αὐτῶν διαίρεσιν ἔχειν λέγοιντο ἄν. οὐχ οὕτω δὲ καὶ ἐπὶ τῶν λοιπῶν. τῆς γὰρ σωκράτης περιπατεῖ, ἀφαίρεσιν ἔχειν λεγομένης τοῦ εἶναι. ἀνάγκη καὶ ταύτης ἀπόφασις ἡ σωκράτης οὐ περιπατεῖ ἀφαίρεσιν ἕξει τοῦ μὴ εἶναι. ὅτι μὲν οὖν πρόσθεσιν ἔχει τοῦ εἶναι. ὅτι τοῦ μὴ εἶναι ἔχει, δῆλον. ὅλως γὰρ τοῦ ἔστι ῥήματος μὴ προσ-

ὑπάρχει. τοῦ δὲ ὑποκειμένου τὸ καθ' οὗ ἕτερόν τι λέγεται, ἢ ᾧ ἕτερόν τι ὑπάρχειν λέγεται ἢ μὴ ὑπάρχειν. ἀλλ' οὐχ ὡς ὡρίσατο τὸ οὐσίαν ἢ συμβεβηκὸς σημαίνειν. οὐσίαν μὲν τὸν ὑποκείμενον. συμβεβηκὸς δὲ τὸν κατηγορούμενον. ἐπεὶ καὶ ὁ ὑποκείμενος, καὶ συμβεβηκὸς ἂν εἴη καὶ οὐσία. ὁμοίως δὲ καὶ ὁ κατηγορούμενος. ὅταν γὰρ εἴπω ὁ ἄνθρωπος ζῷόν ἐστιν, ἄμφω οὐσίαι. ὅταν δὲ εἴπω τὸ λευκὸν χρῶμά ἐστιν, ἄμφω συμβεβηκότα. ἐὰν δὲ εἴπω τὸ λευκὸν τοῦτο ἄνθρωπός ἐστι, συμβεβηκὸς μὲν δηλαδὴ ὁ ὑποκείμενος, οὐσία δὲ, ὁ κατηγορούμενος. ἐὰν δὲ εἴπω ὁ ἄνθρωπος λευκός ἐστιν, ἢ Σωκράτης φιλοσοφεῖ, τὸ ἀνάπαλιν. οὐσία μὲν ὁ ὑποκείμενος, συμβεβηκὸς δὲ, ὁ κατηγορούμενος. ἔτι μὴν ὡς ἕτερα γὰρ τὸν μὲν ὑποκείμενον εἶναι δεκτικὸν προσδιορισμοῦ, οὐχὶ δὲ καὶ τὸν κατηγορούμενον. οὕτω γὰρ ἐπὶ τῶν καθ' ἕκαστα προτάσεων. ἐπειδὴ ὁ ὑποκείμενος οὐκ ἐπιδέχεται προσδιορισμόν. οὐ γὰρ φαμὲν, πᾶς Σωκράτης ἢ τίς. οὐδὲ ὅρος ἂν εἴη ὅσον ἐκ τοῦ ὁρισμοῦ τούτου. δεῖ δὲ τὸν ὁρισμὸν πᾶσι τοῖς ὁριστοῖς ἐφαρμόττειν.

Ἢ ΠΡΟΤΙθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι.

τοῦτο τὸ ῥησείδιον. ὁ μὲν Ἀλέξανδρος καὶ οἱ πλεῖστοι τῶν ἐξηγητῶν, ἁπλούστερον ἐξηγήσαντο. σημαίνειν γὰρ φησὶ διὰ τούτων τὰς καταφατικὰς καὶ ἀποφατικὰς προτάσεις. διὰ μὲν τοῦ εἶναι προστιθεμένου τὰς καταφατικάς. διὰ δὲ τοῦ διαιρουμένου τὰς ἀποφατικάς. αὕτη δὲ ἁπλουστέρα μᾶλλόν ἐστιν ἢ ἀληθεστέρα ἡ ἐξήγησις. ἡ γὰρ κατάφασις καὶ ἡ ἀπόφασις, ἀντικείμεναί εἰσι. καὶ εἰ ἐβούλετο ἀμφοῖν εἰπεῖν, δι' ἀντικειμένων τοῦτο σημῆναι φωνῶν. ἡ δὲ πρόσθεσις καὶ διαίρεσις, οὐκ ἀντικείμενα. τῇ μὲν γὰρ προσθέσει, ἀντίκειται ἡ ἀφαίρεσις· τῇ δὲ διαιρέσει, ἡ σύνθεσις. ὥστε οὐχ ἕξει χώραν ἡ ἐξήγησις αὕτη. οἱ δέ γε ἀκριβέστεροι τῶν ἐξηγητῶν φασιν, ὡς ὁ θεῖος Ἰάμβλιχος διὰ βραχυλογίαν, ἐξ ἑκατέρας ἀντιθέσεως ἓν εἰπὼν καὶ τὸ ἀντικείμενον ἑκατέρας ἐδήλωσε. τοῦτο δὲ σύνηθες αὐτῷ ποιεῖν. ὥστε εἶναι ἀντιθέσεις δύο. πρόσθεσις, ἀφαίρεσις. σύνθεσις, διαίρεσις. διὰ τούτων δὲ ἐδήλωσεν ἡμῖν πάσας τὰς προτάσεις τὰς παραδεδομένας ἐν τῷ περὶ ἑρμηνείας. πᾶσα γὰρ πρότασις ἢ προστιθέμενον ἔχει τὸ ἔστιν ἢ ἀφαιρούμενον. ἵνα δὲ τοῦτο οὕτως ἔχει, λάβωμεν ἐκ διαιρέσεως τὰς προτάσεις οὕτως. αἱ προτάσεις αἱ μὲν μετὰ τρόπου εἰσὶν αἱ δὲ ἄνευ τρόπου. καὶ αἱ μὲν δυνάμει ἔχουσι τὸ ἔστιν ὡς ἡ Σωκράτης περιπατεῖ, αἱ δὲ ἐνεργείᾳ, ὡς ἡ Σωκράτης φιλόσοφός ἐστιν. ἀμφότεραι δὲ αἱ μὲν καταφατικαὶ, αἱ δὲ ἀποφατικαί. τῶν δὲ μετὰ τρόπου, αἱ ἄνευ καὶ ἐνεργείᾳ τὸ εἶναι ἔχουσιν. αἱ μὲν ἁπλαῖ. αἱ δὲ ἐκ μεταθέσεως. καθολικώτερον δὲ, αἱ μὲν καταφατικαὶ, αἱ δὲ ἀποφατικαί. αἱ τοίνυν ἄνευ τρόπου, δυνάμει ἔχουσαι τὸ ἔστι καταφατικαὶ ἀφαίρεσιν λέγονται ὑπομένειν τοῦ εἶναι. ὡς ἡ Σωκράτης περιπατεῖ. διότι τῆς πλείονος οὔσης προτάσεως, Σωκράτης περιπατῶν ἐστι. τὸ γὰρ ῥῆμα ἀναλύεται εἰς μετοχήν· καὶ ἀφῃρέθη αὐτῆς κατὰ τὴν συναίρεσιν τὸ ἔστιν. αἱ δὲ τούτων ἀποφάσεις, ἀφαίρεσιν ἔχειν λέγονται τοῦ μὴ εἶναι, ὡς ἡ Σωκράτης οὐ περιπατεῖ. διὰ τὴν αὐτὴν αἰτίαν. αἱ δὲ ἄνευ τρόπου ἐνεργείᾳ ἔχουσαι τὸ εἶναι καταφατικαὶ, λέγονται πρόσθεσιν ὑπομένειν τοῦ εἶναι, ὡς ἡ Σωκράτης φιλόσοφός ἐστι. διότι ὁ μὲν κυρίως κατηγορούμενος ἐστὶ φιλόσοφος. διότι δὲ δύο ὀνόματα δίχα ῥήματος οὐκ ἀπαρτίζει λόγον, προστίθεται τὸ εἶναι οὐχ ὡς μέρος προτάσεως. ἀλλὰ τοῦ συνδῆσαι ἕνεκα τοὺς ὅρους. αἱ δὲ ἀποφάσεις τούτων, ὡς ἡ Σωκράτης φιλόσοφος οὐκ ἔστι. πρόσθεσιν ἔχει τοῦ μὴ εἶναι διὰ τὴν αὐτὴν αἰτίαν. πάλιν αἱ μετὰ τρόπου καταφατικαὶ ἁπλαῖ. ὡς ἡ Σωκράτη δυνατόν ἐστι περιπατεῖν λέγουσαι. σύνθεσιν λέγεται ὑπομένειν τοῦ εἶναι. ἡ δὲ ἐκ μεταθέσεως, σύνθεσιν τοῦ μὴ εἶναι, ὡς ἡ Σωκράτη δυνατόν ἐστι μὴ περιπατεῖν. ἢ μὴ περιπατοῦντα εἶναι. ἡ δὲ ἀπόφασις, τῆς μὲν ἁπλῆς ὡς ἡ οὐ δυνατὸν Σωκράτην φιλόσοφον εἶναι διαίρεσιν τοῦ εἶναι, ἡ δὲ ἀπόφασις, τῆς ἐκ μεταθέσεως, διαίρεσιν τοῦ μὴ εἶναι. ὡς ἡ οὐ δυνατὸν Σωκράτη μὴ περιπατεῖν. σύνθεσιν δὲ λέγονται ἔχειν. αἱ μετὰ τρόπου καταφάσεις ἁπλαῖ τε καὶ ἐκ μεταθέσεως τοῦ εἶναι ἢ μὴ εἶναι διότι τοῦ ἔστι προϋπάρχοντος ἐν ταῖς ἄνευ τρόπου προτάσεσι καὶ τοῦ τρόπου ἐπιγινομένου, συντίθεται ἡ ὅλη πρότασις. αἱ δὲ ἀποφάσεις διὰ τὴν αὐτὴν αἰτίαν, διαίρεσιν τοῦ εἶναι ἢ μὴ εἶναι ἔχουσιν. οὐχ οὕτω δὲ ἐπὶ τῶν ἄνευ τρόπου. οὐ γὰρ προϋποκειμένης τῆς προτάσεως, ἡ σύνθεσις τοῦ ἔστιν ἐγένετο. οὐδὲ γὰρ τὸ Σωκράτης περιπατεῖ ἢ φιλοσοφεῖ, συντίθεται τὸ ἔστιν ἐν τῷ φιλόσοφός ἐστιν. ἢ φιλοσοφῶν ἐστιν. ἀλλ' ὅπου μὲν δυνάμει ἐστὶν, ὅπου δὲ ἐνεργείᾳ, ἀναλυομένου τοῦ περιπατεῖ εἰς τὸ περιπατῶν ἐστιν. ἐπὶ μέντοι τῶν μετὰ τρόπου προϋποκειμένου τὸ ἔστι τῶν τρόπον προσκατηγορούμενον ἐχουσῶν προτάσεων. ἐπισυντίθεται αὐταῖς ὁ τρόπος. οἷον Σωκράτης φιλόσοφός ἐστιν. ἐνδεχόμενόν ἐστι Σωκράτην φιλόσοφον εἶναι. ὥστε τῷ ἔστιν ἐπισυντίθεται ὁ τρόπος. οὐ καθ' ὃ καὶ τὸ ἔστι τῷ τρόπῳ. συντόμως ἅμα ἀπαγγεῖλαι βουλόμενος εἶπε. τὸ συντιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι. τὸ μὲν γὰρ ἔστι, καὶ προστίθεται καὶ ἀφαιρεῖται. ταῖς προτάσεσιν ὡς ἐπὶ τῶν ἄνευ τρόπου τῶν ἁπλῶν. καὶ συντίθεται δὲ καὶ διαιρεῖται ὡς ἐπὶ τῶν λοιπῶν. ὁ δὲ τρόπος μόνος, καὶ συντίθεται καὶ διαιρεῖται. σκόπει οὖν πῶς ἀκριβῶς. ταῖς μὲν ἄνευ τρόπου ἁπλαῖς δυνάμει ἢ ἐνεργείᾳ ἐχούσαις τὸ ἔστι προστίθεσθαι ἢ ἀφαιρεῖσθαι εἴρηται τὸ ἔστι. προστίθεσθαι γὰρ λέγεται ἄλλο ἄλλῳ. τῷ καὶ χωρὶς τῆς προσθήκης εἶναι δυναμένῳ. ὥσπερ λέγοις τῷ ξέστῃ τοῦ οἴνου προστεθῆναι κύαθον, ἢ ἀφαιρεθῆναι αὐτοῦ κύαθον. συντίθεσθαι δὲ οὐκέτι. οὕτως οὖν καὶ ἐπὶ τῶν ἄνευ τρόπου προτάσεων. ἐπειδὴ καὶ χωρὶς τοῦ ἔστιν αὐτοτελής ἐστιν ἡ πρότασις ἡ λέγουσα Σωκράτης περιπατεῖ δηλονότι,

προστίθεσθαι

ἡ ἐρώτησις, πρὸς ἣν πλειόνων δεῖ λόγων τῷ ἀποκρινομένῳ. ἐπάγει γοῦν. ἀλλ' ἐδεῖ με φέρειν ἀπόμνημονεύειν πλειόνων. ἐὰν τοίνυν τὴν πᾶσαν ἀντίφασιν ἐρωτώμεθα ἐνεργείᾳ. οἷον ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἢ οὐκ ἀθάνατος, οὐκέτι ἔστιν ὁ προσδιαλεγόμενος, δύναται ποιεῖν τὰς ἀποκρίσεις τὰς διαλεκτικάς, αἵ εἰσι τὸ ναὶ ἢ τὸ οὔ. εἴπη γὰρ ναὶ εἴποι ἢ οὔ, οὐκ οἶδεν ὁ ἐρωτήσας, ποίῳ μορίῳ τῆς ἀντιφάσεως συγκατέθετο ἢ ἀπέφη. ὅτι δὲ δυνάμει ἐν τῷ ἑτέρῳ μορίῳ τῆς ἀντιφάσεως ἐρωτᾷ ὁ διαλεκτικός, δῆλον ἐξ ὧν πολλάκις πρὸς τὸ μὴ ἐνεργείᾳ ἐρωτηθὲν μόριον, ἀποκρίνεται ὁ ἀποκρινόμενος. ὅτι οὐκ ἄν ἐγένετο, εἰ μὴ αὐτὴν ἐν τῷ ἐρωτήσει δυνάμει πᾶσαν ἡ ἀντίφασις. ἐρωτωμένου γὰρ ὅτι πότερον ἡ ψυχὴ ἀθάνατος. ἀποκρίνεται πολλάκις ὁ προσδιαλεγόμενος, ὅτι οὔ.

ΟΥΔΕΝ δὲ διοίσει πρὸς τὸ γενέσθαι τὸν ἑκατέρου συλλογισμόν. καὶ γὰρ καὶ ὁ ἀποδεικνύων καὶ ὁ ἐρωτῶν συλλογίζεται.

Σκοπὸν ἔχων ὁ φιλόσοφος διαλαβεῖν περὶ τοῦ ἁπλῶς συλλογισμοῦ, ὑπὸ φιλοτιμίας ἡμῖν νῦν παρεδίδου τὴν διαφορὰν τῆς ἀποδεικτικῆς προτάσεως καὶ τῆς διαλεκτικῆς. γνοὺς οὖν ὅτι τὰ νῦν ὑπ' αὐτοῦ ζητούμενα οὐδὲν συμβάλλονται εἰς τὸν ἁπλῶς συλλογισμὸν τούτου χάριν προσέθηκε τοῦτο νῦν, ὅτι οὐδὲν διαφέρει πρὸς τὸ κατασκευάσαι ἡμᾶς τὸν ἁπλῶς συλλογισμὸν τὸ εἰδέναι. ἐπεὶ ἐρωτῶν ὁ διαλεκτικὸς συλλογίζεται ἢ μή. ὁμοίως οὐδὲ ὁ ἀποδεικτικὸς λαμβάνει καὶ οὐκ ἐρωτᾷ. οὐδὲν γὰρ ἧττον, εἰ καὶ πρὸς αὐτὸν συλλογίζεται. ἡμῖν δὲ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ πρόκειται νῦν διαλαβεῖν, καὶ διὰ μὲν τοῦ εἰπεῖν ὁ ἀποδεικνύων, σημαίνει τὴν ἀποδεικτικὴν πρότασιν. διὰ δὲ τοῦ ἐρωτῶν, τὴν διαλεκτικήν.

ΛΑΒΩΝ τι κατά τινος ὑπάρχειν, ἢ μὴ ὑπάρχειν. ὥστε ἔσται συλλογιστικὴ μὲν πρότασις, ἁπλῶς κατάφασις, ἢ ἀπόφασις τινὸς κατά τινος, ἢ τινὸς ἀπό τινος, κατὰ τὸν εἰρημένον τρόπον. ἀποδεικτικὴ δέ, ἐὰν ἀληθὴς ᾖ, καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη. διαλεκτικὴ δὲ πυνθανομένῳ μέν, ἐρώτησις ἀντιφάσεως.

Κατὰ τοῦτο δῆλον ἐστι, τὸ κατά τινος ἐνδέχεται λαβεῖν. κοινῶς αὐτό τι τῆς καταφάσεως καὶ τῆς ἀποφάσεως ὅπερ ἔμπροσθεν ἐλέγομεν. αὐτὸς γὰρ κοινῶς εἰπὼν τὸ κατά τινος ὑποδιαιρεῖ προσθεὶς ἢ τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν. ἀποδεικτικὴ δὲ ἐὰν ἀληθὴς ᾖ καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη. οὐ γὰρ ἀρκεῖ μόνον ἐὰν ἀληθὴς ᾖ. εἰς τὸ ποιῆσαι πρότασιν ἀποδεικτικήν. ὑπάρχει γάρ ποτε τοῦτο καὶ τῇ διαλεκτικῇ. ἀλλὰ δεῖ μὴ καὶ ἐκ τῶν κοινῶν ἐννοιῶν ἢ ἐκ τῶν ἐξ ἐκείνων κατασκευαζομένων ὑπάρχειν. ἐξ ἀρχῆς δὲ ὑποθέσεις καλεῖ, τὰς κοινὰς ἐννοίας. διότι κρείττους εἰσὶ τῶν ἀποδείξεων καὶ τιμιώτεραι. εἴπερ αὗται μὲν εἰσὶν αὐτόπιστοι δι' ἑαυτάς. αἱ δὲ ἀποδείξεις διὰ ταύτας τὸ πιστὸν ἔχουσιν. ἢ διὰ τῶν ἐξ ἀρχῆς φησιν ὑποθέσεων ἐπειδὴ ὁ ἀποδεικτικὸς συλλογισμὸς αὐτὴ ἐπιστημονικός ἐστιν. ἑκάστη δὲ αὐτῇ ἐπιστήμη ἰδίας ἀρχὰς ἔχει καὶ ὑποθέσεις. καὶ περαιτέρω οὐ πρόεισιν. οἷον ἡ γραμματικὴ ἀρχὴν ἔχει τὰ στοιχεῖα, καὶ περαιτέρω οὐ πρόεισιν. ὥσπερ καὶ ἡ γεωμετρία τὸ σημεῖον, καὶ ἀριθμητικὴ τὴν μονάδα. ταύτην οὖν λέγει ἀποδεικτικὴν πρότασιν, τὴν ἐκ τῶν οἰκείων ἀρχῶν καὶ ὑποθέσεων εἰλημμένην. καὶ μὴ ὑπερβᾶσαν τὴν τοῦ ἐπαγγέλματος ὑπόθεσιν. ὥσπερ τῷ γραμματικῷ οἰκεῖαι προτάσεις αἱ περὶ στοιχείου καὶ συλλαβῶν καὶ τῶν ἑπομένων. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐπιστημῶν.

ΣΥΛΛΟΓΙζομένῳ δὲ λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου. καθάπερ ἐν τοῖς τοπικοῖς εἴρηται. τί μὲν οὖν ἐστι πρότασις. καὶ τίνι διαφέρει συλλογιστικὴ καὶ ἀποδεικτικὴ. καὶ διαλεκτική, δι' ἀκριβείας μὲν ἐν τοῖς ἑπομένοις ῥηθήσεται. πρὸς δὲ τὴν παροῦσαν χρείαν, ἱκανῶς ἡμῖν διωρίσθω τὰ νῦν.

Τοῦτό φησιν οὐχ ὅτι δεῖ αὐτὸν ἐρωτῶντα τὸ ἔνδοξον πάντως λαβεῖν. ὁ γὰρ βούλεται ὁ προσδιαλεγόμενος ἀποκρίνεται. καὶ εἴ γε θ' ὅτι τὸ ἐναντίον τοῦ ἐνδόξου. οἷον εἰ ἐρωτήσει ἆρα Σωκράτης δίκαιός ἐστιν ἴσως φήσει οὔ. ἀλλὰ τὸ διὰ τῶν φαινομένων μάλιστα τῷ προσδιαλεγομένῳ ἐνδόξων συλλογίζεσθαι ὅτι αὐτὸ βούλεται. τὸ δὲ ἔνδοξον πολλαχῶς λέγεται. ἢ γὰρ τὸ τοῖς πᾶσι δοκοῦν. ἢ τὸ τοῖς πλείοσιν ἢ τοῖς ἐνδόξοις. καὶ ἄλλως δὲ πολλαχῶς. καὶ αὐτὸς ἐν τοῖς τόποις, σαφῶς διορίζεται περὶ αὐτοῦ.

ΟΡΟΝ δὲ καλῶ, εἰς ὃν διαλύεται ἡ πρότασις. οἷον τό, τε κατηγορούμενον, καὶ τὸ καθ' οὗ κατηγορεῖται. τῶν

Τῶν προτάσεων οὐ μόνον ἐξ ὑποκειμένου καὶ κατηγορουμένου οὐσῶν. ἀλλὰ καὶ ἐκ τρίτου προσκατηγορουμένου, καὶ φέρει, τί δήποτε τὴν πρότασιν εἰς τὸ ὑποκείμενον καὶ κατηγορούμενον διαλύεσθαί φησι μόνοις, καὶ λέγομεν ὅτι καὶ κυρίως ταῦτα τὰ δύο εἰσὶ μόνα τῆς προτάσεως μέρη. τό τε περὶ οὗ ὁ λόγος. καὶ τὸ περὶ ἐκείνου λεγόμενον. ὅσα δὲ ἄλλα παραλαμβάνεται ἐν τῇ προτάσει συνδέσμου χρείαν πληροῖ. αὐτὸ σημειώσασθαι δὲ δεῖ τὸ καλῶ. οὔτε γὰρ αὐτὸ τῆς προτάσεως ἔμπροσθεν εἴπε τοῦτο. ὅτι πρότασιν δὲ καλῶ οὔτε μὴν λέξει τὸν συλλογισμὸν ὁριζόμενος. ἔοικεν οὖν αὐτὸς τὸ τοῦ ὅρου ὄνομα τεθεικέναι. τὸ δὲ τῆς προτάσεως καὶ τοῦ συλλογισμοῦ εὑρέθη καὶ παρὰ τῶν πρὸ αὐτοῦ. ὅρος δὲ καλεῖται διὰ τὸ ἐν αὐτῷ περιορίζεσθαι τὴν τοῦ συλλογισμοῦ ἀνάλυσιν. ἄχρι γὰρ αὐτοῦ ἐλθὼν ὁ ἀναλύων πέπαυται ὡς πρὸς φιλοσόφους δὲ λέγω, ἀλλ' οὐχ ὡς πρὸς γραμματικοὺς οἵτινες περὶ μόνων τῶν σημαντικῶν φωνῶν ποιοῦνται τὴν σκέψιν. οὐχὶ δὲ καὶ περὶ ἀσήμων. πολλῷ γε μᾶλλον ἢ περὶ συλλαβῶν. ὁ δὲ ὁρισμὸς τοῦ μὲν κατηγορουμένου ὅρου, τὸ καθ' ἑτέρου λέγεσθαι ἢ τὸ τινὶ ὑπάρχειν, ἢ μὴ

cur hic demum posuerit verbum, καλῶ.

πῶς ἀπροσδιορίστων προτάσεων ὑποδείγματα θεῖναι βουληθεὶς εἶπε τὸ τῶν ἐναντίων μίαν εἶναι τὴν αὐτὴν ἐπιστήμην. ἢ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθὸν μετὰ τῶν ἄρθρων τοὺς ὅρους τιθείς. δοκοῦσι γὰρ τὰ ἄρθρα ἰσοδυναμεῖν τοῖς καθόλου προσδιορισμοῖς. ὡς οὕτως ἐν τῷ περὶ ἑρμηνείας ἔδοξε λέγεσθαι. φημὶ οὖν ὅτι οὐ παντάπασι τὰ ἄρθρα τοῖς προσδιορισμοῖς τὴν αὐτὴν ἔχουσι δύναμιν. τοῦτο γὰρ οὐκ ἔστιν ἀληθές. ἐπεί τοι γε ἂν τοῦτο ἦν. ὁπηνίκα τις εἴπῃ ὅτι ὁ σωκράτης φιλόσοφός ἐστι, τοῦτο λέγει ὅτι πᾶς σωκράτης. εἰ τοίνυν τοῖς καθέκαστα ὅροις δυνατὸν τὰ ἄρθρα προτάττειν. τοὺς δὲ προσδιορισμοὺς ἀδύνατον, οὐκ ἄρα ἀληθὲς δύνασθαι ταυτὸν τοῖς προσδιορισμοῖς τὰ ἄρθρα. ἀλλ' ἐπὶ μὲν τῶν καθέκαστα ὅρων. οὐδὲν ἄλλο σημαίνουσιν ἢ ἀναφορὰν καὶ τὸν προεγνωσμένον ἡμῖν φέρε σωκράτην ἢ ὁντιναοῦν. ἐπὶ δὲ τῶν καθόλου ὅρων, ἔοικεν ὡς καὶ ἐν τοῖς εἰς τὸ περὶ ἑρμηνείας ὁ ἡμέτερος εἶπε διδάσκαλος. αὐτὴν τὴν φύσιν καὶ τὴν ἰδέαν τοῦ ἀνθρώπου δηλοῦν ἢ ὁντινοσοῦν. ὅταν γὰρ λέγωμεν ὁ ἄνθρωπος ζῶον. τί ἄλλο φαμέν. ἢ ὅτι τῇ ἀνθρωπείᾳ φύσει ὑπάρχει τὸ εἶναι ζώῳ. ὅταν μέντοι πᾶς ἄνθρωπος ζῶον, τὰ ὑπὸ τὸ εἶδος δηλοῦμεν ἄτομα. ὥστε ἀπροσδιόριστος μὲν ἡ λέγουσα ὁ ἄνθρωπος ζῶον καὶ ἄνθρωπος ζῶον ἐκτὸς τοῦ ἄρθρου. ἀλλ' ἡ μὲν αὐτὸ τὸ καθόλου εἶδος ζῶον εἶναί φησιν ἡ μετὰ τοῦ ἄρθρου. ἡ δὲ μέρος τι τῶν ὑπὸ τὸ εἶδος. ἀμέλει ὅτι μὲν ὁ ἄνθρωπος λευκός ἐστιν ἢ γραμματικός, οὐκ ἀληθές. ἐκτὸς δὲ τοῦ ἄρθρου ἔστιν ἄνθρωπος λευκός. ἔστιν ἄνθρωπος γραμματικός. ὥστε κἂν μετὰ τοῦ ἄρθρου εἶπε. τὸ τῶν ἐναντίων. καὶ τὸ τὴν ἡδονήν, ἀπροσδιορίστοις ἐχρήσατο ταῖς προτάσεσιν

» ΔΙΑΦΕΡΕΙ δὲ ἡ ἀποδεικτικὴ πρότασις, τῆς διαλεκτικῆς. ὅτι ἡ μὲν ἀποδεικτική, λῆψις θατέ-
» ρου μορίου τῆς ἀντιφάσεώς ἐστι.

Τὸν ὁρισμὸν πάσης προτάσεως κοινὸν ἔμπροσθεν ἀποδεδωκώς, νῦν τὰς διαφορὰς αὐτῶν παραδίδωσι λέγων εἶναι τῶν προτάσεων. τὴν μὲν αὐτῶν ἀποδεικτικήν, τὴν δὲ διαλεκτικήν. παρέλιπε δὲ τὴν σοφιστικὴν ὡς διαπαντὸς ἄχρηστον οὖσαν. λαμβάνει δὲ διαφοράς, δύο. μίαν μὲν ἐκ τῆς φύσεως τῆς ἡμετέρας. ἑτέραν δὲ ἐκ τῆς φύσεως τῶν πραγμάτων. ὅτι ὁ μὲν διαλεκτικὸς οὐ πάντως τἀληθῆ λαμβάνει. ἀλλὰ τὰ δοκοῦντα τοῖς προσδιαλεγομένοις. εἴτε ἀληθῆ εἴη εἴτε ψευδῆ. ὁ δὲ ἀποδεικτικός, μόνα τἀληθῆ. κἂν μηδενὶ δοκῇ. ἐκ δὲ τῆς χρήσεως, ὅτι ὁ μὲν διαλεκτικός, τὴν ὅλην ἀντίφασιν ἐρωτᾷ. καὶ ὅπερ ἂν δόξῃ τῷ προσδιαλεγομένῳ, λαβὼν ἐκ τούτων εἰς ἀντίφασιν αὐτὸν ἐμπεριάγει. εἰς γὰρ δόξαν ὁρῶν. καὶ περιβάλλειν ἀεὶ βούλεται τὸν προσδιαλεγόμενον καὶ εἰς ἀντίφασιν αὐτὸν περιάγειν. ὁ δὲ ἀποδεικτικὸς πρὸς τὴν ἀλήθειαν βλέπων, οὐκ ἐρωτᾷ. ἀλλὰ τὸ δοκοῦν αὐτῷ καὶ ἀληθὲς λαμβάνει. καὶ οὔτε τὴν ὅλην ἀντίφασιν λαμβάνει. ἀλλὰ τὸ ἕτερον μόριον τὸ ἀληθές. Ἄξιον δὲ ζητῆσαι. διατί ἐν τῷ προλαβόντι βιβλίῳ ἐν τῷ περὶ ἑρμηνείας. περὶ προτάσεων διαλεχθείς, πάλιν ἐνταῦθα τί ἐστι πρότασις ἡμᾶς διδάσκει. φαμὲν οὖν ὡς ἤδη εἴρηται. ὅτι ἀπόφανσις. πρότασις. πρόβλημα. συμπέρασμα. ἔνστασις. τῷ μὲν ὑποκειμένῳ ταυτά εἰσι, τῇ δὲ σχέσει μόνον διαφέρουσι. φέρε γάρ. τό, ἡ ψυχὴ ἀθάνατος. πάντα ταῦτά ἐστιν. ἡνίκα μὲν γὰρ ὡς ἀποφαινόμενος λέγω, καλεῖται ἀπόφανσις. ὅτ' αὖ δὲ ὡς μέρος συλλογισμοῦ, πρότασις. καὶ γὰρ τοὺς συλλογισμοὺς φαμὲν ἐκ δύο προτάσεων συγκεῖσθαι τοὐλάχιστον. ὅτ' αὖ δὲ ὡς ἀπορῶν τις ἐρωτῶν οὕτως εἴπῃ, ἆρα ἡ ψυχὴ ἀθάνατος, τοῦτο πρόβλημα λέγεται. ὅτ' αὖ δὲ ἐκ συλλογισμοῦ συναχθῇ, συμπέρασμα. ὅτ' αὖ δέ τινος ἀποδείξαντος ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν. ἐνστῇ ἄλλος καὶ εἴπῃ ὅτι οὐκ ἀθάνατος, ἔνστασις. ἐν μὲν οὖν τῷ περὶ ἑρμηνείας, περὶ ἀποφάνσεως διελέγετο. ἐνταῦθα δὲ ὡς μέρος συλλογισμοῦ.

» ΟΥ ΓΑΡ ΕΡΩΤΑ, ἀλλὰ λαμβάνει ὁ ἀποδεικνύων. ἡ δὲ διαλεκτική, ἐρώτησις τῆς ἀντι-
» φάσεώς ἐστι.

Λαμβάνει ἀφ' ἑαυτοῦ δηλονότι ὥσπερ εἴρηται τῆς ἀληθείας ἀντιποιούμενος κἂν μὴ δοκῇ τῷ ἀκροατῇ ἢ μηδ' ὅλως ᾖ ἀκροατής. λήψεται γὰρ εἰ τύχοι ὁ ἀποδεικτικὸς ὁ ἥλιος μείζων τῆς γῆς ἐστι καὶ εἰ πολλαῖς δοκεῖ ποδιαῖος εἶναι. οὐχ ὡς ὁ διαλεκτικὸς βουλόμενος ἀεὶ κρατεῖν τοῦ προσδιαλεγομένου ἐκ τῶν παρ' αὐτοῦ ὁμολογουμένων λαμβάνει, εἴτε ἀληθῆ εἴη εἴτε ψευδῆ. ἡ δὲ διαλεκτικὴ ἐρώτησις ἀντιφάσεώς ἐστι. Τί δήποτε ἐν τῷ περὶ ἑρμηνείας λέγων τὴν διαλεκτικὴν πρότασιν ἐρώτησιν εἶναι τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως. ἐν οἷς φησιν ἡ δὲ διαλεκτικὴ ἐρώτησις ἀποκρίσεώς ἐστιν αἴτησις. ἢ τῆς προτάσεως ἢ θατέρου μορίου τῆς ἀντιφάσεως, ἐνταῦθα τοὐναντίον λέγει. τὴν γὰρ ὅλην ἀντίφασίν φησιν ἐρωτᾶν τὸν διαλεκτικόν. λέγομεν οὖν ὅτι οὐκ ἔστι ταῦτα ἐναντία. καὶ γὰρ καὶ ὅλην δεῖ ἐρωτᾶν τὴν ἀντίφασιν καὶ οὐχ ὅλην, ἀλλὰ τὸ ἕτερον μόριον. ἐνεργείᾳ μὲν γὰρ τὸ ἕτερον μόριον ἐρωτᾷ, δυνάμει δὲ τὴν ὅλην ἀντίφασιν. ὅτι δὲ τοῦτο βούλεται ὁ φιλόσοφος δῆλον ἐντεῦθεν. αὐτός φησιν ὅτι δεῖ τὴν διαλεκτικὴν ἐρώτησιν, οὕτω προφέρεσθαι ὡς διδοὺς τῷ προσδιαλεγομένῳ διὰ μόνης τῆς κατανεύσεως ἢ ἀνανεύσεως, τὸ βούλημα ἑαυτοῦ ἡμῖν ἐμφαίνειν. τοῦτο γὰρ καὶ διαφέρειν τὴν διαλεκτικὴν ἐρώτησιν τῆς πυσματικῆς. ὅτι πρὸς μὲν τὴν διαλεκτικὴν ἐρώτησιν, ἀρκεῖ ἢ τὸ ναὶ ἢ τὸ οὐ ἀποκρίνασθαι. πότερον ἡ ψυχὴ ἀθάνατος. πρὸς τοῦτο ἱκανὸν ἢ τὸ ναὶ ἢ τὸ οὔ. πρὸς δὲ τὰς πυσματικὰς πλείονος δεῖ λόγου. οἷον, τίς πόθεν εἷς ἀνδρῶν πόθι τοι πόλις ἠδὲ τοκῆες. αὕτη πυσματικὴ ἡ ἐρώτησις,

οὐδέποτε γὰρ ἐν ὁρισμῷ διαζευκτικὸς παραλαμβάνεται σύνδεσμος. τὰ γὰρ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα, παντὶ τῷ ὁριστῷ πάντα ὑπάρχει. παντὶ γὰρ ἀνθρώπῳ καὶ τὸ ζῷον καὶ τὸ λογικὸν, καὶ τὸ θνητὸν καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. οὐ πάσῃ δὲ προτάσει τὸ καταφατικὸν, ἢ ἀποφατικὸν, ἢ τὸ καθόλου καὶ ἐν μέρει καὶ ἀδιόριστον. διαιρέσεις ἄρα ταῦτά εἰσι προτάσεως. καὶ οὐ συστατικαὶ διαφοραὶ, εἰ μὴ ὡς ἐν τῷ πρώτῳ ληφθῶσιν. ἀλλ' οὐδὲ ἅμα παραλαμβάνεσθαι δύνανται. διότι ἤδη ἕκαστον τῶν ἐν τῷ ὁρισμῷ παραλαμβανομένων, ἑκάστῳ τῷ ὑπὸ τὸ ὁριστὸν εἴτε εἶδος, εἰ γένος εἴη τὸ ὁριστὸν. εἴτε ἄτομον, εἴπερ εἶδος εἴη ἰδικώτατον ὑπάρχειν ὀφείλει. οἷον ζῷόν ἐστιν οὐσία ἔμψυχος αἰσθητική. καὶ παντὶ ζῴῳ ὑπάρχει τὸ εἶναι οὐσίαν καὶ ἔμψυχον καὶ αἰσθητικόν. ὁμοίως καὶ ὁ τοῦ ἀνθρώπου ὁρισμὸς παντὶ τῶν ὑπὸ τὸν ἄνθρωπον ἀτόμων. καὶ πᾶν ἐν τῷ ὁρισμῷ ἕκαστον ὡς ἔφην ἐστιν. ἐπὶ δὲ τῆς καταφάσεως καὶ ἀποφάσεως τῶν ὑπὸ τὴν πρότασιν, οὐκέτι τοῦτο συμβαίνει. εἰ γὰρ καὶ ὑφ' ἓν λάβομεν τὸ καταφατικὸν καὶ ἀποφατικὸν ἑκατέρῳ οὐδ' ἁρμόσει ὅτι ἐπὶ τῆς καταφάσεως φημὶ ὅτι ἐπὶ τῆς ἀποφάσεως. ὁμοίως δὲ, οὐδὲ τὸ καθόλου καὶ ἐν μέρει καὶ ἀδιόριστον. ὥστε διαιρετικῶς ταῦτα ἀκουστέον. ἵνα ὁ μὲν ὅρος τῆς προτάσεως ᾖ, λόγος τινὸς κατά τινος. διαίρεσις δὲ αὐτῆς ταύτης. κατὰ μὲν τὸ ποιὸν κατάφασις ἢ ἀπόφασις. κατὰ δὲ τὸ ποσὸν καθόλου ἢ ἐν μέρει ἢ ἀδιόριστον. τούτου δὲ οὕτως ἔχοντος, οὐκέτι χώραν ἡ ἀπορία ἕξει. ἡ λέγουσα τὰς διαφορὰς τὰς ἐν τῷ ὁρισμῷ παραληφθείσας τὸ καταφατικὸν φημὶ καὶ τὸ ἀποφατικὸν. καὶ τῶν ἑξῆς ἕκαστον ἐπὶ πλεῖον εἶναι τοῦ ὁριστοῦ. οὐδὲ γὰρ εἰς τὸν ὁρισμὸν αὐτῆς τῆς προτάσεως παρελήφθησαν, ἀλλ' ὡς αὐτῆς διαιρετικαί. μόνον δὲ παραλέλειπται ἤ τι κατά τινος. ὅτις ἐξισάζει τῇ προτάσει. πάσῃ γὰρ προτάσει καὶ μόνῃ τοῦτο ὑπάρχει. εἰ δὲ λέγοι τις ὅτι. ἀλλ' ὥσπερ ἐπὶ τῶν ἄλλων ὁρισμῶν, αἱ καὶ ἰδικώταται διαφοραὶ παραλαμβάνονται. ἀλλ' οὖν καὶ κοιναί εἰσιν ὡς ἐπὶ τοῦ ἀνθρώπου τὸ λογικὸν καὶ τὸ θνητόν. οὕτως ἐπὶ τοῦ ὁρισμοῦ τῆς προτάσεως καὶ κοινοτέρας τινὰς εἶναι διαφορὰς. ἴσθι ὅτι ἐπὶ μὲν τῶν ἄλλων εἰδῶν τῶν ὑπὸ τὰ γένη εἰσί τινες κοιναὶ καὶ πλειόνων εἰδῶν διαφοραί. ὡς τὸ λογικὸν ἀνθρώπων καὶ ἀγγέλων ἐνταῦθα δὲ οὐκ ἐχορήγησεν ἡμῖν τὸ τοιοῦτον ἡ φύσις. εὐθὺς γὰρ μετὰ τὸ γένος τὸν λόγον τὰ εἴδη ἐστί. μηδενὶ μέσῳ κοινοτέρᾳ διειργόμενα. εἰ μὴ μόνον ταῖς ἰδικωτάταις διαφοραῖς αἷς ἕκαστον τῶν ὑπὸ τὸν λόγον εἰδῶν, χαρακτηρίζεται. ἀλλὰ πάλιν ἡμῖν ὁ περὶ τῆς διαφορᾶς προΐσταται ὁρισμός. εἴπερ ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει. καὶ ἐν τῷ ποιόν τί ἐστι κατηγορούμενον. οὐδὲ γὰρ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται τὸ τὶ κατά τινος, εἴπερ ἐξισάζει τῷ ὁριστῷ. φημὶ οὖν καὶ πρὸς τοῦτο. πρῶτον μὲν ἡ αὐτή ἐστιν ἀπορία καὶ ἐπὶ τῶν ἄλλων ἰδικωτάτων διαφορῶν. οἷον, τοῦ νοῦ καὶ ἐπιστήμης δεκτικοῦ ἐπὶ ἀνθρώπου. τοῦ ὑπὸ μιᾶς γραμμῆς περιέχεσθαι ἐπὶ τοῦ κύκλου, ἄλλως τε ἐνταῦθα οὐδὲ τοῦτο ἕπεται. ἡ γὰρ πρότασις, ὑπάλληλόν ἐστι γένος διαιρούμενον εἰς εἴδη τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν. ἑκάστῃ δὲ τούτων προσαρμόζει, τὸ τὶ κατά τινος. ὥστε ἐνταῦθα μὲν κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται τὸ τὶ κατά τινος. τὸ μέντοι νοῦ καὶ ἐπιστήμης δεκτικόν. εἰ μόνου ἐστὶν ἀνθρώπου ἰδικωτάτη διαφορά. οὐ κατὰ διαφερόντων τῷ εἴδει. ἀλλὰ κατὰ διαφερόντων τῷ ἀριθμῷ κατηγορεῖται. ὁμοίως καὶ ἐπὶ τοῦ κύκλου τὸ ὑπὸ μιᾶς γραμμῆς περιέχεσθαι. μή ποτε οὖν κάλλιόν ἐστιν οὕτως ὁρίζεσθαι τὴν διαφοράν. ὅτι τὸ κατὰ πλειόνων καὶ διαφερόντων ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ ἐν τῷ ποιόν τί ἐστι κατηγορούμενον. εἰ δὲ καὶ οὗτος ὁ ὅρος μὴ ἐφαρμόσοι ταῖς ἰδικωτάταις διαφοραῖς. ἀλλ' οὖν οἱ ἄλλοι ὅροι ἐφαρμόσουσι, διαφορά ἐστιν ᾗ περιττεύει τὸ εἶδος τοῦ γένους. πρὸς κατά τινος. τινὰ τῶν ἀντιγράφων καὶ πρὸς ἀπό τινος ἔχει. ἀλλ' ἄμεινον τὸ πρῶτον μόνον. εἰ δέ τις εἴποι ἀλλὰ μόνης τῆς καταφάσεως ὁ ὁρισμὸς εὑρίσκεται. δοκεῖ γὰρ τὸ κατά τινος μὴ ἁρμόζειν τῇ ἀποφάσει. αὕτη γὰρ διὰ τὸ διαιρεῖν, μᾶλλον ἂν καλοῖτο τινὸς ἀπό τινος. ἐροῦμεν ὅτι τὸ τινὸς αὐτὸν μόνον, τὸν κατηγορούμενον ὅρον δηλοῖ. τὸ δὲ κατά τινος, τὸν ὑποκείμενον. εἰ οὖν καὶ ἡ ἀπόφασις ἐκ τούτων συνέστηκε δῆλον ὡς καὶ περὶ ταύτης ἂν εἴη διειλημμένος.

» ΛΕΓΩ δὲ καθόλου μὲν, τὸ, παντὶ ἢ μηδενὶ ὑπάρχειν. ἐν μέρει δὲ, τὸ, τινὶ ἢ μὴ τινὶ ἢ μὴ παντὶ
» ὑπάρχειν.

Τὶ δήποτε τὴν μὲν μερικὴν κατάφασιν μιᾷ φωνῇ ἐσήμανε. τὴν δὲ μερικὴν ἀποφατικὴν, δύο φωναῖς τῷ τε μὴ τινὶ καὶ τῷ μὴ παντί, λέγομεν οὖν πρὸς τοῦτο. ὅτι ἡ μερικὴ ἀποφατικὴ ὡς καὶ ἐν τῷ περὶ ἑρμηνείας εἴρηται δύο προτάσεσι μάχεται. τῇ τέ τις καὶ τῇ πᾶς. ἀλλὰ τῇ μὲν τὶς. ὡς αὐτὸ τοῦτο τὸ μερικὸν ἀναιροῦσα ὅπερ κατάφασιν ἡ ἰδία αὐτῆς κατάφασις. τῇ δὲ πᾶς μάχεται ὡς ἀντιφατικῶς αὐτῇ ἀντικειμένη. καὶ ὀνόματα μὲν δύο πρᾶγμα δὲ ἕν.

» ΑΔΙΟΡΙΣΤΟΝ δὲ, τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ἄνευ τοῦ καθόλου ἢ κατὰ μέρος οἷον τὸ τῶν ἐναν-
» τίων, εἶναι τὴν αὐτὴν ἐπιστήμην. ἢ τὸ τὴν ἡδονὴν, μὴ εἶναι ἀγαθόν.

Παραδοὺς ἡμῖν περὶ τῆς καθόλου προσδιορισμένης καὶ τῆς μερικῆς προσδιορισμένης, νῦν παραδείγματα λέγει τῆς ἀπροσδιορίστου προτάσεως, τὸ τῶν ἐναντίων εἶναι τὴν αὐτὴν ἐπιστήμην, αὕτη γὰρ ἀπροσδιόριστός ἐστι πρότασις. οὐ γὰρ πρόσκειται πάντων τῶν ἐναντίων ἢ τινος. καὶ ἔτι οὐδεμία ἡδονὴ ἀγαθὸν, ἢ οὐ πᾶσα. ἀλλ' ἀπροσδιόριστον ἔχουσα τὴν προφοράν. ἠπόρησαν δέ τινες

σημαίνει. ἡ δὲ ἀπόφασις τὸ σημαινόμενον τῆς καταφάσεως οὐκ ἔχει. ἡ μὲν γὰρ φωνὴ συνθετωτέρα ἐστί. τὸ δὲ σημαινόμενον, οὐκέτι. ἐν γὰρ τῷ σωκράτης οὐ περιπατεῖ. οὐκ ἔστιν ἡ τοῦ σωκράτους περιπάτησις κατάφασις. ἀλλ' ὥσπερ ἡ τοῦ σωκράτης περιπατεῖ κατάφασις, ὑπάρχειν λέγει τῷ σωκράτει τὸ περιπατεῖν. οὐ τὸ σωκράτης οὐ περιπατεῖ, μὴ ὑπάρχειν. οὐ δεῖ δὲ μόνῃ τῇ τῶν φωνῶν προσέχειν συνθέσει, ἀλλὰ πολλῷ πρότερον τῷ τὸ σημαινόμενον σύνθετον. ἐνδέχεται γὰρ καὶ ἁπλῆν φωνὴν σύνθετον ἔχειν τὸ σημαινόμενον. καὶ σύνθετον, ἁπλοῦν. ὡς ἐν τῷ περὶ ἑρμηνείας ἐμάθομεν. τάχα δὲ εἴ τις ἀκριβῶς κατανοήσει, μᾶλλον ἁπλουστέρα ἐστὶ κατὰ τὸ σημαινόμενον ἡ ἀπόφασις τῆς καταφάσεως. ἡ μὲν γὰρ ἄλλο ἄλλῳ συμπλέκει. ἡ δὲ ἀπόφασις οὐχ ὑπάρχειν φησὶ τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον. ὅθεν ὡς εἶπον, οὐ συναναιρεῖ οὐδετέρα τὴν ἑτέραν οὐδὲ συνεισφέρει. ἐνδέχεται γὰρ τὴν μὲν κατάφασιν ἀεὶ ψεύδεσθαι, ὡς ἐπὶ τῆς ἀδυνάτου ὕλης. τὴν δὲ ἀπόφασιν ἐπὶ τῆς αὐτῆς ἀληθεύειν. καὶ ἔμπαλιν τῆς καταφάσεως ἐπὶ τῆς ἀναγκαίας ὕλης ἀεὶ ἀληθευούσης, ἡ ἀπόφασις ἐπὶ τῆς αὐτῆς ἀεὶ ψεύδεται. ἀδύνατον δέ ἐστι, ἢ τοῦ συνθέτου ὄντος, μὴ καὶ τὰ ἁπλᾶ εἶναι. ἢ τῶν ἁπλῶν μὴ ὄντων, τὰ σύνθετα εἶναι. οὐκ ἄρα ἁπλουστέρα ἡ ἀπόφασις τῆς καταφάσεως. περὶ μὲν οὖν τῆς ἑτέρας τῶν ἀποριῶν τοσαῦτα. περὶ δὲ τῆς ἑτέρας φημὶ δὴ τῆς λεγούσης ὅτι τὰ μέρη τῶν ὁρισμῶν, ἐπὶ πλέον ἐστὶ τῶν ὁριστῶν. ἐνταῦθα δὲ τοὐναντίον καὶ ἐπ' ἔλαττον. ἡ γὰρ κατάφασις ἐπ' ἔλαττον τῆς προτάσεως. ὁμοίως δὲ καὶ ἡ ἀπόφασις. ἔστιν οὖν πρῶτον εἰπεῖν, ὅτι οὐ πάντως ἀληθὲς τὸ μὴ ἐπὶ πλέον εἶναι τοῦ ὁριστοῦ κἀνταῦθα τὰ τοῦ ὁρισμοῦ μέρη. ἡ γὰρ κατάφασις, ἢ ἡ ἀπόφασις, καὶ ὅλως τὸ κατά τινος, οὐ μόνον ἐπὶ προτάσεως φέρεται, ἀλλὰ καὶ προβλήματος, καὶ ἐνστάσεως, καὶ συμπεράσματος. ἀλλὰ τοῦτο μὲν ἴσως οὐκ ἀναγκαῖον. ἓν γάρ ἐστιν ἅπαντα κατὰ τὸ ὑποκείμενον. ῥητέον οὖν ὅτι τῶν ὁρισμῶν ἐκ γένους ὄντων καὶ διαφορῶν. ἀνάγκη ἐν τῇ τῶν διαφορῶν λήψει. καὶ τὰς ἰδικωτάτας διαφορὰς περιλαμβάνεσθαι. αἵτινές εἰσιν ἰδίως τῷ ὑποκειμένῳ καὶ οὐδενὶ ἄλλῳ ὑπάρχουσαι. τὸ γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικόν, μόνῳ τῷ ἀνθρωπείῳ εἴδει ὑπάρχει. καὶ τὸ ἄρτιον καὶ τὸ περιττὸν μόνῳ τῷ ἀριθμῷ. καὶ γάρ εἰσί τινα ἃ μόνως τούτῳ ὑπάρχει. ἑτέρῳ δὲ οὐδενὶ ὡς εἶπον. τὸ περιττὸν καὶ τὸ ἄρτιον τῷ ἀριθμῷ μόνῳ. ὡς τὸ κύκλῳ τὸ ὑπὸ μιᾶς γραμμῆς περιέχεσθαι. καὶ τὰς ἀπὸ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν, ἴσας εἶναι. ὁπηνίκα οὖν ὁριζόμενοι τὸν κύκλον λέγομεν ὅτι ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ κύκλου πᾶσαι αἱ πρὸς τὴν περιφέρειαν προσπίπτουσαι εὐθεῖαι, ἴσαι ἀλλήλαις εἰσίν. ἀνάγκη τὰς τελευταίας διαφορὰς μὴ ἐπὶ πλέον εἶναι τοῦ κύκλου, ἀλλὰ μόνῳ αὐτῷ ὑπάρχειν. ἔστιν εἰς τοῦτο μνείαν παραθέσθαι. ταύτῃ γοῦν ἐπειδὴ δεόμεθα ἐν τοῖς ὁρισμοῖς μάλιστα τῶν ἰδικωτάτων διαφορῶν. ὁπηνίκα ἂν τούτων ἀπορήσωμεν, τοῖς ἰδίοις κεχρήμεθα. ὁριζόμενοι γοῦν τὸν ἵππον φαμέν. ζῷον ἄλογον χρεμετιστικόν. τὸ χρεμετιστικὸν ὡς ἰδικωτάτῃ διαφορᾷ χρησάμενοι. διὰ τὸ ἀπορεῖν οὐσιώδους τοιαύτης διαφορᾶς. τί οὖν θαυμαστὸν εἰ καὶ ἐπὶ τοῦ τῆς προτάσεως ὁρισμοῦ παρειλήφθησαν ἰδικώταται διαφοραί, μηδενὶ ἄλλῳ ὑπάρχουσαι. τοῦτο γὰρ καὶ ἐξ ἀνάγκης ὀφείλει ὑπάρχειν, ᾧ ὄντως ὁρισμῷ. ταύτῃ οὖν τὸ κατά τινος μόνῳ τῷ ἀποφαντικῷ λόγῳ ὑπάρχον παρείληπται, εἰς τὸν τῆς προτάσεως ὁρισμόν. τὸ γὰρ καταφατικῶς ἢ ἀποφατικῶς, εἰ μὲν ὡς ἐν ἄμφω λάβωμεν, οὐκ ἔσται ἐπ' ἔλαττον τῆς προτάσεως, ἀλλ' ἐξισάζει. τὸ γὰρ ἢ σύνδεσμον, οὐ διαζευκτικόν, ἀλλὰ παραδιαζευκτικὸν ληψόμεθα, ἀντὶ τοῦ καί, ἵνα ἄμφω κατὰ τοῦ γένους κατηγορῶνται τῆς ἀποφάνσεως ἢ προτάσεως. ἡ γὰρ ἀπόφανσις ἤτοι ἡ πρότασις, καταφατική ἐστι καὶ ἀποφατική. δέδεικται γὰρ ἐν εἰσαγωγαῖς, ὡς αἱ ἀντικείμεναι διαφοραὶ ἐν τῷ γένει εἰσίν, οὐ μόνον δυνάμει, ἀλλὰ καὶ ἐνεργείᾳ. εἰ γὰρ μὴ ὡς ἐν ἄμφω λάβωμεν καὶ μίαν διαφοράν, ἀλλὰ διαζευκτικῶς. οὐ συστατικαὶ ἔσονται τοῦ γένους διαφοραί, ἀλλὰ διαιρετικαί. ἐν δὲ τοῖς ὁρισμοῖς, οὐ τὰς διαιρετικὰς διαφορὰς τῶν ὁριστῶν παραλαμβάνομεν, ἀλλὰ τὰς συστατικάς. οἷον τοῦ ζῴου μέν, συστατικαὶ διαφοραὶ τὸ ἔμψυχον καὶ τὸ αἰσθητικόν. διὰ μὲν γὰρ τοῦ ἐμψύχου διακέκριται τοῦ ἀψύχου. διὰ δὲ τοῦ αἰσθητικοῦ, τοῦ φυτοῦ. διαιρετικαὶ δέ, λογικόν, ἄλογον. θνητὸν καὶ ἀθάνατον. καὶ δῆλον ὅτι αἱ πρῶται εἰς τὸν ὁρισμὸν παραλαμβάνονται, οὐχ αἱ ὕστεραι. ὥστε καὶ ἐπὶ τοῦ προκειμένου. λέγω δὴ τοῦ τῆς προτάσεως ἤτοι τοῦ ἀποφαντικοῦ λόγου. εἰ ὡς συστατικὴν διαφορὰν παραληψόμεθα τὸ καταφατικὸν ἢ ἀποφατικόν. ὡς ἔν τι τὸ συναμφότερον δεκτέον. εἰ γὰρ διαζευκτικῶς ἀκούσομεν. διαιρετικαὶ ἔσονται τῆς προτάσεως διαφοραί, οὐ συστατικαί. ὡς ἓν δὲ ἀκουόντων ἐξισάζει. εἰ δὲ καὶ μὴ παραδέξαιτο ταύτην τὴν ἐξήγησιν. ἀλλὰ διαζευκτικῶς εἰρῆσθαι φαίη τὸ καταφατικῶς ἢ ἀποφατικῶς, οὐδ' οὕτως ἐλεγχθήσεται ὁ ὁρισμός. οὐ γὰρ εἰς τὸν ὁρισμὸν συμπλέκει ταῦτα φήσομεν, ἀλλ' εἰς διάκρισιν τῶν διαφόρων τῆς προτάσεως εἰδῶν. ἤρκει γὰρ καὶ οὕτως ὁρίσασθαι. ὅτι ἐστὶ πρότασις λόγος τινὸς κατά τινος. ἀλλ' ἐπεὶ μὴ μονοειδεῖς εἰσιν αἱ προτάσεις. διαιροῦνται γὰρ εἴς τε τὰς καταφατικὰς καὶ ἀποφατικάς, εἰς διάκρισιν τῶν διαφόρων εἰδῶν προσέθηκε τὸ καταφατικῶς ἢ ἀποφατικῶς. ὡς εἴ τις καὶ τὸν ἀριθμὸν ὁριζόμενος, διορίσοιτο μέν, ὡς ἔστι τὸ ἐκ μονάδων συγκείμενον πλῆθος. εἶτα τὰ εἴδη τούτου σημᾶναι βουλόμενος προσθείη τὸ ἄρτιον ἢ τὸ περιττόν. οὐ πρὸς σύστασιν τοῦ γένους φημὶ τοῦ ἀριθμοῦ. ἀλλὰ πρὸς διαίρεσιν. ὥστε κατὰ ταύτην τὴν ἐξήγησιν, τὸ ἑξῆς εἶναι οὕτως. λόγος τινὸς κατά τινος καταφατικῶς ἢ ἀποφατικῶς. καὶ ὅτι γε προσφυὴς καὶ ἡ τοιαύτη ἐξήγησις καὶ τῆς προτέρας προσφυεστέρα, δῆλον ἐκ τῶν ἐπιφερομένων. τί γάρ φησιν.

ΟΥΤΟΣ δὲ ἢ καθόλου ἢ ἐν μέρει ἢ ἀδιόριστος.

[Marginal notes, handwritten:] ἰδικώταται διαφοραί — Propriis, ubi differentiae desunt, in definiendo locus est. — αἱ ἀντικείμεναι διαφοραὶ ἐνεργείᾳ εἰσὶν ἐν τῷ γέ[νει] — ἀδιόριστος

λέγω δὴ τὸ θρεπτικὸν· γεννητικὸν αὐξητικὸν, ἔχει τὸ ζωόφυτον, πλεονάζει δὲ τῇ ἁπτικῇ αἰσθήσει. καὶ τῇ κατὰ τὸν αὐτὸν τόπον κινήσει. ὁ δὲ ἵππος ἔχει ταῦτά τε καὶ τὰς αἰσθητικὰς ἁπάσας δυνάμεις μετὰ τῆς ἐκ τόπου εἰς τόπον κινήσεως· ὀρέξεώς τε καὶ φαντασίας. πρὸς τούτοις δὲ ὁ ἄνθρωπος καὶ τὰς λογικάς. ὥστε συνθετώτερον πάντως ὁ ἄνθρωπος, ἁπλούστερον δὲ τὸ φυτόν. μέσα δὲ τά τε ἄλογα ζῷα καὶ τὰ ζωόφυτα. καὶ οὐ δήπου εἴποι τις ἂν πρῶτον εἶναι τῇ φύσει τὰ φυτά, διὰ τὸ ὡς πρὸς τὴν ἐν τῷ ἀνθρώπῳ τῶν ψυχικῶν δυνάμεων σύνθεσιν ἁπλούστερον εἶναι. Τί οὖν, εἴποι τις ἂν ἴσως, οὐ προϋπάρχει ἀνάγκῃ καὶ φύσει καὶ χρόνῳ τῶν συνθέτων τὰ ἁπλᾶ ἐξ ὧν τὰ σύνθετα τὸ εἶναι ἔχουσιν; ναί φημι. Ἀλλ' οὐ ταυτόν ἐστιν εἰπεῖν ἁπλᾶ καὶ ἁπλούστερα. τὰ μὲν ἁπλᾶ στοιχείων ἐπέχοντα λόγον ἢ στοιχεῖα ὄντα, προϋπάρχει τῶν ἐξ αὐτῶν συγκειμένων. ἐνδέχεται μέντοι τῶν ἐκ τῶν ἁπλῶν συγκειμένων, τὰ μὲν, συνθετώτερα εἶναι, τὰ δὲ ἧττον σύνθετα. καὶ ἐν τούτοις οὐκέτι τὰ ἧττον σύνθετα οὐκ ἔστι πρῶτα τῇ φύσει, τῶν μᾶλλον συνθετωτέρων. οἷόν τι λέγω, ὀκτὼ εἶναι τὰ μέρη τοῦ λόγου λέγεται, ἐξ ὧν πᾶς λόγος σύγκειται. παντὸς μὲν λόγου ταῦτα προϋπάρχει. ἀναιρουμένων δὲ τούτων, καὶ πᾶς λόγος ἀναιρεῖται. ἐνδέχεται δὲ τοὺς ἐκ τούτων συγκειμένους λόγους. τοὺς μὲν ἐκ δύο μόνων μερῶν συγκεῖσθαι. οἷον ἄνθρωπος τρέχει. τοὺς δὲ ἐκ τριῶν, οἷον ὁ ἄνθρωπος τρέχει. τοὺς δὲ ἐκ τεσσάρων. οὗτος ὁ ἄνθρωπος τρέχει. τοὺς δὲ ἐκ πέντε. οἷον οὗτος ὁ ἄνθρωπος καλῶς τρέχει. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. καὶ δῆλον ὁ ἐκ δύο μόνων μερῶν συγκείμενος, ἁπλούστερός ἐστι τοῦ ἐκ τριῶν. καὶ οὗτος, τοῦ ἐκ τεσσάρων. καὶ οὗτος τοῦ ἐκ πέντε. συνθετώτερος δὲ ὁ ἐκ τῶν ὀκτώ. οἷον πρὸς δ' ἐμὲ τὸν δύστηνον, ἔτι φρονέοντ' ἐλέησον. καὶ οὐ δήπου πρῶτός ἐστι τῇ φύσει ὁ λέγων, ἄνθρωπος τρέχει. τοῦ λέγοντος πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον. πρῶτον γάρ ἐστι τῇ φύσει τὸ συναναιροῦν μὲν, μὴ συναναιρούμενον δέ. καὶ τὸ συνεισφερόμενον μὲν, μὴ συνεισφέρον δέ. ὡς τὸ ζῷον τοῦ ἀνθρώπου τῇ φύσει πρῶτον. οὐχ οὕτω δὲ ἔχει ἐπὶ τῶν εἰρημένων λόγων. οὐδεὶς γὰρ αὐτῶν τῶν λοιπῶν οὔτε συναναιρεῖ, οὔτε συνεισφέρει. τὰ αὐτὰ ἄρα καὶ ἐπὶ τῶν φυσικῶν. καὶ ἐπὶ τούτων γὰρ, αἱ μὲν διαφοραὶ καὶ τὰ γένη, ἐξ ὧν τὰ εἴδη συνίσταται, ἁπλᾶ ἐστι. καὶ ἀναιρουμένων αὐτῶν, συναναιροῦνται καὶ τὰ εἴδη. τῶν μέντοι εἰδῶν, οὐδέν ἐστι τῇ φύσει πρῶτον, οὐδὲ ὕστερον. κἂν τὸ μὲν πλειόνων διαφορῶν μετέχῃ, τὸ δὲ ἐλαττόνων, ὡς ἐπὶ τοῦ ἵππου τυχὸν καὶ τοῦ ἀνθρώπου. οὐδὲν γὰρ τούτων οὔτε συναναιρεῖ τὸ λοιπὸν, οὔτε συνεισφέρει. τὸ αὐτὸ δὲ καὶ ἐπὶ καταφάσεων καὶ ἀποφάσεων. οὐδέτερον γὰρ οὔτε συναναιρεῖ τὴν λοιπὴν, οὔτε συνεισφέρει. οὐ γὰρ καὶ δοκεῖ ἡ μερικὴ καταφατικὴ εἰσφέρειν τὴν μερικὴν ἀποφατικήν. ἀλλὰ καὶ ἔμπαλιν ἡ ἀποφατικὴ τὴν καταφατικὴν συνεισφέρει, ὅταν δι' ἑαυτὰς ἀληθεύωσιν. αἱ δὲ καθόλου συναναιροῦσι μὲν ἑαυταῖς τὰς μερικὰς, ἀλλὰ καὶ συνεισφέρουσιν ὅπερ ταῖς ὑστέραις τῇ φύσει ὑπάρχει. καὶ οὐ συνεισφέρονται ὑπὸ τῶν μερικῶν, ἅπερ ἔχει τὰ τῇ φύσει πρῶτα. ἀλλ' οὐδὲ αἱ ἀντιφατικῶς ἀντικείμεναι, οὔτε συναναιροῦσιν, οὔτε συνεισφέρουσιν ἀλλήλας. τοὐναντίον δὲ τῆς ἑτέρας οὔσης ἀληθοῦς, τὴν ἑτέραν ἐπὶ τοῦ αὐτοῦ εἶναι ἀληθῆ ἀδύνατον. ὅπερ ὁρῶμεν ὑπάρχον καὶ τοῖς ἀντιδιῃρημένοις εἴδεσιν. οἷον τῆς οὐσίας, τὸ μέν ἐστι σῶμα, τὸ δὲ ἀσώματον. καὶ ἀνάγκη ἐφ' οὗ ἂν τὸ σῶμα κατηγορῆται, ἐπὶ τοῦ αὐτοῦ τὸ ἀσώματον μὴ κατηγορεῖσθαι. πάλιν τοῦ σώματος, τὸ μὲν ἔμψυχον, τὸ δὲ ἄψυχον. καὶ ταῦτα ἀσυνύπαρκτα κατὰ τοῦ αὐτοῦ. ὁμοίως τοῦ ποσοῦ, τὸ μὲν διωρισμένον, τὸ δὲ συνεχές. καὶ ταῦτα ἀσυνύπαρκτα ἐν τῷ αὐτῷ κατὰ τὸν αὐτὸν χρόνον. ὥστε δὴ καὶ ἡ ἀντίφασις οὕτως ἔχει. καλῶς ἄρα εἴδη φαμὲν τῆς ἀποφάνσεως, τὴν κατάφασιν, καὶ τὴν ἀπόφασιν. ἀλλὰ γὰρ ἐλάθομεν ἑαυτοὺς παραχρῆμα τἀναντία περὶ τῶν αὐτῶν ἀποφηνάμενοι. ἐλέγομεν γὰρ ὡς ἐν τῷ ἀνθρώπῳ αἱ ἀντιδιῃρημέναι τῶν διαφορῶν ὁρῶνται. πάλιν δὲ εὐθὺς εἴπομεν μὴ δύνασθαι ἐν τῷ αὐτῷ ὑποστῆναι τὰ ἀντιδιαιρούμενα. φημὶ οὖν ὡς ὅστις ἀκριβῶς προσέχει τῷ λόγῳ οὐκ εἰς ἀντίφασιν περιπέπτωκεν. ἐν τῷ αὐτῷ μὲν γὰρ ἐνδέχεται τὰ ἐναντία εἶναι, ἀλλ' οὐ κατὰ τὸ αὐτό. ἐν γοῦν τῷ ὀφθαλμῷ καὶ τὸ λευκόν ἐστι καὶ τὸ μέλαν, ἀλλ' οὐ κατὰ τὸ αὐτὸ μόριον. καὶ ἐν τῇ χειρὶ τὸ συνεχὲς καὶ τὸ διωρισμένον. ἀλλ' ἐν μὲν δακτύλοις, τὸ διωρισμένον. ἐν δὲ τῷ λοιπῷ, ἡ συνέχεια. οὕτως οὖν καὶ ἐν τῷ ἀνθρώπῳ, ἐν ἄλλῳ μὲν θεωρεῖται ἡ λογικότης. ἐν ἄλλῳ δὲ, ἡ ἀλογία. καὶ δῆλον τὸ λεγόμενον. διὸ τὴν ἐπὶ πλέον ἐξέτασιν τούτου παρίημι. οὕτως οὖν καὶ ἡ ἀντίφασις ἐν τῷ αὐτῷ ὑπάρξειεν. ἀλλ' οὐ κατὰ τὸ αὐτό, ὡς εἰ τὸν αὐτὸν λέγοις ὀφθαλμὸν, καὶ λευκὸν καὶ μὴ λευκόν. καὶ ἄλλως. πρότερον μὲν ἐλέγομεν, ὅτι ἐνδέχεται τὰς ἀντιδιῃρημένας τῶν διαφορῶν ἐν τῷ αὐτῷ θεωρεῖσθαι, εἰ καὶ μὴ κατὰ τὸ αὐτό. καὶ τὸ αἰσθητὸν καὶ ἀναίσθητον ἐν τοῖς ζῴοις ἐστὶν ἰδεῖν. οἷον ἐν μὲν σαρκὶ τὸ αἰσθητικόν. ἐν ὀστοῖς δὲ, τὸ ἀναίσθητον. καὶ τὸ σῶμα καὶ τὸ ἀσώματον, ἅγε αἱ ποιότητες ἀσώματοι. ὕστερον δὲ ἔφαμεν τὰ ἀντιδιῃρημένα τῶν εἰδῶν μὴ ἐνδέχεσθαι τῷ αὐτῷ ὑπάρχειν. τῶν γὰρ εἰδῶν τοῦ ἐμψύχου ὄντων τοῦ τε ζῴου καὶ ζωοφύτου καὶ φυτοῦ, οὐχ οἷόν τε τὸ αὐτὸ, καὶ ζῷον εἶναι, καὶ ζωόφυτον. ἢ τὸ ζωόφυτον ἅμα καὶ τὸ φυτὸν εἶναι. ἃ καὶ τῶν ὑποκάτω διαφοραὶ, ἅμα καὶ τῶν ἐπάνω ὑπάρχουσιν. ὁμοίως τὸν αὐτὸν ἄνθρωπον εἶναι καὶ ἵππον ἀδύνατον. εἰ τοίνυν οὕτως ἔχει καὶ ἡ κατάφασις πρὸς τὴν ἀπόφασιν. καὶ μάλιστα αἱ ἀντιφατικῶς ἀντικείμεναι ὡς ἤδη εἴπομεν. καὶ κατὰ τοῦτο εἴδη ἂν εἶεν τῆς ἀποφάνσεως. μήποτε δὲ οὐδὲ καλῶς συγκεχωρήκαμεν τὴν κατάφασιν ἁπλουστέραν εἶναι τῆς ἀποφάσεως, συνθετωτέραν δὲ τὴν ἀπόφασιν. τὰ γὰρ σύνθετα ἔχει ἐν ἑαυτοῖς τὴν τῶν ἁπλῶν

in hoc versu sunt ὀκτὼ [...] partes orationis. nomen, δύ[...]στηνον. pronomen, ἐμὲ. [...]bum, ἐλέησον. participium, φρ[...]νέοντα. Articulus, τὸν. adverbium, ἔτι. praepositio, πρὸς. coniunctio, δὲ.

τὸ συναναιρεῖν significat πρότε[...]ρότητος: συνεισφέρειν [...] ὑστερότητος.

Adversa in eodem esse possunt, sed non eadem ratione.

δευτέρῳ καὶ τρίτῳ. ὅπως δὲ οἱ μὲν εἰσὶ τέλειοι. οἱ δὲ ἀτελεῖς, ἐν τοῖς ἑξῆς λεχθήσεται.

» ΜΕΤΑ δὲ ταῦτα, τί τὸ ἐν ὅλῳ εἶναι, ἢ μὴ εἶναι, τόδε τῷδε. καὶ τί λέγομεν τὸ κατὰ παντὸς, ἢ μη-
» δενὸς κατηγορεῖσθαι.

Δ υο σχέσεων οὐσῶν ἐν ταῖς προτάσεσι. τοῦ τε ὑποκειμένου πρὸς τὸν κατηγορούμενον. καὶ τοῦ κατηγο-
ρουμένου πρὸς τὸν ὑποκείμενον. ἡ μὲν ἐκ τοῦ ὑποκειμένου πρὸς τὸν κατηγορούμενον, λέγεται ἐν ὅλῳ.
ὡς ὅταν εἴπωμεν τὸν ἄνθρωπον ἐν ὅλῳ τῷ ζώῳ περιέχεσθαι. ἢ ἐν οὐδενὶ λίθῳ εἶναι. ἡ δὲ ἐκ τοῦ κατηγο-
ρουμένου πρὸς τὸν ὑποκείμενον, καλεῖται κατὰ παντός. ὡς ὅταν εἴπωμεν, τὸ ζῷον κατὰ παντὸς ἀν-
θρώπου κατηγορεῖσθαι. ἢ κατ' οὐδενὸς λίθου εἶναι. ταῦτα δὲ πάντα τῷ μὲν ὑποκειμένῳ ταυτά ἐστι,
τῇ σχέσει δὲ διαφέρουσι.

» ΠΡΟΤΑΣΙΣ μὲν οὖν ἐστὶ λόγος καταφατικὸς ἢ ἀποφατικὸς, τινὸς κατά τινος.

Κ αθὼς ἐπηγγείλατο βούλεται ὁρίσασθαι ἅπερ προέτεινεν. καὶ πρώτην τὴν πρότασιν κατὰ τὴν προ-
τεθεῖσαν τάξιν. λαμβάνει δὲ γένος μὲν τὸν λόγον. κατηγορεῖται γὰρ οὐ μόνον τοῦ ἀποφαντικοῦ, ἀλλὰ
καὶ τοῦ ἐρωτηματικοῦ καὶ τῶν ἄλλων ὁμοίως. διαφορὰς δὲ λαμβάνει ἔκ τε τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ,
καὶ τοῦ ποιοῦ μὲν, κατάφασιν καὶ ἀπόφασιν. τοῦ δὲ ποσοῦ, καθόλου, καὶ μερικὸν, καὶ ἀπροσδιόριστον.
ὥστε ἐκ τούτων εὑρεθήσονται εἴδη προτάσεων ἕξ. ἑκάστης τῶν τριῶν τῶν ἐκ τοῦ ποσοῦ κατὰ τὸ ποιὸν
διπλασιαζομένης. τῶν δὲ καθ' ἕκαστα νῦν οὐκ ἐμνημόνευσεν. ὡς μὴ περὶ ταύτας καταγινόμενος, διότι
οὐδεμία ἐπιστήμη περὶ τὰ καθ' ἕκαστα ἔχει. καί τινες βούλονται λέγειν. ὧν εἷς ἐστι καὶ ἀλέξανδρος ὁ
ἀφροδισιεύς. ὅτι κυρίως ὁρισμὸν οὐ παραδέδωκεν ἀριστοτέλης τῆς προτάσεως. καὶ κατασκευάζει τοῦ-
το πάνυ δεινῶς. φησὶ γὰρ, ὅτι δεῖ ἐπὶ τοῦ κυρίως ὁρισμοῦ τὰ μέρη αὐτοῦ περιττεύειν τοῦ ὁριστοῦ πάντως.
οἷον ὁριζόμεθα τὸν ἄνθρωπον οὕτως ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. εὑρίσκομεν πάν-
τως ἐξ ἀνάγκης πάντα τὰ μέρη τοῦ ὁρισμοῦ τούτου περιττεύοντα τοῦ ὁριστοῦ. καὶ γὰρ καὶ τὸ ζῷον πε-
ριττεύει τοῦ ἀνθρώπου, καὶ τὸ λογικόν. τὸ μὲν γὰρ διαφορά τὸ λογικόν ἐστι, τὸ δὲ, εἶδος. ὁμοίως καὶ πε-
ριττεύει καὶ τὸ θνητὸν τοῦ ἀνθρώπου. ἐπὶ δὲ τοῦ νῦν παραδεδομένου ὁρισμοῦ τῆς προτάσεως, οὐχ ὁ-
ρῶμεν ταῦτα οὕτως ἔχοντα. ἡ γὰρ κατάφασις καὶ ἡ ἀπόφασις, ἃς παρέλαβεν ὡς διαφορὰς, οὐδὲν
περιττεύουσι τοῦ ὁριστοῦ, τουτέστι τῆς προτάσεως, τοὐναντίον δὲ καὶ ἐλλείπει ἑκάστη ἰδίᾳ λαμβανόμε-
νον. κατασκευάζει δὲ πάλιν ὅτι οὐδὲ λόγος εἴληπται ὡς γένος καταφάσεως καὶ ἀποφάσεως. λόγος
δὲ δηλονότι ἀποφαντικός. λέγει δὲ ὅτι τὰ εἴδη ἀντιδιαιρεῖται ἀλλήλοις καὶ οὐ τὸ μέν ἐστι πρῶτον τὸ
δὲ δεύτερον. ἐπὶ δὲ τῆς καταφάσεως καὶ ἀποφάσεως οὐκ ἔστι τοῦτο. προτέρα γὰρ ἡ κατάφασις τῆς
ἀποφάσεως. οὐ μόνον ἀξιώματι ὥς τινες ὑπέλαβον, ἀλλὰ καὶ χρόνῳ. ἁπλουστέρα γάρ ἐστιν ἡ κα-
τάφασις. καὶ προσλαβοῦσα τὸ ἀρνητικὸν μόριον ποιεῖ τὴν ἀπόφασιν. ἔστι δὲ πρὸς ταῦτα εἰπεῖν. καὶ
τίως γε πρὸς τὴν ὑστέραν ἀπορίαν ἀπαντητέον, καὶ διαρθρωτέον πῶς λέγεται ἐν τοῖς ἀντιδιῃρημέ-
νοις εἴδεσι μὴ εἶναι ἄλλο ἄλλου τιμιώτερον ἢ ἀτιμότερον. τοῦτο γάρ ἐστιν ἀληθὲς κατασκευάσαι
κατὰ τὴν τοῦ γένους μετουσίαν. οὐκέτι μέντοι κατὰ τὰς ἑκάστου εἴδους συστατικὰς διαφοράς. τοῦ
μὲν γὰρ γένους ἰσοτίμως μετέχειν ἀνάγκη τὰ ἀντιδιῃρημένα ἀλλήλοις εἴδη. καὶ ταύτῃ κρεῖττον τὸ γέ-
νος τὸ κοινῶς αὐτῶν κατηγορούμενον. οὐ μὴν τὸ τῆς αὐτῆς εἶναι ἀξίας τὰ εἴδη, τοῦτο γὰρ ἀδύνατον.
εἴγε καὶ οὐσιῶν διαφορὰς δεῖ εἶναι. ὁ γὰρ τοῦτο λέγων ἀναιρεῖ τῶν οὐσιῶν τὰς διαφοράς. εἰ δὲ εἰσὶν
οὐσιῶν διαφοραὶ, ἀνάγκη ἢ ἐπὶ τὸ κρεῖττον ἢ ἐπὶ τὸ χεῖρον διαφέρειν. οὐ ταύτῃ οὖν διαγνωστέον, τὰ ἀν-
τιδιῃρημένα ἀλλήλοις εἴδη. καὶ ὑπὸ τὸ αὐτὸ γένος ἀναγόμενα. ἐπεὶ οὐδὲν οὐδενὸς ὡς γένος κατηγορη-
θήσεται. ἐν πᾶσι γάρ ἐστι τὸ τιμιώτερον καὶ ἀτιμότερον. ἀλλ' ὡς εἶπον τὸ ὁμοτίμως πάντα τὰ εἴδη
τοῦ γένους μετέχειν. κἂν διαφορᾶς, τὸ μὲν κρείττονος. τὸ δὲ χείρονος ἔτυχεν. ὥσπερ τὸ τύχοι ἄνθρωπος
καὶ ἵππος. ταῦτα γὰρ τῆς μεταξὺ τοῦ ζώου φύσεως ἰσοτίμως κοινωνεῖ. διαφορᾶς δὲ κρείττονος ὁ ἄν-
θρωπος τῆς τοῦ λογικοῦ τετύχηκεν. τί οὖν θαυμαστὸν τὸ καὶ ἡ κατάφασις, εἴδος οὖσα τῆς ἀποφάνσεως,
ἀντιδιῃρημένον τῇ ἀποφάσει, τιμιωτέρας τυχοῦσα διαφορᾶς τῆς καταφατικῆς, τιμιωτέρα ἐστίν. ἀλλ'
οὐδὲ διὰ τὸ ἁπλουστέραν εἶναι τὴν κατάφασιν, συνθετωτέραν δὲ τὴν ἀπόφασιν, ἤδη διὰ τοῦτο προϋ-
πάρχειν δεῖ χρόνῳ καὶ φύσει τὴν κατάφασιν τῆς ἀποφάσεως. πολλὰ γὰρ καὶ ἄλλα ἐστὶ τῶν ἀντι-
διῃρημένων ἀλλήλοις εἰδῶν, ἄλλα ἄλλων συνθετώτερα. τοῦ γὰρ ζώου διαφορῶν οὐσῶν τοῦ τε λογι-
κοῦ καὶ ἀλόγου. ἤτοι τῆς ἀλογίας καὶ τῆς λογικότητος, τὰ μὲν ἄλλα ζῷα τῆς ἀλογίας μόνης μετα-
λήψεται. οἷον ἵπποι, κύνες καὶ τὰ παραπλήσια. ἴσμεν δὲ ὡς ἡ ἄλογος οὐσία. θυμῷ καὶ ἐπιθυμίᾳ καὶ
αἰσθήσει καὶ φαντασίᾳ χαρακτηρίζεται. ὁ δὲ ἄνθρωπος καὶ αὐτῶν τούτων τῶν ἀλόγων δυνάμεων
μετειληφὼς καὶ τῆς ἑτέρας τῶν διαφορῶν τῆς λογικότητος μετέχει. χαρακτηρίζεσθαι δὲ κατὰ τὸ
κρεῖττον ὡς καὶ τῶν λοιπῶν ἕκαστον. ὡς οὖν ἐνταῦθα. οὐκ ἄν τις εἴποι τὸν ἵππον ἢ τὸν κύνα. ἢ τι τῶν
παραπλησίων. διὰ τὸ ἐλαττόνων δυνάμεων μετέχειν, καὶ ταύτῃ ἁπλούστερον εἶναι ἀνθρώπου ἤδη καὶ
τῷ χρόνῳ ἢ τῇ φύσει πρῶτον. οὐδ' ἄρα τὴν κατάφασιν πρώτην ἂν εἴποι τῆς ἀποφάσεως. ἔτι δὲ καὶ
τοῦ ἐμψύχου διαιρουμένου. ὥς τε τὸ ζῷον, καὶ τὸ ζωόφυτον, καὶ φυτόν. τὰς μὲν τοῦ φυτοῦ διαφοράς.

τὸ περὶ τί ἐστιν, περὶ ἀπόδειξιν. πρὸς δὲ καὶ τὸ, τίνος ἐστὶν ἡ σκέψις, τὸ καὶ ἐπιστήμης ἀποδεικτικῆς. διαφέρει δὲ τῆς ἀποδεικτικῆς ἐπιστήμης, ἀπόδειξις· τῷ τὴν μὲν ἐπιστήμην ἕξιν εἶναι τῆς ψυχῆς, τὴν δὲ ἀπόδειξιν, ἐνέργειαν ἀπὸ τῆς ἐπιστήμης προϊοῦσαν. ὁ μέντοι ἀριστοτέλης ἐν τῷ τέλει τῆς ἀποδεικτικῆς πραγματείας φησὶν ὅτι οὐδὲν διαφέρει ἀπόδειξις, ἐπιστήμης ἀποδεικτικῆς, λέγων οὕτως. περὶ μὲν οὖν συλλογισμοῦ καὶ ἀποδείξεως τί ἑκάτερόν ἐστι καὶ πῶς γίνεται φανερόν ἐστιν, ἅμα δὲ καὶ περὶ ἐπιστήμης ἀποδεικτικῆς τὸ αὐτὸ ἐστίν. τὸν δὲ σκοπὸν ἐκ προοιμίων ἀνακηρύττει τοῦ βιβλίου· ἀπόδειξιν αὐτῷ παραδοῦναι τὸ προκείμενον εἶναι λέγων. εἰ δέ τις εἴποι ὅτι ἀριστοτέλης οὐ δεόντως οὐδὲ ἀκολούθως ἀνεκήρυξε τὸν σκοπόν· οὐ γὰρ διαλέγεται ἐν τῷ πρώτῳ βιβλίῳ οὐδὲ ἐν τῷ δευτέρῳ περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ· αὐτὸς δὲ ὡς εὐθὺς περὶ αὐτοῦ διαλεξόμενος, οὕτως ἐποιήσατο τὴν ἀρχήν, ἀρηκὼς ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς, ἐροῦμεν πρὸς αὐτόν· ὅτι ὁ κυρίως σκοπὸς τῷ ἀριστοτέλει οὗτός ἐστι, τὸ διαλαβεῖν περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ· ἀλλ' ἐπειδὴ ἀδύνατον διαλαβεῖν περὶ αὐτοῦ πρὶν ἢ παραδοῦναι τὸν ἁπλῶς συλλογισμόν, τούτου χάριν πρῶτον περὶ τούτου ποιεῖται τὴν διδασκαλίαν. ἐπεὶ οὖν καὶ ἡ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διδασκαλία σκοπὸν ἔχει τὴν ἀπόδειξιν, εἰκότως καὶ τὴν προκειμένην πραγματείαν, ὡς πρὸς τὸν σκοπὸν ἀναφέρων εἶπεν εἶναι αὐτὴν περὶ ἀποδείξεως. ὥσπερ ἂν εἰ καὶ γεωργὸς λέγοι, σκοπὸν εἶναι αὐτῷ τῆς γεωργίας τὴν ἀρτοποιίαν. καὶ δρυοτόμος, τὴν ναυπηγίαν. ἄλλως τε μιᾶς οὔσης τῆς ἀναλυτικῆς πραγματείας. ἐν μὲν τοῖς πρώτοις περὶ τῶν πρὸς τὴν ἀπόδειξιν συμβαλλομένων διδάσκει. οἱονεὶ τὴν ὕλην τῆς ἀποδείξεως καὶ τὸ γένος παραδιδούς, ἐν δὲ τοῖς τελευταίοις, περὶ αὐτῆς τῆς ἀποδείξεως. πάντα δὲ τὰ πρὸ τοῦ τέλους, πρὸς τὸ τέλος ἀναφέρεται. ἀμέλει καὶ αὐτὸς ἐν τῷ τέλει τῆς ἀποδεικτικῆς. λέγω δὴ τῶν ὑστέρων ἀναλυτικῶν. ὡς δὴ τέλος λαβούσης τῆς ἐξ ἀρχῆς προτεθείσης πραγματείας. ἣν προανεφώνησε τῷ παρόντι προοιμίῳ. ὥσπερ ἤδη ἀρτίως ἐμάθομεν. περὶ μὲν οὖν συλλογισμοῦ καὶ ἀποδείξεως καὶ τὰ ἑξῆς. συμπερανάμενος ἐκεῖ τὰ ἐνταῦθα προβληθέντα.

το ΕΙΤΑ διορίσαι, τί ἐστι πρότασις. καὶ τί ὅρος. καὶ τί συλλογισμός. καὶ ποῖος τέλειος, καὶ ποῖος ἀτελής.

Μ ιμεῖται τοῖς ἐνταῦθα ὁ ἀριστοτέλης τὴν γεωμετρικὴν διδασκαλίαν. ὥσπερ γὰρ ἐκεῖνοι προλαμβάνουσιν ὅσα θεωρήματά τινα συμβαλλόμενα αὐτοῖς πρὸς τὰ δειχθησόμενα, οὕτω καὶ αὐτὸς ἐνταῦθα τὰ ἐσόμενα αὐτῷ χρήσιμα πρὸς τὴν τῶν συλλογισμῶν διδασκαλίαν προλαμβάνει. Ἄξιον δὲ ζητῆσαί τι δήποτε μὴ ἀπὸ τοῦ ὅρου ἤρξατο ὡς ἁπλουστέρου, εἶτα ἐπὶ τὰ συνθετώτερα ἔληξεν. εἰ δὲ ἀπὸ τῶν συνθέτων ἠβούλετο τὴν ἀρχὴν ποιήσασθαι, διατί μὴ ἀπὸ τοῦ συλλογισμοῦ τὴν ἀρχὴν ἐποιήσατο, καὶ κατέληξεν εἰς τὸν ὅρον. Καί τινες φασὶν ὅτι ἐπειδὴ ἐν τῷ περὶ ἑρμηνείας διελέχθη περὶ προτάσεων· διὰ τοῦτο ἀπὸ τῶν γνωριμωτέρων ἡμῖν ἄρξασθαι βουλόμενος, ἀπὸ τῆς προτάσεως ἤρξατο καὶ ἄλλως τὴν μὲν πρότασιν ἤδη ὀνομαζομένην, οὐ μόνον φιλοσόφοις, ἀλλὰ καὶ ῥήτορσι. τὸν δὲ ὅρον αὐτὸς ὠνόμασεν. ὡς καὶ ὑποκατιὼν δείκνυσι. τούτου οὖν ἕνεκεν δεύτερον αὐτὸν ἔταξεν ὡς δὴ χειρότερον διὰ τὴν ἀσαφείαν. ἡ δὲ ἀληθεστέρα ἐπίλυσις, ἐστὶν αὕτη. δεῖ τὰ πρὸς διδασκαλίαν τινῶν παραλαμβανόμενα γνωριμώτερα εἶναι ἐκείνων, ὧν παρελήφθησαν εἰς διδασκαλίαν. ἐπειδὴ τοίνυν μέλλει ἐν τῷ ὁρισμῷ τοῦ ὅρου παραλαμβάνειν τὴν πρότασιν λέγων. ὅρον δὲ καλῶ εἰς ὃν διαλύεται ἡ πρότασις, διὰ τοῦτο πρότερον περὶ αὐτῆς διδάσκει. δεῖ γὰρ τὰ πρὸς ὁρισμόν τινων παραλαμβανόμενα, γνωριμώτερα ἐκείνων εἶναι ὧνπερ μέλλομεν ποιήσειν τὸν ὁρισμόν. προέταξε δὲ ἂν τὸν συλλογισμὸν τῆς προτάσεως. εἰ ἐδέετο αὐτοῦ ἐν τῷ τῆς προτάσεως ὁρισμῷ. νῦν δὲ τοὐναντίον. προσχρῆται γάρ πως τῇ προτάσει ἐν τῷ τοῦ συλλογισμοῦ ὅρῳ λέγων. ἐν ᾧ τεθέντων τινῶν, ὅπερ ἐστὶ τῶν προτάσεων. διά τε τοίνυν τὸ ἁπλουστέρας εἶναι τὰς προτάσεις. καὶ διὰ τὸ μεμνῆσθαι πως αὐτοῦ ἐν τῷ περὶ συλλογισμοῦ λόγῳ, εἰκότως προτέραν τὴν περὶ αὐτῶν διδασκαλίαν ποιεῖται τῶν συλλογισμῶν. Ἰστέον μέντοι ὅτι ὅρος, καὶ φάσις καὶ ἁπλῆ φωνή, καὶ ὄνομα, καὶ ῥῆμα, τῷ μὲν ὑποκειμένῳ ταυτά ἐστι, τῇ σχέσει δὲ διαφέρουσιν. ὅταν μὲν γὰρ ὡς συλλογισμοῦ μέρος λαμβάνηται, ὅρος λέγεται. ὅταν δὲ καὶ μέρος προτάσεως, φάσις. ὅταν δὲ ὡς ὑποκείμενον ἐν τῇ προτάσει, ὄνομα. ὅταν δὲ ὡς κατηγορούμενον, ῥῆμα. ὅταν δὲ ὡς φωνὴ ἁπλῶς σημαντική, ἁπλῆ φωνή. καὶ ἄλλως. ὄνομα μὲν ὅταν μετὰ ἄρθρου λέγηται. ῥῆμα δὲ ὅταν προσσημαίνῃ χρόνον. ὥσπερ καὶ πρότασις, καὶ πρόβλημα, καὶ ἔνστασις, καὶ συμπέρασμα, καὶ ἀπόφανσις πάλιν ἓν τὸ ταυτὸν τῷ ὑποκειμένῳ, ἐστὶν ὡς ἤδη καὶ ἐν ἄλλοις εἴρηται. τῇ σχέσει δὲ διαφέρουσιν. ὅταν μὲν γὰρ συλλογισμὸν κατασκευάσαι βουλόμενοι, ὡς μέρος αὐτὴν παραλαμβάνωμεν συλλογισμοῦ, πρότασις λέγεται. ὅταν δὲ εἰς τὸ δεῖξαι ἑτέρῳ προβαλλώμεθα, ὡς ὅταν λέγωμεν δεῖξον εἰ ἡ ψυχὴ ἀθάνατος, πρόβλημα. ὅταν δέ τινος καταφήσαντός τι ἢ ἀποφήσαντος ἡμεῖς τὰ ἐναντία ἀποφαινώμεθα, ἔνστασις. οἷον εἴ τινος εἰπόντος ὅτι ἡ ψυχὴ ἀθάνατος, ἡμεῖς εἴπωμεν ὅτι οὐκ ἀθάνατος. συμπέρασμα δὲ αὐτὸ τοῦτο, ὅπερ ὁ συλλογισμὸς συμπεραίνεται. ὅτι ἡ ψυχὴ αὐτοκίνητος. τὸ δὲ αὐτοκίνητον ἀεικίνητον. τὸ δὲ ἀεικίνητον ἀθάνατον. ἡ ψυχὴ ἄρα ἀθάνατος. ἀπόφανσις δὲ ὅταν ἁπλῶς ἀποφαινώμεθά τι κατά τινος ἢ τὶ ἀπό τινος. τελείους δὲ καλεῖ συλλογισμοὺς πάντας τοὺς ἐν τῷ πρώτῳ σχήματι. ἀτελεῖς δὲ τοὺς ἐν τῷ

τῶν

τὴν λογικήν. οἱ δὲ τὸ ὄργανον ἀποστατήσαντες καὶ ἀνελόντες τὸ μέσον, τὸ μέρος εἶναι λέγουσι. εἰ μέρος μή τις εἴη τὴν λογικήν. εἰ δὲ ὄργανον οὐκέτι, κἂν αἱ λοιπαὶ αὐτῷ χρῶνται. οὐδὲ γὰρ ὡς μέρει ὄντι φιλοσοφίας αὐτοῦ χρῶνται, ἰδίῳ ὀργάνῳ. ἐπεὶ καὶ ὁ κανών, γίνεται μὲν ὑπὸ τεκτονικῆς, ἀλλ᾽ οὐχ ὡς μέρος τεκτονικῆς. οὐ γὰρ ἁπλῶς τῷ τέκτονι σκοπὸς κανόνα ποιῆσαι ὡς θύραν ἢ ἀβάκιον, ἀλλ᾽ ἵνα ᾖ ὄργανον αὐτῷ, διὰ τὸ ἵνα οὕτως εἴπω μέρη, κυριώτερον δὲ ἀποτελέσματα. καὶ οὐ δήπου τεκτονικὴ χείρων οἰκοδομικῆς. οὐδ᾽ ἄρα φιλοσοφία τῶν λοιπῶν. κἂν τῷ ὑπ᾽ αὐτῆς γενομένῳ λόγῳ τῇ συλλογιστικῇ μεθόδῳ χρῶνται. οὐδὲ γὰρ πάντως ἀνάγκη τὸ ὑπὸ τέχνης τινὸς γενόμενον ἐκείνης καὶ μέρος εἶναι. ὁ γοῦν χαλκεὺς ἄκμονα καὶ σφῦραν ἑαυτῷ κατασκευάζει ὡς ὄργανα τῆς ἰδίας τέχνης. καὶ ὁ τέκτων ὁμοίως σφῦραν καὶ πῆχυν. ἃ οὐκ ἔστι μέρη χαλκευτικῆς καὶ τεκτονικῆς. οὕτως οὖν καὶ φιλοσοφία τὴν λογικὴν εὑροῦσα, ὡς ὀργάνῳ αὐτῇ χρῆται· ὡς καὶ ὁ τέκτων τῇ σφύρᾳ. οὐ γὰρ αὐτὴ ἦλθεν εἰς αὐτὰς φιλοσοφία αὐτὴ ἀποδείξεως. εἰ δὲ χρῶνται ταύτῃ καὶ ἕτεραι τέχναι, οὐκ ἄτοπον. τῷ γοῦν ὅπλῳ ὁ στρατιώτης χρῆται τῷ ὁπλοποιητικῆς ἀποτελέσματι. καὶ ὁ ἡνίοχος χαλινῷ, ὄντι χαλινοποιητικῆς ἀποτελέσματι καὶ πολλαὶ δὲ ἄλλαι τῶν τεχνῶν καὶ αὐταῖς καὶ ἑτέραις, τὰ αὐτὰ κατασκευάζουσιν ὄργανα. ὁ γοῦν τέκτων καὶ ἑαυτῷ καὶ λατόμῳ καὶ ἑτέραις κανόνα κατασκευάζει καὶ ἄλλα τοιαῦτα μυρία. ἄλλως τε εἰ μέρος τῆς φιλοσοφίας ἡ λογική. ταύτῃ δὲ οἱ ῥήτορες καὶ οἱ ἰατροὶ φαίνονται ὡς ἰδίῳ ὀργάνῳ προσχρώμενοι, καὶ αὐτοὶ συλλογίζονται, συμβήσεται τὴν φιλοσοφίαν ἀτιμοτέραν ἰατρικῆς τε καὶ ῥητορικῆς εἶναι. ἐὰν γὰρ δύο τινὲς ὦσι τέχναι, καὶ τὸ τῆς ἑτέρας μέρος ἢ ἀποτέλεσμα, ὄργανον ᾖ τῆς ἑτέρας, τιμιωτέρα ἔσται καὶ βελτίων. καὶ τὸν λόγον ἔχουσα ἡ ὀργάνῳ χρωμένη τῷ τῆς ἑτέρας μέρει ὡς ἔχει ἡ χαλινοποιητική. ἢ ἁπλῶς χαλκευτικὴ καὶ ἱππική. ὄργανον γὰρ ἱππικῆς ὁ χαλινός, μέρος δὲ καὶ ἀποτέλεσμα χαλκευτικῆς, διὰ τοῦτο καὶ χειρουργικὴ πάλιν, χαλκευτικῆς κρείττων. ἀτιμοτέρα ἄρα ἔσται φιλοσοφία ἰατρικῆς τε καὶ ῥητορικῆς. αἱ μὲν γὰρ ὡς ὀργάνῳ χρῶνται τῇ λογικῇ. φιλοσοφίας δὲ ἐστὶ μέρος. οὐ μόνον δέ. ἀλλὰ καὶ πλεῖσται τῶν βαναύσων τεχνῶν. ἢ πᾶσαι κρείττους ἔσονται φιλοσοφίας. κἀκεῖναι γὰρ κατὰ τὴν κοινὴν ἔννοιαν συλλογίζονται. λαμβάνουσαί τινα προηγούμενα. καὶ ἑπόμενα λέγει γὰρ ὁ οἰκοδόμος ὅτι ἐπειδὴ τὴν οἰκίαν ἀσφαλῶς στῆσαι βουλόμεθα, τοῦτο δὲ οὐκ ἂν γένοιτο μὴ καταβληθέντων θεμελίων, καταβλητέον ἄρα καὶ αἱ λοιπαὶ ὁμοίως. ὥστε καὶ τῶν βαναύσων τεχνῶν ἔσται χείρων ἡ φιλοσοφία. ἔτι καθόλου τοῦτό ἐστι μέρος ὃ καὶ παρὸν συντελεῖ τῷ ὅλῳ καὶ ἀπὸν λυμαίνεται τὸ ὅλον. ἡ οὖν συνίσταται τῆς λογικῆς χωρὶς ἡ φιλοσοφία κατὰ τὰ φύσει θεωρητική τε οὖσα καὶ πρακτική. οἱ δὲ αὐτοὶ τῆς ἀποδείξεως εἰς κατάληψιν αὐτῆς ἐδεήθημεν. οὐκ ἔσται μέρος αὐτῆς ἡ λογική, ἔτι τὸ μέρος ἑαυτοῦ χάριν παραλαμβάνεται. τὸ δὲ ὄργανον ἑτέρου. ἡ δὲ λογικὴ ἑαυτῆς μὲν χάριν οὐ παραλαμβάνεται, ἀποδείξεως δὲ ἕνεκα. ἔτι τὰ μέρη μὲν ἀναιρούμενα, συναναιρεῖ τὸ ὅλον. τὰ δὲ ὄργανα, οὐδαμῶς. ἀναιρεθέντος γὰρ τοῦ σκεπάρνου, ἔστι τὸ ἀβάκιον. καὶ λογικῆς ἀναιρεθείσης, φιλοσοφία οὐδὲν ἧττόν ἐστι. καὶ πάλιν συντιθέμεθα τὰ μέρη ποιεῖ τὸ ὅλον. τὰ δὲ ὄργανα, οὐδαμῶς, τὰ ἄρα μέρη, οὐκ ὄργανα. εἰ δέ τις εἴποι καὶ μὴν ἡ χεὶρ μέρος οὖσα, ἔστι καὶ ὄργανον. ὥστε οὐκ ἄτοπον τὴν λογικὴν καὶ ὄργανον οὖσαν εἶναι καὶ μέρος. φαμὲν ὅτι ἀλλ᾽ οὐ τοῦ αὐτοῦ. οὐ γὰρ οὗ ἐστὶ μέρος ἡ χείρ, τούτου ἐστὶ καὶ ὄργανον, ἀλλὰ πρὸς ἄλλο καὶ ἄλλο. μέρος μὲν γὰρ τοῦ σώματος ὡς σώματος. ὄργανον δὲ τῆς ψυχῆς. οὕτως οὖν καὶ ἡ λογική. ὄργανον μὲν τῆς ἀληθοῦς καταλήψεως, μέρος δὲ οὔ. ὡς οὐδὲ ἡ χεὶρ τῆς ψυχῆς. καὶ αὐτὸ γὰρ αὐτοῦ ἐστὶν ὡς εἴρηται φιλοσοφία. ἀλλ᾽ ἐπεὶ τὴν στωϊκῶν ἱκανῶς τὴν δόξαν ἠλέγξαμεν καὶ τὴν λογικὴν οὐ μέρος φιλοσοφίας ἀπεδείξαμεν ὄργανον, εἴπωμεν καὶ περὶ τῆς τοῦ Πλάτωνος δόξης. οὗτος γὰρ καὶ μέρος καὶ ὄργανόν φησι τὴν διαλεκτικὴν οὐκ ἐναντία ἑαυτῷ δοξάζων, οὐδὲ ἀντιφάσει περιπίπτων. ἀλλ᾽ ὅταν μὲν τὴν διαλεκτικὴν αὐτὴν καθ᾽ αὑτὴν χωρὶς ὕλης καὶ πραγμάτων λαμβάνῃ τουτέστι τῷ λόγῳ καὶ τῇ διανοίᾳ γυμνὴν θεωρουμένην τῆς χρήσεως, τότε ὡς ὄργανον αὐτὴν λαμβάνει. ὅταν δὲ ἐν χρήσει καὶ γυμνασίᾳ πραγμάτων, τότε αὐτῷ τὴν τοῦ μέρους ἀναπληροῖ χρείαν. οἷον τὸ μὲν ἐκ δύο καθόλου καταφατικῶν συνάγεσθαι καθόλου καταφατικὸν συμπέρασμα. τοῦτο ἔσται αὐτῷ ὡς ὄργανον ὕλης μὴ προστιθεμένης. ὅταν δὲ προστιθέντες ὕλην λέγωμεν. οἷον, πᾶς ἄνθρωπος ζῷον. πᾶν ζῷον ἔμψυχον. πᾶς ἄνθρωπος ἄρα ἔμψυχος, τότε ἔσται ὡς μέρος. καθάπερ ὁ πῆχυς καὶ μέρος ἐστίν. ὅταν τὸ μετρούμενον μέρος τοῦ σώματος λέγωμεν. καὶ ὄργανον, ὅταν αὐτὸν καθ᾽ αὑτὸν τὰ μετροῦντα θεωρῶμεν. καὶ ἡ αὐτὴ ὀνομασία τοῦ μετροῦντος καὶ μετρουμένου. εἰ μὲν μεθ᾽ ὕλης λαμβάνοιτο, ἔσται μέρος τοῦ μετρουμένου. εἰ δὲ ἄνευ ὕλης τουτέστιν αὐτὸ τὸ μέτρον, ἔσται ὄργανον. οὕτω καὶ ἡ διαλεκτικὴ παρὰ Πλάτωνι. ἐν μὲν γὰρ τῷ Φαίδρῳ καὶ Φαίδωνι μεθ᾽ ὕλης αὐτὴν ὡς μέρος λαμβάνει. ἐν δὲ τῷ Παρμενίδῃ, ὡς ὄργανον ἄνευ ὕλης. καὶ ἁπλῶς μὲν ἄνευ ὕλης ἔσται ὡς κανὼν καὶ ὄργανον ἐν πράγματι δὲ καὶ μεθ᾽ ὕλης μέρος.

ΠΡΩΤΟΝ ΕΙΠΕΙΝ περὶ τί καὶ τίνος ἡ σκέψις ἐστίν. ὅτι περὶ ἀπόδειξιν, καὶ ἐπιστήμης ἀποδεικτικῆς.

Πρῶτον δὲ ἀπεῖν κατὰ τὸ ἀττικὸν ἔθος τὸ χρὴ παρέλαβε. τοῦ γὰρ χρὴ καὶ δεῖ πρὸς τὰ ἀπαρέμφατα συντασσομένου χρὴ γράφειν. δεῖ ἀναγινώσκειν. καὶ τῆς προκειμένης συντάξεως τοῦτο ἀπαιτούσης. πρῶτον δὲ εἰπεῖν χρὴ ἔθος ἀττικοῖς κατ᾽ ἔλλειψιν τοῦ χρὴ καὶ δεῖ τὰ τοιαῦτα προφέρεσθαι. περὶ τί καὶ τίνος ἡ σκέψις ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς. πρὸς ἑκατέραν τῶν προτάσεων ἀποδίδωσι. περὶ μὲν

τὸ περὶ

[Margin notes: προστιθέμενον; κατ᾽ ἔλλειψιν]

πρότερον δεῖ γὰρ τὸ ἁπλῶς γράφειν· οὕτω καὶ αὐτὸς διδάσκει ἐνταῦθα μὲν περὶ τοῦ ἁπλῶς συλλογισμοῦ· ἐν δὲ τοῖς ὑστέροις ἀναλυτικοῖς περὶ ἀποδεικτικοῦ, καὶ ἐν τοῖς σοφιστικοῖς ἐλέγχοις περὶ τῶν σοφιστικῶν, εἰκότως ἐτέθη μὲν τὸ περὶ ἑρμηνείας, προηγήσεται δὲ τῶν λοιπῶν. Τὴν δὲ αἰτίαν τῆς ἐπιγραφῆς ζητητέον, διὰ τί ἀναλυτικὰ ἐπιγέγραπται. καὶ ὁ περὶ συλλογισμῶν. λέγεται γὰρ ἀνάλυσις πολλαχῶς. καὶ γὰρ ἡ τῶν ὅλων εἰς μέρη. καὶ ἡ τῶν συνθέτων εἰς τὰ ἁπλᾶ, ᾗ χρῶνται οἱ γεωμέτραι, καὶ ἡ τῶν φυσικῶν σωμάτων εἰς τὰ τέσσαρα στοιχεῖα. καὶ ἡ εἰς τὰ οἰκεῖα εἴδη τῶν συλλογισμῶν, ἀναγωγή. καὶ ἄλλως δὲ πολλαχῶς λεγομένης ἀναλύσεως, ἔστι περιλαβόντα εἰπεῖν. ἀνάλυσις ἐστὶν ἀνάκαμψις ἐπὶ τὸ πρότερον καὶ τῆς συνθέσεως τὸ αἴτιον. ὅθεν ἄξιον ζητῆσαι εἰ ὁ συλλογισμὸς σύνθεσις ἐστὶ καὶ συναγωγὴ πλειόνων λόγων οὐκ ἀνάλυσις; διὰ τί τὴν περὶ τῶν συλλογισμῶν πραγματείαν, ἀναλυτικὰ ἐπιγράφει. ἔδει γὰρ μᾶλλον συνθετικὰ ἐπιγράφειν. ἵνα οὖν αὐτόθεν ἡμῖν ἀναφανῇ ἡ τῆς ἐπιγραφῆς αἰτία. καὶ ἡ τοῦ βιβλίου διαίρεσις, ἄπιμεν οὕτως. διαιρεῖται τοῦτο τὸ βιβλίον, εἰς κεφάλαια τρία, καὶ διδάσκει ἡμᾶς τὸ μὲν πρῶτον μέρος τὴν γένεσιν τοῦ συλλογισμοῦ. τὸ δὲ δεύτερον, τὴν εὐπορίαν τῶν προτάσεων. τὸ δὲ τρίτον, τὴν εἰς τοὺς συλλογισμοὺς ἀνάλυσιν. ἐκ τοῦ τρίτου οὖν τὴν ἐπιγραφὴν ἐποιήσατο. ἅτε κυριωτέρας καὶ τελειοτέρας οὔσης τῆς ἀναλύσεως. πᾶς γὰρ συλλογισμὸς εἰς ἀνάλυσιν εὑρίσκεται ἔχων τὸ ἀκέραιον. χρὴ μαἄλλως τι ὁ εἰδὼς τὴν ἀνάλυσιν, οἶδε καὶ τὴν σύνθεσιν. ὃ γὰρ ἀναλῦσαι ταῦτα συνθεῖναι οὐ δυσχερές. οὐκέτι δὲ τοὐναντίον. καὶ γὰρ ὁ ἰδιώτης ἐπίσταται μὲν συνθέσεις ὀνομάτων, καὶ ῥημάτων εἰς τὸ λόγον ἀποτελέσαι καὶ εἰπεῖν, οἷον σωκράτης περιπατεῖ. διαλῦσαι δὲ οὐκέτι οἶδε καὶ εἰπεῖν ποῖον μέν ἐστι τὸ ὄνομα. ποῖον δὲ τὸ ῥῆμα. πρότερα δὲ ἐπιγέγραπται. ἐπειδὴ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ ἐνταῦθά φησι τοῦ ἀναλογοῦντος ὕλῃ καὶ χωρὶς εἴδους ὄντος. καὶ ἐπειδὴ πρότερον τὸ γένος τῶν οἰκείων εἰδῶν. γένος δὲ ὁ καθόλου συλλογισμὸς τῶν ἀποδεικτικῶν καὶ τῶν λοιπῶν δύο εἰδῶν, ὥστε εἰκότως ἐν οἷς μὲν περὶ τοῦ γένους αὐτοῦ διαλέγεται, πρότερα ἐπιγράφει. ἐν οἷς δὲ περὶ τῶν εἰδῶν τουτέστι περὶ τῶν ἀποδεικτικῶν, ὕστερα ἀναλυτικά. Ὅτι δὲ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον, δῆλον. φασὶ γὰρ ὡς τεσσαράκοντα εὑρέθη τῶν ἀναλυτικῶν βιβλία ἐν ταῖς παλαιαῖς βιβλιοθήκαις. καὶ τὰ τέσσαρα μόνα ταῦτα ἐκρίθησαν εἶναι ἀριστοτέλους. καὶ περὶ τούτου οὐδεὶς ἀμφιβάλλει. καὶ ἐν μὲν τῷ πρώτῳ βιβλίῳ διδάσκει ἡμᾶς περὶ τοῦ εἴδους τῶν συλλογισμῶν. ἐν δὲ τῷ δευτέρῳ περὶ τῆς ὕλης. εἶδος γὰρ λέγομεν τῶν συλλογισμῶν τὸ συμπέρασμα. ὕλην δὲ τὰς προτάσεις. ὡς γὰρ ἡ ὕλη, ἕνεκά του ἐστί, λέγω δὲ τοῦ εἴδους, οὕτω καὶ αἱ προτάσεις τοῦ συμπεράσματος ἕνεκα. Ἐνταῦθα γενόμενος ὁ θεμίστιος ἀπορεῖ λέγων. ἆρά γε ἀριστοτέλους ἐστὶ γέννημα τὰ ἀναλυτικά, ἢ οὔ. καί φησιν ὅτι γεννήματα μὲν αὐτοῦ οὐκ ἔστι. φαίνεται γὰρ ὁ θεῖος πλάτων συλλογιστικῶς καὶ ἀποδεικτικῶς φερόμενος. ἔν τε τῷ φαίδωνι. καὶ ἐν πᾶσιν αὐτοῦ σχεδὸν τοῖς διαλόγοις. συντάξαι δὲ αὐτὸν καὶ τεχνῶσαι κανόσι τισὶ τὸ προκείμενον σύγγραμμα, οὐδὲν ἄτοπον. Ἑξῆς ζητητέον, πότερον μέρος ἐστὶν ἢ ὄργανον ἡ λογική τε καὶ διαλεκτικὴ πραγματεία τῆς φιλοσοφίας. ἐπειδὴ ἐναντίως καὶ διαφόρως δοκεῖ τοῖς παλαιοῖς περὶ αὐτοῦ. οἱ μὲν γὰρ στωϊκοὶ ἄντικρυς μέρος αὐτὴν ἀπεφαίνοντο, τοῖς ἄλλοις δύο μέρεσι τῆς φιλοσοφίας αὐτὴν ἀντιδιαιροῦντες. οἱ δὲ περιπατητικοὶ τουτέστιν οἱ ἀπὸ ἀριστοτέλους, ὄργανον. οἱ δὲ ἀπὸ τῆς ἀκαδημίας ὧν ἐστι καὶ πλάτων. καὶ μέρος καὶ ὄργανον φαίνονται λέγοντες καὶ οἱ μὲν στωϊκοὶ τοιούτῳ τινὶ λόγῳ τὸ εἶναι αὐτὴν μέρος κατασκευάζουσι. περὶ ὃ καταγίνεται φασὶ τέχνη τις ἢ ἐπιστήμη. εἰ μὴ ἀναφέροιτο εἰς ἑτέραν, τέχνην ἢ εἰς ἐπιστήμην ὡς μέρος ἢ μόριον αὐτῆς, ἐκείνης μέρος ἐστὶν ἢ μόριον. ἡ τοίνυν φιλοσοφία καταγίνεται περὶ τὴν λογικὴν μέθοδον, ἥτις οὐκ ἀνάγεται εἰς ἑτέραν τέχνην, ἢ ἐπιστήμην. ὡς μέρος ἢ μόριον. ἡ λογικὴ ἄρα τῆς φιλοσοφίας ἐστὶ μέρος ἢ μόριον. μόριον μὲν οὐκ ἔστιν. οὔτε γὰρ τοῦ θεωρητικοῦ, οὔτε τοῦ πρακτικοῦ μέρος ἐστί. τὸ γὰρ μόριον τινὸς καὶ τῇ ὕλῃ κοινωνεῖ καὶ τῷ σκοπῷ, ἐκείνου οὗ ἐστι μόριον. τῷ μὲν οὖν πρακτικῷ, οὐ κοινωνεῖ. τούτου γὰρ ὕλη τὰ ἀνθρώπινα πράγματα καὶ μετριοπάθειαι. σκοπὸς δὲ τὸ περὶ ταῦτα αἱρεῖσθαι τῆς ὠφελείας. ἡ δὲ λογική, ὕλην μὲν ἔχει τὰς προτάσεις. σκοπὸν δὲ τὸ διὰ τῆς τοιᾶσδε συνθέσεως τῶν προτάσεων τὸ ἑπόμενόν τι ἐξ ἀνάγκης δεικνῦσαι συναγόμενον. οὐκ ἔστι τοῦ πρακτικοῦ τέλος. ἀλλ' ὡς εἶπον, ἡ μετριοπάθεια ἢ τὸ ἁπλῶς ἀγαθόν. καὶ οὕτως μὲν ἡ λογικὴ οὐκ ἔστι μόριον τοῦ πρακτικοῦ. ἀλλ' οὔτε μὴν τοῦ θεωρητικοῦ. τούτου γὰρ ὕλη μὲν τὰ ὄντα. τέλος δὲ ἡ περὶ ταῦτα θεωρία. εἰ δὲ μήτε τοῦ θεωρητικοῦ μήτε τοῦ πρακτικοῦ ἐστι μέρος, οὐκ ἔσται ἄρα τῆς φιλοσοφίας μόριον. λείπεται οὖν ἀντιδιαιρεῖσθαι τῷ θεωρητικῷ, καὶ πρακτικῷ τὴν λογικὴν καὶ μέρος εἶναι τῆς φιλοσοφίας. καὶ οὗτοι μὲν οἱ στωϊκοί. ἐν μεθόδῳ δὲ αὐτοὺς ἐλέγχομεν, εἰ τὸν κανόνα ὅλον αὐτὸν σκοπήσομεν. δυνατὸν μὲν γὰρ καὶ πρὸς τοῦτον αὐτῶν, ἀντιστῆναί τι καὶ ἐλέγξαι τὴν πρότασιν, ὡς κακῶς προβεβλημένην. ὅμως κἂν συγχωρῶμεν αὐτὴν τἀληθῆ λέγειν. πλὴν ἐλλιπῶς αὐτοῖς ἔχει τὰ τῆς διαιρέσεως, τί γάρ φασι περὶ ὃ καταγίνεται τέχνη τις ἢ ἐπιστήμη. εἰ μὴ ἑτέρας ἂν μέρος ἢ μόριον. ἔδει δὲ αὐτὴν προσθεῖναι ἢ ὄργανον. καταγίνονται γὰρ καὶ περὶ τὰ ὄργανα αἱ τέχναι. καὶ ἢ ἑαυταῖς ταῦτα ἢ ἑτέραις κατασκευάζουσιν. εἰ δὲ ἀποσιωπήσειέ τις τὸ ὡς ὄργανον, τὸ μέρος μόνον καὶ μόριον προφέροιτο. ἐχρῆν δὲ αὐτὴν τὰ τέλεια ποιῆσαι τῆς προτάσεως, τὴν ἀπόδοσιν λέγοντας οὕτως. περὶ ὃ καταγίνεται τέχνη τις ἢ ἐπιστήμη. τοῦτο εἰ μὴ ἑτέρας τινὸς ἐπιστήμης ἢ τέχνης ἂν μέρος ἢ μόριον. ἢ ὄργανον αὐτῆς ἐκείνης ἐστὶ μέρος ἢ μόριον ἢ ὄργανον. ἵνα ἀποκλείσαντες τὰ δύο ἅπερ τὸ ἀληθὲς κατασκευάζειν ἐβούλοντο. ἀποδείξωσιν ὄργανον εἶναι φιλοσοφίας

τῆς φαντασίας ἀεὶ ψευδομένης, οὔτε φαμὲν καὶ τὴν διάνοιαν ταύτῃ συμπλεκομένην, ἀεὶ ψευδῆ συλλογίζεσθαι. ἀλλ' οὐκ ἔστι τοῦτο ἀληθές· οὐ γὰρ μόνον τὰ μὴ ὄντα φανταζόμεθα, ἀλλὰ καὶ τὰ ὄντα. πῶς οὖν φαμὲν αἰτίαν τὴν φαντασίαν γίνεσθαι συμπλακεῖσαν τῇ διανοίᾳ τοῦ σοφιστικῶς συλλογίζεσθαι. λέγομεν ὡς ὅτι πᾶσα ψευδὴς δόξα, ἐκ φαντασίας τὴν ἀρχὴν ἔχει. ἐπειδὴ γὰρ τοὺς τύπους τῶν αἰσθητῶν ἐν αὐτῇ φυλάττομεν. ὁπηνίκα ἂν περὶ τῶν νοητῶν καὶ λόγων ἀχωρίστων διασκέψασθαί τι βουλώμεθα περὶ ὧν αἱ ἀποδείξεις. παρεμπίπτουσα αὕτη ὡς καὶ ὁ Πλάτων φησί, ταράττει τοὺς μὴ πεπαιδευμένους τὰς αὐτὴν τῶν λογικῶν ἐνεργειῶν διακρίνειν τὰ τοῖς αἰσθητοῖς ὑπάρχοντα καὶ τοῖς νοητοῖς περιάπτουσα. οἷον, εἰ τύχοι τοῖς ἀσωμάτοις μορφὴν καὶ σχῆμα καὶ ὄγκον, τοῖς δὲ ἀφαιρέσεως εἴδεσιν ὕλην πάντως ὑποβάλλουσα. ἐπεὶ μετὰ τῆς ὕλης, αὐτὴ τοὺς τύπους καὶ τὰ εἴδη τῶν αἰσθητῶν διὰ τῆς αἰσθήσεως ἐδέξατο. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. οὐ τὴν τῶν αἰσθητῶν οὖν φαντασίαν φαμὲν εἶναι ψευδῆ, ἀλλὰ τὴν τοῖς χωριστοῖς [?] συμπλεκομένην εἶναι. ἐπεὶ καὶ ὁ σοφιστικὸς ἐκ δόξης μὲν καὶ αὐτὸς τὰς ἀρχὰς λαμβάνει. οὐ γὰρ δὴ τὸ φάντασμα πρότασις ἂν γένοιτο, ἀλλὰ δόξης ψευδοῦς ἥτις τὸ ψεῦδος ἔχει οὐκ ἀλλαχόθεν, ἢ ἐκ τῆς πρὸς τὴν φαντασίαν συμπλοκῆς. ταύτῃ οὖν λέγεται ὁ σοφιστικὸς συλλογισμὸς συμπλεκομένης τι τῆς δόξης πρὸς τὴν φαντασίαν γίνεσθαι. καὶ ἀεὶ ψευδὴς εἶναι. οὕτω μὲν οὖν ἐκ τῶν γινωσκόντων τῆς ψυχῆς μορίων ἀποδέδεικται ὡς τρία εἴδη συλλογισμῶν ἐστι. καὶ τοὺς δὲ ὁμωνυμίας δὲ σοφιστικοὺς συλλογισμούς, εὐλόγως αὕτη τῇ φαντασίᾳ περιάπτει. οἷον, ὡς ἐπὶ τοῦ τοιούτου, τὰ λάχανα τὰ τῆς γῆς ὑπερέχει. τὸ ὑπερέχον τοῦ ὑπερεχομένου μεῖζον. τὰ λάχανα ἄρα τῆς γῆς μείζονα. ὅτι μὲν γὰρ ἐστὶ τὸ ὑπερέχον μεῖζον τοῦ ὑπερεχομένου. οἶδεν ἡ φαντασία. οἷον τὸ πᾶν ἐν τοῖς ἑαυτοῦ κατὰ τὰς [illegible] διαστάσεις περιέχον. διακρίνειν δὲ, οὐκ οἶδεν. ὁ οὖν σοφιστὴς τὸ φάντασμα τὸ [illegible]. ὡς καθόλου χρῆται. εἰδέναι μέντοι χρή. ὅτι ἐνδέχεται τὴν διάνοιαν τὰ οἰκεῖα συμπεράσματα λαβοῦσαν, ἅπερ διὰ συλλογισμῶν εὗρε. καὶ ταῦτα συμπλέξασαν ποιῆσαι πάλιν συλλογισμόν. ἀλλ' εἰ μὲν ἀληθῆ εἴη τὰ συμπεράσματα. ἅπερ ἐν τῷ ὑστέρῳ συλλογισμῷ ὡς προτάσεις παρέλαβεν, δῆλον ὅτι ἢ ἐκ τῶν κοινῶν ἐννοιῶν ἀποδέδεικται, ἢ δὲ ἀληθοῦς δόξης. εἰ δὲ ψευδῆ, ἐκ ψευδῶν δηλονότι προτάσεων συνῆκται. καὶ πάλιν ἡ φαντασία τοῦ ψεύδους αἰτία, τοῦ συλλογιστικοῦ δηλονότι σχήματος ἐρρωμένου. ἐπεὶ οὐδὲ συλλογισμὸς ἂν εἴη. ὥστε κἂν προσεχῶς ἡ διάνοια ἐξ ἑαυτῆς λάβοι τὰς προτάσεις αὐτὴν ταῦτα συλλογισαμένην. ἀλλ' οὖν πάλιν αἱ τούτων ἀρχαί, ἢ ἀπὸ νοῦ εἰσιν, ἢ ἀπὸ δόξης, ἢ ἀπὸ φαντασίας. ἀδύνατον γὰρ συλλογισμὸν γενέσθαι μὴ δοθέντων τινῶν ὁμολογουμένων ἀσυλλογίστων. ἀπ' [illegible] ἐλλείπει. ἔργον γὰρ διανοίας, τὸ συλλογίζεσθαι. Ὁμοίως δὲ καὶ ἐκ τοῦ γινωσκομένου, τὰ αὐτὰ τρία εἴδη εὑρήσεις. διελοῦ οὕτως, τὰ πράγματα περὶ ὧν ὁ συλλογισμός, ἢ ἀεὶ ὡσαύτως ἔχει, καὶ γίνεται ὁ περὶ αὐτῶν συλλογισμὸς ἀποδεικτικός. ἢ οὐδέποτε ὡσαύτως ἔχει, καὶ γίνεται ὁ σοφιστικός. ἢ ποτὲ μὲν οὕτως ἔχει. ποτὲ δὲ οὐχ οὕτως, καὶ γίνεται ὁ διαλεκτικός. Ἐκ δὲ τῆς γνώσεως οὕτως. ἡ γνῶσις ἢ ἄπταιστός ἐστι καὶ ἀληθής, καὶ γίνεται ὁ περὶ αὐτῆς συλλογισμὸς ἀποδεικτικός. ἢ ἀεὶ ψευδής, καὶ γίνεται ὁ σοφιστικός. ἢ ποτὲ μὲν ἀληθὴς ποτὲ δὲ ψευδὴς καὶ γίνεται ὁ διαλεκτικός, ἕκαστος δὲ τούτων συλλογισμός ἐστι. δῆλον ἄρα ἐκ τούτων ὅτι τρία μόνα ἐστὶ τὰ τῶν συλλογισμῶν εἴδη. καὶ οὔτε πλείονα οὔτε ἐλάττονα. καὶ ἐν μὲν τοῖς μετὰ ταῦτα δύο βιβλίοις τῶν δευτέρων ἀναλυτικῶν διδάξει περὶ ἀποδείξεως. ἐν δὲ τοῖς τόποις, περὶ τοῦ διαλεκτικοῦ συλλογισμοῦ. ἐν δὲ τοῖς σοφιστικοῖς ἐλέγχοις περὶ τοῦ σοφιστικοῦ. οὐχ ἵνα αὐτῷ χρησώμεθα. ἀλλ' ἵνα μήποτε ἀπατώμεθα, ὑπὸ τῆς χρήσεως αὐτοῦ. διὸ καὶ σοφιστικοὺς ἐλέγχους ἐπέγραψε, καὶ ταῦτα μὲν περὶ συλλογισμῶν. Ζητήσομεν δὲ περὶ ποίου αὐτῶν ἐνταῦθα ὁ λόγος. φαμὲν ὅτι περὶ οὐδενὸς τούτων. ἀλλὰ περὶ τοῦ ἁπλῶς καὶ καθόλου συλλογισμοῦ καὶ ὁ μὲν σκοπὸς οὗτος. δεῖ δὲ εἰδέναι ὅτι τριῶν τούτων ὄντων συλλογισμῶν, ἀποδεικτικοῦ, διαλεκτικοῦ, καὶ σοφιστικοῦ. ἐν ταῖς συνηθείαις, τῷ διαλεκτικῷ χρώμεθα μόνῳ. οὔτε γὰρ τοσαύτην σχολὴν ἄγομεν ἐν ταῖς συνηθείαις, ὥστε ἀποδεικτικοὺς πλέκειν συλλογισμούς. οὔτε μὴν τοὺς προσδιαλεγομένους αἰσχρὸν ἡγούμεθα διαπαντὸς σοφίζεσθαι. καὶ γελοῖον γὰρ τοῦτο. Ὅτι δὲ χρήσιμον τὸ βιβλίον δῆλον ἐκ τῶν εἰρημένων. ἐν ταῖς προλαβούσαις πραγματείαις. εἰ γὰρ χρήσιμος πρὸς φιλοσοφίαν ἡ ἀποδεικτική. τὸ δὲ πρὸ τῆς ἀποδείξεως συντελοῦν περὶ τῶν ἁπλῶς συλλογισμῶν διαλαμβάνειν. δι' ὧν αἱ ἀποδείξεις, δῆλον ὅτι καὶ τοῦτο χρήσιμον πρὸς φιλοσοφίαν. Ἡ δὲ τάξις ἐστὶν αὕτη, δεῖ πρότερον ἡμᾶς τὸν ἁπλῶς συλλογισμὸν μαθεῖν, εἶθ' οὕτω καὶ τὸν ποιὸν δὲ συλλογισμόν. ἵνα δὲ σαφὲς ᾖ τὸ λεγόμενον. ἔστιν εἰπεῖν. ἐπεὶ περὶ ἀποδείξεως μέλλοντα διδάσκειν τὸν φιλόσοφον πρότερον διαλεχθῆναι περὶ ἁπλῶν φωνῶν, τοῦτο πεποίηκεν ἐν ταῖς κατηγορίαις. δεύτερον περί τε τῆς ἐν αὐταῖς διαφορᾶς καὶ πρώτης συνθέσεως. τοῦτο πεποίηκεν ἐν τῷ περὶ ἑρμηνείας. περὶ ὀνομάτων καὶ ῥημάτων καὶ προτάσεων διαλαβών. καὶ αὕτη ἡ σύνθεσις τῶν ἁπλῶν φωνῶν. τουτέστιν οἱ ἁπλοῖ λόγοι. ὧν δὴ λοιπὸν συντιθεμένων γίνεται συλλογισμός. ἐπειδὴ δὲ ὡς ἔφαμεν τρεῖς εἰσι τῶν συλλογισμῶν αἱ διαφοραί. δεῖ τὸν μέλλοντα τούτων τινὰ μαθεῖν. εἰδέναι πρότερον τί ποτέ ἐστιν ὁ ἁπλῶς συλλογισμός, καὶ τίνα τρόπον συντιθέμενοι οἱ ἁπλοῖ λόγοι. τουτέστιν αἱ προτάσεις ποιοῦσι συλλογισμόν. καὶ καθάπερ καὶ τοὺς μέλλοντας μαθεῖν τὴν δώριον ἢ τὴν λύδιον ἁρμονίαν. δεῖ πρότερον μαθεῖν τὸ ἁπλῶς ἁρμόζειν [?]. καὶ τί δήποτε ὅλως ἐστὶν ἁρμονία. καὶ τὸν βουλόμενον εἰδέναι γράφειν. ὀξύρυγχον ἢ στρογγύλον χαρακτῆρα.

πρότερον

[illegible] utuntur librarij Graeci. alteram acutas et oblongas habet literarum figuras [illegible] λόγος. alteram rotundas et obtusas [illegible] λόγος. [illegible] hoc utebantur in libris sacris: [illegible] ὀξυρύγχῳ [illegible] in aliis generis libris [illegible].

ΙΩΑΝΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ, ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ,

εἰς τὸ πρῶτον τῶν προτέρων ἀναλυτικῶν σχολικαὶ ἀποσημειώσεις ἐκ τῶν συνουσιῶν Ἀμμωνίου τοῦ Ἑρμείου μετά τινων ἰδίων ἐπιστάσεων.

ΠΡΟΟΙΜΙΟΝ.

ἬΔΗ ΜΕΝ ἐν τοῖς προλαβοῦσιν εἴρηται συγγράμμασιν· οὐκ ἄτοπον δὲ ὑπομνῆσαι, καὶ νῦν, ὡς ἐξ ἀνάγκης δεῖ τὰ ὀφείλοντα προλέγεσθαι ἑκάστου ἀριστοτελικοῦ συγγράμματος· ἃ μέντοι τῶν κεφαλαίων αὐτόθεν ἐστὶ φανερόν. σκοπός. χρήσιμον. τάξις ἀναγνώσεως. αἰτία ἐπιγραφῆς. εἰ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον. ἡ εἰς τὰ κεφάλαια διαίρεσις. προσθήσω δὲ καὶ ἕβδομον, ὑπὸ ποῖον τῆς φιλοσοφίας μέρος ἀνάγεται. καὶ ὅλως, ὑπὸ τί τῶν μερῶν ἐστι. πρῶτον μὲν οὖν περὶ τοῦ σκοποῦ, ῥητέον. σκοπὸς τῷ φιλοσόφῳ ἐστὶ περὶ ἀποδείξεως. ἀλλ' ἐπειδὴ ἡ ἀπόδειξις συλλογισμός ἐστι, δῆλον ὅτι δεῖ πρῶτον περὶ τοῦ ἁπλῶς συλλογισμοῦ διαλαβεῖν. πολλὰ γὰρ συλλογισμῶν εἴδη. ἵνα δὲ ἐκ διαιρέσεως μάθωμεν πόσα ἐστὶ συλλογισμῶν εἴδη, ἐπειδὴ οὕτως ὁ συλλογισμός, γνῶσίς ἐστιν. ἡ δὲ γνῶσις, μέση ἐστὶ τοῦ τε γινώσκοντος καὶ τοῦ γινωσκομένου. τριῶν τούτων ὄντων, γινώσκοντος, γνώσεως, καὶ γνωστοῦ. καθ' ἕκαστον αὐτῶν ἔστι τὴν διαίρεσιν ποιήσασθαι τῶν συλλογισμῶν. τοῦ γινώσκοντος τῆς γνώσεως, καὶ τοῦ γινωσκομένου. καὶ ἐκ μὲν τοῦ γινώσκοντος οὕτως. τὸ γινῶσκον, ἢ νοῦς ἐστιν, ἢ διάνοια, ἢ δόξα, ἢ φαντασία, ἢ αἴσθησις. ἀλλ' ὁ μὲν νοῦς καὶ ἡ αἴσθησις, οὐ συλλογίζεται. ὁ μὲν νοῦς, ὡς κρείττων ὤν, τοῦ συλλογίζεσθαι. διὸ καὶ ὁ θεῖος πλωτῖνός φησι περὶ αὐτοῦ· ὅτι ἢ ἅπτεται, ἢ οὔ. καὶ πάντη ἐστὶν ἀναμάρτητος. ἢ γὰρ ἅπτεται, ἁπλαῖς ἐπιβολαῖς γινώσκων τὰ πράγματα. ἢ οὐδὲ τὴν ἀρχὴν ἅπτεται καὶ ὁμοίως κατ' ἄμφω ἐστὶν ἀναμάρτητος. ἡ δέ γε αἴσθησις ὡς χείρονα ἔχουσα τοῦ συλλογίζεσθαι, οὐ συλλογίζεται. ἀλλ' οὐδὲ ἡ φαντασία συλλογίζεται. καὶ γὰρ τῶν ὑπὸ τῆς αἰσθήσεως φανέντων στάσις ἐστὶ καὶ τήρησις. τῆς αἰσθήσεως μὴ συλλογιζομένης, οὐδὲ ἡ φυλάττουσα ἄρα τὰ κατὰ τὴν αἴσθησιν φανέντα συλλογίσαιτ' ἄν. ὁ γὰρ συλλογισμός, κίνησίς ἐστιν ἀφ' ἑτέρου εἰς ἕτερον. ἐκ γὰρ ἄλλου ἄλλο συλλογίζεται καὶ ὃ οὐκ ᾔδει δεδομένου. ἡ δὲ φαντασία μονή τε καὶ τήρησίς ἐστι τῶν τύπων τῶν αἰσθητῶν καὶ πλέον οὐδὲν ὧν ἐκ τῆς αἰσθήσεως ἐδέξατο οἶδεν. στάσει γὰρ ὡς εἰπεῖν ἔοικε μᾶλλον, ἢ κινήσει. ὡς καὶ τοὔνομα δηλοῖ. φαοστασία γάρ τις ἐστι. τοῦτ' ἔστι τῶν φανέντων στάσις. οὐκ ἄρα οὐδὲ ἡ φαντασία συλλογίζεται. λείπεται οὖν ἡ δόξα καὶ ἡ διάνοια. ἀλλ' ἐμάθομεν ὡς ἡ δόξα συμπέρασμά ἐστι διανοίας, δῆλον ὡς οὐδὲ αὐτὴ συλλογίζεται. λείπεται ἄρα πάντων τῶν γνωστικῶν τῆς ψυχῆς μορίων, μόνην τὴν διάνοιαν συλλογίζεσθαι. ἐπειδὴ δὲ συλλογίσασθαί τι μηδενὸς ὁμολογουμένου ληφθέντος ἀμήχανον. ὁ γὰρ συλλογισμός ἐστιν οἱονεὶ συλλογή τινων λόγων (τὸν γὰρ ἀκριβῆ τοῦ συλλογισμοῦ ὅρον προϊόντες ἀποδώσομεν) δεῖ πάντως ἐν τῷ συλλογισμῷ δοθῆναί τινας λόγους ὧν δεῖ τὴν συλλογὴν καὶ ἄθροισιν τὸν συλλογιζόμενον ποιήσασθαι. τούτους οὖν τοὺς λόγους οἷς χρήσεται ὁ συλλογιζόμενος, καὶ αὐτοὺς γνώσεις τινὰς ὄντας, ἀνάγκη ἐκ τῶν λοιπῶν τῆς ψυχῆς μορίων εἰληφέναι. ἡ γὰρ συλλογιζομένη ἐστὶν ἡ διάνοια. ἀνάγκη οὖν πάσας ἢ ἐκ τοῦ νοῦ, ἢ ἐξ αἰσθήσεως καὶ φαντασίας. μονὴ γὰρ αἰσθήσεως ἡ φαντασία· διὸ μᾶλλον δεῖ λέγειν ἐκ φαντασίας. ἐπεὶ καὶ μίαν τις συλλογιεῖται, τὰς ἀρχὰς ἐκ φαντασίας δεξάμενος ἤγουν ἐκ δόξης. σκόπει οὖν ὡς ἐκ τῶν εἰρημένων ἀνάγκη πᾶσα μόνα τὰ τρία εἴδη τῶν συλλογισμῶν ἀναφαίνεσθαι. καὶ μήτε πλείονα, μήτε ἐλάττονα. ἢ γὰρ ἐκ τοῦ νοῦ τὰς ἀρχὰς δεξαμένη ἡ διάνοια, συλλογιεῖται. ἃς καὶ καλοῦμεν κοινὰς ἐννοίας καὶ ποιεῖ τὸν ἀποδεικτικὸν συλλογισμόν. ἀεὶ ἀληθῆ ὄντα, καὶ μηδέποτε ψευδόμενον. ἐπεὶ καὶ αἱ κοιναὶ ἔννοιαι ἐξ ὧν ὁ συλλογισμὸς ἀεὶ ἀληθεῖς, καὶ αὐτόπιστοι. ἢ τῇ δόξῃ συμπλακεῖσα, ἐξ αὐτῆς τὰς ἀρχὰς τοῦ συλλογισμοῦ δέχεται. καὶ ποιεῖ τὸν διαλεκτικὸν συλλογισμὸν διαλεκτικὸν καλούμενον, διότι ἐν ταῖς κοιναῖς συνουσίαις καὶ ταῖς πρὸς ἀλλήλους διαλέξεσι, τοῖς τοιούτοις χρώμεθα συλλογισμοῖς. ὃς οὐ πάντως ἀληθεύει. ἀλλά ποτε καὶ ψεύδεται. ἐπεὶ καὶ ἡ δόξα τοιαύτη οὐκ ἀεὶ ἀληθής. πολλαὶ γὰρ καὶ ψευδεῖς ἐν ἀνθρώποις δόξαι. ἢ τρίτον τῇ φαντασίᾳ συμπλακεῖσα ἡ διάνοια καὶ τὰς ἀρχὰς τῶν συλλογισμῶν ἐξ αὐτῆς λαβοῦσα συλλογίζεται καὶ ποιεῖ τὸν σοφιστικὸν συλλογισμὸν ἀεὶ ψευδῆ ὄντα. τοῦτο γὰρ σκοπὸς τοῖς σοφισταῖς, πάντα ἐνσκευάζειν, καὶ μάλιστα τὰ δόξαντα ἀληθῆ εἶναι καὶ ἀποδεδεῖχθαι τοῖς ἐπιστήμοσιν. ἀλλ' ἄρα ὡς

HERCVLI GONZAGAE CARDINALI MAXIMO VICTOR TRINCAVELLVS. F.

NOn possum equidem Hercules optime & amplissime his temporibus rei litterariæ summopere non gratulari, cum liberales disciplinas omnes, & in primis philosophiam ipsam, indies ad proprium, & innatum candorem magis, magis'q;, deduci uideam. neq; enim eæ amplius a' sordida quaq;, & turpi, sed a' liberali, & nitida manu tractantur & coluntˀ, cum presertim nullus sit, uel rarus admodum, ex christianæ pietatis principibus, qui illis maiorē in modū non delectetur, earū'q; studiosos summis omnibus officiis non ꝓsequatur, & foueat, ut iam mihi cum diuino Platone exclamare liceat, o' felicia hæc tempora, quibus principes philosophari non dedignantur. qua de re illud pridem in animū induxi, ut omnia tandem christianæ religioni bene, feliciter'q; successura existimē, quandoquidem eius primarii antistites spreta illa ueteri lasciuia, & barbarie, candidissimis moribus, philosophiæ & tandem sacrarū litterarū studiis, ornari uirib⁹ omnibus contendunt. itaq; ueri ecclesiæ oculi (id quod de sacerdotibus dicebat diuus Chrisostomus) fiunt iam & ab omnibus habebuntˀ. Ego ꝓfecto, & si Aeolus ab Aquilone turbulentissimas tempestates in christianā concitet nauiculā, ut eam impietatis fluctibus obruat, ut demergat. neq; desint, qui optimo tritico sterilem zinzaniam (ut euangelica utar uoce) inserant; nihil tñ propterea dubitādum uel timendū censeo, posteaq̃ eos gubernatores & agricolas a' Dño paratos iam uideo, qui & nauiculam in portum ducere, & zinzaniā euellere optime scient. inter quos (ut q̃plurimos atq; illos præclarissimos omittam) cum te egregia morū ꝓbitate, & doctrine præstātia iam tum ab adolescētia excelluisse nouerim, mirū est quo ego te amore, & obseruātia semper prosecutus fuerim, ut aliquam mihi dari occasionem qua huiusmodi meum erga te animum ostenderem percupiuerim. Itaq; cum his diebus Philoponi & Magentini comentaria in priores analyticos Arist. libros a' situ & squalore blattis'q; eruta, quibus iandiu obuoluta erant, opera nostra uindicata in lucem preditura' essent, statui quicqd studii diligentiæ & operæ illis poliendis impendissem, tibi q̃ libētissime offerre, ac dedere, ut hac ratione & illa dignū nati tutorē gratiora in manus doctorū hominum eant, & ipse mei in te animi propensionem iam noscere incipias. Habes igitur Cardinalis amplissime horū præstantissimorū authorū uno ueluti manipulo comprehensa comentaria, quibus illi, diuersa tñ comentationis formula, aureum id & perelegans Aristotelis opus explicant. alter.n. fusus est & in questionibus digressionibus'q; frequēs, alter uero præssus et breuis, & ueluti παραφρασής. quibus etiam tertio loco ut unusquisq;, qui hac disciplina delectatur, semper ꝓ tēporis & otii oportunitate habeat quo frui possit, libellum quēdam incerti sed docti authoris de syllogismis, quo ille uniuersam syllogismorū materiam in breue quoddam compendium & quandam ueluti summā redigit, addidimus. quæ omnia si in eam integritatem & perfectionem, quā desiderabam, reducere non potui, culpa exēplarium id euenit, quæ lacera & uetustate, corrosa, uitio'q; tēporum deprauata habui, & quādo'q; unica. nam nulli (deum testor) industrie ac labori pepci, ut quoad eius fieri posset meliora rederētur. Interim autē, ut quod in his non potuimus, in aliis uberius compēsetur, quædam etiam nec deteriora, nec pauciora iam præparamus, quæ si modo tu tuiq; similes huic nostro honesto labori fauerint, propediem ædemus. Vale.

ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ

ΦΙΛΟΠΟΝΟΥ

ΕΙΣ ΤΑ ΠΡΟΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ ΤΟΥ ΑΡΙ-
ΣΤΟΤΕΛΟΥΣ, ΥΠΟΜΝΗΜΑ.

ΜΑΓΕΝΤΙΝΟΥ ΣΧΟΛΙΑ ΕΙΣ ΤΑ ΑΥΤΑ
ΣΥΝΟΨΙΣ ΠΕΡΙ ΤΩΝ ΣΥΛΛΟΓΙΣΜΩΝ.

IOAN. GRAM.

PHILOPONI

COMMENTARIA IN PRIORA ANALYTICA
ARISTOTELIS.

MAGENTINI COMMENTARIA IN EADEM
LIBELLVS DE SYLLOGISMIS.



Priuilegio Senatus Veneti cautum est, nequis hosce libros per decennium
neque nunc aut imprimat, aut alibi impressos in hac ciuitate,
uel aliis Veneto imperio subditis uendat.

M D XXXVI.

ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ

ΕΙΣ ΤΑ ΠΡΟΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ ΤΟΥ ΑΡΙ-
ΣΤΟΤΕΛΟΥΣ, ΥΠΟΜΝΗΜΑ.

ΜΑΓΕΝΤΙΝΟΥ ΣΧΟΛΙΑ ΕΙΣ ΤΑ ΑΥΤΑ
ΣΥΝΟΨΙΣ ΠΕΡΙ ΤΩΝ ΣΥΛΛΟΓΙΣΜΩΝ.

IOAN. GRAM.

PHILOPONI

COMENTARIA IN PRIORA ANALYTICA
ARISTOTELIS.

MAGENTINI COMENTARIA IN EADEM
LIBELLVS DE SYLLOGISMIS.

σὺν θεῷ



οὐ μεταμελῶ

Ἀρχὴ τὸ ἥμισυ παντός.

Priuilegio Senatus Veneti cautum est, nequis hosce libros per decennium impune, aut imprimat, aut alibi impressos in hac ciuitate, uel aliis Veneto imperio subditis uendat.

M D XXXVI.